This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

## Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

## About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

NON DE ERRORE NEQUE IN DOLO

JAMES HARDY ROPES

HARVARD DIVINITY SCHOOL

THE GIFT OF

ALICE · LOWELL · ROPES

1933

ANDOVER-HARVARD
THEOLOGICAL LIBRARY

James Hardy Ropes

Cambridge

May 1903.

# PHILONIS OPERA

# PHILONIS ALEXANDRINI

# OPERA QVAE SVPERSVNT

EDIDERVNT

LEOPOLDVS COHN ET PAVLVS WENDLAND

VOL. III

CONTINENS QVIS RERVM DIVINARVM HERES SIT
DE CONGRESSV ERVDITIONIS GRATIA
DE FVGA ET INVENTIONE
DE MVTATIONE NOMINVM
DE SOMNIIS LIBER I
DE SOMNIIS LIBER II

BEROLINI

TYPIS ET IMPENSIS GEORGII REIMERI

MDCCCLXXXXVIII

# PHILONIS ALEXANDRINI

## OPERA QVAE SVPERSVNT

VOL. III

EDIDIT

PAVLVS WENDLAND

BEROLINI

TYPIS ET IMPENSIS GEORGII REIMERI

MDCCCLXXXXVIII

ANDOVER-HARVARD
THEOLOGICAL LIBRARY
CAMBRIDGE, MASS.
H57.308
May 21, 1934

PA
4268
.A2
1896
v. 3-4
cop. 1

# PROLEGOMENA

Ad codices M G F A B H P L, qui iam in prioribus voluminibus usurpati et in Prolegomenis vol. I descripti sunt, unus accedit in hoc volumine primum adhibitus codex O. est autem Laurentianus plut. X cod. 23, membranaceus, formae quartae minoris, quem saeculo XII Bandini, saeculo XIV L. Cohn tribuit. continet sex libros Philonis hoc ordine: De codice O

1. Φίλωνος περὶ τοῦ βίου Μωυσέως (= liber I).
2. λόγος δεύτερος (= *de vita Mosis* liber II).
3. περὶ ἱερωσύνης λόγος γ′ (= *de vita Mosis* liber III).
4. Φίλωνος περὶ ἀρετῶν ἤτοι ἀνδρείας καὶ εὐσεβείας καὶ φιλανθρωπίας καὶ μετανοίας (= *de fortitudine*).
5. βίος πολιτικοῦ, ὅπερ ἐστὶ περὶ Ἰωσήφ.
6. περὶ τοῦ τίς ὁ τῶν θείων πραγμάτων κληρονόμος.

incipit hic postremus liber fol. 87$^{v}$, folia autem 96—116 (= p. 24, 5 καὶ τὰς χεῖρας usque ad finem libri) tenuioris chartae sunt, scripta manu saec. XVI et suppleta ex Turnebi editione. quod efficitur vitiis ex editione principe in codicem translatis vel falso correctis, velut — pauca enim afferam exempla — p. 26, 1 διανοῆσαι (διανοήσαι Turn.). 27, 3 γινομένους (δινομένους Turn.). 27, 14 θοκεῖ. 29, 14 ὀφελόντων. 30, 20 αὐτῶ. 32, 6 τούτων δὲ. 34, 5 τὸ (pro τὰ). quae omnia vitia praeter illud θοκεῖ cum animadvertissem in recentiore parte codicis F repeti, postquam L. Cohn demonstravit hanc recentiorem partem codicis F a Iacobo Diassorino suppletam esse[1]), fieri non poterat, quin suspicio

[1]) v. Prolegomena vol. I p. XXV et commentationem eius Saturae Viadrinae insertam, Vratislaviae 1896 (*Diassorinos und Turnebus*).

oreretur huic etiam codicis O recens supplementum tribuendum esse. atque H. Vitelli a me rogatus, ut utriusque Laurentiani supplementorum manus conferret, quo est studio cum omne genus litterarum tum hanc editionem adiuvandi, statim mihi respondit certissime eandem manum agnosci neque se dubitare, quin Iacobi Diassorini manus sit. paulo post L. Cohn mecum quae olim de codice O a se inspecto notaverat communicavit; unde didici idem iudicium eum tulisse, in commentatione modo commemorata eis quae recte olim cognoverat per oblivionem usum non esse. inde quod Diassorinus p. 31, 25 in O F particulam δὲ, quam habet Turnebus, omisit, non concluserim ad alterum codicem supplendum eum pro libro impresso alterius codicis textum ab ipso prius scriptum adhibuisse. neque enim per neglegentiam, sed consulto particulam omisisse potest. hoc verisimile videtur prius codici F supplendo eum operam dedisse. in hoc enim saepius erravit quam in O, errata in margine correxit.

Ex eis quae modo exposui apparet, cur in edendo libro *quis rerum divinarum heres sit* ut codicem F ita recentiorem partem codicis O spreverimus. iam quid valeat antiquior huius libri pars, examinandum est, sepositis prioribus quinque libris in O traditis; in quibus quae ratio intercedat inter O et ceteros codices, in Prolegomenis voluminis IV disserendum erit. hoc tamen suspicari licet, cum ceteri quinque libri in aliis codicibus, qui primum ad quartum volumen adhibebuntur, eodem ordine servati sint, sextus desit, hunc non ex eodem atque ceteros archetypo in codicem O translatum esse. quod eo confirmatur, quod textus quem praebet O in libris *de vita Mosis* et *de fortitudine* plane ab A B discrepat, in nostro libro ita consentit[1]), ut commune librorum O A B archetypum statuendum sit. quamquam paulo artiore vinculo A et B quam O et A B conexi sunt. habet enim O interdum sua propria et bona et vitia. velut veram lectionem cum aliis codicibus et papyro habet p. 2, 5. 2, 11. 3, 10. 8, 5. 11, 20. 13, 11. 15, 11. 17, 15, cum A B errent. saepius O errat, cum A B vel vera vel paulo vero propiora praebeant: v. adnotata ad 1,6. 4,16. 5,1. 5,11. 6,10. 8,9. 9,12. 9,19.

---

[1]) Ex innumeris pauca affero vitia gravissima quae sic nisi in O A B non inveniuntur: 9,13 ἀνεγείρω. 10,2 οἳ καὶ μακρυνθέντες. 10,6 μου. 10,15 οὐκέτι. 14,10 ὑποπεπλασμένος. 14,14 χάριν οἱ παρέχοντες. 15,15 πρόφασις. 18,20 συντρεχόμενοι. saepe eadem verba omiserunt vel eodem modo transposuerunt.

13,19. 14,4.5. potui testem O plane omittere, potui etiam omittere B, ut omisi in aliis libris. sed quia in nonnullis libris textus vel solius A vel solorum codicum A B testimonio nititur, ad recte aestimandam unius cuiusque horum codicum fidem e re esse videbatur, in hoc libro eiusdem fontis complures rivulos consectari, ut qua quisque testis fide verba archetypi expresserit, cui generi vitiorum potissimum obnoxius sit, diiudicari possit.

De papyro, quae nunc numeratur Cod. Paris. suppl. gr. 1120 (1—2), et de textu, quem praebet in libro *de sacrificiis Abelis et Caini*, L. Cohn in vol. I p. XLI sqq. egit et demonstravit papyrum artiore quadam necessitudine coniunctam esse cum archetypo codicum U F [1]. nunc quid papyrus valeat ad constituendum textum alterius quem continet libri *quis rerum divinarum heres sit*, paucis exponam. papyrum etiam in hoc libro ab eodem archetypo pendere, unde U F fluxerunt, quamquam, cum hic liber in U F traditus non sit, certo demonstrari non potest, tamen veri est simillimum. primum hoc concluditur ex consensu, qui non raro inter papyrum et excerpta Neapolitana, quae ad familiam U F pertinent, intercedit. velut solus N cum papyro recte tradit p. 1,11 αἵ (om. codd.). 21,13 τὸ σῶμα (τὸ om. codd.). 46,21 κατανίφει. p. 5,22 falso σου omittit; p. 57,3. 60,14.15 propius ad veram papyri lectionem accedit quam codices. quod multo saepius N cum codicibus errat, idem observatur in libro *de sacrificiis Abelis et Caini*. accedit aliud idque gravius argumentum. ut ceterorum codicum memoria permultum discrepat a papyro, ita textus codicis G papyro simillimus est, ut utriusque memoria eadem ratione conexa sit, qua papyri et codicum U F memoria in libro *de sacrificiis Abelis et Caini*. iam cum G modo ad classem U F modo ad alios codices pertineat, dissentiat autem maxime in libro *quis rerum divinarum heres sit* a ceteris codicibus, probabile est eum hic memoriam classis U F, cuius nullum hic testem habemus, repraesentare, consensum autem papyri et codicis G inde explicari, quod uterque testis huius classis memoriam, alter sinceriorem, alter paulo deteriorem tradit. primum igitur memorabilia sunt vitia quaedam huic codici cum papyro communia, velut 50,23

De papyro

[1] Ex eodem fonte excerpta tradita in R N E derivata sunt; v. vol. II p. II—X, vol. I p. LVII. LVIII.

ἑκάστων. 53,9 τόν. 54,17 τὰ πολέμια οὖν. 55,8 διιστήκει. 55,10 ἀνελεῖν (sic etiam H). 55,20 λέγοιτ' et οἱ. 57,12 γῆς om. 58,8 ὑπολιπέσθαι. 66,10 κρείττω.[1]) qui vitiorum consensus plerisque locis casu factus esse non potest.

Sed multo maior numerus eorum locorum est, quibus papyrus et G in veris lectionibus tradendis consentiant vel quibus G ad genuinas papyri lectiones propius quam ceteri codices accedat.

| | Pap. G | (O) A B H P |
|---|---|---|
| 3,4 | αἰσίῳ | αἰσίᾳ vel αἰδεσίμῳ |
| 7,2 | εἶναι | om. |
| 9,12 | ἐχυρότητος[2]) | ὀχυρότητος (ὀχυρότατος B) |
| 15,14 | ἦν ἀναγκαῖον | ἀναγκαῖον ἦν |
| 17,3 | μετῳκισάμην | μετῳκησάμην |
| 19,1 | ἀνατείνει τὰς ὄψεις | τὰς ὄψεις ἀνατείνει |
| 22,5 | δίκαιον γὰρ οὐδὲν οὕτως | δίκαιον γὰρ οὕτως οὐδὲν |
| 22,18 | περιόδοις ἀστέρων (accedit D) | ἀστέρων περιόδοις |
| 24,9. 10 | ἔξαρνοι Pap, ἐξα G | ἐκ |
| 30,14 | πάντα ταῦτα | ταῦτα πάντα |
| 32,9 | καὶ μὴν ὃν Pap, καὶ μὴ μόνον G | καθ' ὃν δὲ A B P[2], καὶ οὐ μόνον καθ' ἕνα finxit H[2] |
| 33,1 | οὖν | om. |
| 37,13 | ζυγοῖς | ζυγίοις (sic etiam G[1]) |
| 40,9 | et 41,7 δυεῖν | δυοῖν |
| 41,1 | ἒξ ἐφ' Pap, ὁ ἐξ ἐφ' G | ἐξ |
| 42,7 | καὶ κατὰ | κατὰ |
| 42.14 | σπονδὴν | σπουδὴν |
| 43,4 | καθιερωνεν i. e. καθιερῶμεν Pap, καθίρωμεν G | καθήρωμεν vel καθάρωμεν |

[1]) cf. etiam 50,4. 56,1.—12,20 τρεψώμεθα praetuli (τρεψόμεθα Pap G); cf. *de gig.* § 67 ἐπὶ τὰ ἀκόλουθα τοῦ λόγου τρεψώμεθα, *de ebr.* § 206, *de fuga et inv.* § 143. sed utra lectio vera sit, dubitari potest.

[2]) Sed et Pap. et codd. corrupti videntur. coniectura mea, qua, quamquam ipsa verba non spondeo, membrorum oppositio accuratior fit et ad ἀποτεῖναι additur loci definitio, quae aegre desideratur, nititur locis *de opif. mundi* § 41 ἡ μὲν εἰς τὸ κάτω ῥίζας ἀποτείνουσα οἱονεὶ θεμελίους. *de sacrif. Ab. et Caini* § 25 ῥίζας μὲν οἱονεὶ θεμελίους εἰς τὸ κάτω βαλλομένη κραταιοτάτας. *de congressu erud. gratia* § 56.

| | |
|---|---|
| 44,21 αὐτῆς | αὐτοὺς vel αὐτοῦ |
| 47,21 τῷ | τὸ |
| 50,10 ἐπεὶ Pap, ἐπὶ G | ὅτι |
| 52,15 φωνήν, γόνιμον | γόνιμον φωνήν H P, γόνιμον A B |
| 54,17 επιπωτωμενα i. e. ἐπιποτώμενα Pap, ἐπιπτώμενα G | ἐπισπώμενα vel ἐπιπετόμενα |
| 55,4 πολεμίους | πολέμους |
| 57,10 ἔστω | ἔσται |
| 58,17.18 εἰ ἔτι ὁ ἐν σώματι νοῦς | εἰ οὖν ὁ ἔτι ἐν σώματι νοῦς vel εἰ ἔτι ὁ νοῦς ὁ ἐν σώματι |
| 70,10 καθαρῷ πυρὶ | πυρὶ καθαρῷ A B, πυρὶ H P |

huc accedunt alii quidam loci, quibus Pap evanida est, cum G consensisse potest, velut 47,1.8. non numeravi autem eos locos, quibus Pap G H P vel Pap G P — P enim paulo saepius quam in aliis libris in hoc a codice H discrepat et meliores lectiones praebet — genuinum textum tradunt. nam cum H P, quibuscum saepe facit G, et (O) A B in duas classes discedant, papyrus saepius cum H P quam cum (O) A B concinit.

Quanto vero praestet papyrus omnibus codicibus ut appareat, hic aliquot locos congessi, quibus sola papyrus egregias et genuinas lectiones servavit:

| Pap. | codd. |
|---|---|
| 1,5 ἀπολύομαι | ἀπελεύσομαι |
| 1,6 υἱὸς Μασὲκ τῆς οἰκογενοῦς | υἱός μου ὁ ἐκ τῆς οἰκέτιδος |
| 2,9 μεταδίδου | μεταδιδοὺς vel μὴ μεταδιδοὺς |
| 3,1.2 καὶ τὰ δικαιώματά μου καὶ τὰ νόμιμά μου | καὶ τοὺς νόμους μου καὶ τὰς κρίσεις |
| 3,6 θρασύτατον γὰρ καὶ λαλίστατον [1]) | κάκιστον γὰρ καὶ θρασύτατον |
| 3,7 ἄκος | ἀκοῆς |
| 4,8 ἐξαγωγῇ [2]) | ἐξόδῳ |

---

[1]) Hoc confirmatnr etiam corruptela ἀκαλλέστατον, quam habet D.

[2]) Idem habet Pap 57,13 (ἐξόδῳ codd.); cf. *de migr. Abr.* § 14 μίαν τῆς νομοθεσίας ὅλην ἱερὰν βίβλον Ἐξαγωγὴν ἀνέγραψεν. *de somniis* § 117, ubi M A recte praebent ἐξαγωγῇ, ceteri falso ἐξόδῳ.

| | |
|---|---|
| 6,20 μάλιστα διτταῖς ἐπὶ τοῦ αἰτίου προσρήσεσιν, τῇ θεὸς καὶ τῇ κύριος | διτταῖς αἰτίαις ἐπὶ τοῦ αἰτίου καὶ προσρήσεσι, τῇ τε τοῦ θεοῦ καὶ τῇ τοῦ κυρίου |
| 9,1 ἀνομβροῦσαι | ἀναβρύουσαι[1]) |
| 9,6 δυνατὸν | ἀδύνατον vel ἀδύνατος |
| 9,8 εὐεργησιῶν | ἔργων |
| 10,4 ἀκακία | ἀποικία |
| 10,12 ἕνωσιν | αἵρεσιν vel εὕρεσιν |
| 10,15 ἦν πάντως | om. G H P, οὐκέτι O A B |
| 13,5 φιλίας | φιλήματος |
| 17,13.14 παθοῦσα δ' ὡς ἄφρων καὶ νήπιος παῖς ἔμαθον[2]) | pro ἔμαθον habent ἔγνων |
| 17,20.21 ἀνάθες τῷ τοῦ νοεῖν .... αἰτίῳ | ἀνάθου τῷ (τὸ G) νοεῖν ... αἰτίῳ |
| 18,12.13 (αἰσχρὰ ἀντὶ) καλῶν, ἄδ(ικα ἀντὶ δικαίω)ν .... ᾕρηται | ὁρᾷ (hoc om. G H P[1]), ἀντὶ δὲ δικαίων ἄδικα (vel ἀδίκημα).... ᾕρηται om. |
| 20,18.19 τὸ πλῆθος αὐτὸ μόνον | αὐτὸ τὸ πλῆθος μόνον |
| 21,2 αἰθέρος | ἀρετῆς |
| 24,5.6 τῆς μεταίτου καὶ τὰς χεῖρας εἰς τὸ λαβεῖν προτεινούσης γενέσεως | pro μεταίτου habent μετ' αὐτοῦ vel μετ' αὐτὸν |
| 31,16 λεπτομεροῦς | λεπτοτέρου |
| 32,6 ἀφάνταστος | ἄφαντος vel ἄφατος |
| 36,2 πάθη | πάλιν |
| 36,10 ἄνεσιν | ἀνάτασιν vel ἀνάστασιν |
| 40,17 οἱ τῶν παλλακῶν νόθοι | οἱ τῶν ἄλλων |
| 47,9 ἀφηνιάσαι | ἀφανίσαι |
| 47,20 αἰθρία νεφώσει | αἰθρία νέφεσι |
| 48,23 ἐναργῶς ἐδείχθη | ὄναρ ἐδείχθη vel οὖν παρεδείχθη |
| 50,5 χορείας | πορείας G H P, om. A B |
| 55,19 ἀπονεύουσι | ἀποπνέουσι |
| 56,5 συνχέουσι i. e. συγχέουσι | συνέχουσι |

[1]) Aliud huius verbi exemplum non invenitur in Grossmanni lexico Philoneo.
[2]) Notum est proverbium, cf. *de fuga et inventione* § 138 ἔμαθον μὲν ὃ ἔπαθον. *de somn.* II § 107 παθὼν ἀκριβῶς ἔμαθεν.

| | |
|---|---|
| 56,7.8 τά τε ἐξ αὐτῶν σχεδὸν πάντα | τὰ ἐπ' αὐτῶν πάντα |
| 58,22 ἐν οἷς | ἐννοίας |
| 63,10 ἐχρήσατο | ἐγχρονίσας ὡς vel ἐγχρονίσας |
| 67,7 χηρῷ, τοῖς | ἀχηράτοις |

ex multis exemplis pauca elegi et omisi magnum numerum eorum locorum, quibus sola papyrus verba a codicibus omissa servavit, quae vel ratione vel Philoneo dicendi genere genuina esse efficitur. etiam haec propria est papyri virtus, quod vere Philoneam, id est quaesitiorem et difficiliorem saepe tradit verborum collocationem, quam codices immutaverunt: p. 1,11.12 ἰσχνόφωνος ὁμολογεῖ καὶ βραδύγλωσσος γενέσθαι (ἰσχνόφωνος καὶ βραδύγλωσσος ὁμολογεῖ γενέσθαι codd.). 12,4 προσφυέστατα θεὶς ὀνόματα (θεὶς· ὀνόματα προσφυέστατα codd., sed saepe Philo attributum a substantivo verbo seiungit). 13,14. 15. 15,3. 19. 16,12. 19,3. 20,4. 22,3. 23,17. 18. 24,10. 29,9. 71,18. unde cum appareat, quanto maior fuerit papyri fides in genuina verborum serie tradenda, omnino hunc testem in collocandis verbis sequendum esse duxi, praesertim cum interdum fides eius etiam, ubi suspecta mihi erat, comprobaretur. velut 20,14 olim magis placebat αὐτεξουσίῳ γνώμῃ καὶ αὐτοκράτορι, quod codices praebent, quam quod papyrus tradit αὐτεξουσίῳ καὶ αὐτοκράτορι γνώμῃ. at etiam 68,22. 23 αὐτεξουσίῳ καὶ αὐτοκράτορι βασιλείᾳ legitur. 20,19 inter papyri lectionem μυρία ἄλλα et codicum ἄλλα μυρία anceps haerebam. at etiam *de opif.* § 59 et alibi μυρία ἄλλα legitur [1]).

Habet papyrus propria vitia librarii fere neglegentia nata, quae iam in Prolegomenis vol. I p. XLII. XLIII exemplis illustrata sunt. modo librarius singula vocabula omittit, velut 5,13.18. 7,21. 10,15.17. 14,2. 21,20, modo longiora membra, velut 4,4.5. 10,14.16. 41,7.8. 43,7.8, interdum homoeoteleutis deceptus. textus non casu, sed consilio mutati exempla perpauca inveniuntur, velut 10,19 ὑποκρυψάμενος (recte ὑποστειλάμενος, quod saepe sic adhibet Philo, codd.). quid quod etiam in errando suam virtutem habet? haud raro enim ex papyri corruptelis vera lectio recuperari poterat. 9,7 ἐπιζητῶ μαθεῖν (μαύειν Pap, σχεῖν H², om. ceteri; cf. § 18 μαθεῖν ἀξιῶν). 12,17 πολιὸς (παλιος Pap, παλαιὸς codd.). 33,5 γενητὸν (ηττον Pap, ἴσον codd.). 48,16 ἀφθόνως (αφονως

[1]) fortasse etiam p. 11,14 codicum quidem articuli servandi, at cum Pap τὰ λύτρα καὶ τὰ σῶστρα transponendum est.

Pap, ἀφανῶς codd.). cf. etiam 3,8. 5,13. 7,8. 25,13. 33,1. 35,20. 37,9. 39,1. 48,14. 54,11. 66,14.

Quanti sit papyri memoria, etiam testes antiquissimi textus Philonei demonstrant. saepe enim excerpta D papyri lectiones confirmant: 2,13. 3,5. 3,15. 14,2 (de plurali σάρκες cf. Mus. Rhen. LII p. 468. 469). 14,3. 4.7.9. 22,20. 23,1. 24,9.10.11.12. 26,4.5.19. 69,2. lectionem τῶν ἄλλων 42,16 Ambrosius comprobat. tamen vel excerptis D non raro praestat papyrus. nam ut omittam ea vitia, quae non codici Philonis a Ioanne Damasceno adhibito, sed excerptorum neglegentiae vel librariorum incuriae debentur, D non vacat vitiis quibusdam, quae in codicibus nostris omnibus traduntur, cum papyrus genuinae lectionis testis sit, velut 3,3 ἀκοῆς. 5,14 ὠφελιμωτάτων.

Papyri fides etiam in locis S. S. afferendis agnoscitur. sola enim papyrus saepe eam locorum formam tradit, quae vel alibi laudatur a Philone vel congruit cum LXX interpretum codicibus A F et potissimum cum textu Lucianeo. quos testes accuratius cum Philonis sacro textu concinere et genuini textus auctores locupletissimos esse in Philologi vol. LVII p. 284—287 ostendi[1]). et quisquis singulos S. S. locos a Philone adlatos cum ceteris eorundem locorum testimoniis Philoneis, cum codicibus uncialibus qui dicuntur LXX interpretum et cum Luciano contulerit, novis exemplis illas rationes l. c. a me expositas atque etiam in hoc volumine adhibitas comprobari videbit. nova igitur exempla afferre nolo. mihi quidem persuasum est eis qui nunc in Britannia bibliis graecis edendis student, si modo recte suo munere fungi et certa ratione et via procedere volent, priusquam ad constituendum textum accedant, omnia S. S. testimonia e Philone et eis scriptoribus ecclesiasticis, qui ante Origenem fuerunt, accuratissime colligenda[2]), tum ad hanc normam libros manu scriptos examinandos et in classes distribuendos esse. neque fieri poterit, quin, antequam ipsa editio instituatur, Luciani recensio ex codicibus restituatur.

---

[1]) Quod de pentateuchi textu graeco statui, confirmat tabula plumbea psalmi 80 nuper reperta (Sitzungsberichte der K. preuss. Acad. 1898 p. 582 ss.), quippe cuius textus cum ceteris libris uncialibus contra B concinat.

[2]) Cur nullo modo niti liceat eo libro, quem Ryle edidit *Philo and holy scripture* London 1895, ostendi Berl. philol. Woch. 1895 p. 1281—1285.

Quamvis papyri textus omnibus codicibus praestet, tamen unum et papyri et codicum archetypum statuendum esse communia vitia etiam in hoc libro probant: p. 6,9 διαλύοντα pro διαλυτὰ ὄντα. 9,8 καὶ falso insertum. 17,4 τὰ pro μὴ. 18,12 ὅταν pro ὅτε. 20,1 ὑπολαμβάνειν pro ὑπολαμβάνοντα. 39,13 οὐ τοῦ omissum. 54,19 σώμασιν οὐ pro σώμασι καὶ. 55,6 ἐγκαθίσαι pro συγκαθίσαι. 54,4 ἐν omissum. 66,2 δυνάμενον pro δυνάμεσι. 70,15 τοῖς τε γὰρ ἀρετῆς ἀγγέλοις προσχορεύοντες pro ταῖς τε γὰρ ἀρετῆς αὐγαῖς προσχωροῦντες. certissima exempla elegi. accedunt alii loci, quibus, cum paululum differant corruptelae papyri et codicum, hoc tamen certum vel verisimile est iam commune archetypum vitiis infectum fuisse vel errandi occasionem dedisse, velut p. 3,8. 5,13. 6,12. 7,8. 8,12. 13.16,7.21. 28,4. 29,20. 32,22. 39,1. 48,16.25. 51,22. 54,11. 61,20. digna, quae diligentius examinetur, est § 228: περιέχεται γὰρ (sc. οὐρανός) ὑπ' οὐδενὸς σώματος, οὔτε ἰσομεγέθους αὐτῷ οὔτε ἀπείρου, ἀλλ' οὐδ' ὑπὸ κενοῦ κατὰ Μωυσῆν διὰ τὴν ἐν τῇ ἐκπυρώσει μυθευομένην τερατολογίαν. hoc verborum ordine recte a me constituto improbare Moses dicitur Stoicorum rationem, qui ideo κενὸν statuendum esse censebant, ut mundus ἐκπυρώσει dissolutus habeat, quo dilatetur (Zeller III 1 p. 153); quam Stoicorum rationem ipse Philo *de aet. mundi* p. 31,18 Cum. tradit. at papyrus verba ἀλλ'—Μωσῆν post σώματος, G H P post γὰρ posuerunt, A B omiserunt. patet ea archetypi margini adscripta fuisse, duos librarios, cum dubium esset, ubi verba praesertim corrupta (ἐκπυρώσει enim restitui ex πυρώσει vel πυργώσει, quod frustra Mangey interpretari conatus est) ponenda essent, in inserendo varie errasse, tertium omittendo difficultatem fugere maluisse.

Quomodo Scheilius papyri verba expresserit, in vol. I p. XLIV expositum est. atque spes erat iterum collata papyro nonnullis locis genuinae lectionis vestigia a Scheilio praetermissa repertum iri. ipse quidem, cum nonnullis locis haberem quod suspicarer Scheilium errasse, Carolum Kalbfleisch adii, qui cum autumno superioris anni Lutetiae Parisiorum versaretur, accuratissime de lectione eorum locorum certiorem me fecit [1]). eius igitur testimonio usus his locis Scheilii errores correxi:

---

[1]) Idem libri *de sacrificiis Abelis et Caini* locis nonnullis, quibus facile dubitari poterat num papyri scriptura recte a Scheilio lecta esset, denuo rogatu nostro papyrum inspexit. hac igitur data occasione ex eis quae benignissime Kalbfleisch

p. 1,11 non καὶ, sed καὶ αἰ in spatio 4 litterarum supplendum est; ι enim utrumque dimidium modo litterae spatium explet. 8,18 ἔτι (εἰ Scheil). 9,6 δυνατὸν (ἀδύνατον Scheil). 18,16 solae litterae μον (non μονον) legi possunt. 19, 1.2 Scheil testatur: ἀνατείνει τὰς ὄψεις πρὸς αἰ(θέρα) καὶ τὰς οὐρα(νίας)...... ὁ θεὸς πεπαίδευται..... αὐτὸν καὶ τὸ μάννα ἀφορᾶν. contra pono quae in papyro revera exstant cum certissimis meis supplementis:

(ἀνατείν)ειν τὰς ὄ-
(ψεις πρὸς) αἰ (θέρα) καὶ τὰς οὐρα-
(νοῦ περιό)δους, πεπαίδευται
(δὲ καὶ εἰς) τὸ μάννα ἀφορᾶν,
(τὸν θεῖον) λόγον

καὶ τὰς — (δὲ καὶ εἰς) omissa sunt in codicibus, ita iam a me suppleta aliis Philonis locis comparatis (§ 88. *de migr. Abr.* § 64), antequam Kalbfleischii diligentia de lectione papyri certior factus sum. verba δὲ καὶ loci sensu postulantur. quod restat spatium, vetat praepositionem πρὸς, iubet εἰς suppleri; quod confirmatur loco biblico, qui § 80 sequitur. 20,16.17 Scheil dubitandi locum dedit, quod alteros cancellos ponere neglexit et papyro vulgatam lectionem codicum testimonio plane carentem tribuit. accurata computatione litterarum evanidarum in apparatu adnotata, quam Kalbfleischio debeo, apparet lin. 17. 18 οὕτως ἔσται, non cum Scheilio τὸ σπέρμα σου οὕτως ἔσται supplendum esse. 28,13 τὰ (τὸ Scheil). 35,2, cum prior pars litterae ο evanida sit, tamen ἴσοις potius quam ἴσαις (Scheil) legendum videtur. 36,7 spatium

---

mecum communicavit afferre liceat quae ad apparatum illius libri corrigendum vel supplendum valeant. vol. I p. 203,6 πολεμιους Pap. 204,10 συνυ ... nec plura legi possunt (συνύφανται Scheil). 205,3 μετανισταν ... καθαρ (ο?) ... Pap (καθὰ ὅλων Scheil); videtur papyrus καὶ καθαρὸν (= U F) exhibuisse. 207,6 την των Pap (= U F D), non θνητων (Scheil). 212,17. 18 αἰδὼς — προσοχὴ habet Pap (om. Scheil). 216,9 οντως Pap (ονπας Scheil). 221,10 ει και δη re vera Pap. 221,19 (και γα)στρος και ηδονω ...... γαστερα ηδονων ...... και γλωττης Pap. 222,3 τας ηνιας etiam Pap. 224,11 ουκ εμπιλησθη (supra scr. ν et ση) (sed postea μ del., ι add.) Pap. i. e. οὐκ ἐμπλησθῇ corr. in οὖν ἐπιλησθήσῃ. 228,15 γεγονοτες μαθηται ευφυεις Pap. 230,4 στη ... αι εχει Pap. i. e. στήσομαι ἐκεῖ (= U), non καὶ ἐκεῖ (Scheil). 232,8 εισφερωσιν re vera Pap. 243,16 τα οσα $\overline{\text{ανος}}$ Pap. 246,12 εν ταις α..ησεσιν πυροι Pap. i. e. ἐν ταῖς ἀλοήσεσιν πυροὶ (= F), fortasse recte (ταις αλης ειςιν Scheil). 250,19 εναργεστερον Pap. 256,4 του $\overline{\text{θυ}}$ re vera Pap, item l. 21 καν. [L. C.]

docet τὸν in papyro deesse, 36,8 (τὸ)ν, non (μέγα)ν (sic Scheil), supplendum esse. 42,17 (καὶ) τῶν probabilius est quam τούτων (Scheil). 57,12 τῇ (om. Scheil). 57,13 ἐξαγω(γῇ), non ἐξατω..., cf. ad p. 4,8. 57,21 (κατά)πληξιν, non (καὶ κατά)πληξιν. 59,4 ἐπέπεσε (τῷ Ἀβρ)αάμ, non ἐπέπεσε(ν ἐπὶ τὸν Ἀβρ)αάμ. etiam quae ad p. 51,1 adnotavi, Kalbfleischio debeo. contra idem has Scheilii lectiones iniuria a me in dubium vocatas confirmavit: 9,7 μαυειν. 23,17 γὰρ om. 29,17 μοι (non μοι καὶ). 32,22 μὲν τὸ γάρ. 34,13 διὰ ταῦτ'. 38,19 σοι γάρ. 44,11 ἅ. 63,5 τῆς om. interdum, velut in columna XIII a b, parvae quaedam laciniae papyri non suo loco insertae esse videntur.

Quae ratio inter excerpta codicis N et papyrum intercedat, supra p. III expositum est. in hoc autem volumine viginti tria praesto erant excerpta huius codicis, undecim ex libro *quis rerum divinarum heres sit* p. 1,8—2,4 καίτοι—φιλοσοφοῦντα, p. 5,15—6,17 σοφοὶ—οἰκεῖον, p. 13,16—14,16 ἐπειδὴ—τοῦ γένους ἡμῶν ἐξ ἑαυτοῦ, p. 16,4. 5 ἀσώματοι—κληρονόμοι, p. 20,15—21,15 προαγαγὼν—σβέννυσθαι, p. 34,2—35,12 τούτων—εὐώνυμα, p. 41,3—6 ὁμοίως—νενόμισται, p. 41,16—42,1 ἐγένετο—εἴδη, p. 46,14—47,13 τεθαύμακα—θεοῦ, p. 56,18—57,3 περὶ—χρῆται, p. 60,7—61,6 περὶ—ἀποτελεῖ, quinque ex libro *de congressu eruditionis gratia* p. 82,15—24 ὥσπερ γὰρ—καταστήσασθαι, p. 84,25—85,16 ἀναγκαῖον γὰρ—κατεσβέσθη, p. 88,13—22 ἐν ἀρχῇ—ἐναντίοι, p. 101,2—102,14 ὅτι αἱ μέσαι—ἐκείνῃ, p. 107,19—108,6 ἆρα οὖν οὐκ—παραδείσου, septem ex libro *de somniis* I p. 207,4—208,1 ἀνθεῖ—στήλαις, p. 218,10—24 λέγεται—τόπος ἑαυτῷ, p. 242,19—243,11 ἔστι δὲ—θεόν, p. 244,4—245,17 διακινηθεῖσα—ἅλις, p. 249,11—250,4 θαυμάζω—κατεσκεύασται, p. 253,21—254,10 μὴ παρέλθῃς—ὕπαρξιν, p. 255,16—256,21 τί οὖν—ἀπαλειφθῆναι. p. 21,6 solus N, si modo Scheil recte papyri lectionem φάσεις testatur, veram lectionem φύσεις servavit. De codice N

Excerpta codicis Palatini, quae Maximilianus Treu nobiscum communicavit (cf. vol. I p. LIX), quae quidem ad huius voluminis libros pertinent, omnia cum apparatu meo contuli, sed non adnotavi nisi ubi aliquid novi et boni servaverunt. recepi igitur ex eis p. 212,17 ὡς, quod codices omittunt. p. 240,9 περίκλυτρν recepissem, si alibi apud Philonem legeretur. p. 212,14. 19 Palatinus codicis M lectiones comprobat. attuli eum etiam ad p. 214,5—9, etsi vix recte lin. 9 εἴληχε De codice Palatino 129

tradit. atque etiam ea spes me fefellit fore ut excerptis libri II *de somniis* interdum adiuvarer. fere enim congruit Pal. cum A, certe numquam meliorem lectionem praebet. quod enim p. 275,25. 26 ἰλυσπώμενος (εἰλησπόμενος A) tradit, vix numerandum est. liber, ex quo flosculi rhetorici Palatini codicis excerpti sunt, ex eodem archetypo fluxit atque A. quod cum eo probatur, quod lectiones fere cum A vel M congruunt, tum conspectu librorum, quos excerpsit. nullus enim Philonis liber notus est excerptori, qui non inveniatur etiam in A, nonnulli libri quos A habet omissi sunt, ordo librorum paululum immutatus est.

De Darmstadiensi codice

Vel minoris pretii sunt excerpta codicis *Darmstadiensis* 2773, variis manibus saec. XIV exeunte vel XV ineunte scripti, de quo nuper accuratissime Ludovicus Voltz et Guilelmus Croenert egerunt[1]. qua ex dissertatione cum didicissem, quibus locis Philonei loci afferrentur, ab Erwino Preuschen amico petivi, ut nonnulla meum in usum describeret. quae mecum communicavit, hic propono, ut appareat, pauca quae restant neglegi posse: fol. 26ʳ ὅτι τοὺς βατράχους, οἷς Αἴγυπτος ἐπλήγη τὰς δευτέρας πληγὰς ὑπὸ Μωυσέος, καὶ φρύνους ὁ Φίλων καλεῖ. βλαπτικὸν εἶδος τί βατράχων οὗτοι δοκοῦσιν εἶναι (cf. de *vita Mosis* lib. I, vol. II p. 97,17 Mang.). — ib. Φίλ' ἀναπεπταμένοις ὠσὶ τοῦ πάππου μυρίας διαβολὰς ἐπήντλουν (ib. II 88,4.5 Mang.). — fol. 30ʳ (= fol. 162ʳ) Φίλων: ἃ Μωυσῆς λαβὼν καὶ τὴν εὐσέβειαν τῶν φερόντων ἄγαμος (leg. ἀγάμενος) ἀνατίθησιν ἐν τῇ καθιερωμένῃ σκηνῇ (ibid. II 131,15—17 M.). — fol. 112ʳ ἰδέαι, ὅτι εἰδοποιοῦσι καὶ περατοῦσι τὰ ἄπειρα καὶ παρορίζουσι τὰ ἀόριστα, τύποι ὅτι ἕκαστα τυποῦσι καὶ σχηματίζουσιν. οὕτω Φίλων (*de monarchia* lib. I, II 219, 6—9 M.). — fol. 207ʳ ἡ δὲ μονὴ τῶν τοῦ κόσμου μερῶν ἑστῶσα πάντως ἑστία πρὸς τῶν πάλαι εὐθυβόλως ὠνόμασται (in mg. Φίλ, *de Cherubim* § 26). — fol. 316ᵛ ὅτι δὲ τὸ γάμφος (γῆς ἄχθος?) γράφει (γρ codex) ὅμ' ρ (i. e. Ὅμηρος) ὁ Φίλων λέγει οὕτως, quod referendum videtur ad librum II *de monarchia*, II 224,13. 14 M. ἄχθος δ', ὡς οἱ ποιηταί φασι, γῆς. — fol. 326ᵛ ἐπίνοια ἡ ἐπὶ τῇ προλαβούσῃ ἐννοίᾳ γνῶσις· ὅθεν ἐπινοίας τὰς ἀλληγορίας ὁ Φίλων φησίν. — fol. 335ᵛ Φί: παρευημερῶ ὡς παρευδοκιμῶ. — τὸν ἐπὶ τοῖς θνητοῖς ἵμερον παρευημεροῦντος ἔρωτος οὐρανίου (*de*

[1]) Centralblatt für Bibliothekswesen XIV 1897 p. 537—571.

*Abrahamo*, II 11,18. 19 Mang.). ἀγώγως τε καὶ δυσαποσπάστως, ὁλκὸν ἔχον δύναμιν (ib. lin. 24. 25). ἢ δι' ἔρωτα παιδείας ὁλκοὺς ἔχοντες δυνάμεις (ib. lin. 3. 4). — fol. 336ᵛ Φ': ὁ γὰρ μὴ μέλλων θύειν εὐαγῶς οὐκ ἂν ὑπομεῖναι πατρίδα καὶ φίλους καὶ συγγενεῖς ἀπολιπὼν ξενιτεύει (*de monarchia* lib. II, II 223,8—11 Mang.).

Clemens Alexandrinus prae ceteris librum *de congressu eruditionis gratia* exhausit. eo auctore emendari potuit p. 89,14 γῆς (cf. etiam ad p. 89,20), alibi in variis lectionibus recte aestimandis adiuvabamur; v. adnotata ad p. 89,18 (φυλάξεσθε Clem. M). 92,12. 97,13. 104,9. — cum ceteris huius voluminis libris rarius excerpta Philonea comparare licebat (v. ad p. 8,9. 39,1. 144,3. 254,22.) Origenis sententiae ex Philone haustae, quas saepius attulimus, ad emendandum textum vix quicquam conferunt. De Clemente Alexandrino

In hoc volumine iam adhibere licuit egregiam Ambrosii editionem, cuius duo adhuc volumina C. Schenkl edidit[1]). is et in adnotatione diligenter collegit locos Philoneos et in praefatione de ea ratione, qua compilavit Philonem Ambrosius, disputavit[2]). In ea re consulto ab editore Vindobonensi discessimus, quod interpretationes nominum hebraicorum Philoni et scriptoribus christianis communes non adnotavimus. quae cum saepius repetantur a Philone, inveniantur etiam apud alios praeter Ambrosium auctores ecclesiasticos, adhuc plane incertum est, quem quisque posteriorum fontem adierit, Philonem an Origenem an onomasticum quoddam. et si quis videatur Philonem legisse, fere dubium est, quem potissimum eorum locorum, quibus eadem interpretatio invenitur, respexerit. haec igitur tota materies melius ita tractabitur, ut et ex auctoribus ecclesiasticis et ex codicibus — in quibus ipse non pauca onomastica Lagardio ignota inveni, de aliis Krumbacherus amicus me certiorem fecit — quidquid traditum est de interpretationibus nominum colligatur et sic opus utilissimum a Lagardio incohatum consummetur. — praeter paucos aliorum librorum locos (cf. adnotata ad De Ambrosio

---

[1]) *S. Ambrosii opera pars I fasc. I. II. pars II. Corpus scriptorum eccl. lat.* Vindobonae 1896, 1897.

[2]) cf. pars I fasc. II p. XV. XXI sqq. XXV sqq. pars II p. XVI sqq. cf. etiam *E. Krell, Philo* περὶ τοῦ πάντα σπουδαῖον εἶναι ἐλεύθερον, *Die Echtheitsfrage.* Marburg 1896 p. 4.5.

p. 42,1. 169,2. 170,14. 205,21. 233,5. 247,25. 289,17) ad librum *de fuga et inventione* praecipue Ambrosii librum *de fuga saeculi* adhibuimus, de quo hoc iudicium C. Schenkl fert[1]): *argumentum et materiam ex Philonis libro de profugis sumpsit remque ita tractavit, ut quae ex exemplo sibi proposito recepit locis aliquot ad verbum exprimeret, multo saepius suis verbis explicaret.* et similiter hoc Philoneo libro usus est in epistulis 8. 27. 67. excerpta pauca ex aliis Ambrosii libris deprompta comparare licebat. p. 42,17 Ambrosius papyri lectionem ἄλλων confirmat, 130,10 ad supplendam codicum lacunam aliquid utilitatis praebet, 131,5 certe μεγάλου legit — scribit enim *bonum illud summum* —, quod coniectura Mangeii restitutum est. 113,6 probabiliter ex eo καὶ πλούσιαι additur, quod oppositio membrorum postulare videtur, 138,11 recte ὕλη, 138,13 ἰδοὺ pro ἀλλά, 140,2 ἀρετῆς legisse videtur. 42,18. 19 τούτοις ἐπιχεῖ τοῖς κρατῆρσιν ὁ ἱερὸς λόγος τοῦ αἵματος genetivum partitivum comprobare videtur, cum scribit: *in istos crateres verbum illud . . . . . effundit sanguinis sui partes.* coniectura igitur ⟨τὸ ἥμισυ⟩ τοῦ αἵματος, quam L. Cohn commendat, necessaria non est. 128,7 certe λαβόντας legit, non λαβόντι, quod temere Mangey coniecit. ceterum interdum tam incommode Philonis verba vertit, ut nisi comparato Philoneo exemplari intellegi non possit (v. e. gr. p. 141,1. 2), interdum ne intellexit quidem, velut 138,18 ἐποχὴ περὶ ὧν πάντως οὐκ εἰσι πίστεις, ubi quod haec non intellexit, paulo ante pro verbis ἡσυχία *sapientiam* posuit. neque enim, qua saepe utitur libertate vel verborum ambage, necesse est statuere eum ἡ σοφία in suo codice invenisse.

De Ioanne Lydo

Excerptum Ioannis Lydi ad p. 237,20—238,5 adhibitum, ut fortasse multum valet ad recte aestimandos alios locos, quibus dubium est Philonem an alium fontem adierit (v. vol. I p. LXX), ita nihil ad verba Philonis emendenda confert. ne lectionem quidem μεταβάλλοντος, quae speciosa videri potest, p. 238, 1—3 μηδενὸς ἐν ὁμοίῳ πεφυκότος μένειν τῶν παρ' ἡμῖν, ἀλλὰ παντοίας μεταβαλλόντων τροπάς recepi, quia ex pronomine οὐδείς in opposito membro facile quamlibet formam pronominis πᾶς subaudiri posse exempla multorum scriptorum docent, neque difficilius πάντων quam παντὸς subaudiveris.

De Sacris Parallelis

Ioannis Damasceni Sacra vel florilegia quae inde pendent sola

(1 pars II p. XVII.

genuinas lectiones servaverunt p. 143,24 ἔσθ' ὅτε et ἀλλ' (om. codd.). 143,25 ἀσκεῖται. 157,13 θεῖοι et καὶ ἀσώματον (om. codd.). 157,15 ἀγαθὸν (om. codd.). 157,18 ὅμως. 158,4 τίς γάρ. 158,7. 8 τῷ προφήτῃ. 158,10 ἀμοιρῆσαι. 158,10 τῶν (om. codd.). 158,11 δίδωσι et τοιούτῳ. 158,12 τελειότητος. 158,13 Ἰακώβ. 158,13 μου (om. codd.). 158,14 ἂν (om. codd.). 158,17 θνητὴν. 158,20 τὸ ὄνομα αὐτοῦ κύριον. 158,20. 159,1 ὤφθην—αὐτῶν καὶ (om. codd.). 159,2 κύριον (om. codd.). 159,8 σοι (om. codd.). 159,12 πρεσβύτατον. 159,12 καὶ (om. codd.). 159,13 καὶ ἀκατάληπτος (ἀκατάληπτον scripsi, om. codd.). 163,15 εὐαρέστει et ἐμοὶ μόνῳ. 163,19 εὐαρεστήσεις. 164,16 γενόμενον. 164,17 μεθορίου· συνόλως τε. 164,18 γάρ. 165,20 ἀνατροπαὶ. 166,1 ἐντελής. 185,12 εἶπεν ὁ. 185,20 εἰσηγουμένοις ἀπεχθάνονται. 194,14 χαρίσασθαι. 195,13 εὐχάριστος (om. codd.). 195,17 θειότατον. 198,10 ἀνατρέποντα. 198,11 ἀτόπων. 237,8 τῇ τοῦ βίου (om. codd.). 242,22 οὕτω (om. codd.). fortasse etiam p. 163,1 195,14 ex D vera lectio recuperari potest. et p. 141,17 πᾶν τὸ ὑπὲρ δύναμιν ἐπιτάσει σφοδρότητος ἀπορρήττεται multo aptius videtur διαρρήγνυται (vel διαρρήττεται[1]), quod propius videtur accedere ad corruptelam quae exstat in D. excerptis D non raro auctoritatem papyri confirmari iam p. VIII vidimus. Ex florilegio Laurentiano unum fragmentum libri II de *somniis* p. 282,8 laudatur. unde receptum est ὑπεσκελίσθη (ὑποσκελισθείς A).

Catenarum unum modo fragmentum in Barberino IV 56 traditum adhibui p. 29,1—12, si modo catenae hoc fragmentum dicendum est. videtur enim ut multa alia excerpta Philonea huius codicis veteri catenae ex codice Philoneo adiectum esse. unde, ni fallor, optime illud explicatur, quod p. 29,8 habet vitium in G H P obvium (cf. etiam 29,11 et titulum). adhibui Barberinum saepius in libro *Neu entdeckte Fragmente*, accuratius de eo in Prolegomenis et voluminis IV et Aristeae epistulae ad Philocratem editionis quam paro disseretur. de Nicetae Serrani ad Lucam catenae, quam tetigi vol. II p. XV, codicibus Romanis nuper diligentissime egit Iosephus Sickelberger[2]. catenae in Proverbia, cuius unum codicem Reginensem 77 vol. II p. 77. 78 adhibui, codices plures enumerat Achelis[3], in nonnullis codicibus Ὑπόθεσις εἰς τὰς παροιμίας De catenis

[1] cf. quae Cohn de forma πήττειν collegit in Hermae vol. XXXII p. 143.
[2] *Römische Quartalschrift* 1898 p. 55—84. cf. Achelis p. 203—207.
[3] *Hippolytstudien*, Lipsiae 1897 p. 145 ss.

τοῦ Σολομῶντος. ἐξήγησις διαφόρων ὑπὸ Πολυχρονίου συναχθεῖσα inscriptam esse docet. hunc auctorem diaconum Polychronium, cuius aliae catenae servatae sunt, esse et opus suum ex anonymi catena in Proverbia, quae Vaticano 1802 traditur, et Procopii in eundem librum catena conflasse censet. — iam restat, ut singulis libris pauca praemittamus.

QVIS RERVM DIVINARVM HERES SIT. codices O A B G H P, qui in duas classes, deteriorem O A B, meliorem G H P discedunt. posterioris maius pretium comprobatur papyro, quacum G H P, inprimis G qui commune archetypum accuratius quam H P expressit, multo saepius consentiunt quam O A B; ceterum cf. quae p. III ss. exposita sunt. titulum περὶ τοῦ τίς ὁ τῶν θείων ἐστὶν κληρονόμος ἢ (καὶ cum codd. leg.)[1]) περὶ τῆς εἰς τὰ ἴσα καὶ ἐναντία τομῆς praebent Pap. Eus., cum falso codd. ἴσα pro εἰς τὰ ἴσα tradant[2]), O H P καὶ περὶ — τομῆς omittant (habet H in subscriptione). potest placere, quod codd. habent πραγμάτων pro ἐστιν. illud enim in ipso libro semper additur; v. § 1 νυνὶ δὲ πρόκειται ζητεῖν, τίς ὁ τῶν θείων πραγμάτων κληρονόμος ἐστίν. 63. 66. 69. 76. 133. at alibi, velut p. 178,12, τὰ θεῖα omissa voce πράγματα legitur, et accedit quod excerpta D semper τίς (ἐστιν add. p. 3,4) ὁ τῶν θείων κληρονόμος laudant; v. adnotata ad p. 2,10. 3,4. 22,15. 24,9. 24,11. pleniorem titulum excerpta D praebent p. 14,1 τίς ὁ τῶν θείων ἐστὶ κληρονόμος καὶ εἰς τὰ ἴσα καὶ ἐναντία τομῆς[3]). et cur non multum tribuendum sit titulo, qui traditur in Barberino p. 29,1 ἐκ τοῦ τίς ὁ τῶν θείων κληρονόμος πραγμάτων, iam p. XV significavi. — inter hunc librum et eum qui praecedit quaedam interciderunt. nam ea verba, quibus initio nostri libri ea quae antea tractaverat complectitur ἐν μὲν τῇ πρὸ ταύτης συντάξει τὰ περὶ μισθῶν ὡς ἐνῆν ἐπ' ἀκριβείας διεξήλθομεν, neque in argumentum postremae libri *de migratione Abrahami* partis neque in totum hunc librum cadunt. atque cum veri dissimile sit verba ὁ μισθός σου πολὺς ἔσται σφόδρα (Gen.

[1]) haec enim est altera libri pars incipiens a § 133. quamquam ne hoc quidem titulo § 237—311 contineri videntur, tamen vel Philo vel is qui hos titulos invenit, eas complecti posse sibi videbatur, quia in fine libri § 312—314 haec divisionum ratio repetitur. — postremam huius libri partem inde a p. 53 in G meum in usum Ziebarth contulit.

[2]) similis corruptela § 133 in codd. praeter A invenitur et § 175, ubi εἰς addidit Mangey in Pap et codd. omissum. cf. etiam § 207.

[3]) p. 5,13 D[R] falso titulo ἐκ τῶν μετονομαζομένων, p. 60,1 D[H] ἐκ τοῦ περὶ τῶν μετονομαζομένων, p. 3,4 D[R] ἐκ τοῦ περὶ κοσμοποιίας utitur.

15,1), quae in dissertatione omissa tractata esse ex nostri libri § 2 efficitur, statim post interpretationem Gen. 12,1—6, quae libro *de migratione Abrahami* continetur, explicata esse, non finis huius libri, sed plenus liber intercidisse videtur, quem Massebieau[1]) in commentandis Gen. 12,7—15,2 versatum esse conicit. librum *quis rerum divinarum heres sit* excipit liber

DE CONGRESSV ERVDITIONIS GRATIA. codices M A H G F, quorum M A H[2]) meliorem, G F deteriorem classem, quae tamen ipsa quoque non raro veri testis est, efficiunt. titulum περὶ τῆς πρὸς τὰ προπαιδεύματα συνόδου Eusebius et codices testantur, nisi quod Eusebius παιδεύματα scripsit (quod et multi huius libri loci et eius qui sequitur § 2 refutat), H G F falso (cf. § 12. 63 al.) εἰς pro πρὸς habent. — excepto uno Antonii Melissae loco (v. ad p. 106,2) numquam excerpta D nostrum librum laudant.

DE FUGA ET INVENTIONE codices G H, qui ita discedunt, ut duarum classium instar sint. saepius G, rarius H veram lectionem praebet. verum titulum περὶ φυγῆς καὶ εὑρέσεως habet G, H falso περὶ φυγάδων inscribit. quae inscriptio quamquam § 2 ἑξῆς τὸν περὶ φυγάδων ἀναγράψομεν τόπον. 119 aliquo modo commendari videtur, tamen § 53 λελάληκε δ' ἀκριβέστερον περὶ φυγῆς dicit et alteram partem titulo περὶ εὑρέσεως contineri ex § 120. 177 apparet. cum igitur necessario ad περὶ φυγάδων addendum esset περὶ εὑρέσεως, dubium non est, quin concinnior titulus περὶ φυγῆς καὶ εὑρέσεως praeferendus sit. atque Eusebio hunc restituendum esse e nonnullis codicibus, non ipsi corruptelam tribuendam esse verisimile videtur[3]). etiam Ambrosius, ut libro suo *de fuga saeculi* inscriberet, exemplo Philonis motus esse videtur. atque hunc verum titulum etiam excerpta D exhibent p. 141,16. 143,23. 164,4. — finem libri continentem interpretationem Gen. 16,15. 16 intercidisse suspicatur Massebieau.

DE MVTATIONE NOMINVM. codices A B. περὶ τῶν μετονομαζομένων καὶ ὧν ἕνεκα μετονομάζονται codices et Eusebius inscribunt. priorem

[1]) *Le classement des oeuvres de Philon* p. 27. 28.

[2]) interdum H cum G F congruit: 74,7. 76,12. 15. 78,16. 79,12. 86,15. 89,11. 15. 92,3. 95,11. 106,6. 107,22. interdum solus genuinam lectionem servavit: 76,16. 85,17. 104,6. 18. 106,15.

[3]) v. vol. I p. C. CII et Schwegleri ad Eus. adnotationem.

modo tituli partem περὶ τῶν μετονομαζομένων exhibent excerpta D p. 157,12. 158,2. 160,24. 163,14. 164,15. 165,14. 166,19. 185,10. 194,13. 198,6; cf. etiam titulos paululum decurtatos 163,4. 185,12. 188,12. 193,1. falso 158,7 $D^C$ laudat ἐκ τοῦ περὶ τῶν ἐν γενέσει ζητημάτων, 162,27 $D^R$ περὶ γενέσεως Ἄβελ. — multo difficilius quam in superiore libro, qui ipse quoque duobus codicibus servatus est, in hoc est editoris munus, cum A B ad eandem classem pertineant. — etiam in Palatino 311 (v. Proleg. vol. I p. XIV) hic liber ultimo loco traditus est, cum desit in eiusdem classis codicibus l. c. p. XIV sq. enumeratis. initium libri ipse contuli, exordium meum in usum I. Graeven comparavit. et communia habet cum A B vitia haec: p. 157,18 ὁμοίως (ὅμως D). 158,11 ἐν (ἂν D). 200,31 τὸ om. (add. B²). 201,2 ὄσφρονται (ὀσφραίνονται scripsi). 201,7 ἐφιέμενα (ἀφειμένα scripsi). accuratius vero cum A consentit, quocum tradit 156,7 ἑτέρας ἀπάρχονται (ἀπάρχονται ἑτέρας B). 157,12 φασὶν αὐτὸν (αὐτόν φασιν B). 202,9 καὶ (καὶ ἢ B). 202,21 σεληνιακαῖς ἢ ἡλιακαῖς (ἡλιακαῖς ἢ σεληνιακαῖς B, cf. Addenda). fortuito igitur factum esse potest, ut p. 156,2 σου (σὸς A). 201,1 μάθης (μάθοις A) cum B praebeat. porro cum neque proprii quicquam et boni Palatinus in ea parte, quae mihi innotuit, habeat et scateat suis permultis maculis, dubium non est, quin recte eum spreverimus. ex codice classis A nostrum librum postea codici Palatino additum esse patet nec veri dissimile est eum ex eo codice, qui ipse ex A fluxerit, descriptum esse. nullum fructum ex collatione aliorum librorum redundaturum esse etiam inde didici, quod quae p. 157,11 Mangeio auctore ex Oxon. Coll. Novi 143 et Coisliniano, p. 159,10 171,4 ex Coisliniano recepi (cf. etiam adnotationes ad 174,19. 200,20), ita comparata sunt, ut facile coniectura inveniri possent. et in Coisliniano, quae est eius vilitas descripti ex Vaticano 380, hoc necessario statuendum est, nisi forte Mangey in notis erravit. neque igitur quod Ottobonianum 74 (cf. vol. I p. VIII), recentissimum et ad classem A pertinentem, ne inspiciendum quidem curavi, quisquam vituperabit nisi qui inter eos se numerari volet, qui ita suo ingenio diffidunt, ut plus sperent utilitatis se scriptoribus adlaturos esse expiscantes e vilissimis codicibus bonas quae videntur lectiones vel coniecturas quam sua arte vera invenientes.

Primus hunc librum, qui in editione principe deest, ex A edidit

Hoeschel (cf. vol. I p. LXXII. LXXIII), leviora vitia fere sustulit, in gravioribus corruptelis emendandis Mangeio minus acutum et felicem se praestitit. manum correctricem recentissimam, quae margini A nonnulla adiecit, Hoeschelii esse inde quod eaedem coniecturae in Hoeschelii editione inveniuntur recte Cohn conclusit et confirmant adnotata ad p. 164,17. 189,23. quae cum ita sint, in libro *de somniis* II, in quo multo plures notae margini aspersae sunt, eas commemorare nolui, quippe quae in editione Hoeschelii redeant.

DE SOMNIIS LIBER I. codices M A G F H P. quorum memoria in duas partes discedit, quarum unam M A (P²), alteram eamque paulo deteriorem G F H P efficiunt. cum D p. 206,13 breviorem titulum ἐκ τοῦ περὶ ὀνείρων praebeat[1]), codices huic libro inscribunt περὶ τοῦ θεοπέμπτους εἶναι τοὺς ὀνείρους, item A sequenti libro. Eusebius testatur Philonem scripsisse περὶ τοῦ κατὰ Μωυσέα (ab Eus. additum?) θεοπέμπτους εἶναι τοὺς ὀνείρους πρῶτον, δεύτερον, τρίτον, τέταρτον, πέμπτον. atque ipse Philo initio huius libri (cf. libri II § 1) profitetur se in libro qui praecedebat ea somnia tractasse, quae ab ipso deo mittuntur[2]). iam in nostro libro disserit de eis quibus mens instinctu divino rapta futura praevidere videatur, in altero, qui servatus est, de eis quae ipse per sese animus videat. quae somnia ad hoc postremum genus pertineant, ipse § 5 dicit et eadem omnia hoc libro explicat[3]). iam cum horum trium librorum ordinem noverimus, sequitur, ut duos qui restant aut ante hos aut post hos ponamus. atque cum in explicandis locis S. S. versati esse non possint — quae enim narrantur in S. S. somnia omnia argumento trium illorum librorum continentur, alia somniantium exempla desunt —, acutissime Massebieau coniecit et duos reliquos libros in philosophorum de somniis sententiis exponendis versatos et ante ceteros tres ponendos esse. qui ordo cum aptissimus est et natura rerum commendatur, tum inde confirmatur, quod etiam de aeternitate mundi et de ebrietate quaestiones ita Philo tractat, ut proficiscatur a philosophorum sententiis explicandis et diiudi-

---

[1]) 237,8 lemma Φίλωνος exstat (cf. 207,4). 242,21 lemma deest. 243,3 DL falso laudat ἐκ τῶν ἐν γενέσει ζητημάτων.

[2]) videntur esse somnia quae Abimelech Gen. 20,3—7 et Laban Gen. 31,24 vidisse narrantur; v. Massebieau, *Le classement des oeuvres de Philon* p. 30.

[3]) pauca enim de Pharaonis somnio in fine desunt.

candis, tum ad Mosis doctrinam transeat. et horum de somniis librorum iactura ideo potissimum deploranda videtur, quod integram Posidonii doctrinam ex eis disceremus (cf. adnotata ad p. 204,2).

Cum tertius, quem statuit Massebieau *de somniis* liber, a Gen. 20,3 profectus esse videatur, liber *de mutatione nominum* Gen. 17,1—22 explicet, magnam, quae inter hunc librum et libros *de somniis* hiat, lacunam ipsi Philoni tribuendam et Gen. 17,23—20,3 ab eo in interpretanda S. S. omissa esse negat Massebieau, partem lacunae fragmento *de deo* (Gen. 18,2), quod Armeniis codicibus servatum est, expleri censet. idem p. 31—33 post libros *de somniis* alios Philonei commentarii libros deperisse demonstrare conatus est.

DE SOMNIIS LIBER II. hic liber cum uno codice A servatus sit, post Hoeschelium et Mangeium in tollendis mendis et significandis supplendisque lacunis[1]) non inutile studium posuisse nobis videmur, ita tamen ut non pauca sagacioribus emendanda nos reliquisse, haud raro in tanta penuria codicum desperandum esse nobis persuaserimus. semel $D^K$ p. 299,4 ἐκ τοῦ περὶ τῶν ὀνείρων, semel Flor. Laur. p. 282,8. 9 laudat. aliud huius libri vestigium frustra quaesivimus. et antiquitus eum defuisse in corporibus Philoneis, felici autem casu a librario archetypi codicis A ascitum esse, inde probatur, quod ne libri quidem numerus traditur et ipse finis mutilatus est. ne Origenem quidem plus priore nostro libro legisse, haud scio an ex ea ratione, qua hunc librum affert (v. ad p. 234,1), efficiatur. cum aliorum Philonis librorum tum huius locos nonnullos feliciter emendavit Cotelerius in notis, quas Ecclesiae graecae monumentis suis adiecit[2]), quas emendationes fere iam Mangey in textum suum recepit vel in commentario probavit.

Scribebam Wilmersdorfii
m. Septembri a. h. s. LXXXXVIII.

P. Wendland.

---

[1]) Legentes monitos esse velim eis locis, ubi spatium vel numerum litterarum in A omissum non adnotavimus, in codice lacunae vestigium non esse, sed nos lacunam statuisse.

[2]) In indicibus Cotelerius locos Philoneos, quos data occasione tractavit, enumerat.

# ADDENDA ET CORRIGENDA.

Collationem quam fecit Chr. Fr. Matthaei codicis Petropolitani cum aliis multis libris eiusdem manu scriptis nunc servari in bibliotheca Academiae Petropolitanae ecclesiasticae (orthodoxae) certiorem me fecit N. Glubokowsky, professor Petropolitanus (v. vol. I p. XVII). est ms. no. 353 fol. 28 in 4°, cui inscriptum est: „Variae lectiones ex codice Petropolitano ad Philonem". cf. etiam Clossius in Seebode's Neues Archiv f. Philol. u. Paed. III 2 (1828) p. 31.

P 1 in apparatu ad titulum scrib.: τομῆς om. OHP, ad lin. 3. 4 scrib.: λογιου τοιουτου Pap
16,16 corr. πατρός"·
36,18 corr. ἐθέλουσιν (sic Pap).
48,16 in apparatu scrib.: ἕκαστον Pap codd.
60,6 in apparatu corr. πρόσωπον πρὸς πρόσωπον.
62,4 comma del.
82,13 μικρότατον vid. scrib.
92,13 corr. τρία.
95,8 δὲ ⟨δύο⟩ conicio.
101 in prima linea testimoniorum corr. 2—102,14.
111,1 ⟨τὸν⟩ αὐστηρὸν coni. Diels.
112,11 ἡγεμονικὰς ⟨οὐσίας⟩ nunc conicio (cf. § 165).
119,2—4 haec sunt verba *Hieronymi in Amos* cap. 2,9: fortitudo quoque eius quasi quercus arboris durissimae atque fortissimae. ex cuius vocabulo Philo, vir disertissimus Hebraeorum, Esau appellatum putat δρύϊνον, id est quercinum et roboreum; licet et Esau possit ποίημα, id est factura intellegi, ut ad mala opera referatur.
121,19 comma del.
124,15 corr. λόγῳ.
148,6 corr. τελειοῦσθαι; πάλιν, εἰ δεῖ.
150,3 corr. δ'.
155,1 corr. ἀμυνομένων.
158,9 corr. λέγεσθαι;
159,20 corr. δόγματος.
165,19 post ἀκόλαστον typothetae errore intercidit ἢ μὴ δειλόν.

166,22 corr. πίπτει.

167,31—168,3 cf. *Hieronymi quaest. in Gen.* p. 26. 27 *Lag.*, *inprimis:* nec mirandum, quare, cum apud Graecos et nos A littera videatur addita, nos he litteram hebraeam additam dixerimus ....‘. errant qui putant primum Saram per unum R scriptam fuisse et postea ei alterum R additum ....

181,26 corr. ᾖ.

188,21—24 cf. *Elias Cret. comm. in Gregor. Naz.* (Migne XXXVI col. 912): κατὰ τὸν ‘Εβραῖον Φίλωνα οὐκ ἔστιν ἀρτίπους ἡ ἐν θνητῷ τῷ σώματι—καὶ ἐπέσκαζε. ὁ δὲ μηρὸς γενέσεως σύμβολον, ἐπεὶ τὸ παιδοποιὸν μόριον περὶ τὸν μηρόν ἐστιν.

197,16 e LXX nunc ἀπ᾽ αὐτῆς pro ἀπ᾽ αὐτοῦ conicio, quia de somn. II § 71 ἀπὸ τῆς σεμιδάλεως scribit.

200,17 corr. Ἀβραάμ·

202,21 in apparatu addendum est ἡλιακαῖς ἢ σεληνιακαῖς B

207,2 praeter Aristonem conferendum erat Theophrasti apophthegma apud *Cic. Tusc. III 69* (cf. Laert. Diog. V 40. 41): Theophrastus moriens accusasse naturam dicitur, quod ... hominibus, quorum maxime interfuisset, tam exiguam vitam dedisset .., querebatur igitur se tum, cum illa videre coepisset, exstingui.

225,20 comma del.

272,12 ἄλλην conicio.

290,1—8 compilavit Clem. Protr. § 69 ὁ δὲ ἱερὸς ὄντως Μωυσῆς „οὐκ ἔσται“, φησίν (confirmat locus biblicus additamenta Hoeschelii, sed additur lin. 5 ἀλλ᾽ ἢ ante στάθμιον) ... στάθμιον καὶ μέτρον καὶ ἀριθμὸν τῶν ὅλων ὑπολαμβάνων τὸν θεόν ... τὸ δὲ μόνον δίκαιον μέτρον ὁ μόνος ὄντως θεός ... μετρεῖται (μετρεῖ τε?) πάντα καὶ σταθμᾶται, οἱονεὶ τρυτάνῃ τῇ δικαιοσύνῃ τὴν τῶν ὅλων ἀρρεπῶς περιλαμβάνων καὶ ἀνέχων φύσιν.

accentuum pauca vitia omisi.

# INDEX SIGLORUM

Pap = papyrus
M = Laurentianus X 20
G = Vaticano-Palatinus gr. 248
F = Laurentianus LXXXV 10
A = Monacensis gr. 459
B = Venetus gr. 41
O = Laur. X 23
H = Venetus gr. 40
P = Petropolitanus XX Aa 1
L = Parisinus gr. 433

N = Neapolitanus II C 32 (excerpta)
D = Sacra Parallela
DC = Coislianus 276
DK = Vaticanus gr. 1553
DP = Parisinus gr. 923
DM = Venetus gr. 138
DR = Rupefucaldinus (Berolinensis Phill. 1450)
DL = Laurentianus VIII 22
DV = Vaticanus gr. 1236
DH = Hierosolymitanus 15
Turn. = Turnebus
Mang. = Mangey
Hoesch. = Hoeschel
v = lectio vulgata

# ΦΙΛΩΝΟΣ

## ΠΕΡΙ ΤΟΥ ΤΙΣ Ο ΤΩΝ ΘΕΙΩΝ ΕΣΤΙΝ ΚΛΗΡΟΝΟΜΟΣ ΚΑΙ ΠΕΡΙ ΤΗΣ ΕΙΣ ΤΑ ΙΣΑ ΚΑΙ ΕΝΑΝΤΙΑ ΤΟΜΗΣ

---

p.473 M. (1.) Ἐν μὲν τῇ πρὸ ταύτης συντάξει τὰ περὶ μισθῶν ὡς ἐνῆν 1
ἐπ' ἀκριβείας διεξήλθομεν· νυνὶ δὲ πρόκειται ζητεῖν, τίς ὁ τῶν θείων
πραγμάτων κληρονόμος ἐστίν. ἐπειδὴ γὰρ θεσπισθέντος ὁ σοφὸς ἤκουσε 2
λογίου τοιούτου· „ὁ μισθός σου πολὺς ἔσται σφόδρα", πυνθάνεται
φάσκων· „δέσποτα, τί μοι δώσεις; ἐγὼ δὲ ἀπολύομαι ἄτεκνος. ὁ δὲ
υἱὸς Μασὲκ τῆς οἰκογενοῦς μου οὗτος Δαμασκὸς Ἐλιέζερ", καὶ πάλιν
„ἐπειδὴ ἐμοὶ οὐκ ἔδωκας σπέρμα, ὁ δὲ οἰκογενής μου κληρονομήσει με"
(Gen. 15, 1—3). καίτοι τίς οὐκ ἂν τὸ τοῦ χρησμῳδοῦντος ἀξίωμα 3
καὶ μέγεθος καταπλαγεὶς ἄφωνος καὶ ἀχανὴς ἐγένετο, καὶ εἰ μὴ διὰ
δέος, ἀλλά τοι τῷ περιχαρεῖ; ἐπιστομίζουσι γὰρ ὡς αἱ σφοδραὶ λῦπαι,
καὶ αἱ ὑπερβάλλουσαι χαραί. διὸ καὶ Μωυσῆς ἰσχνόφωνος ὁμολογεῖ 4
καὶ βραδύγλωσσος γενέσθαι, ἀφ' οὗ ἤρξατο ὁ θεὸς αὐτῷ διαλέγεσθαι

---

φιλωνος Pap: φιλωνος ἰουδαίου AB, τοῦ αὐτοῦ P, om. OGH  ἐστιν Pap Eus: πραγμάτων codd.  καὶ περὶ — τομῆς om. OP  καὶ] ἢ Pap Eus  εἰς τὰ ἴσα Pap Eus: ἴσα codd.  1 συνταξει Pap: βίβλῳ codd.  τα περι Pap: περὶ codd.  2 νυν Pap  ζητεῖν om. Pap  3. 4 θεσπισθεντος (ὁ add. ex codd.) σοφος ηχουσε λογιου Pap: θεσπισθέντος λογίου τοιούτου ὁ σοφὸς ἤκουσεν codd.  ἤκουεν A  4 εσται Pap: om. codd.  5 δεσποτα τι μοι Pap: τί μοι, δέσποτα codd.  απολυομαι Pap: ἀπελεύσομαι codd.  6 Μασεκ Pap (Mang.): μου ὁ ἐκ codd.  οικογενους Pap: ἱκέτιδος O, οἰκέτιδος ceteri  μου om. A  κληρονομήσει (κληρονομήσειέ O) με add. post μου codd., om. Pap  7 δὲ om. Pap (probat Cohn)  9 εἰ καὶ OAB  10 αἱ om. OAB  11 αἱ Pap N: om. ceteri  Μωσῆς codd. N  11. 12 καὶ βραδύγλωσσος ὁμολογεῖ transpos. codd. N

---

8—2,4 καίτοι — φιλοσοφοῦντα N fol. 165r.

(Exod. 4, 10). καὶ ἀψευδής ἐστιν ἡ τοῦ προφήτου μαρτυρία· τότε γὰρ
εἰκὸς τὸ μὲν φωνητήριον ὄργανον ἐπέχεσθαι, τὸν δὲ κατὰ διάνοιαν
λόγον ἀρθρούμενον ἀνυποτάκτῳ φορᾷ χρῆσθαι, νοημάτων οὐ ῥημάτων
ἐπάλληλα κάλλη μετ' εὐτρόχου καὶ ὑψηγόρου δυνάμεως φιλοσοφοῦντα.
5 θαυμάσιοι δὲ ἀρεταὶ ἥ τε εὐτολμία καὶ ἡ ἐν τῷ δέοντι παρρησία πρὸς
τοὺς ἀμείνους, ὡς καὶ τὸ κωμικὸν ἀψευδῶς μᾶλλον ἢ κωμικῶς εἰρῆσθαι
δοκεῖν

ἂν πάνθ' ὁ δοῦλος ἡσυχάζειν μανθάνῃ,
πονηρὸς ἔσται· μεταδίδου παρρησίας.

6 (2). πότε οὖν ἄγει παρρησίαν οἰκέτης πρὸς δεσπότην; ἆρ' οὐχ ὅταν
ἠδικηκότι μὲν ἑαυτῷ μηδὲν | συνειδῇ, πάντα δ' ὑπὲρ τοῦ κεκτημένου p. 474 M
7 καὶ λέγοντι καὶ πράττοντι; πότε οὖν ἄξιον καὶ τὸν τοῦ θεοῦ δοῦλον
ἐλευθεροστομεῖν πρὸς τὸν ἑαυτοῦ τε καὶ τοῦ παντὸς ἡγεμόνα καὶ
δεσπότην ἢ ὅταν ἁμαρτημάτων καθαρεύῃ καὶ τὸ φιλοδέσποτον ἐκ τοῦ
συνειδότος κρίνῃ, πλείονι χαρᾷ χρώμενος ἐπὶ τῷ θεράπων θεοῦ γενέσθαι, ἢ εἰ τοῦ παντὸς ἀνθρώπων γένους ἐβασίλευσε τὸ γῆς ὁμοῦ καὶ
8 θαλάττης ἀναψάμενος ἀκονιτὶ κράτος; τὰς δὲ φιλοδεσπότους θεραπείας
καὶ λειτουργίας τοῦ Ἀβραὰμ διασυνίστησιν ἀκροτελεύτιον λογίου τοῦ
χρησθέντος αὐτοῦ τῷ υἱεῖ· „δώσω σοι καὶ τῷ σπέρματί σου πᾶσαν τὴν
γῆν ταύτην, καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη
τῆς γῆς, ἀνθ' ὧν ὑπήκουσεν Ἀβραὰμ ὁ πατήρ σου τῆς ἐμῆς φωνῆς,

---

1 εστι Pap 3 ἀθροούμενον A 4 ἐπάλληλα] ἀλλ' ἐπάλληλα OAB
5 αἱ ἀρεταὶ ABH[1]P τωι Pap: om. codd. 7 δοκει Pap 8 ἡσυχάζῃ
P, ἡσυχάζων v μανθάνει P 9 μεταδιδου Pap: μεταδιδοὺς GHP, μὴ μεταδιδοὺς OAB 10 οὐχ] οὖν οὐχ OAB 11 ἠδικηκότα L μηδὲν] οὐδὲν AB
συνήδει G[2], συνίδῃ HP δὲ codd. 12 καὶ πράττοντι om. D[L]
καὶ om. D[L] τοῦ θεοῦ codd. D: θεου Pap 13 τε Pap D: om. codd.
13. 14 δεσπότην καὶ ἡγεμόνα D 14 post ἁμαρτημάτων add. τε Pap καχαθαρευη
Pap, καθαρεύοι D ἐκ τοῦ] αὐτοῦ D[L] 15. 16 κρίνεσθαι θεοῦ (om. πλείονι —
γενέσθαι) G θεου γενεσθαι Pap: γενέσθαι θεοῦ codd. D 16 ἢ εἰ] ἧς ἡ
G[1]P(H[1]), ἧς ὁ G[2] ἐβασίλευσεν Pap D[L] τὸ om. OAB 17 θαλάσσης
OBHP ἀκονιτὶ P: ακονειτι Pap, ἀκονητὶ OGH, ἀπονητὶ AB φιλοδεσποτας Pap 17. 18 θεραπειας καὶ λειτουργιας Pap: λειτουργίας καὶ θεραπείας codd.

18 Ἀβραὰμ ABHP hic et saepius λόγον B, λο^γ' A 20 ενευλογηθησεται το
σπερματι Pap 21 ἐπήκουσεν OAB

---

8 Menander frg. 370 (Comicorum Atticorum fragm. ed. Kock III 107). 10—16 D[P]
fol. 265 (titulum non indicat Harris p. 91) D[L] fol. 121r Φίλωνος ἐκ τοῦ τίς ὁ τῶν
θείων κληρονόμος: πότε (τότε D[L]) ἄγει παρρησίαν — ἐβασίλευσε.

καὶ ἐφύλαξε τὰ προστάγματά μου καὶ τὰς ἐντολάς μου καὶ τὰ δικαιώματά
μου καὶ τὰ νόμιμά μου“ (Gen. 26, 3—5). μέγιστον δ' ἐγκώμιον οἰκέτου 9
μηδενὸς ὧν ἂν προστάξῃ ὁ δεσπότης ὀλιγωρεῖν, ἀόκνως δὲ καὶ φιλοπόνως
ὑπὲρ δύναμιν πάντα σπουδάζειν αἰσίῳ γνώμῃ κατορθοῦν. (3.) εἰσὶ μὲν οὖν, 10
οἷς ἀκούειν ἀλλ' οὐ λέγειν ἐμπρεπές, ἐφ' ὧν λέγεται „σιώπα καὶ ἄκουε“
(Deut. 27, 9), πάγκαλον παράγγελμα. θρασύτατον γὰρ καὶ λαλίστατον
ἀμαθία, ἧς πρῶτον μέν ἐστιν ἄκος ἡσυχία, δεύτερον δὲ προσοχὴ τῶν
ἄξιόν τι προφερομένων ἀκοῆς. μηδεὶς μέντοι νομισάτω τοῦτ' αὐτὸ 11
μόνον ἐμφαίνεσθαι διὰ τοῦ „σιώπα καὶ ἄκουε“, ἀλλὰ καὶ προτρέψασθαι
δυνατώτερον ἕτερον· οὐ γὰρ παραινεῖ μόνον γλώττῃ σιωπᾶν καὶ ὠσὶν
ἀκούειν, ἀλλὰ καὶ ψυχῇ ταῦτα παθεῖν ἀμφότερα. πολλοὶ γὰρ ἐπ' 12
ἀκρόασιν ἥκοντές τινος οὐκ ἐληλύθασι ταῖς διανοίαις, ἀλλ' ἔξω πλανῶνται
καὶ μυρία περὶ μυρίων ἑαυτοῖς διεξέρχονται, τὰ συγγενικά, τὰ ὀθνεῖα, τὰ
ἴδια, τὰ δημόσια, ὧν εἰκὸς ἦν ἐν τῷ παρόντι μὴ μεμνῆσθαι, πάνθ' ὡς
ἔπος εἰπεῖν ἑξῆς συναριθμούμενοι, καὶ διὰ τὸν ἐν ἑαυτοῖς πολὺν θροῦν ἀδυνατοῦσι τοῦ λέγοντος ἀκροᾶσθαι· λέγει γὰρ ἐκεῖνος ὥσπερ οὐκ ἐν ἀνθρώ-

---

1 εφυλαξεν Pap   1. 2 και τα δικαιωματα μου και τα νομιμα μου Pap: καὶ τοὺς νόμους μου (μου om. P) καὶ τὰς κρίσεις codd.   2 δὲ codd.   3 οἰκοδεσπότης D Anton.   δὲ om. A   4 αἰσίω Pap G Anton.: αἰσία HPD, αἰδεσίμω OAB   εισιν Pap   5 ἐμπρεπές Pap D: εὐπρεπές codd.   ἐφ' ὧν] ἀφ' ὧν $D_2^R$, ἄφρον $D^R$   post λέγεται add. παρὰ τοῦ νομοθέτου $D^R$ $D^H$   6 πᾶν καλὸν D   θρασυτατον γαρ και λαλιστατον Pap: θρασύτατον γὰρ καὶ ἀκαλλέστατον D, κάκιστον γὰρ καὶ θρασύτατον codd.   7 post ἀμαθία add. ἄριστον δ' ἡ εὐμάθεια OAB, mg. $P^2$   ἧς] ἡ D   ἐστιν] ἐστὶ λυσιτελέστατον D   ακος Pap (coni. Mang.): ἀκοῆς codd. D   8 ἀξίων $D^R$   προφερομένων ἀκοῆς scripsi: φερομενων ακοης Pap, προσφερομένων ἀκοῇ D, προσοχῆς προφερομένων B, ἀκοῆς (προσοχῆς A) προσφερομένων ceteri, ante ἀκοῆς ras. in H   τοῦτο codd. D   αὐτῷ GHP, om. D   9. 10 ἀλλὰ — ἕτερον] πᾶν καλὸν παράγγελμα $D^R$   9 προτρέψαι AB   10 ἕτερον] ἕκαστον AB   γὰρ om. Pap   γλωττη Pap $D^H$: γλώσσῃ codd. $D^R$   γλώσσῃ μόνον AB   11 τῇ ψυχῇ ἀμφότερα παθεῖν D   μαθεῖν G   12 ἥκοντος $D^R$   εληλυθασιν Pap   13 αὑτοῖς O, ἐν ἑαυτοῖς $D^H$   13—15 τὰ συγγενικὰ — συναριθμούμενοι om. D   14 τὰ δημόσια scripsi: τα, tum 6 litt. evanidae Pap; om. codd., τὰ κοινὰ coni. Cohn   14 πανθ' Pap: πάντα GHP, πάντως ἃ OAB   15 εἰπεῖν] εἶναι P(H[1])   εξη Pap   ἐν om. B   εαυτοις Pap $D^H$: ἑαυτῆς B, αὑτοῖς $H^2$, αὐτοῖς ceteri $D^R$   16 ἀκροάσασθαι D   ἐκεῖνος οὐχ ὡς ἐν ἀνθρώποις, ἀλλ' ὡς ἐν D

---

2—4 $D^R$ fol. 159ᵛ Anton. Mel. II 23 col. 1065 Φίλωνος: μέγιστον ἐγκώμιον — κατορθοῦν. 4—4,2 $D^R$ fol. 44ᵛ Φίλωνος τίς ἐστιν ὁ τῶν θείων κληρονόμος $D^H$ fol. 132ʳ Φίλωνος: εἰσὶν οἷς ἀκούειν — ἀκοαὶ δὲ οὐκ εἰσίν ($D^H$ lin. 4,1 ἀψύχοις desinit).   4—6 $D_2^R$ fol. 137ʳ Φίλωνος ἐκ τοῦ περὶ κοσμοποιίας: εἰσὶν οἷς — πᾶν καλὸν παράγγελμα· ἀμαθίᾳ γὰρ συμφέρον ἡσυχία.

ποις, ἀλλ' ἐν ἀψύχοις ἀνδριᾶσιν, οἷς ὦτα μέν ἐστιν, ἀκοαὶ δ' οὐκ
13 ἔνεισιν. ἐὰν οὖν μηδενὶ τῶν ἔξωθεν ἐπιφοιτώντων ἢ ἔνδον ταμιευομένων πραγμάτων ὁ νοῦς ἀξιώσῃ προσομιλεῖν, ἀλλ' ἠρεμίαν ἀγαγὼν καὶ ἡσυχάσας πρὸς τὸν λέγοντα ἑαυτὸν ἀποτείνῃ, σιωπήσας κατὰ τὸ Μωυσέως παράγγελμα δυνήσεται μετὰ τῆς πάσης προσοχῆς ἀκροάσασθαι,
14 ἑτέρως δ' οὐκ ἂν ἰσχύσαι. (4). τοῖς μὲν οὖν ἀμαθέσι συμφέρον ἡσυχία, τοῖς δὲ ἐπιστήμης ἐφιεμένοις καὶ ἅμα φιλοδεσπότοις ἀναγκαιότατον ἡ παρρησία κτῆμα. λέγεται γοῦν ἐν 'Εξαγωγῇ· „κύριος πολεμήσει ὑπὲρ ὑμῶν, καὶ ὑμεῖς σιγήσετε“, καὶ χρησμὸς εὐθὺς ὑπόκειται τοιόσδε· „καὶ εἶπε | κύριος πρὸς Μωυσῆν· τί βοᾷς πρός μέ“ (Exod. 14, 14. 15); p. 475 M
ὡς δέον καὶ σιωπᾶν τοὺς μηδὲν ἄξιον ἀκοῆς ἐροῦντας καὶ λέγειν τοὺς ἔρωτι σοφίας θείῳ πεπιστευκότας καὶ μὴ μόνον λέγειν σὺν ἠρεμίᾳ, ἀλλὰ καὶ μετὰ κραυγῆς μείζονος ἐκβοᾶν, οὐ στόματι καὶ γλώττῃ, δι' ὧν ἀέρα λόγος ἔχει σφαιρούμενον αἰσθητὸν ἀκοῇ γίνεσθαι, ἀλλὰ τῷ παμμούσῳ καὶ μεγαλοφωνοτάτῳ ψυχῆς ὀργάνῳ, οὗ θνητὸς μὲν ἀκροατὴς
15 οὐδὲ εἷς, ὁ δὲ ἀγένητος καὶ ἄφθαρτος μόνος. τὸ γὰρ νοητῆς ἁρμονίας εὐάρμοστον καὶ σύμφωνον μέλος ὁ νοητὸς μουσικὸς μόνος καταλαβεῖν

---

1 ἀνδράσιν OAB    εστι Pap, εἰσίν D    δὲ codd. D    2 ἔνεισιν] εἰσίν D    post ἔξωθεν add. τῶν OAB    3 ἠρέμιον G    ἀνάγὼν OAB, ἀναγαγὼν G    4 ἑαυτὸν ἀποτείνῃ ante πρὸς transpos. codd.    4. 5 κατὰ — προσοχῆς om. Pap    5 Μωσέως codd.    αχροασθαι Pap    6 εταιρων Pap, ἑτέρων L    δὲ codd.    ισχυσαι Pap: ἰσχύσει H[3], ἰσχύσῃ ceteri    7 δὲ Pap G: δ' ceteri    φιλοδεσπόταις G    8 κτῆμα om. H    ουν Pap    ἐξαγ(ωγῇ) Pap (cf. tabulam phototypicam apud Scheilium, qui non recte legit εξαρω): ἐξόδῳ codd.    9 ὑμῶν Pap PH[1]: ἡμῶν ceteri    σιωπησεσθε Pap    10 ειπεν Pap    Μωσῆν GHP    βοα Pap    12 ἐρῶντι coni. Mang.    θειω Pap (idem ipse conieceram): θεῷ codd.    συνηρεμουντα Pap, συνηρεμοῦντας coni. Cohn    15 ψυχης Pap: φωνῆς codd.    16 οὐδεὶς L[1]    ἀγέννητος codd. (Pap?)    μόνον O

---

10 Origenis fragm. ex codice affert Mang.: καὶ Μωυσῆς ἐβόα σιγῶν, καὶ προσευχομένῳ κατὰ διάνοιαν ὁ θεὸς ἔφη· τί βοᾷς πρὸς μέ, *Orig. Hom. in Exod. V 4 p. 146:* quomodo clamat? nulla eius vox clamoris auditur, et tamen dicit ad eum deus: quid clamas ad me? velim scire, quomodo sancti sine voce clamant ad deum ... per silentium sanctorum clamor auditur. *Comment. in Ioann. VI 10 p. 119:* ἐὰν δὲ μὴ (μὴν conicio) παντελῶς ᾖ ἡ νοητὴ τῶν εὐχομένων φωνὴ μεγάλη καὶ οὐ βραχεῖα, οὐδὲ ἂν αὐξήσωσι τὴν βοὴν καὶ τὴν κραυγήν, ἀκούει τῶν οὕτως εὐχομένων ὁ θεὸς ὁ λέγων πρὸς Μωσέα· „τί βοᾷς πρὸς μέ“; οὐκ αἰσθητῶς βεβοηκότα — οὐ γὰρ ἀναγέγραπται τοῦτο ἐν τῇ Ἐξόδῳ —, μεγάλως δὲ τὴν ἀκουομένην μόνῳ θεῷ φωνὴν βεβοηκότα διὰ τῆς εὐχῆς. cf. Theodoretum in psalm. 5, 2 (p. 635).

ἱκανός, τῶν δὲ ἐν αἰσθήσει φυρομένων οὐδὲ εἷς. ὅλου δὴ τοῦ διανοίας
ὀργάνου κατὰ τὴν διὰ πασῶν ἢ δὶς διὰ πασῶν συμφωνίαν ἐξηχοῦντος
ὁ ἀκροατὴς ὡσανεὶ πυνθάνεται πρὸς ἀλήθειαν οὐ πυνθανόμενος —
πάντα γὰρ γνώριμα θεῷ — „τί βοᾷς πρός μέ“; καθ' ἱκεσίαν κακῶν
ἀποτροπῆς ἢ κατ' εὐχαριστίαν μετουσίας ἀγαθῶν ἢ κατὰ ἀμφότερα;
(5.) λάλος δὲ οὕτως ὁ ἰσχνόφωνος καὶ βραδύγλωσσος καὶ ἄλογος εἶναι 16
δοκῶν ἀνευρίσκεται, ὥστε πῇ μὲν οὐ μόνον λέγων ἀλλὰ καὶ βοῶν εἰσά-
γεται, ἑτέρωθι δὲ ἀπαύστῳ καὶ ἀδιαστάτῳ χρώμενος λόγων ῥύμῃ.
„Μωυσῆς“ γάρ φησιν „ἐλάλει, καὶ ὁ θεὸς ἀπεκρίνετο αὐτῷ φωνῇ“ 17
(Exod. 19, 19), οὐ κατὰ συντέλειαν ἐλάλησεν, ἀλλὰ κατὰ μηκυνομένην
παράτασιν ἐλάλει, καὶ ὁ θεὸς οὐ κατὰ συντέλειαν ἐδίδαξεν, ἀλλ' αἰεὶ
καὶ συνεχῶς ἀπεκρίνετο. ὅπου δὲ ἀπόκρισις, ἐκεῖ πάντως ἐρώτησις. 18
ἐρωτᾷ δὲ ἕκαστος ὃ μὴ ἐπίσταται, μαθεῖν ἀξιῶν γνούς τε τῶν εἰς
ἐπιστήμην ὠφελιμώτατον ἔργον εἶναι ζητεῖν, ἐρωτᾶν, πυνθάνεσθαι,
μηδὲν δοκεῖν εἰδέναι μηδέ τι οἴεσθαι παγίως κατειληφέναι. σοφοὶ μὲν 19
οὖν ὑφηγητῇ καὶ διδασκάλῳ χρῶνται θεῷ, οἱ δ' ἀτελέστεροι τῷ σοφῷ.
διὸ καὶ λέγουσι· „λάλησον σὺ ἡμῖν, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ θεός,
μή ποτε ἀποθάνωμεν“ (Exod. 20, 19). τοσαύτῃ δ' ἄρα χρῆται παρρησίᾳ
ὁ ἀστεῖος, ὥστε οὐ μόνον λέγειν καὶ βοᾶν, ἀλλ' ἤδη καὶ καταβοᾶν ἐξ
ἀληθοῦς πίστεως καὶ ἀπὸ γνησίου τοῦ πάθους θαρρεῖ. τὸ γὰρ „εἰ 20
μὲν ἀφεῖς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, ἐξάλειψόν με ἐκ τῆς
βίβλου σου ἧς ἔγραψας“ (Exod. 32, 32) καὶ τὸ „μὴ ἐγὼ ἐν γαστρὶ

---

1 ἱκανός] δυνατός O αισθηει Pap φερομένων OAB 2 η Pap: καὶ codd. 3 οὐ om. OAB 4 γὰρ om. OAB βοα προς με Pap, πρὸς μὲ βοᾷς HP 5 κατὰ] κατ' OHP 6 οὕτως Pap HP$^1$: οὗτος GL, οὐδὲν ἧττον AOBP$^2$ 7 ἀλλὰ om. GH$^1$P$^1$ 9 Μωσῆς codd. ὁ om. OAB απεκρινετο Pap: ἀπεκρίνατο codd. φωνηι Pap: ἐν φωνῇ codd. 11 παράστασιν GP$^1$H$^1$ ὁ om. O ἐδίδασκεν HP αιει Pap: ἀεὶ codd. 12 ἀπεκρίνετο Pap GP: ἀπεκρίνατο ceteri 13 δὲ] καὶ B ἀξιῶν om. Pap γνούς Mang. (τε ex Pap addidi): γνησιωστε Pap, γνησίων GHP, γνησίων δὲ περὶ OAB 14 ἐπιστήμην Pap HP$^1$: ἐπιστήμης GP$^2$, ἐπιστήμας OAB ωφελιμωτατον Pap: ὠφελιμωτάτων codd. D 15 δοκεῖν] ἀδικεῖν G μηδ' εἴ τι οἴεται OAB παγίως Pap H$^2$: πλαγίως ceteri 16 θεῷ om. Pap δὲ OGHPN 17 λεγουσιν Pap 18 ποτε om. Pap δὲ N 19 ἀλλὰ καὶ N 21 μὲν post τὸ (lin. 20) transpos. codd. N ἀφεῖς Pap GP: ἀφῇς ceteri N 22 σου om. Pap N μη εγγαστρει Pap

---

13—15 D$^R$ fol. 203$^v$ Φίλωνος ἐκ τῶν μετονομαζομένων: τῶν εἰς ἐπιστήμην ὠφελιμωτάτων ἔργων ζητεῖν καὶ πυνθάνεσθαι κάλλιστον, μηδὲν δὲ δοκεῖν εἰδέναι μηδὲ οἴεσθαι κατειληφέναι καλλιστότερον. 15—6, 17 σοφοὶ — οἰκεῖον N fol. 165$^r$.

ἔλαβον πάντα τὸν λαὸν τοῦτον, ἢ ἐγὼ ἔτεκον αὐτόν, ὅτι λέγεις μοι· λάβε αὐτὸν εἰς τὸν κόλπον σου, ὡσεὶ ἄραι τιθηνὸς τὸν θηλάζοντα;“ (Num. 11, 12) καὶ τὸ „πόθεν μοι κρέα δοῦναι παντὶ τῷ λαῷ τούτῳ, ὅτι κλαίουσιν ἐπ' ἐμοί; μὴ πρόβατα καὶ βόες σφαγήσονται ἢ πᾶν τὸ ὄψος τῆς θαλάσσης συναχθήσεται καὶ ἀρκέσει;“ (Num. 11, 13. 22) καὶ τὸ „κύριε, διὰ τί | ἐκάκωσας τὸν λαὸν τοῦτον; καὶ ἵνα τί ἀπέσταλκάς p. 476 M με; καὶ ἀφ' οὗ πεπόρευμαι πρὸς Φαραὼ λαλῆσαι ἐπὶ τῷ σῷ ὀνόματι, ἐκάκωσε τὸν λαόν, καὶ οὐκ ἐρρύσω τὸν λαόν σου“ (Exod. 5, 22. 23), ταῦτα γὰρ καὶ τὰ τοιαῦτα ἔδεισεν ἂν τις καὶ πρὸς ἕνα τῶν ἐν μέρει

21 βασιλέων εἰπεῖν· ὁ δ' ἀποφαίνεσθαι καὶ πρὸς θεὸν ἐθάρρησεν. τοῦτο δ' ἄρα πέρας ἦν οὐ τόλμης ἁπλῶς, ἀλλ' εὐτολμίας αὐτῷ, διότι οἱ σοφοὶ πάντες φίλοι θεοῦ, καὶ μάλιστα κατὰ τὸν ἱερώτατον νομοθέτην. παρρησία δὲ φιλίας συγγενές· ἐπεὶ πρὸς τίνα ἂν τις ἢ πρὸς τὸν ἑαυτοῦ φίλον παρρησιάσαιτο; παγκάλως οὖν ἐν τοῖς χρησμοῖς φίλος ᾄδεται Μωυσῆς (Exod. 33, 11), ἵν' ὅσα ἐπὶ θάρσει παρακεκινδυνευμένα διεξέρχεται, φιλίᾳ μᾶλλον ἢ αὐθαδείᾳ προφέρεσθαι δοκῇ. θρασύτης μὲν γὰρ αὐθάδους, φίλου δὲ θαρραλεότης οἰκεῖον.

22 (6). Ἀλλὰ σκόπει πάλιν, ὅτι εὐλαβείᾳ τὸ θαρρεῖν ἀνακέκραται. τὸ μὲν γὰρ „τί μοι δώσεις;“ (Gen. 15, 2) θάρσος ἐμφαίνει, τὸ δὲ „δέσποτα“ εὐλάβειαν. εἰωθὼς δὲ χρῆσθαι μάλιστα διτταῖς ἐπὶ τοῦ αἰτίου προσρήσεσι, τῇ θεὸς καὶ τῇ κύριος, οὐδετέραν νῦν παρείληφεν,

---

1 αὐτὸν om. Pap 2 αὐτὸν om. HP ωσει αραι Pap: καθὰ αἴρει G, καθὰ ἄρη ceteri N τιθηνη Pap 4 κλαιουσιν Pap: κλαίει codd. N 4. 5 το (τ del.) οψος Pap: τὸ ὄψον codd. N 7 αφ ου εγω πορευομαι Pap προς Φαραω λαλησαι Pap: λαλῆσαι (κλῆσαι N) πρὸς Φαραὼ codd. N τω ονοματι σου Pap 8 ἐκάκωσας N τῷ λαῷ G ἐρύσω Pap HP 9 ταῦτ' ἄρα καὶ conicio γὰρ] οὖν N 9. 10 των βασιλεων εαμμερει Pap 10 ο δ' Pap: τὸ δ' codd. αποφαινεται Pap πρὸς] προ Pap θαρρῆσαι codd. (λαλῆσαι O) 10. 11 τουτον αρα Pap 11 ἄρ' ἦν N πέρας H: περ ceteri et Pap, om. N ἁπλῶς OABP[2]: αὐτὸ GHP[1], αὐτῷ N, om. Pap ἀλλὰ ABH αὐτῷ om. N διὰ τί; ὅτι OABGN 12 πάντα N τὸν ἱερώτατον νομοθέτην scripsi: τὸ (τον Pap) ἱερώτατον νομοθέτημα Pap et codd. N 13 πρὸς prius] προ Pap πρὸς alterum om. Pap, fort. recte 14 ἐν om. N ⟨θεοῦ⟩ φίλος conicio φίλος om H[1]P 15 Μωυσῆς Pap G: Μωσῆς ceteri N ἵνα OAB θαρρει Pap 16 προφερεσθαι Pap: προσφέρεσθαι codd. N δοκεῖ B 17 φιλους Pap 18 θαρροῦν codd. 20 δεσποτα Pap: ὦ δέσποτα codd. ευλαβεια Pap χρησασθαι Pap, fort. recte μαλιστα διτταις Pap: διτταῖς αἰτίαις codd. 21 αιτιου Pap (Mang.): αἰτίου καὶ codd. προσρησεσιν Pap τῇ τε τοῦ θεοῦ καὶ τῇ τοῦ κυρίου codd.

---

11. 12 D[R] fol. 261[v] D[V] p. 693 Φίλωνος: πᾶς σοφὸς θεοῦ φίλος ἐστίν (τῷ ὄντι add. D[V]).

ἀλλὰ τὴν δεσπότου, λίαν εὐλαβῶς καὶ σφόδρα κυρίως· καίτοι συνώνυμα
ταῦτ' εἶναι λέγεται, κύριος καὶ δεσπότης. ἀλλ' εἰ καὶ τὸ ὑποκείμενον 23
ἓν καὶ ταὐτόν ἐστιν, ἐπινοίαις αἱ κλήσεις διαφέρουσι· κύριος μὲν γὰρ
παρὰ τὸ κῦρος, ὃ δὴ βέβαιόν ἐστιν, εἴρηται, κατ' ἐναντιότητα ἀβεβαίου
καὶ ἀκύρου, δεσπότης δὲ παρὰ τὸν δεσμόν, ἀφ' οὗ τὸ δέος οἶμαι — ὥστε
τὸν δεσπότην κύριον εἶναι καὶ ἔτι ὡσανεὶ φοβερὸν κύριον, οὐ μόνον τὸ
κῦρος καὶ τὸ κράτος ἀνημμένον ἁπάντων, ἀλλὰ καὶ δέος καὶ φόβον
ἱκανὸν ἐμποιῆσαι —, τάχα μέντοι καὶ ἐπειδὴ τῶν ὅλων δεσμός ἐστι
συνέχων αὐτὰ ἄλυτα καὶ σφίγγων διαλυτὰ ὄντα ἐξ ἑαυτῶν. ὁ δὴ 24
φάσκων „δέσποτα, τί μοι δώσεις" δυνάμει ταῦτα διεξέρχεται· οὐκ ἀγνοῶ
σου τὸ ὑπερβάλλον κράτος, ἐπίσταμαι τὸ φοβερὸν τῆς δυναστείας, δεδιὼς
καὶ τρέμων ἐντυγχάνω καὶ πάλιν θαρρῶ· σὺ γάρ ἐθέσπισάς μοι μὴ 25
φοβεῖσθαι, σύ μοι γλῶσσαν παιδείας ἔδωκας τοῦ γνῶναι ἡνίκα δεῖ
φθέγξασθαι, σὺ τὸ στόμα ἀπερραμμένον ἐξέλυσας, σὺ διοίξας ἐπὶ πλέον
ἠρθρωσας, σὺ τὰ λεκτέα συνεβίβασας εἰπεῖν τὸν χρησμὸν βεβαιούμενος
ἐκεῖνον· „ἐγὼ ἀνοίξω τὸ στόμα σου, καὶ συμβιβάσω σε ἃ μέλλεις
p. 477 M. | λαλήσειν" (Exod. 4, 12). τίς γὰρ ἐγενόμην, ἵνα σύ μοι λόγου μεταδῷς, 26
ἵνα μισθὸν ὁμολογῇς, χάριτος καὶ δωρεᾶς ἀγαθὸν τελεώτερον; οὐ τῆς πατρίδος
εἰμὶ μετανάστης; οὐ τῆς συγγενείας ἀπελήλαμαι; οὐ τῆς πατρῴας οἰκίας
ἠλλοτρίωμαι; οὐκ ἀποκήρυκτον καὶ φυγάδα πάντες ἔρημον καὶ ἄτιμον ὀνομάζουσιν; ἀλλὰ σύ μοι, δέσποτα, ἡ πατρίς, σὺ ἡ συγγένεια, σὺ ἡ πατρῴα ἑστία, 27
σὺ ἡ ἐπιτιμία, ἡ παρρησία, ὁ μέγας καὶ ἀοίδιμος καὶ ἀναφαίρετος πλοῦτος.

---

1 τὴν] τὴν τοῦ OAB δέσποτα P εὐλαβῶς Pap G, prius H: εὐσεβῶς ceteri χαιρίως Pap HP 2 ταῦτ' Pap G: ταῦτα ceteri εἶναι Pap G: om. ceteri ὁ δεσπότης Mang. per errorem τὸ om. OAB 3 αἱ κλήσεις] κεκλησθαι Pap διαφέρουσιν H 4 βεβαίου AB 5 το Pap: om. codd. 7 ἀνημμένον ἁπάντων Pap GHP: ἀνειμένον (post ει ras.) ἁπάντων O, ἁπάντων ἀνειμμένον AB (ει in ras. A) 8 δεσμός Mang.: δεσμων Pap, δεσπότης codd. 9 διαλυτὰ ὄντα scripsi: ἃ διαλύεται G (sed ἃ supra scr. $G^2$), διαλύοντα ceteri et Pap αὐτῶν OAB ὁ δὴ] ὢ δὴ H, οδεδε Pap, ὁ δὲ Mang. 12 τυγχάνω vel ἐντυγχάνω ⟨σοι⟩ coni. Cohn 12 ἐθέσπισας OAB (Pap)?: θεσπίσας $G^1H^1P$, ὁ θεσπίσας $G^2H^2$ 13 εδωκας Pap: δέδωκας codd. ἡνίκα om. $A^1B$, ἃ $A^2$ 14 φθεγξ(ασθαι) Pap: φθέγγεσθαι codd. ἀπεραμμένον Pap OB διήνοιξας OAB ἐπιπλέον codd.: επιπλειστον Pap 15 ἀρθρώσας G χρημων Pap 16 ἐκεῖνον om. OAB σε om. G 17 λαλήσειν] ποιῆσαι OAB λόγον $ABG^1$, λόγων $G^2$ 18 ἀγαθῶν H τελεωτερον Pap: τελειότερον codd. 20 alterum καὶ] τε καὶ OAB 20. 21 νομίζουσιν coni. Mang. 21 alterum σὺ om. Pap 21. 22 tertium σὺ ἡ — παρρησία om. Pap 22 περιουσία coni. Mang. αναι(ρε)τος Pap πλοῦτος] κληρος Pap

---

8. 9 Platonis Tim. p. 41 A.

28 διὰ τί οὖν οὐχὶ θαρρήσω λέγειν ἃ φρονῶ; διὰ τί δ' οὐ πεύσομαι μαθεῖν τι πλέον ἀξιῶν; ἀλλ' ὁ λέγων ἐγὼ θαρρεῖν πάλιν ὁμολογῶ δεδιέναι καὶ καταπεπλῆχθαι, καὶ οὐκ ἔχει τὴν ἄμικτον ἐν ἐμοὶ μάχην φόβος τε καὶ θάρσος, ὡς ἴσως ὑπολήψεταί τις, ἀλλὰ
29 τὴν ἀνακεκραμένην συμφωνίαν. ἀπλήστως οὖν εὐωχοῦμαι τοῦ κράματος, ὅ με ἀναπέπεικε μήτε ἄνευ εὐλαβείας παρρησιάζεσθαι μήτε ἀπαρρησιάστως εὐλαβεῖσθαι. τὴν γὰρ οὐδένειαν τὴν ἐμαυτοῦ μετρεῖν ἔμαθον καὶ τὰς ἐν ὑπερβολαῖς ἀκρότητας τῶν σῶν εὐεργεσιῶν περιβλέπεσθαι· καὶ ἐπειδὰν „γῆν καὶ τέφραν“ καὶ εἴ τι ἐκβλητότερον ἐμαυτὸν αἴσθωμαι, τηνικαῦτα ἐντυγχάνειν σοι θαρρῶ, ταπεινὸς γεγονώς, καταβεβλημένος εἰς χοῦν, ὅσα εἴς γε τὸ μηδ' ὑφεστάναι δοκεῖν ἀνεστοιχειω-
30 μένος. (7). καὶ τοῦτό μου τὸ πάθος τῆς ψυχῆς ἐστηλογράφησεν ἐν τῷ ἐμῷ μνημείῳ ὁ ἐπίσκοπος Μωυσῆς. „ἐγγίσας“ γάρ φησιν „Ἀβραὰμ εἶπε· νῦν ἠρξάμην λαλῆσαι πρὸς τὸν κύριον, ἐγὼ δέ εἰμι γῆ καὶ σποδός“ (Gen. 18, 27), ἐπειδὴ τότε καιρὸς ἐντυγχάνειν γένεσιν τῷ πεποιηκότι,
31 ὅτε τὴν ἑαυτῆς οὐδένειαν ἔγνωκεν. τὸ δὲ „τί μοι δώσεις;“ οὐκ ἀποροῦντός ἐστι φωνὴ μᾶλλον ἢ ἐπὶ τῷ πλήθει καὶ μεγέθει ὧν ἀπήλαυκεν ἀγαθῶν εὐχαριστοῦντος. „τί μοι δώσεις;“ ἔτι γὰρ ἀπολείπεταί τι πλέον προσδοκῆσαι; ἄφθονοι μέν, ὦ φιλόδωρε, αἱ σαὶ χάριτες καὶ ἀπερίγραφοι καὶ ὅρον ἢ τελευτὴν οὐκ ἔχουσαι, πηγῶν τρόπον πλείω τῶν ἀπαντλου-

1 δ' om. L 3 ἔχει AHP: ἔχειν ceteri et Pap, quo servato potest conici φόβου τε καὶ θάρσους ἐν om. A 4 μάχην om. Pap φόβον v υπολημψεται Pap 5 ἀνακεκραμμένην ABH ευχομαι Pap 7 ουδενειαν Pap: οὐδενίαν G, οὐθένειαν ceteri 8 ακροτητα των σων αρετων Pap 9 ἐκβλητὸν ἕτερον AB, ἐκβλητὸν O 10 σοὶ] συ Pap 11 οἷα conicio γε μηδ' εἰς τὸ O εις γε Pap: γε εἰς codd. μηδ'] μη Pap υφισταναι Pap 12 ψυχην Pap ἐστηλίτευσεν conicio 12. 13 ἐν τῷ τοῦ γένους ἡγεμόνι ὁ conicio (v. § 278) 12 ἐν] ἐν αὐτῷ OAB 13 μνήμονι codd. ὁ om. H ἐπίσκοπος] πάνσοφος coni. Cohn Μωυσῆς H[1], Μουσης Pap: Ἀβραὰμ H[2], Μωσῆς ceteri φησι Pap 14 εἶπεν Pap P λαλεῖν H τον Pap: om. codd. 16 ὅτε] πλην οτε Pap, quo servato scribi potest lin. 15 ἐπειδὴ οὔποτε (nam ἐπεὶ μήποτε vix dici potuit) ουδενειαν Pap: οὐθένειαν codd. ἔγνωκε codd. 16—18 οὐκ— δώσεις om. OAB 17 φωνὴ scripsi: φωνηι Pap, φώνημα codd. απελαυσεν Pap 18 ἔτι] εἰ Turn. ἀπολήψεσθαί τι προσδοκᾷ (προσδοκῶ O) πλέον OAB πλέω G 19 μὲν] γὰρ v αωριγραφοι Pap 20 η Pap: καὶ codd. τρόπω GPH[1] πλείω scripsi (vel πλέον ἀεί): τελείων codd. (Pap?), πλέον coni. Mang.

19. 20 *Clem. Alex. Paed. III § 39 p. 277 P:* τῶν φρεάτων ὅσα πέφυκεν βρύειν, ἀπαντλούμενα εἰς τὸ ἀρχαῖον ἀναπηδύει (leg. ἀναπιδύει) μέτρον . . .

μένων ἀνομβροῦσαι. σκοπεῖν δὲ ἄξιον οὐ μόνον τὸν αἰεὶ πλημμυροῦντα 32
χειμάρρουν τῶν σῶν εὐεργεσιῶν, ἀλλὰ καὶ τὰς ἀρδομένας ἡμῶν ἀρούρας·
εἰ γὰρ περιττὸν ἀναχυθείη τὸ ῥεῦμα, λιμνῶδες καὶ τελματῶδες ἀντὶ
καρποφόρου γῆς ἔσται τὸ πεδίον. πρὸς εὐφορίαν οὖν μεμετρημένης,
ἀλλ' οὐκ ἀμέτρου δεῖ τῆς ἐπιρροῆς ἐμοί. διὸ πεύσομαι „τί μοι δώσεις“ 33
p. 478 M. ἀμύθητα δοὺς καὶ σχεδὸν πάντα ὅσα θνητὴν φύσιν χωρῆσαι | δυνατὸν
ἦν; ὃ γὰρ λοιπὸν ἐπιζητῶ μαθεῖν τε καὶ κτήσασθαι, τοῦτ' ἐστίν, τίς
ἂν γένοιτο ἄξιος τῶν σῶν εὐεργεσιῶν [καὶ] κληρονόμος. ἢ „ἐγὼ ἀπο- 34
λυθήσομαι ἄτεκνος“ (Gen. 15, 2), ὀλιγοχρόνιον καὶ ἐφήμερον καὶ
ὠκύμορον λαβὼν ἀγαθόν, εὐχόμενος τοὐναντίον, πολυήμερον καὶ μακρο-
χρόνιον καὶ ἀκήρατον καὶ ἀθάνατον, ὡς δυνηθῆναι καὶ σπέρματα βαλέσθαι
καὶ ῥίζας ἐχυρότητος ἕνεκα ἀποτεῖναι καὶ ἄνω πρὸς οὐρανὸν τὸ στέλεχος
ἀνεγεῖρον μετεωρίσαι; τὴν γὰρ ἀνθρωπίνην ἀρετὴν βαίνειν μὲν ἐπὶ γῆς, 35
φθάνειν δὲ πρὸς οὐρανὸν ἀναγκαῖον, ἵν' ἐκεῖ τῆς ἀφθαρσίας ἑστιαθεῖσα
τὸν ἀεὶ χρόνον ἀπήμων διαμένῃ. ἄτεκνον γὰρ καὶ στεῖραν οἶδ' ὅτι 36
ψυχὴν ὁ τὰ μὴ ὄντα φέρων καὶ τὰ πάντα γεννῶν μεμίσηκας, ἐπεὶ καὶ
χάριν ἔδωκας ἐξαίρετον τῷ διορατικῷ γένει τὸ μηδέποτε στειρωθῆναι
καὶ ἀτοκῆσαι, ᾧ καὶ αὐτὸς προσνεμηθεὶς ἐφίεμαι κληρονόμου δικαίως.
ἄσβεστον γὰρ αὐτὸ καταθεώμενος αἴσχιστον εἶναι νομίζω τὴν ἐμαυτοῦ
φύσιν τοῦ καλοῦ περιιδεῖν καταλυθεῖσαν. ἱκέτης οὖν γίνομαι καὶ 37
ποτνιῶμαι, ἵνα σπερμάτων καὶ ἐμπυρευμάτων ὑποτυφομένων τὸ ἀρετῆς
ἀναχαίηται καὶ ἀναφλέγγηται σωτήριον φέγγος, ὃ λαμπαδευόμενον ἐπαλλή-

---

1 ανομβρουσαι Pap: ἀναβρύουσαι codd. αιει Pap: ἀεὶ codd. πλημυροντα Pap 2 σῶν om. OAB 4 οὖν scripsi: οὐ Pap GHP, γὰρ OAB 5 οὐ κατὰ μέτρον HP αμετρον Pap επιρροιης Pap 6 θνητὴ φύσις OAB δυνατον Pap: ἀδύνατον GHP, ἀδύνατος OAB 7 γὰρ] γοῦν Mang. λοιπὸν Pap $GH^2$: om. ceteri μαθεῖν scripsi: μαυειν Pap, σχεῖν $H^2$, om. ceteri τε καὶ] τέκνον OAB τουτο Pap ἐστὶ codd. 8 ευεργησιων (sic) Pap: ἔργων codd. καὶ seclusi, aut scrib. καὶ ⟨χαρίτων⟩ η Pap: om. codd. 10. 11 πολυχρόνιον GHP 11 λαβέσθαι G 12 ἐχυρωτάτας ἀποτεῖναι εἰς τὸ κάτω conicio ἐχυρότητος Pap G: ὀχυρότατος B, ὀχυρότητος ceteri ἕνεκ' ABHP ἀποτεῖναι ABHP Pap(?): ποτ' εἶναι G, ἀποκτεῖναι O 13 ἀνεγεῖρον scripsi: ἀνεγείρων Pap GHP, ἀνεγείρω OAB ἀρετὴν] ψυχὴν coni. Mang. βαίνειν μὲν] βαίνειν HP, καὶ νῦν G 15 διαμενη Pap: διαμένει G, διαμένοι ceteri ἄτεκνον] ἄπαιδα OAB σπειραν Pap οἶδ' ὅτι HP (ὅτι postea del. P)$G^1$(?): οιδα οτι Pap, ὁ ἰδιώτης $G^2$, οἶδα OAB 16 φέρων] σπείρων coni. Mang. ἐπεὶ καὶ] και επι Pap 17 εξαιρετων Pap στηρωθηναι Pap 18 ἀτονῆσαι $G^2$ 19 εμαυτωι Pap, ἑαυτοῦ O, ⟨ἐν⟩ ἐμαυτῷ conicio 20 καλοῦ] λοῦ in ras. $H^2$, κακοῦ B, κακῶς O περιιδων Pap ἱκέτις H 21 τὸ] τὰ G

38 λοις διαδοχαῖς ἰσοχρόνιον γενήσεται κόσμῳ. ζῆλον καὶ τοῖς ἀσκητικοῖς
ἔδωκας τέκνων τῶν ψυχῆς σπορᾶς καὶ γενέσεως, καὶ μοιραθέντες ὑφ'
ἡδονῆς ἐξελάλησαν εἰπόντες· „τὰ παιδία οἷς ἠλέησεν ὁ θεὸς τὸν
παῖδά σου" (Gen. 33, 5), ὧν ἀκακία καὶ τροφὸς καὶ τιθήνη, ὧν ἄβατοι
καὶ ἁπαλαὶ καὶ εὐφυεῖς ψυχαί, τῶν ἀρετῆς παγκάλων καὶ θεοειδεστάτων
39 εὐπαράδεκτοι χαρακτήρων. δίδαξον δέ με κἀκεῖνο, εἰ „ὁ υἱὸς Μασὲκ
τῆς οἰκογενοῦς μου" τῶν σῶν χαρίτων ἱκανὸς γενέσθαι κληρονόμος ἐστίν.
ἐγὼ γὰρ ἄχρι νῦν τὸν μὲν ἐλπιζόμενον οὐκ ἔλαβον, ὃν δ' ἔλαβον, οὐκ
ἐλπίζω.
40 (8.) Τίς δὲ ἡ Μασὲκ καὶ τίς αὐτῆς ὁ υἱός, οὐ παρέργως ἐπισκε-
πτέον. ἑρμηνεύεται τοίνυν Μασὲκ ἐκ φιλήματος. φίλημα δὲ διαφέρει
τοῦ φιλεῖν· τὸ μὲν γὰρ ψυχῶν ἕνωσιν ἁρμοζομένων εὐνοίᾳ, τὸ δὲ ἐπιπό-
λαιον καὶ ψιλὴν δεξίωσιν χρείας τινὸς εἰς ταὐτὸ συναγαγούσης ἔοικεν
41 ἐμφαίνειν. ὥσπερ γὰρ ἐν τῷ ἀνακύπτειν οὐκ ἔστι τὸ κύπτειν οὐδ' ἐν
τῷ καταπίνειν ἦν πάντως τὸ πίνειν οὐδ' ἐν μαρσίππῳ ὁ ἵππος, οὕτως οὐδ'
ἐν τῷ καταφιλεῖν τὸ φιλεῖν, ἐπεὶ καὶ τῶν ἐχθρῶν μυρίους εἴκοντές
42 τινες ταῖς τοῦ βίου χαλεπαῖς ἀνάγκαις δεξιοῦνται. τίς οὖν ἐστιν ἡ ἐκ
φιλήματος ἀλλὰ μὴ ἐξ ἀψευδοῦς φιλίας ἡμῖν συσταθεῖσα, φράσω μηδὲν
ὑποστειλάμενος· ἡ ζωὴ ἡ σὺν αἰσθήσει, ἡ πᾶσιν ᾠχυρωμένη, | ἧς p. 479 M
ἀνέραστος οὐδείς, ἣν δέσποιναν μὲν οἱ πολλοί, θεράπαιναν δὲ οἱ ἀστεῖοι

1 ἰσόχρονον HP  κόσμου OAB  2 τῆς ψυχῆς OGHP, τῆς ψυχικῆς AB  γενήσεως G, γενεσεως τε Pap, pro τε fort. scrib. ὥστε vel τε transpon. post σπορᾶς  καὶ μοιραθέντες GHP: και μοιρανθεντες Pap, οἳ καὶ μακρυνθέντες OAB, ὧν μοιραθέντες coni. Mang.  ὑφ'] ἀφ' OAB  3 εξεληλασαν Pap  οἷς] οὓς OAB, P[2] in mg.  3. 4 τον παιδα Pap: τὸν δοῦλον prius H, τῶν δούλων ceteri  4 ακακια Pap: ἀποικία codd.  τιθηνός codd.  ἄβαστοι G, ἄπλαστοι coni. Mang.  6 ὁ om. P  Μασὲκ] μου OAB, Μασὲκ κατὰ G  7 κληρονόμος γενέσθαι ἱκανός OAB  8 ἔλαβον OABGP: ἔλαχον Pap (?) H  9 ἤλπιζον coni. Mang.  10 ἡ] ὁ O  ὁ υἱὸς αὐτῆς OAB  10. 11 σκεπτεον Pap  11 Μασεκ Pap: ὁ Μασὲκ O, ἡ Μασὲκ ceteri  δὲ Pap H[2]: τοίνυν OAB, om. GH[1]P  12 ενωσιν Pap: αἵρεσιν OAB, εὕρεσιν GHP  αρμοζομενης Pap  εὐνοίᾳ H: ευνοιας Pap, εὔνοιαν GP, εἰς εὔνοιαν OA, εἰς ἔννοιαν B  12. 13 επιπολεον (αι) και ψειλην Pap: ψιλὴν καὶ ἐπιπόλαιον codd.  13 ἐς HP  ταυτὸν codd.  συναγαγουσης Pap: συναγούσης codd.  14 οὐκέτι OAB  οὐκ ἔστι τὸ κύπτειν om. Pap  ουδε Pap  15 ην παντως Pap: οὐκέτι OAB, om. GHP  ουδε Pap  ὁ om. Pap  ουδε Pap  16 τὸ φιλεῖν om. Pap  ἥκοντες L  17 τινες om. Pap  ταῖς] καὶ G  ουν Pap: δὲ AB, δ' ceteri  17. 18 ἡ ἐκ φιλήματος bis hab. G  18 συσταθεισα Pap: συντεθεῖσα H[2], συνταθεῖσα ceteri  19 (υπ)οχρυψαμενος Pap  ἡ Μάσεκ προσαγορευομένη coni. Mang.  πᾶσαν L, πᾶσα Turn.  ᾠκειωμένη coni. Cohn  20 θεραπανιααδε Pap

νομίζουσιν, οὐκ ἀλλόφυλον ἢ ἀργυρώνητον, ἀλλ' οἰκογενῆ καὶ τρόπον
τινὰ ὁμόφυλον. οὗτοι καὶ πεπαίδευνται καταφιλεῖν αὐτήν, οὐ φιλεῖν,
ἐκεῖνοι δὲ ὑπερφυῶς ἀγαπᾶν καὶ τριπόθητον ἡγεῖσθαι. Λάβαν δ' ὁ 43
μισάρετος οὐδὲ καταφιλῆσαι δυνήσεται τὰς προσκεκληρωμένας τῷ ἀσκη-
τικῷ δυνάμεις, ἀλλ' ὑποκρίσεως καὶ ψευδῶν πλασμάτων ἀνηρτηκὼς τὸν
ἑαυτοῦ βίον, ὡσανεὶ δυσχεραίνων, οὐ πρὸς ἀλήθειαν ἀλγῶν, φησίν·
„οὐκ ἠξιώθην καταφιλῆσαι τὰ παιδία μου καὶ τὰς θυγατέρας“ (Gen. 31,
28)· εἰκότως γε καὶ προσηκόντως· εἰρωνείαν γὰρ μισεῖν ἀκαταλλάκτως
ἐπαιδεύθημεν. ἀγάπησον οὖν ἀρετὰς καὶ ἄσπασαι ψυχῇ τῇ σεαυτοῦ 44
καὶ φίλησον ὄντως, καὶ ἥκιστα βουλήσῃ τὸ φιλίας παράκομμα ποιεῖν,
καταφιλεῖν. „μὴ γάρ ἐστιν αὐταῖς ἔτι μερὶς ἢ κληρονομία ἐν τῷ σῷ
οἴκῳ; οὐχ ὡς αἱ ἀλλότριαι ἐλογίσθησαν παρὰ σοί; ἢ οὐ πέπρακας αὐτάς,
καὶ κατέφαγες τὸ ἀργύριον“ (Gen. 31, 14. 15), ἵνα μηδὲ εἰσαῦθις ἀνα-
κομίσασθαι δυνηθῇς τὰ σῶστρα καὶ τὰ λύτρα κατεδηδοκώς; προσποιοῦ
νῦν βούλεσθαι καταφιλεῖν ὁ πᾶσι τοῖς κριταῖς ἄσπονδος. ἀλλ' οὐ
γαμβρὸν καταφιλήσει Μωυσῆς, ἀλλ' ἀπὸ γνησίου τοῦ ψυχῆς πάθους
φιλήσει· „ἐφίλησε“ γάρ φησιν „αὐτόν, καὶ ἠσπάσαντο ἀλλήλους“ (Exod.
18, 7). (9.) ζωῆς δὲ τριττὸν γένος, τὸ μὲν πρὸς θεόν, τὸ δὲ πρὸς 45
γένεσιν, τὸ δὲ μεθόριον, μικτὸν ἀμφοῖν. τὸ μὲν οὖν πρὸς θεὸν οὐ
κατέβη πρὸς ἡμᾶς οὐδὲ ἦλθεν εἰς τὰς σώματος ἀνάγκας. τὸ δὲ πρὸς
γένεσιν οὐδ' ὅλως ἀνέβη οὐδ' ἐζήτησεν ἀναβῆναι, φωλεῦον δὲ ἐν μυχοῖς
Ἅιδου τῷ ἀβιώτῳ βίῳ χαίρει. τὸ δὲ μικτόν ἐστιν, ὃ πολλάκις μὲν 46
ὑπὸ τῆς ἀμείνονος ἀγόμενον τάξεως θειάζει καὶ θεοφορεῖται, πολλάκις
δ' ὑπὸ τῆς χείρονος ἀντισπώμενον ἐπιστρέφει. τοῦθ', ὅταν ὥσπερ ἐπὶ
πλάστιγγος ἡ τῆς κρείττονος ζωῆς μοῖρα τοῖς ὅλοις βρίσῃ, συνεπισπασθὲν

---

2 παιδεύονται O, om. AB post παιδεύονται add. καὶ O οὐ φιλεῖν] ὁ φιλὰς G 3 περιπόθητον Mang. per errorem δε Pap 5 ἀπηρτηκὼς OAB 6 ου Pap: οὐ γὰρ ceteri 7 καταφιλεῖν H καὶ om. G 10 και φιλησον οντως Pap: om. codd. βουλησει Pap ποθεῖν coni. Mang. 11 σῷ om. H 12 αι Pap: om. codd. 13 καὶ om. H τὸ] γὰρ Pap 14 δυνηθῇ OAB δυνηθηις λυτρα καὶ σωστρα Pap πρὸς ποίου B, πρὸς ποίους L, προσποιῇ coni. Mang., ⟨ὅμως⟩ προσποιῇ coni. Cohn 15 νυν Pap: om. G, οὖν ceteri ὁ] ἡ OAB 16 γαμβρὸν Mang.: Ἀάρων Pap et codd. Μωυσῆς Mang.: Μουσῆν Pap, Μωσέα codd. τῆς ψυχῆς codd. 17 φιλήσας OAB 19 γενεσιν τας μεθοριον Pap 20 τὰς] τὰς τοῦ AB 21 οὐδε bis Pap εν Pap: om. codd. 22 Ἅιδου OAB (Pap?): ἀδύτοις GHP μὲν Pap HP: μὲν ἀνέβη ceteri 23 καὶ Pap GHP: τε καὶ OAB 24 δὲ codd. τῆς] τοῦ H ὑποστρέφει OAB, ἐπιρρέπει coni. Mang. τουτ' Pap 25 ταῖς ὁλκαῖς coni. Mang. post ὅλοις Pap add. περιττα, G ἀρίσσῃ. utrumque dittographia vocis βρίσῃ videtur esse; περιττεύσῃ pro βρίσῃ coni. Cohn συνεπισπανθὲν H[2]

47 τὸ τῆς ἐναντίας ζωῆς βάρος κουφότατον ἄχθος ἀπέφηνε. Μωυσῆς δὲ τὸ τῆς πρὸς θεὸν ζωῆς γένος ἀκονιτὶ στεφανώσας εἰς ἐπίκρισιν τὰ λοιπὰ ἄγει δυσὶν ἀπεικάζων γυναιξίν, ὧν τὴν μὲν ἀγαπωμένην, τὴν δὲ μισου-
48 μένην καλεῖ προσφυέστατα θεὶς ὀνόματα. τίς γὰρ οὐ τὰς δι' ὀφθαλμῶν, τίς δ' οὐ τὰς δι' ὤτων, τίς δ' οὐ τὰς διὰ γεύσεως ὀσφρήσεώς τε καὶ ἁφῆς ἡδονὰς καὶ τέρψεις ἀποδέχεται; τίς δ' οὐ τὰ ἐναντία μεμίσηκεν, ὀλιγοδεΐαν, ἐγκράτειαν, αὐστηρὸν καὶ ἐπιστημονικὸν βίον, γέλωτος καὶ παιδιᾶς ἀμέτοχον, συννοίας καὶ | φροντίδων καὶ πόνων μεστόν, φίλον τοῦ p. 480 M.
θεωρεῖν, ἀμαθίας ἐχθρόν, χρημάτων μὲν καὶ δόξης καὶ ἡδονῶν κρείττω, ἥττω δὲ σωφροσύνης καὶ εὐκλείας καὶ βλέποντος οὐ τυφλοῦ πλούτου;
49 πρεσβύτερα μὲν οὖν ἀεὶ τὰ γεννήματα τῆς μισουμένης ἀρετῆς. (10.) ὁ δὲ Μωυσῆς, εἰ καὶ νεώτερα χρόνῳ, καὶ ταῦτα φύσει πρεσβείων ἀξιοῖ τὰ διπλᾶ διδούς, τῶν δὲ ἀφαιρῶν τὴν ἡμίσειαν. ἐὰν γὰρ γένωνται, φησίν, ἀνθρώπῳ δύο γυναῖκες, ἠγαπημένη καὶ μισουμένη, καὶ τέκωσιν ἀμφότεραι, μέλλων τὰ ἑαυτοῦ διανέμειν οὐ δυνήσεται πρεσβείων ἀξιῶσαι τὸν υἱὸν τῆς ἠγαπημένης, ἡδονῆς, — νέος γὰρ οὗτος, εἰ καὶ χρόνῳ πολιὸς γένοιτο —, ἀλλὰ τὸν τῆς μισουμένης φρονήσεως πρεσβύτερον ἐκ
50 παίδων εὐθὺς ὄντα, ὡς διμοιρίαν ἀπονεῖμαι (Deut. 21, 15—17). τὴν δὲ τροπικωτέραν τούτων ἀπόδοσιν ἐν ἑτέροις εἰρηκότες ἐπὶ τὰ ἀκόλουθα τῶν ἐν χερσὶ τρεψώμεθα ἐκεῖνο προϋποδείξαντες, ὅτι τῆς μισουμένης ὁ θεὸς λέγεται τὴν μήτραν διοίξας γένεσιν ἀστείων ἐπιτηδευμάτων καὶ καλῶν ἔργων ἀνατεῖλαι, τῆς φιλεῖσθαι νομιζομένης αὐτίκα στειρουμένης.

---

1 post ζωῆς add. αντηεν Pap, quod fort. ex voce ἐναντίας natum est; ἀντίπαλον coni. Cohn    Μωσῆς codd.    δὲ om. Pap    2 ἀκονητὶ BG    ἐπίκρισιν] τὴν supra scr. G[2]    2. 3 τα λοιπα αγειν (sic) Pap: ἄγει τὰ λοιπὰ codd.    3 δυσὶν] δ' ἐστὶν OAB    4 προσφυεστατα θεις ονοματα Pap: θεὶς ὀνόματα προσφυέστατα codd.    5 δε Pap    alterum δ' Pap OAB: om. GHP    6 τἀναντία G, τὴν ἐναντίαν OAB    7 ὀλιγοδέειαν HP    ἔτι μονωτικὸν coni. Mang.    9 ἀμαθείας OG, ἀμαθία B    εχθρων χρημτω μεν Pap    ἡδονῶν GHP (Pap?): ἡδονῆς OAB    κρείττων G    10 πλούτου] τρόπον G[2]P[2]    11 post ἀεὶ add. τῆς φρονήσεως OAB, mg. P[2]    της μεισουμενης αρετης Pap: om. codd.    ὁ] οι Pap    12 Μουσῆς Pap: Μωσῆς codd.    εἰ] ει δε Pap, εἰ δὴ conicio    νεώ^τρ H[1], νεώτερος P    και ταυτα φυσει Pap: καὶ τὰ φύσει GH[1]P, τὰ φύσει H[2], τὰ φύσει τίμια OAB, καὶ ταῦτα ⟨ἅτε πρεσβύτερα⟩ φύσει conicio, καὶ et φύσει secl. Cohn    πρεσβειῶν GHP    14 ἀγαπωμένη ν    15 πρεσβειῶν HP    16 ουτως Pap    17 πολιὸς scripsi: παλιος Pap, παλαιὸς ceteri    γενοιτο Pap: ἐγένετο codd.    φρονησεως πρεσβυτερον Pap: πρεσβύτερον φρονήσεως GHP, πρεσβυτέρας φρονήσεως OAB    18 ως διμοιρειαν απονειμαι Pap: ὢ διμοιρίαν ἀπένειμε codd.    19 αποδωσις Pap    20 τρεψόμεθα Pap G    προσυποδειξαντες Pap    21 διανοίξας G, ἀνοίγειν OAB    21—13,1 γένεσιν — αὐτῆς om. OAB

„ἰδὼν“ γάρ φησι „κύριος ὅτι μισεῖται Λεία, ἤνοιξε τὴν μήτραν αὐτῆς· 51
Ῥαχὴλ δὲ ἦν στεῖρα“ (Gen. 29, 31). ἆρ' οὐχ ὅταν ἡ ψυχὴ κυοφορῇ
καὶ τίκτειν ἄρχηται τὰ ψυχῇ πρέποντα, τηνικαῦτα ὅσα αἰσθητὰ στειρού-
μενα ἀτοκεῖ, οἷς πρόσεστιν ἡ ἐκ φιλήματος ἀλλ' οὐχ ἡ διὰ γνησίου
φιλίας ἀποδοχή; (11.) ταύτης οὖν τῆς κατ' αἴσθησιν ζωῆς, ἣν καλεῖ 52
Μασέκ, υἱὸς ἕκαστος ἡμῶν ἐστι τιμῶν καὶ θαυμάζων τὴν τροφὸν καὶ
τιθήνην τοῦ θνητοῦ γένους, αἴσθησιν, ἣν καὶ ὁ γήινος νοῦς, ὄνομα
Ἀδάμ, ἰδὼν διαπλασθεῖσαν τὸν ἑαυτοῦ θάνατον ζωὴν ἐκείνης ὠνόμασεν.
„ἐκάλεσε“ γάρ φησιν „Ἀδὰμ τὸ ὄνομα τῆς γυναικὸς αὐτοῦ ζωή, ὅτι 53
αὕτη μήτηρ πάντων τῶν ζώντων“ (Gen. 3, 20), τῶν πρὸς ἀλήθειαν
τὸν ψυχῆς τεθνηκότων δήπου βίον. οἱ δὲ ζῶντες ὄντως μητέρα μὲν
ἔχουσι σοφίαν, αἴσθησιν δὲ δούλην πρὸς ὑπηρεσίαν ἐπιστήμης ὑπὸ
φύσεως δημιουργηθεῖσαν. ὄνομα δὲ τοῦ γεννηθέντος ἐκ ζωῆς, ἣν ἐκ 54
φιλήματος ἐγνωρίσαμεν, διασυνίστησι Δαμασκός — τὸ δὲ μεταληφθέν
ἐστιν αἷμα σάκκου —, σφόδρα δυνατῶς καὶ εὐθυβόλως σάκκον μὲν τὸ
σῶμα αἰνιξάμενος, αἷμα δὲ ζωὴν τὴν ἔναιμον. ἐπειδὴ γὰρ ψυχὴ διχῶς 55
λέγεται, ἥ τε ὅλη καὶ τὸ ἡγεμονικὸν αὐτῆς μέρος, ὃ κυρίως εἰπεῖν
ψυχὴ ψυχῆς ἐστι, καθάπερ ὀφθαλμὸς ὅ τε κύκλος σύμπας καὶ τὸ
κυριώτατον μέρος τὸ ᾧ βλέπομεν, ἔδοξε τῷ νομοθέτῃ διττὴν καὶ τὴν
p. 481 M. οὐσίαν εἶναι ψυχῆς, αἷμα μὲν τῆς ὅλης, τοῦ | δ' ἡγεμονικωτάτου πνεῦμα

---

2 Ῥαχιὴλ codd. (Pap?) σπειρα Pap ἆρ' OAB, αρα Pap: ἀλλ' GHP 2. 3 κυοφορῇ καὶ] ras. 1 litt. G 3. 4 σπειρουμενα Pap 4 οἷς] ἧς H ἐκ] εμ Pap καταφιλήματος $H^2$ 4. 5 ἀλλ'—φιλίας om. $H^1$P 4 οὐχ ἡ] οὐχὶ G διὰ] ἐκ $H^2$ 5 φιλιας Pap: φιλήματος OABG$H^2$ αποδοχης Pap post αἴσθησιν add. διαδοχης Pap 6 υἱὸς] εἷς G εστιν Pap 7 τιθήνην Pap GP: τιθηνὸν ceteri τοῦ] και του Pap 8 διαπλησθεῖσαν $G^1$P$H^1$ ἐκείνης OABP: ἐκείνην Pap GH 8. 9 ωνομασε εκαλεσεν Pap 9 τὸ et τῆς hab. Pap: om. codd. ζωὴ HP: ζωηι Pap, ζωὴν ceteri 10 alt. τῶν] τὸν O, secl. Mang. 11 τὸν OG$H^2$: τῆς P$H^1$, τὸν τῆς AB, om. Pap ψυχῆς om. Pap τεθνηκετων (sic) δηπου Pap: δήπου τεθνηκότων codd. 14 δαμασκος Pap: δαμασκὸν codd. 14. 15 τὸ δ' ἐστὶ μεταληφθὲν om. OAB δε μεταλημφθεν εστιν Pap: δ' ἐστὶ μεταληφθὲν GHP 15 συνετῶς Mang. 17 καὶ] τε καὶ G e corr. εἶπε P$H^1$ 18 ψυχὴ om. $H^1$P εστιν Pap N 19 κυριώτερον μέρος ᾧ O τὸ om. N βλεπωμεν Pap διττην Pap: διπλῆν codd. N 19. 20 εἶναι καὶ τὴν οὐσίαν HP 20 τῆς ψυχῆς HP της Pap: τὸ τῆς codd. N δὲ codd. ἡγεμονικοῦ τὸ coni. Mang.

---

1 sqq. *Orig. Comment. in Gen. p. 41 (ad eundem locum):* κατὰ δὲ τὸν πνευματικὸν νόμον ψυχῆς ἀνοίγει μήτραν .... 16—14,16 ἐπειδὴ—τοῦ γένους ἡμῶν ἐξ ἑαυτοῦ N fol. 165r.

56 θεῖον. φησὶ γοῦν ἄντικρυς· „ψυχὴ πάσης σαρκὸς αἷμά ἐστιν“ (Lev. 17, 11). εὖ γε τὸ προσνεῖμαι τῷ σαρκῶν ὄχλῳ τὴν αἵματος ἐπιρροήν, οἰκεῖον οἰκείῳ· τοῦ δὲ νοῦ τὴν οὐσίαν ἐξ οὐδενὸς ἤρτησε γενητοῦ, ἀλλ' ὑπὸ θεοῦ καταπνευσθεῖσαν εἰσήγαγεν· „ἐνεφύσησε“ γάρ φησιν „ὁ ποιητὴς τῶν ὅλων εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν“ (Gen. 2, 7), ᾗ καὶ κατὰ τὴν εἰκόνα τοῦ
57 ποιητοῦ λόγος ἔχει τυπωθῆναι. (12.) ὥστε διττὸν εἶδος ἀνθρώπων, τὸ μὲν θείῳ πνεύματι λογισμῷ βιούντων, τὸ δὲ αἵματι καὶ σαρκὸς ἡδονῇ ζώντων. τοῦτο τὸ εἶδός ἐστι πλάσμα γῆς, ἐκεῖνο δὲ θείας εἰκόνος
58 ἐμφερὲς ἐκμαγεῖον. χρεῖος δ' ἐστὶν οὐ μετρίως ὁ πεπλασμένος ἡμῶν χοῦς καὶ ἀναδεδευμένος αἵματι βοηθείας τῆς ἐκ θεοῦ· διὸ λέγεται „οὗτος Δαμασκὸς Ἐλιέζερ“ — ἑρμηνευθεὶς δέ ἐστιν Ἐλιέζερ θεός μου βοηθός —, ἐπειδὴ ὁ ἔναιμος ὄγκος ἐξ ἑαυτοῦ διαλυτὸς ὢν καὶ νεκρὸς συνέστηκε καὶ ζωπυρεῖται προνοίᾳ θεοῦ τοῦ τὴν χεῖρα ὑπερέχοντος καὶ ὑπερασπίζοντος, μηδεμίαν ἡμέραν ἱδρυθῆναι παγίως δυνηθέντος ἐξ ἑαυτοῦ
59 τοῦ γένους ἡμῶν. οὐχ ὁρᾷς ὅτι καὶ Μωυσέως ὁ δεύτερος τῶν υἱῶν ὁμωνυμεῖ τούτῳ; „τὸ γὰρ ὄνομα“ φησί „τοῦ δευτέρου Ἐλιέζερ“, καὶ

---

1 γοῦν] γὰρ G    ψυχηι Pap    2 εὖ γε om. D, γε om. Pap    προσνέμον D    τῶ τῶν D (τῶ supra scr. $D^M$)    σαρκῶν Pap D: σαρκὸς codd. N    ὄγκῳ coni. Mang.    τοῦ αἵματος OAB    3 οἰκείαν $H^2$    οἰκείω Pap $G^2$, add. mg. $H^2$, DN: οἰκεῖον $G^1$P, om. OAB    ἐξ] ἑξῆς G    ηρτησεν Pap    γενητοῦ HP$D^M$: γεννητοῦ Pap AOBN, γε θνητοῦ G    3. 4 ἀλλ' ὑπὸ Pap D: ἀπὸ codd. N    4 θεοῦ Pap D: θεοῦ δ' ἄνωθεν codd. N    4. 5 ὁ — ὅλων om. O    6 ψυχὴν] πνοὴν H, σάρκα $D^P$    ζῶσαν] ζωης Pap    ᾗ $H^2$: ἡ $D^M$, εἰ Pap GP($H^1$)N$D^P$, ἣν OAB    καὶ om. D    7 λόγος] θεοῦ λόγος $D^P$    post τυπωθῆναι add. τὸν ἄνθρωπον D, fort. recte    ὥστε om. D    εἶδος Pap D: εἶναι γένος codd. N    ὁ ἄνθρωπος $D^M$    8 τὸ] τωι Pap, τῶ $D^M$    post πνεύματι add. καὶ OAB    βιον, tum ras. $D^M$    τὸ] τωι Pap, τῶ G, τοῦτο $D^P$    9 ζῶν, tum ras. $D^M$    ἐστιν πλάσμα Pap D: πλάσμα ἐστὶ codd. N    δὲ om. HPN    εἰκόνος om. $D^M$    10 δέ codd. D    οὐ μετρίως om. D    μετρίας AB    ὑποπεπλασμένος OAB    12 θεος Pap: ὁ θεός codd. N    13 post βοηθός add. μου B    ὁ GHPN: om. ceteri et Pap    διαλυτὸς Pap HPN: εὐδιάλυτος ceteri    14 χεῖρα ὑπερέχοντος G$H^1$($P^1$)N: χεῖρα ὑπέχοντος $H^2$ (Pap?), χάριν οἱ παρέχοντος OAB$P^2$    15 ἱδρυνθῆναι OAB$G^2$, δυνηθῆναι N    15. 16 τοῦ γένους ἡμῶν ἐξ ἑαυτοῦ N    16 τοῦ om. Pap    τὸ γένος P    17 φησιν Pap

---

1—11 $D^P$ fol. 376 τίς ὁ θείων ἐστὶ κληρονόμος καὶ εἰς τὰ ἴσα καὶ ἐναντία τομῆς $D^M$ fol. 282r τοῦ αὐτοῦ τίς ὁ κληρονόμος καὶ εἰς τὰ ἴσα τῆς τομῆς τῆς ἐναντία τομῆς: φησὶν ὁ νομοθέτης ἄντικρυς· ψυχὴ πάσης (sic $D^P$, ψυχὴ ἄντικρυς πάσης $D^M$ ceteris om.) — βοηθείας (τούτου add $D^P$).

τὴν αἰτίαν ἐπιφέρει· „ὁ γὰρ θεὸς τοῦ πατρός μου βοηθός μου, καὶ
ἐξείλατό με ἐκ χειρὸς Φαραώ“ (Exod. 18,4). τοῖς δ' ἔτι τῆς ἐναίμου 60
καὶ αἰσθητῆς ζωῆς ἑταίροις ἐπιτίθεται ὁ σκεδάσαι τὰς θεοσεβείας δεινὸς
τρόπος, ὄνομα Φαραώ, οὗ τὴν παρανομίας καὶ ὠμότητος μεστὴν δυνα-
στείαν ἀμήχανον ἐκφυγεῖν ἄνευ τοῦ γεννηθῆναι τὸν Ἐλιέζερ ἐν ψυχῇ
καὶ ἐπελπίσαι τὴν παρὰ τοῦ μόνου σωτῆρος θεοῦ βοήθειαν. παγκάλως 61
δὲ τὸν Δαμασκὸν οὐκ ἀπὸ πατρός, ἀλλ' ἀπὸ μητρὸς τῆς Μασὲκ διασυνέ-
στησεν, ἵνα διδάξῃ ὅτι ἡ ἔναιμος ψυχή, καθ' ἣν ζῇ καὶ τὰ ἄλογα, τοῦ
πρὸς γυναικῶν μητρῴου γένους οἰκεῖόν ἐστιν, ἄρρενος γενεᾶς ἀμέτοχον.
ἀλλ' οὐχ ἡ ἀρετὴ Σάρρα· μόνου γὰρ τοῦ πρὸς ἀνδρῶν μεταποιεῖται, ἐκ 62
πατρὸς τοῦ πάντων θεοῦ μόνου γεννηθεῖσα ἡ ἀμήτωρ ἀρχή· „ἀλη-
θῶς“ γάρ φησιν „ἀδελφή μού ἐστιν ἐκ πατρός, ἀλλ' οὐκ ἐκ μητρός“
(Gen. 20, 12).

(13.) Ἃ μὲν οὖν ἦν ἀναγκαῖον προακοῦσαι, διεπτύξαμεν· καὶ γὰρ 63
εἶχεν ἀσάφειαν ἡ πρότασις αἰνιγματώδη. τί δὲ ὁ φιλομαθὴς ζητεῖ,
p. 482 M. διερμηνευτέον ἀκριβέστερον· μήποτ' οὖν ἐστι τοιοῦτον, εἰ δύναταί | τις
ἐφιέμενος τῆς ἐναίμου ζωῆς καὶ μεταποιούμενος ἔτι τῶν κατ' αἴσθησιν
γενέσθαι τῶν ἀσωμάτων καὶ θείων πραγμάτων κληρονόμος. τούτων 64
μόνος ἀξιοῦται ὁ καταπνευσθεὶς ἄνωθεν, οὐρανίου τε καὶ θείας μοίρας
ἐπιλαχών, ὁ καθαρώτατος νοῦς, ἀλογῶν οὐ μόνον σώματος ἀλλὰ καὶ
τοῦ ἑτέρου ψυχῆς τμήματος, ὅπερ ἄλογον ὑπάρχον αἵματι πέφυρται,
θυμοὺς ζέοντας καὶ πεπυρωμένας ἐπιθυμίας ἀναφλέγον. πυνθάνεται 65
γοῦν τὸν τρόπον τοῦτον· ἐπειδὴ ἐμοὶ οὐκ ἔδωκας σπέρμα τὸ νοητὸν
ἐκεῖνο, τὸ αὐτοδίδακτον, τὸ θεοειδές, ἆρά γε „ὁ οἰκογενής μου κληρονο-
μήσει με“ (Gen. 15, 3), ὁ τῆς ἐναίμου ζωῆς ἔγγονος; τότε καὶ ἐπισπεύσας 66

---

1 του πατρος μου Pap: om. codd. 2 εξειλατο Pap: ἐξελέξατο G, ἐξείλετο ceteri δὲ codd. 3 ἑτέροις OG[1]H[1]P σκεδασαι τας θεοσεβειας Pap: τὰς θεοσεβείας σκεδάσαι GHP, τὰς (τὰ O) θεοσημείας σκεδάσαι (σχεδάσαι O) OAB, mg. P τοὺς θεοσεβεῖς coni. Mang. 4 τὴν] τῆς GPH[1] παρανομίαν OB 5 ἐκφυγεῖν] εὑρεῖν GPH[1] 6 θεου Pap: om. codd. 7. 8 διέστησεν G, συνέστησεν OAB 8 διδαξηι Pap: δείξῃ codd. καιθην Pap τοῦ] τῶν Turn. 9 αμετοχον Pap: ἀμέτοχος codd. 10 μεταποιειται Pap: μεταπεποίηται codd. 11 μόνη AB γεννηθεῖσα G 14 ἦν ἀναγκαῖον Pap G: ἦν L, ἀναγκαῖον ἦν ceteri διακοῦσαι OAB 15 πρόφασις OAB αἰνιγματώδη om. A 16 ἑρμηνευτέον O, διερευνητέον conicio μήποτε OAB 19 μονος αξιουται Pap: ἀξιοῦται μόνος codd. 20 ἐπιτυχών OAB ἀλλὰ om. L 20. 21 καὶ τοῦ GHP: τοῦ OAB (Pap τοῦ vel καὶ?) 21 πεφυρται Pap: πεφύραται codd. 22 θυμοῦ ζεόντος OAB, θυμοῦ etiam PH[1] 23 τουτον Pap: om. codd., suppl. Turn. ante τὸν 23. 24 το νοητον εκεινο το αυτοδιδακτον Pap: τὸ αὐτοδίδακτον, τὸ νοητὸν ἐκεῖνο codd. 24 το θε(οει)δες Pap: om. codd. 25 ἔκγονος GPH[1]

ὁ θεὸς ἔφθασε τὸν λαλοῦντα, τῆς ῥήσεως προαποστείλας ὡς ἔπος εἰπεῖν
διδασκαλίαν. „εὐθὺς“ γάρ φησι „φωνὴ θεοῦ ἐγένετο πρὸς αὐτὸν
τῷ λέγειν· οὐ κληρονομήσει σε οὗτος“ (Gen. 15, 4), τῶν εἰς τὴν δι'
αἰσθήσεως δεῖξιν ἐρχομένων οὐδὲ εἷς· ἀσώματοι γὰρ φύσεις νοητῶν
67 πραγμάτων εἰσὶ κληρονόμοι. παρατετήρηται δὲ ἄκρως τὸ μὴ „εἶπεν“ ἢ
„ἐλάλησεν“ φάναι, ἀλλὰ τὸ „φωνὴ θεοῦ ἐγένετο πρὸς αὐτὸν“ ὥσπερ
εὐτόνως ἐμβοήσαντος καὶ ἀρρήκτως ἐνηχήσαντος, ἵν' εἰς πᾶσαν τὴν
ψυχὴν διαδοθεῖσα ἡ φωνὴ μηδὲν ἔρημον ἐάσῃ καὶ κενὸν ὑφηγήσεως
ὀρθῆς μέρος, ἀλλὰ πάντα διὰ πάντων ὑγιαινούσης μαθήσεως ἀναπλησθῇ.
68 (14.) τίς οὖν γενήσεται κληρονόμος; οὐχ ὁ μένων ἐν τῇ τοῦ σώματος
εἱρκτῇ λογισμὸς καθ' ἑκούσιον γνώμην, ἀλλ' ὁ λυθεὶς τῶν δεσμῶν καὶ
ἐλευθερωθεὶς καὶ ἔξω τειχῶν προεληλυθὼς καὶ καταλελοιπώς, εἰ οἷόν
τε τοῦτο εἰπεῖν, αὐτὸς ἑαυτόν. „ὃς γὰρ ἐξελεύσεται ἐκ σοῦ“ φησίν,
69 „οὗτος κληρονομήσει σε (Gen. 15, 4)“. πόθος οὖν εἴ τις εἰσέρχεταί σε,
ψυχή, τῶν θείων ἀγαθῶν κληρονομῆσαι, μὴ μόνον „γῆν,“ τὸ σῶμα,
καὶ „συγγένειαν“, ⟨τὴν⟩ αἴσθησιν, καὶ „οἶκον πατρός (Gen. 12, 1), τὸν
λόγον, καταλίπῃς, ἀλλὰ καὶ σαυτὴν ἀπόδραθι καὶ ἔκστηθι σεαυτῆς,
ὥσπερ οἱ κατεχόμενοι καὶ κορυβαντιῶντες βακχευθεῖσα καὶ θεοφορηθεῖσα
70 κατά τινα προφητικὸν ἐπιθειασμόν· ἐνθουσιώσης γὰρ καὶ οὐκέτ' οὔσης
ἐν ἑαυτῇ διανοίας, ἀλλ' ἔρωτι οὐρανίῳ σεσοβημένης κἀκμεμηνυίας καὶ
ὑπὸ τοῦ ὄντως ὄντος ἠγμένης καὶ ἄνω πρὸς αὐτὸ εἱλκυσμένης, προϊ-
ούσης ἀληθείας καὶ τὰν ποσὶν ἀναστελλούσης, ἵνα κατὰ λεωφόρου βαίνοι

---

1 εφθασεν Pap ἀποστείλας OAB 2 τὴν διδ. OABHP φησιν Pap 3 τῷ] τὸ PH¹ 4 φύσεις] φύσεις εἰς G φύσεις εἰς τὰ (τὰ om. O) νοητὰ πράγματα OAB 5 ειπειν Pap 6 ελαλησεν Pap: ἐλάλησεν ἄκρως codd., ἐλάλησεν αὐτῷ Mang. θεοῦ om. Pap 7 ἐμβοήσαντος καὶ scripsi: εμβοησαντος Pap, καὶ codd. 7—9 ἐμβοήσαντος — μαθήσεως om. L 7 ἀρρήτως AOB 8 εαστ̣ι ερημον Pap 10 του Pap: om. codd. 12 καταλελοιπὼς hic habet Pap: post ἑαυτὸν lin. 13 transpos. codd. 13 φησίν post γὰρ transpos. codd. 14 σε] σοι OAB 16 τὴν addidi 17 σεαυτὴν B 18 ὥσπερ Pap O: καθώσπερ ABGH, καθάπερ P κατεχομενοι και κορυβανθιωντες (sic) Pap: κορυβαντιῶντες καὶ κατεχόμενοι codd. 19 προφορητικὸν L καὶ ante ἐνθουσιώσης add. AB οὐκέτι codd. 20 οὐρανίῳ] αἰωνίῳ OAB καὶ ἐκμεμηνυίας codd. 20. 21 και υπο του οντος οντης (sic) ηγμενης Pap: om. codd. 21 αὐτὸ scripsi: αυτω Pap, αὐτὸν GHP, αὐτὴν OAB εἰλημένης G 22 ἀλήθειαν A

---

4. 5 ἀσώματοι – κληρονόμοι N fol. 165ᵛ.

τῆς ὁδοῦ, κλῆρος οὗτος. πῶς οὖν μετανίστασο τῶν προτέρων ἐκείνων, 71
λέγε θαρροῦσα ἡμῖν, ὦ διάνοια, ἣ τοῖς ἀκούειν τὰ νοητὰ δεδιδαγμένοις
ἐνηχεῖς, ἀεὶ φάσκουσα ὅτι μετῳκισάμην τοῦ σώματος, ἡνίκα τῆς σαρκὸς
ἠλόγουν ἤδη, καὶ τῆς αἰσθήσεως, ὁπότε τὰ αἰσθητὰ πάντα ὡς μὴ πρὸς
p. 483 M. ἀλήθειαν ὄντα ἐφαντασιώθην καταγνοῦσα μὲν αὐτῆς τῶν | κριτηρίων ὡς
νενοθευμένων καὶ δεδεκασμένων καὶ ψευδοῦς ὑποπεπλησμένων δόξης,
καταγνοῦσα δὲ καὶ τῶν κρινομένων, ὡς δελεάσαι καὶ ἀπατῆσαι καὶ ἐκ
μέσης τῆς φύσεως ἁρπάσαι τὴν ἀλήθειαν εὐτρεπισμένων· μετανέστην
καὶ τοῦ λόγου, ἡνίκα πολλὴν ἀλογίαν αὐτοῦ κατέγνων καίτοι μετεωρίζοντος
καὶ φυσῶντος ἑαυτόν. ἐτόλμα γὰρ τόλμημα οὐ μικρόν, διὰ σκιῶν μοι σώματα, 72
διὰ ῥημάτων πράγματα, ἅπερ ἀμήχανον ἦν, δεικνύναι· καίτοι σφαλλόμενος
περιελάλει καὶ περιέρρει κοινότητι τῶν ὀνομάτων τὰς ἰδιότητας τῶν ὑπο-
κειμένων ἀδυνατῶν ἐμφάσει τρανῇ παραστῆσαι. παθοῦσα δ' ὡς ἄφρων 73
καὶ νήπιος παῖς ἔμαθον, ὡς ἄμεινον ἦν ἄρα πάντων μὲν τούτων ὑπεξελ-
θεῖν, ἑκάστου δὲ τὰς δυνάμεις ἀναθεῖναι θεῷ τῷ καὶ τὸ σῶμα σωμα-
τοῦντι καὶ πηγνύντι καὶ τὴν αἴσθησιν αἰσθάνεσθαι παρασκευάζοντι καὶ
τῷ λόγῳ τὸ λέγειν ὀρέγοντι. τὸν αὐτὸν δὴ τρόπον ὅνπερ τῶν ἄλλων 74
ὑπεξελήλυθας, ὑπέξελθε καὶ μετανάστηθι σεαυτῆς. τί δὲ τοῦτό ἐστιν;
μὴ ταμιεύσῃ τὸ νοεῖν καὶ διανοεῖσθαι καὶ καταλαμβάνειν σεαυτῇ,
φέρουσα δὲ καὶ ταῦτα ἀνάθες τῷ τοῦ νοεῖν ἀκριβῶς καὶ καταλαμβάνειν
ἀνεξαπατήτως αἰτίῳ.

---

1 κληρος ουτος Pap: κληρονόμος οὗτος (οὕτω P²) GHP, τὸ γενέσθαι τῶν θείων κληρονόμον οὕτω OAB, τὸ γενέσθαι τῶν θείων add. mg. P² μετανιστασαι Pap 2 τα νοητα δεδιδαγμενοις Pap: δεδιδαγμένοις τὰ νοητὰ codd. 3 ἐνηχοῦσα OAB φάσκεις OAB μετωκισάμην Pap G: μετωκησάμην ceteri σαρκικῆς G 4 ηδη Pap: δὴ codd. ποτε τ' αἰσθητα Pap μὴ scripsi: τὰ Pap codd., μὴ τὰ Mang. 5 ἐφαντασιώθη OGL καταγνοὺς B αὐτῆς τῶν Pap GHP: αὐτῶν OAB 5—7 κριτηρίων — κρινομένων om. OAB 6 υποπεπλησμενων Pap: ὑπὸ πυβελησμένων G, ὑποπεπληρωμένων ceteri 8 μέσης] μέρους L 8 ευτρεπισμενον Pap μετανέστη G, post μετανέστην add. ἁρπάσασα τὴν ἀλήθειαν OAB 10 ἑαυτόν] αυτου Pap 11 ὅπερ coniicio 11. 12 καιτοι σφαλλομενος περι(ελαλει κ)αι περιερρι Pap: τοιγαροῦν περιέρρει τοῖς σφαλλομένοις καὶ περιελάλει GHP, τοιγαροῦν περιήει τοὺς σφαλλομένους καὶ περιελάλει OAB 12 κοινότητας OAB, κοινότητα H¹, κοινο$^{\tau\tau}$ P 12. 13 τὰς ὑποκειμένας τῶν ἰδιοτήτων OAB 13 τρανει Pap 14 εμαθον Pap: ἔγνων codd. τούτων om. Pap 15 το Pap: om. codd. σῶμα om. AB 17 τῷ om. G τὸ] τῶ GH¹(P¹) 18 ἐξελήλυθας G υπεξελθε Pap: ὑπέκστηθι codd. σεαυτῆς Pap G: καὶ σεαυτῆς H², ἀφ' ἑαυτῆς OAB, ἀπ' αὐτῆς P(H¹) ἐστι τοῦτο codd. 20 αναθες Pap: ἀνάθου codd. τω του Pap: τὸ G, τῶ ceteri

75 (15). Τὴν δὲ ἀνάθεσιν δέξεται τῶν πανιέρων τεμενῶν τὸ ἁγιώτερον·
δύο γὰρ ἔοικε συστῆναι, τὸ μὲν νοητόν, τὸ δ' αἰσθητόν. αἰσθητῶν μὲν
οὖν φύσεων ὁ κόσμος οὗτος, ἀοράτων δ' ὡς ἀληθῶς ὁ νοητὸς τὸ
76 πάνθειόν ἐστιν. ὅτι δ' ὁ ὑπεξελθὼν ἐξ ἡμῶν νοητῶν καὶ γλιχόμενος
ὀπαδὸς εἶναι θεοῦ τοῦ φύσεως ἀοιδίμου πλούτου κληρονόμος ἐστί,
μαρτυρεῖ λέγων· „ἐξήγαγεν δὲ αὐτὸν ἔξω καὶ εἶπεν· ἀνάβλεψον εἰς τὸν
οὐρανόν" (Gen. 15, 5), ἐπειδήπερ οὗτος ὁ τῶν θείων θησαυρὸς ἀγαθῶν
— „ἀνοίξαι γάρ σοι" φησί „κύριος τὸν θησαυρὸν αὐτοῦ τὸν ἀγαθόν,
τὸν οὐρανόν", (Deut. 28, 12), ἐξ οὗ δὴ τὰς τελεωτάτας εὐφροσύνας ὁ
χορηγὸς ἀδιαστάτως ὕει —· „ἀνάβλεψον" δὲ εἰς ἔλεγχον τοῦ τυφλοῦ τῶν
77 ἀγελαίων ἀνθρώπων γένους, ὃ βλέπειν δοκοῦν πεπήρωται. πῶς γὰρ οὐ
πεπήρωται, ὅτε κακὰ μὲν ἀντ' ἀγαθῶν, αἰσχρὰ ἀντὶ καλῶν, ἄδικα ἀντὶ δικαίων
καὶ πάθη μὲν ἀντ' εὐπαθειῶν, θνητὰ δὲ ἀντ' ἀθανάτων ᾕρηται καὶ νου-
θετητὰς μὲν καὶ σωφρονιστάς, ἔτι δὲ ἔλεγχον καὶ παιδείαν ἀποδιδράσκει,
κόλακας δὲ καὶ τοὺς πρὸς ἡδονὴν λόγους ἀργίας καὶ ἀμαθίας καὶ θρύψεως
78 δημιουργοὺς ἀποδέχεται; μόνος οὖν βλέπει ὁ ἀστεῖος, οὗ χάριν καὶ τοὺς
προφήτας ὠνόμασαν οἱ παλαιοὶ ὁρῶντας (I Reg. 9, 9). ὁ δὲ ἔξω
προεληλυθὼς οὐ μόνον ὁρῶν, ἀλλὰ καὶ θεὸν ὁρῶν προσερρήθη, Ἰσραὴλ
[ὅς ἐστι θεὸν ὁρῶν]. οἱ δέ, κἂν ποτε | τοὺς ὀφθαλμοὺς διοίξωσι, πρὸς p. 484 M
γῆν ἀπονενεύκασι τὰ γήινα μετιόντες καὶ τοῖς ἐν Ἅιδῃ συντρεφόμενοι.

---

1 δεξεται Pap: δέχεται codd. αγιωτερον Pap: ἁγνότερον codd. 2 νοητῶν et αἰσθητῶν OAB αἰσθήσεων μὲν H($P^1$) 3 κόσμος — ὁ om. A δὲ codd. 3. 4 το πανθειον Pap: τὸ πᾶν θεῖον $GP^1H^1$, οὗ τὸ πᾶν θεῖον $OABP^2$, τὸ πανδοχεῖον $H^2$ 4 δὲ codd. ὁ Pap $H^2$: om. ceteri εξελθων Pap ἔξω γηίνων ⟨καὶ ἐφιέμενος⟩ νοητῶν coni. Cohn νοητων Pap: om. codd. 5 τοῦ] τῆς $OABPH^1$ εστιν Pap 6 ὁ λέγων $H^2$ (Pap?) δε Pap: om. codd. 8 γαρ Pap: om. codd. φησιν Pap τον (αγαθον) Pap: τῶν ἀγαθῶν codd. 9 τελεωτάτους G 10 δε Pap: om. codd., δὴ conicio 11 οὐ om. $PH^1$ 12 ὅτε scripsi: ὅταν Pap et codd. ἀντὶ codd. (αισχρα αντι) καλων Pap: ὁρᾷ $OABP^2$, om. $GHP^1$ αδ(ικα αντι δικαιω)ν Pap: ἀντὶ δὲ δικαίων ἀδίκημα $PH^1$, ἀντὶ δὲ δικαίων ἄδικα ceteri 13 εὐπαθεῖν G αντ'] ἀντὶ codd. ηιρηται Pap: om. codd. 14 ἀποδιδράσκει $ABPH^1$ (Pap?): ἀποδιδράσκῃ $OGH^2$ 15 τοὺς om. OAB λόγους om. H ἀργίας — θρύψεως om. OAB 16 δημιουργους Pap: om. codd., sed καὶ τοὺς πρὸς λόγους G, καὶ τοὺς πρὸς ἡδονὴν λόγους $H^1P$ hic repetunt ἀποδέχηται $H^2$ ὁ ἀστεῖος οὖν μόνος βλέπει OAB, μόνος οὖν ὁ ἀστεῖος βλέπει conicio, quod potest habuisse Pap, in qua solae litterae μον legi possunt 19 ὅς — ὁρῶν seclusi ἐστιν codd.: om. Pap θεον ορων Pap: ὁρῶν θεόν ceteri και (αν) Pap διοιξωσι scripsi: Pap?, litterarum numerus convenit, διανοίξωσι AB, αὐτῶν διανοίξωσι O, διοίξειε G, διοίξειαν HP 20 Ἅιδῃ codd. (Pap?): ὕλῃ Turn., ὕλαις coni. Mang. συντρεχόμενοι OAB

ὁ μὲν γὰρ ἀνατείνει τὰς ὄψεις πρὸς αἰθέρα καὶ τὰς οὐρανοῦ περιόδους, 79
πεπαίδευται δὲ καὶ εἰς τὸ μάννα ἀφορᾶν, τὸν θεῖον λόγον, τὴν οὐράνιον
ψυχῆς φιλοθεάμονος ἄφθαρτον τροφήν, οἱ δὲ πρὸς τὰ κρόμμυα καὶ τὰ
σκόρδα, τὰ περιοδυνῶντα τὰς κόρας καὶ κακοῦντα καὶ καταμύειν ποιοῦντα,
καὶ τὰς ἄλλας πράσων καὶ νεκρῶν ἰχθύων δυσοδμίας, οἰκείας Αἰγύπτου
τροφάς. „ἐμνήσθημεν" γάρ φασι „τοὺς ἰχθύας, οὓς ἠσθίομεν ἐν Αἰγύπτῳ 80
δωρεάν, καὶ σικύας, πέπονας, πράσα, κρόμμυα, σκόρδα· νυνὶ δὲ ἡ ψυχὴ
ἡμῶν κατάξηρος, οὐδὲν πλὴν εἰς τὸ μάννα οἱ ὀφθαλμοὶ ἡμῶν" (Num. 11,
5. 6). (16). συντείνει δὲ πρὸς ἠθοποιίαν καὶ τὸ „ἐξήγαγεν αὐτὸν 81
ἔξω", ὅ τινες εἰώθασιν ὑπ' ἀμουσίας ἤθους γελᾶν φάσκοντες· εἴσω γάρ
τις ἐξάγεται, ἢ ἔμπαλιν εἰσέρχεται ἔξω; ναί, φαίην ἄν, ὦ καταγέλαστοι
καὶ λίαν εὐχερεῖς· ψυχῆς γὰρ τρόπους ἰχνηλατεῖν οὐκ ἐμάθετε, ἀλλὰ
σωμάτων τὰς ἐν τούτοις μεταβατικὰς κινήσεις μόνας ἐρευνᾶτε. διὸ καὶ
παράδοξον ὑμῖν φαίνεται εἴ τις ἐξέρχεται εἴσω ἢ εἰσέρχεται ἔξω· τοῖς
δὲ Μωυσέως γνωρίμοις ἡμῖν οὐδὲν τῶν τοιούτων ἀπῳδόν ἐστιν. ἢ οὐκ 82
ἂν εἴποιτε, τὸν μὴ τέλειον ἀρχιερέα, ὁπότε ἐν τοῖς ἀδύτοις τὰς πατρῴους
ἁγιστείας ἐπιτελεῖ, ἔνδον εἶναί τε καὶ ἔξω, ἔνδον μὲν τῷ φανερῷ σώματι,
ἔξω δὲ ψυχῇ τῇ περιφοίτῳ καὶ πεπλανημένῃ, καὶ ἔμπαλίν τινα μηδὲ
γένους ὄντα τοῦ ἱερωμένου θεοφιλῆ καὶ φιλόθεον ἔξω τῶν περιρραντηρίων
ἑστῶτα ἐσωτάτω διατρίβειν, ἀποδημίαν ἡγούμενον ὅλον τὸν μετὰ σώματος
βίον, ὁπότε δὲ δύναιτο τῇ ψυχῇ μόνῃ ζῆν, ἐν πατρίδι καταμένειν

---

1 ἀνατείνει (ανατεινειν Pap) τὰς ὄψεις Pap G: τὰς ὄψεις ἀνατείνει ceteri   και τας ουρα(νου περιο)δους, πεπαιδευται (δε και εις) Pap supplevi (v. Prolegomena): om. codd.   2 το μαννα αφοραν Pap: ἀφορᾶν τὸ μάννα GP(H¹), ἀφορῶν τὸ μάννα ceteri   τῶν θείων λόγων O   της ουρανι(ου) Pap   οὐρανίων coni. Mang.   3 φιλοθεάμονος ψυχῆς transpos. codd.   4 σκορδα Pap: σκόροδα codd.   περιοδυνῶντα scripsi (Pap?): περιοδυνοῦντα OG, περιδινοῦντα ABHP   κακοῦντα Mang: κυκῶντα codd. (Pap?)   5 δυσωδίας G   6 φασι Pap: φησι codd.   ἐν Αἰγύπτῳ om. AB   7 και Pap: τοὺς codd.   σικύους HP (Pap?)   κρόμμυα om. G   σκορδα Pap: σκόροδα OABH, σκόρωδα G, σκόραδα P   8 εἰς Pap OAB: πρὸς GHP   οἱ Pap: om. codd.   ἡμῶν om. Pap   10 εἰώθασι post ἤθους transpos. codd.   ὑπὸ codd.   11 εξαγεν Pap   εἰσάγεται conicio   φαιην Pap: ἔφην GHP, φήσει τις O, φήσῃ τις AB   13 τάς] τὰ G   τούτοις] τόποις coni. Mang.   μόνος G   ερευναται, falso corr. in ερευνευτε Pap   και Pap: om. codd.   14 ἢ εἰσέρχεται ἔξω in mg. H² et P²   15 Μωσέως codd.   των τοιουτων Pap: τούτων codd.   16 μη Pap: μὲν codd.   τοῖς om. G   πατρῴους GPH¹ (Pap?): πατρῴας OAB, πατρίους H²   17 ἐπιτελεῖν B   18 περιφυτωι Pap   19 φιλοθεον Pap (Mang.): θεόφιλον codd.   τῶν om. Pap   21 ὁπόθεν G   δὲ om. OAB   δ' ἐδύνατο PH¹   τηι Pap: om. codd.   εν Pap: ὡς ἐν OBGHP, καὶ ὡς ἐν A

83 ὑπολαμβάνοντα; καὶ γὰρ φλιᾶς μέν ἐστιν ἔξω πᾶς ἄφρων, κἂν συνημε-
ρεύων μηδ' ἀχαρὲς ἀπολείπηται, εἴσω δὲ πᾶς σοφός, κἂν μὴ μόνον χώ-
ραις ἀλλὰ καὶ μεγάλοις κλίμασι γῆς διῳκισμένος τυγχάνῃ· κατὰ δὲ
Μωυσῆν οὕτως ὁ φίλος ἐγγύς ἐστιν, ὥστε ἀδιαφορεῖ ψυχῆς· λέγει γάρ·
84 „ὁ φίλος, ὁ ἴσος τῇ ψυχῇ σου“ (Deut. 13, 6). καὶ ὁ ἱερεὺς μέντοι
„ἄνθρωπος οὐκ ἔσται κατ' αὐτὸν ὅταν εἰσίῃ εἰς τὰ ἅγια τῶν ἁγίων, ἕως
ἂν ἐξέλθῃ“ (Lev. 16,17), οὐ σωματικῶς, ἀλλὰ ταῖς κατὰ ψυχὴν κινή-
σεσιν. ὁ γὰρ νοῦς, ὅτε μὲν καθαρῶς λειτουργεῖ θεῷ, οὐκ ἔστιν ἀνθρώ-
πινος, ἀλλὰ θεῖος· ὅτε δὲ ἀνθρωπίνῳ τινί, τέτραπται καταβὰς ἀπ' οὐ-
ρανοῦ, μᾶλλον δὲ πεσὼν ἐπὶ γῆν ἐξέρχεται, | κἂν ἔτι μένῃ τὸ σῶμα ἔν- p. 485 M
85 δον αὐτῷ. ὀρθότατα οὖν εἴρηται· „ἐξήγαγεν αὐτὸν ἔξω“ τῶν κατὰ τὸ
σῶμα δεσμωτηρίων, τῶν κατὰ τὰς αἰσθήσεις φωλεῶν, τῶν κατὰ τὸν ἀπα-
τεῶνα λόγον σοφιστειῶν, ἐπὶ πᾶσιν αὐτὸν ἐξ ἑαυτοῦ καὶ τοῦ δοκεῖν
αὐτεξουσίῳ καὶ αὐτοκράτορι γνώμῃ νοεῖν τε καὶ καταλαμβάνειν.
86 (17.) Προαγαγὼν δὲ αὐτὸν ἔξω φησίν· „ἀνάβλεψον εἰς τὸν οὐρα-
νὸν καὶ ἀρίθμησον τοὺς ἀστέρας, ἐὰν δυνηθῇς ἐξαριθμῆσαι αὐτούς.
οὕτως ἔσται τὸ σπέρμα σου“ (Gen. 15, 5). παγκάλως εἶπεν „οὕτως
ἔσται“, ἀλλ' οὐ τοσοῦτον, τοῖς ἄστροις ἰσάριθμον. οὐ γὰρ τὸ πλῆθος
αὐτὸ μόνον, ἀλλὰ καὶ μυρία ἄλλα τῶν εἰς εὐδαιμονίαν ὁλόκληρον καὶ παν-
87 τελῆ βούλεται παρεμφῆναι. οὕτως οὖν ἔσται, φησίν, ὡς ἔχει τὸ ὁρώ-

---

1 ὑπολαμβάνοντα scripsi: ὑπολαμβάνειν Pap GHP, ὑπολαμβάνει OAB φλιᾶς AB (Hoeschel ad Phrynichum, v. Lobeck p. 259): φιλίας Pap (?) et ceteri 2 ἀπολίπηται GHP δὲ om. GHP 3 διωκισάμενος A, διωκησάμενος B, διωκισμοῖς G τυγχάνῃ Turn.: τυγχάνοι Pap et codd. δὲ om. Pap
4 Μωσῆν codd. ουτως ο φιλος Pap: ὁ φίλος οὕτως OABG, ὁ φίλος οὗτος HP ἀδιαφορεῖν OAB 6 ἔσται codd.: εστιν Pap ὅταν om. O ἕως] ως Pap 7 ἐξέλθοι AB σωματικῶς Pap OHP: σωματικαῖς ABG
8 οταν Pap καθαρος Pap 9 ἀλλὰ] ἀλλ' ἡ GHP ἀπ'] ἐξ OAB
10. 11 ἔνδον Pap H²: ἐνδεῖ ceteri 12 των κατας Pap 13 post δοκεῖν add. δίκην G 14 και αυτοκρατορι γνωμηι Pap: γνώμῃ καὶ αὐτοκράτορι codd.
15 προσαγαγὼν OAB αὐτὸν om. Pap 16. 17 τοὺς—alterum (ουτω)ς] 9 litterae evanidae, tum, ut vid., 3 lineae exciderunt, tum 4 litterae evanidae in Pap
16 αστηρας Pap ἐξαριθμῆσαι ex LXX Turn.: τοῦ ἀριθμῆσαι codd. N 18 post οὕτως ἔσται add. τὸ σπέρμα σου v 18 αριθμον Pap 18. 19 το πληθος αυτο Pap: αὐτὸ (αὖ A) τὸ πλῆθος codd., αὐτὸ πλῆθος N 19 μυρια αλλα Pap: ἄλλα μυρία codd. N ὁλόκληρα OAB 20 παρεμφῆναι GHP¹N: παραπεμφθῆναι OABP², παρεμφαίνειν Pap (?) v

---

6 sqq. ἄνθρωπος ad sacerdotem refert et mystica ratione eadem interpretatur Orig. Homil. in Lev. IX 11 p. 244. 15—21,15 προαγαγὼν — σβέννυσθαι N fol. 165v.

μενον αἰθέριον, οὕτως οὐράνιον, οὕτως αὐγῆς γέμον ἀσκίου καὶ καθαρᾶς
— οὐρανοῦ γὰρ ἀπελήλαται νὺξ καὶ αἰθέρος τὸ σκότος —, ἀστεροει-
δέστατον, εὖ διακεκοσμημένον, τάξει χρώμενον ἀκλινεῖ τῇ κατὰ ταὐτὰ
καὶ ὡσαύτως ἐχούσῃ. βούλεται γὰρ ἀντίμιμον οὐρανοῦ, εἰ δὲ χρὴ καὶ 88
προσυπερβάλλοντα εἰπεῖν, οὐρανὸν ἐπίγειον ἀποφῆναι τὴν τοῦ σοφοῦ
ψυχὴν ἔχουσαν ⟨ἐν ἑαυτῇ καθάπερ⟩ ἐν αἰθέρι καθαρὰς φύσεις, τεταγ-
μένας κινήσεις, χορείας ἐμμελεῖς, θείας περιόδους, ἀρετῶν ἀστεροειδε-
στάτας καὶ περιλαμπεστάτας αὐγάς. εἰ δ' ἀμήχανον αἰσθητῶν ἀστέρων
ἀριθμὸν εὑρεῖν, πῶς οὐχὶ μᾶλλον νοητῶν; ἐφ' ὅσον γὰρ οἶμαι τὸ κρῖ- 89
νον τοῦ κρίνοντος ἄμεινον ἢ χεῖρον — νοῦς μὲν γὰρ ἄμεινον αἰσθήσεως,
διανοίας δὲ ἀμβλύτερον αἴσθησις —, ἐπὶ τοσοῦτον καὶ τὰ κρινόμενα
διενήνοχεν· ὥστε μυρίῳ πλήθει τὰ νοητὰ τῶν αἰσθητῶν ὑπερβάλλειν.
τοῦ γὰρ ψυχῆς ὄμματος βραχυτάτη μοῖρα οἱ κατὰ τὸ σῶμα ὀφθαλμοί·
τὸ μὲν γὰρ ἔοικεν ἡλίῳ, λυχνούχοις δὲ οὗτοι μελετῶσιν ἐξάπτεσθαι τε
καὶ σβέννυσθαι.

(18.) Ἀναγκαίως οὖν ἐπιλέγεται „ἐπίστευσεν Ἀβραὰμ τῷ θεῷ" 90
(Gen. 15, 6) πρὸς ἔπαινον τοῦ πεπιστευκότος. καίτοι, τάχα ἄν τις
εἴποι, τοῦτ' ἄξιον ἐπαίνου κρίνετε; τίς δὲ οὐκ ἄν τι λέγοντι καὶ ὑπι-
σχνουμένῳ θεῷ προσέχοι τὸν νοῦν, κἂν εἰ πάντων ἀδικώτατος καὶ ἀσε-
βέστατος ὢν τυγχάνοι; πρὸς ὃν ἐροῦμεν· ὦ γενναῖε, μὴ ἀνεξετάστως ἢ 91
τὸν σοφὸν ἀφέλῃ τὰ πρέποντα ἐγκώμια ἢ τοῖς ἀναξίοις τὴν τελειοτάτην
ἀρετῶν, πίστιν, μαρτυρήσῃς ἢ τὴν ἡμετέραν περὶ τούτων γνῶσιν αἰτιάσῃ.
βαθυτέραν γὰρ εἰ βουληθείης ἔρευναν καὶ μὴ σφόδρ' ἐπιπόλαιον ποιή- 92
σασθαι, σαφῶς γνώσῃ, ὅτι μόνῳ θεῷ χωρὶς ἑτέρου προσπαραλήψεως
οὐ ῥᾴδιον πιστεῦσαι διὰ τὴν πρὸς τὸ θνητὸν ᾧ συνεζεύγμεθα συγγένειαν·
ὅπερ ἡμᾶς καὶ χρήμασι καὶ δόξῃ καὶ ἀρχῇ καὶ φίλοις ὑγείᾳ τε καὶ
p. 486 M. ῥώμῃ σώματος καὶ ἄλλοις πολλοῖς ἀναπείθει πεπιστευκέναι. τὸ δὲ | ἐκ- 93

---

2 αιθερος Pap (Mang.): ἀρετῆς codd. N  2. 3 αστεροειδεστατον Pap: ἀστροειδέστατον codd. N  6 ἐν ἑαυτῇ καθάπερ sic supplevi 13 litteras Pap: om. codd. N  φύσεις N (Mang.): φάσεις Pap (?) et codd.  7 χρείας A  εὐμελεῖς OAB  θείους OB  7. 8 ἀστεροειδεστάτας scripsi (Pap?): ἀστροειδεστάτας codd. N  8 καὶ—ἀμήχανον om. N  9 εὑρεῖν] ἰδεῖν G  10 κρίνοντος Mang.: κρινομένου Pap et codd. N  12 ὑπερβάλλει OA  13 το σωμα Pap N: σῶμα GH², σώματος ceteri  14 μέλλουσιν conicio  17 καίτοι] καὶ A  18 τοῦτο A  κρίνεται GPH¹  δ' B  τι del H²  19 προσέχειν AB  20 ὃν om. Pap  ω γενναιε μη Pap: μή, μή, ὦ γενναῖε codd.  21 τελειότητα O, τελειοτάτην GHP  22 μαρτυρήσεις BGHP  γνῶσιν αἰτιάσῃ om. OAB  23 ερευναν Pap  σφόδρα codd.  24 γνωσει Pap  χορις Pap  προσπαραλημψεως Pap, παραλήψεως B, παραπλησίως A  27 δ' OAB

νίψασθαι τούτων ἕκαστον καὶ ἀπιστῆσαι γενέσει τῇ πάντα ἐξ ἑαυτῆς ἀπί-
στῳ, μόνῳ δὲ πιστεῦσαι θεῷ τῷ καὶ πρὸς ἀλήθειαν μόνῳ πιστῷ
μεγάλης καὶ ὀλυμπίου ἔργον διανοίας ἐστί, οὐκέτι πρὸς οὐδενὸς δελεαζο-
94 μένης τῶν παρ' ἡμῖν. (19.) εὖ δὲ τὸ φάναι „λογισθῆναι τὴν πίστιν
εἰς δικαιοσύνην αὐτῷ" (Gen. 15,6)· δίκαιον γὰρ οὐδὲν οὕτως, ὡς ἀκράτῳ
95 καὶ ἀμιγεῖ τῇ πρὸς θεὸν μόνον πίστει κεχρῆσθαι. τὸ δὲ δίκαιον καὶ
ἀκόλουθον τοῦτο τῇ φύσει παράδοξον ἐνομίσθη διὰ τὴν τῶν πολλῶν
ἀπιστίαν ἡμῶν, οὓς ἐλέγχων ὁ ἱερὸς λόγος φησίν, ὅτι τὸ ἐπὶ μόνῳ τῷ
ὄντι βεβαίως καὶ ἀκλινῶς ὁρμεῖν θαυμαστὸν μὲν παρ' ἀνθρώποις, οἷς
ἀγαθῶν ἀδόλων κτῆσις οὐκ ἔστιν, οὐ θαυμαστὸν δὲ παρ' ἀληθείᾳ βρα-
βευούσῃ, δικαιοσύνης δ' αὐτὸ μόνον ἔργον.
96 (20.) „Εἶπε δὲ" φησί „πρὸς αὐτόν· ἐγὼ ὁ θεὸς ὁ ἐξαγαγών σε
ἐκ χώρας Χαλδαίων, ὥστε δοῦναί σοι τὴν γῆν ταύτην κληρονομῆσαι"
(Gen. 15, 7). τοῦτ' οὐχ ὑπόσχεσιν μόνον, ἀλλὰ καὶ παλαιᾶς ὑποσχέ-
97 σεως βεβαίωσιν ἐμφαίνει. τὸ μὲν οὖν πάλαι δωρηθὲν ἀγαθὸν ἔξοδος ἦν
ἀπὸ τῆς Χαλδαϊκῆς μετεωρολογίας, ἥτις ἀνεδίδασκεν οὐ θεοῦ ἔργον,
ἀλλὰ θεὸν ὑπολαμβάνειν τὸν κόσμον εἶναι καὶ τό τε εὖ καὶ τὸ χεῖρον
ἅπασι τοῖς οὖσι φοραῖς καὶ τεταγμέναις περιόδοις ἀστέρων ἀριθμεῖσθαι
καὶ ἐνθένδε τὴν ἀγαθοῦ καὶ κακοῦ γένεσιν ἠρτῆσθαι — ταῦτα δ' ἡ τῶν
κατ' οὐρανὸν ὁμαλὴ καὶ τεταγμένη κίνησις τοὺς εὐχερεστέρους ἀνέπεισε
τερατεύεσθαι· καὶ γὰρ τὸ Χαλδαίων ὄνομα μεταληφθὲν ὁμαλότητι παρω-

---

2 μιστω Pap 3 ὀλυμπίας OAB εργον διανοιας Pap: διανοίας ἔργον codd. ουκετι προς ουδενος Pap: πρὸς οὐδενὸς οὐκέτι codd. 4 δὲ] δαι Pap 5 αὐτῶν OAB οὐδὲν οὕτως Pap G: οὕτως οὐδὲν ceteri 7 ακουλοθον Pap τοῦτο om. HP$^1$ ἐνομίσθη] ἔδοξε OAB 9 ante οἷς add. οἷς αἱ δούλων G 10 παρα Pap 11 δὲ AB αὐτῷ G 12 ειπεν Pap ος (εξηγαγε) σε Pap (?) 13 εκ χωρας Pap: ἀπὸ χώρας G, ἐκ γῆς ceteri 14 τοῦθ' Pap P, τοῦτο OAB οὐχ om., sed οὐχὶ ante μόνον habent PH$^1$ 15 ἀγαθὸν] τῷ Ἀβραὰμ ἀγαθὸν D$^R$, τῷ Ἀβραὰμ D$^H$ 17 τὸν κόσμον εἶναι ὑπολαμβάνειν AB, εἶναι τὸν κόσμον ὑπολαμβάνειν O, ὑπολαμβάνειν εἶναι τὸν κόσμον D$^H$ (?) 18 ⟨ἐν⟩ ἅπασι Mang. ex Mss. (?) απασιν Pap ουσιν Pap περιόδοις ἀστέρων Pap GD$^H$, περιόδοις ἄστρων D$^R$: ἀστέρων περιόδοις ceteri ἀριθμεῖσθαι] ἁρμόττεσθαι coni. Mang. 19 δ' ἡ scripsi: δὴ GHPD, δὲ Pap OAB 20 κατ'] κατα τον Pap ἡ add. ante ὁμαλὴ AOBH$^2$ ὁμαλὴ] μαλακὴ OAB τεταγμένη Pap DH$^2$: ἐκτεταμένη ceteri ἀνέπεισε Pap D: ἔπεισε codd. 21 Χαλδαῖον PD$^R$ μεταλημφθεν Pap ονοματητι Pap, ὁμαλότητα L

---

15—23, 13 D$^R$ fol. 47r Φίλωνος ἐκ τοῦ τίς ὁ τῶν θείων κληρονόμος D$^H$ fol. 135 Φίλωνος: τὸ μὲν πάλαι — διαδοχῆς.

νομεῖ —, τὸ δὲ νέον ἀγαθὸν κληρονομῆσαι σοφίαν τὴν ἄδεκτον μὲν 98
αἰσθήσει, νῷ δ' εἰλικρινεστάτῳ καταλαμβανομένην, δι' ἧς ἀποικιῶν ἡ
ἀρίστη βεβαιοῦται μετανισταμένης τῆς ψυχῆς ἀπὸ ἀστρονομίας ἐπὶ φυσι-
ολογίαν καὶ ἀπὸ ἀβεβαίου εἰκασίας ἐπὶ πάγιον κατάληψιν καὶ κυρίως
εἰπεῖν ἀπὸ τοῦ γεγονότος πρὸς τὸ ἀγένητον, ἀπὸ τοῦ κόσμου πρὸς τὸν
ποιητὴν καὶ πατέρα αὐτοῦ. τοὺς μὲν γὰρ τὰς γνώμας χαλδαΐζοντας 99
οὐρανῷ πεπιστευκέναι, τὸν δ' ἐνθένδε μεταναστάντα τῷ ἐπόχῳ τοῦ οὐ-
ρανοῦ καὶ ἡνιόχῳ τοῦ παντὸς κόσμου, θεῷ, φασὶν οἱ χρησμοί. καλός
γε ὁ κλῆρος, μείζων ἴσως τῆς δυνάμεως τοῦ λαμβάνοντος, ἐπάξιος δὲ
τοῦ μεγέθους τοῦ διδόντος.

(21.) Ἀλλ' οὐκ ἐξαρκεῖ χρηστὰ ἐλπίσαι καὶ θαυμάσια ἡλίκα 100
προσδοκῆσαι τῷ σοφίας ἐραστῇ διὰ τῶν θεσπισθέντων· ἀλλ' εἰ μὴ καὶ
τρόπον γνώσεται καθ' ὃν ἐφίξεται τῆς τοῦ κλήρου διαδοχῆς, παγχάλε-
p. 487 M. πον | ἡγεῖται, ἅτε διψῶν ἐπιστήμης καὶ ἀπλήστως ἔχων αὐτῆς· διὸ πυν-
θάνεται φάσκων· „δέσποτα, κατὰ τί γνώσομαι, ὅτι κληρονομήσω αὐτήν“
(Gen. 15, 8); ἴσως ἄν τις εἴποι μάχεσθαι τοῦτο τῷ πεπιστευκέναι· τὸ 101
μὲν γὰρ ἀπορεῖν ἐνδοιάζοντος, τὸ δὲ μηκέτι ζητεῖν ἔργον εἶναι πεπιστευ-
κότος. λεκτέον οὖν, ὅτι καὶ ἀπορεῖ καὶ πεπίστευκεν, οὐ μὴν περὶ τοῦ αὐ-
τοῦ, πολλοῦ γε καὶ δεῖ. πεπίστευκε μὲν γὰρ ὅτι κληρονόμος ἔσται σοφίας,
τὸν δὲ τρόπον αὐτὸ μόνον ζητεῖ καθ' ὃν ἂν γένοιτο· τὸ δ' ὅτι γενήσε-
ται, πάντως κατὰ τὰς θείας ὑποσχέσεις βεβαίως κατείληφεν. τὸν πόθον 102
οὖν, ᾧ κέχρηται πρὸς τὸ μαθεῖν, ἐπαινέσας ὁ διδάσκαλος ἄρχεται τῆς

1 κληρονομῆσαι Pap D: κτήσασθαι codd. ἄδεκτον Pap $D^R$: ἀδίδακτον codd. $D^H$ (?) 2 δὲ codd. καταλαμβανομένη G 2. 3 ἡ ἀρίστη ἀποικιῶν HP, ἀρίστη ἀποικιῶν L 3 ἀστρολογίας OAB 4 βεβαίου $OGHP^1D^H$, οὐ βεβαίου $P^2$ 5 τὸ ἀγέννητον OAB, τα αγενητα Pap ἀπὸ τοῦ om. Pap ἀπὸ] ἐπὶ G τοῦ om. D 6 (ποιητην) και πατερα αυτου Pap: ποιητὴν καὶ κύριον αὐτοῦ (αὐτῆς $D^R$) D, πατέρα καὶ ποιητὴν αὐτοῦ codd. ταῖς γνώμαις coni. Mang. 7 δὲ OGHP, om. D 8 φασὶ θεῷ OAB 8—10 καλὸς — διδόντος om. D 11 ἡνίκα P 12 τῷ] το Pap 13 ἐφέξεται $GD^L$ 14 διὸ] δια Pap 15 δέσποτα Pap: κύριε θεέ codd. 16 τῷ] τὸ G 17 μὲν γὰρ] μεν Pap 17. 18 εργον ειναι πεπιστευκοτος Pap: πεπιστευκότος ἔργον εἶναι codd. 18 prius και Pap: om. codd. 19 πολλοῦ] καὶ πολλοῦ v πεπιστευκεν μεν Pap: πεπίστευκε codd. ἐστὶ OAB 21 παντω Pap κατείληφε codd.

16 sqq. *Orig. Comment. in Gen. (ad eundem locum) p. 35:* οὐκ ἦν κατὰ τὸν πιστεύσαντα .... ἀπιστεῖν, ὡς ἄν τις οἰηθείη. ἀλλὰ μήποτε πιστεύσας πρότερον νῦν καὶ γνῶσιν αἰτεῖ τὴν περὶ τῶν πεπιστευμένων. cf. Theodoreti quaest. in Gen. LXV.

ὑφηγήσεως ἀπὸ στοιχειώδους εἰσαγωγῆς, ἐν ᾗ πρῶτον καὶ ἀναγκαιότατον
γέγραπται „λάβε μοι" (Gen. 15,9)· βραχεῖα μὲν ἡ λέξις, πολλὴ δὲ ἡ δύνα-
103 μις· ἐμφαίνει γὰρ οὐκ ὀλίγα. πρῶτον μέν, ἴδιον, φησίν, οὐδὲν ἔχεις ἀγαθόν,
ἀλλ' ὅ τι ἂν νομίσῃς ἔχειν, ἕτερος παρέσχηκεν. ἐξ οὗ συνάγεται ὅτι θεοῦ
τοῦ διδόντος κτήματα πάντα, ἀλλ' οὐ τῆς μεταίτου καὶ τὰς χεῖρας εἰς τὸ
104 λαβεῖν προτεινούσης γενέσεως. δεύτερον δέ, κἂν λάβῃς, λάβε μὴ σεαυτῷ,
δάνειον δὲ ἢ παρακαταθήκην νομίσας τὸ δοθὲν τῷ παρακαταθεμένῳ καὶ
συμβαλόντι ἀπόδος, πρεσβυτέραν χάριν χάριτι νεωτέρᾳ, προκατάρχουσαν
105 ἀντεκτινούσῃ δικαίως καὶ προσηκόντως ἀμειψάμενος. (22.) μυρίοι γὰρ ἔξαρ-
νοι παρακαταθηκῶν ἐγένοντο ἱερῶν, τοῖς ἀλλοτρίοις ὡς ἰδίοις ὑπ' ἀμέτρου
τῆς πλεονεξίας καταχρησάμενοι. σὺ δέ, ὦ γενναῖε, παντὶ σθένει πειρῶ μὴ
μόνον ἀσινῆ καὶ ἀκιβδήλευτα φυλάττειν ἃ ἔλαβες, ἀλλὰ καὶ πάσης ἐπι-
μελείας ἀξιοῦν, ἵν' ὁ παρακαταθέμενος μηδὲν ἔχῃ τῆς παρὰ σοῦ φυλα-
106 κῆς αἰτιάσασθαι. παρακατέθετο δέ σοι αὐτῷ ψυχήν, λόγον, αἴσθησιν ὁ
ζῳοπλάστης, ἃ συμβολικῶς δάμαλις, κριός, αἲξ ἐν ἱεραῖς γραφαῖς ὠνο-
μάσθησαν (Gen. 15, 9). ταῦτα δ' οἱ μὲν εὐθὺς ὑπὸ φιλαυτίας ἐνοσφί-
107 σαντο, οἱ δὲ ἐταμιεύσαντο πρὸς καιριωτάτην ἀπόδοσιν. τῶν μὲν οὖν
νοσφιζομένων οὐκ ἔστιν ἀριθμὸν εὑρεῖν· τίς γὰρ ἡμῶν ψυχὴν καὶ αἴσθησιν

1 ἀναγκαιότατα G 2 γέγραπται om. OAB prius ἡ om. GP δὲ ἡ OAB$H^2$: δὲ Pap G$H^1$P 3 ἀγαθόν om. OAB 5 πάντα om. OAB μεταιτου Pap: μετ' αὐτὸν G$H^2$, μετ' αὐτοῦ ceteri. hic incipit pars recens ex Turnebi ed. descripta in O 7 προκαταθεμένω AB 8 συμβαλόντι Pap AB: σύμβολόν τι ceteri νεωτέραν GP$H^1$ 9 αντεκτεινουσηι Pap μυριοι Pap D: πολλοὶ codd. 9. 10 εξ-αρνοι Pap D: ἔξα G, ἐκ ceteri 10 ιερων hic hab. Pap: ante ἐγένοντο codd., om. D; post ἱερῶν add. πονηροὶ $H^2$ ὑπὸ μέτρου GP$H^1$ 11 post γενναῖε add. καὶ τῶν θείων ὑπήκοε D παντὶ σθένει πειρῶ Pap D: πειρῶ παντὶ σθένει codd. 12 πάσης Pap D: πλείονος codd. 13 post ἀξιοῦν add. ὡς αὐτεξούσιος καὶ δυνατός D ἵνα D ἔχει $D^M$, ἔχοι GHP 13. 14 τῆς παραφυλακῆς D 13 παρὰ] περὶ B σοῦ] σοὶ coni. Mang. (Pap?) 14 αἰτιᾶσθαι Pap (?) $D^{Mv}$ σοι αὐτῷ] τῇ σῇ προαιρέσει D 15. 16 ὠνομάσθησαν om. AB 16 δε Pap εὐθὺς om. AB, in ras. P ὑπὸ] ἀπὸ G φιλαυθιας Pap, φιλαυτίαν B 17 ἐταμιεύσαντο hic hab. Pap: post ἀπόδοσιν transpos. codd. καιριωτέραν coni. Mang. 18. 25,1 αισθησιν και λογον Pap: λόγον καὶ αἴσθησιν codd.

9—11 $D^P$ fol. 268, $D^L$ fol. 125$^v$ Φίλωνος ἐκ τοῦ τίς ὁ τῶν θείων κληρονόμος $D^R$ fol. 230$^v$ Φίλωνος: μυρίοι—καταχρησάμενοι. 11—15 $D^M$ fol. 18$^r$ $D^L$ fol. 57$^r$ Φίλωνος ἐκ τοῦ τίς ὁ τῶν θείων κληρονόμος $D^R$ fol. 18$^v$ Φίλωνος: σοὶ λέγεται, ὦ γενναῖε—ζῳοπλάστης. pergunt p, 25,19.

καὶ λόγον, πάνθ' ὁμοῦ ταῦτ' οὔ φησιν ἑαυτοῦ κτήματ' εἶναι, τὸ
αἰσθάνεσθαι, τὸ λέγειν, τὸ καταλαμβάνειν οἰόμενος ἐφ' ἑαυτῷ μόνῳ
κεῖσθαι; τῶν δὲ τὴν πίστιν ἱερὰν καὶ ἄσυλον ὄντως διαφυλαττόντων 108
ὀλίγος ἐστὶν ἀριθμός. οὗτοι ταῦτα τὰ τρία ἀνατεθείκασι θεῷ, ψυχήν,
αἴσθησιν, λόγον· ἔλαβον γὰρ οὐχ ἑαυτοῖς, ἀλλ' ἐκείνῳ πάντα ταῦτα,
ὥστε εἰκότως ὡμολόγησαν κατ' αὐτὸν εἶναι τὰς ἑκάστων ἐνεργείας, τοῦ
νοῦ τὰς διανοήσεις, τοῦ λόγου τὰς ἑρμηνείας, τῆς αἰσθήσεως τὰς φαν-
τασίας. οἱ μὲν οὖν ἑαυτοῖς ταῦτα ἐπιγράφοντες ἄξια τῆς ἑαυτῶν βαρυ- 109
p. 488 M. δαιμονίας | ἐκληρώσαντο, ψυχὴν μὲν ἐπίβουλον, ἀλόγοις πάθεσι πεφυρ-
μένην καὶ πλήθει κακιῶν κατειλημμένην, τοτὲ μὲν ὑπὸ λαιμαργίας καὶ
λαγνείας ὥσπερ ἐν χαμαιτυπείῳ περιυβριζομένην, τοτὲ δὲ ὑπὸ πλήθους
ἀδικημάτων ὥσπερ ἐν δεσμωτηρίῳ καθειργμένην μετὰ κακούργων, οὐκ
ἀνθρώπων, ἀλλ' ἐπιτηδευμάτων, ἃ πᾶσι τοῖς κριταῖς [ἢ τιμωρηταῖς]
ἀγώγιμα γέγονε, λόγον δὲ στόμαργον, ἠκονημένον κατὰ τῆς ἀληθείας,
βλαβερὸν μὲν τοῖς ἐντυγχάνουσιν, αἰσχύνην δὲ τοῖς κεκτημένοις ἐπιφέ-
ροντα, αἴσθησιν δὲ ἀκόρεστον, ἐμφορουμένην μὲν αἰεὶ τῶν αἰσθητῶν,
ὑπὸ δὲ ἀκράτορος τῆς ἐπιθυμίας μηδέποτε ἐμπλησθῆναι δυναμένην,
ἀλογοῦσαν τῶν σωφρονιστῶν, ὡς παρορᾶν καὶ παρακούειν καὶ ὅσα ἂν
ἐπ' ὠφελείᾳ διεξέρχωνται παραπτύειν. οἱ δὲ λαβόντες μὴ ἑαυτοῖς, 110
ἀλλὰ θεῷ τούτων ἕκαστον αὐτῷ ἀνέθεσαν, ἱεροπρεπὲς καὶ ἅγιον ὄντως
φυλάξαντες τῷ κτησαμένῳ, τὴν μὲν διάνοιαν, ἵνα μηδὲν ἄλλο ἢ περὶ

---

1 πανθ' ομου ταυτ' ου Pap: πάντα ὁμοῦ ταῦτα (τὰ G) GHP, οὐ πάντα ὁμοῦ ταῦτα AB    εαυτου κτηματ' Pap: κτήματα αὐτοῦ GHP, κτήματα αὐτῷ AB    2 ἑαυτοῦ PL, ἑ$^{τ}$αυ H    3 τὴν Pap GP: om. ceteri    4 ταῦτα om. Pap    ανατεθειχασιν Pap    4. 5 ψυχήν, αἴσθησιν, λόγον om. AB    5 παντα ταυτα Pap: ταῦτα πάντα codd.    6 ὥστε Pap (Turn.): ὅτε G, ὧ τε HP, ὧ καὶ AB    κατ' αυτον Pap: καθ' αὐτὸν GHP, καθ' ἑαυτὸν ABL    7 αι ερμηνειαι Pap    8 post ἄξια add. ταῦτα ABH$^{2}$, αὐτὰ GP, ταυτὰ H$^{1}$, ταύτης coni. Mang.    αὐτῶν AB    11. 12 ὥσπερ — ἀδικημάτων add. mg. H$^{2}$    11 χαμαιτύπη ABGP    περιμυριζομένην G    δὲ] δη Pap    12 καθειργμένην Pap: καθειργνυμένην codd.    13 ἀλλὰ Pap A    η τιμωρηταις Pap: om. codd., fort. aliud latet (καὶ μάρτυσι?)    14 γέγονε Pap ABG: γίνεται HP    15 βλάβην conicio    16 ἀεὶ codd.    17 της Pap: om. codd.    20 τούτων Pap et H$^{2}$: ταῦτα ceteri    αὐτῷ H$^{2}$: αὐτῶν ceteri et Pap    21 φυλάξαντες Pap HPD: διαφυλάξαντες ABG    τῷ κτησαμένῳ Pap GHP: τὸ κεκτημένον AB, τὸ κτῆμα coni. Mang, τῷ παρακαταθεμένῳ conicio    μηδὲν codd: μὴ Pap    ἢ Pap D: ἢ τὰ codd.

---

19—26,7 ibid. οἱ μὲν οὖν ταῦτα καλῶς δεξάμενοι καὶ φυλάξαντες τῷ δεδωκότι τὴν μὲν διάνοιαν ἐτήρησαν, ἵνα μηδὲν ἄλλο — διαγγέλλῃ.

θεοῦ καὶ τῶν ἀρετῶν αὐτοῦ διανοῆται, τὸν δὲ λόγον, ἵν' ἀχαλίνῳ
στόματι ἐγκωμίοις καὶ ὕμνοις καὶ εὐδαιμονισμοῖς γεραίρῃ τὸν τῶν ὅλων
πατέρα, τὰς πρὸς ἑρμηνείαν ἁπάσας ἀρετὰς εἰς ἓν τοῦτο μόνον ἔργον
συγκροτῶν καὶ ἐπιδεικνύμενος, τὴν δὲ αἴσθησιν, ἵνα φαντασιουμένη τὸν
αἰσθητὸν ἅπαντα κόσμον οὐρανὸν καὶ γῆν καὶ τὰς μεταξὺ φύσεις, ζῷά
τε καὶ φυτά, ἐνεργείας τε καὶ δυνάμεις αὐτῶν καὶ ὅσαι κινήσεις καὶ
111 σχέσεις, ἀδόλως καὶ καθαρῶς ψυχῇ διαγγέλλῃ. νῷ γὰρ ὁ θεὸς κατα-
λαμβάνειν τὸν μὲν νοητὸν κόσμον δι' ἑαυτοῦ, τὸν δὲ ὁρατὸν δι' αἰσθή-
σεως ἐφῆκεν. εἰ δὴ δύναιτό τις πᾶσι τοῖς μέρεσι ζῆσαι θεῷ μᾶλλον
ἢ ἑαυτῷ, διὰ μὲν τῶν αἰσθήσεων εἰς τὰ αἰσθητὰ διακύψας ἕνεκα τοῦ
τἀληθὲς εὑρεῖν, διὰ δὲ τῆς ψυχῆς τὰ νοητὰ καὶ ὄντα ὄντως φιλοσοφή-
σας, διὰ δὲ τοῦ κατὰ τὴν φωνὴν ὀργάνου καὶ τὸν κόσμον καὶ τὸν δη-
112 μιουργὸν ὑμνήσας, εὐδαίμονι καὶ μακαρίῳ βίῳ χρήσεται. (23.) ταῦτα
ἐκ τοῦ „λάβε μοι" παρεμφαίνεσθαι νομίζω. βουληθεὶς μέντοι καὶ τῆς
θείας ἀρετῆς ἀπ' οὐρανοῦ τὴν εἰκόνα ἐπὶ γῆν καταπέμψαι δι' ἔλεον
τοῦ γένους ἡμῶν, ἵνα μὴ ἀτυχήσῃ τῆς ἀμείνονος μοίρας, συμβολικῶς
τὴν ἱερὰν σκηνὴν καὶ τὰ ἐν αὐτῇ κατασκευάζει, σοφίας ἀπεικόνισμα
113 καὶ μίμημα. τῆς γὰρ ἀκαθαρσίας ἡμῶν ἐν μέσῳ φησὶ τὴν σκηνὴν
ἱδρῦσθαι τὸ λόγιον, ἵν' ἔχωμεν ᾧ καθαρθησόμεθα ἐκνιψάμενοι καὶ ἀπο-
λουσάμενοι τὰ καταρρυπαίνοντα ἡμῶν τὸν ἄθλιον καὶ | δυσκλείας γέμοντα p. 489 M.
βίον. τὰ συντείνοντα οὖν πρὸς τὴν κατασκευὴν ἴδωμεν ὃν τρόπον εἰσφέ-
ρειν προσέταξεν. „ἐλάλησε" φησί „κύριος πρὸς Μωυσῆν λέγων· εἰπὸν
τοῖς υἱοῖς Ἰσραήλ, καὶ λάβετέ μοι ἀπαρχάς, παρὰ πάντων οἷς ἂν δόξῃ

---

1 διανηται Pap, διανοῆσαι v ἵνα Pap D 2 ἐγκωμίοις Pap ABD: ἐγκωμίω GHP καὶ εὐδαιμονισμοῖς om. D γεγαίροι v 3. 4 τὰς πρὸς — ἐπιδεικνύμενος om. D 4 δὲ om. B φαντασιούμενοι B 4. 5 τὸν αἰσθητὸν ἅπαντα κόσμον Pap DL DR: τὸν αἰσθητὸν κόσμον ἅπαντα DM, πάντα τὸν αἰσθητὸν κόσμον codd. 5 prius καὶ Pap D: τε καὶ codd. 5—7 ζῷα — σχέσεις om. D
7 τῆ ψυχῆ D διαγγελῃι Pap DR, διαγγέλλοι v 9 δη Pap: δὲ codd.
11 το αληθες Pap 13 βίῳ om. Pap ταῦτ' B 15 ἀκόνα ut vid. L, ἀκρότητα v τὴν γῆν DC, γῆς DR καταπέμψαι post οὐρανοῦ transp. DC
16 τῆς] τέλεον τῆς D μείζονος DR 17. 18 καὶ τὰ — σκηνὴν om. AB ἀπεικονίσματα καὶ μιμήματα D 19 ἱδρῦσθαι Pap D: ἱδρύσασθαι codd. τὸ λόγιον post φησὶ transpos. D post λόγιον add. διετάξατο ABP[2] ἵνα codd. D
20 τὰ] πρὸς τὸν DR 22 φησιν Pap εἶπον codd. 23 λάβε G παρα παντων Pap: om. codd.

---

14—21 DC fol. 173v τοῦ αὐτοῦ DR fol. 162v post locum ad vol. I p. 72,3 allatum: βουληθεὶς οὖν (οὖν om. DC) ὁ θεὸς τῆς θείας — βίον.

τῇ καρδίᾳ, λήψεσθε τὰς ἀπαρχάς μου“ (Exod. 25, 1. 2.). οὐκοῦν κἀν- 114
ταῦθα παραίνεσις μὴ ἑαυτοῖς ἀλλὰ θεῷ λαβεῖν, τίς τε ὁ διδοὺς ἐστιν
ἐξετάζοντας καὶ τὰ δοθέντα μὴ σινομένους, ἀσινῆ δὲ καὶ ἄμωμα τέλειά
τε αὖ καὶ ὁλόκληρα διαφυλάττοντας. τὰς δ' ἀρχὰς δογματικώτατα ἀνέ-
θηκεν αὐτῷ· τῷ γὰρ ὄντι καὶ σωμάτων καὶ πραγμάτων αἱ ἀρχαὶ κατὰ
θεὸν ἐξετάζονται μόνον. ἐρεύνησον δέ, εἰ θέλεις γνῶναι, ἕκαστα, φυτά, 115
ζῷα, τέχνας, ἐπιστήμας. ἆρ' οὖν αἱ πρῶται τῶν φυτῶν σπερματικαὶ
καταβολαὶ γεωργίας ἢ τῆς ἀοράτου φύσεώς εἰσιν ἀόρατα ἔργα; τί δ' αἱ
ἀνθρώπων καὶ τῶν ἄλλων ζῴων γενέσεις; οὐχ ὡσανεὶ μὲν συναιτίους
ἔχουσι τοὺς τοκέας, τὴν δ' ἀνωτάτω καὶ πρεσβυτάτην καὶ ὡς ἀληθῶς
αἰτίαν τὴν φύσιν; τέχναις δὲ καὶ ἐπιστήμαις οὐ πηγὴ καὶ ῥίζα καὶ 116
θεμέλιοι καὶ εἴ τι ἄλλο πρεσβυτέρας ὄνομα ἀρχῆς ὑπόκειται ἡ φύσις,
ᾗ πάντ' ἐποικοδομεῖται τὰ καθ' ἑκάστην θεωρήματα; φύσεως δὲ μὴ
προϋποκειμένης ἀτελῆ τὰ πάντα. ἐνθένδε μοι δοκεῖ τις ὁρμηθεὶς εὐστό-
χως εἰπεῖν

ἀρχὴ δέ τοι ἥμισυ παντός,

ἀρχὴν αἰνιξάμενος τὴν φύσιν, ἥτις ὡσανεὶ ῥίζα καταβέβληται πρὸς
τὴν ἑκάστου συναύξησιν, ᾗ καὶ τὸ ἥμισυ τοῦ παντὸς ἀπένειμεν.
(24.) εἰκότως οὖν τὸ λόγιον ἀνέθηκε τὰς ἀρχὰς τῷ ἡγεμόνι 117
θεῷ. καὶ ἐν ἑτέροις „εἶπεν“ φησίν „κύριος πρὸς Μωυσῆν λέ-
γων· ἁγίασόν μοι πᾶν πρωτότοκον, πρωτογενές, διανοῖγον πᾶσαν
μήτραν ἐν υἱοῖς Ἰσραὴλ ἀπὸ ἀνθρώπου ἕως κτήνους· ἐμοί ἐστιν“

---

1 λήψεσθε Mang: λήψεσθαι codd., λημψεσθαι Pap 1. 2 καὶ ἐνταῦθα codd. 2 λαβειν Pap: λαμβάνειν codd. ἐστιν ὁ διδούς codd. 3 ἐξετάζοντα G ante ἀσινῆ add. ἀλλ' $H^2$ δε Pap: τε codd. καὶ om. AB 4 αὖ καὶ] αὐτὰ G διαφυλαττοντος Pap, διαφυλάττοντα G, φυλάττοντας P ἀπαρχὰς coni. Mang. 6 εραυνησον Pap post θέλεις add. μόνον AB 7 αρ' ουν Pap: ἆρά γε οὖν codd. τῶν] τε τῶν G σπερματικαὶ] ἀρχαὶ σπέρματα καὶ AB 8 ἀόρατα] ἄρα τὰ $H^1$P, del. $H^2$ 9 γενεσις Pap μὲν] μὴ P$H^1$ 10 δ' ανωτατωι Pap, δ' ἀνωτάτην AB, διανωτάτην G πρεσβυτατην Pap: πρεσβυτέραν codd. 11 οὐ] ἡ P 12 θεμελιοι Pap: θεμέλιος codd. ὄνομα πρεσβυτέρας AB ἡ φύσις om. AB 13 παντα Pap καθ' εκαστην Pap: om. ceteri 14 τα Pap: om. codd. ενθενδε Pap: ἐντεῦθεν codd. ορμηθεις Pap: om. ceteri 16 τοι] τὸ P τοῦ παντός ABHP 17. 18 αρχην — παντος Pap: om. codd. 18 ἀπένειμεν $H^1$P, ἀπένειμε Pap G: ἀπό-νειμε $H^2$, om. AB 19 ἀνέθηκεν Pap GP αρχας Pap: ἀπαρχὰς codd. 20 ειπεν φησιν Pap: εἶπε codd. πρὸς Μωυσῆν codd.: Μω(υσηι) Pap 21 πασαν Pap: om. codd.

---

16 cf. ad vol. I p. 273,10.

118 (Exod. 13, 1. 2)· ὥστε ἀνωμολογῆσθαι καὶ διὰ τούτων, ὅτι τὰ πρῶτα
καὶ χρόνῳ καὶ δυνάμει κτήματα θεοῦ, καὶ διαφερόντως τὰ πρωτογενῆ.
ἐπειδὴ γὰρ πᾶν γένος ἄφθαρτον, δικαίως τῷ ἀφθάρτῳ προσνεμη-
θήσεται, καὶ εἴ τις καὶ συνόλως μήτραν διοιγνύειν ἀπὸ ἀνθρώ-
που, τοῦ λογισμοῦ καὶ λόγου, ἕως κτήνους, αἰσθήσεώς τε καὶ σώματος.
119 ὁ γὰρ διοιγνὺς τὴν μήτραν ἑκάστων, τοῦ μὲν νοῦ πρὸς τὰς νοητὰς κατα-
λήψεις, τοῦ δὲ λόγου πρὸς τὰς διὰ φωνῆς ἐνεργείας, τῶν δὲ αἰσθήσεων
πρὸς τὰς ἀπὸ τῶν ὑποκειμένων ἐγγινομένας φαντασίας, τοῦ δὲ σώματος
πρὸς τὰς οἰκείους αὐτῷ σχέσεις τε καὶ κινήσεις ἀόρατος καὶ σπερματι-
κὸς καὶ τεχνικὸς θεῖός ἐστι λόγος, ὃς προσηκόντως ἀνακείσεται τῷ πατρί.
120 καὶ μὴν ὥσπερ αἱ ἀρχαὶ θεοῦ, οὕτως καὶ τὰ τέλη θεοῦ. μάρτυς δὲ
Μωυσῆς προστάττων ἀφαιρεῖν καὶ ὁμολογεῖν τὸ τέλος τῷ κυρίῳ
121 (Num. 31, 28 ss.). μαρτυρεῖ δὲ καὶ τὰ ἐν κόσμῳ. πῶς; φυ-
τοῦ μὲν ἀρχὴ σπέρμα, τέλος δ' ὁ καρπός, ἑκάτερον οὐ γεωρ-
γίας, ἀλλὰ φύσεως ἔργον. πάλιν ἐπιστήμης ἀρχὴ μὲν ἡ φύσις, | ὡς p. 490 M.
ἐδείχθη, πέρας δ' οὐδ' ἦλθεν εἰς ἀνθρώπους. τέλειος γὰρ οὐδεὶς ἐν
οὐδενὶ τῶν ἐπιτηδευμάτων, ἀλλ' ἀψευδῶς αἱ τελειότητες καὶ ἀκρότητες
ἑνός εἰσι μόνου. φορούμεθ' οὖν λοιπὸν ἡμεῖς ἐν τῷ τέλους καὶ ἀρχῆς
μεθορίῳ, μανθάνοντες, διδάσκοντες, γεωπονοῦντες, ἐργαζόμενοι τῶν
122 ἄλλων ἕκαστον ὡς ἂν ἱδρῶντες, ἵνα τι καὶ γένεσις πράττειν δοκῇ. γνω-
ριμώτερον μέντοι τὰς ἀρχὰς καὶ τὰ τέλη κατὰ θεὸν ὡμολόγησεν ἐπὶ
τῆς τοῦ κόσμου γενέσεως εἰπών· „ἐν ἀρχῇ ἐποίησε" (Gen. 1, 1) καὶ
πάλιν „συνετέλεσεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν" (cf. Gen. 2,1. 2. 4).
123 νυνὶ μὲν οὖν „λάβετέ μοι" (Exod. 25, 2) φησὶ διδοὺς τὰ πρέπονθ'
ἑαυτῷ καὶ προτρέπων τὰ δοθέντα μὴ κιβδηλεύειν, ἀλλ' ἀξίως τοῦ δόντος

---

1 ὥστε om. Pap ανομολογησθαι Pap, ἀνομολογεῖσθαι AB (coni. Mang.) 2 χρόνῳ] spatium 4—5 litt. G 3 καὶ ἐπειδὴ ἅπαν γένος AB 4 και ει τις και Pap: καὶ εἴ τι codd., ὃς οἷός τε καὶ conicio, καὶ εἴ τις ἱκανὸς coni. Cohn διοιγνύειν Pap GP: ἀνοιγνύει AB, διοιγνύει H 5 λογισμοῦ] νοῦ coni. Mang. λογου Pap: τοῦ λόγου codd. τῆς αἰσθήσεως codd. 6 την Pap: om. codd. 6. 7 καταλημψεις Pap 7 δ' AB 8 ἀπὸ om. AB, υπο Pap 9 οἰκείας AB ⟨ὁ⟩ ἀόρατος conicio 10 θειος Pap: καὶ θεῖος codd. 14 δ' ο Pap, δὲ ὁ GHP: δὲ AB ἑκάτερα G 16 πέρα G δ' οὐδ' ἔλθῃ $H^2$, δ' ηλθεν Pap, δ' οὐδ' ἂν ἔλθοι v 17 ἀλλὰ ψευδῶς $BH^1$ 18 ἑνός] ἀνθρώπου B εισιν Pap φορουμεθα Pap λοιπὸν om. AB, post ἀρχῆς transpos. GHP ἀρχὴ G 19 γεηπονοῦντες AB 20 ὡς ἂν ἱδρῶντες scripsi: ωσαν ιδρουντες Pap, ὡσανεὶ δρῶντες codd. δοκεῖ G 21 αρχας Pap: ἀπαρχὰς codd. 24 φησιν Pap 25 εαυτωι Pap: αὐτῷ codd. δοντος Pap (Mang.): δέοντος codd.

φυλάττειν, αὖθις δ' ἐν ἑτέροις ὁ μηδενὸς χρεῖος ὢν καὶ διὰ τοῦτο λαμβάνων μηδὲν ὁμολογήσει λαμβάνειν, ἕνεκα τοῦ πρὸς εὐσέβειαν ἀλεῖψαι καὶ προθυμίαν ὁσιότητος ἐμποιῆσαι καὶ πρὸς θεραπείαν ἀκονῆσαι τὴν ἑαυτοῦ, ὡς ἀποδεχομένου καὶ δεχομένου τὰς ψυχῆς ἑκουσίους ἀρεσκείας καὶ γνησίους θεραπείας. „ἰδοὺ" γάρ φησιν „εἴληφα τοὺς 124
Λευίτας ἀντὶ παντὸς πρωτοτόκου διανοίγοντος μήτραν παρὰ τῶν υἱῶν Ἰσραήλ· λύτρα αὐτῶν ἔσονται" (Num. 3, 12). οὐκοῦν λαμβάνομεν καὶ δίδομεν, ἀλλὰ κυρίως μὲν λαμβάνομεν, καταχρηστικῶς δὲ διδόναι λεγόμεθα δι' ἃς αἰτίας εἶπον. εὐθυβόλως δὲ λύτρα ὠνόμασε τοὺς Λευίτας· εἰς ἐλευθερίαν γὰρ οὐδὲν οὕτως ἐξαιρεῖται τὴν διάνοιαν ὡς τὸ πρόσφυγα καὶ ἱκέτην γενέσθαι θεοῦ. τοῦτο δ' ἡ ἱερωμένη φυλὴ Λευιτῶν ἐπαγγέλλεται.

(25.) Λελαληκότες οὖν τὰ πρέποντα περὶ τούτων ἀναδράμωμεν 125
ἐπὶ τὰ ἐξ ἀρχῆς· ὑπερεθέμεθα γὰρ πολλὰ τῶν ὀφειλόντων ἀκριβωθῆναι. „λάβε μοι" φησί „δάμαλιν" ἄζυγα καὶ ἀκάκωτον, ἁπαλὴν ἔτι καὶ νέαν καὶ σφριγῶσαν, ἡνιόχησιν καὶ παιδείαν καὶ ἐπιστασίαν εὐμαρῶς δέξασθαι δυναμένην ψυχήν· „λάβε μοι κριόν," λόγον ἀγωνιστὴν καὶ τέλειον, ἱκανὸν μὲν τὰ σοφίσματα τῶν ἀντιδοξούντων ἀνατεμεῖν τε καὶ λῦσαι, ἱκανὸν δὲ καὶ ἀσφάλειαν ὁμοῦ καὶ εὐκοσμίαν τῷ χρωμένῳ περιποιῆσαι· „λάβε μοι" καὶ τὴν ᾄττουσαν αἴσθησιν ἐπὶ τὸν αἰσθητὸν κόσ- 126
μον, „αἶγα," πάντα „τριετίζοντα", κατ' ἀριθμὸν τέλειον παγέντα, ἀρχὴν

---

1 δὲ ABG, om. PH$^1$ δι' αὐτοῦ G, διὰ τοῦ AB 2 λαμβάνειν AB ὁμολογεῖ Barb. 4 τὴν] τὸν GPH$^1$ και δειχομενου Pap, καὶ διχομένου om. B, secl. Mang., καὶ δεξιουμένου conicio ψυχας Pap ἑκουσίους P$^2$ Barb.: ἑκουσίου Pap ABGH$^1$, ἀκουσίου H$^1$P$^1$, ἀκουσίους H$^2$ 5 γνησιου Pap 6 μητρας Pap παρὰ] περὶ AB 7 post οὐκοῦν add καὶ ABG 8 post λαμβάνομεν add. καὶ GHP Barb. δὲ om. GHP Barb. 8. 9 λεγομετα Pap 9 δι' ας αιτιας ειπον Pap: δι' ἃς εἶπον αἰτίας GHP, διὰ τὰς αἰτίας ταύτας AB, om. Barb. 9. 10 ὠνόμασε — οὐδὲν om. Pap 11 οἰκέτην AB δ' Pap: om. codd. Barb. 11. 12 επαγγελεται Pap 13. 14 ἀναδραμωμεν επι τα εξ αρχης Pap: ἐπὶ τὰ ἑξῆς ἀναδράμωμεν codd. 15 φησιν Pap αζυγα Pap: ἄζυγον codd. 16 νέαν σφριγῶσαν A σφριγωσαν Pap επιστασιαν Pap (Mang.): ἐπίστασιν codd. εὐμενῶς G 17 δυναμένην om. G ψυχήν om. AB μοι Pap HP: μοι καὶ ABG 18. 19 ἱκανὸν μὲν — ἱκανὸν δὲ om. AB 19 νόμου AB 20 ᾄττουσαν scripsi: διττουσαν Pap, διάγουσαν codd., διᾴττουσαν Mang. 21 κατα Pap

---

1—12 Barberinus IV 56 fol. 134$^r$ Φίλωνος ἐκ τοῦ τίς ὁ τῶν θείων κληρονόμος πραγμάτων: μηδενὸς χρεῖος — ἐπαγγέλλεται.

μεσότητα τελευτὴν ἔχοντα· πρὸς δὲ τούτοις „τρυγόνα καὶ περιστεράν“
(Gen. 15, 9), τήν τε θείαν καὶ τὴν ἀνθρωπίνην σοφίαν, πτηνὰς μὲν
ἀμφοτέρας καὶ ἄνω πηδᾶν μεμελετηκυίας, διαφερούσας δ' ἀλλήλων, ᾗ
127 διαφέρει γένος εἴδους ἢ μίμημα ἀρχετύπου. φιλέρημος μὲν γὰρ ἡ
θεία σοφία, διὰ τὸν μόνον θεόν, | οὗ κτῆμά ἐστι, τὴν μόνωσιν ἀγαπῶσα — p. 491 M.
συμβολικῶς αὕτη τρυγὼν καλεῖται —, ἥμερος δὲ καὶ τιθασὸς καὶ ἀγελαῖος
ἡ ἑτέρα, τὰ ἀνθρώπων ἄστη περιπολοῦσα καὶ διαίτῃ τῇ μετὰ θνητῶν
128 ἀσμενίζουσα· περιστερᾷ ταύτην ἀπεικάζουσιν. (26.) ταύτας μοι δοκεῖ
τὰς ἀρετὰς Μωυσῆς αἰνιξάμενος μαίας Ἑβραίων ὀνομάσαι Σεπφώραν τε
καὶ Φουάν (Exod. 1, 15)· ἡ μὲν γὰρ ὀρνίθιον, Φουὰ δὲ ἐρυθρὸν
ἑρμηνεύεται. τῆς μὲν οὖν θείας ἐπιστήμης ὄρνιθος τρόπον τὸ αἰεὶ μετεωροπολεῖν
ἴδιον, τῆς δὲ ἀνθρωπίνης αἰδῶ καὶ σωφροσύνην ἐμποιεῖν,
129 ὧν τὸ ἐρυθριᾶν ἐφ' οἷς ἄξιον. δεῖγμα ἐναργέστατον· „ἔλαβεν δὲ“ φησίν
„αὐτῷ πάντα ταῦτα“ (Gen. 15, 10). τοῦτ' ἔπαινός ἐστι τοῦ σπουδαίου,
τὴν ἱερὰν ὧν ἔλαβε παρακαταθήκην, ψυχῆς, αἰσθήσεως, λόγου,
θείας σοφίας, ἀνθρωπίνης ἐπιστήμης, καθαρῶς καὶ ἀδόλως μὴ ἑαυτῷ,
130 μόνῳ δὲ τῷ πεπιστευκότι φυλάξαντος. εἶτ' ἐπιλέγει· „διεῖλεν αὐτὰ
μέσα,“ τὸ τίς μὴ προστιθείς, ἵνα τὸν ἄδεικτον ἐννοῇς θεὸν τέμνοντα
τὰς τῶν σωμάτων καὶ τὰς τῶν πραγμάτων ἑξῆς ἁπάσας ἡρμόσθαι καὶ
ἡνῶσθαι δοκούσας φύσεις τῷ τομεῖ τῶν συμπάντων ἑαυτοῦ λόγῳ, ὃς
131 εἰς τὴν ὀξυτάτην ἀκονηθεὶς ἀκμὴν διαιρῶν οὐδέποτε λήγει. τὰ γὰρ
αἰσθητὰ πάντα ἐπειδὰν μέχρι τῶν ἀτόμων καὶ λεγομένων ἀμερῶν διεξέλθῃ,
πάλιν ἀπὸ τούτων τὰ λόγῳ θεωρητὰ εἰς ἀμυθήτους καὶ ἀπερι-

---

1 και Pap: τε καὶ codd. 3 ἄνω πηδᾶν Pap AB: ἀναπηδᾶν GHP δε Pap, om. GPH[1] 4 γένους εἶδος ABG, fort. recte μὲν Pap GH[2]: om. ABH[1]P 5 εστιν Pap αγαπωσαν Pap 6 δὲ καὶ GHP: καὶ Pap AB τιθασσὸς ABG 8 ἐνασμενίζουσα coni. Mang. απειxαζουσιν Pap: ἀπεικάζουσι ABG, ἀπεικάζουσα HP 9 Μωσῆς codd. ὀνομάσαι HP, ωνομασαι Pap: ὠνόμασε AB, ὠνόμασεν G 10 ἐρυθρὰ AB 11 ἑρμηνεύεται] ὀνομάζεται AB ἀεὶ codd. 13 ων το Pap: ὥστε codd. δεῖγμα ἄξιον HP post δεῖγμα add. δὲ AB, fort. recte ελαβεν δε Pap: ἔλαβε δέ HP, ἔλαβε ABG 14 πάντα ταῦτα Pap G: ταῦτα πάντα ceteri 17 φυλαξοντος Pap 18 μεσοτηι τις Pap μὴ Pap AB: οὐ GH[2], om. H[1]P προστιθεις Pap: προσθεὶς codd. αδειxτον Pap (Mang): ἀδίδακτον codd. ἐννοῇ G 19 prius των Pap: τε τῶν codd. καὶ — πραγμάτων om. B τας των Pap: τῶν codd. 20 τῶ τεκεῖ τῶ (τ suprascr.) G εαυτου Pap: αὐ H, αὐτοῦ ceteri, αὐτῷ Turn. λόγων B 21 διxαιων Pap γαρ Pap: om. codd. et post πάντα punctum posuerunt 22 μέχρι codd.: μεν μεχρι Pap, δὲ μέχρι Mang. „ex Ms. Coisl.“, δ' ἄχρι coni. Jessen

γράφους μοίρας ἄρχεται διαιρεῖν οὗτος ὁ τομεύς, καὶ „τὰ πέταλα τοῦ
χρυσίου τέμνει τρίχας“ (Exod. 36, 10), ὥς φησι Μωυσῆς, εἰς μῆκος
ἀπλατὲς ἀσωμάτοις γραμμαῖς ἐμφερές. ἕκαστον οὖν τῶν τριῶν διεῖλε 132
μέσον, τὴν μὲν ψυχὴν εἰς λογικὸν καὶ ἄλογον, τὸν δὲ λόγον εἰς ἀληθές
τε καὶ ψεῦδος, τὴν δὲ αἴσθησιν εἰς καταληπτικὴν φαντασίαν καὶ ἀκα-
τάληπτον· ἅπερ εὐθὺς τμήματα „ἀντιπρόσωπα τίθησιν ἀλλήλοις“, λο-
γικὸν ἄλογον, ἀληθὲς ψεῦδος, καταληπτὸν ἀκατάληπτον, ἀπολιπὼν τὰ
πτηνὰ ἀδιαίρετα (Gen. 15, 10)· τὰς γὰρ ἀσωμάτους καὶ θείας ἐπι-
στήμας εἰς μαχομένας ἐναντιότητας ἀδύνατον τέμνεσθαι.

(27.) Πολὺν δὲ καὶ ἀναγκαῖον ὄντα λόγον τὸν περὶ τῆς εἰς ἴσα 133
τομῆς καὶ περὶ ἐναντιοτήτων οὔτε παρήσομεν οὔτε μηκυνοῦμεν, ἀλλ'
ὡς ἔστιν ἐπιτέμνοντες ἀρκεσθησόμεθα μόνοις τοῖς καιρίοις. καθάπερ
p. 492 M. γὰρ ἡμῶν τὴν ψυχὴν καὶ τὰ μέλη μέσα διεῖλεν ὁ τεχνίτης, οὕτως
καὶ τὴν τοῦ παντὸς οὐσίαν, ἡνίκα τὸν κόσμον ἐδημιούργει. λαβὼν γὰρ 134
αὐτὴν ἤρξατο διαιρεῖν ὧδε· δύο τὸ πρῶτον ἐποίει τμήματα, τό τε βαρὺ
καὶ κοῦφον, τὸ παχυμερὲς ἀπὸ τοῦ λεπτομεροῦς διακρίνων· εἶθ' ἑκά-
τερον πάλιν διαιρεῖ, τὸ μὲν λεπτομερὲς εἰς ἀέρα καὶ πῦρ, τὸ δὲ παχυ-
μερὲς εἰς ὕδωρ καὶ γῆν, ἃ καὶ στοιχεῖα αἰσθητὰ αἰσθητοῦ κόσμου,
ὡσανεὶ θεμελίους, προκατεβάλετο. πάλιν δὲ τὸ βαρὺ καὶ κοῦφον καθ' 135
ἑτέρας ἔτεμνεν ἰδέας, τὸ μὲν κοῦφον εἰς ψυχρόν τε καὶ θερμόν — ἐπε-
φήμισε δὲ τὸ μὲν ψυχρὸν ἀέρα, τὸ δὲ θερμὸν φύσει πῦρ —, τὸ δὲ
βαρὺ εἰς ὑγρόν τε αὖ καὶ ξηρόν· ἐκάλεσε δὲ τὸ μὲν ξηρὸν γῆν, τὸ δὲ
ὑγρὸν ὕδωρ. ἕκαστον δὲ τούτων ἄλλας τομὰς ἐδέχετο· γῆ μὲν γὰρ 136
εἰς ἠπείρους καὶ νήσους διῃρεῖτο, ὕδωρ δὲ εἰς θάλασσαν καὶ ποταμοὺς
καὶ ὅσον πότιμον, ἀὴρ δὲ εἰς τὰς θέρους καὶ χειμῶνος τροπάς, πῦρ δὲ

---

2 ⟨εἰς⟩ τρίχας coni. Mang. φησιν Pap, φησιν ὁ AB Μωσῆς codd. εις Pap: ἐν G, ἓν ceteri. 3 γραμμαις Pap (Mang.): γράμμασιν codd. 4 τὸν δὲ λόγον om. AB 5 καταλημπτικην Pap 5. 6 ακαταλημπτον Pap 7 καταλημπτον ακαταλημπτον Pap 8 πτηνὰ] ἑπτά G 8 τὰς μὲν γὰρ ABG 8. 9 ἐπιστήμης G 10 πολὺν δὲ καὶ] τὸν δὲ AB δὲ] τε Pap λόγον ὄντα Mang. per errorem εἰς Pap A: om. ceteri 11 καὶ] και τον Pap 12 ἔνεστιν coni. Mang. ἐπιτέμνοντες Pap A(H¹): ἐπιτεμόντες ceteri μονοις Pap: μόνον codd. 13 γὰρ om. Pap μέσον AB 14 ηνικα Pap: ὅτε codd. 15 το πρωτον Pap: τὸ μὲν πρῶτον codd. τό τε] τὸ AB βαρὺ] βραχὺ GH¹P 16 λεπτομερους Pap (Mang.): λεπτοτέρου codd. 16. 17 ἑκάτερα P 17 δὲ om. AB 18 prius καὶ Pap AB: τε καὶ GHP α Pap: om. codd. 19 ante ὡσανεὶ add. ἃ A προκατεβάλλετο B καὶ τὸ κοῦφον codd. καὶ add. ante καθ' AB 20 ἔτεμνεν om. H 20. 21 επεφημισεν Pap 23 γὰρ om. G 24 διηιρειτο Pap: διήρητο codd. το δε υδωρ Pap θαλάσσας AB

εἰς τὸ χρειῶδες — ἄπληστον δ' ἐστὶ καὶ φθαρτικὸν τοῦτο — καὶ κατὰ
τοὐναντίον εἰς τὸ σωτήριον, ὅπερ εἰς τὴν οὐρανοῦ σύστασιν ἀπεκληροῦτο.
137 ὥσπερ δὲ τὰ ὁλοσχερῆ, οὕτω καὶ τὰ κατὰ μέρος ἔτεμνεν, ὧν τὰ μὲν
ἄψυχα, τὰ δ' ἔμψυχα ἦν· καὶ τῶν ἀψύχων τὰ μὲν ἐν ταὐτῷ μένοντα,
ὧν δεσμὸς ἕξις, τὰ δ' οὐ μεταβατικῶς, ἀλλ' αὐξητικῶς κινούμενα, ἃ
φύσις ἡ ἀφάνταστος ἐζῴου· καὶ τούτων τὰ μὲν τῆς ἀγρίας ὕλης οἰστικὰ
ἀγρίων καρπῶν, οἳ τροφὴ θηρίοις εἰσίν, τὰ δὲ τῆς ἡμέρου, ὧν γεωργία
τὴν προστασίαν καὶ ἐπιμέλειαν ἔλαχε· τίκτει δὲ καρποὺς τῷ πάντων
138 ἡμερωτάτῳ ζῴων πρὸς ἀπόλαυσιν, ἀνθρώπῳ. καὶ μὴν ὃν τρόπον τὰ
ἄψυχα, καὶ τὰ ψυχῆς μεμοιραμένα διῄρει — τούτων γὰρ ἓν μὲν ἀλό-
γων, ἓν δὲ λογικῶν ἀπέκρινεν εἶδος — καὶ λαβὼν ἑκάτερον πάλιν
ἔτεμνεν τὸ μὲν ἄλογον εἰς ἀτίθασόν τε καὶ χειρόηθες εἶδος, τὸ δὲ λογι-
139 κὸν εἰς ἄφθαρτόν τε καὶ θνητόν. καὶ τοῦ θνητοῦ δύο μοίρας εἰργάζετο,
ὧν τὴν μὲν ἀνδρῶν, τὴν δὲ γυναικῶν ἐπεφήμισε. καὶ κατ' ἄλλον μέν-
τοι τρόπον τὸ ζῷον εἰς ἄρρεν ἔτεμνε καὶ θῆλυ· ἐδέχετο δὲ καὶ ἄλλας
ἀναγκαίας τομάς, αἳ διέστελλον πτηνὰ μὲν χερσαίων, χερσαῖα δὲ ἐνύδρων,
140 ἔνυδρα δὲ ἀμφοῖν τῶν ἄκρων. οὕτως ὁ θεὸς ἀκονησάμενος τὸν τομέα
τῶν συμπάντων αὑτοῦ λόγον διῄρει τήν τε ἄμορφον καὶ ἄποιον τῶν
ὅλων οὐσίαν καὶ τὰ ἐξ αὐτῆς ἀποκριθέντα τέτταρα τοῦ κόσμου στοιχεῖα
καὶ τὰ διὰ τούτων παγέντα ζῷά τε αὖ καὶ φυτά.
141 (28.) Ἐπεὶ δ' οὐ μόνον φησὶ „διεῖλεν," ἀλλὰ καὶ „μέσα διεῖλεν,"
ἀναγκαῖον κἂν ὀλίγα περὶ τῶν ἴσων τμημάτων ὑπομνῆσαι. τὸ μὲν γὰρ
142 ἄκρως κατὰ μέσον | διαιρεθὲν ἴσα ἀποτελεῖ τμήματα. ἄνθρωπος μὲν p. 493 M.

---

1 δε εστιν Pap  κατὰ om. AB  3 οὕτω om. Pap  τεμνειν Pap, ἔτεμεν P  4 αψυχα τα δ' εμψυχα Pap: ἔμψυχα (add. ἦν H[1]P), τὰ δὲ ἄψυχα codd.  5 ἕξεις L[1]  τὰ] τῶν APH[1]  κινουμένων AB  6 φαῦσις A, mg. P[2]  αφαντασος Pap (Mang.): ἄφαντος P(H[1]), ἄφατος ceteri  καὶ τούτων] τούτων δὲ Turn.
ἐρ
οιστιτικα Pap  7 εἰσίν Pap A: ἐστί ceteri  ἡμ P, ἡμέρας H  8 ελαχεν Pap  9 ανθρωπων Pap  και μην ον Pap: καὶ μὴ μόνον G; καθ' ὃν δὲ AB, in ras. P[2]; καὶ οὐ μόνον καθ' ἕνα in ras. H[2]  10 τῆς ψυχῆς H  διηρει Pap: διαιρεῖ codd.  τούτων γὰρ — ἔτεμνεν om. AB  11 απεκρινεν Pap: ἀπέφηνεν GHP  και λαβων Pap: λαβὼν δὲ τούτων GPH[1], ἀλλὰ καὶ τούτων H[2]  εκατερον Pap: ἕκαστον GHP  12 ετεμνεν Pap: διαιρεῖ GHP  ατιθασον Pap: ἄγριον codd.  εἶδος codd.: ηθος Pap  13 εἰργάσατο AB  15 τὸ] τὲ G  18 αὐτοῦ codd. λόγων H, ἔργων P  διηρει Pap: διαιρεῖ codd.  αμορφην [Pap  ἄποιον codd.: απορον Pap  19 τέσσαρα H, δ' P  20 αυ Pap: om. codd.  21 μεσα διελειν Pap  22 ἀναγκαῖον κἂν Turn.: αναγκαιως αν Pap, ἀναγκαίως κἂν codd. περὶ] περ Pap  ἴσων] εἰς τῶν G  μεν το γαρ transpos. Pap  22—33,1 ὑπομνῆσαι — τμημάτων om. B

οὖν οὐδεὶς δύναιτ' ἀκριβῶς ἄν ποτε εἰς ἴσα διελεῖν οὐδέν, ἀλλ' ἀνάγκη τῶν τμημάτων τὸ ἕτερον ἐνδεῖν ἢ περιττεύειν, καὶ εἰ μὴ μείζονι, ἀλλά τοι βραχεῖ μέρει πάντως, ὃ τάχα τὴν αἴσθησιν ἐκφεύγει τοῖς ἁδρομερεστέροις ἐκ φύσεως καὶ ἔθους προσβάλλουσαν ὄγκοις, τοὺς δὲ ἀτόμους καὶ ἀμερεῖς καταλαβεῖν ἀδυνατοῦσαν. ἰσότητος δὲ οὐδὲν γενητὸν αἴτιον 143
ἀδεκάστῳ λόγῳ τῆς ἀληθείας εὑρίσκεται. ἔοικεν οὖν ὁ θεὸς μόνος ἀκριβοδίκαιος εἶναι καὶ μέσα· μόνος δύνασθαι διαιρεῖν τά τε σώματα καὶ πράγματα, ὡς μηδὲν τῶν τμημάτων μηδ' ἀκαρεῖ καὶ ἀμερεῖ τινι πλέον ἢ ἔλαττον γενέσθαι, τῆς δ' ἀνωτάτω καὶ ἄκρας ἰσότητος μεταλαχεῖν ἰσχῦσαι. εἰ μὲν οὖν τὸ ἴσον μίαν εἶχεν ἰδέαν, ἱκανῶς ἂν τὰ λεχθέντα εἴρητο, 144
κλειόνων δ' οὐσῶν οὐκ ἀποκνητέον τὰ ἁρμόττοντα προσθεῖναι. λέγεται γὰρ ἴσον καθ' ἕνα μὲν τρόπον ἐν ἀριθμοῖς, ὡς δύο δυσὶ καὶ τρία τρισὶ καὶ τὰ ἄλλα ταύτῃ, καθ' ἕτερον δὲ ἐν μεγέθεσιν, ὧν μήκη, πλάτη, βάθη, διαστάσεις εἰσίν· παλαιστὴς γὰρ παλαιστῇ καὶ πήχει πῆχυς ἴσα μεγέθει, δυνάμει δέ ἐστιν ἄλλα, ὡς τὰ ἐν σταθμοῖς καὶ μέτροις. ἀναγ- 145
καία δέ ἐστιν ἰσότητος ἰδέα καὶ ἡ διὰ ἀναλογίας, καθ' ἣν καὶ τὰ ὀλίγα τοῖς πολλοῖς καὶ τὰ βραχέα τοῖς μείζοσιν ἴσα νενόμισται· ᾗ καὶ πόλεις ἐπὶ καιρῶν εἰώθασι χρῆσθαι κελεύουσαι τὸ ἴσον ἕκαστον τῶν πολιτῶν ἀπὸ τῆς οὐσίας εἰσφέρειν, οὐ δήπου ἐν ἀριθμῷ, ἀλλ' ἀναλογίᾳ τοῦ

---

1 οὖν Pap G: om. ceteri     δύναιτ' BGHP: δυνατ' Pap, δύναται A     ἀκριβῶς ἂν scripsi: αγριαν Pap, ἂν BGHP, om. A     2 ἐνδεεῖν GPH[1]     ἢ] οὐδὲν ἢ H[1]P     καὶ per errorem om. Mang.     3 τοι] τωι Pap     ταχα (την) Pap: τὴν μὲν codd.     ἐκφεύγειν G     τοῖς Pap ABH[2]: τοῖς δὲ GPH[1]
3. 4 α(δρο)μενεστεροις Pap, ἀνδρο(μενε)στέροις B (litterae inclusae erasae), ἁδρομεστέροις A     5 ισοτητος Pap: ἀνισότητος ABG, ἀνισότης HP     δὲ] δὴ conicio     γενητὸν scripsi: ηττον Pap, ἴσον codd.     5. 6 αιτιον αδεκαστω Pap: αἴτιον δ' ἑκάστω GHP, ἔτι ἀδεκάστω AB     6 τῆς om. AB     μόνον GH[1]     8 τὰ πράγματα AB     ἀκαρὶ B, ἀκαρῆ AP     καὶ ἐν μέρει AB     9 δε Pap     ἄνω κάτω GHP[1]     μελαχειν Pap     9. 10 ἰσχύς. ἄγει μὲν GHP[1], ἰχὺς εἰ μὲν P[2]     10 τὸ ἴσον] τοῦ ἴσου v     μιαν ειχεν ιδεαν Pap: μίαν ἰδέαν GHP[1], ἣν κατὰ μίαν ἰδέαν ABP[2]     ειρητο Pap (Turn.): εἴρηνται G, εἴρηντο ceteri     11 δὲ codd.     λέγεται Pap AB: λέγει GHP     12 δυσιν et τρισιν Pap     13 μεγέθεσιν Pap AB: μεγέθει GHP     ων Pap: ὡς codd.     μήκει, πλάτει, βάθει ABH[2], post βάθη add. ἃ ABP[2]
14 εἰσί ABHP, τρεῖς conicio     πηχη (sic) πηχυς Pap: πῆχυς πήχει codd.
15 μεγέθη G     δυνάμει] ἐν βάρει AB     σταθμῶ AB     16 δὲ ἀνισότητος AB     ἡ δι' ὅλου ἀλογίας G[2]     καιθην Pap     τὰ om. v     17 βραχεια Pap     18 επει Pap     19 ἀναλόγως HP

---

10 sqq. cf. Aristotelis Politica VIII 6 p. 1301 b 28 ss.

περὶ τὸν κλῆρον τιμήματος, ὥστ' ὁ δραχμὰς ἑκατὸν εἰσενεγκὼν τῷ τὸ
146 τάλαντον εἰσενεγκόντι δόξαι ἂν ἐπιδεδωκέναι τὸ ἴσον. (29.) τούτων
προϋποτυπωθέντων ἴδε πῶς μέσα διελὼν ἴσα διεῖλε κατὰ πάσας τὰς
ἰσότητος ἰδέας ἐν τῇ τοῦ παντὸς οὐρανοῦ γενέσει. ἀριθμῷ μὲν οὖν ἴσα
τὰ βαρέα τοῖς κούφοις ἔτεμνε, δύο δυσί, γῆν καὶ ὕδωρ, τὰ βάρος
ἔχοντα, τοῖς φύσει κούφοις, ἀέρι καὶ πυρί, καὶ πάλιν ἓν ἑνί, τὸ μὲν
ξηρότατον τῷ ὑγροτάτῳ, γῆν ὕδατι, τὸ δὲ ψυχρότατον τῷ θερμοτάτῳ,
πυρὶ ἀέρα, τὸν αὐτὸν δὲ τρόπον καὶ σκότος φωτὶ καὶ ἡμέραν νυκτὶ καὶ
147 χειμῶνι θέρος καὶ ἔαρι μετόπωρον καὶ ὅσα τούτων συγγενῆ· μεγέθει δ'
ἴσα ἐν οὐρανῷ μὲν τοὺς παραλλήλους κύκλους, τούς τε ἰσημερινούς,
ἐαρινὸν καὶ μετοπωρινόν, καὶ τοὺς τροπικούς, θερινόν τε καὶ χειμερινόν,
ἐπὶ γῆς δὲ ζώνας, δύο μὲν ἴσας ἀλλήλαις, αἳ πρὸς τοῖς πόλοις εἰσὶ
κατεψυγμέναι καὶ διὰ τοῦτ' ἀοίκητοι, δύο δὲ τὰς μεθορίους τούτων τε
καὶ τῆς διακεκαυμένης, ἃς δι' εὐκρασίαν φασὶν οἰκεῖσθαι, τὴν μὲν πρὸς
148 τοῖς νοτίοις, τὴν δὲ πρὸς τοῖς βορείοις κειμένην. μήκει δ' ἴσα ἐστὶ
καὶ τὰ χρόνου διαστήματα, ἡ μεγίστη ἡμέρα τῇ μεγίστῃ νυκτὶ καὶ
πάλιν ἡ | βραχυτάτη τῇ βραχυτάτῃ καὶ ἡ μέση τῇ μέσῃ. τὰ δὲ τῶν p. 494 M.
ἄλλων ἡμερῶν τε καὶ νυκτῶν ἴσα μεγέθη μάλιστα μηνύειν αἱ ἰσημερίαι
149 δοκοῦσιν. ἀπὸ μὲν γὰρ τῆς ἐαρινῆς ἄχρι θερινῶν τροπῶν ἡ μὲν ἡμέρα
πρόσθεσιν, ἡ δὲ νὺξ ἀφαίρεσιν δέχεται, ἕως ἂν ἥ τε μεγίστη ἡμέρα
καὶ βραχυτάτη νὺξ ἀποτελεσθῶσιν· ἀπὸ δὲ θερινῶν τροπῶν ἀνακάμπ-

---

1 κλῆρον Mang.: καιρὸν Pap et codd. τμήματος AB ωστ' Pap: ὡς codd. τὸ om. AB 2 δοξαι scripsi: δόξη codd. (Pap?) post τούτων add. οὕτω N 3 προτυπωθέντων ABP 4 ἰσότητας BG, ἰδιότητας N 4 ουρανου Pap: om. codd. N ουν Pap: om. codd. N 5 βραχέα $P^1(H^1)$ δυ(σιν) Pap 6 φυρι Pap, φύσει om. AB πυρὶ πάλιν codd. N 7 post ὑγροτάτῳ add. φύσει AB 7. 8 γῆν—φωτὶ om. AB 8 ἀέρα πυρὶ codd. N ἡμέρα H, ἡμέραν δὲ AB 9 θέρει AB ἀέρι Pap BG συγγενη Pap: om. codd. N 10 προσαλληλους Pap τε] δε Pap 11 αερινον Pap θερινον τε και χειμερινον Pap: χειμερινὸν καὶ θερινόν codd. N 12 δὲ] καὶ AB ἴσα G, prius H πολλοῖς G εισιν Pap, om. AB 13 κατεφλεγμέναι AB, mg. $P^2$ δια ταυτ' αοικηται Pap τοῦτο codd. μεθοπωρίους AB, μεθορίους (πο) P 14 διακεκοινωμένης AB φησὶν HPN οἰκειοῦσθαι $P^1H^1$ 15 βορίοις Pap G μήκη G δε Pap ἴση G 19 γαρ Pap: om. codd. N αερινης Pap 20 ως Pap μεγιστηι Pap 21 ἡ βραχυτάτη codd. N

---

2—35,12 τούτων—εὐώνυμα N fol. 165v.

των ὁ ἥλιος τὴν αὐτὴν ὁδὸν οὔτε θᾶττον οὔτε βραδύτερον, ἀλλὰ κατὰ
τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντα διαστήματα, τάχεσιν ἴσοις χρώμενος μέχρι
τῆς μετοπωρινῆς ἰσημερίας ἔρχεται, καὶ ἴσην ἀποτελέσας ἡμέραν νυκτὶ
παραύξειν ἄρχεται τὴν νύκτα μειῶν τὴν ἡμέραν ἄχρι χειμερινῆς τροπῆς·
καὶ ὅταν ἀποτελέσῃ νύκτα μὲν μεγίστην, ἡμέραν δὲ βραχυτάτην, κατὰ 150
τὰ αὐτὰ πάλιν διαστήματα ἀνακάμπτων ἐπὶ τὴν ἐαρινὴν ἰσημερίαν ἀφι-
κνεῖται. οὕτως τὰ χρόνων διαστήματα ἄνισα εἶναι δοκοῦντα ἰσότητος
τῆς κατὰ τὸ μέγεθος ἐν οὐχὶ ταῖς αὐταῖς ἀλλ' ἐν διαφερούσαις τοῦ
ἔτους ὥραις μεταποιεῖται. (30.) τὸ παραπλήσιον μέντοι καὶ ἐν τοῖς 151
μέρεσι τῶν ζῴων καὶ μάλιστα ἀνθρώπων θεωρεῖται. πούς γὰρ ποδὶ
καὶ χεὶρ χειρὶ καὶ τὰ ἄλλα σχεδὸν ἅπαντα ἴσα μεγέθει, τὰ ἐπὶ δεξιὰ
τοῖς κατ' εὐώνυμα. τὰ δ' ἴσα δυνάμει πάμπολλά ἐστιν ἔν τε ξηροῖς
καὶ ὑγροῖς, ὧν ἡ ἐπίκρισις ἐν μέτροις καὶ πλάστιγξι καὶ τοῖς παραπλη-
σίοις θεωρεῖται. ἀναλογίᾳ δὲ σχεδὸν τὰ πάντα ἐστὶν ἴσα, μικρά τε αὖ 152
καὶ μεγάλα ὅσα ἐν τῷ παντὶ κόσμῳ. λέγουσι γὰρ οἱ ἀκριβέστατα περὶ
τῶν τῆς φύσεως ἐξηταχότες, ὅτι ἀναλογίᾳ μὲν ἴσα τὰ τέτταρα στοιχεῖά
ἐστιν, ἀναλογίᾳ δὲ καὶ ὁ κόσμος ἅπας κραθεὶς τὸ ἴσον ἑκάστῳ τῶν
μερῶν ἀπονεμούσῃ συνέστη τε καὶ συσταθεὶς εἰς ἅπαν διαμένει· καὶ τὰ 153
περὶ ἡμᾶς μέντοι τέτταρα, ξηρόν, ὑγρόν, ψυχρόν τε αὖ καὶ θερμόν, τὴν
δι' ἀναλογίας ἰσότητα κερασαμένην ἁρμόσασθαι, καὶ μηδὲν ἄλλο ἡμᾶς
ἢ κρᾶσιν εἶναι τῶν τεσσάρων δυνάμεων ἀναλογίας ἰσότητι κραθεισῶν.
(31.) ἐπιὼν δέ τις ἕκαστα μῆκος ἂν ἄπειρον τῷ λόγῳ δύναιτ' ἂν περι- 154
θεῖναι. τὰ ⟨γὰρ⟩ βραχύτατα ζῷα τοῖς μεγίστοις ἀναλογίᾳ σκοπῶν ἴσα

---

1 ὁ om. Pap bis οὐδὲ Pap 1. 2 ἀλλὰ κατὰ τὰ αὐτὰ καὶ scripsi: (και) κατα τα αυτα Pap (?), ἀλλὰ τὰ αὐτὰ καὶ codd. N 2 ταχεσιν ισοις Pap (Mang.): τάξεσιν ἴσαις codd. N 4 παραυξιν Pap τὴν Pap H²: om. ceteri N 6 αερινην Pap 6. 7 ἀνακάμπτων — διαστήματα om. AB ἀφικνεῖσθαι PH¹ 7 χρόνον G 8 ἀλλ' ἐν] ἀλλὰ conicio (Pap?) 9 μεταποιεῖσθαι PH¹ 10 μερεσιν Pap 11 χεὶρ om. Pap απαντα Pap: πάντα codd. N μεγέθη AB 12 κατα τα ευωνυμα Pap πάμπολα AB 13 ἀπόκρισις AB πλαστιξι Pap, πλάστιγγι AB 14 ενεστιν Pap τε om. Pap 15 λεγουσιν Pap ακριβεστατα Pap: ἀκριβέστεροι G, ἀκριβέστερον ceteri 15. 16 περὶ αὐτῶν AB 16 μὲν om. Pap τέσσαρα ABH, δύο P 17 τὸ ἴσον om. AB ἑκάστης B 18 απονεμ(ουσηι) Pap? Turn.: ἀπονέμουσι GHP, om. AB 19 αὖ om. Pap 19. 20 τὴν δ' ἀναλογίαν AB 20 κερασαμενην Pap: κερασάμεναι PH¹, κερασάμενα ceteri ἡμᾶς Cohn: ητιειαν Pap, τὸ σῶμα ἡμῶν Mang., om. codd. 21 κρατησιν Pap δ' P ἀναλογίας] ἢ ἀλογίας G ἰσότητα G 22 ἂν ἄπειρον om. AB τῷ λόγῳ post περιθεῖναι transpos. codd. 22. 23 (πε)ριτ(ειναι) Pap 23 γὰρ addidi

ἂν εὕροι, ὡς χελιδόνα ἀετῷ καὶ τρίγλαν κήτει καὶ μύρμηκα ἐλέφαντι.
καὶ γὰρ σῶμα καὶ ψυχὴ καὶ πάθη, ἀλγηδόνες τε καὶ ἡδοναί, πρὸς δὲ
καὶ οἰκειώσεις καὶ ἀλλοτριώσεις καὶ ὅσα ζῴων φύσις χωρεῖ, πάντα
155 σχεδόν ἐστιν ὁμοιότροπα τῷ τῆς ἀναλογίας ἰσούμενα κανόνι. οὕτως
ἐθάρρησαν ἔνιοι καὶ τῷ παντὶ κόσμῳ τὸ βραχύτατον ζῷον, ἄνθρωπον,
ἴσον ἀποφῆναι κατιδόντες ὅτι ἑκάτερον ἐκ σώματος καὶ ψυχῆς καθέστηκε
λογικῆς, ὥστε καὶ ἐναλλάττοντες βραχὺν μὲν κόσμον τὸν ἄνθρωπον,
156 μέγαν δὲ ἄνθρωπον ἔφασαν τὸν κόσμον εἶναι. ταῦτα δ' οὐκ ἀπὸ σκο-
ποῦ διδάσκουσιν, ἀλλ' ἔγνωσαν ὅτι ἡ τοῦ θεοῦ τέχνη, καθ' ἣν | ἐδη- p. 495 M
μιούργει τὰ σύμπαντα, οὔτε ἐπίτασιν οὔτε ἄνεσιν δεχομένη, μένουσα
δὲ ἡ αὐτὴ κατὰ τὴν ἐν ὑπερβολαῖς ἀκρότητα τελείως ἕκαστον τῶν ὄν-
των δεδημιούργηκε, πᾶσιν ἀριθμοῖς καὶ πάσαις ταῖς πρὸς τελειότητα
157 ἰδέαις καταχρησαμένου τοῦ πεποιηκότος. (32.) „κατὰ γὰρ τὸν μικρὸν
καὶ κατὰ τὸν μέγαν,“ ὥς φησι Μωυσῆς, ἔκρινε (Deut. 1, 17) γεν-
νῶν καὶ σχηματίζων ἕκαστα, μήτε δι' ἀφάνειαν ὕλης ὑφελών τι τοῦ
158 τεχνικοῦ μήτε διὰ λαμπρότητα προσθείς· ἐπεὶ καὶ ὅσοι τῶν τεχνιτῶν
εἰσι δόκιμοι, ἃς ἂν παραλάβωσιν ὕλας, εἴτε πολυτελεῖς εἶεν εἴτε καὶ
εὐτελέσταται, δημιουργεῖν ἐθέλουσι ἐπαινετῶς. ἤδη δέ τινες καὶ προσ-
φιλοκαλοῦντες τὰ ἐν ταῖς εὐτελεστέραις οὐσίαις τεχνικώτερα τῶν ἐν
ταῖς πολυτελέσιν εἰργάσαντο βουληθέντες προσθήκῃ τοῦ ἐπιστημονικοῦ
159 τὸ κατὰ τὴν ὕλην ἐνδέον ἐπανισῶσαι. τίμιον δ' οὐδὲν τῶν ἐν ὕλαις
παρὰ θεῷ· διὸ τῆς αὐτῆς μετέδωκε πᾶσι τέχνης ἐξ ἴσου. παρὸ καὶ
ἐν ἱεραῖς γραφαῖς λέγεται· „εἶδεν ὁ θεὸς τὰ πάντα ὅσα ἐποίησεν, καὶ
ἰδοὺ καλὰ λίαν“ (Gen. 1, 31), τὰ δὲ τοῦ αὐτοῦ τυγχάνοντα ἐπαίνου
160 παρὰ τῷ ἐπαινοῦντι πάντως ἐστὶν ἰσότιμα. ἐπῄνεσε δὲ ὁ θεὸς οὐ τὴν

---

1 αιετωι Pap μυρμικα Pap 2 ψυχηι Pap παθη Pap: πάλιν codd. τε] τε εἶναι AB 2. 3 δε και Pap: δὲ codd. 3 οσα Pap: ὅσα ἡ codd. χωρει Pap: χειρὶ GHP[1], ἔχει δὴ ABP[2] τὰ πάντα codd. 4 αναλογια Pap 6 κατιδόντες ἑκάτερον ὡς ἐκ AB τοῦ σώματος H[1]P 7 λογικοῦ P τὸν videtur omisisse Pap 8 ἔφασαν, μέγαν δ' ἄνθρωπον transpos. AB ταῦτ' AB δε Pap, om. AB 10 ανεσιν Pap (Turn.): ἀνάτασιν APH, ἀνάστασιν BG 11 δὲ] δὴ Pap 12 πρὸς] προ Pap 14 κατὰ om. AB Μωσῆς ABG 15 σχημάτων G ὑφελόντι A[1] 16 τεχνιτοῦ B μήτε Pap H[2]: καὶ μήτε ceteri καὶ om. v 18 ἐπαινετῶς Pap, mg. P: πολυτελῶς ceteri 19 εὐτελεστάταις L[2] in mg. οὐσίαις] ὕλαις coni. Mang. 20 βουληθεντες Pap (Mang.): βουληθέντας codd. 21 ἐπανορθῶσαι conicio 22 αὐτῆς] αὐτοῦ v 23 τὰ Pap v: om. codd. ὅσα] ἃ G ἐποίησε HP 24 καλα λειαν Pap: ἀγαθὰ πάντα AB, ἀγαθὰ σφόδρα GHP τοῦ om. GHP 25 επηινεσεν Pap οὐ om. GHP

δημιουργηθεῖσαν ὕλην, τὴν ἄψυχον καὶ πλημμελῆ καὶ διαλυτήν, ἔτι δὲ
φθαρτὴν ἐξ ἑαυτῆς ἀνώμαλόν τε καὶ ἄνισον, ἀλλὰ τὰ ἑαυτοῦ τεχνικὰ
ἔργα κατὰ μίαν ἴσην καὶ ὁμαλὴν δύναμιν καὶ ἐπιστήμην ὁμοίαν καὶ τὴν
αὐτὴν ἀποτελεσθέντα. παρὸ καὶ τοῖς τῆς ἀναλογίας κανόσιν ἴσα καὶ
ὅμοια πάντα πᾶσιν ἐνομίσθη κατὰ τὸν τῆς τέχνης καὶ ἐπιστήμης λόγον.
(33.) ἰσότητος δὲ εἰ καί τις ἄλλος ἐπαινέτης γέγονε Μωυσῆς, πρῶτον 161
μὲν ὑμνῶν ἀεὶ καὶ πανταχοῦ καὶ δικαιοσύνην, ἧς ἴδιον, ὡς καὶ αὐτό
που δηλοῖ τοὔνομα, τὸ δίχα τέμνειν εἰς μοίρας τά τε σώματα καὶ τὰ
πράγματα ἴσας, εἶτα ψέγων ἀδικίαν, τὴν ἀνισότητος τῆς ἐχθίστης δη-
μιουργόν. ἀνισότης δὲ τοὺς διδύμους πολέμους ἔτεκε, τόν τε ξενικὸν 162
καὶ τὸν ἐμφύλιον, ὡς ἔμπαλιν εἰρήνην ἰσότης. τὰ δ' ἐγκώμια δικαιο-
σύνης καὶ τοὺς ψόγους ἀδικίας ἐναργέστατα διασυνίστησιν, ὅταν λέγῃ·
„οὐ ποιήσετε ἄδικον ἐν κρίσει, ἐν μέτροις, ἐν σταθμοῖς, ἐν ζυγοῖς·
ζυγὰ δίκαια καὶ στάθμια δίκαια καὶ μέτρα δίκαια καὶ χοῦς δίκαιος ἔσται
ὑμῖν“ (Lev. 19,35. 36), καὶ ἐν Ἐπινομίδι „οὐκ ἔσται ἐν μαρσίππῳ σου
στάθμιον καὶ στάθμιον, μέγα ἢ μικρόν· οὐκ ἔσται ἐν τῇ οἰκίᾳ σου
μέτρον καὶ μέτρον, μέγα ἢ μικρόν· στάθμιον ἀληθινὸν καὶ δίκαιον
ἔσται σοι, ἵνα πολυήμερος γένῃ ἐπὶ τῆς γῆς, ἧς κύριος ὁ θεός σου
δίδωσί σοι ἐν κλήρῳ, ὅτι βδέλυγμα κυρίῳ πᾶς ποιῶν ταῦτα, πᾶς ποιῶν
ἄδικα“ (Deut. 25,13—16). οὐκοῦν ὁ φιλοδίκαιος θεὸς ἀδικίαν βδελύτ- 163
τεται καὶ μεμίσηκε, στάσεως καὶ κακῶν ἀρχήν. ποῦ δ' ἰσότητα τὴν
p. 496 M. δικαιοσύνης τροφὸν ὁ νομοθέτης οὐκ ἀποδέχεται ἀρξάμενος | ἀπὸ τῆς

---

1 διαλυτην Pap: διάλυτον codd. 4. 5 καὶ ὅμοια om. AB 5 παντάπασιν ABHP 6 δὲ Pap AB: τε ceteri καὶ εἰ AB Μωσῆς codd. 7 μὲν Pap HP[1]: μὲν αὐτὴν G, μὲν αὐτὸς ABP[2] αει Pap: om. codd. δικαιοσυνην, ης Pap: δικαιοσύνης codd. post ἴδιον add. ὀνομάζων ABP[2] καὶ ὡς AB 8 που om. Pap 8. 9 καὶ πράγματα GHP[1] 9 ισας Pap: om. codd. ἐχθίστης scripsi: εχθιστου Pap, αἰσχίστης codd. 10 ἀνισότητος G 10. 11 διδύμους — καὶ om. G 10 ετεκεν Pap 11 εἰρηνισότης G, εἰρήνη ἰσότητα P 12 διατίθησιν AB 13 ποιήσητε Pap GH[1]P αδικιαν Pap ζυγοῖς Pap G[2]: ζυγίοις ceteri 14 σταθμὰ GH[1]P[1] και μετρα δικαια Pap: om. codd. ἔσται δίκαιος H[1]P 15 μαρσιππίω GHP, μαρσιπίω AB 16. 17 και σταθμιον μεγα — μικρον· σταθμιον Pap: om. codd. 17 post ἀληθινὸν add. δὲ AB 18 σοι om., addunt οὐχὶ δὲ (καὶ add. AB) στάθμιον μέγα καὶ μικρὸν codd. ινα — γης Pap: ἵνα πληθυνθῶσιν αἱ ἡμέραι σου ἐπὶ τῆς χθονός codd. ης Pap: ἣν codd. σου om. codd. 19 εν κληρωι Pap: κληροδοσίαν codd. ταῦτα] τὰ H[2] alterum πᾶς ποιῶν om. HP 20 ἀδικίαν G, ἄδικον conicio 20. 21 βδελυττεται και μεμεισηκεν Pap: μεμίσηκε καὶ βδελύττεται codd. 21 ἰσότητα] ἰσότητος καὶ AB την Pap: om. codd. 22 τροφὴν PH[1] ἀποδέχεται ὁ νομοθέτης AB ουκ Pap: om. codd.

τοῦ παντὸς οὐρανοῦ γενέσεως; „διεχώρισε“ γάρ φησιν „ὁ θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους· καὶ ἐκάλεσεν ὁ θεὸς τὸ φῶς ἡμέραν καὶ τὸ σκότος νύκτα“ (Gen. 1, 4. 5)· ἡμέραν γὰρ καὶ
164 νύκτα καὶ φῶς καὶ σκότος ἰσότης ἔταξε τοῖς οὖσι. διεῖλεν ἰσότης καὶ τὸν ἄνθρωπον εἰς ἄνδρα καὶ γυναῖκα, δύο τμήματα, ἄνισα μὲν ταῖς ῥώμαις, πρὸς δ δὲ ἔσπευσεν ἡ φύσις, τρίτου τινὸς ὁμοίου γένεσιν, ἰσαίτατα. „ἐποίησε“ γάρ φησιν „ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν, ἄρσεν καὶ θῆλυ ἐποίησεν“ οὐκέτ' αὐτόν, ἀλλ' „αὐτοὺς“ ἐπιφέρει πληθυντικῶς (Gen. 1, 27), ἐφαρμόττων τὰ εἴδη τῷ γένει διαι-
165 ρεθέντα, ὡς εἶπον, ἰσότητι. (34.) ψῦχός γε μὴν καὶ καῦμα καὶ θέρος καὶ ἔαρ ἀνέγραψε (Gen. 8, 22), τὰς ἐτησίους ὥρας πάλιν τῷ αὐτῷ τομεῖ διαιρουμένας. αἵ γε μὴν πρὸ ἡλίου τρεῖς ἡμέραι ταῖς μεθ' ἥλιον ἰσάριθμοι γεγόνασιν (Gen. 1, 5 ss.), ἐξάδος τμηθείσης ἰσότητι πρὸς αἰῶνος καὶ χρόνου δήλωσιν· αἰῶνι μὲν γὰρ τὰς πρὸ ἡλίου τρεῖς ἀνατέθεικε, χρόνῳ δὲ τὰς
166 μεθ' ἥλιον, ὅς ἐστι μίμημα αἰῶνος. τὰς δὲ τοῦ ὄντος πρώτας δυνάμεις, τήν τε χαριστικήν, καθ' ἣν ἐκοσμοπλάστει, ᾗ προσαγορεύεται θεός, καὶ τὴν κολαστικήν, καθ' ἣν ἄρχει καὶ ἐπιστατεῖ τοῦ γενομένου, ᾗ προσονομάζεται κύριος, ὑπ' αὐτοῦ φησιν ἑστῶτος ἐπάνω μέσου διαστέλλεσθαι· „λαλήσω γάρ σοι“ φησίν „ἄνωθεν τοῦ ἱλαστηρίου ἀνὰ μέσον τῶν δυεῖν Χερουβίμ“ (Exod. 25, 21), ἵν' ἐπιδείξῃ ὅτι αἱ πρεσβύταται τοῦ ὄντος δυνάμεις ἰσάζουσιν, ἥ τε δωρητικὴ καὶ κολαστήριος, αὐτῷ τομεῖ χρώ-
167 μεναι. (35.) τί δ'; αἱ στῆλαι τῶν γενικῶν δέκα νόμων, ἃς ὀνομάζει

---

1 γενέσεως οὐρανοῦ AB   διεχωρισεν γαρ Pap: καὶ διεχώρισε GH$^3$, καὶ διεχώρισε γάρ ceteri   ο θεος Pap: om. codd.   4 τὸ σκότος codd.   ισοτητος Pap   εταξεν Pap   (ἐν) τοῖς conicio   ουσιν Pap   6 τρίτην τὴν ὡς ὁμοιογενέσιν AB   6. 7 ἰσαίτατα scripsi: ισοτατα Pap, ἰσότητα codd., ἰσώτατα v   7 ἐποίησεν Pap B   8 ἄρσεν Pap A: ἄρρεν ceteri   οὐκέτι codd.   9 post γένει add. καὶ AB   11 αιτησιους Pap   παλι Pap   13 πρὸ P, πρ$^{ὸ}$ H   αιωνας και χρονους Pap   14 ανατεθεικεν Pap   χρονου Pap   15 εστιν Pap   δε Pap: δύο codd., δὲ δύο Mang.   16 εκοσμοπλαττειν Pap   ᾗ v, item lin. 17   προσαγορευεται Pap: προσηγόρευται codd.   θεός Pap AB: κύριος GHP   18 κύριος Pap AB: θεός GHP   μέσον AB   διαστέλλεται G   19 σοι γαρ Pap   μέσου L   δυοῖν codd.   20 χαιρουβειν Pap   ἵνα G   πρεσβύτατοι AB   21 ἡ κολαστήριος AB, κολαστηρίοις G   ὀνομαζειν Pap

---

15 cf. Platonis Tim. p. 37D (vol. II 63, 11).

πλάκας, οὐ δύο εἰσὶν ἰσάριθμοι τοῖς τῆς ψυχῆς μέρεσι, λογικῷ καὶ ἀλόγῳ,
ἃ παιδευθῆναί τε καὶ σωφρονισθῆναι χρή, τεμνόμεναι πάλιν ὑπὸ τοῦ
θεσμοθέτου μόνου; „αἱ γὰρ πλάκες ἔργον θεοῦ ἦσαν, καὶ ἡ γραφὴ
γραφὴ θεοῦ κεκολαμμένη ἐν ταῖς πλαξί“ (Exod. 32, 16). καὶ μὴν 168
τῶν ἐν αὐταῖς δέκα λόγων, οἳ κυρίως εἰσὶ θεσμοί, διαίρεσις ἴση γέγονεν
εἰς πεντάδας, ὧν ἡ μὲν προτέρα τὰ πρὸς θεὸν δίκαια, ἡ δὲ ἑτέρα τὰ
πρὸς ἀνθρώπους περιέχει. τῶν μὲν οὖν πρὸς θεὸν δικαίων πρῶτός 169
ἐστι θεσμὸς ὁ ἐναντιούμενος τῇ πολυθέῳ δόξῃ, διδάσκων ὅτι μοναρχεῖ-
ται ὁ κόσμος· δεύτερος δὲ ὁ περὶ τοῦ μὴ θεοπλαστεῖν τὰ μὴ αἴτια
γραφέων καὶ πλαστῶν ἐπιβούλοις τέχναις, αἷς Μωυσῆς ἐξήλασε τῆς
καθ᾽ αὑτὸν πολιτείας ἀΐδιον φυγὴν ἐπ᾽ αὐταῖς ψηφισάμενος, ἵν᾽ ὁ μόνος
p. 497 M. καὶ | πρὸς ἀλήθειαν τιμᾶται θεός· τρίτος δὲ ὁ περὶ ὀνόματος κυρίου, 170
⟨οὐ τοῦ⟩ ὃ οὐδ᾽ ἦλθεν εἰς γένεσιν — ἄρρητον γὰρ τὸ ὄν —, ἀλλὰ τοῦ
ταῖς δυνάμεσιν ἐπιφημισθέντος, διείρηται γὰρ αὐτὸ μὴ λαμβάνειν ἐπὶ
ματαίῳ· τέταρτος δὲ ὁ περὶ τῆς ἀειπαρθένου καὶ ἀμήτορος ἑβδομάδος,
ἵνα τὴν ἀπραξίαν αὐτῆς μελετῶσα γένεσις εἰς μνήμην τοῦ ἀοράτως
πάντα δρῶντος ἔρχηται· πέμπτος δὲ ὁ περὶ γονέων τιμῆς· καὶ γὰρ 171
οὗτος ἱερὸς ἔχων τὴν ἀναφορὰν οὐκ ἐπ᾽ ἀνθρώπους, ἀλλ᾽ ἐπὶ τὸν σπο-
ρᾶς καὶ γενέσεως τοῖς ὅλοις αἴτιον, παρ᾽ ὃν μήτηρ τε καὶ πατὴρ γεννᾶν
ἔδοξαν, οὐ γεννῶντες, ἀλλ᾽ ὄργανα γενέσεως ὄντες. μεθόριος δ᾽ ὁ θεσ- 172
μὸς οὗτος ἐγράφη τῆς τε πρὸς εὐσέβειαν τεινούσης πεντάδος καὶ τῆς
ἀποτροπὰς τῶν πρὸς τοὺς ὁμοίους ἀδικημάτων περιεχούσης, ἐπειδήπερ

---

1 οὐ δύο scripsi: ουδ᾽ Pap, δύο codd. 2 παιδευθηνεται και Pap 3 μονου Pap: om. codd. 5 αυταις Pap: ταύταις codd. εισιν Pap 6 ετερα Pap: δευτέρα codd. 8 εστιν Pap 9 alt. ο Pap: om. codd. 10 αις Pap: ἃς codd. Μωσῆς codd. εξηλασεν Pap 11 καθ᾽ αυτον Pap: κατ᾽ αὐτὸν codd. αὐτοῖς codd. ποιησάμενος GH¹P, ψήφῳ s. s. H² ινα Pap 12 ο Pap: om. codd. 13 οὐ τοῦ addidi, οὐχ ὃ Mang. ὃ οὐδ᾽ ἦλθεν Pap AB: ὃ οὐ διῆλθεν GP², οὐχ ὃ διῆλθεν H², ὃ διῆλθεν H¹P¹ το ον Pap: τοὔνομα codd. 14 διειρηται Pap (Mang.): ἀεὶ. εἴρηται codd. 15 ο Pap: om. codd. ἀεὶ παρθένου AB 19 γενήσεως A, γεννήσεως B (Mang.) 20 γεννήσεως Mang. 20. 21 θεσμος Pap: χρησμὸς codd. 21 εγραφη Pap: ἐτάγη codd. τε om. B τεινουσης Pap: τε ἴσης G, ἴσης HP, ἴσως AB, οὔσης v 22 ἀποτροπῆς GHP, ἀποτροπὴν v τοὺς om. AB

---

l. 2 *Clem. Alex. Strom. VI § 134 p. 808 P:* δισσῶς (δισσαί?), ὡς ἔοικεν, γράφονται δισσοῖς πνεύμασιν ἐντολαί (sic Sylburgius pro ἐντολαῖς), τῷ τε ἡγεμονικῷ τῷ τε ὑποκειμένῳ. *136 p. 809:* εἰκότως τοίνυν αἱ δύο πλάκες τοῖς δισσοῖς πνεύμασι τὰς δεδομένας ἐντολάς, τῷ τε πλασθέντι τῷ τε ἡγεμονικῷ, . . . . ἀλλαχῇ εἴρηνται μηνύειν.

οἱ θνητοὶ γονεῖς τέλος εἰσὶν ἀθανάτων δυνάμεων, αἳ πάντα γεννῶσαι
κατὰ φύσιν ἐπέτρεψαν ὑστάτῳ καὶ τῷ θνητῷ γένει μιμησαμένῳ τὴν
περὶ τὸ γεννᾶν τέχνην σπείρειν· ἀρχὴ μὲν γὰρ γενέσεως ὁ θεός, τὸ
173 δ' ἔσχατον καὶ ἀτιμότατον, τὸ θνητὸν εἶδος, τέλος. ἡ δ' ἑτέρα πεντάς
ἐστιν ἀπαγόρευσις μοιχείας, ἀνδροφονίας, κλοπῆς, ψευδομαρτυρίας, ἐπι-
θυμίας. οὗτοι γενικοὶ σχεδὸν πάντων ἁμαρτημάτων εἰσὶ κανόνες, ἐφ'
174 οὓς ἕκαστον ἀναφέρεσθαι τῶν ἐν εἴδει συμβέβηκεν. (36.) ἀλλὰ καὶ
τὰς ἐνδελεχεῖς θυσίας ὁρᾷς εἰς ἴσα διῃρημένας, ἥν τε ὑπὲρ ἑαυτῶν οἱ
ἱερεῖς προσφέρουσι τῆς σεμιδάλεως καὶ τὴν ὑπὲρ τοῦ ἔθνους τῶν δυεῖν
ἀμνῶν, οὓς ἀναφέρειν διείρηται. πρωὶ γὰρ τὰ ἡμίση τῶν λεχθέντων
καὶ τὰ ἕτερα δειλινῆς ἐκέλευσεν ἱερουργεῖν ὁ νόμος (Lev. 6,20. Exod. 29,
38. 39), ἵνα καὶ ὑπὲρ τῶν μεθ' ἡμέραν καὶ ὑπὲρ τῶν νύκτωρ ἀρδομένων
175 ἅπασιν ἀγαθῶν ὁ θεὸς εὐχαριστῆται. ὁρᾷς καὶ τοὺς προτιθεμένους
ἄρτους ἐπὶ τῆς ἱερᾶς τραπέζης, ὡς ⟨εἰς⟩ ἴσα μέρη διανεμηθέντες οἱ
δώδεκα ἀριθμῷ καθ' ἑξάδα τίθενται (Lev. 24,6) μνημεῖα τῶν ἰσαρίθμων
φυλῶν, ὧν τὴν ἡμίσειαν ἡ ἀρετὴ Λεία κεκλήρωται ἓξ τεκοῦσα φυλάρ-
χας, τὴν δ' ἑτέραν ἡμίσειαν οἵ τε Ῥαχὴλ καὶ οἱ τῶν παλλακῶν νόθοι.
176 ὁρᾷς καὶ τοὺς ἐπὶ τοῦ ποδήρους δύο λίθους τῆς σμαράγδου πρός τε
τοῖς δεξιοῖς καὶ πρὸς τοῖς εὐωνύμοις ἰσότητι διῃρημένους, οἷς καθ'
ἑξάδα ἐγγέγλυπται τὰ τῶν δώδεκα φυλάρχων ὀνόματα, θεῖα γράμματα
177 ἐστηλιτευμένα, θείων φύσεων ὑπομνήματα (Exod. 28, 9—12). τί δ';
οὐχὶ δύο ὄρη συμβολικῶς δύο γένη λαβὼν καὶ πάλιν ἰσότητι διακρίνας
ἀναλογούσῃ τὸ μὲν ἀπένειμε τοῖς εὐλογοῦσι, τὸ δ' αὖ τοῖς καταρωμέ-

---

1 δυνάμεις AB πᾶν G 3 αρχηι Pap γεννήσεως Mang. 4 prius δὲ codd. ἀτιμώτατον τῷ ἀθλητῇ εἶδος AB ἡ om. Pap 5 απαγορευσεις Pap ψευδομαρτυρίας om. Pap 6 διαταγμάτων coni. Mang. εισιν Pap 7 ἀναφαίνεσθαι G 8 οὐσίας H[1]P[1] τε] τὸ GHP εαυτων Pap: αὑτῶν AH[2], αὐτῶν ceteri 8. 9 οι ιερεις προσφερουσι Pap: ἀνάγουσιν οἱ ἱερεῖς codd. 9 τῆς] διὰ τῆς AB δυειν Pap G: δυοῖν ceteri 10 πρωίας B τὰ ἥμισυ HP 11 καὶ τὰ ἕτερα Pap H (τὰ in ras. H): καὶ θάτερα AB, καθ' ἕτερα GP (sed corr. P), tum ἑσπέρας add. ABP[2], ἑτέρα H[1] (del. H[2]) P[1], ἑτέρῃ G δειληνης Pap post ἐκέλευσεν add. ὄντως codd. ὁ νόμος] ὄνομα AB 12 μεθ'—ὑπὲρ τῶν om. codd. αδρομενων Pap, ᾀδομένων AB 13 προστιθεμένους Pap P 14 εἰς add. Mang. ἰσαμερῆ H[1]P διανεμηθεντας Pap 15 αριθμωι και (καὶ delevi) καθ' εξαδα Pap: καθ' ἑξάδα ἀριθμῷ codd. 17 δε Pap οἵ] ἡ ABG Ῥαχιὴλ H οἱ codd.: om. Pap των παλλακων νοθοι Pap: τῶν ἄλλων codd. 18 δυο Pap: δώδεκα codd. 19 πρὸς om. codd. ἠρτημένους G post οἷς add. τὰ ἴσα codd. 20 φυλάρχων AB 22 alterum δυο Pap: om. codd. 23 δ'] δι' G αὐτοῖς AGHP, οὐ τοῖς L

p. 498 M. νοις ἐξ ἐφ' ἑκατέρου | στήσας φυλάρχας (Deut. 27, 11—13), ἵνα τοῖς χρείοις νουθεσίας οὖσιν ἐπιδείξῃ, ὅτι καὶ ἰσάριθμοι ⟨ταῖς⟩ εὐλογίαις αἱ ἀραὶ καὶ σχεδόν, εἰ θέμις εἰπεῖν, ἰσότιμοι; ὁμοίως γὰρ οἵ τε ἔπαινοι 178 τῶν ἀγαθῶν καὶ οἱ ψόγοι τῶν μοχθηρῶν ὠφελοῦσιν, ἐπεὶ καὶ τὸ φυγεῖν τὸ κακὸν τῷ τἀγαθὸν ἑλέσθαι παρὰ τοῖς εὖ φρονοῦσιν ὅμοιον καὶ ταὐτὸν ἐνομίσθη. (37.) καταπλήττει με καὶ ἡ τῶν προσαγομένων τῷ 179 ἱλασμῷ δυεῖν τράγων ἐπίκρισις ὁμοῦ καὶ διανομὴ τεμνομένων ἀδήλῳ καὶ ἀτεκμάρτῳ τομεῖ, κλήρῳ· λόγων γὰρ δυεῖν ὁ μὲν τὰ τῆς θείας ἀρετῆς πραγματευόμενος ἀνιεροῦται καὶ ἀνατίθεται θεῷ, ὁ δὲ τὰ τῆς ἀνθρωπίνης κακοδαιμονίας ἐζηλωκὼς γενέσει τῇ φυγάδι· καὶ γὰρ ὃν ἔλαχεν αὕτη κλῆρον, ἀποπομπαῖον καλοῦσιν οἱ χρησμοί (Lev. 16, 8), ἐπειδὴ μετανίσταται καὶ διῴκισται καὶ μακρὰν ἀπελήλαται σοφίας. ἐπισήμων γε μὴν καὶ ἀσήμων ὥσπερ νομισμάτων, οὕτως καὶ πραγμάτων 180 ὄντων ἐν τῇ φύσει πολλῶν ὁ ἀόρατος τομεὺς οὐ δοκεῖ σοι διελεῖν πάντ' εἰς μοίρας ἴσας καὶ τὰ μὲν ἐπίσημα καὶ δόκιμα τῷ παιδείας ἐραστῇ, τῷ δὲ ἀμαθαίνοντι τὰ ἀτύπωτα καὶ ἄσημα προσνεῖμαι; „ἐγένετο“ γάρ φησι „τὰ μὲν ἄσημα τοῦ Λάβαν, τὰ δὲ ἐπίσημα τοῦ Ἰακώβ“ (Gen. 30,42). καὶ γὰρ ἡ ψυχή, τὸ κήρινον, ὡς εἶπέ τις τῶν ἀρχαίων, ἐκμαγεῖον, 181 σκληρὰ μὲν οὖσα καὶ ἀντίτυπος ἀπωθεῖ καὶ ἀποσείεται τοὺς ἐπιφερομένους χαρακτῆρας καὶ ἀσχημάτιστος ἐξ ἀνάγκης διαμένει, πειθήνιος δ' ὑπάρχουσα καὶ μετρίως ὑπείκουσα βαθεῖς τοὺς τύπους δέχεται καὶ ἀναμαξαμένη τὰς σφραγῖδας ἄκρως διαφυλάττει τὰ ἐνσημανθέντα

---

1 εξ εφ' Pap: ὁ ἐξ ἐφ' G, ἐξ ceteri φυλάρχους AB, om. Pap 2 ταῖς addidi εὐλογίας GBHP αι Pap: om. codd. 4 οφελουσιν επι Pap 4. 5 φεύγειν per errorem Mang. 5 το κακον Pap: κακὸν codd. N τῶ Pap AHPN: τὸ B, καὶ τὸ G τα αγαθον (sic) Pap: ἀγαθὸν codd. N, ἑλέσθαι ἀγαθὸν transp. N 6 ταυτὸ G νενόμισται codd. N 7 δυεῖν Pap G: δυοῖν ceteri ἀπόκρισις L 8 καὶ — κλήρῳ om. Pap λογω Pap δυεῖν Pap G: δυοῖν ceteri 9 τῶ θεῶ B 12 διωκισται Pap: διώκεται codd. απεληλασται Pap 13 γε] τὲ AB 14 ὁ ABH²: om. Pap GH¹P πάντ' om. codd. 15 μοιρασίας G καὶ δόκιμα post ἐραστῇ transpos. codd. 16 δ' AB 17 φησιν Pap B δ' Pap N 18 καὶ γὰρ ἡ Cohn: ως γαρ η Pap, ἡ γὰρ codd. N κηρινον Pap (Mang.): καίριον codd. N 19 ουσαν Pap ἀντωθεῖ codd. N, ἀπωθεῖται conicio 20 post ἐπιφερομένους add. δὲ G διαμένει ἐξ ἀνάγκης N διαβαίνει AB 21 δὲ ABN 22 ακρως Pap: ἀκριβῶς codd. N

---

3—6 ὁμοίως — νενόμισται N fol. 166r. 16—42,1 ἐγένετο — εἴδη N fol. 166r.
18 Platonis Theaet. p. 191 C.

182 ἀνεξάλειπτα εἴδη. (38.) θαυμαστὴ μέντοι καὶ ἡ τοῦ τῶν θυσιῶν αἵματος ἴση διανομή, ἣν ὁ ἀρχιερεὺς Μωυσῆς φύσει διδασκάλῳ χρησάμενος διένειμε. „λαβὼν“ γάρ φησι „τὸ ἥμισυ τοῦ αἵματος ἐνέχεεν εἰς κρατῆρας· τὸ δὲ ἥμισυ προσέχεε πρὸς τὸ θυσιαστήριον“ (Exod. 24, 6), ὅπως ἀναδιδάξῃ, ὅτι τὸ σοφίας ἱερὸν γένος διττόν ἐστι, τὸ
183 μὲν θεῖον, τὸ δὲ ἀνθρώπινον· καὶ τὸ μὲν θεῖον ἀμιγὲς καὶ ἄκρατον, οὗ ἕνεκα τῷ ἀμιγεῖ καὶ ἀκράτῳ καὶ κατὰ τὴν μόνωσιν μονάδι ὄντι σπένδεται θεῷ, τὸ δὲ ἀνθρώπινον μικτὸν καὶ κεκραμένον, ὃ τοῦ μικτοῦ καὶ συνθέτου καὶ κεκραμένου γένους κατασκεδάννυται ἡμῶν, ὁμόνοιαν καὶ κοινωνίαν καὶ τί γὰρ ἄλλο ἢ κρᾶσιν μερῶν τε καὶ ἠθῶν ἐργασόμε-
184 νον. ἀλλὰ γὰρ καὶ τῆς ψυχῆς τὸ μὲν ἀμιγὲς καὶ ἄκρατον μέρος ὁ ἀκραιφνέστατος νοῦς ἐστιν, ὃς ἀπ' οὐρανοῦ καταπνευσθεὶς ἄνωθεν ὅταν ἄνοσος καὶ ἀπήμων διαφυλαχθῇ, τῷ καταπνεύσαντι καὶ ἀπαθῆ παντὸς κακοῦ διαφυλάξαντι προσηκόντως ὅλος εἰς ἱερὰν σπονδὴν ἀναστοιχειωθεὶς ἀνταποδίδοται· | τὸ δ' αὖ μικτὸν γένος τὸ αἰσθήσεών ἐστιν, ᾧ p. 499 M
185 κρατῆρας οἰκείους ἡ φύσις ἐδημιούργησε. κρατῆρες δὲ ὁράσεως μὲν ὀφθαλμοί, ἀκοῆς δὲ ὦτα καὶ μυκτῆρες ὀσφρήσεως καὶ τῶν ἄλλων αἱ ἁρμόττουσαι δεξαμεναί. τούτοις ἐπιχεῖ τοῖς κρατῆρσιν ὁ ἱερὸς λόγος τοῦ αἵματος ἀξιῶν τὸ ἄλογον ἡμῶν μέρος ψυχωθῆναι καὶ τρόπον τινὰ λο-

---

1 τὰ εἴδη N, εἴδη om. B   τῶν om. codd.   2 ἀρχιερεὺς] ἱεροφάντης vel ἀρχιπροφήτης coni. Mang.   Μωσῆς GHP   3 διενιμε Pap   ἐνέχεε G   4 εἰς — προσέχεε om. G   προσεχεεν Pap, προσέσχε P, πρόσεχε H[1]   τὸ om. G   6 δ' Pap   7 alt. καὶ Pap G: om. ceteri   μονωσιν Pap: ἕνωσιν codd.   8 σπένδει codd.   ἀνθρώπινον om. Pap   ὃ AB: om. Pap GHP   9 κεκραμμένου HP   10 μερων Pap: μελῶν codd.   ἐργασόμενος G, ἐργασάμενος HP   11 γαρ και Pap: γὰρ GHP, om. AB   ὁ om. codd.   13 ἀπαθεῖ H   14 ὅλος codd. (ὅλως L): ο λογος Pap   σπονδὴν Pap G: σπουδὴν ceteri   15 γενος Pap: μέρος codd.   τὸ] τῶν P   16 κρατῆρες] κρατηρας Pap   17 τῶν Pap ut vid.: τούτων codd.   αλλων Pap (cf. Ambros.): om. codd.   18 ⟨τὸ ἥμισυ⟩ τοῦ coni. Cohn

---

1 sqq. *Ambros. Epist. 65, 2:* illa (pars) quae in crateras mittitur moralis est, haec quae ad altare effunditur mystica, eo quod divino munere et adspiratione quadam humanis infundatur mentibus . . .   15—19 *ibid. 5:* Crateres igitur sensuum receptacula. crateres oculi sunt duo, aures sunt, nares sunt, os quoque et aliae partes convenientes muneri. oculi enim visum recipiunt et ministrant, auditum aures, odorem nares, ora gustatum, et cetera. in istos crateres verbum illud, in quo est principatus sacerdotii vel prophetiae, effundit sanguinis sui partes, ut vivificet atque animet irrationabiles portiones et faciat rationabiles. *8* mentes hominum vivificavit . . .

γικὸν γενέσθαι, ταῖς μὲν νουθεσίαις περιόδοις ἀκολουθῆσαν, ἁγνεῦσαν δὲ
τῶν ὁλκὸν ἀπατεῶνα προτεινόντων δύναμιν αἰσθητῶν. ἆρά γε οὐχὶ 186
τοῦτον τὸν τρόπον καὶ τὸ δίδραχμον διενεμήθη τὸ ἅγιον, ἵνα τὸ μὲν
ἥμισυ αὐτοῦ, τὴν δραχμήν, καθιερῶμεν λύτρα τῆς ἑαυτῶν ψυχῆς κατα-
τιθέντες (Exod. 30, 12. 13), ἣν ὁ μόνος ἀψευδῶς ἐλεύθερος καὶ ἐλευ-
θεροποιὸς θεὸς ὠμῆς καὶ πικρᾶς παθῶν καὶ ἀδικημάτων δεσποτείας
ἱκετευθείς, ἔστι δ' ὅτε καὶ χωρὶς ἱκεσίας, ἀνὰ κράτος ἐκλύει, τὸ δ'
ἕτερον μέρος τῷ ἀνελευθέρῳ καὶ δουλοπρεπεῖ γένει καταλίπωμεν, οὗ
κεκοινώνηκεν ὁ λέγων· „ἠγάπηκα τὸν κύριόν μου," τὸν ἡγεμόνα ἐν ἐμοὶ
νοῦν, „καὶ τὴν γυναῖκά μου," τὴν φίλην καὶ οἰκουρὸν παθῶν αἴσθησιν,
„καὶ τὰ παιδία," τὰ κακὰ τούτων ἔγγονα, „οὐκ ἄπειμι ἐλεύθερος
(Exod. 21, 5). ἀνάγκη γὰρ καὶ τῷ τοιούτῳ γένει κλῆρον ἄκληρον καὶ 187
ἀπόπομπαῖον ἐκ τοῦ διδράχμου δοθῆναι, ἐναντίον τῇ ἀνατεθειμένῃ
δραχμῇ τε καὶ μονάδι· μονὰς δὲ οὔτε πρόσθήκην οὔτε ἀφαίρεσιν δέ-
χεσθαι πέφυκεν, εἰκὼν οὖσα τοῦ μόνου πλήρους θεοῦ. χαῦνα γάρ τά 188
τε ἄλλα ἐξ ἑαυτῶν, εἰ δέ που καὶ πυκνωθείη, λόγῳ σφίγγεται θείῳ.
κόλλα γὰρ καὶ δεσμὸς οὗτος πάντα τῆς οὐσίας ἐκπεπληρωκώς· ὁ δ'
εἴρας καὶ συνυφήνας ἕκαστα πλήρης αὐτὸς ἑαυτοῦ κυρίως ἐστίν, οὐ δεη-
θεὶς ἑτέρου τὸ παράπαν. (39.) εἰκότως οὖν ἐρεῖ Μωυσῆς· „ὁ πλουτῶν 189
οὐ προσθήσει, καὶ ὁ πενόμενος οὐκ ἐλαττώσει ἀπὸ τοῦ ἡμίσους τοῦ
διδράχμου" (Exod. 30, 15), ὅπερ ἐστίν, ὡς ἔφην, δραχμή τε καὶ μο-
νάς· ᾗ πᾶς ἂν ἀριθμὸς εἴποι τὸ ποιητικὸν ἐκεῖνο

ἐν σοὶ μὲν λήξω, σέο δ' ἄρξομαι.

---

1 νουθεσίας A (coni. Turn.), νοῦ θείαις conicio    περιοδους Pap, προόδοις coni. Mang.    δὲ] των δε Pap    2 τῶν] τὸν B, τὸν τῶν P    ὁλκὸν ⟨καὶ⟩ Mang.    προτεινοντων Pap: προτεινάντων codd.    3 τουτον τον τροπον Pap: τούτω τῶ τρόπω codd.    καὶ τῶ διδαγμὸν G    διενοήθη H    4 δραγμὴν P[1]H[1]    καθιερωνεν (sic) Pap: καθίρωμεν G, καθήρωμεν AB, καθάρωμεν HP    5 ἀψευδῶς om. codd.    7 εστιν Pap    εγλυει Pap    7. 8 τὸ δ'—ἀνελευθέρῳ om. Pap    8 καταλείπωμεν v    9 μου τὸν κύριον codd.    alt. τὸν] τὸν δὲ G    11 τὰ κακὰ GHP: τα κατα Pap, κακὰ AB    ἔκγονα ABG    12 ἄκληρον om. G    13 διδράγμου H[1]P[1]    την εναντιον (ανατεθει)μενηι Pap, τὸν ἐναντίον τῇ ἀνατ. conicio    14 οὔτ' AB    16 αὐτῶν P, αὑτῶν H[1]    πυκνωθειη Pap: πυκνω (πυκνωθεὶς P[2]) εἴη P[1]H[1], πυκνωθὲν εἴη GH[2], πυκνωθεὶς εἴη τις AB    17 γάρ ἐστι καὶ codd.    τὰ πάντα codd.    17. 18 ὁ διείρας καὶ συνυφάνας AB    18 κύριός AB    19 τὸ] του Pap    Μωσῆς GHP    21 διδράγμου H[1]P    ἔφη AB    22 πᾶς ἀνάριθμος HP[1]    ἂν om. AB    23 λήξω, ἐκ σέο codd.

---

23 Hom. Il. *I* 97.

190 λήγει τε γὰρ ἀναλυόμενος ὁ κατὰ σύνθεσιν ἀπειράκις ἄπειρος ἀριθμὸς
εἰς μονάδα, ἄρχεταί τε αὖ πάλιν ἀπὸ μονάδος εἰς ἀπερίγραφον συντιθέ-
μενος πλῆθος. διόπερ οὐδ' ἀριθμόν, ἀλλὰ στοιχεῖον καὶ ἀρχὴν ἀριθ-
191 μοῦ ταύτην ἔφασαν, οἷς ζητεῖν ἐπιμελές. ἔτι τοίνυν τὴν οὐράνιον τρο-
φὴν — σοφία δέ ἐστιν — τῆς ψυχῆς, ἣν καλεῖ μάννα, διανέμει πᾶσι
τοῖς χρησομένοις θεῖος λόγος ἐξ ἴσου, πεφροντικὼς | διαφερόντως ἰσότη- p. 500 M
τος. μαρτυρεῖ δὲ Μωυσῆς λέγων· „οὐκ ἐπλεόνασεν ὁ τὸ πολύ, καὶ ὁ
τὸ ἔλαττον οὐκ ἠλαττόνησεν" (Exod. 16, 18), ἡνίκα τῷ τῆς ἀναλογίας
ἐχρήσαντο θαυμαστῷ καὶ περιμαχήτῳ μέτρῳ· δι' οὗ συνέβη μαθεῖν,
ὅτι ἕκαστος „εἰς τοὺς καθήκοντας" (Exod. 16, 16) παρ' ἑαυτῷ συνέ-
λεξεν οὐκ ἀνθρώπους μᾶλλον ἢ λογισμοὺς καὶ τρόπους· ὃ γὰρ ἐπέβα-
λεν ἑκάστῳ, τοῦτ' ἀπεκληρώθη προνοητικῶς, ὡς μήθ' ὑστερῆσαι μήτ'
192 αὖ περιττεῦσαι. (40.) τὸ δὲ παραπλήσιον τῆς κατ' ἀναλογίαν ἰσότη-
τος ἔστιν εὑρεῖν καὶ ἐπὶ τοῦ λεγομένου Πάσχα. Πάσχα δέ ἐστιν, ὅταν
ἡ ψυχὴ τὸ μὲν ἄλογον πάθος ἀπομαθεῖν μελετᾷ, τὴν δ' εὔλογον εὐ-
193 πάθειαν ἑκουσίως πάσχῃ· διείρηται γάρ, „ἐὰν ὀλίγοι ὦσιν οἱ ἐν τῇ
οἰκίᾳ, ὥστε μὴ ἱκανοὺς εἶναι εἰς τὸ πρόβατον, τὸν πλησίον γείτονα
προσλαβεῖν, κατ' ἀριθμὸν ψυχῶν, ἵν' ἕκαστος τὸ ἀρκοῦν αὐτῷ συνα-
ριθμῆται" (Exod. 12,4), μοῖραν, ἧς ἐστιν ἐπάξιός τε καὶ χρεῖος, εὑ-
194 ρισκόμενος. ἐπειδὰν δὲ καὶ τρόπον χώρας τὴν ἀρετὴν εἰς τοὺς οἰκήτο-
ρας αὐτῆς ἐθελήσῃ διανέμειν, τοῖς πλείοσι πλεονάζειν καὶ τοῖς ἐλάττο-
σιν ἐλαττοῦν τὴν κατάσχεσιν προστάττει (Num. 35, 8), δικαιῶν μήτε
τοὺς μείζους ἐλαττόνων ἀξιοῦν — κενοὶ γὰρ ἐπιστήμης ἔσονται — μήτε
τοὺς ἐλάττους μειζόνων· χωρῆσαι γὰρ τὸ μέγεθος αὐτῶν οὐ δυνήσονται.

---

1 συνήθειαν H 2 τε Pap: δὲ codd. 3 οὐδ' Pap: οὐκ codd. 4 αὐτὴν AB ἐπιμελὲς ⟨ταῦτα⟩ conicio 5 σοφία δέ ἐστιν τῆς om. codd. 6 λόγος θεῖος AB, θεῖος om. Pap διαφέροντι G 7 Μωσῆς GHP δ] ᾧ v δ] ᾧ v 7. 8 ὁ τὸ om. Pap 8 ελαττον Pap: ὀλίγον codd. ἠλαττόνησεν GABP: ελαττωσε Pap, ἐλαττόνησεν H 9 εχρησαντωι Pap μέτρῳ om. H¹P¹ συνέστηκε PH¹ 10 αυτωι Pap 11 ἀνθρώπους] ἀγγεῖα AB ὃ] α Pap 12 απεπληρωθη Pap μήτε bis codd. 13 κατα Pap 15 ἡ ψυχὴ post ἀπομαθεῖν transp. AB αποπαθειν Pap τὴν] τη Pap 16 ἑκουσίων πάσχα G πασχει Pap οἱ om. AB 18 κατ' ἀριθμὸν προσλαβεῖν AB (ψυχων κατ' αριθμ)ον Pap 19 συναριθμεῖται GH¹ μοῖραν Mang: μοίρας codd. (Pap?) post χρεῖος add. ἐστὶν H¹P 20 καὶ om. AB τρόπων G, τρόπω AB τὴν ἀρετὴν om. H 21 αὐτῆς Pap G: αὐτοὺς HP, αὐτοῦ AB πλειοσιν Pap 22 μήτε] μὴν G 22. 23 μείζους — τοὺς add. H², μήτε τοὺς — ἀξιοῦν in mg. P² 23 κενοὶ — ἔσονται om. HP¹, lin. 21 post πλεονάζειν per errorem pos. Mang. μήτε] μήτε μὴν H² 24 αὐτῶν τὸ μέγεθος codd.

(41.) τῆς δὲ κατ' ἀριθμὸν ἰσότητος ἐναργέστατον δεῖγμά ἐστι τά τε 195
τῶν δώδεκα ἀρχόντων ἱερὰ δῶρα (Num. 7, 10 sqq.) καὶ ἔτι τὰ ἀπὸ
τῶν δώρων διανεμόμενα τοῖς ἱερεῦσιν· „ἑκάστῳ“ γάρ φησι „τῶν υἱῶν
Ἀαρὼν ἔσται τὸ ἴσον“ (Lev. 6,40). ʽπαγκάλη δὲ καὶ ἡ περὶ τὴν σύν- 196
θεσιν τῶν ἐκθυμιωμένων ἐστὶν ἰσότης· λέγεται γάρ· „λάβε σεαυτῷ
ἡδύσματα, στακτήν, ὄνυχα καὶ χαλβάνην ἡδυσμοῦ καὶ λίβανον διαφανῆ,
ἴσον ἴσῳ, καὶ ποιήσουσιν αὐτὸ θυμίαμα μύρον, μυρεψοῦ ἔργον συνθέ-
σεως καθαρᾶς, ἔργον ἅγιον“ (Exod. 30, 34. 35). ἕκαστον γὰρ τῶν μερῶν
ἑκάστῳ φησὶ δεῖν ἴσον συνέρχεσθαι πρὸς τὴν τοῦ ὅλου κρᾶσιν. ἔστι δ' 197
οἶμαι τὰ τέτταρα ταῦτα, ἐξ ὧν τὸ θυμίαμα συντίθεται, σύμβολα τῶν
στοιχείων, ἐξ ὧν ἀπετελέσθη σύμπας ὁ κόσμος. στακτὴν μὲν γὰρ
ὕδατι, γῇ δὲ ὄνυχα, χαλβάνην δὲ ἀέρι, τὸν δὲ διαφανῆ λιβανωτὸν πυρὶ
ἀπεικάζει· στακτὴ μὲν γὰρ παρὰ τὰς σταγόνας ὑδατῶδες, ξηρὸν δὲ
ὄνυξ καὶ γεῶδες, τῇ δὲ χαλβάνῃ τὸ ἡδυσμοῦ πρὸς τὴν ἀέρος ἔμφασιν
προσετέθη — τὸ γὰρ εὐῶδες ἐν ἀέρι —, τῷ δὲ λιβανωτῷ τὸ διαφανὲς πρὸς
φωτὸς ἔνδειξιν. διὸ καὶ τὰ βάρος ἔχοντα τῶν κούφων διεχώρισε, τὰ 198
μὲν τῷ συμπλεκτικῷ συνδέσμῳ ἑνώσας, τὰ δὲ διαλελυμένως ἐξενεγκών·
p. 501 M. | ἔφη γάρ· „λάβε σεαυτῷ ἡδύσματα, στακτήν, ὄνυχα“, ταῦτα ἀσύνδετα,
τῶν βάρος ἐχόντων, ὕδατός τε καὶ γῆς, σύμβολα, εἶτα ἀφ' ἑτέρας
ἀρχῆς μετὰ συμπλοκῆς „καὶ χαλβάνην ἡδυσμοῦ καὶ λίβανον διαφανῆ“,
ταῦτα πάλιν καθ' ἑαυτά, τῶν κούφων, ἀέρος καὶ πυρός, [τὰ] σημεῖα.
τὴν δὲ τούτων ἐμμελῆ σύνθεσίν τε καὶ κρᾶσιν τὸ πρεσβύτατον καὶ τε- 199
λειότατον ἔργον ἅγιον ὡς ἀληθῶς εἶναι συμβέβηκε, τὸν κόσμον, ὃν διὰ
συμβόλου τοῦ θυμιάματος οἴεται δεῖν εὐχαριστεῖν τῷ πεποιηκότι, ἵνα
λόγῳ μὲν ἡ μυρεψικῇ τέχνῃ κατασκευασθεῖσα σύνθεσις ἐκθυμιᾶται,
ἔργῳ δὲ ὁ θείᾳ σοφίᾳ δημιουργηθεὶς κόσμος ἅπας ἀναφέρηται πρωὶ καὶ
δειλινῆς ὁλοκαυτούμενος. βίος γὰρ ἐμπρεπὴς κόσμῳ τῷ πατρὶ καὶ 200

---

1 τῆς] τὴν G 2 δώδεκα] ια' HP 4 παγκάλως codd. περὶ] παρὰ B 5 ἐνθυμιωμένων AB, ἐκθύμων μένων G 6 ηδυσμου Pap (Turn.): ἀρωμάτων codd. 7 ante ἴσον add. ἐξαίρετον ἐξαιρέτῳ codd. ἴσον] ἴσω G αὐτὸ GHP: αὐτῷ Pap AB μύρον] μυρεψικόν conicio 8 καθαρὸν conicio (Pap?) 9 φη(σιν) Pap φησὶν ἰδεῖν AB 9. 10 εστιν οιμαι Pap 10 τέσσαρα codd. ταῦτα om. AB σύμβολον HP 12 λίβανον H[2] 13 στάκτην Pap G περὶ AB, et sic saepius, quod infra non adnotabo 14 τηι δε χαλβανηι το Pap: ἡ δὲ χαλβάνη τοῦ codd. 15 προσετεθες Pap λιβάνῳ H[2] 16 τὰ] τὸ G διεχωρησεν Pap 17 συμπλεκτικῶς G διαλελυμένων G 18 εφη γαρ Pap: ἔφησε codd. 19 εἴτε G, εἶτ' AB 20 χαλβάνησιν G ἡδύοσμον AB 21 τὰ seclusi 24 ευχαρισταν Pap 25 μυρεψικὴ BHP 26 δὲ ὁ om. Pap

ποιητῇ συνεχῶς καὶ ἀδιαστάτως εὐχαριστεῖν, μονονοὺκ ἐκθυμιῶντι καὶ ἀναστοιχειοῦντι ἑαυτὸν πρὸς ἔνδειξιν τοῦ μηδὲν θησαυρίζεσθαι, ἀλλ'
201 ὅλον ἑαυτὸν ἀνάθημα ἀνατιθέναι τῷ γεγεννηκότι θεῷ. (42.) θαυμάζω καὶ τὸν μετὰ σπουδῆς ἀπνευστὶ δραμόντα συντόνως ἱερὸν λόγον, „ἵνα στῇ μέσος τῶν τεθνηκότων καὶ τῶν ζώντων· εὐθὺς“ γάρ φησι Μωυσῆς „ἐκόπασεν ἡ θραῦσις“ (Num. 16, 47. 48). ἀλλ' οὐκ ἔμελλε κοπάσαι καὶ ἐπικουφίσαι τὰ περιθρύπτοντα καὶ καταγνύντα καὶ συντρίβοντα τὴν ἡμετέραν ψυχήν, διακρίναντος καὶ διατειχίσαντος τοῦ θεοφιλοῦς τοὺς ὁσίους, οἳ ζῶσιν ἀψευδῶς, ἀπὸ τῶν ἀνοσίων, οἳ τεθνήκασι
202 πρὸς ἀλήθειαν, λογισμῶν; τῷ γὰρ ἐγγὺς εἶναι πολλάκις νοσούντων καὶ οἱ σφόδρα ὑγιαίνοντες ἐνδεξάμενοι τὴν ἐκείνων νόσον ἐμέλλησαν τελευτῆσαι. τοῦτο δ' ἀμήχανον ἔτι παθεῖν ἣν διαζευχθέντας ὅρῳ μέσῳ παγέντι δυνατωτάτῳ, ὃς τὰς ἐφόδους καὶ ἐπιδρομὰς τοῦ χείρονος μέρους
203 ἀπὸ τοῦ βελτίονος ἀπώσει. τεθαύμακα δὲ ἔτι μᾶλλον, ἐπειδὰν κατακούων τῶν λογίων ἀναδιδάσκωμαι, ὃν τρόπον εἰσῆλθεν ἡ νεφέλη μέση τῆς τε Αἰγυπτιακῆς καὶ τῆς Ἰσραηλιτικῆς στρατιᾶς (Exod. 14, 20)· ὑπὸ γὰρ τοῦ φιλοπαθοῦς καὶ ἀθέου τὸ ἐγκρατὲς καὶ θεοφιλὲς γένος οὐκέτ' εἴασε διώκεσθαι τὸ σκεπαστήριον καὶ σωτήριον τῶν φίλων,
204 ἀμυντήριον δὲ καὶ κολαστήριον τῶν ἐχθρῶν ὅπλον, ἡ νεφέλη. διανοίαις μὲν γὰρ ἀρετώσαις ἠρέμα σοφίαν ἐπιψεκάζει, τὴν ἀπαθῆ φύσει παντὸς κακοῦ, λυπραῖς δὲ καὶ ἀγόνοις ἐπιστήμης ἀθρόας κατανίφει τιμωρίας,

---

1 τῷ μονονοὺ καὶ θυμιῶντι AB  2 μηδὲν ⟨ἑαυτῷ⟩ conicio  3 γεγεινηκοτι Pap, γεγονότι AB  θαυμάζων P  5 φησὶ] φησὶν ἔστη AB  5. 6 Μωσῆς GHP  6 ἐκοπίασεν GH[1]P  6. 7 κοπιᾶσαι GH[1]P  7 ἐπικουφισθῆναι conicio  καὶ καταγνύντα om. Pap AB  8 διακρίναντος scripsi, διακρινοντος Pap: om. codd.  καὶ Pap P(H[1]): μὴ ceteri  10 λογισμων Pap (Mang.): λογισμοῦ codd.  11 ἐνδεξάμενοι scripsi, εγδεξαμενοι Pap: ἐκδεξάμενοι codd.  ἐμελέτησαν AB  12 δε Pap  ˙ἣν ἔτι παθεῖν codd.  διαζευχθέντα codd.  12. 13 μέσα παγέντα ABP[2]  13 χείρονος μέρους codd.: χειρος Pap  14 απωσει Pap: ἀνασώσει codd., ἀνώσει conicio  15 post τῶν add. ἁγίων codd. N  λόγων AB  ἀναδιδάσκομαι Pap G.  εισηλθεν η Pap: εἰσῆλθε codd. N  16 τε om. codd. N  Ἰσραηλικῆς G  17 γὰρ om. AB  τὸ] τὲ G  το θεοφιλες Pap  18 οὐκέτι codd.  ειασεν Pap  σκοπαστήριον PH[1], σκοπευτήριον ABN  20 γὰρ om. AB  ημερα Pap  επιψακαζει Pap, ἐπισκευάζει N  φύσει om. codd. N  21 κατανιφει Pap Nv: κατανείφει A[2]BHP, κατανήφει A[1]G

---

8—10 *Orig. Homil. in Num. IX 5 p. 298:* quidam tamen ex iis, qui ante nos interpretati sunt locum hunc, memini quod mortuos dixerunt eos qui nimietate scelerum in peccatis suis mortui intelleguntur, viventes autem eos qui in operibus vitae permanserint (*cf. De somn. II* p. 689. 690 M.).  14—47,13 τεθαύμακα — θεοῦ N fol. 166[v].

καταχλυσμὸν φθορὰν οἰκτίστην ἐπιφέρουσα. τῷ δὲ ἀρχαγγέλῳ καὶ 205
πρεσβυτάτῳ λόγῳ δωρεὰν ἔδωκεν ἐξαίρετον ὁ τὰ ὅλα γεννήσας πατήρ,
ἵνα μεθόριος στὰς τὸ γενόμενον διακρίνῃ τοῦ πεποιηκότος. ὁ δ' αὐτὸς
ἱκέτης μέν ἐστι τοῦ θνητοῦ κηραίνοντος αἰεὶ πρὸς τὸ ἄφθαρτον, πρεσ-
βευτὴς δὲ τοῦ ἡγεμόνος πρὸς τὸ ὑπήκοον. ἀγάλλεται δὲ ἐπὶ τῇ δωρεᾷ 206
p. 502 M. καὶ σεμνυνόμενος αὐτὴν | ἐκδιηγεῖται φάσκων· „κἀγὼ εἱστήκειν ἀνὰ
μέσον κυρίου καὶ ὑμῶν" (Deut. 5, 5), οὔτε ἀγένητος ὡς ὁ θεὸς ὢν
οὔτε γενητὸς ὡς ὑμεῖς, ἀλλὰ μέσος τῶν ἄκρων, ἀμφοτέροις ὁμηρεύων,
παρὰ μὲν τῷ φυτεύσαντι πρὸς πίστιν τοῦ μὴ σύμπαν ἀφηνιάσαι ποτὲ
καὶ ἀποστῆναι τὸ γεγονὸς ἀκοσμίαν ἀντὶ κόσμου ἑλόμενον, παρὰ δὲ τῷ
φύντι πρὸς εὐελπιστίαν τοῦ μήποτε τὸν ἵλεω θεὸν περιιδεῖν τὸ ἴδιον
ἔργον. ἐγὼ γὰρ ἐπικηρυκεύομαι τὰ εἰρηναῖα γενέσει παρὰ τοῦ καθαι-
ρεῖν πολέμους ἐγνωκότος εἰρηνοφύλακος αἰεὶ θεοῦ.

(43.) Διδάξας οὖν ἡμᾶς περὶ τῆς εἰς ἴσα τομῆς ὁ ἱερὸς λόγος καὶ 207
πρὸς τὴν τῶν ἐναντίων ἐπιστήμην ἄγει φάσκων ὅτι τὰ τμήματα „ἔθη-
κεν ἀντιπρόσωπα ἀλλήλοις" (Gen. 15, 10). τῷ γὰρ ὄντι πάνθ' ὅσα
ἐν κόσμῳ σχεδὸν ἐναντία εἶναι πέφυκεν, ἀρκτέον δὲ ἀπὸ τῶν πρώτων·
θερμὸν ἐναντίον ψυχρῷ καὶ ξηρὸν ὑγρῷ καὶ κοῦφον βαρεῖ καὶ σκότος 208
φωτὶ καὶ νὺξ ἡμέρᾳ, καὶ ἐν οὐρανῷ μὲν ἡ ἀπλανὴς τῇ πεπλανημένῃ
φορᾷ, κατὰ δὲ τὸν ἀέρα αἰθρία νεφώσει, νηνεμία πνεύμασι, θέρει χει-
μών, ἔαρι μετόπωρον — τῷ μὲν γὰρ ἀνθεῖ, τῷ δὲ φθίνει τὰ [δ']
ἔγγεια —, πάλιν ὕδατος τὸ γλυκὺ τῷ πικρῷ καὶ γῆς ἡ στεῖρα τῇ γο-
νίμῳ. καὶ τἄλλα δὲ ἐναντία προῦπτα, σώματα ἀσώματα, ἔμψυχα 209

1 καταχλυσμὸν GN (Pap?): καταχλυσμῶν ceteri φορὰν coni. Mang. επιφερους Pap, ἐπιφέροντα N 2 ἐξαίρετον ἔδωκεν codd. N 4 εστιν B ἀεὶ codd. το Pap v: τὸν codd. N 4. 5 πρεσβυτης Pap, πρεσβευτὴν N 6 ιστηκειν Pap, στήκειν G 7 ἡμῶν AB ἀγένητος GP (Pap?): ἀγέννητος ABHN 7. 8 ὁ θεὸς — ὡς om. H¹P 8 γενητὸς G (Pap?): γεννητὸς ABN ἡμεῖς AB 9 ·αφηνιασαι Pap (Mang.): ἀφανίσαι codd. N 10 γεγονος Pap: γένος codd. N 11 ἐλπιστίαν GH¹N ιλεω Pap: ἵλεων GHP, ἵλεον AB 12 ἐπικηρυκεύσομαι codd. N ante γενέσει add. τῇ AB, ἃ GPH¹ 12. 13 καθαίρειν ABGH¹PN 13 ἀεὶ codd. 14 εἰς AB: om. Pap GHP τιμῆς AB 15 τμήματα ABP² (Pap?): τάγματα GHP¹ 18 ψυχρωι Pap (Turn.): τῶ ψυχρῶ codd. 20 νεφωσει Pap: νέφεσι codd. 21 τῶ Pap G: τὸ ceteri τῶ G (Pap?): τὸ ceteri δ' seclusi (Pap?) et ante πάλιν interpunxi 22 τῶ γλυκεῖ τὸ πικρὸν AB 23 τὰ ἄλλα codd. πτουπτα Pap

16 sqq. Patin, Heraklitische Beispiele I p. 8—17.

ἄψυχα, λογικὰ ἄλογα, θνητὰ ἀθάνατα, αἰσθητὰ νοητά, καταληπτὰ ἀκα-
τάληπτα, στοιχεῖα ἀποτελέσματα, ἀρχὴ τελευτή, γένεσις φθορά, ζωὴ
θάνατος, νόσος ὑγεία, λευκὸν μέλαν, δεξιὰ εὐώνυμα, δικαιοσύνη ἀδικία,
φρόνησις ἀφροσύνη, ἀνδρεία δειλία, σωφροσύνη ἀκολασία, ἀρετὴ κακία,
210 καὶ τὰ τῆς ἑτέρας πάντα εἴδη τοῖς τῆς ἑτέρας εἴδεσι πᾶσι· πάλιν
γραμματικὴ ἀγραμματία, μουσικὴ ἀμουσία, παιδεία ἀπαιδευσία, συνόλως
τέχνη ἀτεχνία, καὶ τὰ ἐν ταῖς τέχναις, φωνήεντα στοιχεῖα καὶ ἄφωνα,
211 ὀξεῖς καὶ βαρεῖς φθόγγοι, εὐθεῖαι καὶ περιφερεῖς γραμμαί· καὶ ἐν ζῴοις
καὶ φυτοῖς ἄγονα γόνιμα, πολυτόκα ὀλιγοτόκα, ᾠοτόκα ζῳοτόκα, μαλά-
212 κεια ὀστρακόδερμα, ἄγρια ἥμερα, μονωτικὰ ἀγελαῖα· καὶ πάλιν πενία
πλοῦτος, δόξα ἀδοξία, δυσγένεια εὐγένεια, ἔνδεια περιουσία, πόλεμος
εἰρήνη, νόμος ἀνομία, εὐφυΐα ἀφυΐα, ἀπονία πόνος, νεότης γῆρας, ἀδυ-
ναμία δύναμις, ἀσθένεια ῥώμη. καὶ τί δεῖ τὰ καθ' ἕκαστον ἀναλέ-
213 γεσθαι ἀπερίγραφα καὶ ἀπέρατ' ὄντα τῷ πλήθει; παγκάλως οὖν ὁ τῶν
τῆς φύσεως ἑρμηνεὺς πραγμάτων, τῆς ἀργίας καὶ ἀμελετησίας ἡμῶν
λαμβάνων οἶκτον ἑκάστοτ' ἀφθόνως ἀναδιδάσκει, καθὰ καὶ νῦν, τὴν
ἀντιπρόσωπον ἑκάστων θέσιν οὐχ ὁλοκλήρων, ἀλλὰ τμημάτων ὑπαρχόν-
των· | ἓν γὰρ τὸ ἐξ ἀμφοῖν τῶν ἐναντίων, οὗ τμηθέντος γνώριμα τὰ p. 503 M.
214 ἐναντία. οὐ τοῦτ' ἐστίν, ὅ φασιν Ἕλληνες τὸν μέγαν καὶ ἀοίδιμον παρ'
αὐτοῖς Ἡράκλειτον κεφάλαιον τῆς αὐτοῦ προστησάμενον φιλοσοφίας αὐ-
χεῖν ὡς ἐφ' εὑρέσει καινῇ; παλαιὸν γὰρ εὕρεμα Μωυσέως ἐστὶ τὸ ἐκ
τοῦ αὐτοῦ τὰ ἐναντία τμημάτων λόγον ἔχοντα ἀποτελεῖσθαι, καθάπερ
ἐναργῶς ἐδείχθη.
215 (44.) Ταῦτα μὲν οὖν καὶ ἐν ἑτέροις ἀκριβώσομεν. ἄξιον δὲ καὶ ἐκεῖνο
μὴ παρησυχασθῆναι· τὰ γὰρ λεγόμενα διχοτομήματα τριῶν ζῴων δίχα

---

1. 2 κα(ταλημπτα) ακαταλημπτα Pap   3 δεξιαν ευωνυμαν Pap   δικαιότης AB   4 φρόνησις—κακία om. AB   5 πάντα—ἑτέρας om. L   εἴδη πάντα ν πασιν Pap   9 πολυγονα Pap   ᾠοτόκα ζῳοτόκα om. G, ζῳοτόκα om. B   9. 10 μαλακὰ codd.   12 εὐφυΐα ἀφυΐα Pap AG: ἀφυΐα εὐφυΐα HP, εὐφυΐα B   γερας Pap   12. 13 δύναμις ἀδυναμία codd.   13 δ' ει Pap   14 ἀπέρατ' Scheil, αποpατ Pap: ἀπέραστα G, ἀπέραντα ceteri   ὁ om. Pap   τῶν om. $H^1P^1$   15 ἑρμηνευτὴς codd.   πραγματων Pap (Mang): γραμμάτων codd.   ἡμῶν om. AB   16 ἑκάστοτ' scripsi: ἕκαστον codd.   ἀφθόνως scripsi: αφονως Pap, ἀφανῶς codd., ἐμφανῶς coni. Mang.   18 τῶν] τὸ P   γνώρισμα ABG   19 οὗτός ἐστιν ὃν AB   20 αὑτοῦ $H^2$: αὐτοῦ ceteri (Pap?)   προιστάμενον $P(H^1)$   21 ἐφ'] ἐν AB   κενῇ GHP   εὕρημα conicio (Pap?)   Μωυσεως Pap: Μωσέως ABGP, Μωσέος H   22 τοῦ] τουτου Pap   23 εναργως εδειχθη Pap: ὄναρ ἐδείχθη $GHP^1$, οὖν παρεδείχθη $ABP^2$   24 alt. καὶ om. Pap   25 ησυχασθηναι Pap
25. 49,1 δίχα διαιρεθέντων scripsi: διχα αιρεθέντων Pap, διαιρεθέντων codd.

διαιρεθέντων ἓξ ἐγένετο, ὡς ἕβδομον τὸν τομέα εἶναι λόγον, διαστέλ-
λοντα τὰς τριάδας, μέσον αὐτὸν ἱδρυμένον. τὸ παραπλήσιόν μοι δοκεῖ 216
σαφέστατα μεμηνῦσθαι καὶ ἐπὶ τῆς ἱερᾶς λυχνίας· δεδημιούργηται γὰρ
ἓξ καλαμίσκους ἔχουσα, τρεῖς ἑκατέρωθεν, ἑβδόμη δὲ αὐτὴ μέση, διαι-
ροῦσα καὶ διακρίνουσα τὰς τριάδας. τορευτὴ γάρ ἐστι, τεχνικὸν καὶ
δόκιμον θεῖον ἔργον, ἐξ ἑνὸς χρυσίου καθαροῦ (Exod. 25, 30. 38, 13. 14)·
τὸ γὰρ ἓν καὶ μόνον καὶ καθαρὸν ὄντως ἑβδομάδα τὴν ἀμήτορα γεγέν-
νηκεν ἐξ ἑαυτοῦ μόνου, μὴ προσχρησάμενον ὕλῃ τὸ παράπαν. χρυσὸν 217
δ' οἱ ἐγκωμιάζοντες πολλὰ μὲν καὶ ἄλλα λέγουσι τῶν εἰς ἔπαινον, δύο
δὲ τὰ ἀνωτάτω, ἓν μέν, ὅτι ἰὸν οὐ παραδέχεται, ἕτερον δέ, ὅτι εἰς
ὑμένας λεπτοτάτους ἀρραγὴς διαμένων ἐλαύνεταί τε καὶ χεῖται. σύμ-
βολον οὖν εἰκότως μείζονος φύσεως γέγονε, ἣ ταθεῖσα καὶ κεχυμένη
καὶ φθάσασα πάντῃ πλήρης ὅλη δι' ὅλων ἐστίν, εὐαρμόστως καὶ τὰ
ἄλλα συνυφήνασα. περὶ τῆς προειρημένης λυχνίας ὁ τεχνίτης διαλεγό- 218
μενος πάλιν φησίν, ὅτι „ἐκ τῶν καλαμίσκων εἰσὶν οἱ βλαστοὶ ἐξέχοντες,
τρεῖς ἑκατέρωθεν, ἐξισούμενοι ἀλλήλοις· καὶ τὰ λαμπάδια αὐτῶν, ἅ ἐστιν
ἐπὶ τῶν ἄκρων, καρυωτὰ ἐξ αὐτῶν· καὶ τὰ ἀνθέμια ἐν αὐτοῖς, ἵν' ὦσιν
ἐπ' αὐτῶν οἱ λύχνοι καὶ τὸ ἀνθέμιον τὸ ἕβδομον ἐπ' ἄκρου τοῦ λαμ-
παδίου ἐπὶ τῆς κορυφῆς ἄνωθεν, στερεὸν ὅλον χρυσοῦν· καὶ ἑπτὰ
λύχνους ἐπ' αὐτῆς χρυσοῦς" (Exod. 38, 15—17)· ὥστε διὰ πολλῶν 219
ἤδη κατασκευάζεσθαι, ὅτι ἑξὰς εἰς δύο τριάδας ὑπὸ μέσου τοῦ ἑβδόμου
λόγου διῄρηται, καθάπερ ἔχει νυνί· πᾶσα γὰρ ἡ λυχνία σὺν τοῖς ὁλοσχε-
ρεστάτοις μέρεσιν αὐτῆς, ἅ ἕξ ἐστιν, ἑπάγῃ, λαμπαδίων ἑπτά, ἀνθεμίων
ἑπτά, λύχνων ἑπτά. διαιροῦνται δὲ οἱ μὲν ἓξ λύχνοι τῷ ἑβδόμῳ, τὰ δὲ 220

1 λόγον εἶναι H 2 αὐτὸν Pap B: αὑτὸν A, αὐτῶν GHP ιδρυμενον Pap: ἱδρυσάμενον codd. παραπλησον Pap 4 αὐτὴ scripsi: αὕτη codd. μέσην GP 4. 5 διακρίνουσα καὶ διαιροῦσα ABH 5 εστιν Pap 7. 8 γεγεννηκεν Pap: γεγέννηκε καὶ AHP, γεγένηκε καὶ BG 8 εαυτου Pap: αὑτοῦ H[2], αὐτοῦ ceteri μονου Pap (Mang.): καὶ μόνου (μόνον H) codd. 9 τῶν] τὸν P 10 ἕνα GPH[1] 12 οὖν om. Pap γέγονε μείζονος φύσεως codd. ἐλαθεῖσα coni. Mang. 13 παντης Pap, παντὶ GH[1]P 14 προειρημενης λυχνιας Pap: εἰρημένης λυχνίας ABG, λυχνίας τῆς εἰρημένης HP 15 ὅτι om. Pap 16 λαμπάδια Pap ABP[2]: λαμπρὰ GHP[1] αὐτῶν] αὐτοῖς G 17 αναθεμια Pap 18 τὸ ἕβδομον om. AB ἄκρου H: ἄκρον GP, ἄκρων AB, ανω Pap 19 επι της κορυφης ανωθεν Pap: om. ceteri ζ' Pap 20 αὐτῆς scripsi (cf. p. 50,6): αὐτοῖς Pap et codd. 21 ηδη Pap: ὠήθη codd. 22 λόγου] λύχνου coni. Mang. ἔχει νυν(] ἐκείνη coni. Mang. πᾶσα] μέση conicio 22. 23 νυνὶ — ἑπάγῃ evanida in Pap. corruptela inesse videtur. certe genetivi lin. 23. 24 non habent unde pendeant (v. ad lin. 22) 23 αναθεμειων Pap 24 λύχνων ἑπτὰ om. AB

ἀνθέμια ὁμοίως τῷ μέσῳ καὶ τὰ λαμπάδια τὸν αὐτὸν τρόπον ὑπὸ τοῦ
ἑβδόμου καὶ μέσου, οἱ δὲ ἓξ καλαμίσκοι καὶ οἱ ἐκπεφυκότες ἴσοι βλα-
221 στοὶ ὑπ' αὐτοῦ τοῦ | στελέχους τῆς ἑβδόμης. (45.) πολὺν δ' ὄντα p. 504 M.
τὸν περὶ ἑκάστου λόγον ὑπερθετέον εἰσαῦθις. τοσοῦτο δὲ αὐτὸ μόνον
ὑπομνηστέον, ὅτι τῆς κατ' οὐρανὸν τῶν ἑπτὰ πλανήτων χορείας μίμημά
222 ἐστιν ἡ ἱερὰ λυχνία καὶ οἱ ἐπ' αὐτῆς ἑπτὰ λύχνοι. πῶς; ἐρήσεταί τις
ἴσως· ὅτι, φήσομεν, ὅνπερ τρόπον οἱ λύχνοι, οὕτως καὶ τῶν πλανή-
των ἕκαστος φωσφορεῖ· λαμπρότατοι γὰρ ὄντες αὐγοειδεστάτας ἄχρι γῆς
ἀποστέλλουσιν ἀκτῖνας, διαφερόντως δ' ὁ μέσος τῶν ἑπτά, ἥλιος.
223 μέσον δ' αὐτὸν οὐ μόνον ἐπεὶ μέσην ἐπέχει χώραν, ὡς ἠξίωσάν τινες,
καλῶ, ἀλλ' ὅτι καὶ θεραπεύεσθαι καὶ δορυφορεῖσθαι πρὸς ὑπασπιζόντων
ἑκατέρωθεν ἀξιώματος ἕνεκα καὶ μεγέθους καὶ ὠφελειῶν, ἃς τοῖς ἐπι-
224 γείοις ἅπασι παρέχει, δίκαιος ἄλλως ἐστί. τὴν δὲ τῶν πλανήτων τά-
ξιν ἄνθρωποι παγίως μὴ κατειληφότες — τί δ' ἄλλο τῶν κατ' οὐρα-
νὸν ἴσχυσαν κατανοῆσαι βεβαίως; — εἰκοτολογοῦσιν, ἄριστα δ' ἐμοὶ
στοχάζεσθαι δοκοῦσιν οἱ τὴν μέσην ἀπονενεμηκότες ἡλίῳ τάξιν, τρεῖς
μὲν ὑπὲρ αὐτὸν καὶ μετ' αὐτὸν τοὺς ἴσους εἶναι λέγοντες, ὑπὲρ αὐτὸν
μὲν φαίνοντα, φαέθοντα, πυρόεντα, εἶθ' ἥλιον, μετ' αὐτὸν δὲ στίλβοντα,
225 φωσφόρον, τὴν ἀέρος γείτονα σελήνην. ἐπίγειον οὖν βουληθεὶς ἀρχετύ-
που τῆς κατ' οὐρανὸν σφαίρας ἑπταφεγγοῦς μίμημα παρ' ἡμῖν ὁ τεχ-
νίτης γενέσθαι πάγκαλον ἔργον προσέταξε, τὴν λυχνίαν, δημιουργηθῆναι.
δέδεικται δὲ καὶ ἡ πρὸς ψυχὴν ἐμφέρεια αὐτῆς· ψυχὴ γὰρ τριμερὴς
μέν ἐστι, δίχα δὲ ἕκαστον τῶν μερῶν, ὡς ἐδείχθη, τέμνεται, μοιρῶν

---

1 αναθεμεια Pap    μέσῳ] θω vel μω Pap    2. 3 δὲ ἓξ — καὶ οἱ om. G
3 ἑβδόμης ⟨λυχνίας⟩ coni. Mang.    4 τοσοῦτον Pap G    5 τῆς] τῶν
AB    κατα τον Pap    χορειας Pap: πορείας GHP, om. AB    6 ἐστιν om. G
ἡ om. Pap    οἱ ἑπτὰ λύχνοι ἐπ' αὐτῆς codd.    ερησεται Pap v: εἰρήσεται
codd.    7 ονπερ Pap: ὃν codd.    οὕτω AB    8 λαμπρότεροι codd.
10 δὲ codd.    επει Pap, ἐπὶ G: ὅτι ceteri    ὡς om. Pap    11 θερα-
πεύεται καὶ δορυφορεῖται AB    13 απασιν Pap    δικαίως ABH¹P
αλλως Pap (Mang.): ἀλλ' ὡς codd.    εστιν Pap    13. 14 τάξιν om. AB
14. 15 παγίως — λέγουσιν add. H²P²    14 κατ' codd.: κατα τον Pap    15 διανοῆ-
σαι codd.    εἰκοτολογοῦσιν scripsi, εικοτολεγουσιν Pap: εἰκότως λέγουσιν codd.
δὲ ἐμοὶ G, δέ μοι ABHP    16 δοκοῦσι στοχάζεσθαι AB    16—18 τρεις οι μετ'
αυτον και υπερ αυτον φαινονται Pap (ceteris omissis)    17 λέγοντας G
18 φαετοντα Pap    19 ἀέρα G    οὖν om. H¹P¹    19. 20 αρχετυπου Pap
(Mang.): ἀρχέτυπον ABGH²P², om. H¹P¹    20 κατ' codd.: κατα τον Pap
21 ἔργον om. Pap    22 ἡ om. Pap    23 μέν om. codd.    ἐστιν H
ἑκάστων Pap G

δὲ γενομένων ἓξ ἕβδομος εἰκότως τομεὺς ἦν ἁπάντων ὁ ἱερὸς καὶ θεῖος
λόγος. (46.) ἄξιον δὲ μηδ' ἐκεῖνο παρησυχασθῆναι· τριῶν ὄντων ἐν 226
τοῖς ἁγίοις σκευῶν, λυχνίας, τραπέζης, θυμιατηρίου, τὸ μὲν θυμιατήριον
εἰς τὴν ὑπὲρ τῶν στοιχείων εὐχαριστίαν ἀνάγεται, ὡς ἐδείχθη πρότε-
ρον, ἐπεὶ καὶ αὐτὸ μοίρας ἔχει τῶν τεττάρων, γῆς μὲν τὰ ξύλα, ὕδατος
δὲ τὰ ἐπιθυμιώμενα — πρότερον γὰρ τηκόμενα εἰς λιβάδας αὖθις ἀνα-
λύεται —, τὸν δὲ ἀτμὸν ἀέρος, πυρὸς δὲ τὸ ἐξαπτόμενον — καὶ ἡ σύνθεσις δὲ
λιβανωτοῦ καὶ χαλβάνης ὄνυχός τε καὶ στακτῆς (Exod. 30,34) τῶν στοι-
χείων σύμβολον —, ἡ δὲ τράπεζα εἰς τὴν ὑπὲρ τῶν θνητῶν ἀποτελεσ-
μάτων εὐχαριστίαν — ἄρτοι γὰρ καὶ σπονδεῖα ἐπιτίθενται αὐτῇ (Num. 4,7),
οἷς ἀνάγκη χρῆσθαι τὰ τῆς τροφῆς δεόμενα —, ἡ δὲ λυχνία εἰς τὴν ὑπὲρ
p. 505 M. τῶν κατ' οὐρανὸν ἁπάντων, ἵνα μηδὲν μέρος τοῦ κόσμου | δίκην ἀχα-
ριστίας ὄφλῃ, ἀλλ' εἰδῶμεν ὅτι πάντα τὰ μέρη τὰ κατ' αὐτὸν εὐχα-
ριστεῖ, τὰ στοιχεῖα, τὰ ἀποτελέσματα, οὐ τὰ ἐπὶ γῆς μόνον, ἀλλὰ καὶ
τὰ ἐν οὐρανῷ. (47.) ἄξιον δὲ σκέψασθαι, διὰ τί τῆς τραπέζης καὶ 227
τοῦ θυμιατηρίου τὰ μέτρα δηλώσας τῆς λυχνίας οὐδὲν ἀνέγραψε· μή-
ποτε δι' ἐκεῖνο, ὅτι τὰ μὲν στοιχεῖα καὶ τὰ θνητὰ ἀποτελέσματα, ὧν
ἡ τράπεζα καὶ τὸ θυμιατήριον σύμβολα, μεμέτρηται περατωθέντα ὑπ'
οὐρανοῦ — ἀεὶ γὰρ τὸ περιέχον τοῦ περιεχομένου μέτρον —, ὁ δ'
οὐρανός, οὗ σύμβολόν ἐστιν ἡ λυχνία, ἀπειρομεγέθης ἐστί. περιέχεται 228
γὰρ ὑπ' οὐδενὸς σώματος, οὔτε ἰσομεγέθους αὐτῷ οὔτε ἀπείρου, ἀλλ'
οὐδ' ὑπὸ κενοῦ κατὰ Μωυσῆν διὰ τὴν ἐν τῇ ἐκπυρώσει μυθευομένην
τερατολογίαν· ἔστι δὲ ὅρος αὐτοῦ ὁ θεός, ἡνίοχος καὶ κυβερνήτης αὐ-
τοῦ. ὥσπερ οὖν ἀπερίληπτον τὸ ὄν, οὕτως καὶ τὸ ὁριζόμενον ὑπ' αὐ- 229

---

1 γινομενων vel γεινομένων Pap ⟨ὁ⟩ τομεὺς conicio ὁ ABGH²: om. Pap HP¹ 2 μηδ' Pap H²: μὴ δὲ ABG, μὴ H¹P 4 εὐχαριστιῶν G 4. 5 πρότερον ὡς ἐδείχθη H 5 καὶ ἐπεὶ καὶ G τεσσάρων codd. 6 αὖθις om. Pap 9 τὴν Pap AB: τὴν τῶν GHP 10 ἄρτι G σπονδία GHP 12 κατ' codd.: κατα τον Pap δίκην om. H¹ 13 οφλη Pap (Mang.): ὀφείλει G, ὀφείλῃ ceteri ἀλλὰ G ειδωμεν Pap: εἴδομεν P, ἴδωμεν ceteri prius τὰ om. AB τὰ κατ' αὐτὸν Mang.: τὰ καθ' αὐτὸν codd., καθ'
λ
ετυτα Pap 14 τὰ δὲ στοιχεῖα AB 18 σύμβολον H, σύμβο P μεμέτρηται scripsi: μεν ειρηται Pap, μεμέτρηνται codd. ὑπ' scripsi: υπερ Pap, ὑπὸ τοῦ codd. 20 alt. ἐστίν Pap HP 21 ὑπὸ A, ante ὑπ' add. οὔτε v ισον μεγεθους Pap 21. 22 ἀλλ'—Μωυσῆν hic posui: post σώματος lin. 21 Pap, post γὰρ lin. 21 transpos. GHP, om. AB 22 οὐδ'] οὐχ H² Μωσῆν GHP ἐκπυρώσει scripsi: πυρώσει Pap ABH¹P, πυργώσει GH² 23 εστιν Pap post θεὸς add. καὶ codd. 23. 24 αὐτοῦ om. codd. 24 απεριλημπτον Pap

τοῦ μέτροις τοῖς εἰς τὴν ἡμετέραν ἐπίνοιαν ἥκουσιν οὐ μεμέτρηται, καὶ τάχα ἐπεὶ κυκλοτερὴς ὢν καὶ ἄκρως εἰς σφαῖραν ἀποτετορνευμένος μήκους καὶ πλάτους οὐ μετέχει.

230 (48.) Εἰπὼν οὖν τὰ πρέποντα περὶ τούτων ἐπιλέγει· „τὰ δὲ ὄρνεα οὐ διεῖλεν“ (Gen. 15, 10), ὄρνεα καλῶν τοὺς πτηνοὺς καὶ πεφυκότας μετεωροπολεῖν δύο λόγους, ἕνα μὲν ἀρχέτυπον ⟨τὸν⟩ ὑπὲρ ἡμᾶς, ἕτερον
231 δὲ μίμημα τὸν καθ' ἡμᾶς ὑπάρχοντα. καλεῖ δὲ Μωυσῆς τὸν μὲν ὑπὲρ ἡμᾶς εἰκόνα θεοῦ, τὸν δὲ καθ' ἡμᾶς τῆς εἰκόνος ἐκμαγεῖον. „ἐποίησε“ γάρ φησιν „ὁ θεὸς τὸν ἄνθρωπον“ οὐχὶ εἰκόνα θεοῦ, ἀλλὰ „κατ' εἰκόνα“ (Gen. 1, 27)· ὥστε τὸν καθ' ἕκαστον ἡμῶν νοῦν, ὃς δὴ κυρίως καὶ πρὸς ἀλήθειαν ἄνθρωπός ἐστι, τρίτον εἶναι τύπον ἀπὸ τοῦ πεποιηκότος, τὸν δὲ μέσον παράδειγμα μὲν τούτου, ἀπεικόνισμα δὲ
232 ἐκείνου. φύσει δὲ ἄτμητος ὁ ἡμέτερος γέγονε νοῦς. τὸ μὲν γὰρ ἄλογον ψυχῆς μέρος ἑξαχῇ διελὼν ὁ δημιουργὸς ἑπτὰ μοίρας εἰργάζετο, ὅρασιν, ἀκοήν, γεῦσιν, ὄσφρησιν, ἁφήν, φωνήν, γόνιμον, τὸ δὲ λογικόν, ὃ δὴ νοῦς ὠνομάσθη, ἄσχιστον εἴασε κατὰ τὴν τοῦ παντὸς ὁμοιότητα
233 οὐρανοῦ. καὶ γὰρ ἐν τούτῳ λόγος ἔχει τὴν μὲν ἐξωτάτω καὶ ἀπλανῆ σφαῖραν ἄτμητον φυλαχθῆναι, τὴν δ' ἐντὸς ἑξαχῇ τμηθεῖσαν ἑπτὰ κύκλους τῶν λεγομένων πλανήτων ἀποτελέσαι· ὃ γάρ, οἶμαι, ἐν ἀνθρώπῳ ψυχή, τοῦτο οὐρανὸς ἐν κόσμῳ. τὰς οὖν νοερὰς καὶ λογικὰς δύο φύσεις, τήν τε ἐν ἀνθρώπῳ καὶ τὴν ἐν τῷ παντί, συμβέβηκεν ὁλοκλήρους καὶ ἀδιαιρέτους εἶναι. διὸ λέγεται· „τὰ δὲ ὄρνεα οὐ | διεῖλε.“ p. 506 M.
234 περιστερᾷ μὲν ⟨οὖν⟩ ὁ ἡμέτερος νοῦς, ἐπειδὴ τιθασὸν καὶ σύντροφον

---

1 τοῖς om. G μετρεῖται codd. 2 τάχα] καταχα Pap, τἆλλα G ἐπεὶ] ἐπὶ Pap GH ἀποτετορευμένος codd. 5. 6 μετεωροπολεῖν πεφυκότας codd. 6 τὸν addidi 7 Μωσῆς GHP 9 εποιησεν Pap ουχι Pap (hiatus pausa excusatur): οὐκ codd. θεοῦ om. codd. 10 ὅς] ως Pap 11 καὶ πρὸς ἀλήθειαν κυρίως AB ἐστὶν Pap H 13 γεγονεν Pap 14 επτα Pap (Mang.): ἓξ codd. εἰργάσατο codd. 15 ἀκοήν, γεῦσιν, ὄσφρησιν G: οσφρησιν, ακοην, γευσιν Pap, γεῦσιν, ἀκοήν, ὄσφρησιν ceteri φωνήν, γόνιμον Pap G: γόνιμον, φωνήν HP, γόνιμον (om. φωνήν) AB δὲ] δη Pap 16 ὠνόμασται P ἄσχετον GHP 17 μὲν om. AB ἐξωτάτω Cohn: ἐξωτάτην codd., ανωτατω Pap (sed. v. De Cherub. § 22) 18 τον δε οντως εξαχη Pap 19. 20 ἀνθρώπῳ] ανθρωπου Pap, οὐρανῷ G 20 ψυχηι Pap 21 δύο om. AB τὴν ἐν om. AB 22 δὲ om. Pap διειλεν Pap 23 οὖν addidi τιθασσὸν ABG

---

17 sqq. cf. Platonis Tim. 36 C (vol. I p. 175, 2).

ἡμῖν ἐστι τὸ ζῷον, εἰκάζεται, τῷ δὲ τούτου παραδείγματι ἡ τρυγών·
ὁ γὰρ θεοῦ λόγος φιλέρημος καὶ μονωτικός, ἐν ὄχλῳ τῷ τῶν γεγονότων
καὶ φθαρησομένων οὐχὶ φυρόμενος, ἀλλ' ἄνω φοιτᾶν εἰθισμένος ἀεὶ
καὶ ἑνὶ ὀπαδὸς εἶναι μόνῳ μεμελετηκώς. ἄτμητοι μὲν οὖν αἱ δύο φύ-
σεις, ἥ τε ἐν ἡμῖν τοῦ λογισμοῦ καὶ ἡ ὑπὲρ ἡμᾶς τοῦ θείου λόγου,
ἄτμητοι δὲ οὖσαι μυρία ἄλλα τέμνουσιν. ὅ τε γὰρ θεῖος λόγος τὰ ἐν 235
τῇ φύσει διεῖλε καὶ διένειμε πάντα, ὅ τε ἡμέτερος νοῦς, ἅττ' ἂν πα-
ραλάβῃ νοητῶς πράγματά τε καὶ σώματα, εἰς ἀπειράκις ἄπειρα διαιρεῖ
μέρη καὶ τέμνων οὐδέποτε λήγει. τοῦτο δὲ συμβαίνει διὰ τὴν πρὸς 236
τὸν ποιητὴν καὶ πατέρα τῶν ὅλων ἐμφέρειαν. τὸ γὰρ θεῖον ἀμιγές,
ἄκρατον, ἀμερέστατον ὑπάρχον ἅπαντι τῷ κόσμῳ γέγονεν αἴτιον μίξεως,
κράσεως, διαιρέσεως, πολυμερείας· ὥστε εἰκότως καὶ τὰ ὁμοιωθέντα,
νοῦς τε ὁ ἐν ἡμῖν καὶ ὁ ὑπὲρ ἡμᾶς, ἀμερεῖς καὶ ἄτμητοι ὑπάρχοντες
διαιρεῖν καὶ διακρίνειν ἕκαστα τῶν ὄντων ἐρρωμένως δυνήσονται.

(49.) Λαλήσας οὖν περὶ τῶν ἀτμήτων καὶ ἀδιαιρέτων ὀρνέων φησὶν 237
ἑξῆς· „κατέβη δὲ ὄρνεα ἐπὶ τὰ σώματα, τὰ διχοτομήματα“ (Gen. 15,11),
ὁμωνυμίᾳ μὲν χρησάμενος, τὴν δὲ πραγματικὴν διαμάχην ἐναργέστατα
τοῖς ὁρᾶν δυναμένοις διασυνιστάς· παρὰ φύσιν γάρ ἐστι τὸ καταβαίνειν
ὄρνεα, τοῦ μετεωροπολεῖν ἕνεκα πτερωθέντα. καθάπερ γὰρ τοῖς χερ- 238
σαίοις οἰκειότατον χωρίον γῆ καὶ μάλιστα τοῖς ἑρπετοῖς, ἃ μηδ' ὑπὲρ
αὐτῆς ἰλυσπώμενα ἀνέχεται, φωλεοὺς δὲ καὶ καταδύσεις ζητεῖ τὸν ἄνω
χῶρον ἀποδιδράσκοντα διὰ τὴν πρὸς τὰ κάτω συγγένειαν, τὸν αὐτὸν
τρόπον καὶ τοῖς πτηνοῖς ὁ ἀὴρ ἐνδιαίτημα οἰκεῖον, κούφοις διὰ τὴν
πτέρωσιν ὁ φύσει κοῦφος. ὅταν οὖν τὰ ἀεροπόρα αἰθεροβατεῖν ὀφείλοντα
καταβαίνῃ, πρὸς χέρσον ἀφικνούμενα τῷ κατὰ φύσιν ἀδυνατεῖ χρῆσθαι
βίῳ. τοὐναντίον δὲ Μωυσῆς καὶ ὅσα τῶν ἑρπετῶν ἄνω δύναται πηδᾶν 239
οὐ μετρίως ἀποδέχεται· φησὶ γοῦν· „ταῦτα φάγεσθε ἀπὸ τῶν ἑρπετῶν
τῶν πετεινῶν, ἃ πορεύεται ἐπὶ τεσσάρων, ἃ ἔχει σκέλη ἀνωτέρω τῶν

---

1 ζῷον] ζώσω G, post ζῷον add. ὁ δὲ θεῖος ὑπὲρ ἡμᾶς ABP[3] δὲ τῷ transp. ABP[3] 2 θεὸς AB τῷ om. codd. γεγονοτων Pap: γινομένων H[1]P, γενομένων ceteri 4 μόνῳ om. codd. 5 alt. ἡ om. v 7 διένειμε] διέκρινε coni. Mang. ἅττα A, ἅττα B: ἅτε GHP, α Pap 8 σώματα] νοήματα AB 9 τὴν] τὸν Pap G 11 post ἄκρατον add. καὶ v 12 διερ(εσ)εως Pap: om. codd. 16 ὀρνέων G διχοτομηματα Pap: διχοτομηθέντα codd. 17 ὁμώνυμα G 18 διανιστάς AB εστιν Pap 20 γηι Pap τοῖς om. Pap ὑπὲρ] ἐπὶ coni. Mang. 22 ἀποδιδράσκοντας AB τὰ] τὸ G 23 πετεινοῖς codd. 24 περαίωσιν AB 26 το εναντιον Pap Μωσῆς HP δύνανται A 27 φαγεται Pap 28 τέσσαρα ABGP, δ' H

ποδῶν, ὥστε πηδᾶν ἐν αὐτοῖς ἀπὸ τῆς γῆς“ (Lev. 11,21). ταῦτα δ'
ἐστὶ σύμβολα ψυχῶν, ὅσαι τρόπον ἑρπετῶν προσερριζωμέναι τῷ γηίνῳ
σώματι καθαρθεῖσαι μετεωροπολεῖν ἰσχύουσιν, οὐρανὸν ἀντικαταλλαξά-
240 μεναι γῆς καὶ φθορᾶς ἀθανασίαν. πάσης οὖν βαρυδαιμονίας ἀναπεπλῆ-
σθαι νομιστέον ἐκείνας, αἵτινες ἐν ἀέρι καὶ αἰθέρι τῷ καθαρωτάτῳ τρα-
φεῖσαι μετανέστησαν τὸν θείων ἀγαθῶν κόρον οὐ | δυνηθεῖσαι φέρειν p. 507 M.
ἐπὶ τὸ θνητῶν καὶ κακῶν χωρίον γῆν. ἐπιφοιτῶσι δ' ἔννοιαι μυρίαι
περὶ μυρίων πραγμάτων ὅσων, αἱ μὲν ἑκούσιοι, αἱ δὲ κατ' ἄγνοιαν,
241 οὐδὲν διαφέρουσαι πτηνῶν, αἷς τὰ κατιόντα ἐξωμοίωσεν ὄρνεα. τῶν δὲ
ἐννοιῶν ἡ μὲν ἄνω φορὰ τὴν ἀμείνω τάξιν ἔλαχε συνοδοιπορούσης
ἀρετῆς τῆς πρὸς τὸν θεῖον καὶ οὐράνιον χορὸν ἀγούσης, τὴν χείρω δὲ
ἡ κάτω κακίας ἀφηγουμένης καὶ ἀντισπώσης βίᾳ. δηλοῖ δὲ καὶ τὰ
ὀνόματα οὐχ ἥκιστα τὴν τῶν τόπων ἐναντιότητα· ἀρετὴ μὲν γὰρ οὐ
μόνον παρὰ τὴν αἵρεσιν ὠνομάσθη, ἀλλὰ καὶ παρὰ τὴν ἄρσιν — αἱρε-
ται γὰρ καὶ μετεωρίζεται διὰ τὸ αἰεὶ τῶν ὀλυμπίων ἐρᾶν —, κακία δὲ
ἀπὸ τοῦ κάτω κεχωρηκέναι καὶ καταπίπτειν τοὺς χρωμένους αὐτῇ βιά-
242 ζεσθαι. τὰ γοῦν πολέμια τῆς ψυχῆς ἐννοήματα ἐπιποτώμενα καὶ ἐπι-
φοιτῶντα κάτεισι μὲν αὐτά, καταβάλλει δὲ καὶ τὴν διάνοιαν αἰσχρῶς
ἐπιφερόμενα σώμασι καὶ πράγμασιν αἰσθητοῖς οὐ νοητοῖς, ἀτελέσιν οὐχ
ὁλοκλήροις, ἐφθαρμένοις οὐχὶ τοῖς ζῶσιν. οὐ γὰρ μόνον σώμασιν,
ἀλλὰ καὶ σωμάτων δίχα διαιρεθέντων τμήμασιν ἐπιφοιτᾷ· τὰ δ' οὕτως
διαιρεθέντα ἀμήχανον ἁρμονίαν δέξασθαι καὶ ἕνωσιν, τῶν πνευματικῶν
243 τόνων, οἳ συμφυέστατος δεσμὸς ἦσαν, διακοπέντων. (50.) εἰσηγεῖται

1 ἀπὸ] ἐπὶ conicio τῆς om. codd. δὲ A 2 εστιν Pap ὅσα $H^1P$ τρόποις AB προσερριζιομένα $H^1P^1$ 4 φθοραν Pap πόσης conicio 4. 5 ἀναπεπληρῶσθαι codd. 6 τον θειων αγαθων κορον Pap: τὸν κόρον τῶν θείων ἀγαθῶν codd. 7 θνητὸν AB κακὸν $ABH^2$ επιφυτωσιν Pap δὲ codd. ἔνιαι L 8 ὅσον AB κατὰ codd. post ἄγνοιαν add. αἳ $H^2$ 9 οὐδὲ $H^1$ διαφέρουσι BGHP 10 ελαχεν Pap 11 τῆς $H^2$ (Pap?): καὶ τὴν ceteri τὸν θεῖον καὶ οὐράνιον χορὸν scripsi: (τ)ων θειων ουρανι(ω)ν χορον Pap, τὸν οὐρανὸν καὶ θεῖον χῶρον codd. 11. 12 τὴν χείρω δὲ ἡ codd.: χειρω δε την Pap, την δὲ χείρω ἡ Scheil 12. 13 καὶ ἀντισπώσης — ἐναντιότητα om. AB 14 prius παρὰ] περὶ $H^1P^1$ ἀλλὰ — ἄρσιν om. Pap $GH^1P^1$ τὴν ἄρσιν AB: τὴν ἄρσην $H^2P^2$, τὸ αἱρεσθαι v 15 γὰρ om. G ἀεὶ codd. 17 γοῦν πολέμια AB: πολεμια ουν Pap G, πολέμια $H^1P$, γὰρ πολέμια $H^2$ ἐννοήματα om. H επιπωτωμενα Pap: ἐπιπτώμενα G, ἐπισπώμενα HP, ἐπιπετόμενα AB 17. 18 post ἐπιφοιτῶντα add. ἐννοήματα $H^1$, νοήματα $H^2$ 18. 19 σώμασιν αἰσχρῶς (αἰσχροῖς P) ἐπιφερόμενα (ἐπιφυρόμενα A) codd. 19 σώμασι καὶ scripsi: σώμασιν οὐ Pap ABGP($H^1$), οὐ del. $H^2$ 19. 20 οὐκ ὁλοκλήρους G 20 τοῖς fort. del. 21 post σωμάτων add. τῶν v δε Pap 22 ἁρμονίαν ἀμήχανον codd.

δὲ γνώμην ἀληθεστάτην διδάσκων, ὅτι δικαιοσύνη μὲν καὶ πᾶσα ἀρετὴ
ψυχῆς, ἀδικία δὲ καὶ πᾶσα κακία σώματος ἐρῶσι, καὶ ὅτι τὰ τῷ ἑτέρῳ φίλα
τῷ ἑτέρῳ πάντως ἐχθρά ἐστι, καθὰ καὶ νῦν· αἰνιττόμενος γὰρ τοὺς ψυχῆς
πολεμίους ὄρνεα εἰσήγαγε γλιχόμενα ἐμπλέκεσθαι καὶ ἐμφύεσθαι σώμασι
καὶ σαρκῶν ἐμφορεῖσθαι, ὧν τὰς ἐφόδους καὶ ἐπιδρομὰς ἐπισχεῖν βου-
ληθεὶς ὁ ἀστεῖος λέγεται αὐτοῖς συγκαθίσαι (Gen. 15,11), οἷα πρόεδρός
τις ἢ πρόβουλος ὤν. ἐπειδὴ γὰρ καὶ τὰ οἰκεῖα ὑπὸ ἐμφυλίου στάσεως 244
διειστήκει καὶ τὰ ἐχθρὰ στίφη διεφέρετο, βουλὴν ἁπάντων συναγαγὼν
ἐσκόπει περὶ τῶν διαφόρων, ἵν', εἰ δύναιτο, πειθοῖ χρώμενος καὶ τὸν
ξενικὸν πόλεμον καταλῦσαι καὶ τὴν ἐμφύλιον ταραχὴν ἀνέλοι. τοὺς μὲν
γὰρ ὥσπερ νέφος ἐπιρράξαντας ἀκαταλλάκτως ἔχοντας λυσιτελὲς ἦν
ἀποσκεδάσαι, τοῖς δὲ τὴν παλαιὰν συγγένειαν οἰκειώσασθαι. δυσμενεῖς 245
μὲν οὖν ἄσπονδοι καὶ ἀκατάλλακτοι γράφονται ψυχῆς ἀφροσύναι καὶ
ἀκολασίαι δειλίαι τε καὶ ἀδικίαι καὶ ὅσαι ἄλλαι ἐκ πλεοναζούσης ὁρμῆς
εἰώθασι φύεσθαι ἄλογοι ἐπιθυμίαι, σκιρτῶσαι καὶ ἀπαυχενίζουσαι καὶ
p. 508 M. τὸν εὐθὺν δρόμον τῆς διανοίας ἐπέχουσαι, πολλάκις | δὲ καὶ τὸ σύμπαν
αὐτῆς σχῆμα σπαράττουσαί τε καὶ καταβάλλουσαι. τὰ δὲ τῶν ἐνσπόν- 246
δων εἶναι δυναμένων προσκρούσματα τοιαῦτά ἐστιν, ὁποίας εἶναι συμ-
βέβηκε τὰς σοφιστῶν δογματικὰς ἔριδας· ᾗ μὲν γὰρ πρὸς ἓν ἀπονεύουσι
τέλος, θεωρίαν τῶν τῆς φύσεως πραγμάτων, λέγοιντ' ἂν εἶναι φίλοι, ᾗ
δ' οὐχ ὁμογνωμονοῦσιν ἐν ταῖς κατὰ μέρος ζητήσεσιν, ἐμφυλίῳ στάσει
χρῆσθαι, ὥσπερ οἱ ἀγένητον εἶναι λέγοντες τὸ πᾶν τοῖς γένεσιν εἰση-
γουμένοις αὐτοῦ, καὶ πάλιν οἱ φθαρήσεσθαι τοῖς φθαρτὸν μὲν εἶναι

---

1 ἀναδιδάσκων AGP 2 ερωσιν Pap 3 αἰσχρὰ G εστιν Pap γὰρ τοὺς om. AB τῆς ψυχῆς codd. 4 πολεμίους Pap G (Mang.): πολέμους codd. εισηγαγεν Pap ἐμφύρεσθαι B σωμασιν Pap, σώματος GHP 6 συγκαθίσαι ex LXX Mang.: ἐγκαθίσαι Pap et codd. 7 πρόβολος B 8 διιστήκει Pap G, corr. in διστηκει Pap ἁπάντων] ἁπάντων ἀμείνω A, ἀμείνω s. s. P² συναγωγὸν L 9 τῶν om. P ἵνα codd. 10 καταλύση P ἀνέλοι B: ἀνελεῖν Pap GH, ἀνέλῃ AP 11 επιρραξαντας Pap (Turn.): ἐπὶ (tum ras. 3 litt. P) πάντας ABP², ἐπιπράξαντας G, ἐπεὶ πράξαντας H (sed πρ scr. H²) 12 τοῖς] ἀστοῖς coni. Mang. 13 ἄσπονδοι καὶ in mg. add. P² 14 δειλίαι — ἀδικίαι om. G ἐκ Pap: ἐπὶ codd. 15 αποχενιζουσαι Pap 17 σχῆμα] ὄχημα coni. Mang. 18 εἶναι om. v, post εἶναι add. δοκούντων B²P², δοκοῦντα AB¹ δυνάμεων codd. τοιαῦτ' HP οἵας codd. 19 τὰς Pap P: τὰς τῶν ABGH ᾗ AB: οι Pap, εἰ GHP απονευουσι Pap (Mang.): ἀποπνέουσι codd. 20 θεωρίας P λεγοιτ' Pap G εἶναι om. AB ᾗ AB: οι Pap G, εἰ HP 21 δ'] τ' G ομογνομονουσι Pap ζητησεσι Pap 22 ἀγέννητον ABGL¹ 23 οἱ om. ABP² τοῖς] τό G

φύσει, μηδέποτε δὲ φθαρησόμενον διὰ τὸ κραταιοτέρῳ δεσμῷ, τῇ τοῦ πεποιηκότος βουλήσει, συνέχεσθαι, καὶ οἱ μηδὲν εἶναι ὁμολογοῦντες ἀλλὰ πάντα γίνεσθαι τοῖς ὑπολαμβάνουσι τἀναντία, καὶ οἱ πάντων χρημάτων ἄνθρωπον μέτρον εἶναι διεξιόντες τοῖς τὰ αἰσθήσεως καὶ τὰ διανοίας κριτήρια συγχέουσι, καὶ συνόλως οἱ πάντα ἀκατάληπτα εἰσηγούμενοι
247 τοῖς γνωρίζεσθαι πάμπολλα φάσκουσιν. καὶ ἥλιος μέντοι καὶ σελήνη καὶ ὁ σύμπας οὐρανός, γῆ τε καὶ ἀὴρ καὶ ὕδωρ, τά τε ἐξ αὐτῶν σχεδὸν πάντα τοῖς σκεπτικοῖς ἔριδας καὶ φιλονεικίας παρεσχήκασιν, οὐσίας καὶ ποιότητας, μεταβολάς τε αὖ καὶ τροπὰς καὶ γενέσεις, ἔτι δὲ φθορὰς αὐτῶν ἀναζητοῦσιν· μεγέθους τε πέρι καὶ κινήσεως τῶν κατ' οὐρανὸν οὐ πάρεργον ποιούμενοι τὴν ἔρευναν ἑτεροδοξοῦσιν οὐ συμφερόμενοι, μέχρις ἂν ὁ μαιευτικὸς ὁμοῦ καὶ δικαστικὸς ἀνὴρ συγκαθίσας θεάσηται τὰ τῆς ἑκάστου γεννήματα ψυχῆς καὶ τὰ μὲν οὐκ ἄξια τροφῆς ἀπορρίψῃ, τὰ δ' ἐπιτήδεια διασώσῃ καὶ προνοίας τῆς ἁρμοττούσης ἀξιώσῃ.
248 τὰ δὲ κατὰ τὴν φιλοσοφίαν μεστὰ διαφωνίας γέγονε τὸν πιθανὸν καὶ στοχαστικὸν νοῦν τῆς ἀληθείας ἀποδιδρασκούσης· τὸ γὰρ δυσεύρετον καὶ δυσθήρατον αὐτῆς τὰς λογικάς, ὡς οἶμαι, στάσεις ἐγέννησε.
249 (51.) „Περὶ δὲ ἡλίου“ φησί „δυσμὰς ἔκστασις ἐπέπεσεν τῷ Ἀβραάμ, καὶ ἰδοὺ φόβος σκοτεινὸς μέγας ἐπιπίπτει αὐτῷ“ (Gen.15,12). ἔκστασις ἡ μέν ἐστι λύττα μανιώδης παράνοιαν ἐμποιοῦσα κατὰ γῆρας ἢ μελαγχολίαν ἤ τινα ὁμοιότροπον ἄλλην αἰτίαν, ἡ δὲ σφοδρὰ κατά-

---

1 διὰ τὸ (τῶ G) codd.: διο και Pap κραταιοτέρῳ ABH²: κρατεωτερω Pap, κραταιωτέρω G, κραταιότερον H¹P, tum ἐμφαίνοντος καὶ πάλιν add. P, spatium in H 3 τὰ ἐναντία codd. 5 συνχεουσι Pap: συνέχουσι codd. ακαταλημπτα Pap (εισηγουμε)νοις Pap 6 φάσκουσι codd. 7 prius τε om. A, γῆ τε om. B 7. 8 εξ αυτων σχεδον παντα Pap: ἐπ' αὐτῶν πάντα codd. 8 φιλονικιας Pap παρεσχηκασιν Pap 9 αὖ om. Pap δε Pap: τε ABGH¹P, τε καὶ H² 10 ἀναζητοῦσι GP κατα τον ουρανον Pap 11 εραυναν Pap ἑτεροδοξοῦσι καὶ συμφερόμενοι AB 12 μεχρι Pap ο Pap: om. codd. post μαιευτικὸς add. ἀνὴρ GHP, τις ἀνὴρ AB ὁμοῦ codd.: νομος Pap ανηρ Pap: om. codd. (cf. ad lin. 12) 13 γένη μετὰ G 13. 14 ἀπορρίψει G 14 δὲ codd. διασώσει AB 15 τὴν om. codd. μεστὰ om. H¹P¹ μετὰ ἀδιαφωνίας G 16 στοχαστὴν HP ἀποδιδασκούσης G γὰρ om. H 17 αὐτῆς om. A τὰς λογικάς om. codd. ως Pap: ὥς γε codd. 18 φησί om. codd. N δυσμαις Pap ἐπέπεσεν scripsi: επεστησεν Pap, ἔπεσεν codd. N τωι Pap: ἐπὶ codd. N 20 εστιν Pap post μανιώδης add. καὶ AB παροινίαν N ἐμποιοῦσαν G 21 ἄλλην om. AB

---

1. 2 Platonis Tim. p. 41 B. 18—57,3 περὶ—χρῆται N fol. 166ᵛ.

p. 509 M. πλῆξις ἐπὶ τοῖς ἐξαπιναίως καὶ ἀπροσδοκήτως | συμβαίνειν εἰωθόσιν, ἡ δὲ ἠρεμία διανοίας, εἰ δὴ πέφυκέ ποτε ἡσυχάζειν, ἡ δὲ πασῶν ἀρίστη ἔνθεος κατοκωχή τε καὶ μανία, ᾗ τὸ προφητικὸν γένος χρῆται. τῆς μὲν 250 οὖν πρώτης ἐν ταῖς ⟨ἐν⟩ Ἐπινομίδι γραφείσαις ἀραῖς διαμέμνηται — παραπληξίαν γάρ φησι καὶ ἀορασίαν καὶ ἔκστασιν διανοίας καταλήψεσθαι τοὺς ἀσεβοῦντας, ὡς μηδὲν διοίσειν τυφλῶν ἐν μεσημβρίᾳ καθάπερ ἐν βαθεῖ σκότῳ ψηλαφώντων (Deut. 28,28.29) —, τῆς δὲ δευτέ- 251 ρας πολλαχοῦ — „ἐξέστη" γάρ φησιν „Ἰσαὰκ ἔκστασιν μεγάλην, καὶ εἶπε· τίς οὖν ὁ θηρεύσας μοι θήραν καὶ ἐνεγκών μοι, καὶ ἔφαγον ἀπὸ πάντων πρὸ τοῦ σὲ ἐλθεῖν, καὶ εὐλόγησα αὐτόν; καὶ εὐλογημένος ἔστω" (Gen. 27,33), καὶ ἐπὶ τοῦ Ἰακὼβ ἀπιστοῦντος τοῖς λέγουσιν, ὅτι „ζῇ Ἰωσὴφ καὶ ἄρχει πάσης γῆς Αἰγύπτου"· „ἐξέστη" γάρ φησι „τῇ διανοίᾳ, οὐ γὰρ ἐπίστευσεν αὐτοῖς" (Gen. 45,26), καὶ ἐν Ἐξαγωγῇ κατὰ τὴν ἐκκλησίαν· „τὸ γὰρ ὄρος" φησί „τὸ Σινὰ ἐκαπνίζετο ὅλον διὰ τὸ καταβεβηκέναι τὸν θεὸν ἐπ' αὐτὸ ἐν πυρί, καὶ ἀνέβαινεν ὁ καπνὸς ὡσεὶ ἀτμὶς καμίνου· καὶ ἐξέστη πᾶς ὁ λαὸς σφόδρα" (Exod. 19,18), καὶ ἐν τῷ Λευιτικῷ κατὰ τὴν τῶν ἱερῶν τελείωσιν ἡμέρᾳ τῇ ὀγδόῃ, ὁπότε „ἐξῆλθε πῦρ ἀπ' οὐρανοῦ καὶ κατέφαγε τὰ ἐπὶ τοῦ θυσιαστηρίου, τά τε ὁλοκαυτώματα καὶ τὰ στέατα"· λέγεται γὰρ εὐθύς· „καὶ εἶδε πᾶς ὁ λαὸς καὶ ἐξέστη, καὶ ἔπεσαν ἐπὶ πρόσωπον" (Lev. 9,24)· ἡ γὰρ τοιαύτη ἔκστασις πτόησιν καὶ δεινὴν κατάπληξιν ἐμποιεῖ —

(ἀλλ' οὐκ ἄξιον θαυμάσαι καὶ ἐπὶ τοῦ Ἠσαῦ, ὅτι εἰδὼς κυνηγεῖν 252

---

1 απροδοκητος Pap    ειωθασιν Pap    2 εἰ δὴ scripsi: ει δε Pap, ἐπειδὴ codd., ἐπεὶ N    πεφυκεν ποτε Pap, πέφυκεν (om. ποτε) HP[1]    3 κατοκοχη τε και Pap: κατοχὴ καὶ μανία N, κατοχωτήκη τ G (α superscr.), κατοχωτική τε HP, κατοχωτέρα τε AB    4 ἐν addidi    ἐπινομίσι P    5 φησιν Pap    5. 6 καταλημψεσθαι Pap    9 ειπεν Pap    10 ἔστω Pap G: ἔσται ceteri    12 γῆς om. Pap G    φησιν Pap    13 εξαγω(γηι) Pap: ἐξόδῳ codd.    14 Σινα Pap v: Σαΐ codd.    ολον (τ˜ superscr.) Pap: πᾶν αὐτὸ codd.    15 αὐτὸ G (Turn): αὐτοῦ Pap AB, αὐτῷ H, αυ P    15. 16 καὶ ἀνέβαινεν — σφόδρα om. P    15 ἀτμὸς AB    16 τῷ Pap H[2]: om. ABGH[1]P    17 ἱερῶν scripsi (Pap?): ἱερέων codd.    17. 18 εξηλθεν Pap    18 καὶ om. Pap    κατεφαγεν Pap, κατέφερε G    19 στέμματα L[1]    γὰρ add. L[2]    ειδεν Pap    20 ἔπεσεν codd.    21 εκστασις Pap (Mang.): ἔκπληξις codd.    δεινὴν om. codd.    22—58,21 ἀλλ' οὐκ — πρὸς αὐτοῦ secludit Mang. aliunde irrepsisse ratus. sed interdum in textu veteres adnotationes, quas nos sub textu ponimus, addunt. respicit initium § 251    22 τοῦ] τῷ H[2]    Ἡσαῦ codd.

---

2. 3 cf. Platonis Phaedrum p. 244, Ionem p. 536 C.

ἀεὶ θηρεύεται καὶ πτερνίζεται τὴν τέχνην ἐπὶ βλάβῃ κτησάμενος, οὐκ
ὠφελείᾳ, θηρεύειν δὲ οὐδέποτε ἐσπούδασε, καὶ ἐπὶ τοῦ Ἰακώβ, ὅτι
θηρεύει μὴ μαθών, ἀλλὰ φύσει κινούμενος τὸ πάθος, καὶ φέρει τῷ δο-
κιμαστῇ, ὃς εἰ δοκιμόν ἐστι διαγνώσεται, διὸ ἀπὸ πάντων φάγεται
253 (Gen. 27,33)· πάντα γὰρ τὰ τῆς ἀσκήσεως ἐδώδιμα καθέστηκεν, ἡ
ζήτησις, ἡ σκέψις, ἡ ἀνάγνωσις, ἡ ἀκρόασις, ἡ προσοχή, ἡ ἐγκράτεια,
ἡ ἐξαδιαφόρησις τῶν ἀδιαφόρων. ἀπὸ πάντων δὲ τὰς ἀπαρχὰς δήπου-
θεν ἔφαγεν, ἀλλ' οὐ πάντα· ἔδει γὰρ ὑπολείπεσθαι καὶ τῷ ἀσκητῇ
254 τροφὰς οἰκείας ὡς ἆθλα. „πρὸ τοῦ σὲ ἐλθεῖν" φυσικῶς· ἐὰν γὰρ ἔλθῃ
τὸ πάθος εἰς τὴν ψυχήν, οὐκ ἀπολαύσομεν ἐγκρατείας· ἐλέγχει δὲ καὶ
τὸν φαῦλον ὡς βραδὺν καὶ ὀκνηρὸν καὶ μελλητὴν πρὸς τὰ παιδείας ἔργα,
255 ἀλλ' οὐ πρὸς τὰ ἀκολασίας. ἐργοδιώκτας οὖν Αἴγυπτος ἔχει πρὸς τὴν
τῶν παθῶν ἐπισπεύδοντας ἀπόλαυσιν, Μωυσῆς δ' ἔμπαλιν μετὰ σπου-
δῆς παραγγέλλει τὸ Πάσχα ἐσθίειν, τὴν ἀπὸ τούτων διάβασιν εὐωχεῖ-
σθαι. καὶ ὁ Ἰούδας φησίν· „εἰ μὴ γὰρ ἐβραδύναμεν, | ἤδη ἂν ὑπε- p. 510 M.
στρέψαμεν δίς" (Gen. 43,10), οὔ φησι κατέβημεν εἰς Αἴγυπτον, ἀλλ'
256 ἐκεῖθεν ἐπανεσώθημεν. εἰκότως καὶ Ἰακὼβ τεθαύμακεν, εἰ ἔτι ὁ ἐν
σώματι νοῦς, Ἰωσήφ, ζῇ πρὸς ἀρετὴν καὶ ἄρχει (Gen. 45,26)
τοῦ σώματος, ἀλλ' οὐκ ἄρχεται πρὸς αὐτοῦ. καὶ τἆλλα ἐπιὼν
ἄν τις ὑποδείγματα τἀληθὲς ἰχνεύειν δυνηθείη. πρόκειται δ' οὐ
περὶ τούτων νῦν ἀκριβολογεῖσθαι, διὸ ἐπὶ τὰ ἑξῆς τρεπτέον),
257 τῆς δὲ τρίτης ἐν οἷς τὰ περὶ τὴν τῆς γυναικὸς γένεσιν φιλοσοφεῖ —
„ἐπέβαλε γὰρ ὁ θεὸς" φησίν „ἔκστασιν ἐπὶ τὸν Ἀδάμ, καὶ ὕπνωσεν"

---

1 τὴν] τήν τε AGP 2 τοῦ] τῶ GHP 3 θηρεύειν AB κεινουμενον Pap τὸ GHP: καὶ τὸ AB, om. Pap καὶ om. AB φέρει τῶ codd.: φερειται Pap 4 ὃς om. Pap 6 ἡ ἀκρόασις, ἡ ἀνάγνωσις codd. προσοχή Pap AGP: προσευχή BH 7 ἡ om. Pap 8 εφαγον Pap δεῖ codd. ὑπολιπέσθαι Pap G 9 οἰκείους G ὡς om. GHP τοὺς ἐλθεῖν G ἔλθῃ om. et post πάθος add. εἰσίῃ v 10 ἀπολαύσομαι ABP$^2$ (coni. Mang.), ἀπολαύσωμεν G 11 μελητὴν AB 12 Αἰγύπτιος L$^1$ 13 Μωσῆς codd. δε Pap 14 την Pap: καὶ τὴν codd. 14. 15 ποιεῖσθαι conicio 15 ιου(δα) Pap εβραδυναμεν Pap: ἐμελλήσαμεν codd. 16 (δις), ου φησιν ex LXX supplevi Pap: καὶ codd., qui post Αἴγυπτον habent διὸ (δὶς GH$^2$) οὖν φησιν 17 ὁ Ἰακὼβ codd. 17. 18 εἰ ἔτι ὁ ἐν σώματι νοῦς Pap G: εἰ οὖν ὁ ἔτι ἐν σώματι νοῦς AB, εἰ ἔτι ὁ νοῦς ὁ ἐν σώματι HP, εἰ ἔτι ἐν σώματι ὁ νοῦς, ὁ Ἰωσήφ Mang. per errorem 19 ἄν τις ἐπιὼν codd. 20 τἀληθὲς H$^2$: τὸ ἀληθὲς AP$^2$, ἀληθὲς Pap GBH$^1$P$^1$ 20. 21 δὲ νῦν οὐ περὶ τούτων codd. 21 εξης Pap: ἐξ ἀρχῆς codd. 22 εν οις Pap: ἐννοίας codd. τὰ om. AB, tum πέρι AB 23 επεβαλον Pap

---

17. 18 cf. ad. vol. II p. 272,23.

(Gen. 2,21), ἔκστασιν τὴν ἡσυχίαν καὶ ἠρεμίαν τοῦ νοῦ παραλαμβά-
νων· ὕπνος γὰρ νοῦ ἐγρήγορσίς ἐστιν αἰσθήσεως, καὶ γὰρ ἐγρήγορσις
διανοίας αἰσθήσεως ἀπραξία —, (52.) τῆς δὲ τετάρτης ὃ νῦν σχοποῦ- 258
μεν· „περὶ δὲ ἡλίου δυσμὰς ἔκστασις ἐπέπεσεν τῷ Ἀβραάμ“· ἐνθου-
σιῶντος καὶ θεοφορήτου τὸ πάθος. ἀλλ' οὐχὶ τοῦτο μόνον διασυνίστη-
σιν αὐτὸν προφήτην, ἀλλὰ καὶ γράμμα ῥητὸν ἐστηλιτευμένον ⟨ἐν⟩ ἱεραῖς
βίβλοις, ἡνίκα τις ἐπεχείρησε τὴν ἐκ φύσεως ἄρχουσαν ἀρετήν, Σάρραν,
αὐτοῦ διοικίζειν, ὡς οὐκ ἴδιον σοφοῦ καὶ μόνου κτῆμα, ἀλλὰ παντὸς
τοῦ φρόνησιν ἐπιμορφάζοντος. „ἀπόδος“ γάρ φησι „τὴν γυναῖκα τῷ
ἀνθρώπῳ, ὅτι προφήτης ἐστὶ καὶ προσεύξεται περὶ σοῦ, καὶ ζήσεις“
(Gen. 20,7). παντὶ δὲ ἀστείῳ προφητείαν ὁ ἱερὸς λόγος μαρτυρεῖ· 259
προφήτης γὰρ ἴδιον μὲν οὐδὲν ἀποφθέγγεται, ἀλλότρια δὲ πάντα ὑπη-
χοῦντος ἑτέρου· φαύλῳ δ' οὐ θέμις ἑρμηνεῖ γενέσθαι θεοῦ, ὥστε
κυρίως μοχθηρὸς οὐδεὶς ἐνθουσιᾷ, μόνῳ δὲ σοφῷ ταῦτ' ἐφαρμόττει,
ἐπεὶ καὶ μόνος ὄργανον θεοῦ ἐστιν ἠχεῖον, κρουόμενον καὶ πληττόμενον
ἀοράτως ὑπ' αὐτοῦ. πάντας γοῦν ὁπόσους ἀνέγραψε δικαίους κατεχο- 260
μένους καὶ προφητεύοντας εἰσήγαγεν. ὁ Νῶε δίκαιος· ἄρ' οὐ καὶ εὐθὺς
προφήτης; ἢ τὰς εὐχὰς καὶ κατάρας ἃς ἐπὶ ταῖς αὖθις γενεαῖς ἐποιήσατο
(Gen. 9,25ss.) ἔργων ἀληθείᾳ βεβαιωθείσας οὐ κατεχόμενος ἐθέσπισε; τί 261
δὲ Ἰσαάκ; τί δὲ Ἰακώβ; καὶ γὰρ οὗτοι διά τε ἄλλων πολλῶν καὶ μάλιστα
διὰ τῶν εἰς τοὺς ἐκγόνους προσρήσεων ὁμολογοῦνται προφητεῦσαι. τὸ
γὰρ „συνάχθητε, ἵνα ἀπαγγείλω τί ἀπαντήσεται ὑμῖν ἐπ' ἐσχάτῳ τῶν

---

1 ἠρεμίαν καὶ ἡσυχίαν codd. 2 ἐγρήγορσίς scripsi: γρήγορσις codd., ουσια Pap εγρηγορσις Pap: αἱ γρηγορήσεις G, αἱ γρηγόρσεις τῆς B, αἱ ἐγρηγόρσεις τῆς AHP 4 τῷ scripsi (Pap ut vid.; cf. p. 56,18): ἐπὶ τῶ ABGH, ἐπὶ τὸν P 5 ἀλλὰ A ταυτο Pap 5. 6 διασυνίστησιν scripsi: ἀλλὰ συνίστησιν ABGH, ἀλλὰ καὶ συνίστησιν P, σ(υνιστησιν) Pap 6 ἐν addidi 7 αρχουσαν Pap: om. codd. 8 αὐτοῦ] τοῦ AB μόνον HP 9 φησιν Pap 9. 10 τῶ ἀνθρώπω τὴν γυναῖκα codd. 11 (παντι) δε Pap: καὶ παντὶ δὲ ἀνθρώπω codd. 11 ὁ ἱερὸς λόγος προφητείαν (προφητείας AB) codd. 12 προφήτου G 12. 13 υφηχουντος Pap 13 δε Pap ἑρμηνεῖ om. Pap 14 ἐνθουσιᾶν B τοῦτ' conicio (Pap?) 15 θεοῦ ἐστιν ἠχεῖον scripsi: (θεου εστ)ι ηχ ... Pap, θεοῦ ἐστιν ἠχεῖ ἐν P(H$^1$?), θεοῦ ἐστιν ἠχοῦν H$^2$, ἠχῆς ἐστι θεοῦ AB, ἠχεῖον ἐστὶν θεοῦ G 16 ἀνέγραψε GH$^2$: ανεγραψαν Pap, ἔγραψε ABPH$^1$ 17 εἰσήγαγε Νῶε codd. ου Pap (Turn.): οὖν codd. 17. 18 προφήτης εὐθύς codd. 18 ἃς om. GH$^1$P$^1$ 20 πολλῶν ἄλλων AB, ἄλλων om. G 21 ἐκγόνους ABG (Pap?): ἐγγόνους HP 22 (συνα)χθητε Pap: συλλέγητε codd. απαγγ(ειλω) Pap (ἀπαγγέλλω supplet Scheil): ἀναγγελλῶ B, ἀναγγελῶ AGP, ἀναγγέλλω H, ἀναγγελῆ L απαντησεται Pap: ἀπαντήσει GHP, ἀπαντήση AB ἐσχάτων codd.

ἡμερῶν“ (Gen. 49,1) ἐνθουσιῶντος ἦν· ἡ γὰρ τῶν μελλόντων κατά-
262 ληψις ἀνοίκειος ἀνθρώπῳ. τί δὲ | Μωυσῆς; οὐ προφήτης ᾄδεται παν- p. 511 M
ταχοῦ; λέγει γάρ· „ἐὰν γένηται ὑμῶν προφήτης κυρίου, ἐν ὁράματι
αὐτῷ γνωσθήσομαι, Μωυσῇ⸢ δὲ ἐν⸣ εἴδει, καὶ οὐ δι' αἰνιγμάτων“
(Num. 12,6.8), καὶ πάλιν „οὐκ ἀνέστη ἔτι προφήτης ὡς Μωυσῆς, ὃν
263 ἔγνω κύριος αὐτὸν πρόσωπον πρὸς πρόσωπον“ (Deut. 34,10). παγκά-
λως οὖν τὸν ἐνθουσιῶντα μηνύει φάσκων „περὶ ἡλίου δυσμὰς ἔκστασις
ἐπέπεσεν“ (Gen. 15,12), (53.) ἥλιον διὰ συμβόλου τὸν ἡμέτερον καλῶν
νοῦν· ὅπερ γὰρ ἐν ἡμῖν λογισμός, τοῦτο ἐν κόσμῳ ἥλιος, ἐπειδὴ φωσ-
φορεῖ ἑκάτερος, ὁ μὲν τῷ παντὶ φέγγος αἰσθητὸν ἐκπέμπων, ὁ δὲ ἡμῖν
264 αὐτοῖς τὰς νοητὰς διὰ τῶν καταλήψεων αὐγάς. ἕως μὲν οὖν ἔτι περι-
λάμπει καὶ περιπολεῖ ἡμῶν ὁ νοῦς μεσημβρινὸν οἷα φέγγος εἰς πᾶσαν
τὴν ψυχὴν ἀναχέων, ἐν ἑαυτοῖς ὄντες οὐ κατεχόμεθα· ἐπειδὰν δὲ πρὸς
δυσμὰς γένηται, κατὰ τὸ εἰκὸς ἔκστασις καὶ ἡ ἔνθεος ἐπιπίπτει κατο-
κωχή τε καὶ μανία. ὅταν μὲν γὰρ φῶς τὸ θεῖον ἐπιλάμψῃ, δύεται τὸ
265 ἀνθρώπινον, ὅταν δ' ἐκεῖνο δύηται, τοῦτ' ἀνίσχει καὶ ἀνατέλλει. τῷ
δὲ προφητικῷ γένει φιλεῖ τοῦτο συμβαίνειν· ἐξοικίζεται μὲν γὰρ ἐν
ἡμῖν ὁ νοῦς κατὰ τὴν τοῦ θείου πνεύματος ἄφιξιν, κατὰ δὲ τὴν μετα-
νάστασιν αὐτοῦ πάλιν εἰσοικίζεται· θέμις γὰρ οὐκ ἔστι θνητὸν ἀθανάτῳ
συνοικῆσαι. διὰ τοῦτο ἡ δύσις τοῦ λογισμοῦ καὶ τὸ περὶ αὐτὸν σκότος
266 ἔκστασιν καὶ θεοφόρητον μανίαν ἐγέννησε. τὸ δὲ ἀκόλουθον προσυφαί-

2 Μωσῆς HP 3 λεγε Pap, λέγεται coni. Cohn ὑμῶν Pap GH$^2$: ἡμῶν H$^1$P, ἡμῖν AB κυρίου (κυρίῳ?) evanidum in Pap 4 γνωρισθήσομαι G Μωυσῇ AB: Μωυσῆς Pap G, Μωσῆς HP ειδι Pap 5 Μωυσην Pap 6 ἔγνω αὐτὸν κύριος (κύριος αὐτὸν transposui) πρώσωπον πρὸς πρόσωπον codd.: εγνω (κυριος) ceteris omissis Pap πρὸς] fort. κατὰ ex LXX scrib. 7 τὸν] αὐτὸν B 7—9 μηνύει— νοῦν om. L περὶ—νοῦν καλεῖ add. mg. P$^2$ 7 μηνυε Pap 8 ἔπεσεν GH διὰ Pap GHN: δὲ διὰ ABP 8. 9 κ(αλω)ν νουν Pap: νοῦν καλῶν GHN, νοῦν καλεῖ ABP 9. 10 φῶς φορεῖ AB 10 φέγγος] φῶς AB ἐκπέμπων om. N 11 καταλημψεων Pap 13 τὴν om. AB ἀναχέων om. AB ἑαυτοῖς] αυτωι Pap δὲ] τε Pap 14 καὶ om. AB 14. 15 κατοκωχή τε scripsi: καταχωχη τε Pap, κατοχή τε N, κατοχωτική τε codd. 15. 16 bis οταν Pap: ὅτε codd. N 16 δὲ Pap N δυηται Pap: δύει codd. N ταυτ' Pap 17 μὲν om. N 17. 18 ὁ ἐν ἡμῖν conicio 18 ὁ om. Pap πνεύματος om. N 19 αυτα Pap εστιν Pap θνητῶ B 20 συνοικίσαι G

1. 2 D$^H$ fol. 124$^r$ Φίλωνος ἐκ τοῦ περὶ τῶν μετονομαζομένων, D$^L$ fol. 40$^v$ et 159$^r$ D$^R$ fol. 36$^r$ Φίλωνος: ἡ τῶν μελλόντων κατάληψις ἀνοίκειος ἀνθρώπῳ.
7—61,6 περὶ—ἀποτελεῖ N fol. 167$^r$.

νει τῇ γραφῇ φάσκων „ἐρρέθη πρὸς Ἀβραάμ“ (Gen. 15,13)· ὄντως
γὰρ ὁ προφήτης, καὶ ὁπότε λέγειν δοκεῖ, πρὸς ἀλήθειαν ἡσυχάζει, κατα-
χρῆται δὲ ἕτερος αὐτοῦ τοῖς φωνητηρίοις ὀργάνοις, στόματι καὶ γλώττῃ,
πρὸς μήνυσιν ὧν ἂν θέλῃ· τέχνῃ δὲ ἀοράτῳ καὶ παμμούσῳ ταῦτα
χρούων εὔηχα καὶ παναρμόνια καὶ γέμοντα συμφωνίας τῆς πάσης
ἀποτελεῖ.

(54.) Τίνα δ' ἐστὶν ἃ ἐρρέθη προθεσπισθέντα, καλὸν ἀκοῦσαι· 267
πρῶτον μέν, ὅτι τῷ φιλαρέτῳ κατοικεῖν οὐ δίδωσιν ὁ θεὸς ὡς ἐν οἰκείᾳ
γῇ τῷ σώματι, ἀλλὰ παροικεῖν ὡς ἐν ἀλλοδαπῇ μόνον ἐπιτρέπει χώρᾳ.
„γινώσκων“ γάρ φησι „γνώσῃ, ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν
γῇ οὐκ ἰδίᾳ“ (Gen. 15,13). παντὸς δὲ φαύλου συγγενὲς τὸ σώματος
χωρίον, ἐν ᾧ μελετᾷ κατοικεῖν, οὐ παροικεῖν. ἓν μὲν δὴ παίδευμα 268
τοῦτο· ἕτερον δέ, ὅτι τὰ δουλείαν καὶ κάκωσιν καὶ δεινήν, ὡς αὐτὸς
ἔφη, ταπείνωσιν ἐπάγοντα τῇ ψυχῇ τὰ κατὰ γῆν ἐστιν οἰκίδια· νόθα
γὰρ καὶ ξένα διανοίας τὰ σώματος ὡς ἀληθῶς πάθη, σαρκὸς ἐκπεφυ-
κότα, ᾗ προσερρίζωται. τετρακόσια δὲ ἔτη γίνεται ἡ δουλεία (Gen. 15,13) 269
κατὰ τὰς τῶν τεττάρων παθῶν δυνάμεις. ἀρχούσης μὲν γὰρ ἡδονῆς
p. 512 M. μετεωρίζεται καὶ φυσᾶται τὸ φρόνημα, χαύνῳ | κουφότητι ἐξαιρόμενον·
ὅταν δὲ ἐπιθυμία κρατήσῃ, ἔρως ἐγγίνεται τῶν ἀπόντων καὶ τὴν ψυχὴν
ὥσπερ ἀπ' ἀγχόνης ἐλπίδος ἀτελοῦς ἐκρέμασε· διψῇ μὲν γὰρ ἀεί,
πιεῖν δὲ ἀδυνατεῖ ταντάλειον τιμωρίαν ὑπομένουσα. κατὰ δὲ τὴν τῆς 270
λύπης δυναστείαν συνάγεται καὶ συστέλλεται φυλλορροούντων καὶ ἀφαυαι-
νομένων τρόπον δένδρων· τὸ γὰρ εὐθαλὲς αὐτῆς καὶ πῖον ἰσχναίνεται.
φόβου γε μὴν τυραννήσαντος οὐδεὶς ἔτι μένειν ἀξιοῖ, δρασμῷ δὲ καὶ
φυγῇ χρῆται, μόνως ἂν οὕτως σωθήσεσθαι προσδοκῶν· ἐπιθυμία μὲν
γὰρ ὁλκὸν ἔχουσα δύναμιν, κἂν φεύγῃ τὸ ποθούμενον, διώκειν ἀναγκά-

---

1 οὕτως LN  2 λέγει Turn.  ἡσυχάζειν L¹  4 μηνύουσιν H¹P  δ' HP
5 γέμον G  τῆς om. N  7 ἐρρήθη Mang.  9 σοματι Pap  χώραν A
10 γνωσηι γαρ φησιν οτι Pap  σου om. G  11 τὸ] τω Pap
13 ὅτι] τι Pap  τα Pap: om. codd.  14 εφηι Pap  (οικιδ)ια Pap, οὐκ ἴδια AP  νοθος Pap  16 προσερρίζωται scripsi: προσερρίζωνται Pap et codd.  17 τεσσάρων Pap  18 ἐξαιρούμενον GPH¹  19 ἀπάντων AB
20 διψῇ scripsi: διψησει Pap, διψᾷ codd.  (αιει) Pap?  21 δὲ alt. om. B
23 τρόπω codd.  24 τηρήσαντος AB  ἐστὶ G  25 ἂν] μὲν AB  σωθήσεται G  προδοχων Pap  26 δύναμιν καταφεύγῃ G

---

8 cf. ad vol. II p. 244,3.

ζει, φόβος δ' ἔμπαλιν ἀλλοτριότητα ἐμποιῶν διοικίζει καὶ μακρὰν τοῦ
271 φαινομένου διίστησιν. (55.) αἱ δὲ τῶν λεχθέντων ἡγεμονίαι παθῶν
βαρεῖαν τοῖς ἀρχομένοις ἐπάγουσι δουλείαν, ἄχρις ἂν ὁ βραβευτὴς καὶ
δικαστὴς θεὸς διακρίνῃ τὸ κακούμενον ἀπὸ τοῦ κακοῦντος, καὶ τὸ μὲν
εἰς ἐλευθερίαν ἐξέληται παντελῆ, τῷ δὲ τἀπίχειρα ὧν ἐξήμαρτεν ἀποδῷ.
272 λέγεται γάρ· „τὸ δὲ ἔθνος ᾧ ἂν δουλεύσωσι κρινῶ ἐγώ· μετὰ δὲ ταῦτα
ἐξελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς“ (Gen. 15, 14). ἀνάγκη γὰρ
θνητὸν ὄντα τῷ τῶν παθῶν ἔθνει πιεσθῆναι καὶ τὰς οἰκείους τῷ γενο-
μένῳ κῆρας ἀναδέξασθαι, βούλημα δὲ θεοῦ τὰ σύμφυτα κακὰ τοῦ γένους
273 ἡμῶν ἐπικουφίζειν· ὥστε καὶ ἡμεῖς ἐν ἀρχῇ τὰ οἰκεῖα πεισόμεθα
ὠμῶν γενόμενοι δεσποτῶν δοῦλοι, καὶ ὁ θεὸς τὸ οἰκεῖον ἐργάσεται
ἑαυτῷ, ἄφεσιν καὶ ἐλευθερίαν ταῖς ἱκέτισιν αὐτοῦ ψυχαῖς προκηρύξας, οὐ
μόνον λύσιν δεσμῶν καὶ ἔξοδον ἐκ τῆς περιπεφρουρημένης εἱρκτῆς
274 παρασχόμενος, ἀλλὰ καὶ ἐφόδια δούς, ἅπερ ἀποσκευὴν ἐκάλεσε. τί δὲ
τοῦτ' ἐστίν; ἐπειδὰν ἄνωθεν ἀπ' οὐρανοῦ καταβὰς ὁ νοῦς ἐνδεθῇ ταῖς
σώματος ἀνάγκαις, εἶτα ὑπὸ μηδεμιᾶς δελεασθεὶς οἷα ἀνδρόγυνος ἢ
γύνανδρος τὰ ἡδέα ἀσπάσηται κακά, μείνας δὲ ἐπὶ τῆς ἑαυτοῦ φύσεως
ἀνὴρ ὄντως τραχηλίζειν μᾶλλον ἢ τραχηλίζεσθαι δύνηται, τοῖς τῆς ἐγ-
κυκλίου μουσικῆς ἐντραφεὶς ἅπασιν, ἐξ ὧν θεωρίας λαβὼν ἵμερον ἐγ-
κράτειαν καὶ καρτερίαν, ἐρρωμένας ἀρετάς, ἐκτήσατο, μετανιστάμενος
καὶ κάθοδον τὴν εἰς τὴν πατρίδα εὑρισκόμενος πάντ' ἐπάγεται τὰ παι-
δείας, ἅπερ ἀποσκευὴ καλεῖται.
275 (56.) Τοσαῦτα καὶ περὶ τούτων εἰπὼν ἐπιλέγει· „σὺ δὲ ἀπελεύσῃ
πρὸς τοὺς πατέρας σου μετ' εἰρήνης τραφεὶς ἐν γήρᾳ καλῷ“ (Gen.

3 ἀχρεῖαν G ὁ om. Pap 5 τὰ ἐπίχειρα AB, ταπιχειρια Pap 6 ᾧ] ὧν B ἐὰν GHP δουλευσωσιν Pap ὁ κρίνων G 7 ἐξελεύσεται G 8 πιεσθηναι Pap (Mang.): πεισθῆναι codd. οἰκείας codd. 8. 9 τωι γενωμενωι Pap: τὸ γεννώμενον (γενόμενον G) codd., τὸν γεννώμενον v 9 συμφυα κατα Pap 10 καὶ] κἂν H πεισθησόμεθα GHP 11 ἡμῶν GH δεσπότου G ἐργάσηται GL 12 post ταῖς add. οἰκείαις H[1]P ἱκέτεσιν AB, οἰκέτισιν G προκηρύξας GH (Pap?): προκηρύξαι P(H[1]), προκηρύξει AB 13 περιπεφρουρημένης scripsi (Pap?): περιφρουρημένης BH[1]P, πεφρουρημένης AG, περιφρουρουμένης H[2] 14 δοὺς GH (Pap): διδοὺς AB, διαδοὺς P 15 ἀπὸ AB 16 post οἷα add. γυνὴ H[1]P 17 δ' ABG αυτου Pap 18 τραχηλιζειν μαλλον Pap (Mang.): τραχηλίζων GHP, τραχηλιάζων AB δύναται GH[2] 19 ἐντραφεὶς Mang.: ενγραφεις Pap, ἐγγραφεὶς codd. ἅπασιν Pap et codd.: παιδεύμασιν conicio, προπαιδεύμασιν Mang. 20 μετανισαμενος Pap 21 εἰς πατρίδα v ἐπάγεσθαι H[2] τὰς G 22 ὅπερ ABGL αποσκευηι Pap 24 γήρᾳ Pap v: γήρει codd. (LXX)

p. 513 M. 15,15). οὐκοῦν οἱ μὲν | ἀτελεῖς καὶ πολεμούμεθα καὶ δουλεύομεν καὶ
μόλις ἀπαλλαγὴν τῶν ἐπικρεμασθέντων φοβερῶν εὑρισκόμεθα, τὸ δὲ
τέλειον γένος ἀδούλωτον, ἀπολέμητον, εἰρήνῃ καὶ ἐλευθερίᾳ βεβαιοτάτῃ
ἐντρεφόμενον. δογματικῶς δὲ τὸν ἀστεῖον οὐκ ἀποθνῄσκοντα, ἀλλ' 276
ἀπερχόμενον εἰσήγαγεν, ἵν' ἄσβεστον καὶ ἀθάνατον τὸ τῆς κεκαθαρμένης
ἄκρως ψυχῆς ἀποφανῇ γένος, ἀποδημίᾳ τῇ ἐνθένδε πρὸς οὐρανὸν χρησό-
μενον, οὐ διαλύσει καὶ φθορᾷ, ἣν ἐπάγειν θάνατος δοκεῖ. μετὰ δὲ τὸ 277
„ἀπελεύσῃ" γέγραπται τὸ „πρὸς τοὺς πατέρας σου"· ποίους πατέρας,
ἄξιον σκέψασθαι. τοὺς μὲν γὰρ ἐν τῇ Χαλδαίων χώρᾳ βεβιωκότας, οἷς
μόνοις ἐχρήσατο συγγενέσιν, οὐκ ἂν λέγοι, διὰ τὸ χρησμῷ τῶν ἀφ'
αἵματος ἁπάντων διῳκίσθαι. „εἶπε" γάρ φησι „κύριος τῷ Ἀβραάμ·
ἄπελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου καὶ ἐκ τοῦ οἴκου
τοῦ πατρός σου εἰς τὴν γῆν ἥν σοι δείξω· καὶ ποιήσω σε εἰς ἔθνος
μέγα" (Gen. 12,1.2). τὸν γὰρ ἀλλοτριωθέντα ἐπιφροσύνῃ θείᾳ πῶς 278
ἦν τοῖς αὐτοῖς εὔλογον οἰκειοῦσθαι πάλιν; πῶς δὲ τὸν ἔθνους καὶ γέ-
νους ἑτέρου μέλλοντα ἡγεμόνα ἔσεσθαι προσκληροῦσθαι τῷ παλαιῷ;
οὐ γὰρ ἂν ἐχαρίζετο καινὸν τρόπον τινὰ καὶ νέον ἔθνος καὶ γένος αὐτῷ
ὁ θεός, εἰ μὴ τοῦ ἀρχαίου κατὰ τὸ παντελὲς ἀπεσχοίνιζεν. ἐθνάρχης 279
γὰρ καὶ γενάρχης ὡς ἀληθῶς ἐστιν οὗτος, ἀφ' οὗ καθάπερ ἀπὸ ῥίζης
τὸ σκεπτικὸν καὶ θεωρητικὸν τῶν τῆς φύσεως πραγμάτων ἀνέβλαστεν
ἔρνος, ὄνομα Ἰσραήλ· ἐπεὶ καὶ „τὰ παλαιὰ ἐκ προσώπου νέων ἐκφέ-
ρειν" διείρηται (Lev. 26,10). ποῦ γὰρ ἀρχαιολογίας ἔτι καὶ παλαιῶν
καὶ κατημαξευμένων ἐθῶν ὄφελος, οἷς ἐξαπιναίως οὐ προσδοκήσασιν

---

2 ἀπαλλαγῆναι G    εὑρίσκομεν codd.    3 ἐλευθερίαν βεβαιοτάτην G
5 τὸ τῆς H²: om. ceteri, το Pap    6 ἀποφήνῃ coni. Mang.    αποδημιαν την Pap    6. 7 χρησάμενον codd.    7 επαγει Pap    9 εν τηι χαλδαιων χωραι Pap: ἐν γῇ χαλδαίων codd.    10 εχρησατο Pap: ἐγχρονίσας ὡς ABP², ἐγχρονίσας GH¹P¹, ἐνεχρόνισε H²    συγγενεῦσιν P, post συγγενέσιν add. ἣν AB
10. 11 διὰ τὸ — διῳκίσθαι om. G    10 δια (το) Pap: διότι codd.
11 ἁπάντων om. codd.    διωκίσθαι P¹(H¹), διωιχεισθαι Pap: διωκίσθη ceteri    κύριος post Ἀβραάμ transpos. P    12 ἔξελθε codd.    συγγενείας] γενέσεως G    13 prius εις Pap: πρὸς codd.    ην σοι δειξω Pap: ἣν δείξω σοι (σε G) BGHP, δείξω σοι A, ἣν ἄν σοι δείξω v    16 μέλλοντα GHP: μελλον Pap, om. AB    ηγεμονα εσεσθαι Pap: ἔσεσθαι ἡγεμόνα codd.    17 τόπον coni. Mang.    18 ἀπεσχοίνισεν AB    19 γὰρ om. G    γενεάρχης AP, γεννάρχης H    20 θεωρητικὸν καὶ σκεπτικὸν transpos. H    ἀνεβλάστησεν codd.
21 επι Pap    προσώπων AB    22 διήρηται G    ἀρχαιολογία AB    ἐστὶ G    23 ἐθνῶν HP, ἐθῶν L    ου Pap: οὐδὲ ABGP, οὐδὲν H    προδοκησασι Pap

280 ἀθρόα καὶ νέα ὤμβρησεν ἀγαθά; (57.) πατέρας οὖν οὐχ ὧν μετανά-
στατος ἐγένετο ἡ ψυχὴ καλεῖ τοὺς ἐν τοῖς Χαλδαϊκοῖς κατορωρυγμένους
μνήμασιν, ἀλλ' ὡς μὲν ἔνιοί φασιν, ἥλιον καὶ σελήνην καὶ τοὺς ἄλλους
ἀστέρας — τὴν γὰρ τῶν κατὰ γῆν ἁπάντων γένεσιν διὰ τούτων λόγος
ἔχει συνίστασθαι —, ὡς δέ τινες νομίζουσι, τὰς ἀρχετύπους ἰδέας, τὰ
νοητὰ καὶ ἀόρατα ἐκεῖνα τῶν αἰσθητῶν καὶ ὁρωμένων τούτων παρα-
281 δείγματα, πρὸς ἃ τὴν τοῦ σοφοῦ διάνοιαν μετοικίζεσθαι. τινὲς δὲ πα-
τέρας ὑπετόπασαν εἰρῆσθαι τὰς τέτταρας ἀρχάς τε καὶ δυνάμεις, ἐξ
ὧν συνέστηκεν ὁ κόσμος, γῆν ὕδωρ ἀέρα καὶ πῦρ· εἰς γὰρ ταύτας
282 ἕκαστον τῶν γενομένων φασὶν ἀναλύεσθαι δεόντως. καθάπερ γὰρ ὀνό-
ματα καὶ ῥήματα καὶ τὰ λόγου μέρη πάντα συνέστηκε μὲν ἐκ τῶν τῆς
γραμματικῆς στοιχείων, ἀναλύεται δὲ πάλιν εἰς ἔσχατα ἐκεῖνα, τὸν αὐ-
τὸν τρόπον ἕκαστος ἡμῶν συγκριθεὶς ἐκ τῶν τεττάρων καὶ δανεισάμε-
νος ἀφ' ἑκάστης οὐσίας μικρὰ μόρια, | καθ' ὡρισμένας περιόδους p. 514 M.
καιρῶν ἐκτίνει τὸ δάνειον, εἰ μέν τι ξηρὸν εἴη, ἀποδιδοὺς γῇ,
283 εἰ δέ τι ὑγρόν, ὕδατι, εἰ δὲ ψυχρόν, ἀέρι, εἰ δ' ἔνθερμον, πυρί. τὰ
μὲν σωματικὰ ταῦτα, τὸ δὲ νοερὸν καὶ οὐράνιον τῆς ψυχῆς γένος πρὸς
αἰθέρα τὸν καθαρώτατον ὡς πατέρα ἀφίξεται. πέμπτη γάρ, ὡς ὁ τῶν
ἀρχαίων λόγος, ἔστω τις οὐσία κυκλοφορητική, τῶν τεττάρων κατὰ τὸ
κρεῖττον διαφέρουσα, ἐξ ἧς οἵ τε ἀστέρες καὶ ὁ σύμπας οὐρανὸς ἔδοξε
γεγενῆσθαι, ἧς κατ' ἀκόλουθον θετέον καὶ τὴν ἀνθρωπίνην ψυχὴν
284 ἀπόσπασμα. (58.) τὸ δὲ „μετ' εἰρήνης τραφεὶς" οὐκ ἀπὸ σκοποῦ

---

1 ωμβησεν Pap 1. 2 μεταναστάντος HP 2 κατωρυγμένους codd. 3 ως Pap G (Turn.): ὡς τοὺς ceteri φησιν G 4 την γαρ των Pap: τῶν γὰρ codd. απαντων γενεσιν Pap: ἁπάντων τῶν φύσιν AB, ἑπομένων ἁπάντων HP, ἁπάντων G 5 νομιζουσιν Pap 6 τούτων om. G 6. 7 παραδειγμάτων B 8 τέσσαρας ABGH, δ' P 9 ante ἀέρα add. καὶ GHP 10 γεννωμένων AB 11 συνεστηκεν Pap 12 εκεινων Pap 13 συγκριθεις Pap (Mang): συγκραθεὶς codd. τεσσάρων codd. 13. 14 δανεισάμενος post οὐσίας transpos. AB 14 ἀφ'] ἐφ' G ἑκατέρου HP, ἑκάστου Turn. 15 ἐκτείνει GHP μέντοι BH εἴη scripsi: εἰ G (Pap?), ἢ ceteri 16 εἰ δὲ ἔνθερμον, πυρί post ὕδατι transpos. codd. ψυχρόν] ἐμψυχρὸν G 17 μὲν] μὲν οὖν A σωματα Pap τοιαῦτα AB, ταύτῃ coni. Mang. 18 ὡς πρὸς πατέρα codd. 18. 19 ὡς τῶν ἀρχαίων ὁ λόγος AB 19 λόγον P ἐστι conicio κυκλοφορικὴ ABG (coni. Mang.) τεσσάρων codd. 21 κατ' ABG$\text{H}^1$P, κατα Pap: κατὰ τὸ $\text{H}^2$

---

13 sqq. cf. Platonis Timaeum p. 42 E. 19 cf. Aristotelem (Zeller II 2 p. 434 sqq.).

προσδιώρισται, ἀλλ' ὅτι σχεδὸν τὸ πλεῖστον ἀνθρώπων γένος ἐπὶ πολέμῳ καὶ τοῖς ἐκ πολέμου κακοῖς πᾶσι τρέφεται. πόλεμος δ' ὁ μὲν ἀπὸ τῶν ἐκτός ἐστιν, ὃν ἀδοξία καὶ πενία καὶ δυσγένεια καὶ τὰ ὁμοιότροπα ἐπάγουσιν, ὁ δ' ἀπὸ τῶν ἐμφυλίων, κατὰ μὲν τὸ σῶμα ἀσθένειαι, λῶβαι, πηρώσεις παντελεῖς καὶ κηρῶν σωρὸς ἄλλων ἀμυθήτων, κατὰ δὲ τὴν ψυχὴν πάθη, νοσήματα, ἀρρωστήματα, δι' ἀφροσύνης καὶ ἀδικίας καὶ τῶν ὁμοτυράννων χαλεπαὶ καὶ βαρύταται ἐπαναστάσεις καὶ ἀκαθαίρετοι δυναστεῖαι. „μετ' εἰρήνης οὖν τραφεὶς" γαληνὸν καὶ εὔ- 285
διον κτησάμενος βίον, εὐδαίμον' ὡς ἀληθῶς καὶ μακάριον. πότε οὖν τοῦτο συμβήσεται; ὅταν εὐοδῇ μὲν τὰ ἐκτὸς πρὸς εὐπορίαν καὶ εὐδοξίαν, εὐοδῇ δὲ τὰ σώματος πρὸς ὑγίειάν τε καὶ ἰσχύν, εὐοδῇ δὲ τὰ ψυχῆς πρὸς ἀπόλαυσιν ἀρετῶν. χρῄζει γὰρ ἕκαστον οἰκείων δορυ- 286
φόρων· δορυφορεῖται δὲ σῶμα μὲν εὐδοξίᾳ καὶ περιουσίᾳ καὶ ἀφθονίᾳ πλούτου, ψυχὴ δὲ τῷ τοῦ σώματος ὁλοκλήρῳ καὶ κατὰ πάντα ὑγιεινῷ, ὁ δὲ νοῦς ὑπὸ τῶν ἐν ταῖς ἐπιστήμαις θεωρημάτων· ἐπεὶ ὅτι γε εἰρήνης οὐχ ἣν αἱ πόλεις ἄγουσι μέμνηται, σαφές ἐστι τοῖς ἐντυγχάνουσι ταῖς ἱεραῖς γραφαῖς· μεγάλους ⟨γὰρ⟩ καὶ βαρεῖς πολέμους Ἀβραὰμ ἀνεδέξατο, οὓς καθῃρηκὼς φαίνεται. καὶ ἡ τῆς πατρῴας μέντοι γῆς ἀπό- 287
λειψις μετανισταμένῳ καὶ πάλιν οἰκῆσαι μὴ δυναμένῳ, φορουμένῳ δὲ ὧδε κἀκεῖσε καὶ ἐρήμους καὶ ἀτριβεῖς ὁδοὺς ἀλωμένῳ τῷ μὴ θεοπροπίοις καί τισι θεσφάτοις πεπιστευκότι βαρὺς ἦν πόλεμος. ἀλλ' ἔδει γὰρ καὶ τρίτον τι τῶν φοβερῶν προσεπιδαψιλεύσασθαι, λιμόν, μεταναστάσεως καὶ πολέμου κακὸν χεῖρον. ποίαν οὖν εἰρήνην ἤγαγεν; τὸ 288

2 ἐκ] ἐκ τοῦ AB   ἅπασι AB   δὲ Pap GHP   3 ἀπὸ om. Pap   πενια και Pap: om. codd.   3. 4 ὁμότροπα HP   4 ⟨ὃν κατασκευάζουσιν⟩ κατὰ conicio   4. 5 ασθενεια Pap   5 κῆρος $H^1P^1$   σορὸς $H^2$   6 πάθος H   δι' codd. (Pap?): ἔτι δ' conicio   7 ομοτυραννων Pap: ὁμοιοτυράννων codd., ὁμοιοτρόπων coni. Mang.   8 δυνάμεις HP   ante γαληνὸν add. ὁ $H^2$, verbum (ἀπελεύσεται?) deesse videtur   9 κτησαμενους Pap   εὐδαίμονα codd.   10 τοιουτο Pap   μεν Pap (Mang.): μοι codd.   11 δὲ om. codd.   σώματ' οὐ πρὸς G   ὑγείαν codd.   εὐοδεῖ P   post alt. δὲ add. καὶ ABG, in ras., ut vid., $P^2$, μοι $H^2$, με $H^1$   13 εὐεξίᾳ AB   prius καὶ om. Pap   14 υγεινωι Pap   15 ἀπὸ τῶν ἐπιστήμης AB   γε] τε Pap   16 ην Pap v: ἧς codd.   αγουσιν Pap   εστιν Pap   εντυγχανουσιν Pap   17 μεγαλοις Pap   γὰρ add. Turn.   18 κεκρατηκὼς conicio   18. 19 ἀπολήθης G   19 πάλιν Pap AB: πόλιν GHP   φερομένω codd.   20 τῷ om. G   20. 21 θεοπρεπίοις A, θεοπρεπείοις G   21 τισι] τι $H^1P^1$   ἀλλ' ἔδει Mang. (Scheil), αλλ' εδε Pap: ἀλλὰ δεῖ codd.   22 καὶ γὰρ AB   τριῶν τῶν L   προσεπιδαψιλευσασθαι Pap: προσενδαψιλεύσασθαι ABGH, πρὸς ἓν δαψιλεύσασθαι P   22. 23 μετα αναστασεως Pap, ἐπαναστάσεως AB   23 κακον χειρον Pap: κακῶν χείρονα (χείρωνα P) codd.

γάρ, οἶμαι, μετανίστασθαι καὶ ἀνίδρυτον εἶναι καὶ βασιλέων ἀμάχοις
ἐναντιοῦσθαι δυνάμεσι καὶ λιμῷ πιέζεσθαι πόλεμον οὐχ ἕνα, πολλοὺς δὲ
289 καὶ πολυτρόπους ἔοικε μηνύειν. ἀλλ' ἔν γε ταῖς δι' ὑπονοιῶν ἀποδό-
σεσιν εἰρήνης ἀκράτου δεῖγμα ἕκαστον αὐτῶν εἶναι συμβέβηκε· παθῶν
γὰρ | ἔνδεια καὶ λιμὸς καὶ καθαίρεσις ἐχθρῶν ἀδικημάτων καὶ μετα- p. 515 M
νάστασις ἀπὸ Χαλδαϊκῆς δόξης πρὸς τὴν φιλόθεον, τουτέστιν ἀπὸ τοῦ
γεγονότος αἰσθητοῦ πρὸς τὸ νοητὸν καὶ πεποιηκὸς αἴτιον, εὐνομίαν καὶ
290 εὐστάθειαν κατασκευάζουσιν. ὑπισχνεῖται δὲ τῷ τοιαύτην ἄγοντι εἰρή-
νην καλὸν γῆρας, οὐ δήπου τὴν πολυχρόνιον ἀλλὰ τὴν μετὰ φρονήσεως
ζωήν· τὸ γὰρ εὐήμερον πολυετίας κρεῖττον, ὅσῳ καὶ βραχύτερον φῶς
σκότους αἰωνίου. μίαν γὰρ ἡμέραν ὑγιῶς εἶπέ τις προφητικὸς ἀνὴρ
βούλεσθαι βιῶναι μετ' ἀρετῆς ἢ μυρία ἔτη ἐν σκιᾷ θανάτου (Psalm.
291 83, 11), θάνατον μέντοι τῶν φαύλων αἰνιττόμενος βίον. τὸ δὲ αὐτὸ
καὶ νῦν ἔργοις μᾶλλον ἢ ῥήμασι διασυνίστησι Μωυσῆς· ὃν γὰρ ανα-
γράφει γήρᾳ χρησόμενον καλῷ, τῶν πρὸ αὐτοῦ σχεδὸν ἁπάντων ὀλι-
γοχρονιώτατον εἰσήγαγε, φιλοσοφῶν καὶ διδάσκων ἡμᾶς, τίς ὁ πρὸς
ἀλήθειαν εὐγήρως ἐστίν, ἵνα μὴ πολὺν τῦφον ἐπὶ τοῦ φανεροῦ σώμα-
τός ποτε ἀποδεξώμεθα γέμοντα αἰσχύνης καὶ πολλῶν ὀνειδῶν, ἀλλ' εὐ-
βουλίαν καὶ σταθερότητα ψυχῆς ἰδόντες τὸ γέρως ἀδελφὸν καὶ παρώνυ-
292 μον καλὸν γῆρας ἐπιφημίσωμέν τε καὶ μαρτυρήσωμεν. δογματικῶς
οὖν ἄκουε κατὰ τὸν νομοθέτην μόνον τὸν ἀστεῖον εὐγήρων καὶ μακρο-
βιώτατον, ὀλιγοχρονιώτατον δὲ τὸν φαῦλον, ἀποθνῄσκειν ἀεὶ μανθάνοντα,
μᾶλλον δὲ τὴν ἀρετῆς ζωὴν ἤδη τετελευτηκότα.

---

1 αιδρυτον Pap 2 δυνάμεσι scripsi: δυνάμενον Pap GHP, μὴ δυνάμενον AB πιεζεῖσθαι HP 3. 4 ἐπιδόσεσιν G 6 τὴν] τὸν PH$^1$ φιλόθεον] φοβεον Pap 7 τὸ] τὸν Pap G εὐωνυμίαν HP$^1$ 8 εὐστάθιαν Pap H$^1$, ϑ εὐστα P 9 prius τὴν Pap: om. codd. 9. 10 την et ζωην Pap: τὸ et ζῆν codd. 10 κρείττω Pap G οσον Pap, ὅσα AB φῶς ⟨ἡμερήσιον⟩ coni. Mang. 11 ὑγεία ὡς G τις om. HP$^1$ προφήτης HP 12 μετὰ codd. τοῦ θανάτου codd. 13 θανατον μεντοι Pap: σκιὰν codd. μέντοι] τὸν conicio τὸν φαῦλον codd., τὸν (melius τὸν τῶν) φαύλων coni. Mang. ανιττομενος Pap δὲ Pap 14 ἔργοις scripsi: εν τοις Pap, ἔργον codd., ἔργῳ v ρημασι Pap: ῥῆμα codd., ῥήματι v διανίστησι AB Μωσῆς GHP 15 χρησαμενον codd. τῶν] τὸν A 16 εισηγαγεν Pap 17 πολυτυφον (sic) Pap: παλαιὸν τῦφον codd., πολιὸν τῦφον G, fort. recte 18 ἀναδεξώμεθα codd. 19 ψυχῇ ἐνιδόντες conicio γέρος PH$^1$, γένος A(P$^2$?) 19. 20 παρωνυμον Pap (Mang.): πατρώνυμον ABP$^2$, πατερώνυμον GHP$^1$, tum καὶ add. G 21. 22 μακαριώτατον AB 22 ὀλιγοχρονιώτατον om. Pap τον δε Pap ἀεὶ om. codd. λανθάνοντα coni. Mang. 23 τὴν τῆς ἀρετῆς AB

(59.) Λέγεται δ' ἑξῆς· „τετάρτη δὲ γενεᾷ ἀποστραφήσονται ὧδε“ 293
(Gen. 15,16), οὐχ ἵνα αὐτὸ μόνον μηνυθῇ χρόνος, ἐν ᾧ τὴν ἱερὰν
οἰκήσουσι γῆν, ἀλλὰ καὶ ὑπὲρ τοῦ τελείαν ἀποκατάστασιν ψυχῆς παρα-
στῆσαι. γίνεται δὲ ὡσανεὶ τετάρτη γενεᾷ· ὃν δὲ τρόπον, ἄξιον συν-
διασκέψασθαι. ἀποχυηθὲν τὸ βρέφος ἄχρι τῆς πρώτης ἑπταετίας ἐν 294
ἡλικίᾳ τῇ παιδικῇ ψυχῆς ἀκραιφνοῦς μεμοίραται, λείῳ μάλιστα ἐμφε-
ροῦς κηρῷ, τοῖς ἀγαθῶν καὶ κακῶν χαρακτῆρσι μήπω τετυπωμένης·
καὶ γὰρ ὅσα γράφεσθαι δοκεῖ, ὑγρότητι ἐπαλειφόμενα συγχεῖται. πρώτη 295
μὲν ἥδε ὡσανεὶ γενεὰ ψυχῆς· δευτέρα δέ, ἥτις μετὰ τὴν παιδικὴν ἡλι-
κίαν κακοῖς ἄρχεται σοζῆν, ἅ τε ἐξ ἑαυτῆς εἴωθε γεννᾶν ψυχὴ καὶ
ὅσα παρὰ τῶν ἄλλων ἀσμένη δέχεται. διδάσκαλοί τε γὰρ ἁμαρτημά-
των μυρίοι, τίτθαι καὶ παιδαγωγοὶ καὶ γονεῖς καὶ οἱ κατὰ πόλεις γε-
γραμμένοι καὶ ἄγραφοι νόμοι θαυμάζοντες ἃ χρὴ γελᾶσθαι, καὶ ἄνευ
τῶν διδαξόντων αὐτομαθής ἐστιν αὐτὴ πρὸς τὰ ὑπαίτια, ὡς ὑπ' εὐφο-
ρίας ἀεὶ κακῶν βρίθειν. „ἔγκειται“ γάρ φησι Μωυσῆς „ἡ διάνοια τοῦ 296
p. 516 M. ἀνθρώπου | ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος“ (Gen. 8,21). ἥδ'
ἐστὶν ἡ ἐπαρατοτάτη γενεὰ μὲν συμβολικῶς, κυρίως δὲ ἡλικία, καθ' ἣν
τό τε σῶμα ἡβᾷ καὶ ἡ ψυχὴ πεφύσηται, τῶν ἐντυφομένων ἀναρριπιζο-
μένων παθῶν, ἅλως τε καὶ ἀστάχυς καὶ πεδία (Exod. 22,6) καὶ ὅσα
ἂν τύχῃ καταπιμπράντων. ταύτην τὴν ἐπίνοσον γενεὰν ἢ ἡλικίαν ὑπό 297
τινος τρίτης οἷα ὑπὸ ἰατρικῆς φιλοσοφίας νοσηλευθῆναι χρή, κατεπᾳ-
σθεῖσαν λόγοις ὑγιεινοῖς καὶ σωτηρίοις, δι' ὧν κένωσιν μὲν ἐνδέξεται
τῆς ἀμέτρου τῶν ἁμαρτημάτων πλησμονῆς, πλήρωσιν δὲ λιμηρᾶς κε-

---

1 δ'] δε Pap     δε Pap: om. codd.     αποστραφησον Pap     2 αὐτὸ μόνον Pap (Mang.): μόνον αὐτὸ G, μόνον αὐτῷ ceteri     ὁ χρόνος H²     post ἱερὰν add. οἴκησιν H¹P     3 αλλα και υπερ του Pap: ἀλλ' ὑπὲρ τοῦ καὶ τὴν codd. ψυχης Pap: ἀρετῆς codd.     3. 4 παρασθησαι Pap     4 alt. δὲ om. B     6 παιδικι Pap     ψυχης Pap: φύσεως codd.     ἀκρεφνοῦς B     λείῳ Mang.: λειμωι Pap, τελείῳ codd.     μαλλιστα Pap     7 κηρω τοις Pap (Mang.): ἀκηράτοις codd.     τετυπωμένη codd.     8 ἐγγράφεσθαι conicio     κοδει Pap     υγροτητι Pap: δι' ὑγρότητα codd.     ἀπαλειφόμενα coni. Mang.
9 ἥδε] ηδη Pap     δευτερα τε τις Pap     10 ἑαυτῆς Pap H²: αὑτῆς ceteri
11 ἀσμενὴς G, ἀσμένως ceteri     12 τιθθαι Pap     13 νόμοι καὶ ἄγραφοι transpos. codd.     14 διδαξάντων codd.     αὐτὴ scripsi: αὕτη codd., αὕτη s. s. H²
τὰ om. codd.     ὑπὸ AB     15 βρίθοντες PH¹     φησιν codd.     Μωυσῆς scripsi: Μωσης Pap, om. codd.     15. 16 ἐπιμελῶς τοῦ ἀνθρώπου AB     16 ἤδε codd.     17 ἐπαρατωτάτη AB     18 ἡβᾶ s. s. H², ἡ βάσις L
19 ἅλως AB: ἄλλως Pap GHP, ἀλωὰς Mang.     alt. και Pap (Mang): om. codd. ἀσταχύς τε καὶ ABG     20 τὴν om. Pap     21. 22 κατασπασθεῖσαν AB
22 ενδεξηται Pap

298 νώσεως τῶν κατορθωμάτων καὶ ἐρημίας δεινῆς. μετὰ τὴν θεραπείαν
οὖν ταύτην γενεᾷ τετάρτῃ φύεται ψυχῇ δύναμίς τε καὶ ῥώμη κατὰ τὴν
τῆς φρονήσεως βεβαιοτάτην ἀνάληψιν καὶ τὸ ἐν ἁπάσαις ἀρεταῖς ἀκλινές
τε καὶ πάγιον. τοῦτ' ἐστὶ τὸ λεγόμενον· „τετάρτῃ δὲ γενεᾷ ἀποστρα-
φήσονται ὧδε.“ κατὰ γὰρ τὸν δειχθέντα τέταρτον ἀριθμὸν ἀποστρα-
φεῖσα τοῦ διαμαρτάνειν ἡ ψυχὴ κληρονόμος ἀποδείκνυται σοφίας.
299 πρῶτος μὲν γὰρ ἀριθμός, καθ' ὃν οὔτε ἀγαθῶν οὔτε κακῶν λαβεῖν
ἔννοιαν ἔστιν, ἀτυπώτου τῆς ψυχῆς ὑπαρχούσης· δεύτερος δέ, καθ' ὃν
φορᾷ τῶν ἁμαρτημάτων χρώμεθα· τρίτος δέ, ἐν ᾧ θεραπευόμεθα, τὰ
νοσερὰ διωθούμενοι καὶ τὴν ἀκμὴν τῶν παθῶν ἀφηβῶντες· τέταρτος
δέ, ἐν ᾧ παντελοῦς ὑγιείας καὶ ῥώσεως μεταποιούμεθα, ὁπότε ἀπο-
στρεφόμενοι τὰ φαῦλα τοῖς καλοῖς ἐγχειρεῖν δοκοῦμεν, πρότερον δὲ οὐκ
300 ἔξεστι. (60.) τὸ δὲ ἄχρι τίνος, αὐτὸς μηνύσει λέγων· „οὔπω γὰρ ἀνα-
πεπλήρωνται αἱ ἀνομίαι τῶν Ἀμορραίων“ (Gen. 15,16). δίδωσι δὲ
ἀφορμὴν τοῖς ἀσθενεστέροις τὰ τοιαῦτα, ὡς ὑπολαμβάνειν, ὅτι Μωυσῆς
εἱμαρμένην καὶ ἀνάγκην ὡς αἰτίας τῶν γινομένων ἁπάντων εἰσάγει.
301 χρὴ δὲ μὴ ἀγνοεῖν, ὅτι ἀκολουθίαν μὲν καὶ εἱρμὸν καὶ ἐπιπλοκὰς αἰ-
τιῶν ἅτε φιλόσοφος καὶ θεοφράδμων ἀνὴρ οἶδεν, τούτοις δ' οὐκ ἀνά-
πτει τὰς τῶν γινομένων αἰτίας. ἐφαντασιώθη γὰρ πρεσβύτερον ἄλλο
ἐποχούμενον τοῖς ὅλοις ἡνιόχου τρόπον ἢ κυβερνήτου· πηδαλιουχεῖ γὰρ
τὸ κοινὸν τοῦ κόσμου σκάφος, ᾧ τὰ πάντα ἐμπλεῖ, καὶ τὸ πτηνὸν
ἅρμα, τὸν σύμπαντα οὐρανόν, ἡνιοχεῖ χρώμενον αὐτεξουσίῳ καὶ αὐτο-
302 κράτορι βασιλείᾳ. τί οὖν καὶ περὶ τούτων λεκτέον; ἑρμηνεύονται
Ἀμορραῖοι λαλοῦντες, τὸ δὲ μέγιστον ἀγαθὸν ἀνθρώπῳ δωρηθὲν ὑπὸ
φύσεως, τὸν λόγον, μυρίοι τῶν λαβόντων διέφθειραν ἀχαρίστως καὶ
ἀπίστως τῇ δούσῃ προσενεχθέντες. οὗτοι δέ εἰσιν οἱ γόητες, οἱ κόλα-

---

1 ηρεμιας Pap  δεινῆς] ἡδονῆς H  2 ταύτην om. Pap  γενεᾷ τετάρτῃ Pap G: τετάρτῃ γενεᾷ ceteri  ρωμηι Pap  2. 3 κατα φρονησιν Pap, fort. scrib. κατὰ φρονήσεως  3 ἀντίληψιν AB  τὸ om. G  4 εστιν Pap  δε Pap: om. codd.  7 αριμθος Pap  οὔτ' AB  7. 8 ἔννοιαν λαβεῖν codd.  8 τῆς om. v  δευτερον Pap  9 τρίτη AB  10 τετάρτη AB  11 ὑγείας codd.  11. 12 ἀποστρεφόμεθα G  12 τοῖς om. codd.  κακοῖς A  εγχειρεν Pap  13 εξεστιν Pap  μηνύει HP  14 ἁμαρτίαι B  διδωσιν Pap  15 Μωσῆς G  16 γεινομενων Pap: γενομένων codd.  18 θεοφράσμων G  ὢν post ἀνὴρ add. codd.  οἶδε HP  18. 19 οὐ τούτοις δ' ἀνάπτει AB  18 δ' om. Pap  οὐκ s. s. H, om. G  18. 19 ἀνάπτει] post alt. α ras. 3 litt. in HP, ἀναπίπτει G  19 γενομένων AB  ἄλλον G  21 εμπλεκει Pap  24 ἀνθρώπῳ om. Pap  26 δοση cum ras. post ο P, δόσει AB  26. 69,1 οἱ κόλακες, οἱ γόητες codd.

p. 517 M. κες, οἱ πιθανῶν σοφισμάτων εὑρεταί, | φενακίσαι καὶ παραχρούσασθαι
μόνον εὖ εἰδότες, τοῦ ἀψευδεῖν οὐ πεφροντικότες. ἐπιτηδεύουσι μέντοι
καὶ ἀσάφειαν, ἀσάφεια δὲ βαθὺ σκότος ἐν λόγῳ, κλέπταις δὲ συνεργὸν
τὸ σκότος. οὗ χάριν Μωυσῆς τὸν ἀρχιερέα δηλώσει καὶ ἀληθείᾳ δια- 303
κεκόσμηκεν (Exod. 28,26), ἀρίδηλον ἀξιῶν εἶναι καὶ ἀληθῆ τὸν τοῦ
σπουδαίου λόγον. οἱ δὲ πολλοὶ τὸν ἄδηλον καὶ ψευδῆ μεταδιώκουσιν,
ᾧ συνεπιγράφεται πᾶς ὁ τῶν ἀγελαίων καὶ ἠμελημένων ἀνθρώπων
ἀπατώμενος ὄχλος. ἕως μὲν οὖν „οὐκ ἀναπεπλήρωται τὰ ἁμαρτήματα 304
τῶν Ἀμορραίων“, τουτέστι τῶν σοφιστικῶν λόγων διὰ τὸ ἀνεξέλεγκτον,
ἀλλ' ἔτι ὁλκὸν ἔχοντα δύναμιν ταῖς πιθανότησιν ἡμᾶς ἐπάγεται,
[καὶ] ἀποστραφῆναι καὶ καταλιπεῖν αὐτὰ οὐ δυνάμενοι τῷ δελεάζεσθαι
καταμένομεν. ἐὰν δὲ πᾶσαι αἱ ψευδεῖς πιθανότητες διελεγχθῶσιν ὑπὸ 305
τῶν ἀληθῶν πίστεων καὶ πλήρεις αὐτῶν καὶ ἐπιχειλεῖς αἱ ἁμαρτίαι
περιφανῶσιν, ἀποδρασόμεθα ἀμεταστρεπτὶ καὶ μονονοὺ τὰ ἀπόγαια
ἀράμενοι τῆς τῶν ψευσμάτων καὶ σοφισμάτων χώρας ἐξαναχθησόμεθα,
τοῖς ἀληθείας ναυλοχωτάτοις ὑποδρόμοις καὶ λιμέσιν ἐνορμίσασθαι ἐπει-
γόμενοι. τοιοῦτον δὴ τὸ δηλούμενον ὑπὸ τῆς προτάσεως· ἀμήχανον 306
γὰρ ἀποστραφῆναι καὶ μισῆσαι καὶ καταλιπεῖν τὸ πιθανὸν ψεῦδος, εἰ
μὴ τὸ περὶ αὐτὸ ἁμάρτημα πλῆρες ἀναφανείη καὶ τέλειον· ἀναφα-
νεῖται δὲ ἐκ τοῦ μὴ περιέργως διελεγχθῆναι κατὰ τὴν τοῦ ἀληθοῦς
ἀντίταξιν καὶ βεβαίωσιν.

(61.) Λέγει δὲ ἑξῆς· „ἐπεὶ δὲ ἐγίνετο ὁ ἥλιος πρὸς δυσμαῖς, 307
φλὸξ ἐγένετο“ (Gen. 15,17), δηλῶν ὅτι ἀρετὴ πρᾶγμά ἐστιν ὀψίγονον

---

1 post εὑρεταὶ add. ἐξ ἀπάτης πλανῆσαι D  2 μόνον Pap D: μᾶλλον codd. τοῦ Pap D: τοῦ δὲ codd.  πεφροντίκασιν D  3 σκότος] πάθος H  4 Μωσῆς HP  8 ἀναπεπλήρωνται HP  9 απεξελεγκτον Pap  10 ὁλκὸν Mang.: ἐνδίολκον Pap ABGH², ἕνα δίολκον P(H¹)  ἔχοντες G  απαγεται Pap  11 καὶ prius om. GH², καὶ ⟨γοητεύει⟩ e. gr. conicio  12 ἐγκαταμένομεν coni. Mang.  12 πᾶσαι ἀψευδεῖς HP  13 ἀληθῶς B  14 ἀποδρασόμεθα Pap H²: ἀποδρασώμεθα ceteri  απογαια Pap: ἀπόγεια ABGP², ἐπίγεια HP¹  15 ἐξαναστησόμεθα P  16 ἱπποδρόμοις AB  17 δὴ om. Pap  18 γὰρ om. codd.  19 πληρης Pap  19 ἀναφανείη scripsi, αναφανειν Pap: ἀναφανῇ ἢ AB, ἀναφανῆναι ἢ GP(H¹), ἀναφανῇ H²  20 περιέργως διελεγχθῆναι GHP: περιεργως διαλεχθηναι Pap, παρέργως διαλεχθῆναι AB  τοῦ Pap: om. ABGH, τῆς P  22 ἐγένετο codd. δυσμάς codd.

---

l. 2 D$^{P}$ fol. 266$^{v}$ (lemma om. Harris p. 92): οἱ πιθανῶν — πεφροντίκασιν. pergit. lin. 7 οἷς ὁ τῶν ἀγελαίων καὶ ἠμελημένων ἀνθρώπων ἀπατώμενος ὄχλος συνεπιγράφεται.

καὶ μήν, ὡς ἔφασάν τινες, πρὸς αὐταῖς ταῖς τοῦ βίου δυσμαῖς βεβαιού-
μενον. ἀρετὴν δὲ ἀπεικάζει φλογί· καθάπερ γὰρ ἡ φλὸξ καίει μὲν τὴν
παραβληθεῖσαν ὕλην, φωτίζει δὲ τὸν γείτονα ἀέρα, τὸν αὐτὸν τρόπον
ἐμπίπρησι μὲν τὰ ἁμαρτήματα ἡ ἀρετή, φέγγους δὲ τὴν ὅλην ἀναπίμ-
308 πλησι διάνοιαν. ἀλλὰ γὰρ ἔτι τῶν ἀδιαιρέτων καὶ ἀμερίστων λόγων
ἐπικρατούντων ταῖς πιθανότησιν, οὓς Ἀμορραίους ἀνακαλεῖ, περιφανε-
στάτην καὶ ἄσκιον αὐγὴν ἰδεῖν οὐ δυνάμεθα· κλιβάνου δ' εἰλικρινὲς
πῦρ οὐκ ἔχοντος, ἀλλ' ὡς αὐτὸς ἔφη (Gen. 15,17) καπνιζομένου τρό-
πον διακείμεθα, σπινθῆρσι μὲν τῆς ἐπιστήμης ὑποτυφόμενοι, μήπω δὲ
309 καθαρῷ πυρὶ δοκιμασθῆναι καὶ κραταιωθῆναι δυνάμενοι. πολλὴ δὲ τῷ
σπείραντι τοὺς σπινθῆρας χάρις, ἵνα μὴ νεκρῶν τρόπον σωμάτων ὁ
νοῦς ὑπὸ παθῶν καταψυχθῇ, ἀλλ' ἔνθερμος ὢν καὶ χλιαινόμενος ὑπεκ-
καύμασιν ἀρετῆς ζωπυρῆται μέχρι τοῦ τὴν εἰς πῦρ ἱερόν, ὡς ὁ Ναδὰβ
310 καὶ Ἀβιούδ (Lev. 10,2), δέξασθαι μεταβολήν. καπνὸς δὲ γίνεται μὲν
πρὸ πυρός, | δακρύειν δὲ βιάζεται τοὺς πλησιάζοντας. ἀμφότερα δὲ p. 518 M.
φιλεῖ συμβαίνειν· ταῖς τε γὰρ ἀρετῆς αὐγαῖς προσχωροῦντες τελειότητα
ἐλπίζομεν, καὶ εἰ μήπω δυναίμεθα τυχεῖν αὐτῆς, οὐκ ἀδακρυτὶ διάγο-
μεν ἀνιώμενοι. πολὺς γὰρ ὅταν ἵμερος ἐντακῇ, πρὸς τὴν τοῦ ποθου-
μένου θήραν ἐπισπεύδει καὶ ἄχρι τοῦ συλλαβεῖν κατηφεῖν ἀναγκάζει.
311 κλιβάνῳ δὲ νῦν ἐξωμοίωσε τὴν ψυχὴν τοῦ φιλομαθοῦς καὶ ἐλπίδα τελειώ-
σεως ἔχοντος, ἐπειδὴ τροφῆς πεττομένης συγκραταιοῦν ἑκάτερον ἀγγεῖόν
ἐστιν, ὁ μὲν τῆς διὰ σιτίων φθαρτῶν, ἡ δὲ τῆς δι' ἀφθάρτων ἀρετῶν. αἱ δὲ
λαμπάδες τοῦ πυρὸς αἱ δᾳδουχούμεναι τοῦ δᾳδούχου θεοῦ κρίσις εἰσίν,
αἱ λαμπραὶ καὶ διαυγεῖς, αἷς ἔθος μέσον τῶν διχοτομημάτων, λέγω δὲ
312 τῶν ἐναντιοτήτων, ἐξ ὧν ἅπας ὁ κόσμος συνέστηκε, διάγειν. λέγεται
γάρ· „λαμπάδες πυρός, αἳ διῆλθον μέσον τῶν διχοτομημάτων“ (Gen.

---

1 αυτοις Pap 3 παρευρεθεῖσαν ABP[2] 4 ενπιπρησει Pap φεγγυς Pap 4. 5 ἀναπίπλησι PH[1], fort. recte 5 ἔτι om. AB, ἐπὶ G 6 ταῖς om. HP επιθανοτησι Pap 7 αὐγὴν codd.: αυτην Pap εἰλικρινὲς codd. 9 τῆς Pap ABG: τοῖς HP ἐπιτυφόμενοι HP 9. 10 μήπω — δυνάμενοι om. AB 10 καθαρῷ πυρὶ Pap G: πυρὶ καθαρῷ AB, πυρὶ HP 11 σπείραντι] ζωπυροῦντι coni. Mang. χάριν B 12 ὑπὸ παθῶν om. codd. καταψυχθηι Pap: καταψυγῇ codd. ἀλεαινό-μενος codd. 13 εἰς] εἰ A ναδὰμ AB, ναβὰδ G 13 δὲ] δὴ B 15 φιλεῖν AP ταῖς τε γὰρ ἀρετῆς αὐγαῖς προσχωροῦντες scripsi: τοῖς τε (τε om. H[2], Pap?) γὰρ ἀρετῆς ἀγγέλοις προσχορεύοντες (προχορεύοντες HP, Pap?) Pap et codd., ταῖς ... αὐγαῖς ἐγχο-ρεύοντες coni. Mang. 16 καὶ Pap: κἂν codd. δυνάμεθα A 19 ⟨δάκρυα⟩ μέχρι τοῦ καταλαβεῖν καταχεῖν ἀναγκάζει male Jessen καταλαβεῖν codd. 21 (συγ)κρα-ταιουν Pap: om. codd. 23 κρίσεις codd. 24 μεσον Pap: μέσαις codd. post τῶν add. διαυγεῖς G 25 ἐνδιάγειν coni. Mang. 26 post γὰρ add. ὅτι ABP[2]

15,17), ἵνα γνῷς, ὅτι αἱ θεῖαι δυνάμεις διὰ μέσων καὶ πραγμάτων καὶ σωμάτων ἰοῦσαι φθείρουσι μὲν οὐδὲν — μένει γὰρ ἀπαθῆ τὰ διχοτομήματα —, διαιροῦσι δὲ καὶ διαστέλλουσι σφόδρα καλῶς τὰς ἑκάστων φύσεις.

(62.) Τῆς οὖν τῶν εἰρημένων ἐπιστήμης κληρονόμος δεόντως 313
ἀποδείκνυται ὁ σοφός· „ἐν γὰρ τῇ ἡμέρᾳ“ φησίν „ἐκείνῃ διέθετο κύριος τῷ Ἀβραὰμ διαθήκην λέγων· τῷ σπέρματί σου δώσω τὴν γῆν
ταύτην“ (Gen. 15,18). ποίαν γῆν δηλοῖ, εἰ μὴ τὴν προειρημένην, ἐφ' 314
ἣν ποιεῖται τὴν ἀναφοράν; ἧς ἐστιν ὁ καρπὸς κατάληψις ἀσφαλὴς καὶ βεβαία τῆς τοῦ θεοῦ σοφίας, καθ' ἣν τὰ σύμπαντα τοῖς τομεῦσιν ἑαυτοῦ διαφυλάττει ἀπαθῆ τὰ ἀγαθὰ κακοῦ κατὰ τὰ ἐπὶ τοῖς τὴν γένεσιν
ἀφθάρτοις. εἶτ' ἐπιλέγει· „ἀπὸ τοῦ ποταμοῦ Αἰγύπτου ἕως τοῦ ποτα- 315
μοῦ τοῦ μεγάλου [ποταμοῦ] Εὐφράτου“ (Gen. 15,18), δηλῶν ὅτι οἱ τέλειοι τὰς μὲν ἀρχὰς ἔχουσιν ἀπὸ σώματος καὶ αἰσθήσεως καὶ τῶν ὀργανικῶν μερῶν, ὧν ἄνευ ζῆν οὐκ ἔνεστι — χρήσιμα γὰρ πρὸς τὴν ἐν τῷ μετὰ σώματος βίῳ παιδείαν —, τὰ δὲ τέλη ἐπὶ τὴν τοῦ θεοῦ σοφίαν, τὸν μέγαν ὡς ἀληθῶς ποταμόν, χαρᾶς καὶ εὐφροσύνης καὶ τῶν
ἄλλων πλημμυροῦντα ἀγαθῶν. οὐ γὰρ ἀπὸ τοῦ ποταμοῦ Εὐφράτου 316
ἕως τοῦ Αἰγύπτου ποταμοῦ τὴν χώραν περιέγραψεν — οὐ γὰρ ἂν ἀρετὴν εἰς τὰ σωματικὰ πάθη κατεβίβασεν —, ἀλλ' ἔμπαλιν „ἀπὸ τοῦ Αἰγύπτου ἕως τοῦ μεγάλου Εὐφράτου.“ ἀπὸ γὰρ τῶν θνητῶν αἱ βελτιώσεις γίνονται πρὸς τὰ ἄφθαρτα.

---

1 ἵνα γνῷς — πραγμάτων om. AB 2 μεινει Pap 3 διαστέλλουσι] διακρίνουσι AB ἑκάστων] ἐν ἑκάστῳ AB 6 διεθετο Pap: συνέθετο codd. 7 (διαθή)κην Pap supplevi: συνθήκην codd. 8 γῆν] η Pap εἰ ABG (Pap): ὅτι HP 9 καταλημψις Pap 10 βεβαια Pap: βεβαιοτάτη codd. 10. 11 τιμῶσιν αὐτὸν Markland 11 διαφυλάττοι AB, διακρίνει φυλάττων conicio 11—14 κακοῦ — αἰσθήσεως om. Pap κατὰ τὰ] καθὰ coni. Mang., sed etiam quae sequuntur corrupta sunt 12. 13 τοῦ ποταμοῦ om. AB 13 ποταμοῦ seclusi 14 τοῦ σώματος AB 15 ενεστι Pap: ἔστι ABGP, ἔστιν H 16 μετὰ om. AB παιδείαν] διαγωγήν conicio 18 ἀγαθῶν πλημμυροῦντα codd. 19 τοῦ] τῆς H¹P 19 Αἰγυπτίου GH² ante τὴν add. ὃς GHP περιγράφει H οὐ] οὕτως coni. Mang. 21 Αἰγυπτίου GHP² 21. 22 βελτειωσεις Pap: οἰκειώσεις codd. 22 subscriptio in Pap: ΦΙΛΩΝΟϹ ΠΕΡΙ ΤΟΥ ΤΙϹ Ο ΤΩΝ ΘΕΙΩΝ ΕϹΤΙΝ ΚΛΗΡΟΝΟΜΟϹ Η ΠΕΡΙ ΤΗϹ ΕΙϹ ΤΑ ΙϹΑ ΚΑΙ ΕΝΑΝΤΙΑ ΤΟΜΗϹ, in H περὶ τοῦ τίς ὁ τῶν θείων πραγμάτων κληρονόμος καὶ περὶ τῆς ἴσα καὶ ἐναντία τομῆς.

# ΦΙΛΩΝΟΣ

# ΠΕΡΙ ΤΗΣ ΠΡΟΣ ΤΑ ΠΡΟΠΑΙΔΕΥΜΑΤΑ ΣΥΝΟΔΟΥ

1 (1.) „Σάρα δὲ ἡ γυνὴ Ἀβραὰμ οὐκ ἔτικτεν αὐτῷ. ἦν δὲ αὐτῇ I p.519 M.
παιδίσκη Αἰγυπτία, ᾗ ὄνομα Ἄγαρ. εἶπε δὲ Σάρα πρὸς Ἀβραάμ·
ἰδού, συνέκλεισέ με κύριος τοῦ μὴ τίκτειν, εἴσελθε πρὸς τὴν παιδίσκην
2 μου, ἵνα τεκνοποιήσῃς ἐξ αὐτῆς“ (Gen. 16, 1. 2). τὸ Σάρας ὄνομα
μεταληφθέν ἐστιν „ἀρχή μου“· φρόνησις δὲ ἡ ἐν ἐμοὶ καὶ σωφροσύνη
ἡ ἐν ἐμοὶ καὶ ἡ ἐπὶ μέρους δικαιοσύνη καὶ ἑκάστη τῶν ἄλλων ἀρετῶν,
ἣν περὶ ἐμὲ μόνον εἶναι συμβέβηκεν, ἀρχή ἐστιν ἐμοῦ μόνου· ἐπιστατεῖ
γάρ μου καὶ ἡγεμονεύει πειθαρχεῖν ἐγνωκότος, βασιλὶς ἐκ φύσεως ὑπάρ-
3 χουσα. ταύτην Μωυσῆς, τὸ παραδοξότατον, καὶ στεῖραν ἀποφαίνει καὶ
πολυγονωτάτην, εἴ γε τὸ πολυανθρωπότατον τῶν ἐθνῶν ἐξ αὐτῆς
ὁμολογεῖ γενέσθαι. τῷ γὰρ ὄντι ἡ ἀρετὴ πρὸς μὲν τὰ φαῦλα
πάντα ἐστείρωται, τῶν δὲ ἀγαθῶν εὐτοκίᾳ χρῆται τοιαύτῃ, ὡς
4 μηδὲ μαιευτικῆς τέχνης — φθάνει γὰρ ἀποτίκτουσα — δεῖσθαι. τὰ

φιλωνος περὶ τῆς πρὸς τὰ προπαιδεύματα συνόδου MA: φιλωνος περὶ τῆς εἰς τὰ προπαιδεύματα συνόδου G, τοῦ αὐτοῦ περὶ τῆς εἰς κτλ. F, περὶ τῆς εἰς τὰ προπαιδεύματα συνόδου H  1. 2 bis Σάρρα codd.  καὶ αὐτῇ δούλη ἦν Αἰγυπτία καὶ ὄνομα αὐτῇ Ἄγαρ GF  3 με] μοι G  ὁ ante κύριος add. v  μὴ τίκτειν MAH: τεκεῖν GF  δὴ ante πρὸς add. GF  4 ἵνα τεκνοποιήσῃς MAH: εἴ πως οἰκοδομηθήσομαι GF  Σάρρας MAH, Σάρρα GF  5 ληφθέν G  6 μέρος G  καὶ ἡ ἑκάστων ἄλλων GF  7 μόνου om. F  8 μου om. GF  9 ταύτης A  Μωσῆς G  10 πολυάνθρωπον GF  13 μαιευτικὴ G  δεῖσθαι post τέχνης transpos. Fv, pro δεῖσθαι habet οἷς (hoc add. G²) δεῖ χρῆσθαι G

6 *Clem. Alex. Strom. I § 31 p. 334 P.:* ἑρμηνεύει δὲ ὁ Φίλων . . . . . τὴν Σάρραν (leg. Σάραν) δὲ „ἀρχήν μου“.

μὲν οὖν ζῷα καὶ φυτὰ διαλείποντα τὸν πλείω χρόνον ἅπαξ ἢ δὶς τὸ
πλεῖστον τοὺς οἰκείους δι' ἐνιαυτοῦ φέρει καρπούς, καθ' ὃν ἔταξεν ἀριθ-
μὸν ἑκάστοις ἡ φύσις ἐναρμοζόμενον ταῖς ἐτησίοις ὥραις· ἀρετὴ δὲ οὐ
διαλείπουσα ἀνελλιπῶς δὲ καὶ ἀδιαστάτως κατὰ τοὺς ἀμερεῖς χρόνους
p. 520 M. ἀεὶ γεννᾷ, βρέφη μὲν οὐδαμῶς, λόγους δὲ ἀστείους καὶ βουλὰς | ἀνεπι-
λήπτους καὶ ἐπαινετὰς πράξεις. (2.) ἀλλ' οὔτε πλοῦτος, ᾧ μὴ δυνατόν 5
ἐστι χρῆσθαι, τοὺς κεκτημένους ὠφελεῖ οὔτε ἡ φρονήσεως εὐτοκία, ἐὰν
μὴ καὶ ἡμῖν αὐτοῖς τὰ ὠφέλιμα τίκτῃ. τοὺς μὲν γὰρ εἰσάπαν ἀξίους
ἔκρινε τῆς συμβιώσεως αὐτῆς, οἱ δ' οὔπω ⟨τὴν⟩ ἡλικίαν ἔδοξαν ἔχειν,
ὡς ἐπαινετῆς καὶ σώφρονος οἰκουρίας ἀνέχεσθαι· οἷς τὰ προτέλεια τῶν
γάμων ἐφῆκε ποιεῖσθαι, ἐλπίδα καὶ τοῦ θύσειν τοὺς γάμους παρασχοῦσα.
Σάρα οὖν, ἡ ἄρχουσά μου τῆς ψυχῆς ἀρετή, ἔτικτε μέν, ἐμοὶ δ' οὐκ 6
ἔτικτε· οὐ γὰρ ἠδυνάμην πω νέος ὢν τὰ γεννήματα αὐτῆς παραδέχεσθαι,
τὸ φρονεῖν, τὸ δικαιοπραγεῖν, τὸ εὐσεβεῖν, διὰ τὸ πλῆθος τῶν νόθων
παίδων, οὓς ἀπεκύησάν μοι αἱ κεναὶ δόξαι. τροφαὶ γὰρ αἱ τούτων καὶ
συνεχεῖς ἐπιμέλειαι καὶ φροντίδες ἄληκτοι τῶν γνησίων καὶ ὡς ἀληθῶς
ἀστῶν ὀλιγωρεῖν ἠνάγκασαν. καλὸν οὖν εὔχεσθαι τὴν ἀρετὴν μὴ μόνον 7
τίκτειν, ᾗ καὶ δίχα εὐχῆς εὐτοκεῖ, ἀλλὰ καὶ ἡμῖν αὐτοῖς τίκτειν, ἵνα τῶν
σπερμάτων καὶ γεννημάτων αὐτῆς μεταλαγχάνοντες εὐδαιμονῶμεν. εἴωθε
γὰρ θεῷ μόνῳ τίκτειν, τὰς ἀπαρχὰς ὧν ἔτυχεν ἀγαθῶν εὐχαρίστως
ἀποδιδοῦσα τῷ τὴν ἀειπάρθενον μήτραν, ὥς φησι Μωυσῆς, ἀνοίξαντι
(Gen. 29, 31). καὶ γὰρ τὴν λυχνίαν, τὸ ἀρχέτυπον τοῦ μιμήματος 8
παράδειγμα, ἐκ τοῦ ἑνὸς μέρους φησὶ φαίνειν, δηλονότι τοῦ πρὸς
θεόν· ἑβδόμη γὰρ οὖσα καὶ μέση τῶν ἓξ καλαμίσκων δίχα διῃρη-
μένων εἰς τριάδας, ἑκατέρωθεν δορυφορούντων, ἄνω τὰς αὐγὰς
ἀποστέλλει πρὸς τὸ ὄν, λαμπρότερον ἡγουμένη τὸ φέγγος ἢ ὡς δύνασθαι

---

2. 3 ἀριθμὸν] χρόνον conicio 3 ἑκάστοις om. GF 4 δὲ] τὲ A 7 ἡ] εἰ ἡ M ἐὰν] ἂν GF 8 γὰρ ⟨τελείους⟩ coni. Mang. 9 αὐτῆς om. F τὴν addidi 10 οἷς] ἧς AL² 11 ἀφῆκε A θήσειν H², θύειν FL 12 Σάρρα codd. ἀρετὴν G ἔτικτεν GF μὲν om G 12. 13 ἐμοὶ δ' οὐκ ἔτικτεν MA, bis habet G: οὐκ ἔτικτε δ' ἐμοί H, om. F 13 ἐδυνάμην G πω om. A, πως F ταύτης F 14 εὐτοκεῖν GF ult. τὸ om. F 15 παιδίων H οὓς] ἃς F 16 ἄληκτοι Mang.: ἄλεκτοι codd. 17 ἀστείων G εὔχεσθαι GFH²: δέχεσθαι MA(H¹) 18 ᾗ] ἢ AGF εὐτοκεῖν GF, ἀτοκεῖ Turn. 19 γενημάτων M μεταλαχόντες GF 20 μόνον F 21 ἀεὶ παρθένον F Μωσῆς GF 22 τὸ om. G 23 δῆλον ὅτι G 24 οὖσα om. F καυλίσκων L¹ 24. 25 διειρημένων H 25 τριάδας GF (Mang.): τριάδος M, τριάδα AH 26 ὄν Mang.: ἓν MAH, om. GF ἐλλαμπρότερον GF, λαμπρότατον Turn. φέγγος MAH: τέλος GF

9 θνητὴν αὐτῷ προσβάλλειν ὄψιν (Exod. 25,37.31). (3.) διὰ τοῦτο οὔ
φησι μὴ τίκτειν τὴν Σάραν, ἀλλ' αὐτῷ τινι μὴ τίκτειν. οὐ γάρ ἐσμεν
ἱκανοὶ δέξασθαί πω γονὰς ἀρετῆς, εἰ μὴ πρότερον ἐντύχοιμεν αὐτῆς τῇ
θεραπαινίδι· θεραπαινὶς δὲ σοφίας ἡ διὰ τῶν προπαιδευμάτων ἐγκύκλιος
10 μουσική. ὥσπερ γὰρ ἐν μὲν οἰκίαις αὔλειοι πρόκεινται κλισιάδων, ἐν
δὲ πόλεσι τὰ προάστεια, δι' ὧν εἴσω βαδίζειν ἔνεστιν, οὕτως καὶ
ἀρετῆς πρόκειται τὰ ἐγκύκλια· ταῦτα γὰρ ὁδός ἐστιν ἐπ' ἐκείνην
φέρουσα.
11 Χρὴ δ' εἰδέναι, ὅτι τῶν μεγάλων ὑποθέσεων μεγάλα καὶ τὰ προοί-
μια εἶναι συμβέβηκε. μεγίστη δὲ ὑπόθεσις ἀρετή· καὶ γὰρ περὶ μεγίστην
ὕλην καταγίνεται, τὸν σύμπαντα ἀνθρώπων βίον. εἰκότως οὖν οὐ βρα-
χέσι χρήσεται προοιμίοις, ἀλλὰ γραμματικῇ, γεωμετρίᾳ, ἀστρονομίᾳ, ῥη-
τορικῇ, μουσικῇ, τῇ | ἄλλῃ λογικῇ θεωρίᾳ πάσῃ, ὧν ἐστι σύμβολον ἡ p. 521 M.
12 Σάρας θεραπαινὶς Ἄγαρ, ὡς ἐπιδείξομεν. „εἶπε" γάρ φησι „Σάρα πρὸς
Ἀβραάμ· ἰδοὺ συνέκλεισέ με κύριος τοῦ μὴ τίκτειν· εἴσελθε πρὸς τὴν
παιδίσκην μου, ἵνα τεκνοποιήσῃς ἐξ αὐτῆς" (Gen. 16,1). τὰς σωμάτων
πρὸς σώματα μίξεις καὶ ὁμιλίας ἡδονὴν ἐχούσας τὸ τέλος ὑπεξαιρετέον τοῦ
παρόντος λόγου· νοῦ γὰρ πρὸς ἀρετήν ἐστι σύνοδος ἐξ αὐτῆς ἐφιεμένου
παιδοποιεῖσθαι, εἰ δὲ μὴ δύναιτο εὐθύς, ἀλλά τοι τὴν θεραπαινίδα αὐ-
13 τῆς, τὴν μέσην παιδείαν, ἐγγυᾶσθαι διδασκομένου. (4.) ἄξιον δὲ τῆς
αἰδοῦς καταπλαγῆναι σοφίαν, ἥτις τὸ βραδὺ πρὸς γένεσιν ἢ τελέως ἄγο-
νον οὐκ ἠξίωσεν ἡμῖν ὀνειδίσαι, καίτοι τοῦ χρησμοῦ τἀληθὲς εἰπόντος,
ὅτι „οὐκ ἔτικτεν," οὐ διὰ φθόνον, ἀλλὰ διὰ τὴν ἡμῶν αὐτῶν ἀνεπιτη-
δειότητα· „συνέκλεισε" γάρ φησι „μὲ κύριος τοῦ μὴ τίκτειν", καὶ οὐκέτι
προστίθησιν „ὑμῖν", ἵνα μὴ προφέρειν ἀτυχίαν καὶ ὀνειδίζειν ἑτέροις δοκῇ.

---

1 αὐτῶν A ὄψιν GF: τὴν ὄψιν MAH τοῦτ' F$^3$ οὐ H$^2$: οὖν MAH$^1$, om. GF 2 Σάρραν codd. ἀλλ' om. GF post alt. τίκτειν add. τὴν Σάρραν H 3 αὐτῆς ἐντύχ. transpos. GF ἐντύχοιμεν G (sed οι in ras.): ἐντύχομεν A, ἐντύχωμεν MHF 4 ἢ A διὰ secl. Mang. 5 post μουσική add. καὶ ἡ λογικὴ σοφισμάτων γεῦσις (νεῦσις G) GF, καὶ λογική add. L$^2$, εὕρεσις pro γεῦσις coni. Mang. (cf. § 29) vel καὶ ἄλλη λογικὴ θεωρία (cf. § 11) αὔλειοι H: αὔλιοι ceteri 6 οὕτω GF 7 πρόκεινται HGF 7 post ὁδός add. τίς GF 8 ἄγουσα F 13 θεραπεία F πᾶσιν ὄν ἐστι A 14 Σάρρας et Σάρρα codd. 15 με] μοι G 16 ἵνα] εἴ πως GF τεκνοποιήσεις GF 17 πρὸς σωμάτων G 17 ὑπεξέρετε G 19 δὲ καὶ μὴ G εὐθύς] ἐξ αὐτῆς coni. Mang. τοι] τί A 20 δὲ om. GF 24 γάρ φησι κύριος τοῦ μὴ τίκτειν ἐμέ GFv φησι om. MAH 25 ὑμῖν M(H$^1$): ἡμῖν ceteri προσφέρηται GF ἀτυχίαν καὶ ὀνειδίζειν MA: ἀδικίαν καὶ ὀνειδίζειν GF, καὶ ὀνειδίζειν ἀτυχίαν H

„εἴσελθε“ οὖν φησι „πρὸς τὴν παιδίσκην μου,“ τὴν τῶν μέσων καὶ 14
ἐγκυκλίων ἐπιστημῶν μέσην παιδείαν, „ἵνα τεκνοποιήσῃ πρότερον ἐξ
αὐτῆς“· αὖθις γὰρ δυνήσῃ καὶ τῶν πρὸς τὴν δέσποιναν ὁμιλιῶν ⟨ἐπὶ⟩
γενέσει παίδων γνησίων ἀπόνασθαι. γραμματικὴ μὲν γὰρ ἱστορίαν τὴν 15
παρὰ ποιηταῖς καὶ συγγραφεῦσιν ἀναδιδάξασα νόησιν καὶ πολυμάθειαν
ἐργάσεται καὶ καταφρονητικῶς ἔχειν ἀναδιδάξει τῶν ὅσα αἱ κεναὶ δόξαι
τυφοπλαστοῦσι, διὰ τὰς κακοπραγίας, αἷς τοὺς ᾀδομένους παρ' αὐτοῖς
ἥρωάς τε καὶ ἡμιθέους λόγος ἔχει χρήσασθαι. μουσικὴ δὲ τὸ μὲν ἄρ- 16
ρυθμον [ἐν] ῥυθμοῖς, τὸ δ' ἀνάρμοστον ἁρμονίᾳ, τὸ δ' ἀπῳδὸν καὶ
ἐκμελὲς μέλει κατεπᾴδουσα τὸ ἀσύμφωνον εἰς συμφωνίαν ἄξει. γεω-
μετρία δ' ἰσότητος καὶ ἀναλογίας ἐμβαλλομένη τὰ σπέρματα εἰς ψυχὴν
φιλομαθῆ γλαφυρότητι συνεχοῦς θεωρίας δικαιοσύνης ζῆλον ἐμποιήσει.
ῥητορικὴ δὲ καὶ τὸν νοῦν πρὸς θεωρίαν ἀκονησαμένη καὶ πρὸς ἑρμη- 17
νείαν γυμνάσασα τὸν λόγον καὶ συγκροτήσασα λογικὸν ὄντως ἀποδείξει
τὸν ἄνθρωπον ἐπιμεληθεῖσα τοῦ ἰδίου καὶ ἐξαιρέτου, ὃ μηδενὶ τῶν ἄλλων
ζῴων ἡ φύσις δεδώρηται. διαλεκτικὴ δὲ ἡ ῥητορικῆς ἀδελφὴ καὶ δί- 18
δυμος, ὡς εἶπόν τινες, τοὺς ἀληθεῖς τῶν ψευδῶν λόγους διακρίνουσα καὶ
τὰς τῶν σοφισμάτων πιθανότητας ἐλέγχουσα μεγάλην νόσον ψυχῆς, ἀπά-
την, ἀκέσεται. τούτοις οὖν καὶ τοῖς παραπλησίοις ἐνομιλῆσαι καὶ ἐμ-
προμελετῆσαι λυσιτελές· ἴσως γάρ, ἴσως, ὃ πολλοῖς συνέβη, διὰ τῶν
ὑπηκόων ταῖς βασιλίσιν ἀρεταῖς γνωρισθησόμεθα. οὐχ ὁρᾷς, ὅτι καὶ τὸ 19
p. 522 M. σῶμα ἡμῶν οὐ πρότερον πεπηγυίαις | καὶ πολυτελέσι χρῆται τροφαῖς,
πρὶν ἢ ταῖς ἀποικίλοις καὶ γαλακτώδεσιν ἐν ἡλικίᾳ τῇ βρεφώδει; τὸν

1 γοῦν GF φησί om. A 2 μέσην fort. secl. τεκνοποιήσῃς L, fort. recte (cf. § 1) 3 ἐπὶ addidi 4 γραμματικὴν A ἱστορίας τὰς v 5 prius καὶ] τε καὶ GF ἀναδείξασα G, ἀναπτύξασα conicio νόησιν] σύνεσιν G πολυμαθίαν G 6 καὶ] καὶ ἔτι GF αἱ om. GF 7 τυφοπλαστοῦσι AF: τυφλοπλαστοῦσι ceteri 8 τε om. GF 9 ἐν seclusi ante ἁρμονίᾳ add. ἐν H τὸν H 10 ἐμμελὲς G¹F¹L² μέλη G, μέλος AF² Turn., βέλος L²(F¹?), μέλεσι conicio ἥξει HL² 11 ἰσότης M ἐμβαλλομένη A: ἀμβαλομένη M, συμβαλλομένη G, in ras. F, αὐτὰ βαλλομένη H 12 θεωρίαις Turn. 13 ἀκονισαμένη A 15 ὃ] ὦ G 19. 20 ἐνπροσμελετῆσαι G 22 πολυτελέσι] τελείαις coni. Mang., πολυειδέσι conicio

1—4 *Clem. Alex. Strom. I § 30 p. 333 P.*: ἠξίου δὲ εἰκότως τὸν ἤδη καιρὸν ἔχοντα προκοπῆς τῇ κοσμικῇ παιδείᾳ .... συνευνασθῆναι πρότερον, ὕστερον δὲ καὶ αὐτῇ προσελθόντα κατὰ τὴν θείαν πρόνοιαν γεννῆσαι τὸν Ἰσαάκ. 17 Stoici (Zeller III 1 p. 64, de Arnim, Leben und Werke des Dio von Prusa p. 77).

αὐτὸν δὴ τρόπον καὶ τῇ ψυχῇ παιδικὰς μὲν νόμισον εὐτρεπίσθαι τροφὰς τὰ ἐγκύκλια καὶ τὰ καθ' ἕκαστον αὐτῶν θεωρήματα, τελειοτέρας δὲ καὶ πρεπούσας ἀνδράσιν ὡς ἀληθῶς τὰς ἀρετάς.

20 (5.) Οἱ δὲ πρῶτοι τῆς μέσης παιδείας χαρακτῆρες διὰ δυεῖν παρίστανται συμβόλων, τοῦ τε γένους καὶ τοῦ ὀνόματος. γένος μέν ἐστιν Αἰγυπτία, καλεῖται δὲ Ἄγαρ, τοῦτο δὲ ἑρμηνευθέν ἐστι παροίκησις· ἀνάγκη γὰρ τὸν ἐγχορεύοντα ταῖς ἐγκυκλίοις θεωρίαις καὶ πολυμαθείας ἑταῖρον ὄντα τῷ γεώδει καὶ Αἰγυπτίῳ προσκεκληρῶσθαι σώματι, χρῄζοντα καὶ ὀφθαλμῶν, ὡς ἰδεῖν καὶ ἀναγνῶναι, καὶ ὤτων, ὡς προσσχεῖν τε καὶ ἀκοῦσαι, καὶ τῶν ἄλλων αἰσθήσεων, ὡς ἕκαστον τῶν αἰσθητῶν
21 ἀναπτύξαι. δίχα γὰρ τοῦ κρίνοντος τὸ κρινόμενον οὐ πέφυκε καταλαμβάνεσθαι· κρίνει δὲ τὸ αἰσθητὸν αἴσθησις, ὥστ' ἀκριβωθῆναί τι τῶν κατὰ τὸν αἰσθητὸν κόσμον, ἐν οἷς ἡ πλείων μοῖρα τοῦ φιλοσοφεῖν, οὐκ ἐνῆν ἄνευ αἰσθήσεως. αἴσθησις δέ, τὸ σωματοειδέστερον ψυχῆς μέρος, τῷ τῆς ὅλης ψυχῆς ἀγγείῳ προσερρίζωται, τὸ δὲ τῆς ψυχῆς ἀγγεῖον
22 Αἴγυπτος διὰ συμβόλου προσονομάζεται. χαρακτὴρ μὲν εἷς ὁ ἀπὸ τοῦ γένους οὗτος, ὃν ἡ θεραπαινὶς ἀρετῆς ἔλαχεν· ὁ δὲ ἀπὸ τοῦ ὀνόματος ποῖός ἐστιν, ἐπισκεψώμεθα. τὴν μέσην παιδείαν παροίκου λόγον ἔχειν συμβέβηκεν· ἐπιστήμη μὲν γὰρ καὶ σοφία καὶ ἀρετὴ πᾶσα αὐθιγενὴς καὶ αὐτόχθων καὶ πολῖτις ὡς ἀληθῶς ἐστι μόνη τοῦ παντός, αἱ δὲ ἄλλαι παιδεῖαι δευτέρων καὶ τρίτων καὶ ὑστάτων ἄθλων τυγχάνουσαι μεθόριοι ξένων καὶ ἀστῶν εἰσιν· οὐδετέρου τε γὰρ γένους ἀκράτου καὶ
23 πάλιν ἀμφοῖν κατά τινα κοινωνίαν ἐφάπτονται. πάροικος γὰρ τῷ μὲν ἐνδιατρίβειν ἀστοῖς, τῷ δὲ μὴ κατοικεῖν ἀλλοδαποῖς ἰσοῦται· καθάπερ,

---

1 νόησον $L^2$ ηὐτρεπίσθαι MAH τροφὰς εὐτρεπίσθαι (εὐτρεπεῖσθαι F) GF 2 ἑκάστην GF τελειωτέρας F 4 δυοῖν H 4. 5 συνίστανται GF 5 μέν] γὰρ GF, μὲν γάρ conicio 6 δ' GF 7 πολυμαθείας G (Mang.): πολυμαθείαις MAF, πολυμαθίαις H 8 ἕτερον G 8. 9 χρήζονται A 9 προσχεῖν MA, προσέχειν $FL^2$ 12 δὲ HGF: γὰρ MA τῶν] τὸν G 13 πλείω F 14 ἐνῆν $H^2$GF: ἂν ἦν MA($H^1$?) τῆς ψυχῆς $L^2$ 15 τῆς om. G ἀγγεῖον HGF: αἴτιον MA 16 Αἴγυπτος H: αἴσθησις ceteri . ὁ om. G 17 θεραπὶς G 18 post ποῖος add. ἤ τίς $GFL^2$, ποῖός τις conicio 19 πᾶς GF ἰθαγενὴς A 20 πολίτης $AGH^1$ δ' GF 21 καὶ τρίτων om. Turn. 23 πάροικοι $HL^1$ 24 αὐτοῖς H μὴ] μόνῳ G ἀλλοδαπεῖς A, ἀλλοδαπῆς $G^1$ ἰσοῦνται $HL^1$

---

6 *Clem. Alex. Strom. I 31 p. 334 P.:* ἑρμηνεύει δὲ ὁ Φίλων τὴν μὲν Ἄγαρ παροίκησιν. 8 *ibid.* § 30 Αἴγυπτος δὲ ὁ κόσμος ἀλληγορεῖται.

οἶμαι, καὶ οἱ θετοὶ παῖδες, ᾗ μὲν κληρονομοῦσι τὰ τῶν θεμένων, τοῖς
γνησίοις, ᾗ δ' οὐ γεγέννηνται πρὸς αὐτῶν, τοῖς ὀθνείοις. ὃν δὴ λόγον
ἔχει δέσποινα μὲν πρὸς θεραπαινίδα, γυνὴ δὲ ἀστὴ πρὸς παλλακήν, τοῦ-
τον ἕξει τὸν λόγον ἀρετὴ Σάρρα πρὸς παιδείαν Ἄγαρ· ὥστ' εἰκότως
τοῦ θεωρίαν καὶ ἐπιστήμην ἐζηλωκότος, Ἀβραὰμ ὄνομα, γένοιτ' ἂν ἡ
μὲν ἀρετή, Σάρρα, γυνή, παλλακὴ δὲ Ἄγαρ, ἡ ἐγκύκλιος μουσικὴ πᾶσα.
ᾧτινι μὲν οὖν φρόνησις ἐκ διδασκαλίας περιγίνεται, τὴν Ἄγαρ οὐκ ἂν 24
ἀποδοκιμάζοι· πάνυ γὰρ ἀναγκαία ἡ τῶν προπαιδευμάτων κτῆσις. (6.) εἰ
δέ τις τοὺς ὑπὲρ ἀρετῆς ἄθλους ἐγνωκὼς διαπονεῖν μελέταις χρῆται
συνεχέσιν ἀνενδότως ἔχων πρὸς ἄσκησιν, δύο μὲν ἀστάς, παλλακὰς δὲ
p. 523 M. τὰς ἴσας, τῶν ἀστῶν | θεραπαινίδας, ἄξεται. φύσιν δὲ καὶ ἰδέαν ἔλαχεν 25
αὐτῶν ἑκάστη διάφορον. αὐτίκα τῶν ἀστῶν ἡ μέν ἐστιν ὑγιεινοτάτη
καὶ εὐσταθεστάτη καὶ εἰρηνικωτάτη κίνησις, ἣν ἀπὸ τοῦ συμβεβηκότος
ὠνόμασε Λείαν. ἡ δὲ ἔοικεν ἀκόνῃ, καλεῖται δὲ Ῥαχήλ, πρὸς ἣν ὁ
φίλαθλος καὶ φιλογυμναστὴς νοῦς παραθηγόμενος ὀξύνεται· ἑρμηνεύεται
δὲ ὅρασις βεβηλώσεως, οὐκ ἐπειδὴ βεβήλως ὁρᾷ, ἀλλὰ τοὐναντίον, ὅτι
τὰ ὁρατὰ καὶ αἰσθητὰ παρὰ τὴν ἀκήρατον φύσιν τῶν ἀοράτων καὶ νοη-
τῶν οὐκ εὐαγῆ βέβηλα δὲ εἶναι νομίζει. τῆς γὰρ ψυχῆς ἡμῶν διμεροῦς 26
ὑπαρχούσης καὶ τὸ μὲν λογικὸν τὸ δὲ ἄλογον ἐχούσης, ἀρετὴν ἑκατέρῳ
ὑπάρχειν συμβέβηκε, Λείαν μὲν τῷ λογικῷ, τῷ δὲ ἀλόγῳ Ῥαχήλ.
γυμνάζει γὰρ ἡμᾶς ἡ μὲν διὰ τῶν αἰσθήσεων καὶ τῶν τοῦ ἀλόγου με- 27
ρῶν πάντων καταφρονητικῶς ἔχειν ὧν ἀλογεῖν ἄξιον, δόξης καὶ πλού-
του καὶ ἡδονῆς, ἃ περίβλεπτα καὶ περιμάχητα ὁ πολὺς καὶ ἀγελαῖος

1 ᾗ] οἱ A, εἰ G 2 ᾗ] οἱ A, εἰ G γεγένηνται MGH[1] 3 θεραπαινίδα GF: θεραπαινίδας MAH 4 ὡς F 5 ὄνομα γένοιτο in ras., post ὄνομα ras. 3 litt. H[2] ὄνομα post ἂν transpos. A γένοιτ' ἂν MA: γένοιτο HF, ἐγένοντο G 6 ἡ δὲ παλλακὴ GF 7 διδασκάλων H 8 ἡ om. AH (habet L) ἡ κτῆσις H[2]L[2] 10 αὐτάς A 11 ἄξεται FL[2]: ἕξεται ceteri 14 ὠνόμασαν H δ' GF ἣν] ἧς coni. Mang. 15 φιλομναστὴς F ὀξῦναι G 17 τὰ αἰσθητὰ A 17. 18 νοητῶν in ras. H[2] 18 γὰρ om. G διαμεροῦς A(F[1]) 19 δ' HGF ἑκατέρῳ MA(H[1]): ἑκατέρου H[2], ἑκάτερον GF (probat Cohn) 20 ὑπάρχειν MAH: ἔχειν GF (probat Cohn) τῷ λογικῷ, τῷ δ' ἀλόγῳ scripsi: τὸ λογικόν, τὸ δ' ἄλογον codd. (probat Cohn), τοῦ λογικοῦ τοῦ δὲ ἀλόγου v Ῥαχήλ G 21 ἀσκήσεων coni. Mang. 21. 22 καὶ—μερῶν om. G 21 ἀλόγου A: λόγου MHF 23 ἀπερίβλητα G ἀπεριμάχητα G 23. 78,1 ὁ πλεῖστος ἀνθρώπων GF

13. 14. 78,15—17 cf. Epicurea p. 279. 280.

ἀνθρώπων ὄχλος κρίνει δεδεκασμέναις μὲν ἀκοαῖς, δεδεκασμένῳ δὲ καὶ
28 τῷ ἄλλῳ τῶν αἰσθήσεων δικαστηρίῳ· ἡ δὲ ἀναδιδάσκει τὴν ἀνώμαλον καὶ
τραχεῖαν ὁδὸν ἄβατον φιλαρέτοις ψυχαῖς ἐκτρέπεσθαι, λείως δὲ διὰ τῆς
29 λεωφόρου βαίνειν ἄνευ πταισμάτων καὶ τῶν ἐν ποσὶν ὀλίσθων. ἀναγ-
καίως οὖν τῆς μὲν προτέρας ἔσται θεραπαινὶς ἡ διὰ τῶν φωνητηρίων
ὀργάνων ἑρμηνευτικὴ δύναμις καὶ ἡ λογικὴ σοφισμάτων εὕρεσις εὐστόχῳ
πιθανότητι καταγοητεύουσα, τῆς δὲ ἀναγκαῖαι τροφαί, πόσις τε καὶ βρῶ-
30 σις. ὀνόματα δὲ ἡμῖν τῶν δυεῖν θεραπαινίδων ἀνέγραψε, Ζέλφαν τε καὶ
Βάλλαν (Gen. 30,3.9). ἡ μὲν οὖν Ζέλφα μεταληφθεῖσα πορευόμενον
καλεῖται στόμα, τῆς ἑρμηνευτικῆς καὶ διεξοδικῆς σύμβολον δυνάμεως, ἡ
δὲ Βάλλα κατάποσις, τὸ πρῶτον καὶ ἀναγκαιότατον θνητῶν ζῴων ἔρεισμα·
καταπόσει γὰρ τὰ σώματα ἡμῶν ἐνορμεῖ, καὶ τὰ τοῦ ζῆν πείσματα ἐκ
31 ταύτης ὡς ἀπὸ κρηπῖδος ἐξῆπται. πάσαις οὖν ταῖς εἰρημέναις δυνάμε-
σιν ὁ ἀσκητὴς ἐνομιλεῖ, ταῖς μὲν ὡς ἐλευθέραις καὶ ἀσταῖς, ταῖς δὲ
ὡς δούλαις καὶ παλλακίσιν. ἐφίεται μὲν γὰρ τῆς Λείας κινήσεως —
λεία δὲ κίνησις ἐν μὲν σώματι γινομένη ὑγείαν, ἐν δὲ ψυχῇ καλοκἀγα-
θίαν καὶ δικαιοσύνην ἂν ἐργάσαιτο —, Ῥαχὴλ δὲ ἀγαπᾷ πρὸς τὰ πάθη
παλαίων καὶ πρὸς ἐγκράτειαν ἀλειφόμενος καὶ τοῖς αἰσθητοῖς πᾶσιν ἀν-
32 τιταττόμενος. διττοὶ μὲν γὰρ ὠφελείας τρόποι, ἢ κατὰ ἀπόλαυσιν ἀγα-
θῶν ὡς ἐν εἰρήνῃ ἢ κατὰ ἀντίταξιν καὶ ὑφαίρεσιν κακῶν ὡς ἐν | πο- p. 524 M
λέμῳ. Λεία μὲν οὖν ἐστι, καθ' ἣν συμβαίνει τὰ πρεσβύτερα καὶ ἡγε-
μονεύοντα ἀγαθὰ καρποῦσθαι, Ῥαχὴλ δέ, καθ' ἣν τὰ ὡς ἂν ἐκ πολέμου
33 λάφυρα. τοιαύτη μὲν ἡ πρὸς τὰς ἀστὰς συμβίωσις. χρῄζει δὲ ὁ
ἀσκητὴς Βάλλας μέν, καταπόσεως, ἀλλὰ ὡς δούλης καὶ παλλακίδος —
ἄνευ γὰρ τροφῆς καὶ ζωῆς οὐδ' ἂν τὸ εὖ ζῆν περιγένοιτο, ἐπειδὴ τὰ
μέσα τῶν ἀμεινόνων ἀεὶ θεμέλιοι —, χρῄζει δὲ καὶ Ζέλφας, διεξοδικῆς

1 δεδασμέναις et δεδασμένω A prius δεδεκασμένος H[1] ut vid. μὲν ἀκοαῖς bis habet F καὶ s. s. H[2] 2 ἄλλω τῶν MAH: τῶν ἄλλων GF αἰσθητηρίων Turn. αἰσθητηρίων ὄχλω ἡ GF δ' GF 3 ἐκτρεπέσθαι H, ἐκτραπέσθαι v λεῖος A 4 πταίσματος GF 6 εὐστόχων G[1]F, εὐστόχως G[2] 7 πιθανότητι om. GF τῆς] ταῖς G post δὲ add. αἱ G, δ' ἑτέρας conicio 7. 8 βρῶσίς τε καὶ πόσις H 8 δ' GF δυοῖν H 10 τῆς] τὸ F 12 ἐν ὁρμῇ A, ἐνορμῇ G 13 κρηπῖδας A 15 τῆς om. GF λήας G 16 λήα G, Λεία v μὲν] μέσω G γινομένη M: γινομένην A, γενομένη HGF 17 ἂν ἐργάσαιτο MAH (sed ἐρ e corr. H[2]): ἀπειργάσατο GF Ῥαχιὴλ G 18 alt. καὶ om. H 18. 19 ἀντιτασσόμενος F 19 μὲν om. GF 20 prius ὡς om. H prius ἐν om. GF 21 λήα G 21. 22 εἰρηνεύοντα coni. Mang. 22 Ῥαχιὴλ G τὰς G 24 ἀλλ' GF 25 γὰρ] γὰρ καὶ GF ζωῆς] πόσεως coni. Mang. 26 δελφᾶς G

ἑρμηνείας, ἵνα τὸ λογικὸν αὐτῷ διχόθεν συνερανίζηται πρὸς τελείωσιν, ἔκ
τε τῆς κατὰ διάνοιαν πηγῆς καὶ ἐκ τῆς περὶ τὸ φωνητήριον ὄργανον
ἀπορροῆς. (7.) ἀλλ' οὗτοι μὲν καὶ πλειόνων γυναικῶν καὶ παλλακίδων, 34
οὐκ ἀστῶν μόνον, ἄνδρες ἐγένοντο, ὡς αἱ ἱεραὶ μηνύουσι γραφαί· τῷ
δὲ Ἰσαὰκ οὔτε πλείους γυναῖκες οὔτε συνόλως παλλακή, μόνη δ' ἡ κου-
ρίδιος ἄχρι παντὸς συνοικεῖ. διὰ τί; ὅτι καὶ ἡ διδακτικὴ ἀρετή, ἣν 35
Ἀβραὰμ μέτεισι, πλειόνων δεῖται, γνησίων μὲν τῶν κατὰ φρόνησιν, νό-
θων δὲ τῶν κατὰ τὰ ἐγκύκλια προπαιδεύματα θεωρημάτων, καὶ ἡ δι'
ἀσκήσεως τελειουμένη, περὶ ἣν Ἰακὼβ ἐσπουδακέναι φαίνεται· διὰ πλειό-
νων γὰρ καὶ διαφερόντων αἱ ἀσκήσεις δογμάτων, ἡγουμένων ἑπομένων,
προαπαντώντων ὑστεριζόντων, πόνους τοτὲ μὲν ἐλάττους τοτὲ δὲ μεί-
ζους ἐχόντων. τὸ δὲ αὐτομαθὲς γένος, οὗ κεκοινώνηκεν Ἰσαάκ, ἡ εὐ- 36
παθειῶν ἀρίστη χαρά, φύσεως ἁπλῆς καὶ ἀμιγοῦς καὶ ἀκράτου μεμοίρα-
ται, μήτε ἀσκήσεως μήτε διδασκαλίας δεόμενον, ἐν οἷς παλλακίδων ἐπι-
στημῶν, οὐκ ἀστῶν μόνον, ἐστὶ χρεία. θεοῦ γὰρ τὸ αὐτομαθὲς καὶ αὐ-
τοδίδακτον ἄνωθεν ἀπ' οὐρανοῦ καλὸν ὀμβρήσαντος ἀμήχανον ἦν ἔτι
δούλαις καὶ παλλακαῖς συμβιῶναι τέχναις, νόθων δογμάτων οἷα παίδων
ὀρεχθέντα. δεσποίνης γὰρ καὶ βασιλίδος ἀρετῆς ὁ τούτου λαχὼν τοῦ 37
γέρως ἀνὴρ ἀναγράφεται· καλεῖται δὲ παρὰ μὲν Ἕλλησιν ὑπομονή, παρὰ
δὲ Ἑβραίοις Ῥεβέκκα. ζητεῖ γὰρ ὁ ἄπονον καὶ ἀταλαίπωρον εὑράμε-
νος σοφίαν δι' εὐμοιρίαν φύσεως καὶ εὐτοχίαν ψυχῆς οὐδὲν τῶν εἰς βελ-

---

1 αὐτὸ v  2 περὶ om. A  4 αἱ om. AH¹  5 πλείω GF  δὲ MA  5. 6 δὲ οἰκουρίδιος A  6 μέχρι GF  καὶ om. GF  διδακτὴ coni. Potter ad. Clem.  8 προπαιδεύματα F: προπαιδευμάτων MAH, προπαιδευμένων G  θεωρημάτων G¹F: θεωρήματα ceteri  9 τελουμένη H  11 πρὸ ἁπάντων τῶν GF, πρὸ ἁπάντων H¹  prius τοτὲ] ποτὲ GF  12 δ' GF  οὐ A, post ᾧ ras. in H  κεκοινώνηκεν MA: ἐκοινώνησεν HGF  ἡ om. A  14. 15 οὐ παλλακίδων ἐπιστημῶν, ἀστῶν δὲ G²  15 μόνων H  16 καλὸν H²: τὸ καλὸν ceteri, τέλειον ἀγαθὸν conicio  17 παλλακίσι GF  18 ὀρεχθέντων A  19 γέρους A  ἐπιμονή GF  20 τοῖς ante Ἑβραίοις add. H  ταλαίπωρον H¹  21 εὐτοχίαν] εὐγονίαν GF  ⟨ἔτι⟩ τῶν conicio

---

5 sqq. *Clem. Alex. l. c. § 31 p. 334 P.:* διδακτικὴν εἶναι τὴν σοφίαν, ἣν μετῆλθεν Ἀβραὰμ .... Ἰσαὰκ δὲ τὸ αὐτομαθὲς ἐνδείκνυται .... οὗτος μιᾶς γυναικὸς ἀνὴρ τῆς Ῥεβέκκας, ἣν ὑπομονὴν μεταφράζουσιν. πλείοσι δὲ συνέρχεσθαι ὁ Ἰακὼβ λέγεται ὡς ἂν ἀσκητὴς ἑρμηνευόμενος, διὰ πλειόνων δὲ καὶ διαφερόντων αἱ ἀσκήσεις δογμάτων ..... εἴη δ' ἄν τι καὶ ἄλλο δηλούμενον διὰ τῶν τριῶν προπατόρων, κυρίαν εἶναι τὴν σφραγῖδα τῆς γνώσεως ἐκ φύσεως καὶ μαθήσεως καὶ ἀσκήσεως συνεστῶσαν.

38 τίωσιν. ἔχει γὰρ ἐν ἑτοίμῳ τέλεια τὰ τοῦ θεοῦ δῶρα χάρισι ταῖς
πρεσβυτέραις ἐπιπνευσθέντα, βούλεται δὲ καὶ εὔχεται ταῦτα ἐπιμεῖναι.
παρό μοι δοκεῖ καὶ ὁ εὐεργέτης, ἵνα διαιωνίζωσιν αἱ χάριτες αὐτοῦ τῷ
λαβόντι, γυναῖκα τὴν ἐπιμονὴν ἐγγυῆσαι.
39 (8.) Ἀνάμνησίς γε μὴν μνήμης τὰ δευτερεῖα φέρεται καὶ ὁ ἀναμι-
μνῃσκόμενος τοῦ μεμνημένου· ὁ μὲν | γὰρ ἔοικε τῷ συνεχῶς ὑγιαίνοντι, p. 525 M
40 ὁ δὲ τῷ ἐκ νόσου ἀναλαμβάνοντι· λήθη γὰρ νόσος μνήμης. ἀνάγκη δὲ
τὸν ὑπομνήσει χρώμενον ἐκλαθέσθαι πρότερον ὧν ἐμέμνητο. τὴν μὲν
οὖν μνήμην Ἐφραΐμ, ἑρμηνευόμενον καρποφορίαν, ὁ ἱερὸς ὀνομάζει λό-
γος, τὴν δὲ ἀνάμνησιν ἐκ λήθης Μανασσῆν προσαγορεύουσιν Ἑβραῖοι.
41 ὄντως γὰρ ἡ μὲν τοῦ μεμνημένου ψυχὴ καρποφορεῖ ἃ ἔμαθεν οὐδὲν
ἀποβάλλουσα αὐτῶν, ἡ δὲ τοῦ ἀναμνήσει χρωμένου ἔξω λήθης γίνεται,
ᾗ πρὶν ὑπομνησθῆναι κατέσχητο. μνημονικῷ μὲν οὖν ἀνδρὶ ἀστὴ συμ-
βιοῖ γυνή, μνήμη, ἐπιλανθανομένῳ δὲ παλλακίς, ἀνάμνησις, Σύρα τὸ
42 γένος, ἀλαζὼν καὶ ὑπέραυχος· Συρία γὰρ ἑρμηνεύεται μετέωρα. τῆς δὲ
παλλακίδος ταύτης, ἀναμνήσεως, υἱός ἐστι Μαχείρ, ὡς Ἑβραῖοι καλοῦ-
σιν, ὡς δὲ Ἕλληνες, πατρός· νομίζουσι γὰρ οἱ ἀναμιμνῃσκόμενοι τὸν
πατέρα νοῦν αἴτιον εἶναι τοῦ ὑπομνησθῆναι, καὶ οὐ λογίζονται, ὅτι ὁ
αὐτὸς οὗτος ἐχώρησέ ποτε καὶ λήθην, οὐκ ἂν δεξάμενος αὐτήν, εἰ παρ'
43 αὐτὸν ἦν τὸ μεμνῆσθαι. λέγεται γάρ· „ἐγένοντο υἱοὶ Μανασσῆ, οὓς
ἔτεκεν αὐτῷ ἡ παλλακὴ ἡ Σύρα, τὸν Μαχείρ· Μαχεὶρ δὲ ἐγέννησε τὸν
Γαλαάδ“ (Gen. 46,20). καὶ Ναχὼρ μέντοι, ὁ ἀδελφὸς Ἀβραάμ, ἔχει
δύο γυναῖκας, ἀστήν τε καὶ παλλακήν· ὄνομα δὲ τῆς μὲν ἀστῆς Μελχά,
44 Ῥουμὰ δὲ τῆς παλλακίδος (Gen. 22,23.24). ἀλλ' οὐχ ἱστορικὴ γενεα-
λογία ταῦτ' ἐστὶν ἀναγραφεῖσα παρὰ τῷ σοφῷ νομοθέτῃ — μηδεὶς τοῦτ'
εὖ φρονῶν ὑπονοήσειεν —, ἀλλὰ πραγμάτων ψυχὴν ὠφελῆσαι δυναμέ-

1 post γὰρ add. τῶν GF τὰ om. GF 2 πρεσβυτέραις] παρθένοις coni. Mang. βλέπεται G 3 δι' αἰωνίζωσιν H[2]: δι' αἰῶνος ζῶσιν MA(H[1]), συνδιαιωνίζωσιν GF 4 ὑπομονὴν conicio ἐγγυῆσαι MAH: ἐγγύησιν G, ἐγγύησεν F 5 post μὴν add. τῇ (τῆς?) G, καὶ F 6 γὰρ om. HL[1] 8 ἀναμνήσει coni. Mang. ὧν A 9 ὁ ἱερὸς ὀνομάζει GF: ὀνομάζει ὁ ἱερὸς MAH 10 δ' GF Μανασσῆ GF 11 οὕτως H καρποφορίαν ἔμαθεν GF 13 ἢ A ἀναμνησθῆναι coni. Mang. κατέχεται A, κατέσχῃ G 14 γυναικί G ἐπιλαθομένω F (θ in ras. F[2]), ἐπιλαβομένῳ L[2] παλλακίς MA(H[1]): πολλάκις GF, παλλακή H[2] 15 ἀλαζὸν GF ὑπέραυχον F μετέωρα scripsi: μετεωρία codd. 16 ἐστιν υἱὸς H 17 ⟨ἐγρήγορσις⟩ πατρός Cohn (cf. Onomastica ed. Lag. 195,68) 18 οὐ om. H[1] ὁ om. GF 19 ἀναδεξάμενος L[2] εἰ] ἢ εἰ A, ἀεὶ L 20 αὐτῶ A μνησθῆναι L[1] 21 παλλακὶς F alt. ἡ om. H 22 Ναὼρ GF καίτοι Turn. 24 σαρουμὰ G[2] 25 ταῦτα GF

νων διὰ συμβόλων ἀνάπτυξις. τὰ δ' ὀνόματα μεταβαλόντες εἰς τὴν
ἡμετέραν διάλεκτον εἰσόμεθα τὴν ὑπόσχεσιν ἀληθῆ. Φέρ' οὖν ἕκαστον
αὐτῶν ἐρευνήσωμεν. (9.) Ναχὼρ ἑρμηνεύεται φωτὸς ἀνάπαυσις, Μελχὰ 45
δὲ βασίλισσα, Ῥουμὰ δὲ ὁρῶσά τι. τὸ μὲν οὖν φῶς ἔχειν κατὰ διά-
νοιαν ἀγαθόν, τὸ δὲ ἀναπαυόμενον καὶ ἠρεμοῦν καὶ ἀκίνητον οὐ τέλειον
ἀγαθόν· ἡσυχίᾳ μὲν γὰρ τὰ κακὰ χρῆσθαι λυσιτελές, τὰ δὲ ἀγαθὰ
κινήσει συμφέρον. τίς γὰρ ὄνησις εὐφώνου ἡσυχάζοντος ἢ μὴ αὐλοῦν- 46
τος αὐλητοῦ ἢ κιθαριστοῦ μὴ κιθαρίζοντος ἢ συνόλως τεχνίτου τὰ κατὰ
τὴν τέχνην μὴ ἐνεργοῦντος; ἡ γὰρ ἄνευ πράξεως θεωρία ψιλὴ πρὸς
οὐδὲν ὄφελος τοῖς ἐπιστήμοσιν· οὐ γὰρ ὁ παγκρατιάζειν ἢ πυκτεύειν ἢ
παλαίειν εἰδὼς ἐξαγκωνισθεὶς ἀπόναιτ' ἂν ἀθλήσεως ἢ ὁ τὴν τοῦ τρέ-
χειν ἐπιστήμην ἐκμαθών, εἰ ποδαγρικῷ χρήσαιτο πάθει ἤ τινα ἄλλην
περὶ τὰς βάσεις χῆρα ἀναδέξαιτο. φῶς δὲ ψυχῆς ἡλιοειδέστατον ἐπι- 47
στήμη· καθάπερ γὰρ τὰ ὄμματα αὐγαῖς, καὶ ἡ διάνοια σοφίᾳ περιλάμ-
p. 526 M. πεται καὶ | ὀξυδερκέστερα ἐμβλέπειν ἐγχριομένη καινοῖς ἀεὶ θεωρήμασιν
ἐθίζεται. φωτὸς οὖν ἀνάπαυσις ἑρμηνεύεται Ναχὼρ εἰκότως· ᾗ μὲν 48
γὰρ Ἀβραὰμ ἐστι τοῦ σοφοῦ συγγενής, φωτὸς τοῦ κατὰ σοφίαν μετέ-
σχηκεν· ᾗ δ' οὐ συναποδεδήμηκεν αὐτῷ τὴν ἀπὸ τοῦ γενομένου πρὸς
τὸ ἀγένητον καὶ τὴν ἀπὸ τοῦ κόσμου πρὸς τὸν κοσμοπλάστην ἀποδη-
μίαν, χωλὴν καὶ ἀτελῆ τὴν ἐπιστήμην ἐκτήσατο, ἀναπαυομένην καὶ μέ-
νουσαν, μᾶλλον δ' ἀνδριάντος ἀψύχου τρόπον πεπηγυῖαν. τῆς γὰρ 49
Χαλδαϊκῆς οὐ μετανίσταται χώρας, τουτέστι τῆς περὶ ἀστρονομίαν θεω-
ρίας οὐ διαζεύγνυται, τὸ γενόμενον πρὸ τοῦ πεποιηκότος καὶ κόσμον πρὸ
θεοῦ τετιμηκώς, μᾶλλον δὲ τὸν κόσμον αὐτὸν θεὸν αὐτοκράτορα νομίζων,
οὐχ αὐτοκράτορος ἔργον θεοῦ. (10.) Μελχὰν δὲ ἄγεται γυναῖκα, οὐχ 50

---

1 συμβούλων H¹ δὲ GF μεταβαλόντες MG: μεταβαλλόντες (sic) H, μεταλαβόντες AF 2 φέρε F post οὖν add. τὴν GF 3 ἐρευνήσωμεν GF, mg. H²: ὑπομνήσωμεν MA, ἀναμνήσωμεν H¹ Ναὼρ GF μελχὶ G 4 βασιλὶς σαρουμὰ GF, βασιλίς, Ῥουμὰ conicio 7 ἀφώνου A 7. 8 ἢ αὐλητοῦ μὴ αὐλοῦντος post κιθαρίζοντος transpos. GF 9 πράξεων G 10 οὐ] ὁ G ὁ om. G 11 ἐξαγκωνισθεὶς om. GF ἀπόναιτο GF 12 εἰ G: om. ceteri 13 χῆρα Turn. (vel χῆρ' scrib.): χῆραν MAGH, χείραν F 14 τὰ om. GF 14. 15 περιλαμβάνεται H, περιλαμβάνηται L¹ 15 ἐμβλέπει MAH¹ ἐγχρειομένη G καὶ νέοις MAH¹ 16 ἡ A 18 ἣ A δὲ G γεννωμένου A 19 ἀγέννητον AHF πρὸς] εἰς MA (H¹) κόσμον πλαστὴν MA (H¹) 20. 21 μένουσαν] ἠρεμοῦσαν bene coni. Mang. 21 δ' om. GFL πεπηγυῖαν τρόπον G 23 ante prius πρὸ add. καί, sed rursus del. H prius πρὸ] παρὸ A 24. 25 τετιμηκὼς — θεοῦ in mg. supplevit L 24 αὐτῷ FL 24. 25 παντοκράτορα et παντοκράτορος coni. Mang.

ἀνθρώπων ἢ πόλεων ἀφηγουμένην, ⟨ἣν⟩ τύχῃ, βασιλίδα, ἀλλ' ὁμώνυμον
αὐτὸ μόνον ἐκείνῃ. καθάπερ γὰρ τὸν οὐρανόν, ἅτε κράτιστον ὄντα τῶν
γεγονότων, βασιλέα τῶν αἰσθητῶν εἴποι τις ἂν οὐκ ἀπὸ σκοποῦ, οὕτως
καὶ τὴν περὶ αὐτὸν ἐπιστήμην, ἣν μετίασιν οἱ ἀστρονομοῦντες καὶ
51 Χαλδαῖοι διαφερόντως, βασιλίδα τῶν ἐπιστημῶν. γυνὴ μὲν οὖν ἥδε
ἀστή, παλλακὴ δὲ ἡ ἕν τι τῶν ὄντων ὁρῶσα, κἂν εἰ πάντων εὐτελέστα-
τον ὑπάρχοι. τῷ μὲν οὖν ἀρίστῳ γένει τὸ ἄριστον ὁρᾶν, τὸ ὄντως ὄν,
συμβέβηκεν — Ἰσραὴλ γὰρ ὁρῶν θεὸν ἑρμηνεύεται —, τῷ δὲ δευτε-
ρείων ἐφιεμένῳ τὸ δεύτερον, τὸν αἰσθητὸν οὐρανὸν καὶ τὴν ἐν αὐτῷ
τῶν ἀστέρων ἐναρμόνιον τάξιν καὶ πάμμουσον ὡς ἀληθῶς χορείαν.
52 τρίτοι δέ εἰσιν οἱ σκεπτικοί, τῶν μὲν ἐν τῇ φύσει κρατίστων, αἰσθητῶν
τε καὶ νοητῶν, οὐκ ἐφαπτόμενοι, περὶ μικρὰ μέντοι σοφίσματα τριβόμε-
νοι καὶ γλισχρολογούμενοι. τούτοις ἡ ὁρῶσά τι κἂν τὸ σμικρότατον παλ-
λακὶς Ῥουμὰ συνοικεῖ μὴ δυναμένοις πρὸς τὴν τῶν ἀμεινόνων ἐλθεῖν
53 ἔρευναν, ἐξ ὧν τὸν ἑαυτῶν βίον ὀνήσουσιν. ὥσπερ γὰρ ἐν ἰατροῖς ἡ
λεγομένη λογιατρεία πολὺ τῆς τῶν καμνόντων ὠφελείας ἀποστατεῖ —
φαρμάκοις γὰρ καὶ χειρουργίαις καὶ διαίταις, ἀλλ' οὐ λόγοις, αἱ νόσοι
θεραπεύονται —, οὕτω καὶ ἐν φιλοσοφίᾳ λογοπῶλαι καὶ λογοθῆραί τινες
αὐτὸ μόνον εἰσί, τὸν ἀρρωστημάτων γέμοντα βίον θεραπεύειν οὔτε ἐθέ-
λοντες οὔτε ἐπιτηδεύοντες, ἐκ πρώτης δὲ ἡλικίας ἄχρι γήρως ἐσχάτου
γνωσιμαχοῦντές τε καὶ συλλαβομαχοῦντες οὐκ ἐρυθριῶσιν, | ὥσπερ τῆς p. 527 M.
εὐδαιμονίας ἐπ' ὀνομάτων καὶ ῥημάτων [καὶ] ἀπεράντῳ καὶ ἀνηνύτῳ πε-
ριεργίᾳ κειμένης, ἀλλ' οὐκ ἐν τῷ τὸ ἦθος, τὴν τοῦ ἀνθρωπείου ⟨βίου⟩
πηγήν, ἄμεινον καταστήσασθαι, τὰς μὲν κακίας ὑπερορίους φυγαδεύσαντα

---

1 ἢ om. A   ἀφηγουμένων A   ἣν add. Cohn   τύχην $H^{2}$   2 αὐτῶ MA   ἐκείνην A   ἅτε] ἅτε δὴ G, sed δ in ras.   3 οὕτως G: οὕτω ceteri   4 αὐτὴν A, αὐτοῦ coni. Mang.   7 ὑπάρχῃ G   τὸ κράτιστον GF   8 γὰρ om. A   11 δ' GF   τῶν μὲν scripsi: μὲν τῶν $MAH^{1}GF$, τῶν $H^{2}$   12 οὐκ ἐφαπτόμενοι] σκεπτόμενοι GF   σοφισμάτια AF   13 κἂν Mang.: καὶ codd.   13. 14 παλλακὴ GF   14 δυνάμενοι M   τῶν om. GF   15 ἰατροῖς MHG: ἰατρικῇ AFN   16 λογιατρεία GF: λογοϊατρεία MAHN   19 τὸν] τῶν G   οὔτ' GFN   20 οὔτ' F   21 συλλαβομαχοῦντες GN: συμβαλομαχοῦντες MAH, συμβολομαχοῦντες F, συμμαχοῦντες Turn.   22 alterum καὶ seclusi, τῇ coni. Mang.   ἀπεράντων A   22. 23 περιεργεία GH   23 τοῦ s. s. $H^{2}$   ἀνθρώπου $FL^{2}N$   βίου add. Mang.   24 πηγήν] ψυχήν $G^{2}$   ὑπερορίας $FL^{3}$

---

15—24 ὥσπερ γὰρ — καταστήσασθαι N fol. 167r.   23 Stob. Ecl. II 38, 15 W. οἱ δὲ κατὰ Ζήνωνα τὸν Στωικὸν τροπικῶς· ἦθός ἐστι πηγὴ βίου . . .

αὐτοῦ, τὰς δὲ ἀρετὰς εἰσοικίσαντα. (11.) παλλακὰς μέντοι [ἢ] δόξας 54
καὶ δόγματα προσίενται καὶ οἱ φαῦλοι. φησὶ γοῦν ὅτι Θαμνά, ἡ παλ-
λακὴ Ἐλιφὰς τοῦ υἱοῦ Ἡσαῦ, ἔτεκε τῷ Ἐλιφὰς τὸν Ἀμαλὴκ (Gen.
36, 12). ὢ τῆς τοῦ ἀπογόνου λαμπρᾶς δυσγενείας· ὄψει δὲ αὐτοῦ
τὴν δυσγένειαν, ἐὰν ἀποστὰς τοῦ περὶ ἀνθρώπων ταῦτα εἰρῆσθαι νομί-
ζειν τὴν ψυχὴν ὥσπερ ἐξ ἀνατομῆς ἐπισκέπτῃ. τὴν μὲν τοίνυν ἄλογον 55
καὶ ἄμετρον ὁρμὴν τοῦ πάθους Ἀμαλὴκ προσαγορεύει· μεταληφθεὶς γάρ
ἐστι λαὸς ἐκλείχων· καθάπερ γὰρ ἡ τοῦ πυρὸς δύναμις τὴν παραβλη-
θεῖσαν ὕλην ἀναλίσκει, τὸν αὐτὸν τρόπον καὶ τὸ πάθος ἀναζέον τὰ ἐν
ποσὶ πάντα ἐπιλιχμᾶται καὶ διαφθείρει. τούτου τοῦ πάθους πατὴρ 56
Ἐλιφὰς ἀναγράφεται δεόντως· ἑρμηνεύεται γάρ· θεός με διέσπειρεν.
ἀλλ' οὐχ ὅταν ἀνασκεδάσῃ ἢ διασπείρῃ καὶ σκορακίσῃ τὴν ψυχὴν ἀφ'
ἑαυτοῦ ὁ θεός, τὸ ἄλογον εὐθὺς γεννᾶται πάθος; τὴν μὲν γὰρ ὁρατικὴν
αὐτοῦ φιλόθεον ὄντως διάνοιαν, κληματίδα εὐγενῆ, καταφυτεύει ῥίζας
ἀποτείνων πρὸς ἀϊδιότητα καὶ εὐφορίαν καρπῶν διδοὺς πρὸς κτῆσιν καὶ
ἀπόλαυσιν ἀρετῶν. διὸ καὶ Μωυσῆς εὔχεται φάσκων· „εἰσαγαγὼν κατα- 57
φύτευσον αὐτούς“ (Exod. 15, 17), ἵνα μὴ ἐφήμερα ἀλλ' ἀθάνατα καὶ
μακραίωνα γένηται τὰ θεῖα βλαστήματα. τὴν δὲ ἄδικον καὶ ἄθεον ψυ-
χὴν φυγαδεύων ἀφ' ἑαυτοῦ πορρωτάτω διέσπειρεν εἰς τὸν ἡδονῶν καὶ
ἐπιθυμιῶν καὶ ἀδικημάτων χῶρον. ὁ δὲ χῶρος οὗτος προσφυέστατα
ἀσεβῶν καλεῖται, οὐχ ὁ μυθευόμενος ἐν Ἅιδου· καὶ γὰρ ὁ πρὸς ἀλή-
θειαν Ἅιδης ὁ τοῦ μοχθηροῦ βίος ἐστίν, ὁ ἀλάστωρ καὶ παλαμναῖος
καὶ πάσαις ἀραῖς ἔνοχος. (12.) ἔστι δὲ καὶ ἑτέρωθι τὸ γράμμα τοῦτο 58
ἐστηλιτευμένον· „ἡνίκα διεμέριζεν ὁ ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς
Ἀδάμ“ (Deut. 32, 8), τοὺς γηΐνους ἅπαντας τρόπους οὐράνιον οὐδὲν
ἀγαθὸν ἐσπουδακότας ἰδεῖν ἤλασεν, ἀοίκους καὶ ἀπόλιδας καὶ σποράδας
ὄντως ἐργασάμενος. οὐδενὶ γὰρ τῶν φαύλων οὐκ οἶκος, οὐ πόλις, οὐχ

1 εἰσοικήσαντα MA, εἰσοικίσαντι H ἢ seclusi, ἤτοι H[2] 2 prius καὶ] ἢ GF προΐενται GF καὶ om. GF post γοῦν add. Μωσῆς GF 3 ἐλλειφὰς H ἐλειφὰς H 4 τοῦ om. G ὄψει] θεάσῃ GF δ' GF 5 ἀνθρώπου L[1]v 6. 7 ἄμετρον καὶ ἄλογον F 8 ἐκλείχων] ἀναλίσκων GFL[2] καὶ ante καθάπερ add. GF γὰρ om. G 9 ἀναζέσαν GF 10 ποσὶν G ἐπιλαχμᾶται G, ἐπιλικμᾶται A φθείρει GF, διασπείρει coni. Mang. 11 ὁ θεός GF με] μου G 12 σκορπίσῃ coni. Mang. 13 ὁ vid. del. γὰρ om. GF 14 post αὐτοῦ add. καὶ H[2] κλήματι GFL[2] εὐγενεῖ GF 16 Μωσῆς GF 18 μακραίωνα] πίονα GFL[2] 21 alt. ὁ om. GF 23 ἀρεταῖς AF γράμμα] δόγμα coni. Mang., πρᾶγμα conicio 24 ὡς om. GF 25 γηΐους G 26 εἰδέναι GF

ἄλλο τῶν εἰς κοινωνίαν οὐδὲν διασώζεται, ἀλλ' ἀνίδρυτος ὢν σπείρεται,
πάντῃ φορούμενος καὶ μετανιστάμενος ἀεὶ καὶ μηδαμόθι στηριχθῆναι
59 δυνάμενος. γίνεται οὖν τῷ φαύλῳ ἐξ ἀστῆς μὲν κακία, τὸ δὲ πάθος ἐκ
παλλακῆς. λογισμοῦ γὰρ ἡ μὲν ὅλη ψυχὴ καθάπερ ἀστὴ σύμβιος | — ψυχὴ p. 528 M.
δὲ ἐπίληπτος τίκτει κακίας —, ἡ δὲ τοῦ σώματος φύσις παλλακή, δι'
ἧς ἡ γένεσις τοῦ πάθους θεωρεῖται· ἡδονῶν γὰρ καὶ ἐπιθυμιῶν χώρα
60 τὸ σῶμα. καλεῖται δὲ Θαμνά, ἧς μεταληφθέν ἐστι τοὔνομα ἔκλειψις
σαλευομένη· ἐκλείπει γὰρ καὶ ἀδυνατεῖ ἡ ψυχὴ τῷ πάθει, σάλον καὶ
κλύδωνα πολὺν ἀπὸ σώματος ἐνδεξαμένη διὰ τὸν καταρραγέντα βαρὺν
61 χειμῶνα ἐξ ἀμετρίας ὁρμῆς. κεφαλὴ δὲ ὡς ζῴου πάντων τῶν λεχθέντων μερῶν ὁ γενάρχης ἐστὶν Ἠσαῦ, ὃς τοτὲ μὲν ποίημα, τοτὲ δὲ δρῦς ἑρμηνεύεται, δρῦς μέν, παρόσον ἀκαμπὴς καὶ ἀνένδοτος ἀπειθής τε καὶ σκληραύχην φύσει, συμβούλῳ χρώμενος ἀνοίᾳ, δρύινος ὄντως, ποίημα δέ, παρόσον πλάσμα καὶ μῦθός ἐστιν ὁ μετὰ ἀφροσύνης βίος, τραγῳδίας καὶ κενοῦ κόμπου καὶ πάλιν γέλωτος καὶ κωμικῆς χλεύης ἀνάπλεως, ὑγιὲς ἔχων οὐδέν, κατεψευσμένος, ἐκτετοξευκὼς ἀλήθειαν, τὴν ἄποιον καὶ ἀνείδεον καὶ ἄπλαστον φύσιν ἐν οὐδενὶ λόγῳ τιθέμενος, ἧς
62 ὁ ἀσκητὴς ἐρᾷ. μαρτυρεῖ δὲ Μωυσῆς φάσκων, ὅτι „ἦν Ἰακὼβ ἄπλαστος, οἰκῶν οἰκίαν“ (Gen. 25,27), ὥστε ὁ ἐναντίος τούτῳ ἄοικος ἂν εἴη, πλάσματος καὶ ποιήματος καὶ μυθικῶν λήρων ἑταῖρος, μᾶλλον δὲ σκηνὴ καὶ μῦθος αὐτός.

63 (13.) Ἡ μὲν δὴ λογισμοῦ φιλοθεάμονος πρὸς ἀστὰς καὶ παλλακίδας δυνάμεις σύνοδος, ὡς οἷόν τε ἦν, εἴρηται· τὸν δ' εἱρμὸν τοῦ λόγου συνυφαντέον τἀκόλουθα διερευνῶντας. „ὑπήκουσε“ φησίν „Ἀβραὰμ τῆς φωνῆς Σάρρας“ (Gen. 16,2)· ἀναγκαῖον γὰρ τοῖς παραγγέλμασιν ἀρετῆς

1 ἀλλὰ G  αἴδρυτος GF  διασπείρεται coni. Mang.  2 φερόμενος GFL² μηδαμοῦ H  3 γοῦν GF  ἀστῇ G  ἡ κακία GFL²  5 δ' ἐπιλήπτω GF  6 γέννησις H  χῶρος v  10 ἀμέτρου H²  τῶν om. GF  10. 11 δεχθέντων GF  11 γεννάρχης H  prius ποτὲ G  12 δὲ om. F  μέν GF: μὲν γάρ MAH  12. 13 καὶ — ἀπειθής om. G  12 ἀνένδοτος MAHL¹: ἀμείλικτος FL²  13 ἀπειθής] ἀκαμπής F  ἀγνοίᾳ GF  14 μετ' F, μάταιος G  15 κενοῦ om. in lacuna A, καινοῦ F  παλιγγέλωτος H  16 καταψευσάμενος F  18 Μωσῆς GF  19 ὥσθ' GF  post τούτῳ add. ὁ GF, ὁ ⟨Ἠσαῦ⟩ conicio  ἄνοικος F  23 δυνάμει GF  ἦν om. H  24 τὰ ἀκόλουθα GF  ἐπήκουε A  24. 25 Σάρρας τῆς φωνῆς H, sed s. s. β', α'

25—85,16 N fol. 167r: ἀναγκαῖον γὰρ — κατεσβέσθη.

τὸν μανθάνοντα πειθαρχεῖν. οὐ πάντες δὲ πειθαρχοῦσιν, ἀλλ' ὅσοις 64
σφοδρὸς ἔρως ἐντέτηκεν ἐπιστήμης· ἐπεὶ καθ' ἑκάστην σχεδὸν ἡμέραν
τά τε ἀκροατήρια καὶ τὰ θέατρα πληροῦται, διεξέρχονται δὲ ἀπνευστὶ
συνείροντες τοὺς περὶ ἀρετῆς λόγους οἱ φιλοσοφοῦντες. ἀλλὰ τί τῶν λε- 65
γομένων ὄφελος; ἀντὶ γὰρ τοῦ προσέχειν ἑτέρωσε τὸν νοῦν ἀποστείλαν-
τες οἱ μὲν πλοῦ καὶ ἐμπορίας, οἱ δὲ προσόδων καὶ γεωργίας, οἱ δὲ τι-
μῶν καὶ πολιτείας, οἱ δὲ τῶν ἀφ' ἑκάστης τέχνης καὶ ἐπιτηδεύσεως
κερδῶν, ἄλλοι δὲ τιμωρίας ἐχθρῶν, οἱ δὲ τῶν ἐν ταῖς ἐρωτικαῖς ἐπι-
θυμίαις ἀπολαύσεων καὶ συνόλως ἑτέρων ἕτεροι διαμέμνηνται, ὡς ἕνεκα
τῶν ἐπιδεικνυμένων κεκωφῆσθαι, τοῖς μὲν σώμασι παρεῖναι μόνον, ταῖς
δὲ διανοίαις ἀπηλλάχθαι, εἰδώλων καὶ ἀνδριάντων διαφέρειν μηδέν.
εἰ δέ τινες καὶ προσέχουσι, τοσοῦτον χρόνον καθέζονται μόνον ἀκούοντες, 66
ἀπαλλαγέντες δ' οὐδενὸς τῶν εἰρημένων διαμέμνηνται, καὶ ἧκον τερφ-
θῆναι δι' ἀκοῆς μᾶλλον ἢ ὠφεληθῆναι· ὥστε οὐδὲν αὐτῶν ἴσχυσεν ἡ
ψυχὴ συλλαβεῖν καὶ κυοφορῆσαι, ἀλλ' ἅμα τὸ κινοῦν τὴν ἡδονὴν αἴτιον
p. 529 M. | ἡσύχασε καὶ ἡ προσοχὴ κατεσβέσθη. τρίτοι δέ εἰσιν οἷς ἔναυλα μὲν τὰ 67
λεχθέντα ὑπηχεῖ, σοφισταὶ δὲ ἀντὶ φιλοσόφων ἀνευρίσκονται. τούτων ὁ
μὲν λόγος ἐπαινετός, ὁ δὲ βίος ψεκτός ἐστι· δυνατοὶ μὲν γὰρ εἰπεῖν,
ἀδύνατοι δέ εἰσι πράττειν τὰ βέλτιστα. μόλις οὖν ἔστιν εὑρεῖν προσε- 68
κτικὸν καὶ μνημονικόν, τὸ πράττειν τοῦ λέγειν προτιμῶντα, ἃ δὴ μαρτυ-
ρεῖται τῷ φιλομαθεῖ διὰ τοῦ „ὑπήκουσε τῆς φωνῆς Σάρρας.“ οὐ γὰρ
ἀκούων ἀλλ' ὑπακούων εἰσάγεται· τὸ δέ ἐστι τοῦ συναινεῖν καὶ πειθαρ-
χεῖν εὐθυβολώτατον ὄνομα. οὐκ ἀπὸ σκοποῦ δὲ πρόσκειται τὸ „τῆς 69
φωνῆς“, ἀλλὰ μὴ τῆς φωνούσης Σάρρας ὑπακοῦσαι. ἴδιον γὰρ τοῦ
μανθάνοντος φωνῆς καὶ λόγων ἀκροᾶσθαι, διδάσκεται γὰρ τούτοις μό-
νοις· ὁ δὲ ἀσκήσει τὸ καλὸν ἀλλὰ μὴ διδασκαλίᾳ κτώμενος οὐ τοῖς

---

1 δὲ om. N 2 ἐπιστήμης ἐντέτηκεν transpos. GFN 3 καὶ τὰ GFN: τά τε MAH πληροῦνται A²FN δὲ om. GFN 5 ante ὄφελος add. ἐστὶν GF ἑτέρωθι GFN 6 πλοίων FN εὐπορίας N 6. 7 τιμῆς N 7 τῶν] ὧν G, τοὺς F 10 κεκωφῶσθαι coni. Mang. καὶ ante τοῖς add. Turn. 11 ἀδριάντων F διαφέροντας Turn. 12 εἰ — προσέχουσι om. N 13 καὶ] ἐπεὶ coni. Mang. ἥκων A 16 τρίτον G δ' εἰσὶν GF 17 ὑπηχεῖ H: ὑφηχεῖ MAG, ἠχεῖ F σοφεῖς δ' G, σοφοὶ δ' F ἂν εὑρίσκωνται A. 20 καὶ om. HGF μνημονευτικὸν A τοῦ] τοῦτο GF 22 ἀκούων, ἀλλ' ὑπακούων GF: ὑπακούων, ἀλλ' (ἀλλὰ A) εἰσακούων MAH, εἰσακούων, ἀλλ' ὑπακούων coni. Mang. δ' ἐστὶ GF 23 πρόκειται GF τὸ] τῷ A 24 μὴ] μὴ τῷ A φωνούσης] φωνῆς G 25. 26 μόνοις τούτοις GF 26 δὲ om. GF ἀσκητὴς G ἀλλ' ὁ μὴ G χρώμενος GF

λεγομένοις ἀλλὰ τοῖς λέγουσι προσέχει, μιμούμενος τὸν ἐκείνων βίον ἐν
70 ταῖς κατὰ μέρος ἀνεπιλήπτοις πράξεσι. λέγεται γὰρ ἐπὶ τοῦ Ἰακώβ, ἡνίκα εἰς τὸν συγγενικὸν γάμον πέμπεται· „εἰσήκουσεν Ἰακὼβ τοῦ πατρὸς καὶ τῆς μητρὸς αὐτοῦ, καὶ ἐπορεύθη εἰς τὴν Μεσοποταμίαν“ (Gen. 28,7), οὐ τῆς φωνῆς οὐδὲ τῶν λόγων — τοῦ γὰρ βίου μιμητὴν ἔδει τὸν ἀσκητήν, οὐκ ἀκροατὴν λόγων εἶναι· τοῦτο μὲν γὰρ ἴδιον τοῦ διδασκομένου, ἐκεῖνο δὲ τοῦ διαθλοῦντος —, ἵνα κἀνταῦθα διαφορὰν ἀσκητοῦ καὶ μανθάνοντος καταλάβωμεν, τοῦ μὲν κοσμουμένου κατὰ τὸν λέγοντα, τοῦ δὲ κατὰ τὸν ἐκείνου λόγον.
71 (14.) „Λαβοῦσα“ οὖν φησι „Σάρρα ἡ γυνὴ Ἀβραὰμ Ἄγαρ τὴν Αἰγυπτίαν, τὴν ἑαυτῆς παιδίσκην, μετὰ δέκα ἔτη τοῦ οἰκῆσαι Ἀβραὰμ ἐν γῇ Χαναάν, ἔδωκε τῷ Ἀβραὰμ τῷ ἀνδρὶ αὐτῆς αὐτῷ γυναῖκα“ (Gen. 16,3). βάσκανον μὲν καὶ πικρὸν καὶ κακόηθες φύσει κακία, ἥμερον δὲ καὶ κοινωνικὸν καὶ εὐμενὲς ἀρετή, πάντα τρόπον τοὺς εὐφυῶς
72 ἔχοντας ὠφελεῖν ἢ δι᾽ αὑτῆς ἢ δι᾽ ἑτέρων ἐθέλουσα. νυνὶ γοῦν μήπω δυναμένοις ἡμῖν ἐκ φρονήσεως παιδοποιεῖσθαι τὴν ἑαυτῆς ἐγγυᾷ θεραπαινίδα, τὴν ἐγκύκλιον, ὡς ἔφην, παιδείαν, καὶ μονονοὺ προξενεῖν καὶ νυμφοστολεῖν ὑπομένει· αὐτὴ γὰρ λέγεται λαβοῦσα διδόναι τῷ ἀνδρὶ
73 αὐτῆς γυναῖκα ταύτην. ἄξιον δὲ διαπορῆσαι, διὰ τί νυνὶ πάλιν γυναῖκα τοῦ Ἀβραὰμ εἶπε τὴν Σάρραν, πολλάκις ἤδη πρότερον μεμηνυκώς· οὐ γὰρ μακρολογίας τὸ φαυλότατον εἶδος, ταυτολογίαν, ἐπιτετήδευκε. τί οὖν λεκτέον; ἐπειδὴ μέλλει τὴν θεραπαινίδα φρονήσεως, τὴν ἐγκύκλιον παιδείαν, ἐγγυᾶσθαι, φησὶν ὅτι οὐκ ἐξελάθετο τῶν πρὸς τὴν δέσποιναν αὐτῆς ὁμολογιῶν, ἀλλ᾽ οἶδε μὲν ἐκείνην ἑαυτοῦ νόμῳ καὶ γνώμῃ γυναῖκα,
74 ταύτην δὲ ἀνάγκῃ καὶ βίᾳ καιροῦ. τοῦτο δὲ παντὶ συμβαίνει φιλομαθεῖ· μάρτυς δ᾽ ὁ πεπονθὼς γένοιτ᾽ ἂν ἀψευδέστατος. | ἐγὼ γοῦν ἡνίκα πρῶ- p. 530 M.
τον κέντροις φιλοσοφίας πρὸς τὸν πόθον αὐτῆς ἀνηρεθίσθην, ὡμίλησα κομιδῇ νέος ὢν μιᾷ τῶν θεραπαινίδων αὐτῆς, γραμματικῇ, καὶ ὅσα ἐγέννησα ἐκ ταύτης, τὸ γράφειν, τὸ ἀναγινώσκειν, τὴν ἱστορίαν τῶν

---

1 προσέχειν A  2 λέγει F  3 εἰς] ἐπὶ GF  εἰσήκουσεν] ὑπήκουσεν GF  3. 4 τοῦ πατρὸς καὶ τῆς μητρὸς M: τῆς μητρὸς καὶ τοῦ πατρὸς ceteri  7 ἵνα om. HL[1]  10 φησὶν οὖν GF  11 ι´ M  12 ἔδωκεν Ἀβραὰμ GF  ἀνδρὶ αὐτῆς GF: αὐτῆς ἀνδρί MAH  αὐτῷ] αὐτὴν F  εἰς ante γυναῖκα add. MAH  13 κακία φύσει G  15 ὠφελεῖσθαι F  prius ἢ om. HGF  αὑτῆς G[1]H[2]  νῦν GF  18 ὑπομένειν A  18. 19 γυναῖκα ante τῷ transpos. GF  19 νῦν GF  20 παλλακὶς A  21 ταὐτὸ λόγῖον A  23 παρεγγυᾶσθαι F  25 φιλομαρτυρεῖ F[1]  26. 27 ἡνίκα πρῶτον post αὐτῆς transpos. GF  27 ἀνηρεθισθῆναι G  28 τῶν] τὴν H[2]

παρὰ ποιηταῖς, ἀνέθηκα τῇ δεσποίνῃ. καὶ πάλιν ἑτέρᾳ συνελθών, γεω- 75
μετρίᾳ, καὶ τοῦ κάλλους ἀγάμενος — εἶχε γὰρ συμμετρίαν καὶ ἀναλο-
γίαν ἐν τοῖς μέρεσι πᾶσι — τῶν ἐγγόνων οὐδὲν ἐνοσφισάμην, ἀλλὰ τῇ
ἀστῇ φέρων ἐδωρησάμην. ἐσπούδασα καὶ τρίτῃ συνελθεῖν — ἦν δὲ 76
εὔρυθμος, εὐάρμοστος, ἐμμελής, μουσικὴ δὲ ἐκαλεῖτο — καὶ ἐγέννησα
ἐξ αὐτῆς διατονικὰ χρώματα καὶ ἐναρμόνια, συνημμένα, διεζευγμένα
μέλη, τῆς διὰ τεττάρων, τῆς διὰ πέντε, τῆς διὰ πασῶν συμφωνίας ἐχό-
μενα, καὶ πάλιν οὐδὲν αὐτῶν ἀπεκρυψάμην, ἵνα πλουσία μοι γένηται
ἡ ἀστὴ γυνή, μυρίων οἰκετῶν ὑπηρετουμένη πλήθει. τινὲς γὰρ τοῖς 77
φίλτροις τῶν θεραπαινίδων δελεασθέντες ὠλιγώρησαν τῆς δεσποίνης, φι-
λοσοφίας, καὶ κατεγήρασαν οἱ μὲν ἐν ποιήμασιν, οἱ δὲ ἐν γραμμαῖς, οἱ
δὲ ἐν χρωμάτων κράσεσιν, οἱ δὲ ἐν ἄλλοις μυρίοις, οὐ δυνηθέντες ἐπὶ
τὴν ἀστὴν ἀναδραμεῖν. ἔχει γὰρ ἑκάστη τέχνη γλαφυρότητας, ὁλκούς 78
τινας δυνάμεις, ὑφ' ὧν ἔνιοι ψυχαγωγούμενοι καταμένουσιν, ἐκλελησμέ-
νοι τῶν πρὸς φιλοσοφίαν ὁμολογιῶν. ὁ δὲ ἐμμένων ταῖς συνθήκαις
πορίζει πάντα πανταχόθεν πρὸς τὴν ἀρέσκειαν αὐτῆς. εἰκότως οὖν τῆς
πίστεως αὐτὸν ἀγάμενος ὁ ἱερὸς λόγος φησίν, ὅτι καὶ νῦν ἦν αὐτῷ
γυνὴ Σάρρα, ὅτε τὴν θεραπαινίδα πρὸς τὴν ἐκείνης ἀρέσκειαν ἠγάγετο.
καὶ μὴν ὥσπερ τὰ ἐγκύκλια συμβάλλεται πρὸς φιλοσοφίας ἀνάληψιν, 79

2 εἶχε MAH: εἶναι GF 3 οὐδὲν M: οὐδενὸς ceteri ἐφεισάμην GF τῇ] τῷ AG[1] 4 αὐτῇ F τρίτην A 5 post εὔρυθμος add. καὶ F 6 χρωματικὰ ἐναρμόνια G 6. 7 χρώματα — τεττάρων, τῆς διὰ om. F 9 αὐτὴ G ὑπηρετουμένων G 11 γραμμαῖς codd.: γραμματικῇ ex Clem. Mang. 12 κράσεσι H 13 γλαφυρό$^{\tau\tau}$ H, ας add. H[2], γλαφυροτάτας Turn., γλαφυρότητι conicio 13. 14 ὁλκούς τινας MAHL[1]: ἀκουστικὰς GFL[2] 14 καταμελοῦσι GF 14. 15 ἐκλελησμένοι om. GF 15 πρὸς] κατὰ GF ὁμιλιῶν A δ' GF 16 πάντα om. G 16. 17 τῆς πίστεως αὐτὸν MA: τῆς πίστεως αὐτῶν GF, τῆς περὶ (αὐτὴν add. H[2]) πίστεως H 17 ἦν om. GF 18 ὅτι H ἤγετο GF 19 μὴν] ἡ μὲν G

9—13 *Stob. Flor. ed. Hense I p. 246,1. Clem. Alex. Strom. I § 29 p. 332. 333 P.*: ἤδη γάρ τινες τοῖς φίλτροις τῶν θεραπαινίδων δελεασθέντες ὠλιγώρησαν τῆς δεσποίνης φιλοσοφίας καὶ κατεγήρασαν οἱ μὲν αὐτῶν ἐν μουσικῇ, οἱ δὲ ἐν γεωμετρίᾳ, ἄλλοι δὲ ἐν γραμματικῇ, οἱ πλεῖστοι δὲ ἐν ῥητορικῇ. 19—88,7 *ibid. § 30*: ἀλλ' ὡς τὰ ἐγκύκλια μαθήματα συμβάλλεται πρὸς φιλοσοφίαν τὴν δέσποιναν αὐτῶν, οὕτω καὶ φιλοσοφία αὐτὴ πρὸς σοφίας κτῆσιν συνεργεῖ. ἔστι γὰρ ἡ μὲν φιλοσοφία ἐπιτήδευσις (add. σοφίας), ἡ σοφία δὲ ἐπιστήμη θείων καὶ ἀνθρωπίνων καὶ τῶν τούτων αἰτίων. κυρία τοίνυν ἡ σοφία τῆς φιλοσοφίας ὡς ἐκείνη τῆς προπαιδείας. εἰ γὰρ ἐγκράτειαν φιλοσοφία ἐπαγγέλλεται γλώσσης τε καὶ γαστρὸς καὶ τῶν ὑπὸ γαστέρα καὶ ἔστιν δι' αὐτὴν αἱρετή, σεμνοτέρα φανεῖται καὶ κυριωτέρα, εἰ θεοῦ τιμῆς τε καὶ γνώσεως ἕνεκα ἐπιτηδεύοιτο. cf. *Origenis epist. ad Gregorium p. 30 (= Philocalia cap. 13,1 p. 64 Robinson).*

οὕτω καὶ φιλοσοφία πρὸς σοφίας κτῆσιν. ἔστι γὰρ φιλοσοφία ἐπιτήδευσις σοφίας, σοφία δὲ ἐπιστήμη θείων καὶ ἀνθρωπίνων καὶ τῶν τούτων αἰτίων. γένοιτ' ἂν οὖν ὥσπερ ἡ ἐγκύκλιος μουσικὴ φιλοσοφίας, οὕτω
80 καὶ φιλοσοφία δούλη σοφίας. φιλοσοφία δὲ ἐγκράτειαν μὲν γαστρός, ἐγκράτειαν δὲ τῶν μετὰ γαστέρα, ἐγκράτειαν δὲ καὶ γλώττης ἀναδιδάσκει. ταῦτα λέγεται μὲν εἶναι δι' αὑτὰ αἱρετά, σεμνότερα δὲ φαίνοιτ' ⟨ἄν⟩, εἰ θεοῦ τιμῆς καὶ ἀρεσκείας ἕνεκα ἐπιτηδεύοιτο. μεμνῆσθαι οὖν δεῖ τῆς κυρίας, ὁπότε μέλλοιμεν αὐτῆς ⟨τὰς⟩ θεραπαινίδας μνᾶσθαι· καὶ λεγώμεθα μὲν ἄνδρες εἶναι τούτων, ὑπαρχέτω δ' ἡμῖν ἐκείνη πρὸς ἀλήθειαν γυνή, μὴ λεγέσθω.

81 (15.) | Δίδωσι δ' οὐκ εὐθὺς εἰς τὴν Χαναναίων γῆν ἀφικομένῳ, p. 531 M.
ἀλλὰ μετὰ δεκαετίαν τῆς ἐκεῖ διατριβῆς. τί δὲ τοῦτ' ἐστίν, οὐκ ἀμελῶς ἐπισκεπτέον· ἐν ἀρχῇ μὲν τῆς γενέσεως ἡμῶν ἡ ψυχὴ συντρόφοις τοῖς πάθεσι μόνοις χρῆται, λύπαις, ἀλγηδόσι, πτόαις, ἐπιθυμίαις, ἡδοναῖς, ἃ διὰ τῶν αἰσθήσεων ἐπ' αὐτὴν ἔρχεται, μήπω τοῦ λογισμοῦ βλέπειν δυναμένου τά τε ἀγαθὰ καὶ κακὰ καὶ ᾗ διαφέρει ταῦτα ἀλλήλων ἀκριβοῦν, ἀλλ' ἔτι νυστάζοντος καὶ ὡς ἐν ὕπνῳ βαθεῖ καταμεμυ-
82 κότος. χρόνου δὲ προϊόντος ὅταν ἐκβαίνοντες τῆς παιδικῆς ἡλικίας μειρακιοῦσθαι μέλλωμεν, τὸ δίδυμον στέλεχος εὐθὺς ἐκ μιᾶς, ἀρετὴ καὶ κακία, φύεται ῥίζης· καὶ ποιούμεθα μὲν τὴν κατάληψιν ἀμφοῖν, αἱρούμεθα δὲ πάντως τὴν ἑτέραν, οἱ μὲν εὐφυεῖς ἀρετήν, κακίαν δ' οἱ
83 ἐναντίοι. τούτων προϋποτυπωθέντων εἰδέναι χρή, ὅτι παθῶν μὲν Αἴγυπτος σύμβολόν ἐστι, κακιῶν δὲ ἡ Χαναναίων γῆ· ὥστ' εἰκότως

---

1 γὰρ] δὲ GF[2] 2 τῶν om. GF 3 αἰτιῶν v φιλοσοφία MA 4 ἐγκράτεια A 5 prius ἐγκράτεια AF post prius δὲ add. καὶ GF γλώσσης GF 6 δι' αὐτὰ (αὐτὰ A) MAH: τὰ αὐτὰ GF φαίνοιτ' ⟨ἄν⟩ scripsi: φαίνοιτο codd. (φανεῖται Clem.) 7 ἕνεκα καὶ ἀρεσκείας transp. GF μεμνήμεθα GFL[3] οὖν] μὲν οὖν L[2] δεῖ om. GF 8 μέλοιμεν G τὰς addidi 8. 9 λεγόμεθα GF 9 δὲ GF 11 δίδωσιν εὐθὺς GF 14 πτόαις MG[1]F[1]N: πτοίαις HG[2]F[2], om. A 15 post αἰσθήσεων add. ἡμῶν A μήπου G 16 τε om. G ᾗ MA: ἡ A, εἰ GFN 17 ἀκριβοῦντος GFN, ἀκριβοῦντες L[2] ὥσπερ G 18 παιδίσκης G 19 στέλεχον M ἀρετῇ M, ἀρετῆς G 20 κακίας G ἀμφοῖν ex αὐτοῖν corr. L 21 δὲ GFN 23 σύμβολον Αἴγυπτός transpos. GF ὥστ'] ὥσπερ GF

---

1—3 cf. Doxographi p. 273, 12, Cic. De fin. II 37 Tusc. IV 57 V 7.
13. 14. 89,2. 3 cf. Epicurea fragm. 398 p. 274 (Philonis Opera I p. 56,7 sqq.).
13—22 N fol. 167v: ἐν ἀρχῇ — ἐναντίοι. 22. 23 *Clem. Alex. Strom. II § 47 p. 453 P.:* παθῶν καὶ κακιῶν σύμβολον Αἴγυπτος καὶ ἡ Χαναν῀ιτις γῆ.

ἀναστήσας ἀπ' Αἰγύπτου τὸν λεὼν εἰς τὴν Χαναναίων εἰσάγει χώραν.
ἄνθρωπος γάρ, ὡς ἔφην, ἅμα μὲν τῇ γενέσει τὸ Αἰγύπτιον πάθος 84
ἔλαχεν οἰκεῖν ἡδοναῖς καὶ ἀλγηδόσι προσερριζωμένος, αὖθις δ' ἀποικίαν
στέλλεται τὴν πρὸς κακίαν, ἤδη τοῦ λογισμοῦ πρὸς τὸ ὀξυωπέστερον
ἐπιδεδωκότος καὶ καταλαμβάνοντος μὲν ἀμφότερα, ἀγαθόν τε αὖ καὶ
κακόν, τὸ δὲ χεῖρον αἱρουμένου διὰ τὸ πολὺ μετέχειν τοῦ θνητοῦ, ᾧ
τὸ κακὸν οἰκεῖον, ἐπεὶ καὶ τοὐναντίον τῷ θείῳ, τὸ ἀγαθόν. (16.) ἀλλ' 85
αἱ μὲν φύσει πατρίδες αὗται, παιδικῆς μὲν ἡλικίας τὸ πάθος, Αἴγυπτος,
ἡβώσης δὲ κακία, ἡ Χαναναῖτις. ὁ δὲ ἱερὸς λόγος, καίτοι σαφῶς ἐπιστά-
μενος τὰς τοῦ θνητοῦ γένους πατρίδας ἡμῶν, ὑποτίθεται τὰ πρακτέα
καὶ συνοίσοντα παραγγέλλων μισεῖν τὰ ἔθη καὶ τὰ νόμιμα καὶ τὰ ἐπιτη-
δεύματα αὐτῶν ἐν οἷς φησι· „καὶ εἶπε κύριος πρὸς Μωυσῆν λέγων· 86
λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς· ἐγὼ κύριος ὁ θεὸς
ὑμῶν· κατὰ τὰ ἐπιτηδεύματα γῆς Αἰγύπτου, ἐν ᾗ κατοικήσατε ἐπ'
αὐτῆς, οὐ ποιήσετε· καὶ κατὰ τὰ ἐπιτηδεύματα γῆς Χαναάν, εἰς ἣν
ἐγὼ εἰσάγω ὑμᾶς ἐκεῖ, οὐ ποιήσετε· καὶ τοῖς νομίμοις αὐτῶν οὐ πορεύ-
σεσθε· τὰ κρίματά μου ποιήσετε, καὶ τὰ προστάγματά μου φυλάξεσθε,
πορεύεσθε ἐν αὐτοῖς· ἐγὼ κύριος ὁ θεὸς ὑμῶν. καὶ φυλάξεσθε πάντα
τὰ προστάγματά μου καὶ τὰ κρίματά μου, καὶ ποιήσετε αὐτά. ὁ ποιή-
σας αὐτὰ ζήσεται ἐν αὐτοῖς· ἐγὼ κύριος ὁ θεὸς ὑμῶν“ (Lev. 18,1—5).
οὐκοῦν ἡ πρὸς ἀλήθειαν ζωὴ περιπατοῦντός ἐστιν ἐν ταῖς τοῦ θεοῦ 87

1 λαὸν H ἄγει v 2 τὴν Αἴγυπτον Mang. 3 ἄλγεσι GF δὲ GF 6 τοῦ θνητοῦ GFL$^2$: τούτου MAHL$^1$ 7 τὸ θεῖον G 8 φύσεως H παιδίσκης GF 9 κακία F(?)H$^2$L$^1$: κακίας MAGH$^1$L$^2$ χανανίτης FH δ' GF σάφος F 10 ἡμῖν H 11 ἔθη MA: ἔθνη GFH 12 Μωυσῆν A: Μωσῆν ceteri λέγων MAH, τῷ λέγειν GF 13 ἐρεῖ GF 14 ἡμῶν G γῆς ex LXX et Clem. scripsi: τῆς MAH, αὐτῆς L, om. GF κατοικήσατε MAGL$^2$: ἐκατοικήσατε HL$^1$, κατοικήσετε F, κατῳκήσατε v (Clem.) 14. 15 ἐπ' αὐτῆς MAH: ἐν αὐτῇ GF (Clem.) 15. 16 καὶ κατὰ τὰ — ποιήσετε om. H, in mg. add. L, lin. 17 post ποιήσετε falso inserit v 15 γῆς HGF: τῆς MA 16. 17 καὶ τοῖς νομίμοις — μου ποιήσετε om. GF 17. 18 φυλάξασθε καὶ πορεύεσθαι G 18 ἐγώ] ὅτι ἐγὼ GF ὁ om. F 18—20 καὶ φυλάξεσθε — ὑμῶν om. F 18 φυλάξεσθε M: φυλάξασθε AHG 19 καὶ τὰ κρίματά μου om. Clem. αὐτά om. A 20 post αὐτὰ ex LXX et Clem. vid. add. ἄνθρωπος post ὑμῶν add. καὶ φυλάξασθε πάντα τὰ προστάγματά μου καὶ τὰ κρίματά μου GH 21 περιπατοῦντός scripsi: περὶ παντός codd., περίπατος Markland ἐστι καὶ ἐν G τοῦ om. H

12—20 locum biblicum ex Philone sumpsit *Clem. Alex. ibid.* § *46*, qui praeter discrepantias supra adnotatas cum nostro textu consentit.

χρίσεσι καὶ προστάξεσιν, | ὥστε θάνατος ἂν εἴη τὰ τῶν ἀθέων ἐπιτη- p. 532 M.
δεύματα. τινὰ δὲ ἀθεώρητα πάθους καὶ κακιῶν ἐστιν, ἐξ ὧν τὰ ἀσε-
88 βῶν καὶ ἀνοσιουργῶν πλήθη φύεται. μετὰ δεκαετίαν οὖν τῆς πρὸς
Χαναναίους μετοικίας ἀξόμεθα τὴν Ἄγαρ, ἐπειδήπερ εὐθὺς μὲν γενόμε-
νοι λογικοὶ τῆς φύσει βλαβερᾶς ἀμαθίας καὶ ἀπαιδευσίας μεταποιούμεθα,
χρόνῳ δ' ὕστερον καὶ ἐν ἀριθμῷ τελείῳ, δεκάδι, νομίμου παιδείας τῆς
ὠφελεῖν δυναμένης εἰς ἐπιθυμίαν ἐρχόμεθα.
89 (17.) Τὸν δὲ περὶ δεκάδος λόγον ἐπιμελῶς μὲν ἠκρίβωσαν μουσι-
κῶν παῖδες, ὕμνησε δὲ οὐ μετρίως ὁ ἱερώτατος Μωυσῆς, ἀναθεὶς αὐτῇ
τὰ κάλλιστα, τὰς ἀρχάς, τὰς ἀπαρχάς, τὰ τῶν ἱερέων ἐνδελεχῆ δῶρα,
τὴν τοῦ Πάσχα διατήρησιν, τὸν ἱλασμόν, τὴν διὰ πεντηκονταετίας ἄφεσίν
τε καὶ εἰς τὰς ἀρχαίας λήξεις ἐπάνοδον, τὴν κατασκευὴν τῆς ἀδιαλύτου
90 σκηνῆς, ἄλλα μυρία, ὧν μακρὸν ἂν εἴη μεμνῆσθαι. τὰ δὲ καίρια οὐ
παρετέον. αὐτίκα τὸν Νῶε ἡμῖν — πρῶτος δ' οὗτος δίκαιος ἐν ταῖς
ἱεραῖς ἀνερρήθη γραφαῖς — ἀπὸ τοῦ διαπλασθέντος ἐκ γῆς εἰσάγει
δέκατον, οὐκ ἐνιαυτῶν πλῆθος παραστῆσαι βουλόμενος, ἀλλὰ διδάξαι
σαφῶς, ὅτι ὥσπερ δεκὰς ἀριθμῶν τῶν ἀπὸ μονάδος ἐστὶ πέρας τελειό-
τατον, οὕτω τὸ δίκαιον ἐν ψυχῇ τέλειον καὶ πέρας ὄντως τῶν κατὰ τὸν
91 βίον πράξεων. τὴν μὲν γὰρ πολλαπλασιαζομένην ἐφ' ἑαυτὴν τριάδα
πρὸς ἐνάτου γένεσιν ἀριθμοῦ πολεμιωτάτην ἐξεῖπον οἱ χρησμοί, τὴν δὲ
ἐπιβεβηκυῖαν μονάδα πρὸς ἐκπλήρωσιν δεκάδος ὡς φίλην ἀπεδέξαντο.
92 σημεῖον δέ· τὰς ἐννέα τῶν βασιλέων ἀρχάς, ἡνίκα ἡ ἐμφύλιος ἀνερρι-
πίσθη στάσις, τῶν τεττάρων παθῶν πρὸς τὰς πέντε αἰσθήσεις κονισα-
μένων καὶ πόρθησιν καὶ κατασκαφὴν κινδυνευούσης τρόπον πόλεως τῆς
ὅλης ἀναδέχεσθαι ψυχῆς, ἐκστρατεύσας ὁ σοφὸς Ἀβραὰμ κατέλυσε δέ-
93 κατος ἐπιφανείς (Gen. 14). οὗτος ἀντὶ χειμῶνος γαλήνην καὶ ὑγείαν
ἀντὶ νόσου καὶ ζωήν, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἀντὶ θανάτου παρεσκεύασε,

---

2 ἅτινα δὴ coni. Markland τινὲς δὲ εὐπαράδεκτοι conicio 2 ἐστιν MAH: εἰσιν GF, fort. recte, cf. ad lin. 2 3 πλήθη] εἰσι πλήθη καὶ F, πλήθη καὶ L$^2$ 4 ἀξόμεθα F: ἀξώμεθα H$^2$, ἀρξώμεθα MA(H$^1$), ἀξιώμεθα G 5 τῆς] τῇ GF 6 νομίμου Mang.: νομίμω MAH, νομίμως GF 9 δ' H ὁ] καὶ ὁ F Μωσῆς GFH αὐτῇ H$^2$: αὐτῷ ceteri 10 ἀρχάς M: εὐχάς ceteri; de locis biblicis, quos respicit, v. infra 12 τε om. GF διαλύτου F 13 μνησθῆναι GF οὐ om. H$^1$ 14 παρετέον scripsi: παραιτέον A, παρεατέον MGFL$^2$, παριτέον HL$^1$ 16 ἐπιστῆσαι H 18 τέλειον ⟨ἀγαθὸν⟩ conicio 18 τὸν] τῶν G 20 ἐννάτου AFH δ' GF 23 τεττάρων GF: τεσσάρων MAH 23. 24 ἐγκονισαμένων Mang. 24 alterum καὶ] εἰς G 25 ὅλης GFH$^2$: αὐλῆς MA(H$^1$), ἀλούσης conicio ἀναδεδέχθαι GF 27 παρασκευάσαι GF

τοῦ νικηφόρου θεοῦ τροπαιοφόρον αὐτὸν ἀναδείξαντος, ᾧ καὶ τὰς δεκά-
τας χαριστήρια τῆς νίκης ἀνατίθησι (Gen. 14,20). καὶ παντὸς μέντοι 94
τοῦ ἐλθόντος „ὑπὸ τὴν ῥάβδον,“ λέγω δὲ τὴν παιδείαν, ἡμέρου καὶ τι-
θασοῦ θρέμματος τὸ δέκατον ἀποκρίνεται, νόμου προστάξει γινόμενον
„ἅγιον“ (Lev. 27,32), ἵν' ἐκ πολλῶν διδασκώμεθα τὴν δεκάδος πρὸς
θεὸν οἰκειότητα καὶ τὴν τοῦ ἐννέα ἀριθμοῦ πρὸς τὸ θνητὸν ἡμῶν γένος.
p. 533 M. (18.) ἀλλὰ γὰρ οὐκ ἀπὸ ζῴων | μόνον ἀπάρχεσθαι δεκάτας, ἀλλὰ καὶ 95
ἀπὸ τῶν ὅσα ἐκ γῆς βλαστάνει διείρηται. „πᾶσα“ γάρ φησι „δεκάτη
τῆς γῆς ἀπὸ τοῦ σπέρματος καὶ τοῦ καρποῦ τοῦ ξυλίνου ἐστὶν ἅγιον τῷ
κυρίῳ· καὶ πᾶσα δεκάτη βοῶν καὶ προβάτων, καὶ πᾶν ὃ ἂν διέλθῃ ἐν
τῷ ἀριθμῷ ὑπὸ τὴν ῥάβδον, τὸ δέκατον ἔσται ἅγιον τῷ κυρίῳ“
(Lev. 27,30.32). ὁρᾷς ὅτι καὶ ἀπὸ τοῦ περὶ ἡμᾶς ὄγκου σωματικοῦ, 96
ὃς γεώδης καὶ ξύλινος ὄντως ἐστίν, οἴεται δεῖν ἀπάρχεσθαι; ἡ γὰρ ζωὴ
καὶ διαμονὴ καὶ αὔξησις καὶ ὑγίεια αὐτῷ θείᾳ γίνεται χάριτι. ὁρᾷς δ'
ὅτι καὶ ἀπὸ τῶν ἐν ἡμῖν αὐτοῖς ζῴων ἀλόγων — ταῦτα δ' εἰσὶν αἰ-
σθήσεις — πάλιν ἀπάρχεσθαι διείρηται; τὸ γὰρ ὁρᾶν καὶ ἀκούειν καὶ
ὀσφραίνεσθαι καὶ γεύεσθαι, ἔτι δὲ ἅπτεσθαι δωρεαὶ θεῖαι, ὑπὲρ ὧν εὐ-
χαριστητέον. ἀλλὰ γὰρ οὐ μόνον ἐπὶ τοῖς ξυλίνοις καὶ γηίνοις σώματος 97
ὄγκοις οὐδ' ἐπ' ἀλόγοις ζῴοις, ταῖς αἰσθήσεσι, τὸν εὐεργέτην ἐπαινεῖν
διδασκόμεθα, ἀλλὰ καὶ ἐπὶ τῷ νῷ, ὃς κυρίως εἰπεῖν ἄνθρωπός ἐστιν ἐν
ἀνθρώπῳ, κρείττων ἐν χείρονι καὶ ἀθάνατος ἐν θνητῷ. διὰ τοῦτο 98
οἶμαι τὰ πρωτότοκα καθιέρωσε πάντα, τὴν δεκάτην, λέγω Λευιτικὴν
φυλήν, ἀντικαταλλαξάμενος πρὸς διατήρησιν καὶ φυλακὴν ὁσιότητος καὶ
εὐσεβείας καὶ λειτουργιῶν, αἳ πρὸς τὴν τοῦ θεοῦ τιμὴν ἀναφέρονται.
τὸ γὰρ πρῶτον καὶ ἄριστον ἐν ἡμῖν αὐτοῖς ὁ λογισμός ἐστι, καὶ ἄξιον

---

1. 2 δεκάδας GF 2 μέντοι HGF: μὲν MA 3. 4 τιθασσοῦ v 4 θρέμματος MAH: πράγματος GF, mg. H 6 τοῦ om. GF ἐννέα MA(H[1]): ἐννάτου GFH[2] 8 ἐκ γῆς MAH: γῆς G, γῇ F διήρηται AG 9 ἅγιόν ἐστι GF 10 ἂν] ἐὰν GF 11 ἐστὶν GF 12 περὶ om. GF σωματικὸν G 13 ὃς] ὡς A(H[1]) 14 primum καὶ MAF: καὶ ἡ G(?)H ὑγίεια H: ὑγεία ceteri θείᾳ om. A δ' om. v 15. 16 δ' ἐστὶν αἴσθησις GF ⟨αἱ⟩ αἰσθήσεις conicio 16 διήρηται AG 16. 17 ἀκούειν ὀσφραίνεσθαί τε καὶ GF 17 δὲ GF: τε MAH 17. 18 εὐχαριστέον F 18. 19 σώματος ὄγκοις scripsi: σωματικοῖς codd.; σωματικοῖς ⟨ὄγκοις⟩ coni. Mang. 20 εἰπεῖν GF: om. MAH ἐν om. F 21 κρείττω F καὶ om. H 22 δεκάτην] ἀπαρχὴν coni. Mang. λόγω GF, ante λέγω add., sed rursus del. δέ H λέγω ⟨δὲ⟩ bene coni. Mang. 24 αἳ] ἃ GF 25 post ἡμῖν add. εἶναι λέγεται, sed rursus del. H ὁ s. s. H[2], om. A ἐστιν G, om. H[1] post καὶ ras. in H

τὰς συνέσεως καὶ ἀγχινοίας καταλήψεώς τε καὶ φρονήσεως καὶ τῶν
ἄλλων δυνάμεων, ὅσαι περὶ αὐτόν εἰσιν, ἀπαρχὰς ἀνατιθέναι θεῷ τῷ
99 τὴν εὐφορίαν τοῦ διανοεῖσθαι παρασχόντι. ἐνθένδε ὁ μὲν ἀσκητικὸς
ὁρμηθεὶς εὐχόμενος εἶπε· „πάντων ὧν ἄν μοι δῷς, δεκάτην ἀποδεκατώσω σοί“ (Gen. 28,22), ὁ δὲ χρησμὸς ὁ μετὰ τὰς ἐπινικίους εὐχὰς
ἀναγραφείς, ἃς ὁ τὴν αὐτομαθῆ καὶ αὐτοδίδακτον λαχὼν ἱερωσύνην
ποιεῖται Μελχισεδέκ, „ἔδωκε γὰρ αὐτῷ“ φησίν „δεκάτην ἀπὸ πάντων“
(Gen. 14,20), ἀπὸ τῶν κατ' αἴθησιν τὸ καλῶς αἰσθάνεσθαι, ἀπὸ τῶν κατὰ
100 λόγον τὸ εὖ λέγειν, ἀπὸ τῶν κατὰ νοῦν τὸ εὖ διανοεῖσθαι. παγκάλως
οὖν καὶ ἀναγκαίως ἅμα ἐν εἴδει παραδιηγήματος, ἡνίκα τῆς οὐρανίου
καὶ θείας τροφῆς τὸ μνημεῖον ἐν στάμνῳ χρυσῷ καθιεροῦτο, φησὶν
ὡς ἄρα „τὸ γομὸρ τὸ δέκατον τῶν τριῶν μέτρων ἦν“ (Exod. 16,36).
ἐν ἡμῖν γὰρ αὐτοῖς τρία μέτρα εἶναι δοκεῖ, αἴσθησις, λόγος, νοῦς·
αἰσθητῶν μὲν αἴσθησις, ὀνομάτων δὲ καὶ ῥημάτων καὶ τῶν λεγο-
101 μένων ὁ λόγος, νοητῶν δὲ νοῦς. ἀφ' ἑκάστου δὴ τῶν τριῶν μέτρων
τούτων ἀπαρκτέον ὥσπερ τινὰ ἱερὰν δεκάτην, ἵνα καὶ τὸ λέγειν καὶ τὸ
αἰσθάνεσθαι καὶ τὸ καταλαμβάνειν ἀνυπαιτίως καὶ ὑγιεινῶς κατὰ θεὸν
ἐξετάζηται· τὸ γὰρ ἀληθινὸν καὶ | δίκαιον μέτρον τοῦτ' ἐστί, τὰ δὲ p. 534 M
102 καθ' ἡμᾶς ψευδῆ τε καὶ ἄδικα. (19.) εἰκότως οὖν καὶ ἐπὶ τῶν
θυσιῶν τὸ μὲν δέκατον τοῦ μέτρου τῆς σεμιδάλεως τοῖς ἱερείοις ἐπὶ τὸν

---

1 τὰς corr. ex τῆς H 2 αὐτῶν AGF 3 ἀσκητικὸς MA: ἀσκητὴς HGF 4 εἶπε] εἶπε καὶ GF 7 γὰρ vid. secl. φησιν αὐτῶ GF 8 ἀπὸ τῶν om. MH[1], ἀπὸ om. A Turn. 9 alterum εὖ om. M 10 παραδείγματος F[2] 11 μνημόσυνον e Clem. Mang. 12 τὸ δέκατον GF (Clem.): δέκατον MAH 14. 15 τῶν τοῦ λόγου μερῶν conicio 15 ὁ secluderem, nisi Clem. haberet 15 μέτρων om. GF 16 ὥσπερ τινὰ ἱερὰν Gv: ὥσπερ τινὰ MAHL[1], ὥστ' ἂν ἱερὰν FL[2] 17 ὑγιῶς GF 18 τοῦτό ἐστι A δὲ] γὰρ GF

---

10—15 *Clem. Alex. Strom. II § 50 p. 455 P.*: ἡνίκα γοῦν τῆς οὐρανίου καὶ θείας τροφῆς τὸ μνημόσυνον ἐν στάμνῳ χρυσῷ καθιεροῦσθαι προσετάττετο, „τὸ γόμορ“ φησί „τὸ δέκατον τῶν τριῶν μέτρων ἦν“. ἐν ἡμῖν γὰρ αὐτοῖς τρία μέτρα, τρία κριτήρια μηνύεται, αἴσθησις μὲν αἰσθητῶν, λεγομένων δὲ ὀνομάτων καὶ ῥημάτων ὁ λόγος, νοητῶν δὲ νοῦς.
19—93,14 *ibid.* § 51 χρὴ δὲ ὡς ἔπος εἰπεῖν τῶν ἄλλων πάντων ὑπεραναβαίνοντας ἐπὶ τὸν νοῦν ἵστασθαι, ὥσπερ ἀμέλει κἀν τῷ κόσμῳ τὰς ἐννέα μοίρας ὑπερπηδήσαντας, πρώτην μὲν τὴν διὰ τῶν τεσσάρων στοιχείων ἐν μιᾷ χώρᾳ τιθεμένων διὰ τὴν ἴσην τροπήν, ἔπειτα δὲ τὰς ἑπτὰ τὰς πλανωμένας τήν τε ἀπλανῆ ἐνάτην ἐπὶ τὸν τέλειον ἀριθμὸν τὸν ὑπεράνω τῶν ἐννέα (ἐννέα Potter e Philone pro θεῶν, Mang. αἰσθητῶν), τὴν δὲ (δὲ vid. del., δὴ Lowth) δεκάτην μοῖραν, ἐπὶ τὴν γνῶσιν ἀφικνεῖσθαι τοῦ θεοῦ, συνελόντι φάναι μετὰ τὴν κτίσιν τὸν ποιητὴν ἐπιποθοῦντας. διὰ τοῦτο αἱ δεκάται τοῦ τε οἴφι τῶν τε ἱερείων τῷ θεῷ προσεκομίζοντο.

βωμὸν συνανενεχθήσεται (Exod. 29,40), ὁ δὲ ἔνατος ἀριθμός, τὸ λεί-
ψανον τοῦ δεκάτου, παρ' ἡμῖν αὐτοῖς παραμενεῖ. τούτοις συνᾴδει καὶ 103
ἡ τῶν ἱερέων ἐνδελεχὴς θυσία· τὸ γὰρ δέκατον τὸ τοῦ οἶφι σεμιδάλεως
ἀεὶ διείρηται προσφέρειν αὐτοῖς (Lev. 6,20). ἔμαθον γὰρ τὸν ἔνατον
ὑπερβαίνοντες αἰσθητὸν δοκήσει θεὸν τὸν δέκατον καὶ μόνον ὄντα ἀψευ-
δῶς προσκυνεῖν. ἐννέα γὰρ ὁ κόσμος ἔλαχε μοίρας, ἐν οὐρανῷ μὲν 104
ὀκτώ, τήν τε ἀπλανῆ καὶ ἑπτὰ τὰς πεπλανημένας ἐν τάξεσι φερομένας
ταῖς αὐταῖς, ἐνάτην δὲ γῆν σὺν ὕδατι καὶ ἀέρι· τούτων γὰρ μία συγγέ-
νεια τροπὰς καὶ μεταβολὰς παντοίας δεχομένων. οἱ μὲν οὖν πολλοὶ 105
τὰς ἐννέα ταύτας μοίρας καὶ τὸν παγέντα κόσμον ἐξ αὐτῶν ἐτίμησαν,
ὁ δὲ τέλειος τὸν ὑπεράνω τῶν ἐννέα, δημιουργὸν αὐτῶν, δέκατον θεόν·
ὅλον γὰρ ὑπερκύψας τὸ ἔργον ἐπόθει τὸν τεχνίτην, καὶ ἱκέτης καὶ θε-
ραπευτὴς ἐσπούδαζεν αὐτοῦ γενέσθαι· διὰ τοῦτο δεκάτην ἐνδελεχῆ τῷ
δεκάτῳ καὶ μόνῳ καὶ αἰωνίῳ ὁ ἱερεὺς ἀνατίθησι. τοῦτ' ἐστὶ κυρίως 106
εἰπεῖν τὸ ψυχικὸν Πάσχα, ἡ ⟨ἀπὸ⟩ παντὸς πάθους καὶ παντὸς αἰσθη-
τοῦ διάβασις πρὸς τὸ δέκατον, ὃ δὴ νοητόν ἐστι καὶ θεῖον· λέγεται
γάρ· „δεκάτῃ τοῦ μηνὸς τούτου λαβέτωσαν ἕκαστος πρόβατον κατ'
οἰκίαν" (Exod. 12,3), ἵνα ἀπὸ τῆς δεκάτης τῷ δεκάτῳ καθιερωθῇ τὰ
θύματα διατηρηθέντα ἐν τῇ ψυχῇ κατὰ δύο μοίρας ἐκ τριῶν πεφωτι-
σμένῃ, μέχρις ἂν ὅλη δι' ὅλων γενομένη φέγγος οὐράνιον, οἷα πλησι-
φαὴς σελήνη κατὰ δευτέρας ἑβδομάδος παραύξησιν, μὴ μόνον φυλάτ-
τειν ἀλλὰ καὶ ἱερουργεῖν ἤδη δύνηται τὰς ἀσινεῖς καὶ ἀμώμους προκο-
πάς. τοῦτ' ἐστὶν ἱλασμός — καὶ γὰρ οὗτος δεκάτῃ τοῦ μηνὸς βεβαι- 107

---

1 συναπενεχθήσεται A, συναπενεγχθήσεται H ἔννατος AHF 2 παραμενεῖ MAHL[1]: καταμένει GFL[2] τούτω GF 3 ἡ om. A δέκατον] ον ex corr. H[2] alt. τὸ om. F τοῦ om. AHL[1] οἶφι FL[2]: οἰφὶ G, ὗφι HL[1], ὑφὴ MA 4 ἀεὶ om. GF διήρηται AG ἔννατον AHF 5 δοκήσει — δέκατον om. G 7 ἑπτὰ om. Turn., post τὰς add. Mang. 8 ἐννάτην AFH γῆν σὺν scripsi: τὴν σὺν FL[2], τὴν ἐν ceteri 9 ἐπιδεχομένων GF 11 τὸν] τῶν A δημιουργῶν A θεὸν δέκατον H 12 οἰκέτης A 15 ἢ F ἀπὸ add. Mang., om. etiam. Clem. πάθος F 17 ante δεκάτῃ add. τῇ in mg. H[2] τούτου GF: τοῦ δεκάτου MAH[2], δεκάτου H[1] 18 ἵν' GF 19 τῇ om. GF 19. 20 πεφωτισμένῃ] η e corr. H[2] 21 δευτέραν HL[1] 22 δύνηται e corr. H 23 τοῦτ' ἐστὶν ἱλασμός (vel ταὐτὸ καὶ περὶ ἱλασμοῦ) Mang.: τουτέστιν ἱλασμούς codd. 23. 94,1 βεβαιοῦνται A

---

15. 16 *ibid.*: καὶ ἡ τοῦ Πάσχα ἑορτὴ ἀπὸ δεκάτης ἤρχετο παντὸς πάθους καὶ παντὸς αἰσθητοῦ διάβασις οὖσα.

οὗται (Lev. 23,27), τὸν δέκατον ἱκετευούσης θεὸν ψυχῆς καὶ τὴν τα-
πεινότητα καὶ οὐδένειαν τοῦ γενητοῦ περίνοιαν λογισμοῦ πεποιθυίας καὶ
τὰς ἐν ἅπασι τοῖς καλοῖς ὑπερβολὰς καὶ ἀκρότητας τοῦ ἀγενήτου δεδι-
δαγμένης. ἵλεως οὖν καὶ ἄνευ ἱκετείας ἵλεως εὐθὺς γίνεται τοῖς ἑαυ-
τοὺς κακοῦσι καὶ συστέλλουσι καὶ μὴ καυχήσει καὶ οἰήσει φυσωμένοις —,
108 τοῦτ' ἐστὶν ἄφεσις (Lev. 25,9 sqq.), τοῦτ' ἐλευθερία παντελὴς ψυχῆς
ὃν ἐπλανήθη τε πλάνον ἀποσειομένης καὶ πρὸς τὴν ἀπλανῆ φύσιν μεθ-
ορμιζομένης καὶ ἐπὶ τοὺς κλήρους ἐπανιούσης, οὓς ἔλαχεν, ἡνίκα λαμ-
πρὸν | ἔπνει καὶ τοὺς περὶ τῶν καλῶν πόνους ἤθλει. τότε γὰρ αὐτὴν p. 535 M.
τῶν ἄθλων ἀγάμενος ὁ ἱερὸς λόγος ἐτίμησε, γέρας ἐξαίρετον δούς,
109 κλῆρον ἀθάνατον, τὴν ἐν ἀφθάρτῳ γένει τάξιν. τοῦτο καὶ Ἀβραὰμ ὁ
σοφὸς ἱκετεύει, μελλούσης ἐμπίπρασθαι λόγῳ μὲν τῆς Σοδομίτιδος γῆς,
ἔργῳ δὲ τῆς ἐστειρωμένης τὰ καλὰ καὶ τυφλῆς τὸν λογισμὸν ψυχῆς,
ἵν', ἐὰν εὑρεθῇ τὸ δικαιοσύνης μνημεῖον, ἡ δεκάς, ἐν αὐτῇ, τύχῃ
τινὸς ἀμνηστίας (Gen. 18,32)· ἄρχεται μὲν οὖν τῆς ἱκεσίας ἀπὸ τοῦ
τῆς ἀφέσεως ἀριθμοῦ, πεντηκοντάδος, λήγει δὲ εἰς δεκάδα, τὴν τελευ-
110 ταίαν ἀπολύτρωσιν. (20.) ἀφ' οὗ μοι δοκεῖ καὶ Μωυσῆς μετὰ τὴν
χιλιάρχων καὶ ἑκατοντάρχων καὶ πεντηκοντάρχων αἵρεσιν ἐπὶ πᾶσι
δεκαδάρχους χειροτονεῖν (Exod. 18,25), ἵν', εἰ μὴ δύναιτο διὰ τῶν
πρεσβυτέρων τάξεων βελτιοῦσθαι ὁ νοῦς, ἀλλά τοι διὰ τῶν ὑστάτων
111 καθαίρηται. πάγκαλον δὲ δόγμα καὶ ὁ τοῦ φιλομαθοῦς παῖς ἔμαθεν,
ἡνίκα τὴν θαυμαστὴν ἐκείνην ἐπρέσβευε πρεσβείαν, αὐτομαθεῖ σοφῷ
προξενῶν οἰκειοτάτην ἀρετήν, ἐπιμονήν. „δέκα γὰρ καμήλους λαμβά-
νει," τὴν δεκάδος, λέγω δὲ παιδείας ὀρθῆς, ἀνάμνησιν, ἀπὸ πολλῶν

---

1 ψυχῆς θεὸν H    2 οὐδένειαν HF, οὐδενίαν G[1]: οὐθένειαν MA, οὐδεμίαν G[2] τοῦ γενητοῦ περὶ πάντα λογισμῷ μεμαθηκυίας conicio    γενητοῦ MH: γεννητοῦ A, γενικοῦ GF, νοητοῦ L    περινοίας A, περινοίᾳ coni. Mang.    περινοίᾳ καὶ λογισμῷ πεπονθυίας coni. Cohn    3 τὰς] τοῖς H    ἄλλοις GFL    τοῦ] τὸ τοῦ AH (hic τὸ rursus del.)    ἀγεννήτου codd.    3. 4 δεδιγμένης F, δεδειγμένης L[2]    4 καὶ] ὁ καὶ G    ἱκεσίας GF    γίγνεται M    5 στέλλουσι G    καὶ οἰήσει om. GF    7 ὃν G    τε om. F    9 τοὺς et πόνους Mang.: τοῖς et πόνοις codd.    ἤθλει Mang.: ἤνθει MAHF, ἤνθη G    10 ἐτίμησεν H    11 κλῆρον] καὶ λόγον H    φθαρτῷ GF    ⟨διὰ⟩ τοῦτο Mang.    14 ἵνα G    σημεῖον coni. Mang.    15 ἀμνηστείας F    17 Μωσῆς codd.    18 χιλιαρχῶν καὶ ἑκατονταρχῶν καὶ πεντηκονταρχῶν GF    19 δεκάρχους GH[2]    20 πρεσβυτάτων AH    τοι] τι F    21 δὲ δόγμα Mang. ex codice Oxon. Collegii Novi 143: δίδαγμα MAGFH, δεῖγμα L    καὶ om. G    24 δὲ om. A

ἀπείρων μὲν οὖν τοῦ κυρίου μνημῶν. „λαμβάνει δὲ καὶ τῶν ἀγαθῶν 112
ἐκείνου“ (Gen. 24,10) δῆλον ὡς οὐκ ἄργυρον οὐδὲ χρυσὸν ἤ τινα
ἄλλα τῶν ἐν ὕλαις φθαρταῖς — τὴν γὰρ ἀγαθοῦ πρόσρησιν οὐδέποτε
τούτοις ἐπεφήμισε Μωυσῆς —, ἀλλὰ τὰ γνήσια, ἃ δὴ ψυχῆς ἐστι
μόνα, ἐφοδιάζεται καὶ ἐμπορεύεται, διδασκαλίαν, προκοπήν, σπουδήν,
πόθον, ζῆλον, ἐνθουσιασμούς, προφητείας, τοῦ κατορθοῦν ἔρωτα· οἷς 113
ἐμμελετῶν καὶ ἐνασχούμενος, ὅταν ὥσπερ ἐκ πελάγους ἐνορμίζεσθαι
λιμένι μέλλῃ, λήψεται δύο μὲν ἐνώτια, ἀνὰ δραχμὴν ὁλκήν, ψέλια δὲ
δέκα χρυσῶν ἐπὶ τὰς χεῖρας τῆς προξενουμένης (Gen. 24,22). ὢ
θεοπρεποῦς κόσμου, δραχμὴν μίαν εἶναι τὸ ἄκουσμα καὶ μονάδα ἀρραγῆ
καὶ ὁλκὸν φύσει — ἀκοὴν γὰρ οὐδενὶ σχολάζειν ἐμπρεπές, ὅτι μὴ
λόγῳ ἑνί, ὃς ἂν τὰς τοῦ ἑνὸς ἀρετὰς καὶ μόνου θεοῦ καλῶς διεξέρχη-
ται —, δέκα δὲ χρυσῶν τὰ ἐγχειρήματα· πράξεις γὰρ αἱ κατὰ σοφίαν
τελείοις ἀριθμοῖς βεβαιοῦνται, καὶ ἔστιν ἑκάστη τιμιωτέρα χρυσοῦ.
(21.) τοιαύτη τίς ἐστι καὶ ἡ ἀριστίνδην ἐπικριθεῖσα τῶν ἀρχόντων 114
εἰσφορά, ἣν ἐποιήσαντο, ἡνίκα ἡ ψυχὴ κατασκευασθεῖσα ὑπὸ φιλοσο-
φίας ἱεροπρεπῶς τὰ ἐγκαίνια ἦγεν αὐτῆς εὐχαριστοῦσα τῷ διδασκάλῳ
καὶ ὑφηγητῇ θεῷ. „θυΐσκην γὰρ δέκα χρυσῶν πλήρη θυμιάματος
ἀνατίθησιν“ (Num. 7,14), ἵνα τὰς ὑπὸ φρονήσεως καὶ πάσης ἀρετῆς
ἀναδιδομένας αὔρας ὁ μόνος ἐπικρίνῃ σοφός. ἐπειδὰν δὲ δόξωσιν εἶναι 115
p. 536 M. προσηνεῖς, τὸ ἐφύμνιον | ᾄσεται Μωυσῆς λέγων· „ὠσφράνθη κύριος
ὀσμὴν εὐωδίας“ (Gen. 8,21), τὸ ὀσφρανθῆναι τιθεὶς ἐπὶ τοῦ συναινέ-
σαι· οὐ γὰρ ἀνθρωπόμορφος οὐδὲ μυκτήρων ἤ τινων ἄλλων ὀργανικῶν
μερῶν χρεῖος. προϊὼν δὲ καὶ τὸ θεῖον ἐνδιαίτημα, τὴν σκηνήν, 116
„δέκα αὐλαίας“ (Exod. 26,1) ἐρεῖ· τὸ γὰρ τῆς ὅλης πῆγμα σοφίας
ἀριθμὸν τέλειον εἴληχε, δεκάδα· σοφία δὲ αὐλὴ καὶ βασίλειόν ἐστι τοῦ
πανηγεμόνος καὶ μόνου βασιλέως αὐτοκράτορος. ὁ μὲν δὴ νοητὸς οἶκος 117

---

1 ἀπείρων μὲν οὖν MA(H[1]): ἀποπειρωμένου (τῶν add. G) GFH[2], καὶ ἀπείρων ὅσων conicio τοῦ] τῶν τοῦ G λαμβάνειν F ⟨ἀπὸ⟩ τῶν ex LXX conicio
2 ἀργύριον MA, quo servato fort. leg. χρυσίον οὐδὲ] καὶ GF 2. 3 ἤ τινα ἀλλὰ (sic) GF: τινα ἀλλὰ MAH, τιν᾽ ἢ ἄλλο v 3 ἐν om. F πρόρρησιν A
4 Μωσῆς AFH 6 ἐνθουσιασμοῦ GF 8 μὲν δύο H ψέλιά MH: ψέλλια AGF
10 μίαν Markland: μὲν codd., μὲν μίαν conicio 11 φύσει A: φύσιν ceteri ἀκοὴν MA: ἀκοὴ F, ἀκοῇ GH 12. 13 διεξέρχεται G 13 χρυσῶν HL[1] 16 κατασκηνωθεῖσα Mang. 16. 17 σοφίας GF 17 ἑαυτῆς GF, αὐτῆς H[2] διδασκαλίῳ F 19 ἀπὸ conicio 21 Μωσῆς GF 22 τοῦ MAF: τῷ H, om. G
22. 23 συνήνεσεν F, συνηνεσ, lacuna 5 litt., αι G 24 προϊδὼν A(H[1]) 25 αὐλέας MA ⟨ἔχειν⟩ ἐρεῖ Mang.

οὗτος, αἰσθητὸς δ' ὁ κόσμος ἐστίν, ἐπεὶ καὶ τὰς αὐλαίας ἐκ τοιούτων
συνύφηνεν, ἃ τῶν τεττάρων στοιχείων σύμβολά ἐστιν· ἐκ γὰρ βύσσου
καὶ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου δημιουργοῦνται (ibid.), τεττά-
ρων, ὡς ἔφην, ἀριθμῶν. σύμβολον δὲ γῆς μὲν ἡ βύσσος — φύεται
γὰρ ἐκ ταύτης —, ἀέρος δὲ ὁ ὑάκινθος — μέλας γὰρ οὗτος φύσει —,
ὕδατος δὲ ἡ πορφύρα — τὸ γὰρ τῆς βαφῆς αἴτιον ἐκ θαλάττης, ἡ
ὁμωνυμοῦσα κόγχη —, πυρὸς δὲ τὸ κόκκινον· ἐμφερέστατον γὰρ φλογί.
118 πάλιν γε μὴν Αἴγυπτον ἀφηνιάσασαν, ἡνίκα τὸν ἀντίθεον ἀπεσέ-
μνυνε νοῦν τὰ παράσημα τῆς βασιλείας ἀναδοῦσα αὐτῷ, τὸν θρόνον, τὸ
σκῆπτρον, τὸ διάδημα, δέκα πληγαῖς καὶ τιμωρίαις ὁ τῶν ὅλων ἐπίτρο-
119 πος καὶ κηδεμὼν νουθετεῖ. τὸν αὐτὸν δὲ τρόπον καὶ Ἀβραὰμ ὑπισχνεῖ-
ται τῷ σοφῷ οὔτε πλειόνων οὔτε ἐλαττόνων, ἀλλὰ αὐτὸ μόνον δέκα
ἐθνῶν ἀπώλειαν καὶ παντελῆ φθορὰν ἐργάσεσθαι καὶ τὴν τῶν ἀναιρε-
θέντων χώραν δώσειν τοῖς ἐγγόνοις αὐτοῦ (Gen. 15, 18—20), πανταχοῦ
χοῦ δεκάδι καὶ πρὸς ἔπαινον καὶ πρὸς ψόγον καὶ πρὸς τιμὴν καὶ πρὸς
120 κόλασιν καταχρῆσθαι δικαιῶν. καίτοι τί τούτων μεμνήμεθα; τὴν γὰρ
ἱερὰν καὶ θείαν νομοθεσίαν δέκα τοῖς σύμπασι λόγοις Μωυσῆς ἀναγέγρα-
φεν· οὗτοι δέ εἰσι θεσμοί, τῶν κατὰ μέρος ἀπείρων νόμων γενικὰ κε-
φάλαια, ῥίζαι καὶ ἀρχαὶ ⟨καὶ⟩ πηγαὶ ἀέναοι διαταγμάτων προστάξεις καὶ
ἀπαγορεύσεις περιεχόντων ἐπ' ὠφελείᾳ τῶν χρωμένων.
121 (22.) Εἰκότως οὖν μετὰ δεκαετίαν τῆς εἰς Χαναναίων γῆν ἀφίξεως
ἡ πρὸς τὴν Ἄγαρ κοινωνία γίνεται· οὐ γὰρ εὐθὺς λογικοὶ γενόμενοι
πλαδώσης ἔτι τῆς διανοίας ὀρεχθῆναι παιδείας τῆς ἐγκυκλίου δυνάμεθα,
ἀλλ' ἐπειδὰν σύνεσιν καὶ ἀγχίνοιαν κραταιωσάμενοι μηκέτι κούφῃ καὶ

---

1 δὲ GF ἐπειδὴ v αὐλέας MA ἐκ] ἐκ τῶν GF 2 τεττάρων MA: τεσσάρων HGF σύμβολα στοιχείων GF 3 κόκκου GF 3. 4 τεσσάρων v 4 ἀριθμῷ Mang. 5 δὲ ὁ MA: δὲ H, ἡ GF φύσει γὰρ μέλας οὗτος GF 6 δ' GF θαλάσσης GF 7 κόγχη MA (A ex corr.): κόχλη GF, κογχύλη H, prius A 8 Αἰγύπτου F post Αἴγυπτον add. μὲν MAH ἀφηνιάσας, tum ras. G ἀντίθεον Mang.: ἀντίθετον codd. 11 καὶ Ἀβραὰμ τρόπον transpos. GF 12 ἀλλ' H αὐτῶ prius G 13 ἐργάσεσθαι scripsi: ἐργάσασθαι codd. 14 δώσειν] δοῦναι A 15 δεκάδι] δὲ GF 16 καταχρήσασθαι GF(H¹?) γὰρ om. GH 17 νομοθεσίαν Mang.: ἐκκλησίαν codd. Μωσῆς GF 18 γενικὰ MAH: γενικαὶ ἀρεταὶ καὶ G, γενικαὶ καὶ ἀρεταὶ καὶ F 19 καὶ add. Mang. et confirmare videtur lectio modo commemorata in GF ἀέναοι MG: ἀένναοι AHF καὶ] δὲ καὶ per errorem Mang. 20 χρησομένων conicio 21 Χαναναίων G: τὴν Χαναναίων F, χαλδαίων MAH γῆν Fv: γῆς ceteri, quo servato ἐκ Χαλδαίων coni. Mang. 22 γίνεται κοινωνία GF γενόμενοι corr. e γινόμενοι H 24 κρατερωσάμενοι GF κωφῇ MAH

ἐπιπολαίῳ, ἀλλὰ βεβαίᾳ καὶ παγίᾳ γνώμῃ περὶ ἁπάντων χρώμεθα.
537 M. διὸ τἀκόλουθον προσυφαίνεται | τὸ „εἰσῆλθε πρὸς Ἄγαρ“ (Gen. 16,4)· 122
ἦν γὰρ ἁρμόττον τῷ μανθάνοντι πρὸς ἐπιστήμην διδάσκαλον φοιτᾶν,
ἵνα ἀναδιδαχθῇ τὰ προσήκοντα ἀνθρώπου φύσει παιδεύματα. νυνὶ μὲν
ὁ γνώριμος εἰς διδασκάλου βαδίζων εἰσάγεται· προεκτρέχει δὲ πολλά-
κις ἐξοικίσασα φθόνον ἀφ' ἑαυτῆς καὶ τοὺς ἔχοντας εὐφυῶς ἐπισπᾶται.
τὴν γοῦν ἀρετήν, Λείαν, ἔστιν ἰδεῖν προαπαντῶσαν καὶ λέγουσαν τῷ 123
ἀσκητῇ· „πρὸς μὲ εἰσελεύσῃ σήμερον“ (Gen. 30,16), ἡνίκα ἐκεῖνος
ἀγρόθεν ἐπανῄει. ποῦ γὰρ ὤφειλεν ⟨εἰσ⟩ελθεῖν ὁ τῶν ἐπιστήμης σπερ-
μάτων καὶ φυτῶν ἐπιμελητής, ὅτι μὴ πρὸς τὴν γεωργηθεῖσαν ἀρετήν;
(23.) ἔστι δ' ὅτε καὶ ἀποπειρωμένη τῶν φοιτητῶν, ὡς ἔχουσι προθυ- 124
μίας καὶ σπουδῆς, οὐχ ὑπαντᾷ μέν, ἐγκαλυψαμένη δὲ τὸ πρόσωπον
ὥσπερ Θάμαρ ἐπὶ τριόδου καθέζεται, πόρνης δόξαν παρασχοῦσα τοῖς
ὁδῷ βαδίζουσιν (Gen. 38,14.15), ἵνα οἱ περιέργως ἔχοντες ἀνακαλύ-
ψαντες ἀναφήνωσι καὶ καταθεάσωνται τὸ ἄψαυστον καὶ ἀμίαντον καὶ
παρθένιον ὄντως αἰδοῦς καὶ σωφροσύνης ἐκπρεπέστατον κάλλος. τίς 125
οὖν ὁ ἐξεταστικὸς καὶ φιλομαθὴς καὶ μηδὲν ἄσκεπτον καὶ ἀδιερεύνητον
τῶν ἐγκεκαλυμμένων πραγμάτων παραλιπεῖν ἀξιῶν ἐστιν, ὅτι μὴ ὁ
ἀρχιστράτηγος καὶ βασιλεὺς καὶ ταῖς πρὸς θεὸν ὁμολογίαις ἐμμένων τε
καὶ χαίρων, ὄνομα Ἰούδας; „ἐξέκλινε“ γάρ φησι „πρὸς αὐτὴν τὴν ὁδὸν
καὶ εἶπεν· ἔασόν με εἰσελθεῖν πρὸς σέ“ (ibid. 16) — ἀλλ' οὐκ ἔμελλε

1 ἐπιπολέῳ A ἀλλὰ βεβαία καὶ παγία MAH: βεβαία (βεβαίω G) δὲ καὶ παγίω GF ante περί add. τῇ M, τῇ ἁπάντων A 2 τἀκόλουθον MH: τὸ ἀκόλουθον AGF εἰσῆλθε Fv: εἴσελθε ceteri πρὸς τὴν Ἄγαρ GF 3 ἐπιστήμην MA: ἐπιστήμης GF, ἐπιστήμονα H 4 ἀνθρώπου om. F 5 διδασκάλου MAH¹: διδασκαλίαν GFH² βαδίζειν A προσάγεται MA (H¹) προεκτρέχειν L² δὲ om. FL² 6 ἐξοικήσας ἄφθον' ἀφ' F ἐπίσταται G 7 λίαν G προυπαντῶσαν GF 8 ἀσκητῇ GF: ἀθλητῇ MAH 9 ἐπανῄει G: ἐπανίῃ εἰ A, ἐπανίῃ MHF ποῖ GF εἰσελθεῖν Mang.: ἐλθεῖν codd. 10 ἐπιμεληθεὶς GF 11 πῶς GF ἔχουσα L¹ 13 ἡ Θάμαρ GF παρέχουσα GF (sed cf. etiam Clem.) 14 ἵν' GF 15 καταθεάσοιντο (om. τὸ) GF 16 παρθένειον MA εὐπρεπέστατον A 18 ἀπολιπεῖν GF, καταλιπεῖν A (cf. Clem.) ὁ om. GF 19 post ἀρχιστράτηγος add. καὶ στρατηγὸς MA ταῖς om. GF θεὸν om. F 20 πρὸς αὐτήν φησι MA 21 ἀλλ'] ἄρ' Mang.

11 ss. *Clem. Alex Strom. I § 31 p. 334 P.:* ἔχοις δ' ἂν καὶ ἄλλην εἰκόνα τῶν εἰρημένων τὴν Θάμαρ ἐπὶ τριόδου καθεσθεῖσαν καὶ πόρνης δόξαν παρασχοῦσαν, ἣν ὁ φιλομαθὴς Ἰούδας — δυνατὸς δὲ ἑρμηνεύεται — ὁ μηδὲν ἄσκεπτον καὶ ἀδιερεύνητον καταλιπὼν ἐπεσκέψατο καὶ πρὸς αὐτὴν ἐξέκλινεν σῴζων τὴν πρὸς τὸν θεὸν ὁμολογίαν.

παραβιάζεσθαι — καὶ σκοπεῖν, τίς τε ἡ ἐγκεκαλυμμένη δύναμίς ἐστι
126 καὶ ἐπὶ·τί παρεσκεύασται. μετὰ τοίνυν τὸ εἰσελθεῖν γέγραπται „καὶ
συνέλαβε“ (ibid. 18) καὶ τὸ „τίς“ ῥητῶς οὐ μεμήνυται· συλλαμβάνει
γὰρ καὶ συναρπάζει ἡ μὲν τέχνη τὸν μανθάνοντα ἐρωτικῶς ἔχειν ἀνα-
πείθουσα ἑαυτῆς, ὁ δὲ μανθάνων τὴν διδάσκουσαν, ὁπότε φιλομαθὴς
127 εἴη. πολλάκις δέ τις τῶν μέσας ἐπιστήμας ὑφηγουμένων γνωρίμου
τυχὼν εὐφυοῦς ηὔχησεν ἐπὶ τῇ διδασκαλίᾳ μόνος ὑπολαβὼν τῷ φοιτητῇ
γεγονέναι τῆς εὐμαθίας αἴτιος, καὶ μετεωρίσας καὶ φυσήσας ἑαυτὸν
ὑψαυχενεῖ καὶ τὰς ὀφρῦς εὖ μάλα ἀνασπάσας τετύφωται καὶ παρὰ τῶν
βουλομένων συνδιατρίβειν πάμπολλα αἰτεῖ· οὓς δ' ἂν αἴσθηται πένητας
μέν, διψῶντας δὲ παιδείας, ἀποστρέφεται, ὥσπερ θησαυρόν τινα σοφίας
128 μόνος ἀνευρηκώς. τοῦτ' ἐστὶ τὸ „ἐν γαστρὶ ἔχειν“, οἰδεῖν καὶ τετυ-
φῶσθαι καὶ ὄγκον πλείονα τοῦ μετρίου περιβεβλῆσθαι, δι' ὧν καὶ τὴν
κυρίαν τῶν μέσων ἐπιστημῶν, ἀρετήν, ἔδοξάν τινες ἀτιμάζειν, ἐπίτιμον
129 οὖσαν ἐξ ἑαυτῆς. ὅσαι μὲν οὖν ψυχαὶ μετὰ φρονήσεως κυοφοροῦσι
πραγμάτων τίκτουσιν ὅμως, τὰ συγκεχυμένα διακρίνουσαι καὶ | διαστέλ- p. 538 M
λουσαι, καθάπερ ἡ Ῥεβέκκα — λαβοῦσα γὰρ ἐν γαστρὶ τῶν διττῶν
διανοίας ἐθνῶν ἐπιστήμην, ἀρετῆς τε καὶ κακίας, εὐτοκίᾳ χρωμένη τὴν
ἑκατέρου φύσιν διαστέλλει τε καὶ διακρίνει (Gen. 25,23) —· ὅσαι δὲ ἄνευ
φρονήσεως, ἢ ἀμβλίσκουσιν ἢ δύσεριν καὶ σοφιστὴν βάλλοντα καὶ τοξεύ-
130 οντα (Gen. 21,20) ἢ βαλλόμενον καὶ τοξευόμενον ἀποχύουσι. καὶ μή-
ποτε εἰκότως· αἱ μὲν γὰρ λαμβάνειν, αἱ δὲ ἔχειν ἐν γαστρὶ οἴονται,
παμμεγέθους ⟨οὔσης⟩ διαφορᾶς. αἱ μὲν γὰρ ἔχειν νομίζουσαι τὴν αἵρε-
σιν καὶ γένεσιν ἑαυταῖς ἐπιγράφουσαι σεμνομυθοῦσιν, αἱ δὲ λαμβάνειν
ἀξιοῦσαι τὸ μὲν μηδὲν οἰκεῖον ἐξ ἑαυτῶν ἔχειν συνομολογοῦσι, τὰ δὲ
σπέρματα καὶ τὰς γονὰς ἔξωθεν ἀρδομένας καταλαμβάνουσαι καὶ

---

1 τίς] τῆς G  ἡ] ἧς GF  3 συνέλαβεν H  καίτοι τίς Mang.  οὐκ ἐμήνυσε GF  6 δέ τις τῶν (τὰς fort. add.) μέσας ἐπιστήμας scripsi: δέ τινα τῶν μέσων ἐπιστημῶν codd.  ὑφηγουμένων scripsi: ὑφηγουμένου MAGF; ὑφηγουμένη H, ut vid.; ὑφηγούμενος v  7 εὐφυῶς F  τὴν διδασκαλίαν GF  τῶν φοιτητῶν H  8 μετεωρήσας καὶ AF, μετεωρήσασθαι G  9 ἀπανασπάσας A  τετύφλωται F  12 τουτέστι AHF  13 διὸ καὶ conicio, δι' ὃν (sc. ὄγκον) καὶ coni. Cohn  15 αὐτῆς GF  μεσταὶ coni. Mang.  κυοφοροῦσιν, ⟨ἄνευ⟩ conicio  ⟨ἰδιότητας⟩ τίκτουσιν ὁμοίως coni. Cohn  ὁμοίως vel οὕτως coni. Mang., ἀπόνως conicio  17 διττῶν] δι F  18 διανοίας „codices nonnulli“ (Mang.): διανοίαις codd., ἐπινοίας coni. Mang.  19 διακρίνει τε καὶ διαστέλλει GF  δ' GF  21. 22 μήτ' GF  23 παμμεγέθους διαφορᾶς] ους et ας in ras. H[1]  οὔσης add. Mang.  23. 24 εὕρεσιν GF, σπορὰν coni. Mang.  25 ἀξιοῦσι GF  αὐτῶν G  συνομολογήσουσι GF  26 καταλαμβάνουσαι scripsi: καταλαμβάνουσι codd.  καὶ s. s. H

θαυμάζουσαι τὸν διδόντα κακὸν μέγιστον, φιλαυτίαν, ἀγαθῷ τελείῳ, θεο-
σεβείᾳ, διωθοῦνται. (24.) τοῦτον τὸν τρόπον καὶ τὰ νομοθετικῆς τῆς 131
παρὰ ἀνθρώποις κατεβλήθη σπέρματα· „ἦν γάρ τις“ φησίν „ἐκ τῆς φυλῆς
Λευί, ὃς ἔλαβε τῶν θυγατέρων τῶν Λευί, καὶ ἔσχεν αὐτήν. καὶ ἐν γαστρὶ
ἔλαβε καὶ ἔτεκεν ἄρρεν· ἰδόντες δὲ αὐτὸ ἀστεῖον ὂν ἐσκέπασαν αὐτὸ μῆνας
τρεῖς“ (Exod. 2,1. 2). οὗτός ἐστι Μωυσῆς, ὁ καθαρώτατος νοῦς, ὁ 132
ἀστεῖος ὄντως, ὁ νομοθετικὴν ὁμοῦ καὶ προφητείαν ἐνθουσιώσῃ καὶ θεο-
φορήτῳ σοφίᾳ λαβών, ὃς γένος ὢν τῆς Λευιτικῆς φυλῆς καὶ τὰ πρὸς
πατρὸς καὶ τὰ πρὸς μητρὸς ἀμφιθαλὴς τῆς ἀληθείας ἔχεται. μέγιστον 133
δὲ ἐπάγγελμα τοῦ γενάρχου τῆς φυλῆς ἐστι ταύτης· θαρρεῖ γὰρ λέγειν,
ὅτι αὐτός μοι μόνος ἐστὶ θεὸς τιμητέος (Exod. 20,3), ἄλλο δ' οὐδὲν
τῶν μετ' αὐτόν, οὐ γῆ, οὐ θάλασσα, οὐ ποταμοί, οὐκ ἀέρος φύσις, οὐ
πνευμάτων οὐχ ὡρῶν μεταβολαί, οὐ ζῴων οὐ φυτῶν ἰδέαι, οὐχ ἥλιος,
οὐ σελήνη, οὐκ ἀστέρων πλῆθος ἐν τάξεσιν ἐναρμονίοις περιπολούντων,
οὐχ ὁ σύμπας οὐρανός τε καὶ κόσμος. μεγάλης καὶ ὑπερφυοῦς ψυχῆς 134
τὸ αὔχημα, γένεσιν ὑπερκύπτειν καὶ τοὺς ὅρους αὐτῆς ὑπερβάλλειν καὶ
μόνου τοῦ ἀγενήτου περιέχεσθαι κατὰ τὰς ἱερὰς ὑφηγήσεις, ἐν αἷς διεί-
ρηται „ἔχεσθαι αὐτοῦ“ (Deut. 30,20). τοιγάρτοι τοῖς ἐχομένοις καὶ
ἀδιαστάτως θεραπεύουσιν ἀντιδίδωσι κλῆρον αὐτόν. ἐγγυᾶται δέ μου
τὴν ὑπόσχεσιν λόγιον, ἐν ᾧ λέγεται· „κύριος αὐτὸς κλῆρος αὐτοῦ“

1 θαυμάζουσαι (sic etiam v) τὸν διδόντα scripsi: θαυμάζουσι τὸν διδόντα MA, τὸν διδόντα θαυμάζουσι GFL$^{2}$, τὸν διδόντα H  1. 2 θεοσέβειαν MA  2 διορθοῦνται coni. Mang.  3 παρ' GF  τις] τι F, om. A  post φυλῆς add. τῆς MH$^{1}$  4 post Λευί add. Ἀβραάμ GF, Ἀμράμ Mang.  ὃς] καὶ GF  τῶν θυγατέρων τῶν Λευί MAH: γυναῖκα Ἰοχάβελ GF  ἔσχεν GF: ἔσχηκεν MAH  αὐτὴ GF  5 ἔλαβε] ἔτεκε H  αὐτὸ om. GFL$^{2}$  6 Μωσῆς GF  7 προφητικὴν GFL$^{2}$  ἐνθουσιώθη A, ἐνθουσιώσει G, ὁμοῦ ἐνθουσιώσῃ FL$^{2}$  8 σοφία MAH: μανία GF  ὃς GFH$^{2}$: om. MA(H$^{1}$)  γένος om. GF  ὢν] ὂν A  9 ἀμφιθαλὲς H$^{2}$, ἀπαμφιασθεὶς GFL$^{2}$  10 ἀπάγγελμα M, ἐπαύχημα coni. Mang.  γενάρχου AF: γεννάγχου GH$^{2}$, γενεάρχου MH$^{1}$  λέγων G  11 ἐστὶν ὁ θεὸς H  τιμή, ὅσα δ' ἄλλα οὐδὲν GF  ἀλλ' οὐδὲν A  12 τῶν μετ' αὐτὸν om. HL$^{1}$  μεθ' ἑαυτὸν GFL$^{2}$  primum οὐ] οὐχὶ GFL$^{2}$  alterum οὐ AHL$^{1}$: οὐχὶ MGFL$^{2}$  θάλαττα GF  tertium οὐ AGF: οὐχὶ MH  φύσεις F  13 οὐχ ὡρῶν Markland: οὐκ ἀέρων MAH, οὐ καιρῶν GF  14 ἐναρμονίαις MA  16 ὑποκύπτειν H$^{1}$  ὑπερβαίνειν GFL$^{2}$  17 μονονοὺ τοῦ G  ἀγεννήτου AGF  17. 18 διῄρηται G, δ' εἴρηται A  19 ἀντιδώσει FL$^{2}$, ἀντιδόσει G  αὐτόν H$^{2}$: αὐτόν ceteri  ἐγγυεῖται F  20 αὐτὸς om. H  αὐτοῦ MAH: αὐτῷ GF, αὐτῶν conicio, quod *de plant.* § 63 non debui in dubium vocare; habet enim etiam Lucianus

135 (Deut. 10, 9). οὕτως ἐν γαστρὶ λαμβάνουσαι μᾶλλον ἢ ἔχουσαι αἱ
ψυχαὶ τίκτειν πεφύκασι. καθάπερ δ' οἱ σώματος ὀφθαλμοὶ πολλάκις
μὲν ἀμυδρῶς πολλάκις δὲ τηλαυγῶς ὁρῶσι, τὸν αὐτὸν τρόπον καὶ τὸ
τῆς ψυχῆς ὄμμα τοτὲ μὲν ὑποσυγκεχυμένας καὶ ἀδήλους τοτὲ δὲ καθα-
136 ρὰς καὶ τρανὰς δέχεται τὰς ἀπὸ τῶν πραγμάτων | ἰδιότητας. ἡ μὲν p. 539 M.
οὖν ἀσαφὴς καὶ ἀδηλουμένη προσβολὴ ἔοικε τῷ μήπω κατὰ γαστρὸς
ἐμβρύῳ διατυπωθέντι, ἡ δὲ ἐναργὴς καὶ τρανὴ μάλιστα τῷ διαπεπλασ-
μένῳ καὶ καθ' ἕκαστον τῶν ἐντός τε καὶ ἐκτὸς μερῶν τετεχνιτευμένῳ
137 καὶ τὴν ἁρμόττουσαν ἰδέαν ἀπειληφότι. νόμος δὲ ἐπὶ τούτοις ἐγράφη
πάνυ καλῶς καὶ συμφερόντως τεθεὶς οὗτος· „ἐὰν μαχομένων ἀνδρῶν
δύο πατάξῃ τις γυναῖκα ἐν γαστρὶ ἔχουσαν καὶ ἐξέλθῃ τὸ παιδίον αὐ-
τῆς μὴ ἐξεικονισμένον, ἐπιζήμιον ζημιωθήσεται· καθ' ὅ τι ἂν ἐπιβάλῃ
ὁ ἀνὴρ τῆς γυναικός, δώσει μετὰ ἀξιώματος· ἐὰν δὲ ἐξεικονισμένον ᾖ,
δώσει ψυχὴν ἀντὶ ψυχῆς" (Exod. 21, 22. 23). οὐ γὰρ ἦν ὅμοιον, τέ-
λειόν τε καὶ ἀτελὲς διανοίας ἔργον διαφθεῖραι, οὐδὲ εἰκαζόμενον καὶ
138 καταλαμβανόμενον, οὐδὲ ἐλπιζόμενον καὶ ἤδη ὑπάρχον. διὰ τοῦτο ὅπου
μὲν ἐπιτίμιον ἄδηλον ἐπ' ἀδήλῳ πράγματι, ὅπου δὲ ὡρισμένον ἐπὶ τε-
λείῳ νομοθετεῖται, τελείῳ δὲ οὐχὶ τῷ πρὸς ἀρετήν, ἀλλὰ τῷ κατά
τινα τέχνην τῶν ἀνεπιλήπτων γενομένῳ· κυοφορεῖ γὰρ αὐτὸ οὐχ ἡ λα-
βοῦσα, ἀλλ' ἡ ἐν γαστρὶ ἔχουσα, οἴησιν πρὸ ἀτυφίας ἐπαγγελλομένη.
καὶ γὰρ ἀμήχανον ἀμβλίσκειν τὴν ἐν γαστρὶ λαβοῦσαν, ἐπεὶ τὸ φυτὸν
ὑπὸ τοῦ σπείραντος ἐμπρεπὲς τελεσφορεῖσθαι· τὴν δὲ ἔχουσαν οὐκ
ἀνοίκειον, ἅτε νόσῳ χωρὶς ἰατροῦ κατεσχημένην.
139 (25.) Μὴ νομίσῃς δὲ τὴν Ἄγαρ λέγεσθαι ἑαυτὴν ὁρᾶν ἐν γαστρὶ
ἔχουσαν διὰ τοῦ „ἰδοῦσα ὅτι ἐν γαστρὶ ἔχει" (Gen. 16, 4), ἀλλὰ τὴν
κυρίαν αὐτῆς Σάρραν. καὶ γὰρ ὕστερον αὕτη περὶ ἑαυτῆς φησιν·

1 ἐν] αἱ ἐν MGF  λαμβάνουσαι et ἔχουσαι scripsi: priore loco ἔχουσαι, altero λαμβάνουσαι habent codd., ἔχουσαι om. F  αἱ om. GF  2 πεφύκασιν H  πολλάκι M  3 πολλάκι M  4 ποτὲ G  ποτὲ G  5 τρανεῖς GF  ἀναδέχεται H  6. 7 μήπω post ἐμβρύῳ vid. transp.  7 δ' GF  8 καὶ καθ'— τετεχνιτευμένῳ om. G  τεχνιτευμένω H  9 ἰδέαν om. F  9. 10 δὲ ἐπὶ—οὗτος om. G  9 τούτων conicio  10. 11 δύο ἀνδρῶν GF  12 καθότι MF  ἐπιβάλλῃ F  13 καὶ ante δώσει add. GF  14. 15 τέλειόν om. GF  15 διαφθείρειν GF  οὐδ' GF  16 οὐδ' GF  17 δ' GF  18 δ' GF  prius τῷ GF: om. MAH  19 ἀντιλήπτων G, ἀνεπιλήπτῳ (secl. τῶν) conicio  γενομένων MAH[1]  αὐτὸ Mang.: αὐτὸν codd.  20 πρὸς GF  21 τὴν ἐν] ἐν τῇ F  ἐπὶ GF[1]  22 τελεσφορεῖται A  22 δ' GF  23 κατισχημένην A  24 δὲ om. MA  25 τοῦ] τὸ AG  ἰδοῦσα] εἶδεν ex LXX conicio  26 αὕτη Cohn: αὐτῇ MH, σαυτῇ GF, αὐτὴν A  περὶ ἑαυτῆς H: περὶ αὐτῆς MA, om. GF

„ἰδοῦσα ὅτι ἐν γαστρὶ ἔχει, ἠτιμάσθην ἐνώπιον αὐτῆς“ (ibid. 5). διὰ 140
τί; ὅτι αἱ μέσαι τέχναι, καὶ εἰ τὰ καθ᾽ αὑτάς, ὧν εἰσιν ἐγκύμονες,
ὁρῶσιν, ἀλλά τοι πάντως ἀμυδρῶς ὁρῶσιν, ἀλλ᾽ ἐπιστῆμαι τηλαυγῶς
καὶ σφόδρα ἐναργῶς καταλαμβάνουσιν· ἐπιστήμη γὰρ πλέον ἐστὶ τέχνης,
τὸ βέβαιον καὶ ἀμετάπτωτον ὑπὸ λόγου προσειληφυῖα. τέχνης μὲν γὰρ 141
ὅρος οὗτος· σύστημα ἐκ καταλήψεων συγγεγυμνασμένων πρός τι τέλος
εὔχρηστον, τοῦ εὐχρήστου διὰ τὰς κακοτεχνίας ὑγιῶς προστιθεμένου·
ἐπιστήμης δέ· κατάληψις ἀσφαλὴς καὶ βέβαιος, ἀμετάπτωτος ὑπὸ λόγου.
μουσικὴν μὲν οὖν καὶ γραμματικὴν καὶ τὰς συγγενεῖς καλοῦμεν τέχνας 142
— καὶ γὰρ οἱ ἀποτελούμενοι δι᾽ αὐτῶν τεχνῖται λέγονται μουσικοί τε
καὶ γραμματικοί —, φιλοσοφίαν δὲ καὶ τὰς ἄλλας ἀρετὰς ἐπιστήμας καὶ
p. 540 M. τοὺς ἔχοντας αὐτὰς ἐπιστήμονας· | φρόνιμοι γάρ εἰσι καὶ σώφρονες καὶ
φιλόσοφοι, ὧν οὐδὲ εἷς ἐν τοῖς τῆς διαπεπονημένης ἐπιστήμης σφάλλεται
δόγμασι, καθάπερ οἱ προειρημένοι ἐν τοῖς τῶν μέσων τεχνῶν θεωρή-
μασιν. ὥσπερ γὰρ ὀφθαλμοὶ μὲν ὁρῶσιν, ὁ δὲ νοῦς δι᾽ ὀφθαλμῶν 143
τηλαυγέστερον, καὶ ἀκούει μὲν ὦτα, ὁ δὲ νοῦς δι᾽ ὤτων ἄμεινον, καὶ
ὀσφραίνονται μὲν οἱ μυκτῆρες, ἡ δὲ ψυχὴ διὰ ῥινῶν ἐναργέστερον, καὶ
αἱ ἄλλαι αἰσθήσεις τῶν καθ᾽ αὑτὰς ἀντιλαμβάνονται, καθαρώτερον δὲ
καὶ εἰλικρινέστερον ἡ διάνοια — κυρίως γὰρ εἰπεῖν ἥδ᾽ ἐστὶν ὀφθαλ-
μὸς μὲν ὀφθαλμῶν, ἀκοὴ δὲ ἀκοῆς καὶ ἑκάστης τῶν αἰσθήσεων αἴσθη-
σις εἰλικρινεστέρα, χρωμένη μὲν ἐκείναις ὡς ἐν δικαστηρίῳ ὑπηρέτισι,

---

1 ἠτιμάσθην ex LXX scripsi: ἠτιμάσθη MHF, ἡτοιμάσθη AGL 2 καὶ εἰ τὰ καθ᾽ αὑτάς MAH: καὶ εἰ καθ᾽ αὑτὰς FN, καὶ εἰ καθ᾽ αὑτὰς ἐπιστῆμαι G, καὶ αἱ (vel οἱ) κατ᾽ αὐτὰς Mang. 3 ἀλλ᾽] αἱ δ᾽ GF 4 ἐναργῆ G ἐστὶν H 6 ἐκ καταλήψεων MGF$^2$: ἐγκαταλήψεων AHN(F$^1$) συγγεγυμνασμένων scripsi (cf. Sextum): ἐγγεγυμνασμένων MHG$^2$N, ἐγγεγυμνασμένον AG$^1$F 8 ἐπιστήμη MAH$^1$ βεβαία GFN ἀμετάπτωτον A 10 γὰρ om. L ἀποκαλούμενοι G 12 γάρ] τε γάρ GFN 13. 14 τῆς — δόγμασι om. G 13 τῆς om. FN διαπεπονημένοις N 15 γὰρ] γὰρ οἱ G μὲν om. N 16 ἀκούειν F 17 ὀσφραίνονται GFN: ὀσφρῶνται MAH 18 αἱ in mg. H$^2$, om. F κατ᾽ αὐτὰς GF. 20 ἑκάστης H$^2$: ἑκάστης δὲ GFN, ἑκάστη MAH$^1$ 21 χρωμὲν G$^1$, χρωμένη G$^2$ (om. μὲν)

---

2—102,15 N fol. 167$^v$ ὅτι αἱ μέσαι — ἐκείνη. 5 ss. Stobaeus Ecl. II 73,19 W. ss. εἶναι δὲ τὴν ἐπιστήμην κατάληψιν ἀσφαλῆ καὶ ἀμετάπτωτον ὑπὸ λόγου· ἑτέρως δὲ ἐπιστήμην σύστημα ἐκ καταλήψεων .... Sextus Emp. Adv. mathem. II 10 p. 676,24 B. (et alibi) πᾶσα τοίνυν τέχνη σύστημά ἐστιν ἐκ καταλήψεων συγγεγυμνασμένων καὶ ἐπὶ τέλος εὔχρηστον τῷ βίῳ λαμβανόντων τὴν ἀναφοράν (cf. Zeller, philos. gr. III 1 p. 76 et Clem. Alex. ed. Dind. IV p. 234). Zenonis hanc definitionem esse Olympiodorus testatur; v. Dionysii Thracis artem ed. Uhlig p. XCIX.

δικάζουσα δ' αὐτὴ τὰς φύσεις τῶν ὑποκειμένων, ὡς τοῖς μὲν συναινεῖν,
τὰ δὲ ἀποστρέφεσθαι —, οὕτως αἱ μὲν λεγόμεναι μέσαι τέχναι ταῖς κατὰ
τὸ σῶμα δυνάμεσιν ἐοικυῖαι τοῖς θεωρήμασιν ἐντυγχάνουσι κατά τινας
ἁπλᾶς ἐπιβολάς, ἀκριβέστερον δὲ ἐπιστῆμαι καὶ σὺν ἐξετάσει περιττῇ.
144 ὃ γὰρ νοῦς πρὸς αἴσθησιν, τοῦτ' ἐπιστήμη πρὸς τέχνην ἐστί· καθάπερ
γὰρ αἴσθησίς τις αἰσθήσεων, ὡς ἐλέχθη πρότερον, ἐστὶν ἡ ψυχή * * *
ἐκείνων μὲν οὖν ἑκάστη μικρὰ ἄττα τῶν ἐν τῇ φύσει παρεσπάσατο,
περὶ ἃ πονεῖται καὶ πραγματεύεται, γραμμὰς μὲν γεωμετρία, φθόγγους
δὲ μουσική, φιλοσοφία δὲ πᾶσαν τὴν τῶν ὄντων φύσιν· ὕλη γάρ ἐστιν
αὐτῆς ὅδε ὁ κόσμος καὶ πᾶσα ἡ τῶν ὄντων ὁρατή τε καὶ ἀόρατος οὐ-
145 σία. τί οὖν θαυμαστόν, εἰ ἡ τὰ ὅλα καθορῶσα θεᾶται καὶ τὰ μέρη,
καὶ ἄμεινον ἐκείνων, ἅτε ὀφθαλμοῖς μείζοσι καὶ ὀξυδερκεστέροις ἐνομ-
ματωθεῖσα; εἰκότως οὖν ἡ κυρία φιλοσοφία τὴν μέσην παιδείαν,
τὴν θεραπαινίδα αὐτῆς, ἐγκύμονα θεάσεται μᾶλλον ἢ ἑαυτὴν ἐκείνη.
146 (26.) καίτοι γ' οὐδὲ τοῦτό τις ἀγνοεῖ, ὅτι πάσαις ταῖς κατὰ μέρος
τὰς ἀρχὰς καὶ τὰ σπέρματα, ἐξ ὧν ἀναβλαστεῖν ἔδοξε τὰ θεωρή-
ματα, φιλοσοφία δεδώρηται. ἰσόπλευρα γὰρ καὶ σκαληνὰ κύκλους τε
καὶ πολυγώνια καὶ τὰ ἄλλα σχήματα γεωμετρία προσεξεῦρε, σημείου
δὲ καὶ γραμμῆς καὶ ἐπιφανείας καὶ στερεοῦ φύσιν, ἃ δὴ ῥίζαι καὶ
147 θεμέλιοι τῶν λεχθέντων εἰσίν, οὐκέτι γεωμετρία. πόθεν γὰρ αὐτῇ λέ-
γειν ὁριζομένῃ, ὅτι σημεῖον μέν ἐστιν οὗ μέρος οὐδέν, γραμμὴ δὲ μῆ-
κος ἀπλατές, ἐπιφάνεια δὲ ὃ μῆκος καὶ πλάτος μόνον ἔχει, στερεὸν δὲ
ὃ τὰς τρεῖς ἔχει διαστάσεις, μῆκος, πλάτος, βάθος; ταῦτα γὰρ ἀνά-
148 κειται φιλοσοφίᾳ καὶ ἡ περὶ ὅρων πραγματεία πᾶσα τῷ φιλοσόφῳ. τό
γε μὴν γράφειν καὶ ἀναγινώσκειν γραμματικῆς τῆς ἀτελεστέρας ἐπάγ-

---

2 τὰ GFH$^2$N: τοὺς MA(H$^1$) δ' GFN 3 τοῖς om. AH$^1$ 4 δὲ] δὲ αἱ GFN 6 αἰσθήσεως A οὕτως τέχνη τις τεχνῶν ἐπιστήμη suppleo 7 ἄττα AN: ἅττα MH, τὰ GF παρεπεσπάσατο F 9 πᾶσα A 10 ὁ om. MA τῶν om. H ante τε ras. H 11 ἡ om. AGFN θεάσεται GFN 12. 13 ὀμματωθεῖσα GFN 13 οὖν om. H μεγίστην G 14 ἐκείνην AHF 15 γε GF τοῦτό] τότε M 16 ⟨τέχναις⟩ τὰς conicio 17 γὰρ om. GF 18 πολυγώνια MH$^2$: πολύγωνα H$^1$GF, πολύγονα A γεωμετρίαν H$^1$L$^1$ προεξεῦρε coni. Mang. 19 ἐπιφανείας καὶ γραμμῆς H στερεᾶς (corr. ex στερεοῦ) φύσεως A 20. 21 αὐτὴ λέγει ὁριζομένη Turn. 21 ὁρίζομεν ἢ GF post οὐδὲν add. ἐστι G 22 post ἀπλατές add. ἐστὶν GF 23 γὰρ] δὲ GF 25 καὶ] ἢ GF

---

25. 103,2 cf. Dionysii Thracis artem § 1 p. 5 Uhlig.

γελμα, ἣν παρατρέποντές τινες γραμματιστικὴν καλοῦσι, τῆς δὲ τελειο-
p. 541 M. τέρας ἀνάπτυξις τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν. | ἐπειδὰν οὖν
περὶ τῶν τοῦ λόγου διεξέρχωνται μερῶν, τότε οὐ τὰ φιλοσοφίας εὑρή-
ματα παρασπῶνταί τε καὶ παρεργολαβοῦσι; ταύτης γὰρ ἴδιον ἐξετάζειν, 149
τί σύνδεσμος, τί ὄνομα, τί ῥῆμα, τί κοινὸν ὄνομα, τί ἴδιον, τί ἐλλιπὲς
ἐν λόγῳ, τί πλῆρες, τί ἀποφαντόν, τί ἐρώτημα, τί πύσμα, τί περιεκτι-
κόν, τί εὐκτικόν, τί ἀρατικόν· τὰς γὰρ περὶ αὐτοτελῶν καὶ ἀξιωμάτων
καὶ κατηγορημάτων πραγματείας ἥδ' ἐστὶν ἡ συνθεῖσα. ἡμίφωνον δὲ 150
ἢ φωνῆεν ἢ παντελῶς ἄφωνον στοιχεῖον ἰδεῖν, καὶ πῶς ἕκαστον τούτων
εἴωθε λέγεσθαι, καὶ πᾶσα ἡ περὶ φωνῆς καὶ στοιχείων καὶ τῶν τοῦ
λόγου μερῶν ἰδέα οὐ φιλοσοφίᾳ πεπόνηται καὶ κατήνυσται; βραχείας δ'
ὥσπερ ἀπὸ χειμάρρου σπάσαντες λιβάδας καὶ βραχυτέραις ταῖς ἑαυτῶν
ψυχαῖς ἐναποθλίψαντες τὸ κλαπὲν οἱ φῶρες οὐκ ἐρυθριῶσι προφέροντες
ὡς ἴδιον.

(27.) Οὗ χάριν φρυαττόμενοι τῆς κυρίας, ᾗ τὸ κῦρος ὄντως καὶ ἡ 151
τῶν θεωρουμένων ἀνάκειται βεβαίωσις, ἀλογοῦσι. συναισθομένη δὲ αὕτη
τῆς ὀλιγωρίας τούτων ἐλέγξει καὶ μετὰ παρρησίας φήσει· ἀδικοῦμαι
καὶ παρασπονδοῦμαι τό γε ἐφ' ὑμῖν ὁμολογίας παραβαίνουσιν. ἀφ' οὗ 152
γὰρ ἐνεκολπίσασθε τὰ προπαιδεύματα, τῆς ἐμῆς θεραπαινίδος τὰ ἔγγονα,
τὴν μὲν ὡς γαμετὴν ἐξετιμήσατε, ἐμὲ δὲ οὕτως ἀπεστράφητε, ὡς

---

1 γραμματιστικὴν Fv: γραμματικὴν ceteri 2 τε om. F 3 περὶ om. GF τότε om. AGF 3. 4 εὑρήματα F: εὑρέματα ceteri 4 τε om. H 5 ὄνομα, τί ἴδιον, τί κοινόν, τί ἐλλιπὲς GF (ceteris omissis) ἐλλειπὲς $MH^1$ 6 ἀπο-φαντός G πεῦσμα GF, πτύσμα A 6. 7 τί περιεκτικόν om. GF, τί προσταχτικόν conicio, nam περιεκτικόν (v. Uhligii Indicem) huc non pertinet.
7 εὐκτικόν, τί ἀρατικόν scripsi: εὐκτικόν M, ὁρατικόν A, εὖ τί κακόν ἄρα GF, εὖ, κακὸν δὲ τί H τὰς γὰρ] καὶ γὰρ τὰς H 8 δὲ om. A 8. 9 δὲ — ἄφωνον add. in mg. M, δὲ add. $H^2$ 9 στοιχεῖον om. F 11 διαπεπόνηται conicio κατανυσται G (ή s. s.), τηνυ in spatio om. A δὲ MA
12 ταῖς $GFH^2$: om. $MAH^1$ 13 ἐναποκρύψαντες coni. Mang. φωστῆρες A προσφέροντες $AG^1$ 15 ᾗ] ἡ A 16 αὕτη $GFL^2$: om. ceteri, αὐτὴ v 17 τούτων GF: om. ceteri φησὶν AF, evanidum in G 19 ἐκολπίσασθε G

---

5 ss. cf. Laert. Diog. VII 60 et Dionysium, etiam *de agric.* § 141. 15 sqq. *Orig. Comment. in Gen. p. 36* (ad Gen. 16,5): ἐπίτηδες οὐκ ἐσαφηνίσθη τὸ ὑπὸ τίνος, ἵνα ἡμεῖς ζητήσαντες εὕρωμεν, ὅτι πέφυκεν ἀτιμάζεσθαι ἀρετή, ἡνίκα τὰ προπαιδεύματα γεννήσῃ, οὐ πάντως ὑπὸ τοῦ Ἀβραάμ, ἀλλ' ἤτοι ὑπὸ τῆς παιδίσκης ἢ τῶν χαιρόντων πρὸ τῆς γενέσεως τῶν κρειττόνων τοῖς γεννήμασιν αὐτῆς.

μηδὲ πώποτε ἐς ταὐτὸν ἐλθόντες. ἀλλ' ἴσως ἐγὼ μὲν ταῦτα περὶ ὑμῶν
ὑπείληφα, ἐκ τῆς φανερᾶς πρὸς τὴν οἰκέτιν ὁμιλίας τὴν ἄδηλον πρὸς
ἐμὲ αὐτὴν ἀλλοτρίωσιν τεκμαιρομένη· εἰ δ' ὑμεῖς ἐναντίως ἢ ὡς
ὑπείληφα διάκεισθε, γνῶναι μὲν ἀμήχανον ἑτέρῳ, ῥᾴδιον δὲ μόνῳ θεῷ.
153 διόπερ οἰκείως ἐρεῖ· „κρίναι ὁ θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ" (Gen.
16,5), οὐ προκατεγνωκυῖα ὡς ἠδικηκότος, ἀλλ' ἐνδοιάζουσα ὡς τάχ'
ἂν ἴσως καὶ κατορθοῦντος· ὅπερ ἀψευδῶς οὐκ εἰς μακρὰν ἀναφαίνεται
δι' ὧν ἀπολογούμενος καὶ τὸν ἐνδοιασμὸν αὐτῆς ἐξιώμενός φησιν·
„ἰδοὺ ἡ παιδίσκη ἐν ταῖς χερσί σου, χρῶ αὐτῇ, ὡς ἂν σοι ἀρεστὸν ᾖ"
154 (Gen. 16,6). καὶ γὰρ ὁ παιδίσκην εἰπὼν ἀμφότερα ὁμολογεῖ, τό τε
δούλην καὶ τὸ νηπίαν εἶναι — τὸ γὰρ τῆς παιδίσκης ὄνομα ἑκατέρῳ
τούτων ἐφαρμόζει —, συνομολογεῖ δὲ πάντως εὐθὺς καὶ τἀναντία, τῇ
μὲν νηπίᾳ τὴν τελείαν, τῇ δὲ δούλῃ τὴν κυρίαν, μονονοὺ βοῶν ἄντι-
κρυς, ὅτι τὴν μὲν ἐγκύκλιον παιδείαν καὶ ὡς νεωτέραν καὶ ὡς θεραπαι-
νίδα ἀσπάζομαι, τὴν δὲ ἐπιστήμην καὶ φρόνησιν ὡς τελείαν καὶ δέσποι-
155 ναν ἐκτετίμηκα. τὸ δὲ „ἐν ταῖς χερσί σου" δηλοῖ μὲν τὸ ὑποχείριός
ἐστί σοι. σημαίνει δὲ καὶ τοιοῦτον ἕτερον· τὰ μὲν τῆς δούλης εἰς
χεῖρας | ἀφικνεῖται σώματος — σωματικῶν γὰρ ὀργάνων καὶ δυνάμεων p. 542 M.
τὰ ἐγκύκλια χρεῖα —, τὰ δὲ τῆς κυρίας εἰς ψυχὴν ἔρχεται· λογισμοῖς
156 γὰρ τὰ κατά τε φρόνησιν καὶ ἐπιστήμην ἀνατίθεται. ὥσθ' ὅσῳ δυνα-
τώτερον καὶ δραστικώτερον καὶ τοῖς ὅλοις κρεῖττον διάνοια χειρός ἐστι,

---

1 μηδέποτε A εἰς GF αὐτὸν G ἴσως ⟨οὐκ ὀρθῶς⟩ e. gr. conicio μὲν om. GF περὶ] ὑπὲρ F 2 οἰκέτιν] παιδίσκην om. GF 2. 3 ἄδηλον — αὐτὴν om. G 3 εἰ δ' MAH: τάχα δὲ GF, τάχα καὶ L[2] ὑμῖν ἐναντίον L[1] 4 γνώμην ἀμήχανον μὲν ἑτέρῳ συνιδεῖν, ῥᾴδιον GF 6 προκατεγνωκυῖα H: προκατεγνωκυίας MA, κατεγνωκυῖα GF ἀλλ'] ἀλλ' ἀντ' G, ἀλλ' ἅτ' F τάχα GF 7 ἀψευδῶς οὐκ om. G μακρὸν H ἀνεφαίνετο G 9 ᾖ GF (Clem.): om. MAH 10 ὁμολογεῖ ἀμφότερα GF 11 νηπίαν Turn.: νήπιον codd. ἑκατέρων A 12 ἐναντίαν vel τἀναντία ⟨τῇ ἐπιστήμῃ⟩ conicio 13 νηπία τὴν τελείαν GF: τελεία τὴν νηπίαν MAH μονονουχὶ GF 15 δ' GF alt. καὶ] τε καὶ G 17 σημεῖον δὲ πέφυκε καὶ ἑτέρου τοιούτου H 18 χρείας coni. Mang. σώματος H: σώματα MA, om. GF 19 ἔρχονται H 19. 20 λογισμῷ τε γὰρ GFL[2] 20 τε om. GF ὡς G, om. F 21 post δραστικώτερον add. ἀδυνατώτερον M κρείττω F διάνοια χειρός Mang.: διάνοια χρεῖος GFH[2], διανοίας χρεῖος MAH[1]

---

9. 14—16 *Clem. Alex. Strom. I 32 p. 335 P.*: „ἰδοὺ ἡ παιδίσκη ἐν ταῖς χερσί σου, χρῶ αὐτῇ ὡς ἂν σοι ἀρεστὸν ᾖ" φησὶ δηλῶν, ὅτι ἀσπάζομαι μὲν τὴν κοσμικὴν παιδείαν καὶ ὡς νεωτέραν καὶ ὡς σὴν θεραπαινίδα, τὴν δὲ ἐπιστήμην τὴν σὴν ὡς τελείαν δέσποιναν τιμῶ καὶ σέβω.

τοσούτῳ τῆς ἐγκυκλίου μουσικῆς ἐπιστήμην καὶ φρόνησιν θαυμασιωτέραν εἶναι νενόμικα καὶ διαφερόντως ἐκτετίμηκα. λαβοῦσα οὖν, ὦ καὶ ὑπάρχουσα καὶ πρὸς ἐμοῦ νομιζομένη κυρία, τὴν ἐμὴν ἅπασαν παιδείαν ὡς θεραπαινίδι χρῶ, „ὡς εὐάρεστόν σοι.“ τὸ δὲ σοὶ εὐάρεστον οὐκ 157
ἀγνοῶ ὅτι πάντως ἐστὶν ἀγαθόν, εἰ καὶ μὴ προσηνές, καὶ ὠφέλιμον, εἰ καὶ μακρὰν τοῦ ἡδέος ἀφέστηκεν. ἀγαθὸν δὲ καὶ ὠφέλιμον τοῖς ἐλέγχου δεομένοις νουθεσία, ὃ ἑτέρῳ ὀνόματι κάκωσιν ὁ ἱερὸς μηνύει λόγος.

(28.) Διόπερ ἐπιφέρει· „καὶ ἐκάκωσεν αὐτὴν“ (Gen. 16, 6), 158
ἴσον τῷ ἐνουθέτησε καὶ ἐσωφρόνισε. λυσιτελὲς γὰρ σφόδρα τοῖς ἐν ἀδείᾳ καὶ ἐκεχειρίᾳ, καθάπερ ἵπποις ἀφηνιασταῖς, ὀξὺ κέντρον, ἐπεὶ μάστιγι μόλις καὶ ἀγωγῇ δαμασθῆναι καὶ τιθασευθῆναι δύνανται. ἢ τὰ 159
προκείμενα ἆθλα οὐχ ὁρᾷς τοῖς ἀνεπιπλήκτοις; λιπῶσιν, εὐρύνονται, πιαίνονται, λαμπρὸν πνέουσιν· εἶτα αἴρονται τὰ ἀσεβείας, οἱ πανάθλιοι καὶ βαρυδαίμονες, οἰκτρὰ βραβεῖα, ⟨ἐπ'⟩ ἀθεότητι κηρυττόμενοι καὶ στεφανούμενοι. διὰ γὰρ τὴν λείως ῥέουσαν εὐτυχίαν ὑπέλαβον ἑαυτοὺς εἶναι τοὺς ὑπαργύρους καὶ ὑποχρύσους θεούς, νομίσματος κεκιβδηλευμένου τὸν τρόπον, τοῦ ἀληθινοῦ καὶ ὄντως ὄντος ἐκλαθόμενοι. μαρτυρεῖ 160
δὲ καὶ Μωυσῆς ἐν οἷς φησιν· „ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη καὶ ἐγκατέλιπε θεὸν τὸν ποιήσαντα αὐτόν“ (Deut. 32, 15)· ὥστε εἰ ἡ ἐπὶ πλέον ἄνεσις τὸ μέγιστον κακόν, ἀσέβειαν, ὠδίνει, τοὐναντίον ἡ μετὰ νόμου κάκωσις ἀγαθὸν τέλειον ἀποτίκτει, τὴν ἀοίδιμον νουθεσίαν. ἐνθένδε ὁρμηθεὶς καὶ τῆς πρώτης ἑορτῆς τὸ σύμβολον „ἄρτον κακώ- 161
σεως“ εἶπε (Deut. 16, 3), τὰ ἄζυμα. καίτοι τίς οὐκ οἶδεν, ὅτι ἑορταὶ

---

1. 2 θαυμασιώτερον GF 2 ἐντετίμηκα GF ὦ] ὡς FL[2] 3 νομιζομένην κυρίαν A ἅπασι H[1], corr. in mg. H[2] 4 θεραπαινίδα A, fort. recte 6 τοῖς] τῆς F 7 νουθεσίας FL[2] ὃ] δὲ ὃ A κακώσεως conicio vel ὀνομάζει pro μηνύει ⟨καλέσας⟩ ὁ coni. Cohn ὁ ἱερὸς μηνύει GF: μηνύει ὁ ἱερὸς MAH 10 ἴσων A 11 ἀδείῳ F ἐκκεχειρία M 12 τιθασσευθῆναι GF ἢ GFH[2]: om. MA(H[1]), ἡ Turn., ᾗ (ἢ in appendice) Mang. 13 τοῖς ἀνεπιπλήκτοις „quidam viri docti“ (Mang.): τοῖς ἀνεπιπλήκτως GF, τοὺς ἀνεπιπλήκτους MAH εὐρύνονται om. A, παχύνονται coni. Mang. (v. lin. 19) 14 αἱροῦνται G[2] 15 ἐπ' addidi 15. 16 καὶ στεφανούμενοι om. GF 17. 18 κεκιβδηλευμένοι GF, fort. recte, nisi potius deest aliquid, velut ἑαυτοὺς παραχαράττοντες (μιμησάμενοι add. Cohn) 18 ὄντος ὄντως GF 19 καὶ om. GF Μωσῆς HGF 21 ἄφεσις G, sed post φ ras. ante ἡ add. δὲ G[2] 23 ἐνθένδεν H, ἐντεῦθεν GF 24 καί τοις F

---

9 *ibid* „καὶ ἐκάκωσεν αὐτὴν Σάρρα“ ἴσον τῷ ἐσωφρόνισε καὶ ἐνουθέτησεν.

καὶ θαλίαι περιποιοῦσιν ἱλαρὰς εὐφροσύνας καὶ εὐθυμίας, οὐ κακώσεις;
162 ἀλλὰ δῆλον, ὡς ὀνόματι καταχέχρηται πόνου, τοῦ σωφρονιστοῦ. τὰ γὰρ
πλεῖστα καὶ μέγιστα τῶν ἀγαθῶν ἀσκητικαῖς ἀθλήσεσι καὶ ἥβωσι πόνοις
εἴωθε περιγίνεσθαι· ψυχῆς δὲ ἑορτὴ ζῆλος ὁ τῶν ἀρίστων καὶ τελεσφο-
ρούμενος πόνος. οὗ χάριν διείρηται καὶ „ἐπὶ πικρίδων τὰ ἄζυμα
ἐσθίειν“ (Exod. 12,8) οὐχ ὡς προσεψήματος, ἀλλ' ἐπειδὴ τὸ μὴ οἰδεῖν
καὶ ἀναζεῖν ταῖς ἐπιθυμίαις, ἐστάλθαι δὲ καὶ συνῆχθαι πρὸς ἀηδίας οἱ
πολλοὶ τίθενται, πικρὸν ἡγούμενοι τὸ | ἀπομαθεῖν τὸ πάθος, ὅπερ ἐστὶν p. 543 M.
163 εὐφροσύνη καὶ ἑορτὴ διανοίᾳ φιλάθλῳ. (29.) ταύτης ἕνεκά μοι δοκεῖ
τῆς αἰτίας ἐν χωρίῳ, ὃ κέκληται πικρία, τὰ νόμιμα ἀναδιδαχθῆναι·
ἡδὺ μὲν γὰρ τὸ ἀδικεῖν, ἐπίπονον δὲ τὸ δικαιοπραγεῖν· τοῦτο δέ ἐστιν
ὁ ἀψευδέστατος νόμος. ἐξελθόντες, γάρ φησιν, ἐκ τῶν Αἰγυπτιακῶν
παθῶν „ἦλθον εἰς Μερρά, καὶ οὐκ ἠδύναντο πιεῖν ὕδωρ ἐκ Μερρῶν·
πικρὸν γὰρ ἦν. διὰ τοῦτο ἐπωνομάσθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου
πικρία. καὶ διεγόγγυζεν ὁ λαὸς κατὰ Μωυσῆ λέγοντες· τί πιόμεθα;
ἐβόησε δὲ Μωυσῆς πρὸς κύριον, καὶ ἔδειξεν αὐτῷ κύριος ξύλον, καὶ
ἐνέβαλεν αὐτὸ εἰς τὸ ὕδωρ, καὶ ἐγλυκάνθη τὸ ὕδωρ. ἐκεῖ ἔθετο αὐτῷ
δικαιώματα καὶ κρίσεις, κἀκεῖ αὐτὸν ἐπείραζεν“ (Exod. 15,23—25).
164 ἡ γὰρ ἄδηλος ἀπόπειρα καὶ δοκιμασία τῆς ψυχῆς ἐστιν ἐν τῷ πονεῖν
καὶ πικραίνεσθαι· ὅπῃ γὰρ ταλαντεύσει, χαλεπὸν διαγνῶναι. οἱ μὲν
γὰρ προκαμόντες ἀνέπεσον, βαρὺν ἀντίπαλον ἡγησάμενοι τὸν πόνον, καὶ
τὰς χεῖρας ὑπ' ἀσθενείας ὥσπερ ἀπειρηκότες ἀθληταὶ καθῆκαν, παλιν-
165 δρομεῖν εἰς Αἴγυπτον ἐπὶ τὴν ἀπόλαυσιν τοῦ πάθους ἐγνωκότες. οἱ δὲ

---

1 θάλειαι G, θάλιαί τε F ποιοῦσιν F εὐθυμίας καὶ εὐφροσύνας GF 4 δ' H ὀργὴ MA 4. 5 τελεσφορούμενος MAF: τελεσφορουμένου G, τελεσφορουμένων H 5 πόθος coni. Mang. διήρηται AG 6 ὡς] οὕτως A προσεψήματος HGF: προσεψέματος MA, προσοψήματος v ἐπὶ τὸ G, ἐπὶ τῷ F 7 ἀναζῆν A, ἀνάγειν GF, ἀναζητεῖν H 9 ἑορτὴ καὶ εὐφροσύνη H δοκῶ GF 10 ἐν χωρίῳ ὃ κέκληται GFH[2]: ἐγχωρίως κεκλῆσθαι MAH[1] πικρὰ G τὰ νόμιμα om. A ἀναδειχθῆναι GF 11 ἐπίπονον] πικρὸν coni. Mang. 12 ἀψευδὴς MA 13 Μερρά scripsi (sic H[1] ut vid.): Μερὰν F, Μερράν ceteri πιεῖν] τοῦ πιεῖν G[2]F ἐκ] ἀπὸ GF Μερρῶν MA: Μερρὰν G, Μερὰν F, Μερρᾶς H 14 ἐκεί-νου om. GF 15 ἐγόγγυζεν G Μωυσῆ A: Μωσῆ ceteri πιόμεθα prius H: πιώμεθα ceteri 16 Μωσῆς AGF 17 καὶ ἐγλυκάνθη τὸ ὕδωρ om. A 18 κρίσεις G: κρίσιν ceteri ἐπείραζεν αὐτόν GF 20 ταλαντεύσῃ FH[1] 21 προκάμνοντες GF ἀνέπεσαν F 22 ὑπ'] ἐπ' A post ἀπειρηκότες add. ἄθλοις GF ἐκάθισαν GF 23 ἐπεὶ A ἐπὶ — πάθους om. GF

---

2—4 D[R] fol. 274[r] Φίλωνος Anton. Mel. II 45 col. 1123: τὰ πλεῖστα — περιγίνεσθαι.

τὰ φοβερὰ καὶ δεινὰ τῆς ἐρήμης πάνυ τλητικῶς καὶ ἐρρωμένως ἀνα-
δεχόμενοι τὸν ἀγῶνα τοῦ βίου διήθλησαν ἀδιάφθορον καὶ ἀήττητον
φυλάξαντες καὶ τῶν τῆς φύσεως ἀναγκαίων κατεξαναστάντες, ὡς πεῖναν,
δίψος [ῥῖγος], κρύος, θάλπος, ὅσα τοὺς ἄλλους εἴωθε δουλοῦσθαι, κατὰ
πολλὴν ἰσχύος περιουσίαν ὑπάγεσθαι. αἴτιον δὲ ἐγένετο οὐ ψιλὸς ὁ 166
πόνος, ἀλλὰ σὺν τῷ γλυκανθῆναι· λέγει γάρ· „ἐγλυκάνθη τὸ ὕδωρ,“
γλυκὺς δὲ καὶ ἡδὺς πόνος ἑτέρῳ ὀνόματι φιλοπονία καλεῖται. τὸ γὰρ
ἐν πόνῳ γλυκὺ ἔρως ἐστὶ καὶ πόθος καὶ ζῆλος καὶ φιλία τοῦ καλοῦ.
μηδεὶς οὖν τὴν τοιαύτην κάκωσιν ἀποστρεφέσθω, μηδ' „ἄρτον κακώ- 167
σεως“ νομισάτω ποτὲ λέγεσθαι τὴν ἑορτῆς καὶ εὐφροσύνης τράπεζαν
ἐπὶ βλάβῃ μᾶλλον ἢ ὠφελείᾳ· τρέφεται γὰρ τοῖς παιδείας δόγμασιν ἡ
νουθετουμένη ψυχή. (30.) τὸ ἄζυμον πέμμα τοῦτο οὕτως ἐστὶν ἱερόν, 168
ὥστε χρησμοῖς προστέτακται δώδεκα ἄρτους ἀζύμους ταῖς φυλαῖς
ἰσαρίθμους προτιθέναι ἐπὶ τῆς ἐν τοῖς ἀδύτοις χρυσῆς τραπέζης
(Exod. 25, 29), καὶ καλοῦνται προθέσεως. καὶ νόμῳ δὲ ἀπείρηται 169
πᾶσαν ζύμην καὶ πᾶν μέλι προσφέρειν τῷ βωμῷ (Lev. 2,11)· χαλεπὸν
γὰρ ἢ τὰς γλυκύτητας τῶν κατὰ τὸ σῶμα ἡδονῶν ἢ τὰς τῆς ψυχῆς
ἀραιὰς καὶ χαύνους ἐπάρσεις καθιεροῦν ὡς ἅγια, τὰ φύσει βέβηλα καὶ
ἀνίερα ἐξ αὐτῶν. ἆρ' οὖν οὐκ εἰκότως ἐπισεμνυνόμενος ὁ προφήτης 170
λόγος, ὄνομα Μωυσῆς, ἐρεῖ· „μνησθήσῃ πᾶσαν τὴν ὁδὸν ἣν ἤγαγέ σε
κύριος ὁ θεὸς ἐν ἐρήμῳ, ὅπως ἂν κακώσῃ σε καὶ ἐκπειράσῃ σε καὶ
p. 544 M. διαγνωσθῇ τὰ ἐν καρδίᾳ σου, εἰ φυλάξεις ἐντολὰς αὐτοῦ ἢ | οὔ· καὶ
ἐκάκωσέ σε καὶ ἐλιμαγχόνησέ σε καὶ ἐψώμισέ σε τὸ μάννα, ὃ οὐκ
ᾔδεισαν οἱ πατέρες σου, ἵνα ἀναγγείλῃ σοι, ὅτι οὐκ ἐπ' ἄρτῳ μόνῳ
ζήσεται ὁ ἄνθρωπος, ἀλλ' ἐν παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος

---

1 τῆς ἐρήμης MH$^1$F$^2$: τοῖς ἐρήμοις A, τῆς ἐρημίας GF$^1$H$^2$ 1. 2 ἀναποδεχόμενοι F 4 δίψαν conicio ῥῖγος secl. Mang., post ῥῖγος add. ὕπνον GF δηλοῦσθαι A 5 ψιλὸς H$^2$: ψιλὸν ceteri, quo servato fort. scrib. τὸ πονεῖν 7 ὁ ante γλυκὺς add. H$^2$ 8 γλυκὺς G 11 ἐπιλάβῃ G ἢ ὠφελείᾳ om. G 12 νουθετημένη G 13 προτέτακται G 14 προτεθῆναι A 15. 16 καὶ καλοῦνται — μέλι προς in mg. H$^2$ 16 post μέλι add. μὴ A βωμῷ] θεῷ G 17 τὸ om. MA 19 αὐτῶν H$^2$: αὐτῶν ceteri ὁ προφήτης om. M, ὁ προφητικὸς „Ms. Par. Reg.“ (Mang.) 20 Μωσῆς codd. N 21 ἐκπεράσῃ A alterum σε GFN: om. MAH 22 ἐγκάρδια HGFN εἰ] καὶ N 22. 23 ἢ οὔ· καὶ ex LXX (cf. leg. alleg. III § 174) scripsi: ἢ οὐκ codd. 23 alterum σε om. M τὸ] καὶ τὸ G 25 ὁ GFN: om. MAH ἄνθρωπος] ἀνὴρ N

---

19—108,6 N fol. 150r: ἆρα οὖν οὐκ — παραδείσου.

171 θεοῦ" (Deut. 8,2.3); τίς οὖν οὕτως ἀνόσιός ἐστιν, ὡς ὑπολαβεῖν
κακωτὴν τὸν θεὸν καὶ λιμόν, οἴκτιστον ὄλεθρον, ἐπάγοντα τοῖς ἄνευ
τροφῆς ζῆν μὴ δυναμένοις; ἀγαθὸς γὰρ καὶ ἀγαθῶν αἴτιος, εὐεργέτης,
σωτήρ, τροφεύς, πλουτοφόρος, μεγαλόδωρος, κακίαν ὅρων ἱερῶν ἀπεληλακώς·
οὕτω γὰρ τὰ γῆς ἄχθη, τόν τε Ἀδὰμ καὶ Κάιν, ἐφυγάδευσεν
172 ἐκ τοῦ παραδείσου. μὴ παραγώμεθα οὖν ταῖς φωναῖς, ἀλλὰ τὰ δι'
ὑπονοιῶν σημαινόμενα σκοπῶμεν καὶ λέγωμεν, ὅτι τὸ μὲν „ἐκάκωσε"
ἴσον ἐστὶ τῷ ἐπαίδευσε καὶ ἐνουθέτησε καὶ ἐσωφρόνισε, τὸ δὲ „λιμῷ
παρέβαλεν" οὐ σιτίων καὶ ποτῶν εἰργάσατο ἔνδειαν, ἀλλ' ἡδονῶν καὶ
ἐπιθυμιῶν φόβων τε καὶ λύπης καὶ ἀδικημάτων καὶ συνόλως ἁπάντων
173 ὅσα ἢ κακιῶν ἐστιν ἢ παθῶν ἔργα. μαρτυρεῖ δὲ τὸ ἐπιλεγόμενον
ἑξῆς· „ἐψώμισέ σε τὸ μάννα." ἆρά γε τὸν τὴν ἄπονον καὶ ἀταλαίπωρον
τροφὴν δίχα σπουδῆς τῶν ἀνθρώπων οὐκ ἐκ γῆς, ὡς ἔθος,
ἀναδοθεῖσαν, ἀπ' οὐρανοῦ δέ, τεράστιον ἔργον, ἐπ' εὐεργεσίᾳ τῶν
χρησομένων παρασχόμενον ἄξιον λέγειν λιμοῦ καὶ κακώσεως ἢ τοὐναν-
174 τίον εὐθηνίας καὶ εὐετηρίας ἀδείας τε καὶ εὐνομίας αἴτιον; ἀλλ' οἱ
πολλοὶ καὶ ἀγελαῖοι νομίζουσι τοὺς λόγοις θείοις τρεφομένους ἀθλίως
καὶ ταλαιπώρως ζῆν — ἄγευστοι γάρ εἰσι τοῦ παντρόφου γεύματος
σοφίας —, οἱ δ' ⟨ἐν⟩ ταῖς εὐπαθείαις καὶ εὐφροσύναις λελήθασι διά-
175 γοντες. (31.) οὕτω τοίνυν ἡ ποιὰ κάκωσις ὠφέλιμόν ἐστιν, ὥστε καὶ
τὸ ταπεινότατον αὐτῆς, ἡ δουλεία, μέγα ἀγαθὸν νενόμισται. καὶ ταύτην
ηὔξατό τις ἐν ταῖς ἱεραῖς ἀναγραφαῖς πατὴρ υἱῷ, τῷ ἄφρονι Ἠσαῦ ὁ
176 ἄριστος Ἰσαάκ. εἶπε γάρ που· „ἐπὶ μαχαίρᾳ σου ζήσεις, καὶ τῷ
ἀδελφῷ σου δουλεύσεις" (Gen. 27,40), λυσιτελέστατον κρίνων τῷ πόλεμον
ἀντ' εἰρήνης αἱρουμένῳ καὶ ὥσπερ ἐν μάχαις ὁπλοφοροῦντι διὰ
τὴν ἐν τῇ ψυχῇ στάσιν καὶ ταραχὴν ὑπηκόῳ γενέσθαι καὶ δουλεῦσαι

---

1 post θεοῦ add. ζήσεται GFN    ὥστε GFN, ὃς A    2 κακωτὴν in ras. H[2] καὶ vid. secl.    3 ἀγαθὸς] ἀγαθῶν F    4 πλουτοφόρος GFL[2]N: om. MAHL[1]    5 οὗτος coni. Cohn    Κάιν] Εὔαν coni. Mang.    6 παραδείσου] παιδός σου A    παραιτώμεθα GF    τῆς φωνῆς A    7 λέγομεν AH[1]    ἐκάκωσεν F    8 ἐστὶ om. H    τῷ] τὸ G    ἐξεπαίδευσε Turn.    τὸ] τῶ H[1]    10 φόβου v    ἀπαντώντων H[1], ἁπάντων τῶν H[2]    11 κακῶν H[1]    ἢ παθῶν ἐστιν transpos. GF    12 τὸν τὴν] τὸν H[2], τὴν H[1] v    15 χρησομένων ⟨ὀμβρηθεῖσαν⟩ παρασχόμενον] νον e corr. H[?], παρεχόμενον coni. Mang.    16 εὐσθενίας F[1], εὐθηνείας H    ἰδίας A    τε om. AG    καὶ] τὰς A    αἴτιον] ἄρτον coni. Mang.    17 τοὺς] τοῖς G    λόγους θείοις A, θείοις λόγοις H    19 δ' ἐν v: δὲ codd., δ' ⟨ἐν μέσαις⟩ conicio εὐπλοίαις GFL[2]    20 οὕτω] οὐ M, οὗ A    22 τῶ υἱῶ F    Ἠσαῦ M: Ἡσαῦ ceteri

καὶ ἐπιτάγμασιν, ἅττ' ἂν ὁ σωφροσύνης ἐραστὴς ἐπικελεύσῃ, πᾶσι πει-
θαρχεῖν. ἐνθένδε μοι δοκεῖ τις τῶν φοιτητῶν Μωυσέως, ὄνομα εἰρη- 177
νικός, ὃς πατρίῳ γλώττῃ Σαλομὼν καλεῖται, φάναι· „παιδείας θεοῦ,
υἱέ, μὴ ὀλιγώρει, καὶ μὴ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ
ἀγαπᾷ κύριος ἐλέγχει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται“ (Prov.
3,11. 12). οὕτως ἄρα ἡ ἐπίπληξις καὶ νουθεσία καλὸν νενόμισται,
p. 545 M. | ὥστε δι' αὐτῆς ἡ πρὸς θεὸν ὁμολογία συγγένεια γίνεται. τί γὰρ οἰ-
κειότερον υἱῷ πατρὸς ἢ υἱοῦ πατρί; ἀλλ' ἵνα μὴ λόγον ἐκ λόγου 178
συνείροντες μηκύνειν δοκῶμεν, ἐναργεστάτην δίχα τῶν εἰρημένων πίστιν
παρεξόμεθα τοῦ τὴν ποιὰν κάκωσιν ἀρετῆς ἔργον εἶναι· νόμος γάρ ἐστι
τοιοῦτος· „πᾶσαν χήραν καὶ ὀρφανὸν οὐ κακώσετε· ἐὰν δὲ κακίᾳ κακώ-
σητε αὐτούς“ (Exod. 22,22). τί λέγει; ἆρ' ὑπό τινος ἔστιν ἄλλου κακοῦ-
σθαι; εἰ γὰρ κακίας ἔργα μόνης αἱ κακώσεις, περιττὸν τὸ ὁμολογούμενον
γράφειν, ὃ καὶ δίχα προσθήκης ἀνομολογηθήσεται. φήσει δὲ πάντως· 179
οἶδα καὶ ὑπὸ ἀρετῆς ἐλεγχόμενον καὶ ὑπὸ φρονήσεως παιδευόμενον.
διόπερ οὐ πᾶσαν κάκωσιν ἐν αἰτίᾳ τίθεμαι, ἀλλὰ τὴν μὲν δικαιοσύνης
καὶ νομοθετικῆς ἔργον οὖσαν — ἐπιπλήξει γὰρ σωφρονίζει — μάλιστα
θαυμάζω, τὴν δὲ ἀφροσύνης καὶ κακίας, βλαβερὰν ὑπάρχουσαν, ἀπο-
στρέφομαι καὶ κακίζω δεόντως. ὅταν οὖν τὴν Ἄγαρ κακουμένην ὑπὸ 180
Σάρρας ἀκούσῃς, μηδὲν τῶν ἐν ταῖς γυναικείαις ζηλοτυπίαις εἰωθότων
γίνεσθαι ὑπονοήσῃς· οὐ γὰρ περὶ γυναικῶν ἐστιν ὁ λόγος, ἀλλὰ δια-
νοιῶν, τῆς μὲν γυμναζομένης ἐν τοῖς προπαιδεύμασι, τῆς δὲ τοὺς
ἀρετῆς ἄθλους διαθλούσης.

---

1 ἅτ' MGF 2 Μωσέως codd. 3 γλώσσῃ HGF 4 ὀλιγώρῃ G, ὠλιγώρει A 6 ὄντως H² ἄρα] ἐστὶν FL² καλῶς GF 7 διὰ τῆς πρὸς G ὁμολογεῖται συγγένεια γίνεσθαι conicio ὁμολογίας G, ὁμολογία καὶ Mang. γένηται A 9 πίστει A 10 παρεξώμεθα v τοῦ] τῷ F 11 κακώσεται A 11. 12 κακώσηται A 12 ἄρα F ἄλλου ⟨ἢ κακίας⟩ conicio 14 ἀνωμολογηθήσεται H, ἂν ὁμολογήσητε GF φησὶ GF, φύσει A 15 οἶδα καὶ om. G post οἶδα add. τινὰ F 16 τίθημι per errorem Mang. 17 γὰρ σωφρονίζει] γλωσσοφρονίζει A 20 τῆς Σάρρας GF ἀκούσῃς om. A 21 γενέσθαι M ὑπονοήσεις v 22. 23 τοῖς ἀρετῆς ἄθλοις A 23 φίλωνος περὶ τῆς εἰς τὰ προπαιδεύματα συνόδου subscribit G

---

3—6 *Clem. Alex. Strom. I § 32 p. 335 P.:* εὖ γοῦν εἴρηται· tum sequitur locus Proverb. e Philone sumptus (lin. 4 μηδὲ pro καὶ μή).

# ΦΙΛΩΝΟΣ

## ΠΕΡΙ ΦΥΓΗΣ ΚΑΙ ΕΥΡΕΣΕΩΣ

---

1 (1.) | „Καὶ ἐκάκωσεν αὐτὴν Σάρα, καὶ ἀπέδρα ἀπὸ προσώπου I p.546 M.
αὐτῆς. εὗρε δὲ αὐτὴν ἄγγελος κυρίου ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος ἐν
τῇ ἐρήμῳ, ἐπὶ τῆς πηγῆς ἐν τῇ ὁδῷ Σούρ. καὶ εἶπεν αὐτῇ ὁ ἄγγελος
κυρίου· παιδίσκη Σάρας, πόθεν ἔρχῃ, καὶ ποῦ πορεύῃ; καὶ εἶπεν·
ἀπὸ προσώπου Σάρας τῆς κυρίας μου ἐγὼ ἀποδιδράσκω. εἶπε δὲ αὐτῇ
ὁ ἄγγελος κυρίου· ἀποστράφηθι πρὸς τὴν κυρίαν σου καὶ ταπεινώθητι
ὑπὸ τὰς χεῖρας αὐτῆς. καὶ εἶπεν αὐτῇ ὁ ἄγγελος κυρίου· ⟨ἰδοὺ⟩ σὺ ἐν
γαστρὶ ἔχεις, καὶ τέξῃ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσμαήλ, ὅτι
ἐπήκουσε κύριος τῇ ταπεινώσει σου. οὗτος ἔσται ἀγροῖκος ἄνθρωπος·
αἱ χεῖρες αὐτοῦ ἐπὶ πάντας καὶ αἱ χεῖρες πάντων ἐπ' αὐτόν (Gen. 16,
2 6—12, om. 10).“ εἰρηκότες ἐν τῷ προτέρῳ τὰ πρέποντα περὶ τῶν
προπαιδευμάτων καὶ περὶ κακώσεως, ἑξῆς τὸν περὶ φυγάδων ἀναγρά-
ψομεν τόπον. μέμνηται γὰρ πολλαχοῦ τῶν ἀποδιδρασκόντων, καθάπερ
καὶ νῦν φάσκων ἐπὶ τῆς Ἄγαρ, ὅτι κακωθεῖσα „ἀπέδρα ἀπὸ προσώπου
3 τῆς κυρίας“. αἰτίας οὖν ἔγωγε τρεῖς εἶναι νομίζω φυγῆς, μῖσος, φόβον,
αἰδῶ. μίσει μὲν οὖν καὶ γυναῖκες ἄνδρας καὶ ἄνδρες γυναῖκας ἀπολεί-
πουσι, φόβῳ δὲ τοὺς γονεῖς παῖδες καὶ δεσπότας οἰκέται, αἰδοῖ δὲ τοὺς
ἑταίρους, ὁπότε μὴ καθ' ἡδονήν τι πράξειαν αὐτοῖς, οἱ φίλοι· ἤδη δὲ

---

Φίλωνος ..... εὑρέσεως G, περὶ φυγάδων H 1 Σάρα H: Σάρρα G τοῦ προσώπου v 3 ἐν] τῆς ἐν v ὁδῷ om. G 4 ⟨Ἀγὰρ⟩ παιδίσκη ex LXX et quaest. in Gen. III § 28 conicio Σάρας H: Σάρρας G 5 Σάρας H: Σάρρας G 7 ἰδοὺ ex § 204 et LXX addidi 8 τέξεις v 8. 9 ὅτι — σου om. H 11 προτέρῳ ⟨βιβλίῳ⟩ conicio 12. 13 ἀναγράψωμεν conicio 13 ὁ ἱερὸς λόγος addi vult Mang. 18 οἱ φίλοι αὐτοῖς H, sed β', α' s. s.

καὶ πατέρας οἶδα διὰ τὸ ἁβροδίαιτον αὐστηρὸν καὶ φιλόσοφον βίον
παίδων ἐκτραπομένους καὶ δι' αἰδῶ τὸν ἀγρὸν πρὸ τῆς πόλεως οἰκεῖν
ἑλομένους. τῶν τριῶν τούτων αἰτιῶν ἔστιν εὑρεῖν ἐν ταῖς ἱεραῖς γραφαῖς 4
ὑπομνήματα. ὁ γοῦν ἀσκητὴς Ἰακὼβ μίσει μὲν τὸν πενθερὸν Λάβαν,
p. 547 M. φόβῳ δὲ τὸν ἀδελφὸν Ἠσαῦ | ἀποδιδράσκει, ὡς αὐτίκα παραστήσομεν.
ἡ δ' Ἄγαρ ἀπαλλάττεται δι' αἰδῶ· σημεῖον δὲ τὸ ὑπαντᾶν αὐτῇ 5
ἄγγελον, θεῖον λόγον, ἃ χρὴ παραινέσοντα καὶ ὑφηγησόμενον ἐπανόδου
τῆς εἰς τὸν δεσποίνης οἶκον, ὃς καὶ θαρσύνων φησίν· „ἐπήκουσε κύριος
τῇ ταπεινώσει σου“ (Gen. 16, 11), ἣν οὔτε διὰ φόβον ἔσχες οὔτε διὰ
μῖσος — τὸ μὲν γὰρ ἀγεννοῦς, τὸ δὲ φιλαπεχθήμονος πάθος ψυχῆς —,
ἀλλ' ἕνεκα τοῦ σωφροσύνης ἀπεικονίσματος, αἰδοῦς. εἰκὸς γὰρ ἦν, εἰ 6
διὰ φόβον ἀπεδίδρασκε, τῇ τὸν φόβον ἐπανατειναμένῃ παρηγορῆσαι
πρᾳοπαθεῖν· τηνικαῦτα γὰρ ἀσφαλὲς ἦν ἐπανέρχεσθαι τῇ φυγούσῃ,
πρότερον δ' οὔ. ἀλλὰ τῇ μὲν οὐδεὶς προεντογχάνει ἅτε ἐξευμενισθείσῃ
δι' ἑαυτῆς, τὴν δὲ ὁ δι' εὔνοιαν φίλος ὁμοῦ καὶ σύμβουλος ἔλεγχος
διδάσκει μὴ αἰδεῖσθαι μόνον, ἀλλὰ καὶ εὐτολμίᾳ χρῆσθαι· ἥμισυ γὰρ
ἀρετῆς εἶναι τὴν δίχα τοῦ θαρρεῖν αἰδῶ.
(2.) Τοὺς μὲν οὖν ἀκριβεστέρους χαρακτῆρας ὁ ἑξῆς μηνύσει 7
λόγος. ἐπανιτέον δ' ἐπὶ τὰ προταθέντα κεφάλαια καὶ ἀρκτέον ἀπὸ τῶν
μίσους χάριν ἀποδιδρασκόντων. „ἔκρυψε“ γάρ φησιν „Ἰακὼβ Λάβαν
τὸν Σύρον, τοῦ μὴ ἀπαγγεῖλαι αὐτῷ ὅτι ἀποδιδράσκει, καὶ ἀπέδρα
αὐτὸς καὶ τὰ αὐτοῦ πάντα“ (Gen. 31,20. 21). τίς οὖν αἰτία τοῦ 8
μίσους; ποθεῖς γὰρ ἴσως δὴ τοῦτο μαθεῖν. εἰσί τινες οἱ τὴν ἄποιον
καὶ ἀνείδεον καὶ ἀσχημάτιστον οὐσίαν θεοπλαστοῦντες, τὸ κινοῦν αἴτιον
οὔτε εἰδότες οὔτε παρὰ τῶν εἰδότων μαθεῖν σπουδάσαντες, ἀγνοίᾳ δὲ
καὶ ἀμαθίᾳ κεχρημένοι τοῦ καλλίστου μαθήματος, οὗ πρώτου καὶ μόνου
τὴν ἐπιστήμην ἐκπονεῖν ἦν ἀναγκαῖον. ὁ Λάβαν τοῦ γένους ἐστὶ τούτου· 9

5 Ἡσαῦ GH  παραστήσομεν scripsi: παραστήσομαι codd.  7 θεῖον λόγον ex θείων λόγων corr. H  ἃ χρὴ] ἄχρι G  8 δεσπότην H  11. 12 ἦν εἰ — φόβον add. in mg. H[2]  12 ἐπανατειναμένην Turn.  13 πραϋπαθεῖν coni. Mang.  15 ὁ δι' εὔνοιαν] διάνοιαν G  φίλος ὁμοῦ G: ὁμοῦ φίλος H  16 μόνον] μέν coni. Mang.  εὐτολμίας G  19 δὲ H  προταθέντα Mang.: προτεθέντα codd.  21 τοῦ] τὸ G  23 τοῦτο Turn.: τι τοῦ codd., τι ⟨περὶ τού⟩του conicio, τι⟨να⟩ τού⟨του⟩ coni. Cohn  24 οὐσίαν] ὕλην coni. Mang.  κινοῦν] τῶν γινομένων coni. Mang.  25 ἰδόντες G  ἰδόντων G

27 sqq. cf. Orig. Contra Celsum IV 43 p. 536.

τὴν γὰρ ἄσημον αὐτῷ ποίμνην οἱ χρησμοὶ προσνέμουσιν (Gen. 30,42)·
ἄσημος δὲ ἐν μὲν τοῖς ὅλοις ἡ ἄποιος ὕλη, ἐν ἀνθρώποις δὲ ἡ ἀμαθὴς
10 ψυχὴ καὶ ἀπαιδαγώγητος. ἕτεροι δ' εἰσὶ τῆς ἀμείνονος μοίρας, οἳ νοῦν
ἔφασαν ἐλθόντα πάντα διακοσμῆσαι, τὴν ἐξ ὀχλοκρατίας ἐν τοῖς οὖσιν
ἀταξίαν εἰς ἀρχῆς νομίμου, βασιλείας, τάξιν ἀγαγόντα. τοῦ θιάσου
τούτου χορευτὴς Ἰακώβ ἐστιν, ὃς ἐπιστατεῖ τῆς ἐπισήμου ποικίλης
ἀγέλης· ἐπίσημον δὲ πάλιν καὶ ποικίλον ἐν μὲν τοῖς ὅλοις τὸ εἶδος, ἐν
11 δὲ ἀνθρώποις ἡ εὐπαίδευτος καὶ φιλομαθὴς διάνοια. πολλοῦ δὴ τοῦ
φύσει κοινωνικοῦ σπάσας ὁ ἐπίσημος καὶ μοναρχίας ἀληθοῦς ἑταῖρος
ἔρχεται πρὸς τὸν ἄσημον, ὑλικὰς μέν, ὡς εἶπον ἤδη, θεοπλαστοῦντα
ἡγεμονίας, ἔξω δὲ τούτων δραστήριον μηδεμίαν νομίζοντα, διδάξων ὅτι
12 οὐκ ὀρθογνωμονεῖ. γέγονέ τε γὰρ ὁ κόσμος καὶ πάντως ὑπ' αἰτίου τινὸς
γέγονεν· ὁ δὲ τοῦ ποιοῦντος λόγος αὐτός ἐστιν ἡ σφραγίς, ᾗ τῶν ὄντων
ἕκαστον μεμόρφωται· παρὸ καὶ τέλειον | τοῖς γινομένοις ἐξ ἀρχῆς παρα- p. 548 M.
13 κολουθεῖ τὸ εἶδος, ἅτε ἐκμαγεῖον καὶ εἰκὼν τελείου λόγου. τὸ γὰρ γε-
νόμενον ζῷον ἀτελὲς μέν ἐστι τῷ ποσῷ — μάρτυρες δὲ αἱ καθ' ἡλικίαν
ἑκάστην παραυξήσεις —, τέλειον δὲ τῷ ποιῷ· μένει γὰρ ἡ αὐτὴ
ποιότης ἅτε ἀπὸ μένοντος ἐκμαγεῖσα καὶ μηδαμῇ τρεπομένου θείου λόγου.
14 (3.) ὁρῶν δ' ὅτι πρὸς μάθησιν καὶ νόμιμον ἐπιστασίαν κεκώφωται,
δρασμὸν εἰκότως βουλεύεται· δέδιε γάρ, μὴ πρὸς τῷ μηδὲν ἰσχῦσαι
ὀνῆσαι ἔτι καὶ ζημιωθῇ. βλαβεραὶ γὰρ αἱ μετὰ ἀνοήτων συνουσίαι, καὶ
ἄκουσα πολλάκις ἡ ψυχὴ τῆς ἐκείνων φρενοβλαβείας ἀπομάττεται τὰ
εἴδωλα· καὶ ὄντως ἐστὶν ἐχθρὸν φύσει παιδεία ἀπαιδευσίᾳ καὶ φιλοπο-
15 νία ἀμελετησίᾳ. παρὸ καὶ φωνὴν αἱ ἀσκητικαὶ δυνάμεις ἀφεῖσαι κεκρά-

---

1 οἱ Mang.: οὐ codd. 3 ἀπαίδευτος conicio 4 ὀχλοκρατίας scripsi: ὀχλοκρασίας codd. 6 ⟨καὶ⟩ ποικίλης conicio 7 ὅλοις] ὑλικοῖς coni. Mang. 8 δὲ Mang. per errorem 11 ἡγεμονίας] οὐσίας conicio μηδαμῇ coni. Cohn 12 ὀρθογνωμεῖ v γέγονέ τε G: γεγένηται H 14 παρ' ὃν Mang. 18 ἐκμαχθεῖσα H 19 νόμιμον Mang.: μόνιμον codd. 20 τῷ] τὸ Turn. 22 τῆς GH: ταῖς L[1] Turn. φρενοβλαβίας G, φρενοβλαβείαις Turn. 23 post καὶ ras. H 24 ἀφιεῖσαι conicio

---

3 Anaxagoras: v. Laert. Diog. II 6; Zeller, Philos. gr. I p. 992[3]. 21—23 $D^P$ fol. 331 $D^R$ fol. 261r $D^V$ p. 692 Antonius Melissa II 36 col. 1095 Georgides p. 17,11 Boiss. (Laur. VII 15 fol. 37v) Φίλωνος: βλαβεραὶ τῶν ἀνοήτων αἱ συνουσίαι — εἴδωλα (αἱ τῶν ἀνοήτων $D^P$ $D^V$). 21—24 *Ambros. epist. 27,8:* noxiae sunt enim conversationes cum insipientibus et inficiunt sobriam mentem ac decolorant . . . frequenter enim accidit, ut quis contra propositum suum . . . fuco insipientiae coloretur, meritoque contrariae sibi sunt et repugnantes disciplina atque insolentia.
24—113,13 *ibid. 7:* Lia et Rachel, una laboriosa, altera adspiratio fortis, refugientes non

γασι τὰς αἰτίας τοῦ μίσους παραδιηγούμεναι· „μὴ ἔστιν ἡμῖν ἔτι μερὶς ἢ κληρονομία ἐν τῷ οἴκῳ τοῦ πατρὸς ἡμῶν; οὐχ ὡς ἀλλότριαι λελογίσμεθα αὐτῷ; πέπρακε γὰρ ἡμᾶς καὶ κατέφαγε καταβρώσει τὸ ἀργύριον ἡμῶν. πᾶς ὁ πλοῦτος καὶ ἡ δόξα, ἣν ἀφείλετο ὁ θεὸς τοῦ πατρὸς ἡμῶν, ἡμῖν ἔσται καὶ τοῖς τέκνοις ἡμῶν“ (Gen. 31,14—16). ἐλεύθεραι γὰρ καὶ τοῖς ὀνόμασι καὶ τοῖς ἐνθυμήμασιν οὐδένα τῶν ἀφρόνων 16
νομίζουσι πλούσιον ἢ ἔνδοξον εἶναι, πάντας δ', ὡς ἔπος εἰπεῖν, ἀδόξους καὶ πένητας, κἂν βασιλέων πολυχρύσων τύχας ὑπερβάλλωσιν. οὐ γάρ φασι τὸν πλοῦτον τοῦ πατρός, ἀλλὰ τὸν ἀφαιρεθέντα πλοῦτον, οὐδὲ τὴν ἐκείνου δόξαν, ἀλλὰ τὴν ἀφαιρεθεῖσαν αὐτοῦ δόξαν σχήσειν. ἐστέρηται 17
δ' ὁ φαῦλος τοῦ ἀληθινοῦ πλούτου καὶ τῆς ἀψευδοῦς εὐδοξίας· τὰ γὰρ ἀγαθὰ ταῦτα φρόνησις καὶ σωφροσύνη καὶ αἱ συγγενεῖς περιποιοῦσι διαθέσεις, ὧν αἱ φιλάρετοι ψυχαὶ κληρονομοῦσιν. οὐκοῦν οὐ τὰ προσόντα 18
τῷ μοχθηρῷ, τὰ δ' ὧν ἐκεῖνος ἐστέρηται περιουσία καὶ εὔκλεια τοῖς ἀστείοις ἐστίν· ἐστέρηται δὲ ἀρετῶν, αἳ δὴ κτήματα τῶνδε γεγόνασιν,

---

2 ἢ scripsi (sic LXX et quis rer. div. her. § 44): καὶ codd. ἀλλότριαι scripsi: ἀλλότριοι codd.; genuina scriptura αἱ ἀλλότριαι esse videtur: cf. ad lin. 2 2. 3 λελόγισθε corr. ex λελόγισθαι H, λελόγιστε L 4 πάντα τὸν πλοῦτον καὶ τὴν δόξαν ex LXX et § 16 conicio 6 ἐλεύθεροι v γὰρ ⟨καὶ πλούσιαι⟩ ex Ambros. conicio ὀνόμασι] γένεσι coni. Mang. 9 ἀφαιρεθέντα ⟨αὐτοῦ⟩ conicio 13 ὧν] ἃ vel κληρονόμοι εἰσίν coni. Mang. 15 δ' ἢ G τῶνδε G: αὐτῶν H

---

generis necessitudinem, sed morum discrepantiam, cum viri exerciti Iacob sermone edoctae essent, quod vellet discedere, ut Laban et filiorum eius invidiam declinaret atque ignaviam, responderunt: numquid est nobis portio aut hereditas in domo patris nostri? nonne sicut alienae aestimamur ei? vendidit enim nos et devoravit pretium nostrum. ecce primum quia ignavus et invidus laboriosam et disciplinae tenacem alienat a se . . . *5* nunc audiamus, quomodo quae habet virtus, non habeat ignavia. aiunt enim: omnes divitiae et gloria, quam tulit deus patri nostro, nobis erit et filiis nostris. merito deo arbitro dicunt esse sublata, quia ipse est auctor bonorum, cuius gratia ignavi exuuntur; quia decorem hereditatis divinae capere improbi atque infirmi non queunt, succedit autem intentus et spiritum in se fortis habens. 6—8 *ibid. 7:* denique quasi divites et liberae non eum divitem, sed egentem arbitrabantur. omnis enim bonarum et liberalium consors disciplinarum neminem insipientium divitem putat, sed inopem atque egenum, abiectum quoque, etsi regalibus divitiis affluat et superbus auro suam iactet potentiam *(cf. etiam 9). epist. 38,8:* alter despiciens animo βασιλέων τὰς πολυχρύσους τύχας imperialesque gazas . . . cf. *Nauck tragic. graec. fr*[2]. *p. 900 (adespota 322).*

ἵνα καὶ τὸ ἑτέρωθι λεχθὲν συνᾴδῃ· „τὰ βδελύγματα Αἰγύπτου θύσομεν
κυρίῳ τῷ θεῷ" (Exod. 8,26)· τέλεια γὰρ καὶ ἄμωμα ἱερεῖα αἱ ἀρεταὶ
καὶ αἱ κατὰ ἀρετὰς πράξεις, ἃς τὸ φιλοπαθὲς Αἰγύπτιον βδελύττεται
19 σῶμα. καθάπερ γὰρ ἐνταῦθα φυσικῶς τὰ βέβηλα παρ' Αἰγυπτίοις ἱερὰ
παρὰ τοῖς ὀξὺ καθορῶσι λέγεται καὶ πάντα θύεται, τὸν αὐτὸν τρόπον
καὶ ὧν ἐστέρηται καὶ ἀφῄρηται πᾶς ἄφρων, τούτων κληρονόμος ἔσται
ὁ καλοκἀγαθίας ἑταῖρος· ταῦτα | δέ ἐστι δόξα ἀληθὴς ἐπιστήμης ἀδια- p. 549 M.
φοροῦσα καὶ πλοῦτος οὐχ ὁ τυφλός, ἀλλ' ὁ τῶν ὄντων ὀξυδερκέστατος,
ὃς οὐδὲν παραδέχεται νόμισμα κίβδηλον, ἀλλ' οὐδ' ἄψυχον τὸ παράπαν,
20 εἰ καὶ δόκιμον εἴη. προσηκόντως οὖν ἀποδράσεται τὸν τῶν θείων ἀγαθῶν
ἀμέτοχον, ὃς καὶ ἐν οἷς ἕτερον αἰτιᾶται διαβάλλων ἑαυτὸν λέληθεν,
ἐπειδὰν φῇ· „εἰ ἀνήγγειλάς μοι, ἐξαπέστειλα ἄν σε" (Gen. 31, 27).
αὐτὸ γὰρ τοῦτο φυγῆς ἦν ἄξιον, εἰ μυρίων δεσποτῶν δοῦλος ὤν, ἐπι-
21 μορφάζων ἀρχὴν καὶ ἡγεμονίαν, ἐλευθερίαν ἄλλοις ἐκήρυττες. ἐγὼ δέ,
φησί, τῆς ἐπ' ἀρετὴν ἀγούσης ὁδοῦ συνεργὸν ἄνθρωπον οὐκ ἔλαβον,

---

1 σὺν αἰδοῖ G (fort. συνᾴδοι scrib.) θύσομεν G: θύσωμεν H 4 βέβηλα G: εἴδωλα H, βδελύγματα coni. Mang. 6 καὶ ὧν G (Mang.): κακιῶν ὧν H (ὧν add. H²) ἀφήρητο G 7 ἐστιν H 8 ἀλλ' ὁ H²: ἀλλὰ GH¹ 9 ἄψυχον] ἄσημον coni. Mang., sed v. § 10 10 τὸν] ὁ H s. lin. τῶν] τὸν H² 11 ἀμέτοχον in ἀμέτοχος corr. H ἑταῖρον H¹ 12 ἐπειδὴ ex ἐπειδὰν corr. H ἔφη GH

---

2. 3 *Ambros. de fuga saeculi 8,51:* bonum enim sapientiae sacrificium, bona est hostia fides et omnis virtus. 2—7 *Ambros. epist. 27,2. 3:* oderant ergo Aegyptii immaculata (*vulg.* immolata) sacrificia, id est perfecta studia virtutum et plena disciplinae. quod ergo vitiosi oderunt, hoc apud bonos sincerum ac pium est. opus virtutis detestatur luxuriosus, helluo refugit. Aegyptium itaque corpus quod illecebras diligit, aversatur animae virtutes, abominatur imperium, refugit virtutum disciplinas et omnia opera, quae huiusmodi sunt. quae ergo Aegyptius refugit . . ., haec tu amplectere . . . illa autem declina, quae illi sequuntur atque eligunt, quoniam duo sibi ista congruere non possunt, prudentia et insipientia. itaque sicut iis quae in quodam censu imprudentiae atque intemperantiae sunt abdicat se prudentia, abdicat continentia, ita eorum exsors omnis insipiens est atque incontinens, quae in bonis atque in hereditate sapientis viri sunt et continentis. 8—10 *ibid. 6:* neque enim caecus thesaurus hereditas est. 7 pecunia adultera. *10* bona moneta.
12—115,2 *Ambros. epist. 27,11:* si annuntiasses, inquit, mihi, emisissem te. in quo prodidit, quid iustus fugerit: ne eum prosequeretur, ne deduceret, ne tali comitatu stipatus procederet. primum quod multorum dominorum mancipio se subicere non debuit, ut ab eo tamquam servulus dimitteretur. deinde quia vir exercitio intentus et quaerens veram viam ad virtutem persequi non hominem deductorem, sed oracula quaesivit caelestia; quae me, inquit, hinc praeceperunt abire et nunc comitantur viantem.

ἀλλ' ὑπήκουσα χρησμῶν θείων κελευόντων ἐνθένδε ἀπαίρειν, οἳ καὶ
μέχρι νῦν με ποδηγετοῦσι. πῶς δ' ἂν με ἐξαπέστειλας; ἤ, ὡς σεμνολο- 22
γούμενος διεξῄεις, μετ' εὐφροσύνης τῆς ἐμοὶ λυπηρᾶς καὶ μουσικῶν
ἀμούσων καὶ τυμπάνων καὶ κτύπων ἀνάρθρων καὶ ἀλόγων πληγὰς ἐμφο-
ρούντων ψυχῇ δι' ὤτων καὶ μετὰ κιθάρας (ibid.), ἀλύρων καὶ ἀναρμό-
στων οὐκ ὀργάνων μᾶλλον ἢ τῶν κατὰ τὸν βίον πράξεων; ἀλλὰ γὰρ
ταῦτ' ἐστὶν ὧν ἕνεκα φυγὴν ἐβούλευσα, σὺ δ', ὡς ἔοικεν, ἀντισπάσματά
μου τῆς φυγῆς ἐπενόεις, ἵνα παλινδρομήσω διὰ τὸ ἀπατηλὸν καὶ εὐπα-
ράγωγον φύσει τῶν αἰσθήσεων, αἷς μόλις ἴσχυσα ἐπιβῆναι.
(4.) Μῖσος μὲν δὴ τοῦ λεχθέντος δρασμοῦ γέγονεν αἴτιον, φόβος 23
δὲ τοῦ λεχθησομένου. „εἶπε“ γάρ φησι „Ῥεβέκκα πρὸς Ἰακώβ· ἰδού,
Ἠσαῦ ὁ ἀδελφός σου ἀπειλεῖ ⟨σοι⟩ ἀποκτεῖναί σε. νῦν οὖν, τέκνον,
ἄκουσόν μου τῆς φωνῆς καὶ ἀναστὰς ἀπόδραθι πρὸς Λάβαν τὸν ἀδελ-
φόν μου εἰς Χαρρὰν καὶ οἴκησον μετ' αὐτοῦ ἡμέρας τινάς, ἕως τοῦ
ἀποστρέψαι τὸν θυμὸν καὶ τὴν ὀργὴν τοῦ ἀδελφοῦ σου, καὶ ἐπιλάθηται
ἃ πεποίηκας αὐτῷ· καὶ ἀποστείλασα μεταπέμψομαί σε ἐκεῖθεν“ (Gen.
27,42—45). ἄξιον γὰρ δεδιέναι, μὴ τὸ χεῖρον τῆς ψυχῆς μέρος ἐξ 24
ἐνέδρας λοχῆσαν ἢ καὶ ἐκ τοῦ φανεροῦ κονισάμενον ἀνατρέψῃ καὶ κατα-
βάλῃ τὸ κρεῖττον. συμβουλὴ δ' ἀρίστη τῆς ὀρθογνώμονος ἐπιμονῆς,
Ῥεβέκκας ἥδε· ἐπειδὰν ἴδῃς, φησί, τὸν φαῦλον πολὺν ῥέοντα κατὰ 25
ἀρετῆς καὶ ὧν ἀλογεῖν προσῆκε πολὺν λόγον ἔχοντα, πλούτου, δόξης,
ἡδονῆς, καὶ τἀδικεῖν ἐπαινοῦντα ὡς αἴτιον ἑκάστου τῶν εἰρημένων —
πολυαργύρους γὰρ καὶ πολυχρύσους καὶ ἐνδόξους τοὺς ἀδικοῦντας μάλιστα
γίνεσθαι —, μὴ τὴν ἐναντίαν ὁδὸν τραπόμενος εὐθὺς ἀχρηματίαν καὶ
ἀτυφίαν αὐστηρόν τε καὶ μονωτικὸν βίον ἐπιτηδεύσῃς· ἀνερεθίσεις γὰρ

---

4 alterum καὶ om. G  11 Ῥεβέκα H  12 Ἡσαῦ GH hic et infra semper  σοι ex LXX et § 39 addidi  14 post μου add. καὶ G  τοῦ om. H  15 τὸν θυμὸν καὶ G: om. H  σου ⟨ἀπὸ σοῦ⟩ conicio; cf. LXX et vol. II p. 309, 24  18 λογεῖσαν G  κινησάμενον per errorem Mang.  18. 19 καταβάλλη G  19 ἐπιγνώμονος G  20 Ῥεβέκας H  ἥδε scripsi: ἡ δ' codd.  πολὺν scripsi: πολὺ codd.  22 καὶ τὸ ἀδικεῖν G²H: κατ' ἀδικεῖν G¹  23 τοὺς] ἐστὶν Turn.  25 ἐπιτηδεύσεις H  ἀναιρεθίσεις G¹, ἀναιρεῖσθαι G² ut vid., ἀνερεθιεῖς Cohn

---

2—7 *ibid. 12:* sed quomodo me dimisisses? an cum laetitia tua, quae plena est maestitudinis, cum tympanis scilicet atque organis immoderata modulantibus et sonis tibiarum suavibus insuavia resultantibus, sonis dissonis, crepitibus discrepantibus, vocibus mutis, cymbalis animam ferientibus? . . haec sunt quae ego fugi.

τὸν ἀντίπαλον καὶ βαρύτερον ἐχθρὸν ἀλείψεις κατὰ σεαυτοῦ. τί ἂν οὖν
26 ἐργασάμενος ἐκφύγῃς τὰ παλαίσματ' αὐτοῦ, σκόπει. συνενέχθητι τοῖς
αὐτοῖς, οὐκ ἐπιτηδεύμασι λέγω, τοῖς δὲ τῶν εἰρημένων ποιητικοῖς, τιμαῖς,
ἀρχαῖς, ἀργύρῳ, χρυσῷ, | κτήμασι, χρώμασι, σχήμασι διαφόροις, κάλλεσι, p. 550 M.
καὶ ὅταν ἐντύχῃς, οἷα δημιουργὸς ἀγαθὸς εἶδος ἄριστον ταῖς ὑλικαῖς
27 οὐσίαις ἐγχάραξον καὶ ἐπαινετὸν ἀποτέλεσον ἔργον. ἢ οὐκ οἶδας, ὅτι
ναῦν ἰδιώτης μὲν παραλαβὼν σῴζεσθαι δυναμένην ἀνατρέπει, κυβερνητικὸς δὲ ἀνὴρ καὶ τὴν ἀπολλυμένην πολλάκις ἔσωσε, καὶ τῶν καμνόντων
οἱ μὲν ἀπειρίᾳ τῶν θεραπευόντων χρησάμενοι σφαλερῶς τὰ σώματα
ἔσχον, οἱ δὲ ἐμπειρίᾳ καὶ τὰς σφαλερὰς νόσους ἀπέφυγον; καὶ τί δεῖ
μηκύνειν; ἀεὶ γὰρ τὰ μετὰ τέχνης ἔλεγχός ἐστι τῶν σὺν ἀτεχνίᾳ γινομένων, καὶ ὁ τούτων ἀληθὴς ἔπαινος ἀψευδὴς ἐκείνων ἐστὶ κατηγορία.
28 (5.) ἐὰν οὖν θέλῃς διελέγξαι τὸν πολυχρήματον φαῦλον, μὴ ἀποστραφῇς τὴν ἐν χρήμασι περιουσίαν. ὁ μὲν γὰρ ἢ ἀνελεύθερος καὶ δουλοπρεπὴς ὀβολοστάτης καὶ τοκογλύφος, βαρυδαίμων ἀνήρ, ἀναφανεῖται ἢ
ἔμπαλιν ἄσωτος πεφορημένος, λαφύττειν καὶ σπαθᾶν ἑτοιμότατος, ἑταιρῶν καὶ πορνοτρόφων καὶ μαστροπῶν καὶ παντὸς ἀκολάστου θιάσου
29 χορηγὸς φιλοτιμότατος. σὺ δὲ ἔρανον παρέξεις πένησι φίλων, χαριεῖ
δωρεὰς τῇ πατρίδι, συνεκδώσεις θυγατέρας ἀπόροις γονεῦσιν αὐταρκεστάτην προῖκα ἐπιδούς, μονονοὺκ εἰς μέσον προθεὶς τὰ ἴδια καλέσεις ἐπὶ
30 μετουσίαν ἅπαντας τοὺς ἀξίους χάριτος. τὸν αὐτὸν μέντοι τρόπον καὶ
δοξομανοῦντα καὶ ἐπικομπάζοντα βουληθεὶς ὀνειδίσαι μοχθηρόν, δυνηθεὶς ἔντιμος εἶναι μὴ ἀποστραφῇς τὸν παρὰ τοῖς πολλοῖς ἔπαινον· οὕτως γὰρ τὸν μακρὰ βαίνοντα καὶ φρυαττόμενον ἄθλιον ὑποσκελιεῖς. ὁ μέν γε τῷ ἐπιφανεῖ καταχρήσεται πρὸς ὕβριν καὶ ἀτιμίαν ἀμεινόνων ἑτέρων, αὔξων τοὺς χείρους ἐπ' αὐτοῖς· σὺ δὲ ἔμπαλιν τοῖς ἀξίοις ἅπασι μεταδώσεις τῆς εὐκλείας, ἀσφάλειαν μὲν περιποιῶν τοῖς ἀγαθοῖς, βελτιῶν δὲ

---

2 ἐκφύγοις conicio   παλαίσματα H   συνενέγχθητι H[2]   4 σχήμασι om. G   5 ἐντύχῃς] ἐν in ras. H[2]   6 ἢ G   8 ἔσωσεν H   11 ἐστιν H   11. 12 γενομένων H   13 ἐθέλῃς conicio   θέλοις ἐλέγξαι G   14 ἢ] εἰ G[1]   16 ἀσωτίαις ἐμφορούμενος coni. Mang.   φυλάττειν L   17 πορνοτροφῶν codd. v   18 χαριεῖ scripsi: χάριτος G, χάριτας H, χάριτας καὶ v   19. 20 αὐταρκέστατον L   20 ἐπιδιδοὺς v   προσθεὶς Turn.   23 post μὴ habet οὖν H[1]   ἀποστραφεὶς GH[1]   24 μακρὰν G   25 ἑταίρων H   26 αὐξῶν G   αὐτούς conicio

---

18 sqq. cf. „Philo und die kynisch-stoische Diatribe" p. 30[1].

τοὺς χείρους νουθεσίᾳ. κἂν ἐπ' ἄκρατον μέντοι καὶ πολυτελεῖς τραπέ- 31
ζας ἴῃς, θαρρῶν ἴθι· τὸν γὰρ ἀκράτορα αἰσχυνεῖς διὰ τῆς σεαυτοῦ δεξιό-
τητος. ὁ μὲν γὰρ πεσὼν ἐπὶ γαστέρα καὶ πρὸ τοῦ στόματος τὰς ἀπλή-
στους διοίξας ἐπιθυμίας ἀκόσμως ἐμφορήσεται καὶ τὰ τοῦ πλησίον ἐπι-
σπάσεται καὶ πάντ' ἐπιλιχμώμενος οὐκ ἐρυθριάσει· καὶ διακορὴς ἐδω-
δῆς ἐπειδὰν γένηται, χανδόν, ὡς οἱ ποιηταὶ λέγουσι, πίνων γέλωτα καὶ
χλεύην παρέξει τοῖς ὁρῶσι. σὺ δ' ἄνευ μὲν ἀνάγκης χρήσῃ τοῖς με- 32
τρίοις, ἐὰν δέ που βιασθῇς εἰς πλειόνων ἀπόλαυσιν ἐλθεῖν, λογισμὸν
τῆς ἀνάγκης ἐπιστήσας ἡγεμόνα τὴν ἡδονὴν εἰς ἀηδίαν οὐδέποτε ἐκτρέ-
ψεις, ἀλλ', εἰ χρὴ τὸν τρόπον εἰπεῖν τοῦτον, νηφάλια μεθυσθήσῃ.
(6.) μέμψαιτ' ἂν οὖν δεόντως ἡ ἀλήθεια τοῖς ἀνεξετάστως ἀπολείπουσι 33
p. 551 M. τὰς ἐν τῷ | πολιτικῷ βίῳ πραγματείας καὶ πορισμοὺς καὶ δόξης καὶ
ἡδονῆς καταπεφρονηκέναι λέγουσιν. ἀλαζονεύονται γάρ, οὐ καταφρονοῦσι,
τὸ ῥυπᾶν καὶ σκυθρωπάζειν αὐστηρῶς τε καὶ αὐχμηρῶς ἀποζῆν δελέατα
προτιθέντες, ὡς δὴ κοσμιότητος καὶ σωφροσύνης καὶ καρτερίας ἐρασταί.
τοὺς δ' ἀκριβεστέρους ἀπατᾶν οὐ δύνανται διακύπτοντας εἴσω καὶ μὴ 34
τοῖς ἐν ἐμφανεῖ παραγομένους. ταῦτα γὰρ προκαλύμματα ὄντα ἑτέρων
ἀναστείλαντες, τὰ ἐναποκείμενα ἔνδον, ὁποῖα ἅττα τὴν φύσιν ἐστίν, ἐθεά-
σαντο καί, εἰ μὲν εἴη καλά, ἐθαύμασαν, εἰ δὲ αἰσχρά, ἐχλεύασαν καὶ
τῆς ὑποκρίσεως ἐμίσησαν. λέγωμεν οὖν τοῖς τοιούτοις· τὸν ἄμικτον 35
καὶ ἀκοινώνητον μονότροπόν τε καὶ μονωτικὸν βίον ζηλοῦτε; τί γὰρ τῶν
ἐν κοινωνίᾳ καλῶν προεπεδείξασθε; ἀργυρισμὸν ἀποστρέφεσθε; γενόμενοι
γὰρ χρηματισταὶ δικαιοπραγεῖν ἠθελήσατε; τῶν γαστρὸς καὶ μετὰ γαστέρα
ἡδονῶν ἐπιμορφάζοντες ἀλογεῖν, ἡνίκα τὰς εἰς ταῦτα ἀφθόνους ὕλας
εἴχετε, ἐμετριάσατε; δόξης καταφρονεῖτε; γενόμενοι γὰρ ἐν τιμαῖς ἀτυ-
φίαν ἠσκήσατε; πολιτείαν ἐγελάσατε ὑμεῖς, ἴσως ὡς χρήσιμόν ἐστι τὸ
πρᾶγμα οὐ κατανοήσαντες. πρότερον οὖν ἐγγυμνάσασθε καὶ προεμμελε- 36

---

2 ἴῃς] κληθῇς conicio αἰσχύνεις G σεαυτοῦ Mang.: ἑαυτοῦ codd. 4 ἐμφορηθήσεται G 4. 5 καὶ τὰ — ἐπισπάσεται om. G 5 ἐπιλιγχμώμενος H 6 χάνδονος οἱ G λέγωσι G πίνων Turn.: πεινῶν codd. 7 χρήσει G 10 μεθυσθήσει G$^1$ 11 μέμψαι H μέμψαιτ' ἂν δὲ ὄντως G (δεόντως G$^2$) ante ἂν add. δὲ H οὖν H: om. G 12 πορισμοῦ „Mss." (Mang., qui ἀργυρισμοῦ coniecit) 17 τοῖς ἐν ἐμφανεῖ GH$^2$: τοὺς ἐμφανεῖ H$^1$, τῷ ἐμφανεῖ v, τοῖς ἐμφανέσι conicio 18 ὁποῖ' H ἅττα v 20 λέγομεν H (Mang.) οὖν H: μὲν οὖν G 22 ἐν H: ἐκ G προεπιδείξασθε H$^1$ 27 ἐγγυμνάσασθε H$^2$: ἐνγυμνάσασθε G, ἐγυμνάσασθε H$^1$v 27. 118,1 προεμμελετήσατε H$^2$: προεμελετήσατε GH$^1$v

---

6 Hom. Od. φ 294.

τήσατε τοῖς τοῦ βίου πράγμασιν ἰδίοις τε καὶ κοινοῖς καὶ γενόμενοι πο-
λιτικοί τε καὶ οἰκονομικοὶ δι' ἀδελφῶν ἀρετῶν, οἰκονομικῆς τε καὶ πο-
λιτικῆς, κατὰ πολλὴν περιουσίαν τὴν εἰς ἕτερον καὶ ἀμείνω βίον ἀποικίαν
στείλασθε· τὸν γὰρ πρακτικὸν τοῦ θεωρητικοῦ βίου, προάγωνά τινα ἀγῶ-
νος τελειοτέρου, καλὸν πρότερον διαθλῆσαι. οὕτως τὴν ὄκνου καὶ ἀργίας
37 κατηγορίαν ἀποδράσεσθε. οὕτως καὶ τοῖς Λευίταις τὰ μὲν ἔργα ἐπιτελεῖν
ἄχρι πεντηκονταετίας διείρηται (Num. 4,30 ss.), ἀπαλλαγεῖσι δὲ τῆς
πρακτικῆς ὑπηρεσίας σκοπεῖν ἕκαστα καὶ θεωρεῖν, τῆς ἐν τῷ πρακτικῷ
βίῳ κατορθώσεως γέρας λαβόντας ἕτερον βίον, ὃς ἐπιστήμῃ καὶ θεωρίᾳ
38 μόνῃ χαίρει. καὶ ἄλλως ἀναγκαῖον, τοὺς τῶν θείων ἀξιοῦντας μεταποι-
εῖσθαι δικαίων τὰ ἀνθρώπεια πρότερον ἐκπληρῶσαι· πολλὴ γὰρ εὐήθεια
τῶν μειζόνων ὑπολαμβάνειν ἐφίξεσθαι ἀδυνατοῦντας τῶν ἐλαττόνων περι-
γίνεσθαι. γνωρίσθητε οὖν πρότερον τῇ κατ' ἀνθρώπους ἀρετῇ, ἵνα καὶ
τῇ πρὸς θεὸν συσταθῆτε. τοιαῦτα ὑφηγεῖται τῷ ἀσκητικῷ ἡ ὑπομονή,
39 τὰς δὲ λέξεις ἀκριβωτέον. (7.) „ἰδοὺ“ φησίν „Ἠσαῦ ὁ ἀδελφός σου ἀπει-
λεῖ σοι“ — ἀλλ' οὐχ ὁ δρύινος καὶ ὑπ' ἀμαθίας ἀπειθὴς τρόπος, ὄνομα
Ἠσαῦ, ἐγκότως ἔχει καὶ τὰ τῆς θνητῆς ζωῆς προτείνων ἐπ' ὀλέθρῳ
δελέατα, χρήματα, δόξαν, ἡδονάς, τὰ συγγενῆ τούτοις, κατὰ σοῦ φονᾷ;
— σὺ δέ, ὦ τέκνον, ἀπόδραθι τὸν ἐν τῷ παρόντι ἀγῶνα· οὔπω γὰρ
εἰς τὸ παντελὲς | ἐπιδέδωκέ σοι τὰ τῆς ῥώμης, ἀλλ' ἔτι οἷα παιδὸς οἱ p. 552 M.
40 ψυχικοὶ τόνοι μαλθακώτεροι. διὸ καὶ τέκνον αὐτὸν προσεῖπε, τὸ δ'
ἐστὶν εὐνοίας καὶ ἡλικίας ὄνομα ἐν ταὐτῷ· τὸν γὰρ ἀσκητικὸν τρόπον
καὶ νέον παρὰ τὸν τέλειον καὶ φιλίας ἄξιον εἶναι τίθεμεν. ὁ δὲ τοιοῦτος
ἱκανὸς μέν ἐστι τὰ προτιθέμενα παισὶν ἆθλα ἄρασθαι, τὰ δὲ ἀνδράσιν
οὐδέπω δυνατός· ἀνδρῶν δὲ ἄριστον ἆθλον ἡ θεοῦ μόνου θεραπεία.
41 τοιγαροῦν ἐπειδὰν μήπω τελείως καθαρθέντες, δόξαντες δὲ αὐτὸ μόνον
ἐκνίψασθαι τὰ καταρρυπαίνοντα ἡμῶν τὸν βίον, ἐπ' αὐλὰς τῆς θεραπείας
ἀφικώμεθα, θᾶττον ἢ προσελθεῖν ἀπεπηδήσαμεν, τὴν αὐστηρὰν δίαιταν
αὐτῆς καὶ τὴν ἄυπνον θρησκείαν καὶ τὸν συνεχῆ καὶ ἀκάματον πόνον

---

4 στείλασθε GH[1]: ἐστείλασθε H[2] βίον H 5 τὴν G: ἐστὶ τὴν H[2], ἐστὶν H[1] 6 ἀποδράσεσθε G: ἀποδράσασθαι H 7 τῆς] τ' G
11 ἡ εὐήθεια H 12 ἐφίζεσθαι G 13 γνωρίσθητι L
14 συσταθῇς Turn. τοιαῦθ' G[2] 16 ἀλλ' οὐχ G[1]H: ἀλλὰ καὶ G[2]
17 Ἡσαῦς G ἐνκότως (sic) G: εἰκότον H, εἰκότως Richter 18 φονᾷ GHL[2]: φοριᾷ L[1] 22 ὄνομα G (Mang.): om. H 23 εἶναι secl. Cohn
24 παισὶν Turn.: φησὶν codd. 25 μόνον H ut vid. 26 αὐτὸ Mang.: τοῦτο codd. 28 ἀφικόμεθα G 29 θρησκείαν Mang.: ἀρέσκειαν codd.

οὐκ ἐνεγκόντες. ἀποφεύγετε οὖν ἐν τῷ παρόντι καὶ τὸ κάκιστον καὶ 42
τὸ ἄριστον, κάκιστον μὲν τὸ μυθικὸν πλάσμα, τὸ ἄμετρον καὶ ἐκμελὲς
ποίημα, τὸ ὑπ' ἀμαθίας σκληρὸν καὶ δρύινον ὄντως νόημα καὶ πεῖσμα,
ὧν 'Ησαῦ ἐπώνυμος, ἄριστον δὲ τὸ ἀνάθημα· τὸ γὰρ θεραπευτικὸν
γένος ἀνάθημά ἐστι θεοῦ, ἱερώμενον τὴν μεγάλην ἀρχιερωσύνην αὐτῷ
μόνῳ. τὸ μὲν γὰρ συνδιατρίβειν κακῷ βλαβερώτατον, τὸ δὲ ἀγαθῷ 43
τελείῳ σφαλερώτατον. ὁ γοῦν 'Ιακὼβ καὶ τὸν 'Ησαῦ ἀποδιδράσκει καὶ
τῶν γονέων διοικίζεται· ἀσκητικὸς γὰρ ὢν καὶ ἔτι διαθλῶν φεύγει μὲν
κακίαν, ἀρετῇ δὲ τελείᾳ καὶ αὐτομαθεῖ συζῆν ἀδυνατεῖ. (8.) διόπερ 44
ἀποδημήσει πρὸς Λάβαν, οὐ τὸν Σύρον, ἀλλὰ τὸν ἀδελφὸν τῆς μητρός,
τὸ δ' ἐστὶν εἰς τὰς τοῦ βίου λαμπρότητας ἀφίξεται· λευκὸς γὰρ ἑρμη-
νεύεται Λάβαν. ἀφικόμενος δὲ οὐχ ὑψαυχενήσει, φυσώμενος ταῖς τυχη-
ραῖς εὐπραγίαις· μεταληφθεὶς γὰρ ὁ Σύρος ἐστὶ μετέωρος. νυνὶ δὲ τοῦ
Σύρου Λάβαν οὐχὶ μέμνηται, τοῦ δὲ 'Ρεβέκκας ἀδελφοῦ. αἱ γὰρ κατὰ 45
τὸν βίον ὗλαι φαύλῳ μὲν παραδοθεῖσαι μετέωρον ἐξαίρουσι τὸν κενὸν
φρονήσεως νοῦν, ὅστις ὠνόμασται Σύρος, ἐραστῇ δὲ παιδείας ἐπιμένοντι
τοῖς καλοκἀγαθίας σταθερῶς καὶ παγίως δόγμασιν * * * οὗτός ἐστιν ὁ
'Ρεβέκκας ἀδελφός, τῆς ἐπιμονῆς· οἰκεῖ δὲ τὴν Χαρράν, ἣ μεταληφθεῖσά
εἰσι τρῶγλαι, σύμβολον τῶν αἰσθήσεων· ὁ γὰρ ἔτι χορεύων ἐν τῷ θνητῷ

---

2 ante κάκιστον add. καὶ Turn. 3 πεῖσμα suspectum 4 'Ησαῦς G 6 κακῶν G τὸ] τῷ G 8 ἀσκητικὸς γὰρ ὢν om. G 9 αὐτομαθεῖ Mang.: αὐτομαθεία H, αὐτομαθία G συνζῆν G 13 μεταληθεὶς G, β s. s. $G^2$ 14 οὐχὶ μέμνηται Λάβαν H 'Ρεβέκας $H^1$ 15 φαύλω $G^1H^2$: φαύλοις $G^2$, φαῦλος $H^1$ (?) 16 ἐπιμένοντι $G^2H^1$: ἐπιμένοντα $H^2$ ($G^1$?) 17 σταθεροῖς καὶ παγίοις conicio lacunam significavit Mang., qui προτρέπουσι e. gr. supplet., sed plura desunt 18 'Ρεβέκας $H^1$, tum υἱὸς add. H ὑπομονῆς „nonnulli codices“ (Mang.) 19 ἐστὶ coni. Mang. σύμβολα H τῶν ⟨ὀπῶν τῶν⟩ coni. Mang. 18—120,1 αἰσθήσεων—τῶν add. in mg. $H^2$ 19 ἔτι ἐγχορεύων τῷ conicio

---

2—4 cf. Hieronym. Comment. in Amos cap. 2, 9 p. 246. 9—12 *Ambros. de fuga saeculi 5, 26:* sed forte dicas: cur igitur Iacob ad Laban missus est, si Laban reprehensibilis? si nomen consideremus, candidus dicitur latine. ergo ad splendidiora Iacob iubetur egredi. sed quia carnalis erat, melius intellegimus splendidiora vitae huius. *epist. 27, 10:* splendida magis saeculi elegit quam vera et utilia vitae suae. 18—120,5 *de fuga saeculi 4, 20. 21:* suasit Rebecca: fuge, inquit, in Mesopotamiam . . . accipere admonetur uxorem a filiabus Laban, qui habitabat in Charris, quod significat cavernas, in quibus species est sensuum, qui sunt tamquam in cavernis corporis . . . qui enim delectatur hoc mundo et tripudiat in voluptatibus corporis obnoxius est sensuum passionibus atque in his habitat et deversatur. unde et dicit Rebecca habitandum paucos dies cum illo, non multo tempore . . . persuadet autem habitare, ut discat studiosus disciplinae virtutes sensuum et velut situs quosdam

46 βίῳ χρεῖος τῶν αἰσθήσεων ὀργάνων ἐστίν. „οἴκησον οὖν“ φησίν „ὦ
τέκνον, μετ' αὐτοῦ“ μὴ τὸν ἅπαντα αἰῶνα, ἀλλ' „ἡμέρας τινάς“ (Gen.
27,44), τοῦτο δ' ἐστὶ τὴν τῶν αἰσθήσεων | χώραν κατάμαθε, γνῶθι p. 553 M.
σαυτὸν καὶ τὰ σαυτοῦ μέρη, τί τε ἕκαστον καὶ πρὸς τί γέγονε καὶ πῶς
ἐνεργεῖν πέφυκε καὶ τίς ὁ τὰ θαύματα κινῶν καὶ νευροσπαστῶν ἀόρατος
47 ἀοράτως εἴτε ὁ ἐν σοὶ νοῦς εἴτε ὁ τῶν συμπάντων. ἐπειδὰν δὲ σαυτὸν
ἐξετάσῃς, καὶ τὰ ἴδια τοῦ Λάβαν ἀκρίβωσον, τὰς τῆς κενῆς δόξης λαμ-
πρὰς νομιζομένας εὐπραγίας, ὑφ' ὧν μηδεμιᾶς ὀλίγης, πάσας δ' οἷα ἀγα-
θὸς δημιουργὸς τεχνικῶς ταῖς οἰκείαις ἐφάρμοσον χρείαις. ἐὰν γὰρ ἐπι-
δείξῃ γενόμενος ἐν τῷ πολιτικῷ καὶ πεφυρμένῳ τούτῳ βίῳ σταθερὸν καὶ
εὐπαίδευτον ἦθος, μεταπέμψομαί σε ἐκεῖθεν (Gen. 27,45), ἵνα τύχῃς
οὗπερ καὶ οἱ σοὶ γονεῖς ἄθλου. τὸ δ' ἆθλόν ἐστιν ἡ ἀκλινὴς καὶ ἀνέν-
48 δοτος τοῦ μόνου θεραπεία σοφοῦ. (9.) τὰ δ' ὅμοια καὶ ὁ πατὴρ ὑφη-
γεῖται, μικρὰ προσθείς· λέγει γάρ· „ἀναστὰς ἀπόδραθι εἰς τὴν Μεσοπο-
ταμίαν εἰς τὸν οἶκον Βαθουήλ, τοῦ πατρὸς τῆς μητρός σου, καὶ λάβε
ἐκεῖθεν σαυτῷ γυναῖκα ἐκ τῶν θυγατέρων Λάβαν τοῦ ἀδελφοῦ τῆς μητρός
49 σου“ (Gen. 28,2). πάλιν καὶ οὗτος οὐ Σύρον εἶπε τὸν Λάβαν, ἀλλὰ
Ῥεβέκκας ἀδελφόν, μέλλοντα κατ' ἐπιγαμίαν τῷ ἀσκητῇ κῆδος συνάπτειν.
„ἀπόδραθι οὖν εἰς τὴν Μεσοποταμίαν,“ τουτέστιν εἰς μέσον τὸν χειμάρ-
ρουν ποταμὸν τοῦ βίου, καὶ μὴ ἐπικλυσθεὶς ἐγκαταποθῇς, στηριχθεὶς δὲ

1 αἰσθήσεως conicio 4 γέγονεν H 5 νευροσπαθῶν H[1] 6 ἀοράτων L δὲ ss. H[2] 7 ἀκριβῶς ὄντως τὰς G δόξας H[1] 9 ἐφαρμόσων G 10 τούτῳ om. Turn. 11 ἀσάλευτον conicio 12. 13 ἀνένδοτος Mang.: ἀνενδοίαστος G, ἀνενδύαστος H 15 Βαιθουήλ codd. τοῦ om. G 16 σεαυτῷ ἐκεῖθεν conicio; v. LXX et de post. Caini § 76 18 Ῥεβέκας H[1] 20 ἐπικλυσθεὶς H[1]: ἐπικλυσθῇς GH[2] ἐνκαταποθῇς (sic) G: ἐγκαταποθείς H

carnis atque regiones, ut se cognoscat et noverit vehementiam carnis, quid et qua causa creatum sit, quemadmodum unusquisque sensus operetur. 14—121,5. 120,9—13 *ibid. 4,20. 21:* et Isaac dicit: surgens vade in Mesopotamiam in domum Bathuel. in hymnis vel oraculis a plerisque, ut ante nos scriptum est, Bathuel sapientia dicitur, interpretatione autem latina filia dei significatur. in domum ergo sapientiae mittitur Iacob . . . 21 statimque revocatur, ne diutius titubet in lubrico et dividua quadam inundatione corporis huius et saeculi mersentur animi interiora vestigia. cum autem vel expertus fuerit vel steterit in instabili et incerto atque umido solo, revocatur a matre patientia vel perseverantia, quae dicit: mittam ad te et accersam te inde, ut et illic in lubrico tutum portum invenias sapientiae, quae te non sinat tamquam in naufragio fluctuare, et reversus perseverare circa dei noveris cultum . . .

βιαιοτάτην ἄνωθεν καὶ ἑκατέρωθεν καὶ πανταχόθεν ἐπικυματίζουσαν φορὰν τῶν πραγμάτων σθεναρῶς ἀπώθει. τὸν γὰρ σοφίας οἶκον εὔδιον 50
καὶ γαληνὸν λιμένα εὑρήσεις, ὅς ἐνορμιζόμενόν σε ῥᾳδίως ὑποδέξεται· σοφίας δὲ ὄνομα Βαθουὴλ ἐν χρησμοῖς ᾄδεται, τοῦτο δὲ μεταληφθὲν θυγάτηρ θεοῦ προσαγορεύεται, καὶ γνησία γε θυγάτηρ καὶ ἀειπάρθενος, ἀψαύστου καὶ ἀμιάντου φύσεως ἐπιλαχοῦσα διά τε τὴν ἑαυτῆς κοσμιότητα καὶ διὰ τὸ ἀξίωμα τοῦ γεννήσαντος. πατέρα δὲ τῆς Ῥεβέκκας 51
Βαθουὴλ εἶπε. καὶ πῶς ἥ γε θυγάτηρ τοῦ θεοῦ, σοφία, λέγοιτ' ἂν ἐνδίκως εἶναι πατήρ; ἢ διότι ὄνομα μὲν θῆλυ σοφίας ἐστίν, ἄρρεν δὲ ἡ φύσις; καὶ γὰρ αἱ ἀρεταὶ πᾶσαι προσρήσεις μὲν ἔχουσι γυναικῶν, δυνάμεις δὲ καὶ πράξεις ἀνδρῶν τελειοτάτων· ἐπειδὴ τὸ μετὰ τὸν θεόν, κἂν εἰ τῶν ἄλλων ἁπάντων πρεσβύτατον εἴη, δευτέραν ἔχον χώραν θῆλυ ὡς ἂν παρὰ ἄρρεν τὸ τὰ ὅλα ποιοῦν ἐλέχθη κατὰ τὴν πρὸς τἆλλα ὁμοιότητα· ἀεὶ γὰρ προνομίαν τοῦ ἄρρενος ἔχοντος ἐνδεῖ καὶ ὑστερίζει τὸ θῆλυ. λέγωμεν οὖν μηδὲν τῆς ἐν τοῖς ὀνόμασι διαφορᾶς 52
φροντίσαντες τὴν θυγατέρα τοῦ θεοῦ σοφίαν ἄρρενά τε καὶ πατέρα εἶναι, σπείροντα καὶ γεννῶντα ἐν ψυχαῖς μάθησιν, παιδείαν, ἐπιστήμην, φρόνησιν, καλὰς καὶ ἐπαινετὰς πράξεις. ἐνθένδε ὁ ἀσκητὴς Ἰακὼβ μνᾶται γάμον
p. 554 M. ἑαυτῷ· πόθεν γὰρ | ἄλλοθεν ἢ ἐκ τοῦ σοφίας οἴκου κοινωνὸν εὑρήσει, γνώμην ἀνεπίληπτον, ᾗ πάντα συνδιατρίψει τὸν αἰῶνα;

(10.) Λελάληκε δ' ἀκριβέστερον περὶ φυγῆς, ἡνίκα τὸν ἐπὶ τοῖς ἀν- 53
δροφόνοις ἐτίθει νόμον, ἐν ᾧ πάντ' ἐπεξῆλθε τὰ εἴδη, τὸ ἑκουσίου φόνου, τὸ ἀκουσίου, τὸ ἐπιθέσεως, τὸ βουλεύσεως. λέγε τὸν νόμον· „ἐὰν πατάξῃ τίς τινα καὶ ἀποθάνῃ, θανάτῳ θανατούσθω· ὁ δὲ οὐχ ἑκών, ἀλλ' ὁ θεὸς παρέδωκεν αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ, δώσω σοι τόπον, οὗ φεύ-

---

1 βιαιοτάτην Mang.: βεβαιοτάτην codd. ἑκατέρωθεν] κάτωθεν coni. Mang. 2 ἀνώθει coni. Cohn 3 ἐνορμιζόμενος G 4 Βαιθουὴλ codd. 7 Ῥεβέκας H 8 Βαιθουὴλ H² εἶπεν H ἥ γε H²: εἴ γε H¹ (probat Cohn), ἡ Gv 10 ἄρρην G δ' H 11 ἐπειδὴ H²: ἐπεὶ δὲ GH¹ 12 τὸν om. H εἰ] ἢ G ἔχον Turn.: ἔχεις G¹, ἔχειν G² ut vid., ἔχει H 13 θηλυῶσαν G 14 τὰ ἄλλα G 15 λέγωμεν scripsi: λέγω, ras. 1 litterae, μὲν G, λέγομεν H τῆς add. mg. H² 16 τὴν om. G 20 lacunam eis supplendam, quae sequuntur apud Ambros., statuit Mang., sed ea partim ex § 143. 144 partim ex libro de somniis I hausit Ambros. 21 λελάληκε δὲ Mang.: λελάληκεν codd. 22 ἐπιεξῆλθεν H, ἐξῆλθε G 23 tertium τὸ] τε καὶ conicio, cf. § 77 24 ὁ] εἰ Turn. 25 τὰς G: om. H

---

18—20 *ibid. 4, 22:* Iacob copulam sibi adquisivit de sapientia consorte propositi opimam dote prudentiae, cum qua vitae tempora sine ulla offensione transcurreret.

ξεται ὁ φονεύσας. ἐὰν δέ τις ἐπιθῆται τῷ πλησίον ἀποκτεῖναι αὐτὸν
δόλῳ καὶ καταφύγῃ, ἀπὸ τοῦ θυσιαστηρίου λήψῃ αὐτὸν θανατῶσαι“
54 (Exod. 21,12—14). σαφῶς εἰδώς, ὅτι περιττὸν ὄνομα οὐδὲν τίθησιν,
ὑπὸ τῆς τοῦ πραγματολογεῖν ἀμυθήτου φορᾶς ἠπόρουν κατ' ἐμαυτόν, διὰ
τί τὸν ἑκουσίως κτείναντα οὐκ εἶπε θανατοῦσθαι μόνον, ἀλλὰ θανάτῳ
55 θανατοῦσθαι· τίνι γὰρ ἄλλῳ ὁ ἀποθνῄσκων ἢ θανάτῳ τελευτᾷ; φοιτή-
σας οὖν παρὰ γυναῖκα σοφήν, ᾗ σκέψις ὄνομα, τοῦ ζητεῖν ἀπηλλάγην·
ἐδίδαξε γάρ με, ὅτι καὶ ζῶντες ἔνιοι τεθνήκασι καὶ τεθνηκότες ζῶσι.
τοὺς μέν γε φαύλους ἄχρι γήρως ὑστάτου παρατείνοντας νεκροὺς ἔλεγεν
εἶναι τὸν μετ' ἀρετῆς βίον ἀφῃρημένους, τοὺς δὲ ἀστείους, κἂν τῆς πρὸς
σῶμα κοινωνίας διαζευχθῶσι, ζῆν εἰσαεί, ἀθανάτου μοίρας ἐπιλαχόντας.
56 (11.) ἐπιστοῦτο μέντοι καὶ χρησμοῖς τὸν ἑαυτῆς λόγον, ἑνὶ μὲν τοιῷδε·
„οἱ προσκείμενοι κυρίῳ τῷ θεῷ, ζῆτε πάντες ἐν τῇ σήμερον“ (Deut.
4,4) — τοὺς γὰρ πρόσφυγας καὶ ἱκέτας τοῦ θεοῦ μόνους ζῶντας οἶδε,
νεκροὺς δὲ τοὺς ἄλλους· ἐκείνοις δ', ὡς ἔοικε, καὶ ἀφθαρσίαν μαρτυρεῖ
57 διὰ τοῦ προσθεῖναι „ζῆτε ἐν τῇ σήμερον“. σήμερον δ' ἐστὶν ὁ ἀπέρατος
καὶ ἀδιεξίτητος αἰών· μηνῶν γὰρ καὶ ἐνιαυτῶν καὶ συνόλως χρόνων
περίοδοι δόγματα ἀνθρώπων εἰσὶν ἀριθμὸν ἐκτετιμηκότων· τὸ δ' ἀψευ-
δὲς ὄνομα αἰῶνος ἡ σήμερον. ἥλιος γὰρ οὐκ ἀλλαττόμενος ὁ αὐτός ἐστιν
ἀεί, ποτὲ μὲν ὑπὲρ γῆς ποτὲ δὲ ὑπὸ γῆν ἰών, παρ' ὃν ἡμέρα καὶ νύξ,
58 τὰ αἰῶνος μέτρα, διεκρίθησαν —, ἑτέρῳ δ' ἐπιστοῦτο τοιῷδε χρησμῷ·
„ἰδοὺ δέδωκα πρὸ προσώπου σου τὴν ζωὴν καὶ τὸν θάνατον, τὸ ἀγαθὸν
καὶ τὸ κακόν“ (Deut. 30,15.) — οὐκοῦν, ὦ πάνσοφε, τὸ μὲν ἀγαθὸν
καὶ ἡ ἀρετή ἐστιν ἡ ζωή, τὸ δὲ κακὸν καὶ ἡ κακία ὁ θάνατος —· καὶ
ἐν ἑτέροις· „αὕτη ἡ ζωή σου καὶ ἡ μακρότης τῶν ἡμερῶν, ἀγαπᾶν
κύριον τὸν θεόν σου.“ (Deut. 30,20). ὅρος ἀθανάτου βίου κάλλιστος
59 οὗτος, ἔρωτι καὶ φιλίᾳ θεοῦ ἀσάρκῳ καὶ ἀσωμάτῳ κατεσχῆσθαι. οὕτως

---

1 ἐπιθῆτε τὸ (τὸν G²) πλησίον G 4 φθορᾶς G, φορᾶς G² ut vid. 6 ὁ om. H 7 ἀπηλλάγην Turn.: ἀπηλλάγειν codd. 11 εἰσαεὶ ἀθανάτου H, sed ει ά in ras. H²: εἰς ἀποθανάτου G¹, ὡς ἀθανάτου G² 12 ἐπιστοῦτο G²H²: εἰπιστοῦτο G¹, εἶτα ἐπιστοῦτο H¹ ἑνὶ μέντοι ὧδε G 13 ante κυρίω add. τῶ H¹, del. H² 14 οἶδε G: εἶδεν H 16 σήμερον om. L ἀπέραντος coni. Mang. 18 δείγματα coni. Mang. 20 τότε G ὑπὲρ GH: ὑπὸ v τότε G ὑπὸ G: ὑπὲρ H 21 ἐπὶ τούτω G³ 27 ἀσάρκῳ καὶ ἀσωμάτῳ secl. Cohn κατασχῆσαι H¹ ut vid.

---

8 cf. Heracliti fragm. 67 Byw. 16. 17 cf. vol. I ad p. 118,31. 23. 24 *Origenes in Psalm. 88 p. 776:* κακία δὲ καὶ ἀγνωσία θάνατος ψυχῆς λογικῆς, ζωὴ δὲ ἀρετὴ καὶ γνῶσις.

p. 555 M. | οἱ μὲν ἱερεῖς Ναδὰβ καὶ Ἀβιούδ, ἵνα ζήσωσιν, ἀποθνῄσκουσιν θνητῆς
ζωῆς ἄφθαρτον ἀντικαταλλαττόμενοι βίον καὶ ἀπὸ τοῦ γενομένου πρὸς τὸ
ἀγένητον μετανιστάμενοι· ἐφ' ὧν τὰ σύμβολα τῆς ἀφθαρσίας ᾄδεται, ὅτι
ἐτελεύτησαν ἐνώπιον κυρίου (Lev. 10,2), τουτέστιν ἔζησαν· νεκρὸν γὰρ
οὐ θέμις εἰς ὄψιν ἐλθεῖν τοῦ θεοῦ. καὶ πάλιν τοῦτό ἐστιν ὃ εἶπε κύριος·
„ἐν τοῖς ἐγγίζουσί μοι ἁγιασθήσομαι“ (Lev. 10,3), „νεκροὶ δ',“ ὡς καὶ
ἐν ὕμνοις λέγεται, „οὐκ αἰνέσουσι κύριον“ (Psalm 113,25)· ζώντων
γὰρ τὸ ἔργον. Κάιν δ' ὁ ἐναγὴς καὶ ἀδελφοκτόνος οὐδαμοῦ τῆς νομο- 60
θεσίας ἀποθνῄσκων εὑρίσκεται, ἀλλὰ καὶ λόγιόν ἐστιν ἐπ' αὐτῷ χρησθὲν
τοιοῦτον· „ἔθετο κύριος ὁ θεὸς τῷ Κάιν σημεῖον, τοῦ μὴ ἀνελεῖν αὐτὸν
πάντα τὸν εὑρίσκοντα“ (Gen. 4,15). διὰ τί; ὅτι, οἶμαι, ἡ ἀσέβεια κακόν 61
ἐστιν ἀτελεύτητον, ἐξαπτόμενον καὶ μηδέποτε σβεσθῆναι δυνάμενον, ὡς
τὸ ποιητικὸν ἁρμόττειν ἐπὶ κακίας εἰπεῖν·

ἡ δέ τοι οὐ θνητή, ἀλλ' ἀθάνατον κακόν ἐστιν,

ἀθάνατον δ' ἐν τῷ παρ' ἡμῖν βίῳ, ἐπεὶ πρός γε τὴν ἐν θεῷ ζωὴν
ἄψυχον καὶ νεκρὸν καὶ „κοπρίων“, ὡς ἔφη τις, „ἐκβλητότερον.“ (12.) ἀλλ' 62
ἔδει γε πάντως χώρας ἀπονεμηθῆναι διαφερούσας πράγμασι διαφέρουσιν,
οὐρανὸν μὲν ἀγαθῷ, τὰ δὲ περίγεια κακῷ. τὸ μὲν οὖν ἀγαθὸν ἀνώφοιτόν
ἐστι, κἂν εἴ ποτε ἔλθοι πρὸς ἡμᾶς — φιλόδωρος γὰρ ὁ πατὴρ αὐτοῦ —,
σπουδάζει παλινδρομῆσαι δικαίως· τὸ δὲ κακὸν ἐνταυθοῖ καταμένει, πορ-
ρωτάτω θείου χοροῦ διῳκισμένον, περιπολοῦν τὸν θνητὸν βίον καὶ μὴ
δυνάμενον ἐκ τοῦ ἀνθρωπίνου γένους ἀποθανεῖν. τοῦτό τις καὶ τῶν ἐπὶ 63
σοφίᾳ θαυμασθέντων ἀνὴρ δόκιμος ἐφώνησε μεγαλειότερον ἐν Θεαιτήτῳ
φάσκων· „ἀλλ' οὔτ' ἀπολέσθαι τὰ κακὰ δυνατόν — ὑπεναντίον γάρ τι
τῷ ἀγαθῷ αἰεὶ εἶναι ἀνάγκη — οὔτε ἐν θείοις αὐτὰ ἱδρῦσθαι, τὴν δὲ
θνητὴν φύσιν καὶ τόνδε τὸν τόπον περιπολεῖν· διὸ καὶ πειρᾶσθαι χρὴ

---

1 Ναδὰμ H, Δὰβ L   Ἀβιοῦ G   2 ἀντικαταλλόμενοι H   τἀγένητον H, τὰ γενητὰ G   3 ὧν Mang.: ὦ codd.   ὅτι scripsi: ὅτε $G^2$, τότε $G^1H$   8 ἐναγὴς G: ἀναιδὴς H   9 αὐτοῦ coni. Mang.   10 σημεῖον τῷ Κάιν conicio; v. LXX et vol. I p. 297,22   12 μηδέποτε scripsi: μηδέπω codd.   19 ἔλθῃ v   20 post σπουδάζει add. δὲ, sed rursus del. H   21 περιπολλῦν $L^1$, περὶ πολλὺν Turn.   22 ἀποδραμεῖν conicio   22. 23 τῶν — ἐφώνησε s. s. $H^2$   24. 25 γάρ τι τῷ ἀγαθῷ e Platone scripsi: γὰρ τῷ θεῷ codd.   25 θεοῖς Platonis textus   αὐτὰ G (Plato): ταῦτα H   26 περιπολεῖ Platonis textus

---

14 Od. μ 118.   16 Heracliti fragm. 85 Byw.   20. 21 cf. Platonis Phaedr. p. 247 A   24 Platonis Theaet. p. 176 AB.

ἐνθένδε ἐκεῖσε φεύγειν ὅτι τάχιστα. φυγὴ δὲ ὁμοίωσις θεῷ κατὰ τὸ
δυνατόν· ὁμοίωσις δὲ δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι.“
64 εἰκότως οὖν ὁ Κάϊν οὐκ ἀποθανεῖται, τὸ κακίας σύμβολον, ἣν ἀεὶ δεῖ
ζῆν ἐν τῷ θνητῷ γένει παρ' ἀνθρώποις· ὥστ' οὐκ ἀπὸ σκοποῦ τὸ „θα-
νάτῳ θανατοῦσθαι“ λέλεκται τὸν ἀνδροφόνον διὰ τὰς δεδηλωμένας αἰτίας.
65 (13.) τὸ δὲ „οὐχ ἑκών, ἀλλ' ὁ θεὸς παρέδωκεν“ ἐπὶ τῶν τὸν ἀκούσιον
φόνον δρώντων πάνυ καλῶς εἴρηται. δοκεῖ γὰρ αὐτῷ τὰ μὲν ἑκούσια
γνώμης τῆς ἡμετέρας ἔργα εἶναι, τὰ δὲ ἀκούσια θεοῦ· λέγω δὲ οὐ τὰ
66 ἁμαρτήματα, ἀλλὰ τοὐναντίον ὅσα ἁμαρτημάτων ἐστὶ κόλασις. | ἀπρεπὲς p. 556 M.
γὰρ θεῷ τὸ κολάζειν ἅτε πρώτῳ καὶ ἀρίστῳ νομοθέτῃ, κολάζει δὲ ⟨δι'⟩
ὑπηρετούντων ἑτέρων, οὐ δι' ἑαυτοῦ. τὰς μὲν γὰρ χάριτας καὶ δωρεὰς
καὶ εὐεργεσίας αὐτὸν ἁρμόττει προτείνειν ἅτε ἀγαθὸν καὶ φιλόδωρον ὄντα
φύσει, τὰς δὲ τιμωρίας οὐκ ἄνευ μὲν ἐπικελεύσεως τῆς ἑαυτοῦ βασι-
λέως ἅτε ὑπάρχοντος, δι' ἄλλων δέ, οἳ πρὸς τοιαύτας χρείας εὐτρεπεῖς
67 εἰσι. μαρτυρεῖ δέ μου τῷ λόγῳ ὁ ἀσκητὴς ἐν οἷς φησιν· „ὁ θεὸς ὁ
τρέφων με ἐκ νεότητος, ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κα-
κῶν“ (Gen. 48, 15. 16). τὰ μὲν γὰρ πρεσβύτερα ἀγαθά, οἷς ἡ ψυχὴ
τρέφεται, ἀνέθηκε θεῷ, τὰ δὲ νεώτερα, ὅσα ἐκ φυγῆς ἁμαρτημάτων
68 περιγίνεται, θεράποντι θεοῦ. διὰ τοῦτ', οἶμαι, καὶ ἡνίκα τὰ τῆς κοσμο-
ποιίας ἐφιλοσόφει, πάντα τἄλλα εἰπὼν ὑπὸ θεοῦ γενέσθαι μόνον τὸν
ἄνθρωπον ὡς ἂν μετὰ συνεργῶν ἑτέρων ἐδήλωσε διαπλασθέντα. „εἶπε“
γάρ φησιν „ὁ θεός· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν“ (Gen.
69 1,26), πλήθους διὰ τοῦ „ποιήσωμεν“ ἐμφαινομένου. διαλέγεται μὲν
οὖν ὁ τῶν ὅλων πατὴρ ταῖς ἑαυτοῦ δυνάμεσιν, αἷς τὸ θνητὸν ἡμῶν τῆς
ψυχῆς μέρος ἔδωκε διαπλάττειν μιμουμέναις τὴν αὐτοῦ τέχνην, ἡνίκα
τὸ λογικὸν ἐν ἡμῖν ἐμόρφου, δικαιῶν ὑπὸ μὲν ἡγεμόνος τὸ ἡγεμονεῦον
70 ἐν ψυχῇ, τὸ δ' ὑπήκοον πρὸς ὑπηκόων δημιουργεῖσθαι. κατεχρήσατο
⟨δὲ⟩ καὶ ταῖς μεθ' ἑαυτοῦ δυνάμεσιν οὐ διὰ τὸ λεχθὲν μόνον, ἀλλ' ὅτι
ἔμελλεν ἡ ἀνθρώπου ψυχὴ μόνη κακῶν καὶ ἀγαθῶν ἐννοίας λαμβάνειν
καὶ χρῆσθαι ταῖς ἑτέραις, εἰ μὴ δυνατὸν ἀμφοτέραις. ἀναγκαῖον οὖν
ἡγήσατο τὴν κακῶν γένεσιν ἑτέροις ἀπονεῖμαι δημιουργοῖς, τὴν δὲ τῶν
71 ἀγαθῶν ἑαυτῷ μόνῳ. (14.) διὸ καὶ λεχθέντος πρότερον „ποιήσωμεν

1 τὸ om. H 2 ὁμοίωσις — γενέσθαι om. H 4 τὸ] τῷ G 9 εὐπρε-
πὲς H 10 κολάζει Turn.: κολάζειν codd. δι' add. Cohn 12 ἁρμόττειν H
14 εὐπρεπεῖς v 15 ἐν οἷς om. G 16 prius ὁ] καὶ ὁ G[2] 16 τῶν om. G
23 μὲν om. L 28 δὲ add. Turn. αὐτοῦ H, ἑαυτὸν coni. Mang. 29 ἐν-
νοίας] ἐν e corr. H[2] 30 ἑταίραις G εἰ GH[2]: ἢ H[1] ut vid.
32 δι' ὃ H[2]: δι' οὗ GH[1] ποιήσομεν H

ἄνθρωπον" ὡς ἂν ἐπὶ πλήθους, ἐπιφέρεται τὸ ὡς ἂν ἐφ' ἑνός· „ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον" (Gen. 1,27). τοῦ μὲν γὰρ πρὸς ἀλήθειαν ἀνθρώπου, ὅς δὴ νοῦς ἐστι καθαρώτατος, εἷς ὁ μόνος θεὸς δημιουργός, τοῦ δὲ λεγομένου καὶ κεκραμένου μετ' αἰσθήσεως τὸ πλῆθος. οὗ χάριν ὁ 72
μὲν κατ' ἐξοχὴν ἄνθρωπος σὺν τῷ ἄρθρῳ μεμήνυται — λέγεται γάρ· „ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον," τὸν ἀειδῆ καὶ ἄκρατον ἐκεῖνον λογισμόν —, ὁ δὲ ἄνευ τῆς τοῦδε προσθήκης· τὸ γάρ· „ποιήσωμεν ἄνθρωπον" ἐμφαίνει τὸν ἐξ ἀλόγου καὶ λογικῆς συνυφανθέντα φύσεως. ἑπόμε- 73
νος τούτοις τό τε εὐλογεῖν τοὺς ἀγαθοὺς καὶ τὸ καταρᾶσθαι τοῖς ὑπαιτίοις ἀνέθηκεν οὐχὶ τοῖς αὐτοῖς, καίτοι γε ἀμφοτέρων ἐχόντων ἔπαινον, ἀλλ' ἐπειδὴ τὸ μὲν εὐλογεῖν τοὺς ἀξίους ἡγεμονίαν ἔχει τὴν ἐν ἐγκωμίοις, τὸ δ' ἀρὰς τοῖς φαύλοις τίθεσθαι δευτέραν τάξιν, τῶν ἐπὶ
p. 557 M. ταῦτα χειροτονηθέντων — | εἰσὶ δὲ οἱ τοῦ γένους ἀρχηγέται δώδεκα ἀριθμῷ, φυλάρχας αὐτοὺς ὀνομάζειν ἔθος — ἓξ μὲν τοὺς ἀμείνους ἔταξεν ἐπὶ τῆς εὐλογίας, Συμεών, Λευί, Ἰούδαν, Ἰσσάχαρ, Ἰωσὴφ καὶ Βενιαμίν, τοὺς δ' ἑτέρους ἐπὶ τῆς κατάρας, τόν τε πρῶτον καὶ τὸν ὕστατον τῶν Λείας, Ῥουβὴν καὶ Ζαβουλών, καὶ τοὺς ἐκ τῶν θεραπαινίδων νόθους τέτταρας (Deut. 27, 12. 13). τῆς γὰρ βασιλείου καὶ ἱερω- 74
μένης φυλῆς οἱ ἡγεμόνες ἐν τῇ προτέρᾳ τάξει χορεύουσιν, Ἰούδας τε καὶ Λευί. εἰκότως οὖν καὶ τοὺς ἄξια θανάτου δρῶντας ἑτέρων χερσὶν ἐκδίδωσιν ἐπὶ τιμωρίᾳ, βουλόμενος ἡμᾶς ἀναδιδάσκειν, ὅτι ἡ κακοῦ φύσις μακρὰν ἀπελήλαται χοροῦ θείου, ὁπότε καὶ τὸ μιμηλάζον ἀγαθὸν κακῷ, ἡ τιμωρία, δι' ἑτέρων βεβαιοῦται. τὸ δὲ „δώσω σοι τόπον, οὗ φεύξε- 75
ται ὁ φονεύσας" (Exod. 21,13) ἀκουσίως, πάνυ καλῶς εἰρῆσθαί μοι δοκεῖ· τόπον γὰρ καλεῖ νῦν οὐ χώραν ἐκπεπληρωμένην ὑπὸ σώματος, ἀλλὰ δι' ὑπονοιῶν αὐτὸν τὸν θεόν, ἐπειδὴ περιέχων οὐ περιέχεται καὶ ὅτι καταφυγὴ τῶν ὅλων ἐστί. θέμις οὖν τῷ δόξαντι τροπῇ χρήσασθαι ἀκου- 76
σίῳ φάναι κατὰ θεὸν συμβῆναι τὴν τροπήν, ὅπερ οὐ θέμις τῷ ἑκουσίως ἁμαρτόντι. „δώσειν" δέ φησιν οὐ τῷ κτείναντι, ἀλλ' ᾧ διαλέγεται,

---

1 ἐπιφέρηται G 4 κεκραμμένου H ⟨τοῦ⟩ μετ' conicio 5 ἄρθρῳ] ἀνθρώπῳ G¹ 7 ὁ δὲ] ὧδε δὲ ἄνθρωπον coni. Mang. δὲ G: δ' ἄνθρωπον H, δ' ἄνθρωπος v 10 ὑπεναντίοις Turn. ἀνέθηκεν G: ἔθηκεν H 14 ἀριθμόν v 15 Λευίν GH Ἰσάχαρ codd. 17 τῶν G: τῆς H Ῥουβὴν G: Ῥουβὶμ H 20 Λευίς GH 21 τιμωρία G: τιμωρίαν H 22 πλησιάζον conicio κακῷ] ω ex corr. H² 23 ἡ τιμωρίᾳ Turn. 27 ἐστὶν H 28 ὅπερ Mang.: ὥσπερ codd. 29 ἁμαρτῶντι G

---

21. 22 cf. ad p. 123,20. 25 cf. Doxographi p. 317, 12. Zeller III 1 p. 181.

ὥσθ' ἕτερον μὲν εἶναι τὸν οἰκήτορα, ἕτερον δὲ τὸν φεύγοντα. τῷ μὲν
γὰρ ἑαυτοῦ λόγῳ ὁ θεὸς πατρίδα οἰκεῖν τὴν ἐπιστήμην ἑαυτοῦ, ὡς ἂν
αὐτόχθονι, δεδώρηται, τῷ δ' ἐν ἀκουσίοις γενομένῳ σφάλμασι καταφυ-
77 γήν, ὡς ὀθνείῳ ξένην, οὐχ ὡς πατρίδα ἀστῷ. (15.) ταῦτα καὶ περὶ
τῶν ἀκουσίων φιλοσοφήσας περὶ τῆς ἐπαναστάσεως καὶ βουλεύσεως ἑξῆς
νομοθετεῖ φάσκων· „ἐὰν δέ τις ἐπιθῆται τῷ πλησίον ἀποκτεῖναι αὐτὸν
δόλῳ καὶ καταφύγῃ“ (Exod. 21, 14) ἐπὶ τὸν θεόν, τὸν προειρημένον
συμβολικῶς τόπον, παρ' ὃν ζῆν συμβέβηκε τοῖς πᾶσι· καὶ γὰρ ἑτέ-
78 ρωθί φησιν· „ὃς ἂν φύγῃ ἐκεῖ, καὶ ζήσεται“ (Deut. 19,5). ἀλλ' οὐ
ζωὴ μέν ἐστιν αἰώνιος ἡ πρὸς τὸ ὂν καταφυγή, θάνατος δ' ὁ ἀπὸ τού-
του δρασμός; εἰ δέ τις ἐπιτίθεται, πάντως ἐκ προνοίας ἀδικεῖ, καὶ τὸ
σὺν δόλῳ πραττόμενον ἑκουσίως ἔνοχον, ὡς τὸ ἀδόλως ἔμπαλιν οὐδ'
79 ὑπαίτιον. οὐδὲν οὖν τῶν ὑπούλως καὶ δολερῶς καὶ ἐκ προνοίας πραττομένων ἀδικημάτων ἄξιον λέγειν γίνεσθαι κατὰ θεόν, ἀλλὰ καθ' ἡμᾶς
αὐτούς. ἐν ἡμῖν γὰρ αὐτοῖς, ὡς ἔφην, οἱ τῶν κακῶν εἰσι θησαυροί,
80 παρὰ θεῷ δὲ οἱ μόνων ἀγαθῶν. ὃς ἂν οὖν καταφύγῃ, τὸ δ' ἐστὶν ὃς
ἂν τῶν ἁμαρτημάτων μὴ ἑαυτὸν ἀλλὰ θεὸν αἰτιᾶται, κολαζέσθω, τῆς
μόνοις ἱκέταις πρὸς σωτηρίαν καὶ ἀσφάλειαν καταφυγῆς, τοῦ βωμοῦ,
στερούμενος, καὶ μήποτ' εἰκότως· ἀμώμων γὰρ ἱερείων, λέγω δὲ ψυχῶν
ἀσινῶν καὶ κεκαθαρμένων, τὸ | θυσιαστήριον ἀνάπλεών ἐστι· δυσίατος p. 558 M.
δὲ ἡ παντελῶς ἀνίατος μῶμος τὸ φάσκειν καὶ κακῶν αἴτιον εἶναι τὸ
81 θεῖον. φίλαυτοι δὴ μᾶλλον ἢ φιλόθεοι σπουδάσαντες οἱ τοιοῦτοι τρόποι πάντες εἶναι βαινέτωσαν ἔξω περιρραντηρίων, ἵν' ὡς μιαροὶ καὶ ἀκάθαρτοι μηδ' ἐξ ἀπόπτου τὴν ἱερὰν φλόγα τῆς ἀνακαιομένης ἀσβέστου
ψυχῆς καὶ θεῷ καθαγνιζομένης ὁλοκλήρῳ καὶ παντελεῖ δυνάμει θεά-
82 σωνται. παγκάλως τις τῶν πάλαι σοφῶν εἰς ταὐτὸ τοῦτο συνδραμὼν
ἐθάρρησεν εἰπεῖν, ὅτι „θεὸς οὐδαμῇ οὐδαμῶς ἄδικος, ἀλλ' ὡς οἷόν

7 καὶ καταφύγῃ Mang.: καὶ καταφύγη ποιεῖ (ποῖ; coni. Cohn) GH, καταφύγη ποιεῖ L, καταφυγὴν ποιεῖ Turn. 9 ἀλλ' οὐ] ἀλλὰ G[2] 11 δὴ scrib. et lin. 8—10 καὶ γὰρ—δρασμός parenthesis ponenda τὸ] τῶ G[1] 12 ἑκουσίως G[2] (Mang.): ἑκουσίοις G[1]H 15 κακῶν Mang.: κακιῶν codd. 16 οἱ scripsi: ras. 2 litt. in G, οὐ H οὖν s. s. H[2] 17 τὸν θεὸν v 18 μόνης H[2] πρὸς G: εἰς H δεδομένης vid. add. 19 στερόμενος coni. Cohn μήτ' G[1] 21 καὶ secl. Mang. 22 τοιοῦτον τρόπον H[1]v, τοιουτότροποι Mang. 23 βαινέτωσαν G: μενέτωσαν H 25 καθαγιζομένης coni. Mang.

27 Platonis Theaet. p. 176 C.

τε δικαιότατος, καὶ οὐκ ἔστιν αὐτῷ ὁμοιότερον οὐδὲν ἢ ὃς ἂν ἡμῶν αὖ γένηται ὅτι δικαιότατος. περὶ τοῦτον καὶ ἡ ὡς ἀληθῶς δεινότης ἀνδρὸς καὶ οὐδενία τε καὶ ἀνανδρία. ἡ μὲν γὰρ τούτου γνῶσις σοφία καὶ ἀρετὴ ἀληθινή, ἡ δὲ ἄγνοια ἀμαθία τε καὶ κακία ἐναργής. αἱ δὲ ἄλλαι δεινότητες δοκοῦσαι καὶ σοφίαι ἐν μὲν πολιτικαῖς δυναστείαις γιγνόμεναι φορτικαί, ἐν δὲ τέχναις βάναυσοι.“ (16.) προστάξας οὖν ἀπάγεσθαι τὸν 83 ἀνίερον καὶ κακήγορον τῶν θείων ἀπὸ τῶν ἱερωτάτων καὶ ἐκδίδοσθαι ἐπὶ τιμωρίᾳ φησὶν ἑξῆς· „ὃς τύπτει πατέρα ἢ μητέρα, τελευτάτω“ καὶ ὁμοίως „ὁ κακηγορῶν πατέρα καὶ μητέρα τελευτάτω“ (Exod. 21, 15. 16). μονονοὺ γὰρ βοᾷ καὶ κέκραγεν, ὅτι τῶν εἰς τὸ θεῖον βλασφημούντων 84 οὐδενὶ συγγνώμης μεταδοτέον. εἰ γὰρ οἱ τοὺς θνητοὺς κακηγορήσαντες γονεῖς ἀπάγονται τὴν ἐπὶ θανάτῳ, τίνος ἀξίους χρὴ νομίζειν τιμωρίας τοὺς τὸν τῶν ὅλων πατέρα καὶ ποιητὴν βλασφημεῖν ὑπομένοντας; τίς δ' ἂν γένοιτο αἰσχίων κακηγορία ἢ τὸ φάσκειν μὴ παρ' ἡμᾶς, ἀλλὰ παρὰ θεὸν γένεσιν εἶναι τῶν κακῶν; ἐλαύνετε οὖν, ἐλαύνετε, ὦ μύσται καὶ 85 ἱεροφάνται θείων ὀργίων, τὰς μιγάδας καὶ σύγκλυδας καὶ πεφυρμένας, δυσκαθάρτους καὶ δυσεκπλύτους ψυχάς, αἳ ἄκλειστα μὲν ὦτα, ἄθυρον δὲ γλῶτταν, ὄργανα τῆς ἑαυτῶν βαρυδαιμονίας εὐτρεπῆ, περιφέρουσιν, ἵνα καὶ πάντων καὶ ὧν μὴ θέμις ἀκούωσι καὶ πάντα καὶ ὅσα μὴ χρεὼν ἐκλαλῶσιν. ὅσοι δὲ διαφορὰν ἑκουσίων καὶ ἀκουσίων ἐπαιδεύθησαν καὶ 86 εὔφημον στόμα ἀντὶ κακηγόρου γλώττης ἔλαχον, κατορθοῦντες μὲν ἐπαινετοί, σφαλλόμενοι δὲ μὴ κατὰ γνώμην οὐ πάνυ ψεκτοί· διὸ καὶ πόλεις p. 559 M. αὐτοῖς εἰς καταφυγὴν ἀπεκρίθησαν (Num. 35). (17.) | ἄξιον δὲ τῶν 87 περὶ τὸν τόπον αὐτὰ τὰ ἀναγκαῖα μάλιστα ἀκριβῶσαι. ἔστι δ' ἀριθμῷ

1 καὶ om. H  ἢ ὃς ἂν in mg H³  ἡμῶν om. Turn.  αὖ Plato: εὖ codd., οὐ Turn.  2 ὅτι δικαιότατος om. H  περὶ] παρὰ coni. Mang.  τοῦτον] ῥώμη δὲ s. s. H², ῥώμη τε v  3 οὐδενία τε scripsi; οὐδὲν ἰᾶται G(H¹?), οὐδένειά τε ex corr. H²  ἀρετὴ s. s. H²  4 ἄγνοια G: ἄνοια H, ἀνθρωπεία Mang. ex codice Oxon. Coll. Novi 143  5 δοκοῦσαι] τε δοκοῦσαι Plato  5. 6 φροντισταὶ H, ante quod add. καί, sed rursus del.  8 μητέρα ἢ πατέρα H  8. 9 καὶ ὁμοίως — τελευτάτω om. H  9 καὶ] ἢ conicio  10 μόνον γὰρ οὐ G, μονονοὺκ ἄρα conicio  ἐκβοᾷ coni. Mang.  11 κατηγορήσαντες H  12 ἀξίου H  13 τὸν om. v  14 παρ' G (Mang.): περὶ H  15 παρὰ G (Mang.): περὶ H  17 δυσεκπλύντους v  ἄκλυστα H  19 primum καὶ fort. secl.  ἀκούωσιν G  19. 20 καὶ πάντων (sic G, πάντα scripsi) — ἐκλαλῶσιν G: om. H  21 κατηγόρου H  24 ἀκριβῶσαι] ἀκριβ H² in ras., ante β ras. in H  δὲ H

23—128,7 *Ambros. de fuga saeculi 2,5:* sed consideremus altius. quattuor sunt quae admonent, profundius esse spectanda lectionis arcana istius. unum, qua ratione ex his

τέτταρα· ἓν μέν, διὰ τί οὐκ ἐξ ὧν αἱ ἄλλαι φυλαὶ πόλεων ἔλαχον, ἀλλ'
ἐξ ὧν ἡ Λευιτικὴ μόνη, φυγάσι πόλεις ἀπεκρίθησαν· δεύτερον δέ, διὰ τί
ἓξ ἀριθμῷ καὶ οὔτε πλείους οὔτε ἐλάττους· τρίτον, τί δήποτε τρεῖς μὲν
πέραν τοῦ Ἰορδάνου, αἱ δ' ἕτεραι ἐν τῇ Χαναναίων γῇ· τέταρτον, διὰ
τί προθεσμία τοῖς φυγάσιν ὥρισται τοῦ κατελθεῖν ὁ τοῦ ἀρχιερέως θά-
88 νατος. λεκτέον οὖν περὶ ἑκάστου τὰ ἁρμόττοντα, ἀρχὴν ἀπὸ τοῦ πρώτου
λαβόντας. εἰς τὰς ἀπονεμηθείσας Λευίταις μόνοις πόλεις φεύγειν διείρηται
πάνυ προσηκόντως· καὶ γὰρ οἱ Λευῖται τρόπον τινὰ φυγάδες εἰσίν, ἕνεκα
ἀρεσκείας θεοῦ γονεῖς καὶ τέκνα καὶ ἀδελφοὺς καὶ πᾶσαν τὴν θνητὴν
89 συγγένειαν ἀπολελοιπότες. ὁ γοῦν ἀρχηγέτης τοῦ θιάσου τούτου λέγων
εἰσάγεται τῷ πατρὶ καὶ τῇ μητρί· „οὐχ ἑώρακα ὑμᾶς, καὶ τοὺς ἀδελ-
φοὺς οὐ γινώσκω, καὶ τοὺς υἱοὺς ἀπογινώσκω“ (Deut. 33,9) ὑπὲρ τοῦ
δίχα μεθολκῆς θεραπεύειν τὸ ὄν. ἡ δ' ἀψευδὴς φυγὴ στέρησις τῶν
οἰκειοτάτων καὶ φιλτάτων ἐστίν. φυγάδας οὖν φυγάσι παρακατατίθεται
90 πρὸς τὴν ὧν εἰργάσαντο ἀμνηστίαν, δι' ὁμοιότητα ἔργων. ἆρ' οὖν διὰ

---

4 αἱ δ' ἕτεραι Turn.: τὰς δ' ἑτέρας codd., quod seruari potest verbo addito
7 λαβόντι coni. Mang. διείρηται H[2]: διαιρεῖται G (H[1]?) 8 οἱ om. H
14 εἰκαιοτάτων G ἐστὶ G ἐστὶ καὶ φυγάδας φυγάσι v 15 ἀμνη-
στείαν codd.

---

civitatibus, quae Levitis in portionem sorte obvenerunt, sex civitates ad refugium datae sunt homicidii crimine laborantibus, cur non etiam aliarum tribuum civitates ad hoc munus deputatae. secundum, qua ratione sex numero; non enim otiose numerus hic praescriptus videtur, neque plurium neque pauciorum civitatium. tertium, cur tres ultra Iordanen civitates et tres in regione Chananaea dispositae sint, quae refugio peccantibus forent. quartum, cur denumeratio et definitio temporis comprehensa, intra quod habitet homicida in civitate refugii, quoad moriatur sacerdos magnus et post mortem sacerdotis magni revertatur homicida in civitatem habitationis suae. de singulis ergo oportet dicere atque eo ordine quo proposuimus quaesita absolvere.
7—10. 12. 13 *ibid.* *2,6:* competenter itaque Levitarum civitates datas ad refugium primo explicandum est. congrue autem provisum liquet, quia Levitae fugitantes sunt mundi huius, (qui *add. Schenkl*) ut placeant deo, relinquant (relinquunt *conicio*) patriam parentes filios omnem cognationem, ut adhaereant uni deo. — *2,7:* fugitans igitur est suorum sacri altaris eius minister. 10—12 cf. ibid. 2,7 p. 167, 23—168,4 Sch., ubi pro loco Deut. locos N.T. laudat Ambrosius. 12—15 *ibid.* *2,7:* ergo cui deus portio est (Deut. 18,2) nihil debet curare nisi deum, ne alterius impediatur necessitatis munere . . . haec enim vera est sacerdotis fuga, abdicatio domesticorum et quaedam alienatio carissimorum, ut suis se abneget, qui servire deo gestit. recte ergo fugaces fugacibus commendavit aeternae legis sanctio, ut qui hunc mundum obliti sunt eos recipiant qui peccata sua condemnantes atque opera oblivionem vitae superioris expetant.

τοῦτο μόνον ἢ καὶ δι' ἐκεῖνο, ⟨ὅτι⟩ ἡ τῶν νεωκόρων Λευιτικὴ φυλὴ τοὺς
θεοπλαστήσαντας τὸν χρυσοῦν μόσχον, τὸν Αἰγυπτιακὸν τῦφον, ἡβηδὸν
ἐξ ἐπιδρομῆς κατέκτειναν, ὀργῇ δικαίᾳ σὺν ἐνθουσιασμῷ καί τινι κατο-
κωχῇ θεοφορήτῳ χρησάμενοι; „καὶ κτείνει ἕκαστος ἀδελφὸν καὶ πλη-
σίον καὶ τὸν ἔγγιστα" (Exod. 32,27), ἀδελφὸν μὲν ψυχῆς τὸ σῶμα, τὸ
δὲ λογικοῦ πλησίον τὸ ἄλογον, τὸν δὲ ἔγγιστα νοῦ τὸν προφορικὸν λόγον.
οὕτως γὰρ ἂν μόνως θεραπευτικὸν γένοιτο τοῦ τῶν ὄντων ἀρίστου τὸ 91
ἐν ἡμῖν αὐτοῖς ἄριστον, πρῶτον μὲν εἰ ἀναλυθείη ὁ ἄνθρωπος εἰς ψυχήν,
διαζευχθέντος καὶ διακοπέντος αὐτῷ τοῦ ἀδελφοῦ σώματος καὶ τῶν
ἀνηνύτων ἐπιθυμιῶν· εἶτα τῆς ψυχῆς ἀποβαλούσης, ὡς ἔφην, τὸ πλη-
σίον τοῦ λογικοῦ, τὸ ἄλογον — καὶ γὰρ αὐτὸ χειμάρρου τρόπον πεν-
ταχῇ σχιζόμενον διὰ πασῶν τῶν αἰσθήσεων οἷα δεξαμενῶν τὴν τῶν
παθῶν ἀνεγείρει φοράν —· εἶθ' ἑξῆς τοῦ λογισμοῦ διοικίσαντος καὶ 92
διαζεύξαντος τὸν ἐγγυτάτω δοκοῦντα εἶναι, τὸν προφορικὸν λόγον, ἵν' ὁ
κατὰ διάνοιαν ἀπολειφθῇ μόνος, ἔρημος σώματος, ἔρημος αἰσθήσεως,
ἔρημος γεγωνοῦ λόγου προφορᾶς· ἀπολειφθεὶς γάρ, τῇ κατὰ τὴν μόνω-
σιν διαίτῃ χρώμενος, τὸ μόνον ⟨ὂν⟩ καθαρῶς καὶ ἀμεθέλκτως ἀσπά-
p. 560 M. σεται. | πρός γε μὴν τοῖς εἰρημένοις κἀκεῖνο ὑπομνηστέον, ὅτι ἡ Λευι- 93
τικὴ φυλὴ νεωκόρων καὶ ἱερέων ἐστίν, οἷς ἡ τῶν ἁγίων ἀνάκειται λει-
τουργία· λειτουργοῦσι δὲ καὶ οἱ τὸν ἀκούσιον φόνον δρῶντες, εἴ γε
κατὰ Μωυσῆν „ὁ θεὸς παραδίδωσιν εἰς τὰς χεῖρας αὐτῶν" (Exod.
21,13) τοὺς θανάτου ἄξια εἰργασμένους πρὸς ἀναίρεσιν. ἀλλ' οἱ μὲν
ἐτάχθησαν ἐπὶ τῷ τοὺς ἀγαθοὺς σεμνύνειν, οἱ δ' ἐπὶ τῷ τοὺς ὑπαιτίους

---

1 ὅτι addidi 2 ante μόσχον ras. in H 3 κατέκτεινον H, κατέκτεινεν conicio et lin. 11 χρησαμένη 3. 4 κατοκωχῇ G: κατακωχῇ H 4 θεοφορήτῳ — κτείνει om. G 5 τὸ G: τοῦ H 7 ἂν G: om. H 8 ἀκολουθείη G ὁ G: om. H 9 διακοπέντος] διοικισθέντος coni. Mang. αὐτοῦ conicio 10 ἀποβαλούσης Turn.: ἀποβαλλούσης GH 11 χειμάρρουν G 13 διοικίσαντος Turn.: διοικήσαντος GH 15 ἀπολειφθῇ Turn.: ἀποληφθῇ GH 16 γεγωνοῦ λόγου scripsi: γεγωνοῦ G[1] (?), γεγονὼς G[2], γε (τε Mang.) λόγου H 17 ὂν add. Mang. 21 Μωσῆν codd. 23 τῶ G: τὸ H τῶ G: τὸ H

---

1—18 *ibid. 2,7. 8 p. 168,7. 8. 19. 20:* et ideo exul est mundi: fugitans corporis, fugitans passionum abdicat se omnibus, ut solus remaneat . . . percussus igitur Levitico gladio moriatur sensus carnis in nobis, ut vivat anima nostra. 18—22 *ibid. 2,8 p. 168,12—15:* est etiam illa causa, quia Levitae ministri sunt dei. et ideo ipsorum civitates fugientibus homicidis per legem deputantur, quia ipsis ius est divina mandata exsequi circa eos qui crimen mortale admiserint.

94 κολάζειν. (18.) αὗται μέν εἰσιν αἱ αἰτίαι, ὧν ἕνεκα οἱ τὸν ἀκούσιον φόνον δράσαντες εἰς μόνας τὰς τῶν νεωκόρων φεύγουσι πόλεις. τίνες δέ εἰσι καὶ διὰ τί ἀριθμῷ ἕξ, ἑπομένως λεκτέον. μήποτ' οὖν ἡ μὲν πρεσβυτάτη καὶ ἐχυρωτάτη καὶ ἀρίστη μητρόπολις, οὐκ αὐτὸ μόνον πόλις, ὁ θεῖός ἐστι λόγος, ἐφ' ὃν πρῶτον καταφεύγειν ὠφελιμώτατον.
95 αἱ δ' ἄλλαι πέντε, ὡς ἂν ἀποικίαι, δυνάμεις εἰσὶ τοῦ λέγοντος, ὧν ἄρχει ἡ ποιητική, καθ' ἣν ὁ ποιῶν λόγῳ τὸν κόσμον ἐδημιούργησε· δευτέρα δ' ἡ βασιλική, καθ' ἣν ὁ πεποιηκὼς ἄρχει τοῦ γενομένου· τρίτη δ' ἡ ἵλεως, δι' ἧς ὁ τεχνίτης οἰκτείρει καὶ ἐλεεῖ τὸ ἴδιον ἔργον· τετάρτη δ' ἡ * * * νομοθετικῆς μοῖρα, δι' ἧς ἃ μὴ χρὴ γίνεσθαι ἀπαγορεύει.
96 πάγκαλοι δὲ καὶ εὐερκέσταται πόλεις, ἀξίων σῴζεσθαι ψυχῶν τὸν αἰῶνα ἄρισταί γε καταφυγαί· χρηστὴ δὲ καὶ φιλάνθρωπος ἡ διάταξις, ἀλεῖψαι καὶ ῥῶσαι πρὸς εὐελπιστίαν ⟨ἱκανή. ἧς⟩ τίς ἂν ἐδυνήθη μᾶλλον τοσαύτην τῶν δυναμένων εὐεργετεῖν ἀναδεῖξαι ἀφθονίαν διὰ τὰς διαφορὰς τῶν ἐν τροπαῖς
97 ἀκουσίοις γενομένων, οἷς οὔτε ἰσχὺς οὔτε [ἡ] ἀσθένεια ἡ αὐτή; προτρέπει δὴ τὸν μὲν ὠκυδρομεῖν ἱκανὸν συντείνειν ἀπνευστὶ πρὸς τὸν ἀνωτάτω

4 ὀχυρωτάτη H 5 πόλις s. s. H² ἐστὶν H 6 ὄντος coni. Mang., λεχθέντος vir doctus apud Mang., ἡγεμόνος conicio 7 ἡ G²: om. G¹H, μὲν ἡ conicio 8 δ' ἡ H: δὴ G¹, δὲ ἡ G² 9 δ' ἡ H: δὴ G 10 νομοθετικὴ H lacunam ex Ambrosio supplendam (e. gr. νομοθετική, δι' ἧς προστάττει ἃ δεῖ, πέμπτη δ' ἡ. cf. § 98. 100. 104) hic statuo, Mang. post ἀπαγορεύει 13 ῥῶσαι] συγκροτῆσαι coni. Mang. ἱκανή add. Mang., ἧς Diels 14 ἀναδεῖξαι G²H²: ἀνέδειξε G¹H¹ διαφθορὰς G 15 ⟨ἡ⟩ ἰσχὺς coni. Cohn ἡ seclusi 16 δὴ] δὲ οὖν ex codice Oxon. Coll. Novi 143 Mang.

2—15 *ibid. 2,9:* sex autem civitatum refugia sunt ita, ut prima civitas sit cognitio verbi et ad imaginem eius forma vivendi ... haec igitur civitas velut metropolis, cui adiacent aliae quinque civitates Levitarum. secunda est civitas consideratio divinae operationis, qua creatus est mundus. tertia civitas est contemplatio potestatis regiae et maiestatis aeternae. quarta civitas propitiationis divinae contuitus. quinta civitas legis divinae contemplatio, quae praecipit quid faciendum sit. sexta quoque civitas portio legis, quae praescribit quid non faciendum sit. quanta abundantia divinae misericordiae, quantae divitiae pietatis eius, ut singulorum studia fragilitatesque humanae condicionis considerans, quibus et inviti ac reluctantes ad culpam ducimur et non voluntaria delicta victi inlecebris frequenter committimus, diversa nobis refugia proponeret. *cf. etiam 2,12 p. 172,4. 5 cum lin. 14. 15.* 15—131,6 *ibid. 2, 10:* primum igitur remedium, ut ... sine ulla conperendinatione ... ad ipsam rerum arcem omnium properet, ubi verbum est dei ... ubi est fons sapientiae, unde pro morte vitae aeternae hauriat potum inmortalem. secundum est remedium, ut qui non potest cognitionem boni illius praelibare et tardior vel ingenio est vel fidei conprehensione ... saltem opera domini consideret atque ex his quae facta sunt tanti

λόγον θεῖον, ὃς σοφίας ἐστὶ πηγή, ἵνα ἀρυσάμενος τοῦ νάματος ἀντὶ
θανάτου ζωὴν ἀίδιον ἆθλον εὕρηται· τὸν δὲ μὴ οὕτως ταχὺν ἐπὶ τὴν
ποιητικὴν καταφεύγειν δύναμιν, ἣν Μωυσῆς ὀνομάζει θεόν, ἐπειδὴ δι'
αὐτῆς ἐτέθη καὶ διεκοσμήθη τὰ σύμπαντα — τῷ γὰρ ὅτι γέγονε τὸ
πᾶν καταλαβόντι μεγάλου κτῆσις ἀγαθοῦ περιγίνεται, ἡ τοῦ πεποιηκότος
ἐπιστήμη, ἡ δ' εὐθὺς ἀναπείθει τὸ γενόμενον ἐρᾶν τοῦ φυτεύσαντος —·
τὸν δὲ μὴ οὕτως ἕτοιμον ἐπὶ τὴν βασιλικήν — φόβῳ γὰρ ἄρχοντος τὸ 98
ὑπήκοον, εἰ καὶ μὴ εὐνοίᾳ πατρὸς τὸ ἔκγονον, ἀνάγκῃ σωφρονιζούσῃ
νουθετεῖται —· τῷ δὲ μὴ φθάνοντι πρὸς τοὺς λεχθέντας ὅρους ὡς
μακρὰν διεστῶτας ἀφικνεῖσθαι καμπτῆρες εἴσω πεπήγασιν ἕτεροι δυνά-
μεων ἀναγκαίων, τῆς ἵλεω, τῆς προσταττούσης ἃ δεῖ, τῆς ἀπαγορευούσης
p. 561 M. ἃ μὴ δεῖ. ὅ τε γὰρ προλαβών, | ὡς οὐκ ἀπαραίτητον ἀλλ' εὐμενὲς δι' 99
ἡμερότητα φύσεώς ἐστι τὸ θεῖον, κἂν ἁμάρτῃ πρότερον, αὖθις μετενόη-
σεν ἀμνηστίας ἐλπίδι, ὅ τε ἔννοιαν λαβών, ὅτι νομοθέτης ὁ θεός ἐστιν,
πειθαρχῶν οἷς ἂν προστάττῃ πᾶσιν εὐδαιμονήσει· ὁ δ' ὕστατος ὑστάτην
εὑρήσεται καταφυγήν, ἀποτροπὴν κακῶν, εἰ καὶ μὴ μετουσίαν προηγου-
μένων ἀγαθῶν. (19.) αἵδ' εἰσὶν ⟨αἱ⟩ ἓξ πόλεις, ἃς καλεῖ φυγαδευτήρια 100

---

1 ἀρρυσάμενος H[2] 3 Μωσῆς codd. 4 ἐκοσμήθη H ὄντι G[1] ut vid. γέγονεν H 5 μεγάλου Mang.: μεγάλη codd. 7 οὕτως G (Turn.): οὔτε H 8 ἀνάγκης σωφρονιζούσης conicio 9 φθάνοντι G (Turn.): φθονοῦντι H 12 ὅ τε] ὃ e corr. H[3] 14 ἀμνηστείας GH[1] 15 προστάττει H εὐδαιμονήσῃ G 17 αἱ addidi φυγαδευτηρίων H[1]

---

**contempletur operis auctorem, quoniam ex his bonis, quae sunt in constitutione istius creaturae ...., bonum illud summum atque aeternum conprehenditur .... nonne his quamvis tardum ingenium diligere auctorem suum provocatur? ... ergo operatoria virtus dei, etsi non videtur, tamen ex suis operibus aestimatur. ....**
**6—9** ***ibid.:*** **tertius ordo est regalis potestatis contemplatio, ut subiciamur regi, si non deferimus tamquam parenti. metu enim praesidentis plerumque fit oboediens potestati qui est salutis ingratus, ut necessitatem sobrietatis agnoscat qui noluit ac nequivit gratiam pietatis agnoscere. corrigit enim necessitas quem pietas provocare debuerat.** ***cf. etiam 2,11.*** **9—17** ***ibid. 2,12:*** **qui descenderint ergo ex illis superioribus virtutibus ad haec inferiora ...., habent propiora hominis refugia quae petant ut ... sperent dominum sibi reconciliari posse, si veniam petant, sperent posse corrigi, si praecepta sequantur caelestium testamentorum, quibus aut informamur ad innocentiam aut revocamur a culpa. haec igitur intra Iordanen civitates sequentes sunt, ut propitiemus nobis deum, sequamur quae iubet, vitemus quae prohibet. sit ergo propitiandae divinitatis ambitio, sequendae praeceptionis oboeditio, interdictae praevaricationis cautio, quibus propitiatoriam dei misericordiam et nomotheticen eius providentiam vel institutorum obsequio vel interdictorum declinatione veneremur.**

(Num. 35, 12), ὧν αἱ μὲν πέντε ἀπεικονίσθησαν καὶ ἔστιν αὐτῶν ἐν
τοῖς ἁγίοις τὰ μιμήματα, προστάξεως μὲν καὶ ἀπαγορεύσεως οἱ ἐν τῇ
κιβωτῷ νόμοι, τῆς δ' ἵλεω δυνάμεως τὸ ἐπίθημα τῆς κιβωτοῦ —
καλεῖ δὲ αὐτὸ ἱλαστήριον —, ποιητικῆς δὲ καὶ βασιλικῆς τὰ ὑπόπτερα
101 καὶ ἐφιδρυμένα Χερουβίμ· ὁ δ' ὑπεράνω τούτων λόγος θεῖος εἰς ὁρατὴν
οὐκ ἦλθεν ἰδέαν, ἅτε μηδενὶ τῶν κατ' αἴσθησιν ἐμφερὴς ὤν, ἀλλ'
αὐτὸς εἰκὼν ὑπάρχων θεοῦ, τῶν νοητῶν ἅπαξ ἁπάντων ὁ πρεσβύτατος,
ὁ ἐγγυτάτω, μηδενὸς ὄντος μεθορίου διαστήματος, τοῦ μόνου, ὃ ἔστιν
ἀψευδῶς, ἐφιδρυμένος. λέγεται γάρ· „λαλήσω σοι ἄνωθεν τοῦ ἱλαστη-
ρίου, ἀνὰ μέσον τῶν δυεῖν Χερουβίμ" (Exod. 25, 21), ὥσθ' ἡνίοχον
μὲν εἶναι τῶν δυνάμεων τὸν λόγον, ἔποχον δὲ τὸν λαλοῦντα, ἐπικελευό-
102 μενον τῷ ἡνιόχῳ τὰ πρὸς ὀρθὴν τοῦ παντὸς ἡνιόχησιν. ὁ μὲν οὖν
ἄνευ τροπῆς, ἑκουσίου μὲν ἅπαγε, ἀλλὰ καὶ τῆς ἀκουσίου γεγονώς,
αὐτὸν τὸν θεὸν κλῆρον ἔχων (Deut. 10,9), ἐν αὐτῷ μόνῳ κατοικήσει·
οἱ δ' οὐκ ἐκ προνοίας ἀλλ' ἀβουλήτοις χρησάμενοι σφάλμασι καταφυ-
103 γὰς ἕξουσι τὰς εἰρημένας ἀφθόνους καὶ πλουσίας οὕτως. τῶν δὲ πρὸς
καταφυγὴν πόλεων τρεῖς μέν εἰσι πέραν, αἳ μακρὰν ἡμῶν τοῦ γένους
ἀφεστᾶσι. τίνες αὗται; ὁ τοῦ ἡγεμόνος λόγος καὶ ἡ ποιητικὴ καὶ βασι-
λικὴ δύναμις αὐτοῦ· τούτων γὰρ ὅ τε οὐρανὸς καὶ σύμπας ὁ κόσμος
104 ἐπικοινωνεῖ. αἱ δὲ προσεχεῖς ἡμῖν καὶ ἐφαπτόμεναι τοῦ τῶν ἀνθρώπων
ἐπικήρου γένους, ᾧ μόνῳ συμβέβηκε διαμαρτάνειν, αἱ ἐντός εἰσι τρεῖς,
ἡ ἵλεως, ἡ προστακτικὴ τῶν ποιητέων, ἡ ἀπαγορευτικὴ τῶν μὴ ποιη-
105 τέων· αὗται γὰρ ἤδη ἡμῶν ἐφάπτονται. τίς γὰρ ἀπαγορεύσεως χρεία
τοῖς μὴ μέλλουσιν ἀδικήσειν, τίς δὲ προστάξεως τοῖς μὴ πεφυκόσι σφάλ-
λεσθαι, τίς δὲ τῆς ἵλεω τοῖς μηδ' ὅλως ἁμαρτησομένοις; ἀλλὰ τό γε
ἡμέτερον γένος χρεῖον γέγονε τούτων διὰ τὸ πεφυκέναι καὶ ἐπικλινῶς
106 ἔχειν πρός τε τὰ ἑκούσια καὶ ἀκούσια ἁμαρτήματα. (20.) τέταρτον
καὶ λοιπὸν ἦν τῶν προταθέντων ἡ προθεσμία τῆς τῶν πεφευγότων καθ-

---

3 ἐπίθημα G(H[1]?): ἐπίθεμα H[2] 5 ὑφιδρυμένα L 7 εἰκὼν om. G 8 τοῦ μόνου Turn.: τῷ μόνον G, τὸ μόνον H 9 ἐφιδρυμένος scripsi: ἀφιδρυμένος codd. 10 δυοῖν H χερουβεὶμ G 15 ἀλλὰ βουλῇ τοῖς G χρησάμενοι H[2]: χρησαμένοις GH[1] 16 post εἰρημένας vid. add. πόλεις οὕτως] οὔσας conicio οὕτω δὲ τῶν v 18 ἀφεστᾶσιν H prius καὶ H[2]: om. GH[1] 20 ἐπικοινωνεῖ scripsi: ἐπικοινωναὶ H, ἐπικοινωνίαι G, ἐστί. κοινωναὶ v αἱ δὲ προσεχεῖς Cohn (cf. modo adnotata): δὲ προσεχεῖς codd., δὲ καὶ προσεχεῖς v 23 δὴ coni. Mang. 25 τῆς] τοῖς G 28 προτεθέντων L

---

27—133,13 *ibid. 2, 13:* quartum superest quod de morte summi sacerdotis ait: quia usque ad illud tempus erit in civitate refugii homicida ille, donec

ὁδοῦ, τοῦ ἀρχιερέως ὁ θάνατος, πολλὴν ἐν τῷ ῥητῷ μοι παρέχουσα
δυσκολίαν. ἄνισος γὰρ ἡ τιμωρία κατὰ τῶν τὰ αὐτὰ δρασάντων νομο-
p. 562 M. θετεῖται, εἴ γε οἱ μὲν | πλείω χρόνον ἀποδράσονται, οἱ δὲ ἐλάττω·
μακροβιώτατοι γὰρ ⟨οἱ μέν⟩, οἱ δὲ ὀλιγοχρονιώτατοι τῶν ἀρχιερέων
εἰσί· καὶ οἱ μὲν νέοι, οἱ δὲ πρεσβῦται καθίστανται· καὶ τῶν ἑαλωκότων 107
ἐπ' ἀκουσίῳ φόνῳ οἱ μὲν ἐν ἀρχῇ τῆς ἱερωσύνης ἐφυγαδεύθησαν, οἱ
δ' ἤδη μέλλοντος τελευτᾶν τοῦ ἱερωμένου, ὡς τοὺς μὲν αἰῶνα μακρόν
τινα τῆς πατρίδος ἐστερῆσθαι, τοὺς δ' αὐτὸ μόνον ἡμέραν, εἰ τύχοι,
μεθ' ἣν τὸν αὐχένα ἐπαίροντες καὶ φρυαττόμενοι καὶ γελῶντες τοὺς
ἄγχιστα γένους τῶν ἀνῃρημένων ἀφίξονται. τὸ ἄπορον οὖν καὶ δυσα- 108
πολόγητον ἀποδρασόμεθα τῆς δι' ὑπονοιῶν φυσικῆς ἀποδόσεως ἐφιέ-
μενοι. λέγομεν γὰρ τὸν ἀρχιερέα οὐκ ἄνθρωπον ἀλλὰ λόγον θεῖον εἶναι
πάντων οὐχ ἑκουσίων μόνον ἀλλὰ καὶ ἀκουσίων ἀδικημάτων ἀμέτοχον.
οὔτε γὰρ ἐπὶ πατρί, τῷ νῷ, οὔτε ἐπὶ μητρί, τῇ αἰσθήσει, φησὶν αὐτὸν 109
Μωυσῆς (Lev. 21, 11) δύνασθαι μιαίνεσθαι, διότι, οἶμαι, γονέων ἀφθάρ-
των καὶ καθαρωτάτων ἔλαχεν, πατρὸς μὲν θεοῦ, ὃς καὶ τῶν συμπάν-
των ἐστὶ πατήρ, μητρὸς δὲ σοφίας, δι' ἧς τὰ ὅλα ἦλθεν εἰς γένεσιν·
καὶ διότι τὴν κεφαλὴν κέχρισται ἐλαίῳ, λέγω δὲ τὸ ἡγεμονικὸν φωτὶ 110
αὐγοειδεῖ περιλάμπεται, ὡς ἀξιόχρεως „ἐνδύσασθαι τὰ ἱμάτια“ νομισθῆ-
ναι — ἐνδύεται δ' ὁ μὲν πρεσβύτατος τοῦ ὄντος λόγος ὡς ἐσθῆτα τὸν
κόσμον (γῆν γὰρ καὶ ὕδωρ καὶ ἀέρα καὶ πῦρ καὶ τὰ ἐκ τούτων ἐπαμπ-
ίσχεται), ἡ δ' ἐπὶ μέρους ψυχὴ τὸ σῶμα, ἡ δὲ τοῦ σοφοῦ διάνοια
τὰς ἀρετάς —· καὶ ὅτι τὴν κεφαλὴν „οὐδέποτε ἀπομιτρώσει“, τὸ βα- 111
σίλειον οὐκ ἀποθήσεται διάδημα, τὸ σύμβολον τῆς οὐκ αὐτοκράτορος
μέν, ὑπάρχου δὲ καὶ θαυμαστῆς ἡγεμονίας, „οὐδ' αὖ τὰ ἱμάτια διαρ-
ρήξει“ (Lev. 21, 10)· ὅ τε γὰρ τοῦ ὄντος λόγος δεσμὸς ὢν τῶν 112

1 παρέχουσαν H[1] 4 οἱ μέν addidi, οἱ μὲν γὰρ μακροβιώτατοι coni. Mang. 4 οἱ δὲ ὀλιγοχρονιώτατοι s. s. H[2] 10 ἔγγιστα v ἀνῃρημένων G[2]: ἀνημέρων G[1]H 11. 12 ἐφαπτόμενοι coni. Mang. 13 μόνων H 15 Μωσῆς codd. 16 ἔλαχε G 18 κέχριται G 23 ἀπομητρώσει G

**moriatur sacerdos magnus**, in quo secundum litteram haeret interpretatio. primum ipsa fuga sorte magis quam aequitate alicuius examinis definita, dein in causis paribus inpar eventus; poterat enim fieri, ut post homicidae illius refugium sequenti die obiret magnus sacerdos. quae autem sub incerto sententia? ergo quia haeret littera, quaeramus spiritalia. quis est iste magnus sacerdos nisi dei filius, verbum dei . . . qui exors omnium est voluntariorum et accidentium delictorum . . .?
26—134,2 *ibid.*: vinculo enim verbi constricta omnia sunt et eius continentur potentia

ἁπάντων, ὡς εἴρηται, καὶ συνέχει τὰ μέρη πάντα καὶ σφίγγει κωλύων αὐτὰ διαλύεσθαι καὶ διαρτᾶσθαι· ἥ τ' ἐπὶ μέρους ψυχή, καθόσον δυνάμεως μεμοίραται, τῶν τοῦ σώματος οὐδὲν ἀποσχίζεσθαι καὶ ἀποτέμνεσθαι μερῶν παρὰ φύσιν ἐᾷ, τὸ δ' ἐπ' αὐτῇ πάντα ὁλόκληρα ὄντα ἁρμονίαν καὶ ἕνωσιν ἀδιάλυτον ἄγει τὴν πρὸς ἄλληλα· ὅ τε κεκαθαρμένος τοῦ σοφοῦ νοῦς ἀρρήκτους καὶ ἀπήμονας διαφυλάττει τὰς ἀρετάς, τὴν φυσικὴν αὐτῶν συγγένειάν τε καὶ κοινωνίαν ἁρμοσάμενος εὐνοίᾳ παγιωτέρᾳ.
113 (12.) οὗτος „ἐπὶ πᾶσαν ψυχὴν τετελευτηκυῖαν", ᾗ φησι Μωυσῆς,
„οὐκ εἰσελεύσεται" (Lev. 21, 11)· θάνατος δὲ ψυχῆς ὁ μετὰ κακίας
| ἐστὶ βίος, ὥστε οὐδέ τινος ἄγους, ὧν προσβάλλειν ἀφροσύνη φιλεῖ, ποτὲ p. 563 M.
114 προσάψεται. τούτῳ καὶ παρθένος ἐκ τοῦ ἱεροῦ γένους ἁρμόζεται, καθαρὰ καὶ ἀμίαντος καὶ ἀδιάφθορος εἰς ἀεὶ γνώμῃ· χήρας γὰρ καὶ ἐκβεβλημένης καὶ βεβήλου καὶ πόρνης ἀνὴρ οὐδέποτε γίνεται (ibid. 13. 14), πόλεμον ἄσπονδον καὶ ἀκήρυκτον πρὸς αὐτὰς ἀεὶ συγκροτῶν. ἐχθρὸν γὰρ αὐτῷ τὸ χηρεύειν ἀρετῆς καὶ ἐκβεβλῆσθαι καὶ πεφυγαδεῦσθαι πρὸς αὐτῆς καὶ πᾶν ὅ τι ἂν ᾖ βέβηλον πεῖσμα καὶ ἀνίερον· τὸ δὲ πολυμιγὲς καὶ πολύανδρον καὶ πολύθεον, ἄθεον μὲν οὖν κακόν, πόρνην, οὐδὲ προσιδεῖν ἀξιοῖ, τὴν ἕνα ἄνδρα καὶ πατέρα τὸν ἡγεμόνα θεὸν ἐπιγε-
115 γραμμένην ἠγαπηκώς. ὑπερβολή τις περὶ τὸν τρόπον τοῦτον τελειότητος ἐνορᾶται. τὸν μέν γε τὴν μεγάλην εὐξάμενον εὐχὴν οἶδέ που καὶ ἀκουσίως σφαλλόμενον, εἰ καὶ μὴ ἑκουσίῳ γνώμῃ· λέγει γάρ· „ἐὰν δέ τις ἀποθάνῃ ἐπ' αὐτῷ ἐξάπινα, παραχρῆμα μιανθήσεται" (Num. 6, 9)· τὰ γὰρ ἀβούλητα ἔξωθεν αἰφνίδιον κατασκήπτοντα παραχρῆμα τὴν ψυχὴν οὐ πρὸς αἰῶνα μήκιστον μιαίνει, ἅτε ὄντα ἀκούσια. τούτων δ' ὁ

1 ἁπάντων ἄρρηκτος καὶ coni. Mang. ὡς om. GH[1] εἴργεται G[2] κωλύων G: κωλύει H, καὶ κωλύει H[2] 2 ἥ τ' G[2]: ἥ τε H[2], εἴτε G[1] (H[1]) καθ' ὅσον codd. 7 παγειοτέρα G, παγιωτάτῃ coni. Mang. 8 οὗτος H[2]: οὕτως G(H[1]) τετελευτηκυῖαν H[2]: τετελευτηκῶσαν G(H[1]) Μωσῆς codd. 10 προσβάλλει G[1] ut vid. 11 ἱερατικοῦ coni. Mang. 14 αὐτοὺς G 17 ⟨καὶ⟩ ἄθεον ὁμοῦ κακόν conicio ἄθεον secl. Mang., ἄθεον μὲν οὖν secl. Cohn 18 τὴν e corr. H[2] 19 τελειότατος G 20 οὐδέπου coni. Mang. 21 μὴ καὶ v 24 τὰ G: τῶν H ἀβούλητα scripsi: ἀβουλήτων H[2], ἀβουλούντων G(H[1]), fort. τῶν γὰρ ἀβουλήτων τινὰ scrib. 25 ἅτε H: ἄν τε G post ἀκούσια add. τύχοι G[2]

. . . et ideo omnia manent, quia dissolvi illa non sinit quae ipse constrinxit . . . omnia enim quoad vult suo imperio coercet et regit et naturali concordia ligat. *cf. ad p. 7, 8.*

ἀρχιερεὺς καθάπερ καὶ τῶν ἑκουσίων ὑπεράνω στὰς ἀλογεῖ. ταῦτα δ' 116
οὐκ ἀπὸ σκοποῦ μοι λέλεκται, ἀλλ' ὑπὲρ τοῦ διδάξαι, ὅτι φυσικωτάτη
προθεσμία καθόδου φυγάδων ὁ τοῦ ἀρχιερέως ἐστὶ θάνατος (Num.
35,25). ἕως μὲν γὰρ ὁ ἱερώτατος οὗτος λόγος ζῇ καὶ περίεστιν ἐν 117
ψυχῇ, ἀμήχανον τροπὴν ἀκούσιον εἰς αὐτὴν κατελθεῖν· ἀμέτοχος γὰρ
καὶ ἀπαράδεκτος παντὸς εἶναι πέφυκεν ἁμαρτήματος. ἐὰν δὲ ἀποθάνῃ,
οὐκ αὐτὸς διαφθαρείς, ἀλλ' ἐκ τῆς ἡμετέρας ψυχῆς διαζευχθείς, κάθ-
οδος εὐθὺς δίδοται τοῖς ἑκουσίοις σφάλμασιν· εἰ γὰρ μένοντος καὶ
ὑγιαίνοντος ἐν ἡμῖν ἐξῳκίζετο, μετανισταμένου πάντως εἰσοικισθήσεται.
γέρας γὰρ ἐξαίρετον ὁ ἀμίαντος ἀρχιερεύς, ἔλεγχος, ἐκ φύσεως κεκάρ- 118
πωται τὸ μηδέποτ' εἰς αὐτὸν παραδέξασθαι τόπον γνώμης ὄλισθον.
διόπερ ἄξιον εὔχεσθαι ζῆν ἐν ψυχῇ τὸν ἀρχιερέα ὁμοῦ καὶ βασιλέα,
δικαστὴν ἔλεγχον, ὃς ὅλον ἡμῶν τὸ διανοίας ἀποκεκληρωμένος δικα-
στήριον ὑπ' οὐδενὸς τῶν ἀγομένων εἰς κρίσιν δυσωπεῖται.
(22.) Λελαληκότες οὖν τὰ ἁρμόττοντα περὶ φυγάδων τὴν κατὰ 119
τὸν εἱρμὸν ἀκολουθίαν συνυφανοῦμεν. λέγεται γὰρ ἑξῆς· „εὗρεν αὐτὴν
ἄγγελος κυρίου“ (Gen. 16,7), κάθοδον ψηφισάμενος ὑπ' αἰδοῦς κινδυ-
p. 564 M. νευσούσῃ ψυχῇ πλανᾶσθαι καὶ μονονοὺ | προπομπὸς γινόμενος τῆς εἰς
τὴν ἀπλανῆ γνώμην ἐπανόδου. χρήσιμον δὲ καὶ τὰ περὶ εὑρέσεως καὶ 120
ζητήσεως φιλοσοφηθέντα τῷ νομοθέτῃ μὴ ἡσυχασθῆναι. τοὺς μὲν γὰρ
εἰσάγει μηδὲν μήτε ζητοῦντας μήτε εὑρίσκοντας, τοὺς δὲ ἐν ἑκατέρῳ
κατορθοῦντας, ἐνίους δὲ θάτερον περιπεποιημένους, ὧν οἱ μὲν ζητοῦντες
οὐχ εὑρίσκουσιν, οἱ δ' εὑρίσκουσιν οὐ ζητήσαντες. οἱ μὲν οὖν μήτε 121
εὑρέσεως μήτε ζητήσεως ἐφιέμενοι τὸν λογισμὸν ἀπαιδευσίᾳ καὶ ἀμελε-
τησίᾳ χαλεπῶς ᾐκίσαντο καὶ δυνάμενοι ὀξὺ καθορᾶν ἐπηρώθησαν.

---

7 ἀλλὰ τῆς conicio 8 ἑκουσίοις Maurini Ambrosii editores (Mang.): ἀκουσίοις codd. 10 post φύσεως add. καὶ GH[1] 11 μηδέποτε G αὐτὸν H[2]: αὐτὸν GH[1] τόπον corruptum, τὸ παράπαν Mang., τὸν πονηρὸν Cohn 12. 13 ἄρχοντα ὁμοῦ καὶ βασιλέα δικαστήν τε καὶ ἔλεγχον conicio; v. quod det. pot. ins. § 23 12 βασιλέα secl. Turn. 13 ὃς H[2]: ὡς GH[1] 14 ἀπαγομένων Mang. per errorem, ut vid. 16 ἑξῆς Mang.: ἐξ ἀρχῆς codd. 17 κάθοδον G[2]: καθ' ὁδὸν G[1]H 18 οὐ G: ἐκ H 19 τὰ om. L 23 οἱ δ' H: οὐδ' G οὐ H(G[1]): οἱ G[2] 25 ἐπήρωσαν G[2]

---

4—8 *ibid.:* vivit igitur dei verbum et maxime in animis vivit piorum nec umquam moritur plenitudo divinitatis. numquam enim moritur sempiterna divinitas et aeterna dei virtus. sane moritur nobis, si a nostra anima separetur, non quo morte corrumpatur, sed quo dissolvatur atque exuatur mens nostra ab eius coniunctione; mors enim

οὕτως φησὶ „τὴν γυναῖκα Λὼτ στραφεῖσαν εἰς τοὐπίσω γενέσθαι στήλην"
122 (Gen. 19,26), οὐ μυθοπλαστῶν, ἀλλὰ πράγματος ἰδιότητα μηνύων. ὅς
γὰρ ἂν ὀλιγωρήσας τοῦ διδάσκοντος ὑπὸ ῥᾳθυμίας ἐμφύτου τε ὁμοῦ καὶ συνήθους τὰ μὲν πρόσω καταλίπῃ, δι' ὧν ὁρᾶν καὶ ἀκούειν καὶ ταῖς ἄλλαις δυνάμεσιν ἔστι χρῆσθαι πρὸς τὴν τῶν φύσεως πραγμάτων ἐπίκρισιν, ἐκτραχηλίσας δ' αὐτὸν εἰς τοὐπίσω περιαγάγῃ, τὰ τυφλὰ τῶν ἐν τῷ βίῳ πραγμάτων μᾶλλον ἢ τῶν τοῦ σώματος μερῶν ἐζηλωκώς,
123 ἀψύχου καὶ κωφῆς λίθου τρόπον στηλιτεύεται. οὐ γὰρ ἔσχον, ᾗ φησι
Μωυσῆς, οἱ τοιοῦτοι τρόποι „καρδίαν συνιέναι καὶ ὀφθαλμοὺς βλέπειν καὶ ὦτα ἀκούειν" (Deut. 29, 4), ἀλλὰ τυφλὸν καὶ κωφὸν καὶ ἀνόητον καὶ πάντῃ πηρὸν βίον ἀβίωτον ἑαυτοῖς ἐξειργάσαντο, οὐδενὶ τῶν δεόν-
124 των ἐφιστάντες. (23.) ἡγεμὼν δ' ἐστὶ τοῦ χοροῦ τούτου ὁ τῆς σω-
ματικῆς χώρας βασιλεύς· „ἐπιστραφεὶς" γάρ φησι „Φαραὼ εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, καὶ οὐκ ἐπέστησε τὸν νοῦν οὐδ' ἐπὶ τούτῳ" (Exod. 7, 23), ἴσον τῷ ἐπ' οὐδενὶ τὸ παράπαν, ἀλλ' εἴασεν αὐτὸν οἷα φυτὸν
125 ἀγεώργητον ἀφαυαίνεσθαι καὶ στειρούμενον ἀγονίᾳ χρῆσθαι. οἱ μέν
γε βουλευόμενοι καὶ σκοπούμενοι καὶ πάντ' ἐπιμελῶς ἐξετάζοντες ἀκονῶσι καὶ παραθήγουσιν αὐτόν· ὁ δὲ γυμναζόμενος τοὺς οἰκείους φέρει καρπούς, ἀγχίνοιάν τε καὶ σύνεσιν, δι' ὧν τὸ ἀφενάκιστον περιγίνεται· ὁ δ' ἀπερίσκεπτος ἀμβλύνει καὶ περιθραύει τὰς φρονήσεως ἀκμάς.
126 Τὸν μὲν οὖν ἄλογον καὶ ἄψυχον ὡς ἀληθῶς τῶν τοιούτων θίασον ἐατέον,
τὸν δὲ τῶν σκέψει καὶ εὑρέσει χρωμένων ἐπικριτέον. αὐτίκα τοίνυν ὁ πολιτικὸς μὲν ἥκιστα δὲ δοξομανὴς τρόπος, ἐφιέμενος τῆς ἀμείνονος γενεᾶς, ἣν ἀρεταὶ κεκλήρωνται, ζητῶν τε καὶ ἀνευρίσκων αὐτὴν εἰσάγεται.
127 „εὗρε" γάρ φησιν „ἄνθρωπος τὸν Ἰωσὴφ πλανώμενον ἐν τῷ πεδίῳ,

6 αὐτὸν codd. περιαγάγῃ $H^2$: περιαγάγει $GH^1$ 9 Μωσῆς H τοιουτότροποι conicio (cf. p. 126, 22), τρόποι om. G (Mang.) 11 πάντῃ $H^2$ (Mang.): πάντα G($H^1$) πηρὸν secl. Mang. ἐφιστάντες ⟨νοῦν⟩ coni. Mang. 12 δέ ἐστι H 13 ἐπιγραφεὶς Turn. 14 τούτω $H^2$: τοῦτο $GH^1$ 16 ἀγονίᾳ $H^2$: ἀγωνία $GH^1$ 19 ἀφαινάκιστον $G^2$($H^1$) 22 τὸν Turn.: τῶν codd. 25 πλανώμενον om. H τῷ om. Turn.

vera est verbi et animae separatio. denique statim incipit anima peccatis patere voluntariis. 1 sqq. cf. *Orig. Contra Cels. IV 45 p. 538:* τὰ μὲν οὖν τῆς κατὰ τὸν τόπον τροπολογίας οὐκ ἀναγκαῖον νῦν λέγειν .... τίς τε ἡ γυνὴ αὐτοῦ γενομένη στήλη ἁλὸς διὰ τὸ ἐστράφθαι εἰς τοὐπίσω ... *Homil. in Gen. V 2 p. 74.*
24—137,12 *Ambros l. c. 8,47:* fratres suos requirebat et ad eum festinabat locum, in quo pascebant oves, et cum cognovisset quia in Dothaim sunt, perrexit eo. signifi-

καὶ ἠρώτησεν αὐτόν· τί ζητεῖς; ὁ δὲ εἶπεν· τοὺς ἀδελφούς μου ἐγὼ
ζητῶ, ἀνάγγειλόν μοι, ποῦ βόσκουσιν. εἶπε δὲ αὐτῷ ὁ ἄνθρωπος·
ἀπήρκασιν ἐντεῦθεν· ἤκουσα γὰρ αὐτῶν λεγόντων· πορευθῶμεν εἰς
p. 565 M. Δωθαΐν. καὶ ἐπορεύθη Ἰωσὴφ κατόπιν τῶν ἀδελφῶν αὐτοῦ, καὶ | εὗρεν
αὐτοὺς ἐν Δωθαΐν“ (Gen. 37, 15—17). ἑρμηνεύεται Δωθαῒν ἔκλειψις 128
ἱκανή, σύμβολον ψυχῆς οὐ μέσως ἀλλὰ τελείως ἀποδεδρακυίας τὰς
κενὰς δόξας, αἳ γυναικῶν μᾶλλον ἢ ἀνδρῶν ἐπιτηδεύμασιν ἐοίκασι.
διὸ πάνυ καλῶς ἡ ἀρετὴ Σάρρα „τὰ γυναικεῖα ἐκλείπει“ (Gen. 18, 11),
περὶ ἃ πονούμεθα οἱ τὸν ἄνανδρον καὶ θῆλυν ὄντως βίον μεταδιώκοντες.
ὁ δὲ σοφὸς καὶ „ἐκλείπων προστίθεται“ (Gen. 25, 17) κατὰ Μωυσῆν,
φυσικώτατα· τὴν γὰρ τῆς κενῆς δόξης ἀφαίρεσιν πρόσθεσιν ἀληθείας εἶναι
συμβέβηκεν. εἰ δή τις ἔτ' ἐν θνητῷ καὶ πολυμιγεῖ καὶ πολυμόρφῳ βίῳ 129
διατρίβων καὶ κεχρημένος ἀφθόνοις ταῖς πρὸς περιουσίαν ὕλαις σκέπτεται
καὶ ζητεῖ περὶ τῆς ἀμείνονος καὶ πρὸς τὸ καλὸν μόνον ἀφορώσης γενεᾶς,
ἄξιος ἀποδοχῆς ἐστιν, ἂν μὴ πάλιν τὰ ὀνείρατα καὶ φαντάσματα τῶν
νομιζομένων καὶ φαινομένων ἀγαθῶν ὑπαναπλεύσαντα παρευημερήσῃ.
μένων γὰρ ἐν ἀκιβδήλευτῳ τῇ ψυχικῇ σκέψει, κατ' ἴχνος τῶν ζητου- 130
μένων βαίνων καὶ ἐπακολουθῶν οὐκ ἀνήσει πρότερον ἢ τοῖς ποθου-
μένοις ἐντυχεῖν. ἀλλ' οὐδὲν αὐτῶν παρὰ μοχθηροῖς ἀνευρήσει· διὰ τί; 131
„ἀπήρκασι γὰρ ἐντεῦθεν“, τὰς μὲν ἡμετέρας σπουδὰς ἐκλιπόντες,
μετοικισάμενοι δ' εἰς τὸν ἔρημον κακῶν εὐσεβῶν χῶρον. λέγει δὲ
ταῦτα ὁ ἀληθινὸς ἄνθρωπος, ὁ ἐπὶ ψυχῆς ἔλεγχος, ὃς ἀποροῦσαν καὶ
σκεπτομένην καὶ ζητοῦσαν αὐτὴν ἰδὼν εὐλαβεῖται, μὴ πλανηθεῖσα δια-

---

1 δ' G ἐγὼ fort. secl. 4 et 5 ter Δωθαεὶμ conicio 8 ἡ] τῇ G$^2$ τῇ ἀρετῇ Σάρρᾳ coni. Mang. 9 θηλύνοντα G$^2$ 10 Μωσῆν GH 11 πρὸς θέσιν G 12 δή G: δ' εἴ H, δέ Mang. πολυτρόπῳ coni. Mang. 15 post ἂν spatium in G 16 ἐπαναπλεύσαντα coni. Mang. 19 οὐδέν' (οὐδὲν Mang.) αὐτῶν Turn.: οὐδενὶ τῶν codd. παρὰ om. G μοχθηρῶν G$^2$ 20 ἡμετέρων v 21 μετοικισάμενοι H: μετοικησάμενοι G(?)v 22 ὁ ἐπὶ] ὅς ἐστι coni. Cohn ἐπὶ secl. Mang.

---

**catur autem illo verbo Dothaim defectus idoneus, id est vanarum opiniorum defectus non mediocris, sed perfectus et plenus, in quo profectus est animae. sapiens enim quando minuit addit; deficiunt enim saeculares opiniones, quae muliebribus infirmis comparantur. unde pulchre, quo ostenderetur Sarra ad profectum venisse, ut generaret risum et laetitiam, d e f e c e r u n t inquit S a r r a e f i e r i m u l i e b r i a. bona ergo defectio cupiditatum, defectio vanitatis, quia veritatis adiectio est.**

132 μάρτῃ τῆς ὀρθῆς ὁδοῦ. (24). πάνυ τεθαύμακα κἀκείνους, τὸν μὲν
φιλοπευστοῦντα περὶ τοῦ μέσου τῶν ἄκρων καὶ λέγοντα· „ἰδοὺ τὸ πῦρ
καὶ τὰ ξύλα, ποῦ τὸ πρόβατον τὸ εἰς ὁλοκάρπωσιν“, τὸν δ' ἀποκρινό-
μενον· „ὁ θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον“ καὶ
ὕστερον τὸ ἀντιδοθὲν εὑρίσκοντα· „ἰδοὺ γὰρ κριὸς εἷς κατεχόμενος τῶν
133 κεράτων ἐν φυτῷ Σαβέκ“ (Gen. 22,7. 8. 13). ἴδωμεν οὖν, τί ὁ μὲν
ζητῶν ἀπορεῖ, ὁ δ' ἀποκρινόμενος ἀποφαίνεται, καὶ τρίτον τί τὸ εὑρισκό-
μενον ἦν. ὃ μὲν οὖν πυνθάνεται τοιοῦτόν ἐστιν· ἰδοὺ τὸ δρῶν αἴτιον,
τὸ πῦρ· ἰδοὺ καὶ τὸ πάσχον, ἡ ὕλη, τὰ ξύλα· ποῦ τὸ τρίτον, τὸ ἀπο-
134 τέλεσμα; οἷον ἰδοὺ ὁ νοῦς, ἔνθερμον καὶ πεπυρωμένον πνεῦμα· ἰδοὺ
καὶ τὰ νοητά, ὡσανεὶ ὗλαι· ποῦ τὸ τρίτον, τὸ νοεῖν; πάλιν ἰδοὺ ἡ
ὅρασις, ἰδοὺ τὸ χρῶμα, ποῦ τὸ ὁρᾶν; καὶ συνόλως ἰδοὺ ἡ αἴσθησις, τὸ
κριτήριον, ἀλλὰ καὶ τὰ αἰσθητά, αἱ ὗλαι· τὸ οὖν αἰσθάνεσθαι ποῦ;
135 ταῦτα πυνθανομένῳ δεόντως ἀποκρίνεται· „ὁ θεὸς ὄψεται ἑαυτῷ“· θεοῦ
γὰρ ἔργον ἴδιον τὸ τρίτον. ἐπιφροσύνῃ γὰρ αὐτοῦ ὁ μὲν νοῦς καταλαμ-
βάνει, ἡ δ' ὅρασις ὁρᾷ καὶ πᾶσα αἴσθησις αἰσθάνεται. „κριὸς δ'
136 εὑρίσκεται κατεχόμενος“, τουτέστι λόγος ἡσυχάζων καὶ ἐπέχων. ἄριστον
γὰρ ἱερεῖον ἡσυχία καὶ | ἐποχὴ περὶ ὧν πάντως οὐκ εἰσὶ πίστεις. p. 566 M.
ῥητὸν γὰρ μόνον τοῦτο „ὁ θεὸς ὄψεται“, ᾧ γνώριμα τὰ πάντα, ὃς
λαμπροτάτῳ φωτί, ἑαυτῷ, τὰ ὅλα αὐγάζει· τὰ δ' ἄλλα οὐ ῥητὰ γενέσει,

---

4 εἰς H: εἰς τὴν G  5 γὰρ s. s. $H^2$  5. 6 τῶν κεράτων om. G  11 ὕλη conicio (cf. Ambros.)  13 ἀλλὰ] ἰδοὺ conicio ἡ ὕλη conicio  14 δεόντως $G^1(H^1)$: δὲ οὕτως $G^2H^2$  ἀποκρίνεται $H^2$: ἀποκρίναιτο $G(H^1)$  18 ὧν εἰσ ουκόσι πίστεις (sic) H, ὧν οὐκ εἰσὶ πίστεις L  παντὶ $G^2$  19 ῥητέον coni. Mang.  20 οὐ ῥητέα vel οὐχ ὁρατὰ coni. Mang.

---

1—10 *Ambros. epist. 8,2:* denique in arte requiruntur praecipue, ut sit αἴτιον, ὕλη, ἀποτέλεσμα. cum igitur legamus sanctum Isaac patri dicere: ecce ignis et ligna, ubi hostia? quid horum deest? nam qui quaerit, dubitat; qui respondet quaerenti, pronuntiat et dubitationem absolvit. ecce ignis, id est αἴτιον, et ligna, id est ὕλη, quae latine materia dicitur: tertium quid superest nisi ἀποτέλεσμα? quod filius quaesivit, pater rettulit dicenti: ubi hostia? deus inquit providebit sibi sacrificium, fili. 10—16 *ibid. 4:* ecce ergo mens calida et fervens ut ignis quae operatur, ecce et intellegibilia, id est materia, ubi est tertium, intellegere? ecce color, ubi est videre? ecce sensibilia, ubi est sentire? materia enim non ab omnibus videtur, ideoque deus dat munus intellegendi et sentiendi et videndi. *cf. § 10.*
16—18 *ibid. 3:* ostendit deus arietem pendentem cornibus. aries autem est verbum plenum tranquillitatis et moderationis atque patientiae. quo ostenditur bonum

ἧς πολὺ κατακέχυται τὸ σκότος· ἠρεμία δ' ἀσφαλὲς ἐν σκότῳ.
(25). ζητήσαντες καὶ τί τὸ τρέφον ἐστὶ τὴν ψυχήν — „οὐ γάρ“ ᾗ 137
φησι Μωυσῆς „ᾔδεισαν τί ἦν“ (Exod. 16, 15) — εὗρον μαθόντες ῥῆμα
θεοῦ καὶ λόγον θεῖον, ἀφ' οὗ πᾶσαι παιδεῖαι καὶ σοφίαι ῥέουσιν ἀέναοι.
ἥδ' ἐστὶν ἡ οὐράνιος τροφή, μηνύεται δ' ἐν ταῖς ἱεραῖς ἀναγραφαῖς ἐκ
προσώπου τοῦ αἰτίου λέγοντος· „ἰδοὺ ἐγὼ ὕω ὑμῖν ἄρτους ἐκ τοῦ οὐρα-
νοῦ“ (ibid. 4)· τῷ γὰρ ὄντι τὴν αἰθέριον σοφίαν ὁ θεὸς ταῖς εὐφυέσι 138
καὶ φιλοθεάμοσιν ἄνωθεν ἐπιψεκάζει διανοίαις· αἱ δὲ ἰδοῦσαι καὶ γευσά-
μεναι καὶ σφόδρ' ἡσθεῖσαι ἔμαθον μὲν ὃ ἔπαθον, τὸ δὲ διαθὲν ἀγνο-
οῦσι. διὸ πυνθάνονται· „τί ἐστι τοῦτο“ (ibid. 15), ὃ μέλιτος γλυκύ-
τερον, χιόνος δὲ λευκότερον εἶναι πέφυκε; διδαχθήσονται δὲ ὑπὸ τοῦ 139
θεοπρόπου, ὅτι „οὗτός ἐστιν ὁ ἄρτος, ὃν ἔδωκε κύριος αὐτοῖς φαγεῖν“
(ibid. 15). τίς οὖν ὁ ἄρτος, εἰπέ. „τοῦτο“ φησί „τὸ ῥῆμα ὃ συνέταξε
κύριος“ (ibid. 16). ἡ θεία σύνταξις αὕτη τὴν ὁρατικὴν ψυχὴν φωτίζει

---

1 ἧς Turn.: ἣ G²H, ἡ G¹ 3 Μωσῆς codd. ᾔδεσαν H 9 καὶ σφόδρ' G: σφόδρα H δοθὲν Markland 9. 10 ἀγνοοῦσιν H 10 μέλιτος ⟨μὲν⟩ conicio 11 χιῶνος GH¹ 14 αὐτὴ G

---

sacrificium esse sapientiam et prudenter emerendi ac propitiandi rationem cognoscere. 2—140,2 *ibid. 6:* quaeramus subicientis (subicientes *Maurini*) materiam, quid sit quod nutriat animam; tamquam in tenebris requiramus eam. neque enim vel patres sciebant, quid esset manna, invenerunt inquit (autem *pro* inquit *conicio*) manna discentes (*sic Maurini pro* dicentes) ipsum esse sermonem et verbum dei, unde omnes disciplinae fonte iugi ac perpetuo fluunt atque derivant. 7 haec est esca caelestis, significatur autem ex persona dicentis: ecce ego pluam vobis panes de caelo. αἴτιον ergo eo quod operatur deus, qui irrigat mentes rore sapientiae, ὕλη (ὕλῃ?), quia videntes animae et gustantes delectantur et requirunt, unde sit illud splendidius luce, dulcius melle. respondetur eis scripturae serie: hic est panis, quem dedit vobis manducare dominus et hoc est verbum dei quod disposuit deus vel ordinavit, quo pascitur anima prudentium et delectatur, quod est candidum et suave, veritatis splendore illuminans et virtutum suavitate demulcens audientium animas. *epist. 64,2:* sed est spiritale manna. hoc est pluvia spiritalis sapientiae, quae ingeniosis et quaerentibus de caelo infunditur et irrorat mentes piorum et obdulcat fauces eorum. qui igitur intellexerit infusionem divinae sapientiae, delectatur nec alium cibum requirit nec in solo pane vivit, sed in omni verbo dei. qui curiosior fuerit quaerit quid sit istud quod melle dulcius sit. respondet illi minister dei: hic est panis quem dedit tibi deus manducare. quid sit iste panis audi: sermo inquit quem ordinavit deus. haec ergo ordinatio dei, haec alimonia alit animam sapientis et illuminat atque obdulcat, resplendens veritatis corusco et mulcens tamquam favo quodam ita diversarum virtutum suavitate et sermone sapientiae.

τε ὁμοῦ καὶ γλυκαίνει, φέγγος μὲν τὸ ἀληθείας ἀπαστράπτουσα, πειθοῖ
δέ, ἀρετῇ γλυκείᾳ, τοὺς διψῶντας καὶ πεινῶντας καλοκἀγαθίας ἐφηδύνουσα.
140 ζητήσας καὶ ὁ προφήτης αὐτός, τί τὸ τοῦ κατορθοῦν αἴτιον, ἀνεῦρεν
ὅτι ἡ θεοῦ μόνου σύνοδος. ἐπειδὴ γὰρ ἠπόρει, τίς εἰμι καὶ τίς ὢν τὸ
ὁρατικὸν γένος ἀπὸ τοῦ βασιλεύειν δοκοῦντος ἀντιθέου τρόπου ῥύσομαι,
141 διδάσκεται χρησμῷ, ὅτι „ἔσομαι μετὰ σοῦ“ (Exod. 3,11. 12). ζητήσεις
δ' αἱ τῶν κατὰ μέρος ἔχουσι μὲν γλαφυρὰν θεωρίαν καὶ φιλόσοφον —
πῶς γὰρ οὔ; —, ἡ δὲ τοῦ τῶν ὄντων ἀρίστου καὶ ἀσυγκρίτου καὶ
πάντων αἰτίου θεοῦ ζήτησις εὐφραίνει μὲν εὐθὺς ἰόντας ἐπὶ τὴν σκέψιν,
ἀτελὴς δ' οὐ γίνεται, προϋπαντῶντος διὰ τὴν ἵλεω φύσιν ἑαυτοῦ ταῖς
παρθένοις χάρισι καὶ ἐπιδεικνυμένου ἑαυτὸν τοῖς γλιχομένοις ἰδεῖν, οὐχ
οἷός ἐστιν — ἀμήχανον γάρ, ἐπεὶ καὶ Μωυσῆς „ἀπέστρεψε τὸ πρόσωπον·
εὐλαβεῖτο γὰρ κατεμβλέψαι ἐνώπιον τοῦ θεοῦ“ (Exod. 3, 6) —,
ἀλλ' ὡς ἐνεχώρει γενητὴν φύσιν τῇ ἀπερινοήτῳ δυνάμει προσβαλεῖν.
142 ἀναγέγραπται καὶ τοῦτο ἐν τοῖς προτρεπτικοῖς· „ἐπιστραφήσεσθε“ γάρ
φησι „πρὸς κύριον τὸν θεὸν ὑμῶν, καὶ εὑρήσετε αὐτόν, ὅταν | ἐκζητήσητε p. 567 M.
αὐτὸν ἐξ ὅλης τῆς καρδίας καὶ ἐξ ὅλης τῆς ψυχῆς ὑμῶν“
(Deut. 4, 29. 30).
143 (26.) Ἀποχρώντως λελαληκότες καὶ περὶ τούτων ἐπὶ τὸ τρίτον
ἑξῆς τρεψώμεθα κεφάλαιον, ἐν ᾧ τὸ μὲν ζητεῖν ἦν, τὸ δ' εὑρίσκειν
οὐχ εἵπετο. Λάβαν γοῦν ἀναζητήσας ὅλον τοῦ ἀσκητοῦ τὸν ψυχικὸν

---

2 ἀρετῆς conicio (cf. Ambros.) ἀφηδύνουσα G 3 τὸ τοῦ Mang.: τοῦτο $H^1$, τοῦ $GH^2$ 11 τοῖς om. H 12 Μωσῆς codd. 14 γεννητὴν v τῇ $H^2$: τὴν G($H^1$) ἀπερινοήτῳ scripsi: περὶ νοητῶ $GH^1$, περὶ νοητὰ $H^2$ προσβαλεῖν Gv: προσβάλλειν H 16 ὑμῶν G: ἡμῶν H 17 ὑμῶν G: ἡμῶν H 19 ἀποχρῶντος G 19. 20 ἐπὶ et τρεψώμεθα codd.: ἔτι et σκεψώμεθα v 21 ἀσκητοῦ G: ἀσκητικοῦ H

---

3—6 *epist.* *8,8:* in se enim didicerat propheta, quid esset consummandae rei αἴτιον. nam cum mitteretur ad populum dei liberandum ad regem Aegypti, ait: quis sum ego, ut vadam et educam populum a regis potestate? respondit dominus: ego ero tecum. 6—8 *ibid.* *9:* interrogationes ergo illae in medio et responsiones habent sapientiae semina et θεωρίαν. gratum tamen ἀποτέλεσμα est, quia ait: ego ero tecum. 21—141,7 *Ambros. de fuga saeculi 4,22. 23:* itaque Laban perscrutatus est domum eius spiritalem et non invenit effigies; plena enim erat non figurarum, sed negotiorum . . . denique ea inprobitatis caecitate suffusi mentem Sodomitae ostium nequaquam sancti Lot invenire potuerunt. *cf. etiam 5,27.* *epist.* *8,11:* Laban denique, qui per dominum non quaesivit, quia quaerebat idola, non invenit.

οἶκον „οὐχ εὗρεν“ ᾗ φησι Μωυσῆς „τὰ εἴδωλα“ (Gen. 31, 33)· πλήρης
γὰρ πραγμάτων, οὐκ ὀνειράτων καὶ κενῶν φαντασμάτων ἦν. οὐδ' οἱ 144
τυφλοὶ διάνοιαν Σοδομῖται σπουδάσαντες ἐκθύμως αἰσχῦναι τοὺς ἱεροὺς
καὶ ἀμιάντους λόγους εὗρον τὴν εἰς τοῦτ' ἄγουσαν ὁδόν, ἀλλ', ὥς φησι
τὸ λόγιον, „παρελύθησαν ζητοῦντες τὴν θύραν“ (Gen. 19, 11), καίτοι
γε ἐν κύκλῳ πᾶσαν τὴν οἰκίαν περιθέοντες καὶ πάντα κινήσαντες λίθον
πρὸς ἐκπλήρωσιν τῆς ἐκφύλου καὶ ἀσεβοῦς ἐπιθυμίας. ἤδη τινὲς καὶ 145
ἀντὶ πυλωρῶν βασιλεῖς ἐθελήσαντες γενέσθαι καὶ τὸ κάλλιστον ἐν βίῳ,
τάξιν, καταλῦσαι οὐ μόνον τῆς ἀδίκως ἐλπισθείσης εὐπραγίας ἐσφάλησαν,
ἀλλὰ καὶ ἣν ἐν χερσὶν εἶχον ἐκβαλεῖν ἠναγκάσθησαν. ἱερωσύνης γὰρ
τοὺς Κορὲ θιασώτας ὀρεχθέντας * * * ὁ νόμος διαμαρτεῖν φησιν
ἀμφοῖν (Num. 16). ὥσπερ γὰρ οὐ τὰ αὐτὰ παῖδες καὶ ἄνδρες μανθά- 146
νουσιν, ἀλλ' ἑκατέρᾳ τῶν ἡλικιῶν εἰσιν ἁρμόττουσαι διδασκαλίαι, οὕτως
πεφύκασιν εἶναί τινες αἰεὶ παιδικαὶ ψυχαὶ καὶ ἐν σώμασι γεγηρακόσι
καὶ ἔμπαλιν τελειόταται ἐν ἄρτι ἀκμάζουσι καὶ ἡβῶσιν. ὄφλοιεν ἂν
οὖν εὐήθειαν, ὅσοι μειζόνων ἢ κατὰ τὴν ἑαυτῶν φύσιν ἐρῶσιν, ἐπειδὴ
πᾶν τὸ ὑπὲρ δύναμιν ἐπιτάσει σφοδρότητος ἀπορρήττεται. καὶ Φαραὼ 147
„ζητῶν ἀνελεῖν Μωυσῆν“ (Exod. 2, 15), τὸ προφητικὸν γένος, οὐδέ-
ποτε εὑρήσει, καίτοι χαλεπὸν ἀκηκοὼς κατ' αὐτοῦ λόγον ὡς ἐπικεχειρηκό-
τος καθελεῖν τὴν σώματος ἅπασαν ἡγεμονίαν δυσὶ προσβολαῖς· ὧν τὴν 148
μὲν προτέραν ἐποιήσατο πρὸς τὸν Αἰγύπτιον τρόπον, ὃς ἐπετείχιζεν
ἡδονὴν ψυχῇ — „πατάξας γὰρ αὐτὸν“ οὐσίᾳ σποράδι „κατέχωσεν,
ἄμμῳ“ (Exod. 2,12), τοῦ αὐτοῦ νομίσας ἀμφότερα εἶναι τὰ δόγματα,
καὶ ἡδονὴν ὡς πρῶτον καὶ μέγιστον ἀγαθὸν καὶ ἀτόμους ὡς τῶν ὅλων
ἀρχάς —, τὴν δ' ἑτέραν (ibid. 13) πρὸς τὸν καταχερματίζοντα τὴν
φύσιν τοῦ ἀγαθοῦ καὶ τὸ μὲν ψυχῇ, τὸ δὲ σώματι, τὸ δὲ τοῖς ἐκτὸς

---

1 Μωσῆς codd. 5 παρεληλύθεισαν L 9 τῆς] τοῖς $H^1$ ut vid. ἀπεσφάλησαν coni. Mang. 11 θιασσότας G lacunam statuo et μὴ ἀρχουμένους τῇ νεωκόρων τάξει suppleo, Mang. post ἱερωσύνης add. καὶ ἀρχῆς 15 ἡβῶσιν ex corr. $H^2$ 16 post ὅσοι add. κατὰ $H^1$ 17 ἀπορήττεται (sic) G: ἀπορρήσσεται H (sed alterum ρ s. s. $H^3$, σσε ex corr.), D v. infra (διαρρήγνυται conicio), ἀπορρυήσεται coni. Mang. 18 Μωσῆν codd. 19. 20 ἐπιχειρηκότος H 22 post σποράδι ras. in H κατέχωσαν $H^1$ 24 ἀτόμους $H^2$ (post α ras.): συντόμους G εἰσηγουμένου vid. add.

---

16—18 $D^K$ fol. 244$^v$ τοῦ αὐτοῦ ἐκ τοῦ περὶ φυγῆς καὶ εὑρέσεως: πᾶν τὸ ὑπὲρ δύναμιν ἐπιτάσει σφοδροτήτος λαπ..ρυειται (etiam supra ει evanidae litterae exstant).
(superscript letters above: ι ρ ν)

ἀπονέμοντα. ὁλόκληρον γὰρ αὐτὸ βούλεται εἶναι, τῷ ἀρίστῳ τῶν ἐν
ἡμῖν, διανοίᾳ μόνῃ, προσκεκληρωμένον καὶ μηδενὶ τῶν ἀψύχων ἐφαρ-
149 μόττον. (27.) οὐδὲ τὴν ἀνίκητον ἀρετὴν καὶ πικραινομένην ἐπὶ ταῖς
καταγελάστοις τῶν ἀνθρώπων σπουδαῖς, ὄνομα Θάμαρ, ὁ διαπεμφθεὶς
ἐπὶ τὴν ζήτησιν αὐτῆς ἀνευρίσκει, | φυσικώτατα· λέγεται γάρ· „ἀπέστειλε p. 568 M.
δὲ Ἰούδας τὸν ἔριφον ἐν χειρὶ τοῦ ποιμένος τοῦ Ὀδολλαμίτου κομίσα-
σθαι τὸν ἀρραβῶνα παρὰ τῆς γυναικός· καὶ οὐχ εὗρεν αὐτήν. ἐπηρώτησε
δὲ τοὺς ἄνδρας τοὺς ἐκ τοῦ τόπου· ποῦ ἐστιν ἡ πόρνη ἡ γενομένη ἐν
Αἰνὰν ἐπὶ τῆς ὁδοῦ; καὶ εἶπον· οὐκ ἦν ἐνταῦθα πόρνη. καὶ ἀπεστράφη
πρὸς Ἰούδαν καὶ εἶπεν· οὐχ εὗρον, καὶ οἱ ἄνθρωποι οἱ ἐκ τοῦ τόπου
λέγουσι μὴ εἶναι ὧδε πόρνην. εἶπε δὲ Ἰούδας· ἐχέτω αὐτά, ἀλλὰ μή
ποτε καταγελασθῶμεν· ἐγὼ μὲν ἀπέσταλκα τὸν ἔριφον τοῦτον, σὺ δὲ
οὐχ εὕρηκας“ (Gen. 38,20—23). ὢ θαυμαστῆς δοκιμασίας, ὢ ἱεροπρε-
150 ποῦς πείρας. ἀρραβῶνά τις ἔδωκεν ὠνητικῶς ἔχουσα διάνοια τοῦ
καλλίστου κτήματος, θεοσεβείας, διὰ τριῶν ἐνεχύρων ἢ συμβόλων,
δακτυλίου, ὁρμίσκου, ῥάβδου (ibid. 18), βεβαιότητα καὶ πίστιν, εἱρμὸν
καὶ ἀκολουθίαν λόγου πρὸς βίον καὶ βίου πρὸς λόγον, ὀρθὴν καὶ ἀκλινῆ
151 παιδείαν, ᾗ λυσιτελὲς ἐπερείδεσθαι. τὸν ἀρραβῶνα τοῦτον εἰ καλῶς
ἔδωκε, βασανίζει. τίς οὖν ἡ βάσανος; καθεῖναί τι δέλεαρ ὁλκῷ
κεχρημένον δυνάμει, δόξαν ἢ πλοῦτον ἢ ὑγείαν σώματος ἤ τι τῶν
ὁμοιοτρόπων, καὶ γνῶναι πρὸς πότερα καθάπερ ἐπὶ πλάστιγγος ταλαν-
τεύσει· ῥοπὴ γὰρ εἰ γένοιτο πρός τι τούτων, ὁ ἀρραβὼν οὐ βέβαιος.
ἀπέστειλεν οὖν τὸν ἔριφον κομίσασθαι τὸν ἀρραβῶνα παρὰ τῆς γυναικός,
οὐ τοῦτο προῃρημένος πάντως ἀπολαβεῖν, ἀλλ' εἴ ποτε ἀναξία τοῦ
152 κατέχειν ἐκείνη γένοιτο. γενήσεται δὲ πότε; ἡνίκα ἂν τὰ διαφέροντα
ἀδιαφόρων ἀντικαταλλάξηται, τῶν γνησίων ἀγαθῶν τὰ νόθα προτιμήσασα·
γνήσια μὲν οὖν ἀγαθὰ πίστις, εἱρμὸς καὶ ἀκολουθία λόγων πρὸς ἔργα,
παιδείας κανὼν ὀρθῆς, ὡς ἔμπαλιν κακὰ ἀπιστία, τὸ ἀνακόλουθον, ἀπαι-
153 δευσία, τὰ δὲ νόθα, ὅσα τῆς ἀλόγου φορᾶς ἀπῃώρηται. ζητῶν οὖν

---

1 αὐτῷ H[1] βούλετ' H τῶν Mang.: τῷ G, τὸ H 4 σπουδαῖς G: σκηναῖς H 5. 6 ἀπέστειλεν Ἰούδας L 6 alt. τοῦ codd.: αὐτοῦ v, αὐτοῦ τοῦ ex LXX conicio Ὀδολαμίτου H 8 γε μόνῃ G[1] 15 ⟨δηλοῦσα⟩ διὰ conicio, lin. 16 post ῥάβδου add. μηνύουσα Mang., δοῦσα Cohn 24 προῃρημένος G(H[1] Mang.): προῃρημένου H[2] τοῦτον conicio ἀλλ' ⟨ἀποπειρώμενος⟩ coni. Cohn μαθεῖν vid. add. 26 ἀδιαφόρων G(Mang.): διαφόρων H 27 ἔργα ⟨καὶ ἔργων πρὸς λόγους⟩ coni. Mang. 28 ἀνακόλουθον H[2]: ἀκόλουθον GH[1] 29 τὰ] ἀγαθὰ conicio

„οὐκ ἀνεῦρεν αὐτήν“· δυσεύρετον γὰρ ἢ καὶ παντελῶς ἀνεύρετον ἐν
πεφυρμένῳ βίῳ τὸ καλόν. κἂν διαπύθηται, εἴ ἐστι περὶ πάντα τὸν
τόπον τοῦ καλοῦ πεπορνευμένη ψυχή, ῥητῶς ἀκούσεται, ὅτι οὔτε ἔστιν
οὔτε ἦν πρότερον· ἀκόλαστος γὰρ ἢ μαχλὰς ἢ τριοδῖτις σοβὰς ἢ τὸ
τῆς ὥρας ἄνθος ἐπευωνίζουσα ἢ καθαρσίοις καὶ λουτροῖς τὰ ἐκτὸς
φαιδρυνομένη, τὰ δὲ ἐντὸς ῥυπῶσα, ἢ καθάπερ τὰ πινάκια χρώμασι
τὴν ὄψιν ὑπογραφομένη χήτει φυσικῆς εὐμορφίας ἢ τὸ λεγόμενον
πολύανδρον κακὸν ὡς ἀγαθὸν μεταδιώκουσα ἢ πολυγαμίας ἐρῶσα ἢ
πρὸς μυρία σπειρομένη ἢ ὑπὸ μυρίων σωμάτων ὁμοῦ καὶ πραγμάτων
ἐμπαιζομένη καὶ περιυβριζομένη κεῖθι οὐκ ἔστι. ταῦτα ὁ διαπεμψά- 154
μενος ἀκούσας, φθόνον ἠλλοτριωκὼς ἀφ' αὑτοῦ καὶ τὴν φύσιν ἵλεως
p. 569 M. γέγηθεν οὐ μετρίως | καί φησι· μὴ γὰρ οὐ δι' εὐχῆς ἐστί μοι τὴν
διάνοιαν ἀστείαν τε καὶ ἀστὴν ὡς ἀληθῶς εἶναι, κοσμιότητι καὶ σωφρο-
σύνῃ καὶ ταῖς ἄλλαις διαπρέπουσαν ἀρεταῖς, ἑνὶ προσέχουσαν ἀνδρὶ καὶ
τὴν ἑνὸς οἰκουρίαν ἀγαπῶσαν καὶ μοναρχίᾳ χαίρουσαν. εἰ δὴ τοιαύτη
τίς ἐστιν, ἐχέτω τὰ δεδομένα, καὶ τὴν παιδείαν καὶ τὸν εἱρμὸν λόγου
πρὸς βίον καὶ βίου πρὸς λόγον καὶ τὸ ἀναγκαιότατον, βεβαιότητα καὶ
πίστιν. ἀλλὰ μή ποτε γελασθῶμεν ἀνάξια κεχαρίσθαι δόξαντες, καίτοι 155
γ' ὑπολαβόντες ἐπιτηδειότατα τῇ ψυχῇ δεδωρῆσθαι. ἀλλὰ γὰρ ἐγὼ
μέν, ὅπερ εἰκὸς ἦν ἐργάσασθαι τὸν βουλόμενον τρόπου βάσανον καὶ
δοκιμασίαν λαβεῖν, πεποίηκα, δέλεαρ καθεὶς καὶ διαπεμψάμενος, ὁ δὲ
ἐπεδείξατο τὴν ἑαυτοῦ φύσιν οὐκ εὐάλωτον. δῆλον δὲ ἐμοὶ τὸ διὰ 156
τί οὐκ εὐάλωτος· μυρίους γὰρ εἶδον τῶν ἄγαν φαύλων τὰ αὐτὰ δρῶντας
ἔσθ' ὅτε τοῖς λίαν ἀγαθοῖς, ἀλλ' οὐκ ἀπὸ διανοίας τῆς αὐτῆς, ἐπειδὴ
τοῖς μὲν ἀλήθεια, τοῖς δὲ ὑπόκρισις ἀσκεῖται· χαλεπὴ δ' ἡ διάγνωσις
ἀμφοῖν· πολλάκις γὰρ ὑπὸ τοῦ δοκεῖν παρευημερήθη τὸ εἶναι.

---

1 post γὰρ add. αὐτὴν $H^1$ ἢ] εἰ G 4 τριοδίτης H tertium ἢ] ἡ conicio 7 χήτη $H^2$ 8 πολύανδρον scripsi: πολυάνδρειον G, πολυάνδριον H 9 μυρίας G, ἢ πρὸς μυρία σπειρομένη del. Mang. 10 ἔστιν H 19 ἐπιτηδειότητα GL 20 τρόπου (vel τρόπων) Mang. (G?): τρόπον H (τρόπου G ut vid.) 22 δῆλον (vel οὐκ ἄδηλον) scripsi: ἄδηλον codd. 23 ἄγαν om. D fol. 265 24 ἔσθ' ὅτε D: om. codd. ἀλλ' D fol. 135: om. codd., D fol. 265 25 ἀσκεῖται D (Markland): κεῖται $GHL^2$, γίνεται $L^1$ δὲ D

---

1. 2 Antonius Mel. II 77 col. 1193 Flor. Paris. No. 17 Georgides p. 26, 23 Boiss. Φίλωνος: δυσεύρετον — καλόν. 23—26 DK fol. 135r Φίλωνος ἐκ τοῦ περὶ φυγῆς καὶ εὑρέσεως, fol. 265v Φίλωνος ἐκ τοῦ περὶ φυγῆς: μυρίους ἐστὶν ἰδεῖν τῶν — εἶναι.

157 (28.) καὶ τὸν χίμαρον τὸν περὶ τῆς ἁμαρτίας ὁ φιλάρετος ζητεῖ μέν, οὐχ εὑρίσκει δέ· ἤδη γάρ, ὡς δηλοῖ τὸ λόγιον, ἐνεπέπρηστο (Lev. 10, 16). τί δ' αἰνίττεται, σκεπτέον· τὸ μὲν μηδὲν ἁμαρτεῖν ἴδιον θεοῦ, τὸ δὲ μετανοεῖν σοφοῦ· παγχάλεπον δὲ καὶ δυσεύρετον τοῦτό γε.
158 φησὶν οὖν ὁ χρησμός, ὅτι „ζητῶν ἐξεζήτησε Μωυσῆς“ ἐν τῷ θνητῷ βίῳ τὸν περὶ ἁμαρτημάτων μετανοίας λόγον. ἐσπούδαζε γὰρ ἀνευρεῖν ἀπαμπισχομένην τὸ ἀδικεῖν ψυχὴν καὶ ἄνευ αἰσχύνης γυμνὴν προϊοῦσαν ἁμαρτημάτων. ἀλλ' ὅμως οὐχ εὗρε, τῆς φλογός, λέγω δὲ τῆς ὀξυκινητοτάτης ὁρμῆς ἀλόγου, καταδραμούσης καὶ ὅλην ψυχὴν ἐπινεμηθείσης.
159 νικᾶται γὰρ τὰ μὲν ἐλάττω πρὸς τῶν πλειόνων, τὰ δὲ βραδύτερα πρὸς τῶν ὠκυδρομωτέρων, τὰ δὲ μέλλοντα πρὸς τῶν παρόντων· ἐσταλμένον δὲ καὶ βραδὺ καὶ μέλλον ἡ μετάνοια, πολὺ δὲ καὶ ταχὺ καὶ συνεχὲς ἐν τῷ θνητῷ βίῳ τὸ ἀδικεῖν. εἰκότως οὖν ἐν τροπῇ τις γενόμενός

1 χείμαρρον G 2 ἤδη et ἐνεπέπρηστο] ὅδε et ἐνεπεπύριστο ex LXX coni. Mang. 5 Μωσῆς GH 6 περὶ ἀναμαρτησίας λόγον coni. Mang., sed v. Clem. 7 τὸ] τῷ H¹ ἀδικεῖν G: ἁμαρτεῖν H 9 ὅλην G: τὴν ὅλην H, ὅλην τὴν conicio 10 βαρύτερα L 12 δὴ G

1—6 *Ambros. epist. 67, 3:* immolatus erat hircus pro peccato et oblatus in holocaustum. quaesivit eum postea Moyses, et combustus fuerat ... quid ista significent, consideremus. *4* nihil peccare solius est dei, emendare sapientis est et corrigere erratum et paenitentiam gerere peccati. id tamen est difficile in hac vita hominum. quid enim tam rarum, quam ut invenias virum, qui se ipsum coarguat et factum condemnet suum? 1. 2 cf. *ibid. 6* quaerit eam (inquit *add.?*) lex et non invenit. ambusta est enim ... 3—6 *Clem. Alex. Paed. III § 93 p. 307 P.:* ... τὴν ἑπομένην ταῖς ἁμαρτίαις μετάνοιαν ἀγαπῶν. μόνος γὰρ ἀναμάρτητος αὐτὸς ὁ λόγος· τὸ μὲν γὰρ ἐξαμαρτάνειν πᾶσιν ἔμφυτον καὶ κοινόν, ἀναδραμεῖν δὲ τὴν ἁμαρτίαν οὐ τοῦ τυχόντος ἀνδρός, ἀλλ' ἀξιολόγου. 6—13 *Ambros. l. c. 5* studebat autem Moyses peccati vacuam reperire animam, ut exuvias erroris deponeret et nuda culpae sine ullo sui pudore discederet. sed non invenit, quia cito impetus irrationabilis praevenit et flamma quaedam celerrimi motus animam depascitur atque exurit eius innocentiam; praeponderant enim futuris praesentia et violenta moderatis et plura paucioribus (*sic Ihm pro* potioribus) et iucunda seriis et asperis mollia et tristibus laeta et illecebrosa rigidioribus et praepropera tardioribus. velox enim est iniquitas, quae ad nocendum occasiones suggerit ... lenta autem virtus omnis et diuturna cunctatrix ante iudicat et adorienda inspicit ... pigra igitur et verecunda est paenitentia. 13—145,8 *ibid. 6:* respondit Aaron providum debere esse iudicium sacerdotale nec facile male sanae conscientiae committendum id muneris ... 7 quomodo autem poterat ubi ignis alienus erat, peccatum exuri, et hóc sub conspectu dei, cui et occulta sunt cognita? numquid potest placere domino, si quis, cum adhuc versetur in iniquitatibus ..., dicat se agere paenitentiam? simile est ac si quis aeger

φησι μὴ δύνασθαι „τοῦ περὶ ἁμαρτίας ἐμφαγεῖν“· μὴ γὰρ ἐπιτρέπειν
τὸ συνειδὸς αὐτῷ μετανοίᾳ τραφῆναι· διὸ λέγεται· „ἤκουσε Μωυσῆς,
καὶ ἤρεσεν αὐτῷ“ (Lev. 10, 19. 20). τὰ γὰρ πρὸς γένεσιν τῶν πρὸς 160
θεὸν μακρὰν ἀπέζευκται· τῇ μὲν γὰρ τὰ φανερὰ μόνα, τῷ δὲ καὶ τὰ
ἀφανῆ γνώριμα. παραπαίει δ', ὃς ἂν τοῦ ἀληθοῦς καταψευδόμενος ἔτ'
p. 570 M. ἀδικῶν μετανενοηκέναι φάσκῃ· ὅμοιον ὡς εἰ καὶ ὁ νοσῶν τὸν | ὑγιαί-
νοντα καθυποκρίνοιτο· μᾶλλον γάρ, ὡς ἔοικε, νοσήσει μηδὲν τῶν εἰς
ὑγίειαν προσφόρων ἐπιτηδεύειν ἀξιῶν. (29.) ἐζήτει ποτὲ προαχθεὶς 161
ὑπὸ τοῦ φιλομαθοῦς καὶ τὰς αἰτίας, αἷς τἀναγκαιότατα τῶν ἐν τῷ
κόσμῳ πραγμάτων ἐπιτελεῖται· θεώμενος γὰρ ὅσα ἐν γενέσει φθειρό-
μενα καὶ γεννώμενα, ἀπολλύμενά τε αὖ καὶ διαμένοντα, τέθηπε καὶ
καταπέπληκται καὶ ἐκβοᾷ φάσκων· „τί, ὅτι ὁ βάτος καίεται καὶ οὐ
κατακαίεται“ (Exod. 3, 2. 3)· τὸν γὰρ ἄβατον οὐ πολυπραγμονεῖ χῶρον, 162
θείων ἐνδιαίτημα φύσεων, ἀλλ' ἤδη μέλλων ἀνήνυτον καὶ ἀτελῆ πόνον
διαθλεῖν ἐπικουφίζεται ἐλέῳ καὶ προμηθείᾳ τοῦ πάντων σωτῆρος θεοῦ,
ὃς ἔχρησεν ἐκ τῶν ἀδύτων· „μὴ ἐγγίσῃς ὧδε“ (ibid. 5), ἴσον τῷ μὴ
πρόσιθι τοιαύτῃ διασκέψει· περιεργίας γὰρ καὶ φιλοπραγμοσύνης μείζονος
ἢ κατὰ ἀνθρωπίνην δύναμιν τὸ ἔργον· ἀλλὰ τὰ μὲν γεγονότα θαύμαζε,
τὰς δὲ αἰτίας, δι' ἃς ἢ γέγονεν ἢ φθείρεται, μὴ πολυπραγμόνει. „ὁ 163
γὰρ τόπος ἐν ᾧ σὺ ἕστηκας“ φησί „γῆ ἁγία ἐστί“ (ibid. 5). ποῖος
τόπος; ἢ δῆλον ὅτι ὁ αἰτιολογικός, ὃν μόνον ταῖς θείαις ἀνῆψε φύσεσιν,
ἀνθρώπων οὐδένα νομίσας ἱκανὸν εἶναι αἰτιολογίας ἐφάψασθαι; ὁ δ' 164
ἄρα διὰ πόθον ἐπιστήμης ὑπερκύψας ἅπαντα τὸν κόσμον ζητεῖ περὶ
τοῦ κοσμοποιοῦ, τίς ἐστιν ὁ δυσόρατος οὗτος καὶ δυστόπαστος, σῶμα
ἢ ἀσώματος ἢ ὑπεράνω τι τούτων ἢ φύσις ἁπλῆ, οἷα μονάς, ἢ σύγκριμα
ἤ τι τῶν ὄντων. καὶ τοῦθ' ὁρῶν ὡς ἔστι δυσθήρατον καὶ δυσπερινόητον,

2 συνειδὼς H Μωσῆς GH 4 μόνον H[1] 5 ἀληθοῦς G[2]H[2]: ἀληθῶς G[1]H[1], tum καὶ add., sed rursus del. H 6 φάσκῃ scripsi: φάσκει codd. ὁ G: om. H 7 τῶν] τὸν G[1] εἰς s. s. G[2] 8 ποτὲ om. G, ποτὲ ὁ προφήτης conicio 12 τί G: om. H οὐ secl. Mang. 13 χῶρον H[1]: χορὸν G, χῶρον ὡς H[2], χῶρον, ὃς Mang. 15 διελθεῖν L[1] πάντα G 17 περιεργείας H 19 τὰς G: στάς, τὰς H 20 φησὶ γῆ ἁγία G: φησὶν ἅγιος H 21 δηλονότι G ὃν H: ὃ, tum ras. G 22 ἀνθρώπων G: ἄνθρωπον H οὐδὲν ἀνομίσας G[1] 24 δυσθήρατος coni. Mang. 25 ἀσώματον conicio ἢ φύσις G[1]H: καὶ φύσις G[2] 26 ἤ τι v

se sanum simulet. magis aegrotabit, quia nihil ei prodesse potest simulatio sanitatis, cum verbo adumbretur, non ullo fulciatur virtutis subsidio.

εὔχεται παρ' αὐτοῦ μαθεῖν τοῦ θεοῦ, τίς ἐστιν ὁ θεός· οὐ γὰρ ἤλπισε
165 δυνήσεσθαι γνῶναι παρ' ἑτέρου τινὸς τῶν μετ' αὐτόν. ἀλλ' ὅμως
ἴσχυσε μηδὲν περὶ τῆς τοῦ ὄντος ἐρευνᾶν οὐσίας· „τὰ γὰρ ὀπίσω μου“
φησίν „ὄψει, τὸ δὲ πρόσωπον οὐ μὴ ἴδῃς“ (Exod. 33, 23). αὔταρκες
γάρ ἐστι σοφῷ τὰ ἀκόλουθα καὶ ἑπόμενα καὶ ὅσα μετὰ τὸν θεὸν
γνῶναι, τὴν δ' ἡγεμονικὴν οὐσίαν ὁ βουλόμενος καταθεάσασθαι τῷ
περιαυγεῖ τῶν ἀκτίνων πρὶν ἰδεῖν πηρὸς ἔσται.

166 (30.) Τοσαῦτα καὶ περὶ τοῦ τρίτου διειλεγμένοι κεφαλαίου
μέτιμεν ἐπὶ τὸ τέταρτον καὶ τελευταῖον | τῶν προταθέντων, καθ' ὃ μὴ p. 571 M.
γενομένης ζητήσεως φιλεῖ προαπαντᾶν εὕρεσις. ἐν τούτῳ τάττεται πᾶς
αὐτομαθὴς καὶ αὐτοδίδακτος σοφός· οὐ γὰρ σκέψεσι καὶ μελέταις καὶ
πόνοις ἐβελτιώθη, γενόμενος δ' εὐθὺς εὐτρεπισμένην εὗρε σοφίαν ἄνωθεν
ὀμβρηθεῖσαν ἀπ' οὐρανοῦ, ἧς ἀκράτου σπάσας εἱστιάθη καὶ διετέλεσε
167 μεθύων τὴν μετ' ὀρθότητος λόγου νήφουσαν μέθην. οὗτός ἐστιν ὃν
'Ισαὰκ ὠνόμασαν οἱ χρησμοί, ὃν οὐχ ἑτέρῳ μὲν χρόνῳ συνέλαβεν,
ἑτέρῳ δὲ ἔτεκεν ἡ ψυχή· „συλλαβοῦσα“ γάρ φησιν „ἔτεκεν“ (Gen. 21, 2)
ὡς ἂν ἀχρόνως. οὐ γὰρ ἄνθρωπος ἦν ὁ γεννώμενος, ἀλλὰ νόημα
καθαρώτατον, φύσει μᾶλλον ἢ ἐπιτηδεύσει καλόν· οὗ χάριν καὶ ἡ
τίκτουσα αὐτὸ λέγεται „τὰ γυναικεῖα ἐκλιπεῖν“ (Gen. 18, 11), τὰ συνήθη
168 καὶ εὔλογα καὶ ἀνθρώπινα. καινὸν γὰρ καὶ κρεῖττον λόγου καὶ θεῖον
ὄντως τὸ αὐτομαθὲς γένος, οὐκ ἀνθρωπίναις ἐπινοίαις, ἀλλ' ἐνθέῳ
μανίᾳ συνιστάμενον. ἢ ἀγνοεῖς ὅτι οὐ δέονται πρὸς τὸν τόκον μαιῶν

---

3 ἴσχυσε Mang.: ἤκουσε codd. ὄντως G, ὄντως ὄντος conicio ἐρευνᾶν codd. (Mang.): ἐρευνῶν Turn. 4 οὐ G$H^2$: om. $H^1$ 5 ἑπόμενα καὶ GD: om. H 6 δ'] δέ γε D τῷ om. D 9 προτεθέντων L 10 προαπαντᾶν] ᾶν e corr. $H^2$ 11 σκέψει G 13 ἧς in ras. G et $H^2$ ἀκράτου H (sed του $H^2$ in ras.): ἀκρατοῦς G διετέλεσε G (Mang.): διετελέσθη H 16 δ' H 17 γενόμενος $H^1$ 18. 19 ἐπιτηδεύσει — λέγεται τὰ in mg. $H^2$ 19 αὐτῷ G ἐκλείπειν H 20 κενὸν L 21. 22 ἐνθεομανία H

---

4—7 $D^C$ fol. 44r: ἐκ τοῦ περὶ φυγῆς καὶ εὑρέσεως: αὔταρκες ἐστὶν — ἔσται.
10 sqq. *Ambros. de fuga saeculi 8,47:* paritura laetitiam et sobriam illam iocunditatis ebrietatem, paritura ante expectatum ingenii celeritate partus, feta sapientiae.
22—147,3 *ibid.:* denique et de aliis Hebraeis mulieribus habes quia Hebraeae prius pariunt quam veniant obstetrices, eo quod animae iustorum non expectent artes et disciplinas propter inventionum genera nec requirant adiumenta generandi, sed sponte partus suos fundant expectationemque praeveniant.

ʽΕβραῖαι, „τίκτουσι“ δ', ὥς φησι Μωυσῆς, „πρὶν εἰσελθεῖν τὰς μαίας“
(Exod. 1, 19), λέγω δὲ μεθόδους, τέχνας, ἐπιστήμας, φύσει μόνῃ
χρώμεναι συνεργῷ; παγκάλους δὲ καὶ προσφυεστάτους ὅρους ἀποδίδωσι
τοῦ αὐτομαθοῦς, ἕνα μὲν τοιοῦτον, τὸ ταχὺ εὑρισκόμενον, ἕτερον δὲ
„ὃ παρέδωκεν ὁ θεός“. τὸ μὲν οὖν διδασκόμενον μακροῦ χρόνου δεῖται, 169
τὸ δὲ φύσει ταχύ τε καὶ τρόπον τινὰ ἄχρονόν ἐστι· κἀκεῖνο μὲν
ἄνθρωπον, τοῦτο δὲ θεὸν ὑφηγητὴν ἔχει. τὸν μὲν δὴ πρότερον ὅρον
κατέταξεν ἐν πεύσει· „τί τοῦτο ὃ ταχὺ εὗρες, ὦ τέκνον“, τὸν δὲ ἕτερον
ἐν ἀποκρίσει φάσκων· „ὃ παρέδωκε κύριος ὁ θεός“ (Gen. 27, 20).
(31.) ἔστι δὲ καὶ τρίτος ὅρος τοῦ αὐτομαθοῦς, τὸ ἀναβαῖνον αὐτόματον. 170
λέγεται γὰρ ἐν τοῖς προτρεπτικοῖς· „οὐ σπερεῖτε, οὐδὲ μὴ ἀμήσητε τὰ
αὐτόματα ἀναβαίνοντα αὐτῆς“ (Lev. 25, 11)· τέχνης γὰρ οὐδεμιᾶς
χρεῖα τὰ φύσει, τοῦ θεοῦ σπείροντος αὐτὰ καὶ τῇ γεωργικῇ τέχνῃ
τελεσφοροῦντος ὡς ἂν αὐτόματα τὰ οὐκ αὐτόματα, πλὴν παρόσον ἐπι-
νοίας ἀνθρωπίνης οὐκ ἐδεήθη τὸ παράπαν. οὐ προτρέπει δὲ μᾶλλον ἢ 171
γνώμην ἀποφαίνεται· παραινῶν μὲν γὰρ εἶπεν ἄν· μὴ σπείρητε, μὴ
ἀμήσητε, ἀποφαινόμενος δέ· „οὐ σπερεῖτε, οὐδὲ μὴ ἀμήσητε τὰ αὐτό-
ματα“. οἷς γὰρ ἀπαυτοματίζουσιν ἐκ φύσεως ἐπιτυγχάνομεν, τούτων

3 χρώμεναι H²: χρωμένας G(H¹) παγκάλως H 4 ἕτερος Turn. 7 τουτὶ G² 8 πεύσει] post π ras. in G 11 ἀμήσετε coni. Mang. 13 χρεία v τὰ G(H¹): τῇ H² 16 γνώμῃ G σπείρητε] οὐδ' οὐ s. s. H² 17 ἀμήσετε H 18 ἀπαυτοματιζομένοις conicio

3—9 *ibid. 8, 48:* nec minus inpiger ad inveniendum quam ad exsequendum Iacob, cui cum mater dixisset ut inferret patri escas, definitionum genera suppetisse cernimus. nam et cito invenit et inventorum suorum auctorem testificatus est deum ... prima ergo definitio in inventione. quod invenitur quaeritur et quod quaeritur temporis est et quod temporis est utique diligentiae est. quod autem praevenit usum temporis deus infundit, deus dat, quod deus dat naturae, non diligentiae, est. ingenium igitur divini est muneris, quod autem divini muneris hoc naturae. ingenium ergo naturae est, inventio diligentiae: illud sine tempore, hoc indiget tempore. ideoque illud tempore praesto est, hoc in spatio temporis investigatur ... 3—15 *epist. 8, 12 (cf. § 11):* pulcre autem quos dicunt ὅρους servavit ... secundus ὅρος: quid est quod tam cito invenisti? hic in interrogatione est, tertius ὅρος in responsione: quod tradidit dominus deus tuus in manus meas ... *13* est et ille ὅρος de spontaneis: si non seminaveritis, non metetis. nam etsi cultura provocet semina, tamen natura spontaneo quodam, ut surgant, in eis operatur ingenio. 7—9 *de fuga saeculi* 8,49: unde miratus pater ait: quid est hoc, quod tam cito invenisti, fili? respondit Iacob: quod tradidit dominus deus tuus in manus meas. prima definitio in interrogatione est, secunda in responso.

οὔτε τὰς ἀρχὰς οὔτε τὰ τέλη παρ' ἑαυτοὺς | ὡς ἂν αἰτίους εὑρίσκομεν· p. 572 M.
172 ἀρχὴ μὲν οὖν ὁ σπόρος, τελευτὴ δὲ ὁ ἄμητος. ἄμεινον δ' ἐκεῖνο
ἐκδέξασθαι· πᾶσα ἀρχὴ καὶ πᾶν τέλος αὐτόματόν ἐστιν, ἴσον τῷ φύσεως,
οὐχ ἡμέτερον ἔργον· οἷον ἀρχὴ τίς τοῦ μανθάνειν; ἢ δῆλον ὅτι ἡ ἐν
τῷ διδασκομένῳ φύσις εὐπαράδεκτος οὖσα πρὸς τὰ κατὰ μέρος θεωρή-
ματα; τίς δὲ τοῦ τελειοῦσθαι πάλιν; εἰ δεῖ μηδὲν ὑποστειλάμενον εἰπεῖν,
ἡ φύσις. προκοπὰς μὲν γὰρ ἐμποιῆσαι καὶ ὁ διδάσκων ἱκανός, τὴν δ'
173 ἐπ' ἄκρον τελειότητα ὁ θεὸς μόνος, ἡ ἀρίστη φύσις. ὁ τούτοις
ἐντρεφόμενος τοῖς δόγμασι τὴν ἀίδιον εἰρήνην ἄγει, πόνων ἀφειμένος
ἀτρύτων. ἀδιαφορεῖ δ' ἑβδομάδος εἰρήνη κατὰ τὸν νομοθέτην· ἐν γὰρ
174 αὐτῇ τὸ δοκεῖν ἐνεργεῖν ἀποτιθεμένη γένεσις ἀναπαύεται. προσηκόντως
οὖν λέγεται· „καὶ ἔσται τὰ σάββατα τῆς γῆς ὑμῖν βρώματα" (Lev. 25, 6),
δι' ὑπονοιῶν· τρόφιμον γὰρ καὶ ἀπολαυστὸν μόνον ἡ ἐν θεῷ ἀνά-
παυσις, τὸ μέγιστον ἀγαθὸν περιποιοῦσα, τὴν ἀπόλεμον εἰρήνην. ἡ μὲν
γὰρ κατὰ πόλεις ἀνακέκραται ἐμφυλίῳ πολέμῳ, ἡ δὲ ψυχῆς ἀμιγὴς
175 διαφορᾶς ἁπάσης ἐστίν. ἐναργέστατα δέ μοι δοκεῖ τὴν ἄνευ ζητήσεως
εὕρεσιν παριστάνειν διὰ τούτων· „ὅταν εἰσαγάγῃ σε κύριος ὁ θεός σου
εἰς τὴν γῆν ἣν ὤμοσε τοῖς πατράσι σου δοῦναί σοι πόλεις μεγάλας καὶ
καλάς, ἃς οὐκ ᾠκοδόμησας, οἰκίας πλήρεις πάντων ἀγαθῶν, ἃς οὐκ
ἐνέπλησας, λάκκους λελατομημένους, οὓς οὐκ ἐξελατόμησας, ἀμπελῶνας
176 καὶ ἐλαιῶνας, οὓς οὐ κατεφύτευσας" (Deut. 6, 10. 11). ὁρᾷς τὴν
ἀφθονίαν τῶν κεχυμένων μεγάλων καὶ ἑτοίμων πρὸς κτῆσιν καὶ ἀπό-
λαυσιν ἀγαθῶν; εἰκάζονται δὲ πόλεσι μὲν αἱ γενικαὶ ἀρεταί, διότι ἐπὶ
πλεῖστον εὐρύνονται, οἰκίαις δ' αἱ ἐν εἴδει — στέλλονται γὰρ εἰς

---

1 ἑαυτοὺς G: ἑαυτοῖς H   ἂν αἰτίους scripsi: ἀναιτίους codd., ἀναιτίοις Turn., ἀναιτίων coni. Mang.   2 ἐκείνως conicio   3 παντελοῦς $G^2$   4 ἀρχή τις v   ἢ] ἡ Turn., om. Mang.   δηλονότι G   ἡ om. Turn.   5. 6 θεωρητά coni. Mang.   7 γὰρ G: οὖν H   δ' G: δὲ $H^2$, om. $H^1$   16 ἐναργέστατα G($H^1$): ἐναργεστάτην $H^2$   18 σοι om. Turn.   21 οὐ κατεφύτευσας G: οὐκ ἐφύτευσας H   22 μεγάλων om. G, fort. recte   24 πλείστων] $H^1$ ut vid.   δὲ H   αἱ om. $H^1$

---

2—8 *epist. 8,14:* incrementa per naturam, quae divini habet gratiam muneris, consummationem et perfectionem deus dat ....   8—14 *Ambros. de fuga saeculi* 8,45: illo fugiendum est, ubi pax, ubi requies ab operibus, ubi epulemur sabbatum magnum, sicut dixit Moyses: et erunt sabbata terrae vobis escae. epulatorium enim et plenum iocunditatis et tranquillitatis est requiescere in deo et eius delectationem videre.

βραχύτερον αὗται κύκλον —, λάκκοις δὲ αἱ εὐφυεῖς ψυχαί, αἱ εὐπαράδεκτοι σοφίας ὡς ἐκεῖνοι ὕδατος, ἀμπελῶσι δὲ καὶ ἐλαιῶσιν αἱ προκοπαὶ καὶ αὐξήσεις καὶ καρπῶν γενέσεις· καρπὸς δ' ἐπιστήμης ὁ θεωρητικὸς βίος, ἄκρατον εὐφροσύνην περιποιῶν ὡς ἀπ' οἴνου καὶ νοητὸν φέγγος ὡς ἀπὸ φλογός, ἧς ἔλαιον τροφή.

(32.) Ταῦτα καὶ περὶ εὑρέσεως εἰπόντες μέτιμεν ἑξῆς ἐπὶ τὰ 177
ἀκόλουθα τῆς ἐφόδου. „εὗρεν" οὖν φησιν „αὐτὴν ἄγγελος κυρίου ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος" (Gen. 16, 7). λέγεται δὲ πολλαχῶς πηγή, ἕνα μὲν τρόπον ὁ ἡμέτερος νοῦς, ἕτερον δὲ ἡ λογικὴ ἕξις καὶ παιδεία, τρίτον δ' ἡ φαύλη διάθεσις, τέταρτον ἡ σπουδαία καὶ ἐναντία ταύτης,
p. 573 M. πέμπτον αὐτὸς ὁ τῶν ὅλων | ποιητὴς καὶ πατήρ. τὰς δὲ τούτων 178
πίστεις οἱ ἀναγραφέντες δηλοῦσι χρησμοί· τίνες οὖν εἰσιν, ἐπισκεπτέον. ᾄδεταί τις ἐν ἀρχῇ τῆς νομοθεσίας μετὰ τὴν κοσμοποιίαν εὐθὺς τοιόσδε· „πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς"
(Gen. 2, 6). οἱ μὲν οὖν ἀλληγορίας καὶ φύσεως τῆς κρύπτεσθαι 179
φιλούσης ἀμύητοι τὴν εἰρημένην εἰκάζουσι πηγὴν τῷ Αἰγυπτίῳ ποταμῷ, ὃς κατὰ πᾶν ἔτος ἀναχεόμενος λιμνάζει τὴν πεδιάδα, μονονοὺκ ἀντίμιμον οὐρανοῦ δύναμιν ἐπιδείκνυσθαι δοκῶν. ὃ γὰρ χειμῶνος ταῖς 180
ἄλλαις χώραις οὐρανός, τοῦτ' Αἰγύπτῳ θέρους ἀκμάζοντος ὁ Νεῖλός ἐστιν· ὁ μὲν γὰρ ἄνωθεν ἐπὶ γῆν τὸν ὑετὸν ἀποστέλλει, ὁ δὲ κάτωθεν ἄνω, τὸ παραδοξότατον, ὕων ἄρδει τὰς ἀρούρας. ὅθεν ὁρμηθεὶς καὶ Μωυσῆς ἄθεον ἀνέγραψε τὸν Αἰγύπτιον τρόπον γῆν οὐρανοῦ προκρίνοντα καὶ τῶν ὀλυμπίων τὰ χερσαῖα καὶ ψυχῆς τὸ σῶμα. ἀλλὰ 181
μὴν περὶ τούτων καὶ αὖθίς ποτε ἐνέσται λέγειν, ὅταν ἐπιτρέπωσιν οἱ καιροί· νυνὶ δὲ — στοχαστέον γὰρ τοῦ μὴ μακρηγορεῖν — ἐπανιτέον ἐπὶ τὴν δι' ὑπονοιῶν ἀπόδοσιν καὶ λεκτέον τὸ „πηγὴν ἀναβαίνειν καὶ ποτίζειν πᾶν τὸ πρόσωπον τῆς γῆς" τοιοῦτον εἶναι· τὸ ἡγεμονικὸν ἡμῶν 182
ἐοικὸς πηγῇ δυνάμεις πολλὰς οἷα διὰ γῆς φλεβῶν ἀνομβροῦν, τὰς δυνάμεις ταύτας ἄχρι τῶν αἰσθήσεων [ὀργάνων], ὀφθαλμῶν, ὤτων, ῥινῶν, τῶν ἄλλων, ἀποστέλλει· αἱ δ' εἰσὶ παντὸς ζῴου περὶ κεφαλὴν καὶ πρόσωπον. ποτίζεται οὖν ὥσπερ ἀπὸ πηγῆς τοῦ κατὰ ψυχὴν ἡγεμονι-

1 alterum αἱ om. H[1] 3 alt. καὶ in ras. H[2] 4 ἀπὸ νοῦ G 5 ἧς H[2]: εἰς G(H[1]) 10 ταύτῃ coni. Mang. 13 ᾄδεται in ras. H[2] 24 μὴν περὶ scripsi: μὲν περὶ GH[1], περὶ ἢ H[2], περὶ μὲν v καὶ G: om. H 28 ἀνομβροῦν H[2]: ἀνομβρεῖ G(H[1]) 29 ἄχρι—ὀργάνων lin. 28 post φλεβῶν transpos. H αἰσθήσεων Turn.: αἰσθήσεως codd. (sed v. lin. 30 αἱ) ὀργάνων secl. Cohn 31 ποτίζεται G[2]: ποτίζετ' G[1]H

κοῦ τὸ σώματος ἡγεμονικὸν πρόσωπον, τὸ μὲν ὁρατικὸν πνεῦμα τείνοντος
εἰς ὄμματα, τὸ δὲ ἀκουστικὸν εἰς οὖς, εἰς δὲ μυκτῆρας τὸ ὀσφρήσεως,
τὸ δὲ αὖ γεύσεως εἰς στόμα καὶ τὸ ἁφῆς εἰς σύμπασαν τὴν ἐπιφάνειαν.
183 (33.) εἰσὶ δὲ καὶ τῆς παιδείας πολύτροποι πηγαί, αἷς ὀρθοὶ καὶ τρο-
φιμώτατοι λόγοι, καθάπερ στελέχη φοινίκων, παρανέβλαστον. „ἦλθον“
γάρ φησιν „εἰς Αἰλίμ, καὶ ἐν Αἰλὶμ ἦσαν δώδεκα πηγαὶ ὑδάτων καὶ
ἑβδομήκοντα στελέχη φοινίκων· παρενέβαλον δὲ ἐκεῖ παρὰ τὰ ὕδατα“
(Exod. 15, 27). Αἰλὶμ πυλῶνες ἑρμηνεύονται, εἰσόδου τῆς πρὸς ἀρετὴν
σύμβολον· ὥσπερ γὰρ οἰκίας ἀρχαὶ πυλῶνες, καὶ ἀρετῆς τὰ ἐγκύκλια
184 προπαιδεύματα. τέλειος δ' ἀριθμὸς ὁ δώδεκα, μάρτυς δ' ὁ ζῳδιακὸς
ἐν οὐρανῷ κύκλος, τοσούτοις κατηστερισμένος φωσφόροις ἄστροις· μάρτυς
καὶ ἡ ἡλίου περίοδος· μησὶ γὰρ δώδεκα τὸν ἑαυτοῦ περατοῖ κύκλον,
ἰσαρίθμους τε τοῖς ἐνιαυτοῦ μησὶ τὰς ἡμέρας καὶ νυκτὸς ὥρας ἄγουσιν
185 ἄνθρωποι. Μωυσῆς δ' οὐκ ἐν ὀλίγοις ὑμνεῖ τὸν ἀριθμόν, δώδεκα
φυλὰς τοῦ ἔθνους ἀναγράφων, ἄρτους δώδεκα τῆς προθέσεως νομοθετῶν,
λίθους, ἐν οἷς αἱ γλυφαί, δώδεκα τῇ ἱερᾷ ἐσθῆτι τοῦ ποδήρους ἐνδύ-
186 ματος ἐπὶ τῷ λογίῳ συνυφαίνειν | κελεύων (Exod. 28,17sqq.). ὑμνεῖ p. 574 M.
μέντοι καὶ τὴν δεκάδι πολυπλασιαζομένην ἑβδομάδα, νυνὶ μὲν ἑβδομή-
κοντα φοίνικας παρὰ ταῖς πηγαῖς εἶναι λέγων, ἐν ἑτέροις δὲ πρεσβυ-
τέρους μόνους ἑβδομήκοντα, οἷς τὸ θεῖον ἐπενεμήθη καὶ προφητικὸν
πνεῦμα (Num. 11,16), καὶ πάλιν ἱερεῖα μόσχων ἑβδομήκοντα ἐν διαι-
ρέσεσι καὶ τάξεσιν ἐναρμονίοις ἑορτῇ τῶν σκηνῶν προσαγομένων· βου-
θυτοῦνται γὰρ οὐκ ἀθρόοι, ἀλλ' ἐν ἡμέραις ἑπτά, τῆς ἀρχῆς ἀπὸ τρισ-
καίδεκα ταύρων γενομένης (Num. 29,13 sqq.)· οὕτως γὰρ κατὰ τὴν
ἑνὸς ὑφαίρεσιν ἀεὶ μέχρι τῆς ἑβδόμης ἔμελλεν ὁ τῶν ἑβδομήκοντα συν-
187 τεθεὶς ἀριθμὸς ἐκπληροῦσθαι. παραγενόμενοι δὲ εἰς τοὺς θυρῶνας
ἀρετῆς, τὰ προπαιδεύματα, καὶ θεασάμενοι πηγὰς καὶ παρ' αὐταῖς ἔρνη
φοινίκων στρατοπεδεύειν οὐ παρὰ τοῖς φυτοῖς ἀλλὰ παρὰ τοῖς ὕδασι
λέγονται. διὰ τί; ὅτι φοίνικι μὲν καὶ ταινίαις οἱ παντελοῦς ἀρετῆς
ἐπιφερόμενοι τὰ ἆθλα κοσμοῦνται, οἱ δὲ ἔτι ⟨ἐγ⟩χορεύοντες τοῖς προπαι-

3 ἅπασαν H 5 παρανέβλαστον G: παρενέβλαστον H 6 Αἰλὶμ G: Αἰλεὶμ H, sed αι ex corr. H² Ἐλὶμ G (Ἐλεὶμ H¹): Αἰλεὶμ H² ἦσαν G²: om. G¹H 8 Ἐλὶμ G (Ἐλεὶμ H¹): Αἰλεὶμ H² 9 οἰκίας G²: οἰκίαι G¹ ut vid., οἰκιῶν H 13 καὶ codd.: καὶ τὰς v 14 Μωσῆς codd. 18 μὲν in ras. H²: δὲ G(H¹?) 21 μόσχων G: μόσχους H 21. 22 διαιρέσει H 22 προσαγομένων] post ο spatium 4 litt. in H 23 ἀλλὰ G 27. 28 ἔρνη — alt. τοῖς om. G 30 περιφερόμενοι coni. Mang., ἀποφερόμενοι Cohn, φερόμενοι conicio 30—151,6 κοσμοῦνται — ἀμφότεροι in mg. H² ἐγχορεύοντες Mang.: χορεύοντες codd.

δεύμασιν ἅτε μαθήσεως διψῶντες παρὰ ταῖς δυναμέναις ἄρδειν καὶ
ποτίζειν τὰς ψυχὰς αὐτῶν ἐπιστήμαις ἱδρύονται. (34.) τοιαῦται μὲν 188
εἰσιν αἱ παιδείας τῆς μέσης πηγαί, τὴν δ' ἀφροσύνης ἐπισκεψώμεθα,
περὶ ἧς λελάληκεν ὁ νομοθέτης ὧδε· „ὃς ἂν κοιμηθῇ μετὰ γυναικὸς
ἀποκαθημένης, τὴν πηγὴν αὐτῆς ἀπεκάλυψε, καὶ αὕτη ἀπεκάλυψε τὴν
ρύσιν τοῦ αἵματος αὐτῆς· ἐξολοθρευθήτωσαν ἀμφότεροι" (Lev. 20,18)·
γυναῖκα τὴν αἴσθησιν καλεῖ, νοῦν ἄνδρα αὐτῆς ὑποτιθέμενος. ἀποκά- 189
θηται δὲ αἴσθησις, ὅπερ ἐστὶν ἀπωτάτω καθέζεται, ὅταν νοῦν ἀπολι-
ποῦσα, τὸν γνήσιον ἄνδρα, ἐφιδρύηται τοῖς δελεάζουσι καὶ φθείρουσιν
αἰσθητοῖς καὶ ἐρωτικῶς ἑκάστοις ἐμπλέκηται· τότ' οὖν εἰ πρὸς ὕπνον
τράποιτο ὁ νοῦς, ἐγρηγορέναι δέον, „τὴν πηγὴν" τῆς αἰσθήσεως „ἀπε-
κάλυψεν" αὐτὸν — αὐτὸς γὰρ ἦν, ὥσπερ ἔφην, ἡ αἰσθήσεως πηγή —,
τοῦτο δέ ἐστιν ἄστεγον καὶ ἀτείχιστον καὶ εὐεπιβούλευτον κατεσκεύασεν
ἑαυτόν. οὐ μὴν ἀλλὰ κἀκείνη „ἀπεκάλυψε τὴν ρύσιν τοῦ αἵματος 190
αὐτῆς"· ρέουσα γὰρ πᾶσα αἴσθησις πρὸς τὸ ἐκτὸς αἰσθητὸν ἐπικαλύπ-
τεται μὲν καὶ στέλλεται διακρατουμένη λογισμῷ, καταλείπεται δὲ ἔρημος
χηρεύσασα ἡγεμόνος ὀρθοῦ· κακὸν δὲ βαρύτατον ὡς πόλει τὸ ἀτεί-
χιστον, καὶ ψυχῇ τὸ ἀφύλακτον. πότ' οὖν ἀφύλακτος γίνεται; ἢ ὅταν 191
ἄστεγος μὲν ὅρασις κεχυμένη πρὸς τὰ ὁρατά, ἄστεγος δὲ ἀκοὴ φωναῖς
ἁπάσαις ἐπαντλουμένη, ἄστεγοι δὲ ὀσμαὶ καὶ αἱ συγγενεῖς δυνάμεις
καταλειφθῶσι, πρὸς ὅ τι ἂν οἱ κατατρέχοντες βούλωνται διαθεῖναι
παθεῖν ἑτοιμόταται, ἄστεγος δὲ καὶ ὁ προφορικὸς λόγος, ὃς μυρία τῶν
p. 575 M. ἀπορρήτων, ἅτε μηδενὸς τὴν | φορὰν ἀνωθοῦντος, ἀκαίρως ἐξελάλησε;
ρυεὶς γοῦν ἀκωλύτως μεγάλας βίων ὑποθέσεις ὀρθὰς οἷα ἐν γαλήνῃ
πλεούσας περιέτρεψεν. οὗτός ἐστιν ὁ μέγας κατακλυσμός, ἐν ᾧ „ἀνεῴχ- 192
θησαν μὲν οἱ καταρράκται τοῦ οὐρανοῦ," λέγω δὲ τοῦ νοῦ, „ἀπεκα-
λύφθησαν δὲ αἱ πηγαὶ τῆς ἀβύσσου" (Gen. 7,11), τουτέστι τῆς αἰσθή-
σεως. μόνως γὰρ οὕτως ἡ ψυχὴ κατακλύζεται, ἄνωθεν μὲν ὥσπερ ἀπ'
οὐρανοῦ τοῦ νοῦ καταρραγέντων ἀδικημάτων, κάτωθεν δὲ ὥσπερ ἀπὸ

---

6 αὐτῆς v    8 δὲ] δὲ ἡ v    νοῦν Mang.: οὖν codd.    11 τῇ πηγῇ $H^1$, ut vid.    12 αὐτὸν $H^2$: αὑτὸν $GH^1$, fort. secl.    ὅπερ G    ἔφη $H^1$    ἡ G: τῇ $H^1$, τῆς $H^2$    15 αὐτῆς v    ῥέπουσα coni. Mang.    15. 16 ἀποκαλύπτεται H, ἐπέχεται coni. Mang.    16 καταλίπεται G    17 δὲ] γὰρ Turn.    18 καὶ om. H    ἢ v    20 ἐναντλουμένη H    21 καταλειφθῶσι scripsi: καταλείφωσι G, καταλείφουσι $H^1$, καταλείφουσαι $H^2$L, καταλείπουσαι Turn., καταλειφθεῖσαι Markland    21 βούλωνται Mang.: βούλονται codd.    22 παθεῖν Markland: ἀπαθεῖν G, ἃ παθεῖν H    23 ἀντωθοῦντος coni. Mang.    26 καταράκται G    29. 152,1 καταρραγέντων et ἀνομβρησάντων alterum in alterius locum transpon. Mang.

193 γῆς τῆς αἰσθήσεως ἀνομβρησάντων παθῶν. οὗ χάριν ἀπαγορεύει
Μωυσῆς „ἀσχημοσύνην πατρὸς καὶ μητρὸς ἀποκαλύπτειν“ (Lev. 18,7),
εἰδὼς σαφῶς, ἡλίκον ἐστὶ κακὸν τὰ ἁμαρτήματα τοῦ νοῦ καὶ τῆς
αἰσθήσεως μὴ ἐπέχειν καὶ ἐπικρύπτειν, ἀλλ' ὥσπερ κατορθώματα προ-
194 φέρειν εἰς μέσον. (35.) αἵδ' εἰσὶν αἱ τῶν ἁμαρτημάτων πηγαί, τὴν
δὲ φρονήσεως ἐρευνητέον. εἰς ταύτην ἡ ὑπομονὴ κάτεισι, Ῥεβέκκα,
καὶ τὸ ψυχῆς ὅλον πληρώσασα ἀγγεῖον ἀναβαίνει, τὴν κάθοδον ἄνοδον
εἰπόντος τοῦ νομοθέτου φυσικώτατα· πρὸς γὰρ ὕψος ἐξαίρεται τὸ ἀρετῆς,
195 ἥτις ἂν ἀπ' ἀλαζονείας τῆς ὑπεραύχου διανοῆται κατέρχεσθαι. λέγει
γάρ· „καταβᾶσα δὲ ἐπὶ τὴν πηγὴν ἔπλησε τὴν ὑδρίαν, καὶ ἀνέβη“ (Gen.
24,16). ἥδ' ἐστὶν ἡ θεία σοφία, ἐξ ἧς αἵ τε κατὰ μέρος ἐπιστῆμαι
ποτίζονται καὶ ὅσαι ψυχαὶ φιλοθεάμονες ἔρωτι τοῦ ἀρίστου κατέσχηνται.
196 ταύτῃ ὁ ἱερὸς λόγος τῇ πηγῇ προσφυέστατα ὀνόματα τίθεται, „κρίσιν“
αὐτὴν καὶ „ἁγίαν“ προσαγορεύων. „ἀναστρέψαντες“ γάρ φησιν „ἦλθον
ἐπὶ τὴν πηγὴν τῆς κρίσεως, αὕτη ἐστὶ Κάδης“ (Gen. 14,7)· καλεῖται
δὲ Κάδης ἁγία. μονονοὺ βοᾷ καὶ κέκραγεν, ὅτι ἡ τοῦ θεοῦ σοφία
ἁγία τέ ἐστιν οὐδὲν ἐπιφερομένη γήινον καὶ κρίσις τῶν ὅλων, ᾗ πᾶσαι
197 αἱ ἐναντιότητες διαζεύγνυνται. (36.) λεκτέον δ' ἤδη περὶ τῆς ἀνω-
τάτω καὶ ἀρίστης πηγῆς, ἣν ὁ πατὴρ τῶν ὅλων διὰ προφητικῶν ἐθέ-
σπισε στομάτων. εἶπε γάρ που· „ἐμὲ ἐγκατέλιπον πηγὴν ζωῆς, καὶ
ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται συσχεῖν
198 ὕδωρ“ (Ier. 2,13). οὐκοῦν ὁ θεός ἐστιν ἡ πρεσβυτάτη ⟨πηγή⟩, καὶ
μήποτ' εἰκότως· τὸν γὰρ σύμπαντα τοῦτον κόσμον ὤμβρησε. καταπέ-
πληγμαι δ' ἀκούων, ὅτι ζωῆς ἐστιν ἥδε ἡ πηγή· μόνος γὰρ ὁ θεὸς
ψυχῆς καὶ ζωῆς καὶ διαφερόντως λογικῆς ψυχῆς καὶ τῆς μετὰ φρονή-
σεως ζωῆς αἴτιος. ἡ μὲν γὰρ ὕλη νεκρόν, ὁ δὲ θεὸς πλέον τι ἢ ζωή,
199 πηγὴ τοῦ ζῆν, ὡς αὐτὸς εἶπεν, ἀέναος. οἱ δ' ἀσεβεῖς ἀποδράντες,
ἄγευστοι τοῦ τῆς ἀθανασίας ποτοῦ διατελέσαντες, ὤρυξαν, οἱ φρενοβλα-

1 ἀνομβρησάντων G[1]: ἀνομβρῆσαν τῶν G[2], ἀνομβρησάντων τῶν H 2 Μωσῆς codd. 7 τὸ codd.: τὸ τῆς v 9 ἥτις G: εἴ τις H διανοεῖται H 13 δ] δ' ὁ conicio 15 Κάδδης H 16 Κάδδης H ἅγιος H, ἁγία ⟨ὥστε⟩ conicio μόνον οὐ GH ἐκβοᾷ H τοῦ θεοῦ GH: τοῦ L, om. v 18 αἱ om. H post ἤδη add. καὶ H 20 σωμάτων L 21 ἑαυτοὺς H[1] 22 πηγή addidi 23. 24 ⟨οὐ⟩ καταπέπληγμαι coni. Mang. 25 λογικῶς H[1] ut vid. 26 νεκρῶν H[1]

6 sqq. cf. Orig. Homil. in Num. XII p. 311 sqq.

p. 576 M. βεῖς, ἑαυτοῖς ἀλλ' οὐ θεῷ τὸ πρῶτον, τὰς ἰδίας πράξεις τῶν | οὐρανίων
καὶ ὀλυμπίων προκρίναντες καὶ τὰ ἐκ φροντίδος τῶν αὐτομάτων
καὶ ἑτοίμων. ἔπειτα ὀρύττουσιν οὐχ ὡς Ἀβραὰμ καὶ Ἰσαάκ, οἱ σοφοί, 200
φρέατα (Gen. 21,30. 26,18), βαθείας ἐπιστήμας ποτίμους λόγους ἀναδιδούσας,
ἀλλὰ λάκκους, ἴδιον οὐδὲν ἐξ ἑαυτῶν ἔχοντας τρόφιμον καλόν,
τῆς δ' ἔξωθεν χρῄζοντας ἐπιρροῆς, ἣ γένοιτ' ἂν ἐκ διδασκαλίας ἐπαντλούντων
ἀεὶ τῶν ὑφηγητῶν ἀκοαῖς τῶν μανθανόντων ἀθρόα τὰ ἐπιστήμης
δόγματα καὶ θεωρήματα, καὶ φρενὶ κατασχεῖν καὶ μνήμῃ τὰ
παραδοθέντα ταμιεύεσθαι. νυνὶ δ' εἰσὶν „οἱ λάκκοι συντετριμμένοι“, 201
τουτέστι πᾶσαι τῆς ἀναγώγου ψυχῆς αἱ δεξαμεναὶ τεθραυσμέναι καὶ
διαρρέουσαι, μὴ δυνάμεναι συσχεῖν καὶ φυλάξαι τὴν τῶν οἵων τε ὠφελεῖν
ἐπιρροήν.

(37.) Ἃ μὲν οὖν περὶ πηγῶν καιρὸς ἦν εἰπεῖν λέλεκται. πάνυ 202
δ' ἐξητασμένως τὴν Ἄγαρ εἰσάγουσιν οἱ χρησμοὶ εὑρισκομένην μὲν ἐπὶ
τῆς πηγῆς (Gen. 16,7), οὐκ ἀρυτομένην δ' ἀπ' αὐτῆς. οὔπω γάρ
ἐστιν ἱκανὴ ψυχὴ προκόπτουσα τῷ σοφίας ἀκράτῳ ποτῷ χρῆσθαι, πλησίον
δ' οὐ κεκώλυται ποιεῖσθαι τὰς διατριβάς. ἔστι δὲ καὶ λεωφόρος 203
πᾶσα ἡ κατὰ παιδείαν ὁδὸς ἐχυρωτάτη καὶ εὐερκεστάτη. διό φησιν
„ἐν τῇ ὁδῷ Σοὺρ“ αὐτὴν εὑρεθῆναι (ibid.), τεῖχος δὲ ἢ εὐθυσμὸς
ἑρμηνεύεται Σούρ. ἐνλαλῶν οὖν ὁ ἔλεγχος τῇ ψυχῇ φησιν αὐτῇ·
„πόθεν ἔρχῃ, καὶ ποῦ πορεύῃ“ (ibid. 8). τοῦτο δ' οὐκ ἐνδοιάζων
καὶ οὐ πυνθανόμενος μᾶλλον ἢ δυσωπῶν καὶ ὀνειδίζων προφέρεται·
θέμις γὰρ οὐδὲν ἀγνοεῖν τῶν καθ' ἡμᾶς ἀγγέλῳ. σημεῖον δέ· καὶ τὰ 204
κατὰ γαστρός, ἅπερ ἄδηλα γενέσει, σαφῶς οἶδεν ἐν οἷς φησιν· „ἰδοὺ σὺ
ἐν γαστρὶ ἔχεις, καὶ τέξῃ παιδίον, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσμαήλ“

1 ἰδίους $H^1$, fort. recte  3 οἱ σοφοί om. L  4 ἐπιστήμης conicio
4. 5 ἀναδιδόντα conicio  5 ἑαυτῶν G: αὐτῶν $H^1$, αὑτῶν $H^2$  8 alt. καὶ] ὡς
Cohn, nisi potius deest part. (κελευόντων Mang., παραινούντων conicio)  φρενὶ $G^2$
in ras.: φέρει H, φρεσὶ conicio  9 δέ εἰσιν H  10 ἐναγώγου H
αἱ om. v  11 συσχεῖν G(Mang.): τυχεῖν H  12 ἐπιρροεῖν $H^1$
13 ἦν om. Turn.  14 ante τὴν ras. 2 litt. G  ἄγουσιν H
15 ἀρυτομένην G: ἀρρυομένην H, ἀρυομένην v  16 ψυχὴ GH: πηγὴ L  18 ἡ
om. v  19 εὐθυσμός suspectum  20 ἐνλαλῶν $GHL^2$: καὶ λαλῶν $L^1$, ἐκλαλῶν
v, ἐντυχὼν coni. Mang., συλλαλῶν coni. Cohn, ἐνομιλῶν vel ἐνδιατρίβων conicio
23 ἀγγέλων G, ἐλέγχῳ coni. Mang.  24 κατὰ om. L  25 τέξεις H

3—5 *Origenes contra Cels. IV 44* p. 537: οἱ δίκαιοι λάκκους μὲν οὐ κατασκευάζουσι,
φρέατα δὲ ὀρύσσουσι, τὴν ἐνυπάρχουσαν γῆν (leg. πηγὴν) καὶ ἀρχὴν τῶν ποτίμων ἀγαθῶν
ἐξευρεῖν ζητοῦντες.

(ibid. 11). τὸ γὰρ γνῶναι, ὅτι τὸ κυοφορούμενον ἄρρεν ἐστίν, οὐκ
ἀνθρωπίνης δυνάμεως, ἀλλ' οὐδὲ τὸ τὴν προαίρεσιν ᾗ χρήσεται τοῦ
βίου ὁ μήπω γεγενημένος, ὅτι ἀγροῖκος, ἀλλ' οὐ πολιτικὴ καὶ ἥμερος.
205 τὸ „πόθεν οὖν ἔρχῃ“ πρὸς ἐπίπληξιν λέγεται τῆς ἀποδιδρασκούσης
ψυχῆς τὴν ἀμείνω καὶ κυρίαν γνώμην, ἧς θεραπαινὶς οὐ λεγομένη μᾶλλον
ἢ ἔργοις ὑπάρχουσα μέγα κλέος ἔμελλεν [ἐξ]οίσεσθαι. „ποῖ δὲ καὶ
206 πορεύῃ“; τὰ ἄδηλα μετατρέχεις, τὰ ὁμολογούμενα ἀπορρίψασα. καλὸν
οὖν αὐτὴν ἐπαινέσαι χαίρουσαν ἐπὶ νουθεσίᾳ· δείγματα δὲ τοῦ χαίρειν
ἐξενήνοχε τό τε μὴ κατηγορῆσαι τῆς δεσποίνης καὶ τὸ τὴν αἰτίαν ἀνα-
θεῖναι ἑαυτῇ τοῦ δρασμοῦ καὶ τὸ μὴ ἀποκρίνασθαι πρὸς τὸ δεύτερον
πύσμα τὸ „ποῦ πορεύῃ;“ ἄδηλον γάρ, περὶ δὲ τῶν ἀδήλων ἐπέχειν | ἀσφα- p. 577 M.
207 λές τε καὶ ἀναγκαῖον. (38.) ἀποδεξάμενος οὖν τῆς πειθαρχίας αὐτὴν
ὁ ἔλεγχος „ἀποστάφηθι πρὸς τὴν κυρίαν σου“ φησί· λυσιτελὲς γὰρ τῇ
μανθανούσῃ ἡ τῆς διδασκούσης ἐπιστασία καὶ τῇ ἀτελεῖ ἡ παρὰ φρο-
νήσει δουλεία. ὅταν δ' ὑποστρέψῃς, „ταπεινώθητι ὑπὸ τὰς χεῖρας
αὐτῆς“ (ibid. 9) καλὴν ταπείνωσιν φρονήματος ἀλόγου καθαίρεσιν
208 περιέχουσαν. οὕτως γὰρ πραϋτόκοις ὠδῖσιν ἄρρενα γενεὰν ἀποκυήσεις,
ὄνομα Ἰσμαήλ (ibid. 11), ἀκοαῖς θείαις σωφρονισθεῖσα· ἑρμηνεύεται
γὰρ Ἰσμαὴλ ἀκοὴ θεοῦ. ἀκοὴ δ' ὁράσεως τὰ δευτερεῖα φέρεται, ὅρασιν
δὲ ὁ γνήσιος υἱὸς καὶ πρωτόγονος Ἰσραὴλ κεκλήρωται· μεταληφθεὶς
γάρ ἐστιν ὁρῶν θεόν. ἀκούειν μὲν γὰρ καὶ ψευδῶν ὡς ἀληθῶν ἔνεστιν,
ὅτι ἀπατηλὸν ἀκοή, ἀψευδὲς δ' ὅρασις, ᾗ τὰ ὄντα ὄντως κατανοεῖται.
209 τὸν δὲ γεννηθέντα τρόπον χαρακτηρίζει διά τε τοῦ λέγειν ἀγροῖκον
ἔσεσθαι, ὡς ἂν ἀγροικόσοφον, μήπω τῆς τιθασοῦ καὶ πολιτικῆς ὄντως
μοίρας ἠξιωμένον — αὕτη δέ ἐστιν ἀρετή, δι' ἧς πέφυκεν ἡμεροῦσθαι
τὸ ἦθος —, καὶ διὰ τοῦ φάσκειν· „αἱ χεῖρες αὐτοῦ ἐπὶ πάντας καὶ αἱ
χεῖρες πάντων ἐπ' αὐτόν“ (ibid. 12)· σοφιστοῦ γὰρ βούλημα τοῦτο
210 τὸ λίαν σκεπτικὸν ἐπιμορφάζοντος καὶ λόγοις χαίροντος ἐριστικοῖς. οὗτος
καὶ πάντας βάλλει τοὺς ἀπὸ τῶν μαθημάτων, ἰδίᾳ τε ἑκάστῳ καὶ κοινῇ

---

2 τὸ e corr. $G^2$, τὸ ex τὰ corr. $H^2$ 3 γεγεννημένος $H^2$ ἀγροῖκος ... πολιτικὴ καὶ ἥμερος scripsi: ἄγροικον ... πολιτικὴν καὶ ἥμερον codd. 4 ἐπίπληξιν Turn.: ἐπιπλήξεως codd. 6 ἐξ seclusi post ποῖ ras. in G, ποῦ conicio 8 νουθεσίᾳ Turn.: νουθεσίαν codd. τοῦ om. G 11 ποῖ G 12 πειθαρχείας H 17 πρωτοτόκοις Mang. 18 σωφρονισθεῖσαν Mang. 21 ἐστιν om. G, sed post θεὸν s. s. ἑρμηνεύεται $G^2$ ἀληθῶς $G^2$ Turn. 21. 22 ἔνεστι τί ἀπατηλὸν G 22 δ' $G^2$: om. $G^1$H πάντως L 23 τοῦ] τὸ Turn. ἄγροικον H 24 τιθασοῦ scripsi: θιάσσου G, θείας H 25 δ' ἐστὶν H 26 τοῦ G($H^2$): τοῦ τὸ $H^1$, τὸ Turn. 28 οὗτως H

πᾶσιν ἐναντιούμενος, καὶ βάλλεται πρὸς ἁπάντων, εἰκότως ἀμυνομένων
ὡς ὑπὲρ οἰκείων ἐκγόνων ὧν ἔτεκεν αὐτῶν ἡ ψυχὴ δογμάτων. ἀλλὰ 211
καὶ τρίτον προσυπογράφει χαρακτῆρα φάσκων· „κατὰ πρόσωπον πάντων
τῶν ἀδελφῶν κατοικήσει“ (ibid.), μονονοὺκ ἄντικρυς ἐπιδεικνύμενος
τὴν ἀντιπρόσωπον διαμάχην καὶ ἀντίστασιν αἰώνιον. ἡ κυοφοροῦσα
οὖν τὸν σοφιστὴν λόγον ψυχή φησι τῷ λαλοῦντι πρὸς αὐτὴν ἐλέγχῳ·
„σὺ θεὸς ὁ ἐπιδών με“ (ibid. 13), ἴσον τῷ σὺ ποιητὴς εἶ τῶν ἐμῶν
βουλημάτων καὶ ἐκγόνων, καὶ μήποτ' εἰκότως· ἐλευθέρων μὲν γὰρ καὶ 212
ἀστῶν ὡς ἀληθῶς ψυχῶν ὁ ἐλεύθερος καὶ ἐλευθεροποιὸς δημιουργός,
δούλων δὲ δοῦλοι· ἄγγελοι δ' οἰκέται θεοῦ, νομιζόμενοι πρὸς τῶν ἔτ'
ἐν πόνοις καὶ δουλείαις ὑπαρχόντων θεοί. „διὰ τοῦτο“ φησίν „ἐκάλεσε
τὸ φρέαρ φρέαρ οὗ ἐνώπιον εἶδον“ (ibid. 14). ἀλλ' οὐκ ἔμελλες, ὦ 213
ψυχὴ προκόπτουσα καὶ τῇ τῶν ἐγκυκλίων ἐπιστήμῃ προπαιδευμάτων
ἐμβαθύνουσα, καθάπερ διὰ κατόπτρου τῆς παιδείας τὸν αἴτιον τῆς
ἐπιστήμης ἰδεῖν; οἰκειότατος δὲ καὶ ὁ τοῦ τοιούτου φρέατος τόπος „ἐν
μέσῳ Κάδης καὶ Βαράδ“ (ibid. 14)· ἑρμηνεύεται δὲ Βαρὰδ μὲν ἐν
κακοῖς, Κάδης δὲ ἁγία· μεθόριος γὰρ ἁγίων καὶ βεβήλων ὁ ἐν προκοπαῖς, ἀποδιδράσκων μὲν τὰ φαῦλα, μήπω δ' ἱκανὸς ὢν τελείοις συμβιοῦν ἀγαθοῖς.

---

2 ὡς om. H  4 οὐκ s. s. G², tum ras. 2 litt.  5 τὴν in ras. H  αἰώνιον] ἐναντίων coni. vel τῶν δογμάτων add. Mang.  8 ἐκγόνων] ἔργων coni. Mang.  10 ἔτ' om. H  13 τῇ H²: om. GH¹  15 τοῦ om. H  16 Κάδδης H  17 κακοῖς GH: κοινοῖς Turn.  Κάδδης H  19 φίλωνος περὶ φυγῆς καὶ εὑρέσεως subscribit G

# ΠΕΡΙ ΤΩΝ ΜΕΤΟΝΟΜΑΖΟΜΕΝΩΝ ΚΑΙ ΩΝ ΕΝΕΚΑ ΜΕΤΟΝΟΜΑΖΟΝΤΑΙ

1 (1.) „Ἐγένετο Ἀβραὰμ ἐτῶν ἐνενήκοντα ἐννέα, καὶ ὤφθη κύριος I p. 578 M.
τῷ Ἀβραὰμ καὶ εἶπεν αὐτῷ· ἐγώ εἰμι ὁ θεός σου“ (Gen. 17,1). ὁ
ἐννέα πρὸς τοῖς ἐνενήκοντα ἀριθμὸς ἑκατοντάδος γείτων ἐστίν, ᾗ τὸ αὐτο-
μαθὲς ἐπέλαμψε γένος, Ἰσαάκ, εὐπαθειῶν ἀρίστη, χαρά· τῷ γὰρ ἑκα-
2 τονταετεῖ γίνεται. ἔστι δὲ καὶ Λευιτικῆς φυλῆς ἱερεῦσιν ἀπαρχὴ διδο-
μένη· δεκάτας γὰρ λαβόντες, ἀπὸ τούτων ὡς ἂν ἀπ' οἰκείων καρπῶν
ἑτέρας ἀπάρχονται ἑκατοστὸν λόγον περιεχούσας (Num. 18,26). προ-
κοπῆς μὲν γὰρ δεκάς, ἑκατοντὰς δὲ τελειότητος σύμβολον. σπεύδει δὲ
ὁ μέσος ἀεὶ πρὸς ἀκρότητα, φύσεως εὐμοιρίᾳ χρώμενος· ᾧ φησιν ὀφθῆναι
3 τὸν τῶν ὅλων κύριον. ἀλλὰ μὴ νομίσῃς τοῖς σώματος ὀφθαλμοῖς
γίνεσθαι τὴν προσβολήν — οἱ μὲν γὰρ τὰ αἰσθητὰ μόνα ὁρῶσι, τὰ δ'
αἰσθητὰ σύγκριτα, φθορᾶς ἀνάμεστα, τὸ δὲ θεῖον ἀσύγκριτον, ἄφθαρτον
—, ἀλλὰ τὸ δεχόμενον τὴν θείαν φαντασίαν τὸ τῆς ψυχῆς ἐστιν ὄμμα.
4 καὶ γὰρ ἄλλως ὅσα μὲν οἱ σώματος ὀφθαλμοὶ | θεωροῦσι, συνεργῷ φωτὶ p. 579 M.
χρώμενοι καταλαμβάνουσιν, ὃ διαφέρει τοῦ θ' ὁρωμένου καὶ τοῦ ὁρῶντος·
ὅσα δὲ ἡ ψυχή, αὐτὴ δι' ἑαυτῆς ἄνευ τινὸς ἄλλου συμπράξεως· αὐτὰ

---

περὶ — μετονομάζονται A, τοῦ αὐτοῦ Φίλωνος Ἰουδαίου περὶ .... μετονομάζονται B
1 Ἁβραάμ per totum librum AB    ἐννενήκοντα codd., item lin. 3
2 ὁ θεός σου B: θεὸς σός A et sic § 18. 27. 29. 31, sed ὁ θεός σου LXX et Philo vol. II p. 54,9 et vol. II p. 186,29 Mang.    5 καὶ ⟨ὑπὸ⟩ coni. Mang.
7 ἀπάρχονται ἑτέρας B    ἑκατοστὸν Mang.: ἑκατὸν codd.    7. 8 ante προκοπῆς ras. 3 litt. in B, καὶ ex Coisl. 43 add. Mang.    13 prius τὸ B: τὸν A    14 μὲν οἱ scripsi: μόνοι codd.

γὰρ ἑαυτοῖς ἐστι φέγγος τὰ νοούμενα. τὸν αὐτὸν τρόπον καὶ τὰς ἐπι- 5
στήμας διδασκόμεθα· ὁ γὰρ νοῦς τὸ ἄκλειστον καὶ ἀκοίμητον προσβαλὼν
ὄμμα τοῖς δόγμασι καὶ τοῖς θεωρήμασιν εἶδεν αὐτὰ οὐ νόθῳ φωτί, γνησίῳ
δὲ ὅπερ ἀφ' ἑαυτοῦ ἐξέλαμψεν. ὅταν οὖν ἀκούσῃς ὀφθέντα θεὸν ἀν- 6
θρώπῳ, τοῦτο γίνεσθαι νόει χωρὶς φωτὸς αἰσθητοῦ· νοήσει γὰρ τὸ νοη-
τὸν εἰκὸς μόνον καταλαμβάνεσθαι. πηγὴ δὲ τῆς καθαρωτάτης αὐγῆς
θεός ἐστιν· ὥσθ' ὅταν ἐπιφαίνηται ψυχῇ, τὰς ἀσκίους καὶ περιφανε-
στάτας ἀκτῖνας ἀνίσχει. (2.) μὴ μέντοι νομίσῃς τὸ ὄν, ὃ ἐστι πρὸς 7
ἀλήθειαν ὄν, ὑπ' ἀνθρώπου τινὸς καταλαμβάνεσθαι. ὄργανον γὰρ οὐδὲν
ἐν ἑαυτοῖς ἔχομεν, ᾧ δυνησόμεθα ἐκεῖνο φαντασιωθῆναι, οὔτ' αἴσθησιν
— αἰσθητὸν γὰρ οὐκ ἔστιν — οὔτε νοῦν. Μωυσῆς οὖν ὁ τῆς ἀειδοῦς
φύσεως θεατὴς [καὶ θεόπτης] — εἰς γὰρ τὸν γνόφον φασὶν αὐτὸν οἱ
θεῖοι χρησμοὶ εἰσελθεῖν (Exod. 20,21), τὴν ἀόρατον καὶ ἀσώματον οὐσίαν
αἰνιττόμενοι — πάντα διὰ πάντων ἐρευνήσας ἐζήτει τὸν τριπόθητον καὶ
μόνον ἀγαθὸν τηλαυγῶς ἰδεῖν. ἐπεὶ δ' οὐδὲν εὕρισκεν, ἀλλ' οὐδὲ ἐμ- 8
φερῆ τινα ἰδέαν τῷ ἐλπιζομένῳ, τὴν ἀπὸ τῶν ἄλλων διδασκαλίαν ἀπο-
γνοὺς ἐπ' αὐτὸ καταφεύγει τὸ ζητούμενον καὶ δεῖται λέγων· „ἐμφάνισόν
μοι σεαυτόν, γνωστῶς ἴδω σε“ (Exod. 33,13)· καὶ ὅμως ἀμοιρεῖ τῆς
προθέσεως, αὐταρκεστάτης δωρεᾶς τῷ θνητῶν. ἀρίστῳ γένει νομισθείσης
τῆς ⟨τῶν⟩ μετὰ τὸ ὂν σωμάτων τε ὁμοῦ καὶ πραγμάτων ἐπιστήμης.
λέγεται γάρ· „ὄψει τὰ ὀπίσω μου, τὸ δὲ πρόσωπόν μου οὐκ ὀφθήσεταί 9
σοι“ (ibid. 23), ὡς τῶν ὅσα μετὰ τὸ ὂν σωμάτων τε ὁμοῦ καὶ πραγμά-

---

1 φέγγος] post φ ras. in B    8 νοήσῃς τὸ ὄν, ὅπερ πρὸς Hoeschel    9 ὄργανον Mang.: ὁρᾶν codd.    10 φαντασιωθῆναι Cohn: φαντασιασθῆναι codd.    11 γὰρ ex Coisl. 43 et codice Oxon. Coll. Novi 143 Mang.: οὖν AB    ἔστιν] ἦν Hoesch.    νοῦν scripsi: ἰσχὺν codd.    Μωσῆς codd.    12 καὶ θεόπτης secl. Cohn, καὶ θεοπρόπος coniciebam    αὐτόν φασιν B    13 θεῖοι D: om. codd.    καὶ ἀσώματον D: om. codd.    15 ἀγαθὸν D: om. codd.    16 τῶν ἐλπιζομένων Hoesch.    18 γνωστῶς] εἰ s. s. B, ἵνα add. Richter    ὅμως D: ὁμοίως codd.    19 θνητῶν Mang.: θνητῷ codd.    20 τῶν addidi

---

12—19. 158,2 D^C fol. 44^r ἐκ τοῦ περὶ τῶν μετονομαζομένων D^R fol. 55^v τοῦ αὐτοῦ ἐκ τῶν μετονομαζομένων D^H fol. 65^v τοῦ αὐτοῦ: τὸν Μωυσῆν φασιν οἱ θεῖοι χρησμοὶ εἰς τὸν γνόφον εἰσελθεῖν, τὴν ........ διὰ πάντων ἐρευνήσαντα (διερευνήσαντα D^R) τὸ μόνον ἀγαθὸν ἰδεῖν μὴ ἰσχῦσαι· ἐπειδήπερ οὐδὲν εὕρισκεν (ηὕρισκεν D^R) οὐδὲ ἐμφερῆ τινα ἰδέαν (ἰδεῖν D^C D^H) ἐν τῷ ἐλπιζομένῳ ...... προθέσεως τῷ μὴ πεφυκέναι ὁρᾶσθαι τὸ ὂν (θεόν D^R). postrema τῷ — ὂν olim in textu lin. 6 addebam, nunc ex p. 158,2 fluxisse verisimilius puto.

των εἰς κατάληψιν ἐρχομένων, εἰ καὶ μὴ πάντα ἤδη καταλαμβάνεται,
10 μόνου δ' ἐκείνου μὴ πεφυκότος ὁρᾶσθαι. καὶ τί θαυμαστόν, εἰ τὸ ὂν
ἀνθρώποις ἀκατάληπτον, ὁπότε καὶ ὁ ἐν ἑκάστῳ νοῦς ἄγνωστος ἡμῖν;
τίς γὰρ ψυχῆς οὐσίαν εἶδεν; ἧς ἡ ἀδηλότης μυρίας ἔριδας σοφισταῖς
ἐγέννησεν ἐναντίας εἰσηγουμένοις γνώμας ἢ καὶ ὅλοις γένεσιν ἀντιστα-
11 τούσας. ἦν οὖν ἀκόλουθον τὸ μηδ' ὄνομα κύριον ἐπιφημισθῆναι δύνα-
σθαι τῷ ὄντι πρὸς ἀλήθειαν. οὐχ ὁρᾷς ὅτι φιλοπευστοῦντι τῷ | προ- p. 580 M.
φήτῃ, τί τοῖς περὶ τοῦ ὀνόματος αὐτοῦ ζητοῦσιν ἀποκριτέον, φησὶν ὅτι
„ἐγώ εἰμι ὁ ὤν" (Exod. 3, 14), ἴσον τῷ εἶναι πέφυκα, οὐ λέγεσθαι.
12 τοῦ δὲ μὴ παντάπασιν ἀμοιρῆσαι τὸ τῶν ἀνθρώπων γένος προσρήσεως
τοῦ ἀρίστου, δίδωσι καταχρῆσθαι ὡς ἂν ὁ ὢν ὀνόματι τοιούτῳ· „κύριος ὁ
θεὸς" τῶν τριῶν φύσεων, διδασκαλίας, τελειότητος, ἀσκήσεως, ὧν σύμ-
βολα Ἀβραάμ, Ἰσαάκ, Ἰακὼβ ἀναγράφεται. „τοῦτο γάρ μου" φησίν
„ὄνομα αἰώνιον" ὡς ἂν ἐν τῷ καθ' ἡμᾶς αἰῶνι ἐξεταζόμενον, οὐκ ἐν τῷ
πρὸ αἰῶνος, „καὶ μνημόσυνον", οὐ τὸ πέρα μνήμης καὶ νοήσεως ἱστάμενον,
13 καὶ πάλιν „γενεαῖς" (ibid. 15), οὐ φύσεσιν ἀγενήτοις. καταχρήσεως γὰρ
ὀνόματος θείου δεῖ τοῖς εἰς τὴν θνητὴν γένεσιν ἐλθοῦσιν, ἵν', εἰ καὶ μὴ
πράγματι, ὀνόματι γοῦν προσερχόμενοι ἀρίστῳ κατ' αὐτὸ κοσμῶνται.
δηλοῖ δὲ καὶ λόγιον ἐκ προσώπου θεσπισθὲν τοῦ τῶν ὅλων ἡγεμόνος
περὶ τοῦ μηδενὶ δεδηλῶσθαι τὸ ὄνομα αὐτοῦ κύριον. „ὤφθην" φησί

3 ἀκατονόμαστον D 4 τίς γὰρ D: ἐστι. τίς codd. 5 ἢ fort. del.
7 πρὸς ἀλήθειαν ante alt. τῷ add. codd., om. D 8 τί om. $D^RD_2^C$ τοῦ D: om. codd. ὅτι om. D 9 ἴσον τῷ] εἰς ὢν τὸ $D^R$ 10 ἀμοιρῆσαι D (Mang.): ἀφαιρῆσαι codd. τῶν D: om. codd. 11 ἀρρήτου coni. Mang. δίδωσι D (Hoesch.): δίδωμι codd. καταχρήσασθαι D καταχρῆσθαι ὁ ἀκατονόμαστος ὢν conicio ἄν D (Hoesch.): ἐν codd. ὁ ὢν D: om. codd. τοιούτω D: τῶ κυρίω codd. 12 τελειότητος D: ὁσιότητος codd. 13 Ἰακὼβ D: καὶ Ἰακὼβ codd. μου D: om. codd. 14 ἄν D: om. codd. 15 πέρα D: πέραν codd. 16 καὶ πάλιν — ἀγενήτοις om. D κατὰ χρῆσιν D
17 θνητὴν D (Mang): ὠνητὴν codd. 17. 18 ἐλθοῦσιν εἰμὶ καὶ πράγματι D
18 προσερυόμενοι D, προσχρώμενοι coni. Mang., προσεχόμενοι coni. Cohn 20 τὸ scripsi: τὸ ὂν $D^R$, ἀνθρώπων $D^C$ (fort. scrib. ἀνθρώπων τὸ), om. codd. ὄνομα D: ὀνόματι codd., ὄνομά τι Hoesch. κύριον D (Hoesch.): κυρίω codd.
20. 159,1 ὤφθην — αὐτῶν καὶ D: om. codd.

2—4 $D^C$ fol. 224r τοῦ αὐτοῦ ἐκ τοῦ περὶ τῶν μετονομαζομένων $D^R$ fol. 222v: τί θαυμαστόν .... εἶδεν. 7—9 pergit $D^CD^R$ l. c.: οὐχ ὁρᾷς — λέγεσθαι.
7—18 $D^C$ fol. 224r τοῦ αὐτοῦ ἐκ τοῦ περὶ τῶν ἐν γενέσει ζητημάτων: φιλοπευστοῦντι τῷ προφήτῃ τοῖς περὶ — κοσμοῦνται (sic). 20—129,2 pergit $D^CD^R$ post locum ad lin. 7—9 allatum: περὶ δὲ τοῦ μηδενὶ — αὐτοῖς.

„πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ θεὸς ὢν αὐτῶν, καὶ τὸ ὄνομά
μου κύριον οὐκ ἐδήλωσα αὐτοῖς“ (Exod. 6,3). τοῦ γὰρ ὑπερβατοῦ
μετατεθέντος ἑξῆς ἂν τοιοῦτος εἴη λόγος· „ὄνομά μου τὸ κύριον οὐκ
ἐδήλωσα αὐτοῖς“, ἀλλὰ τὸ ἐν καταχρήσει διὰ τὰς εἰρημένας αἰτίας. οὕτω 14
μέντοι τὸ ὂν ἄρρητόν ἐστιν, ὥστ' οὐδὲ αἱ ὑπηρετούμεναι δυνάμεις κύριον
ὄνομα ἡμῖν λέγουσι· μετὰ γοῦν τὴν πάλην, ἣν ὑπὲρ κτήσεως ἀρετῆς ὁ
ἀσκητὴς ἐπάλαισε, φησὶ τῷ ἀοράτῳ ἐπιστάτῃ· „ἀνάγγειλόν μοι τὸ ὄνομά
σου“, ὁ δὲ εἶπεν· „ἵνα τί τοῦτο ἐρωτᾷς τὸ ὄνομά μου;“ (Gen. 32,29),
καὶ οὐ μηνύει τὸ ἴδιον καὶ κύριον. ἀπόχρη γάρ σοι, φησίν, ὠφελεῖσθαι
κατὰ τὰς ἐμὰς εὐφημίας, τὰ δὲ γενητῶν σύμβολα, ὀνόματα, μὴ ζήτει
παρὰ φύσεσιν ἀφθάρτοις· (3.) μήτ' οὖν διαπόρει, εἰ τὸ τῶν ὄντων 15
πρεσβύτατον ἄρρητον, ὁπότε καὶ ὁ λόγος αὐτοῦ κυρίῳ ὀνόματι οὐ ῥητὸς
p. 581 M. ἡμῖν· καὶ μὴν εἰ ἄρρητον, καὶ | ἀπερινόητον καὶ ἀκατάληπτον· ὥστε
τὸ „ὤφθη κύριος τῷ Ἀβραὰμ“ (Gen. 17,1) λέγεσθαι ὑπονοητέον οὐχ
ὡς ἐπιλάμποντος καὶ ἐπιφαινομένου τοῦ παντὸς αἰτίου — τίς γὰρ ἀν-
θρώπειος νοῦς τὸ μέγεθος τῆς φαντασίας ἱκανός ἐστι χωρῆσαι; —, ἀλλ'
ὡς μιᾶς τῶν περὶ αὐτὸ δυνάμεων, τῆς βασιλικῆς, προφαινομένης· ἡ γὰρ
κύριος πρόσρησις ἀρχῆς καὶ βασιλείας ἐστί. νοῦς δὲ ἡμῶν ἡνίκα ἐχαλ- 16
δάιζε μετεωρολεσχῶν, τῷ κόσμῳ τὰς δραστηρίους ἦν περιέπων δυνάμεις
ὡς αἰτίας· γενόμενος δὲ μετανάστης ἀπὸ τοῦ Χαλδαϊκοῦ δόγματος ἔγνω
ἡνιοχούμενον καὶ κυβερνώμενον αὐτὸν ὑπὸ ἡγεμόνος, οὗ τῆς ἀρχῆς φαν-
τασίαν ἔλαβε. διὸ λέγεται „ὤφθη“ οὐ τὸ ὄν, ἀλλὰ κύριος· οἷον ἐφάνη 17

---

2 κύριον D: om. codd., κύριος ex LXX Hoesch. 5 τὸ ὂν A: ras. 3 litt. B ἐστι A οὐδ' B ὑπηρετοῦσαι conicio 5. 6 ⟨τὸ⟩ κύριον ὄνομα ⟨αὐτῶν⟩ conicio 7 ἀρρήτῳ coni. Mang. ἐπιστάτῃ] παλαιστῇ conicio (v. § 44) 8 τοῦτο codd.: om. D 9 καὶ οὐ — κύριον om. D σοι D: om. codd. ὠφελεῖσθαι φησὶ $D^R$ 10 κατὰ Coisl. (v. Mang.): καὶ AB, om. D εὐφημίας $D^R$: εὐφημήσεις $D^C$, ὑφηγήσεις codd., mg. $D^C$ γενητῶν $B^2$: γεννητῶν $AB^1$ 11 μηδ' conicio, μὴ γοῦν coni. Cohn 12 πρεσβύτατον D (Mang.): πρεσβύτερον codd. καὶ D: om. codd. οὐ ῥητὸς] ἄρρητος $D^R$ 13 καὶ μένει ἄρρητος (ἄρρητος om. $D^R$) καὶ ἀπερινόητος D καὶ ἀκατάληπτον scripsi: καὶ ἀκατάληπτος D, om. codd. 15 πάντων conicio 16 ⟨ταύτης⟩ τῆς conicio 17 αὐτὸ B (Mang.): αὐτὸν A 19 τὰ κόσμου τὰς Mang., τὰς ἐν τῷ κόσμῳ δραστηρίους περιεῖπεν conicio περιέπων Mang.: περιιππεύων codd.

---

6—10 pergit $D^C D^R$ l. c.: οὕτω καὶ Ἰακὼβ μετὰ τὴν πάλην μαθεῖν ἐθέλων ἤκουσεν (ἤκουεν $D^C$) ἵνα τί — εὐφημίας. 11—13 $D^C$ fol. 44v, $D^R D^H$ post locum ad p. 157,12 allatum: τί διαπορεῖς, εἰ — ἀκατάληπτος. Mang. falso fragmentum, quod in D sequitur ex libro de praem. et poen. 6 (II 414,25—32 M.) depromptum, nostro libro inserendum esse conicit.

ὁ βασιλεύς, ἐξ ἀρχῆς μὲν ὤν, οὔπω δὲ τῇ ψυχῇ γνωριζόμενος, ἢ καὶ ὀψιμαθὴς μέν, οὐ μὴν εἰσάπαν ἀμαθὴς διετέλεσεν, ἀλλ' ἐφαντασιώθη
18 τὴν ἐν τοῖς οὖσιν ἀρχὴν καὶ ἡγεμονίαν. φανεὶς δ' ὁ ἄρχων ἔτι μᾶλλον εὐεργετεῖ τὸν ἀκροατὴν καὶ θεατὴν φάσκων· „ἐγώ εἰμι θεὸς σός“ (Gen. 17, 1). τίνος γάρ, εἴποιμ' ⟨ἄν⟩, οὐ θεὸς ὑπάρχεις τῶνδε ὅσα εἰς γένεσιν ἦλθεν; ἀλλὰ διδάξει με ὁ ὑποφήτης αὐτοῦ λόγος, ὅτι οὐ περὶ τοῦ κόσμου νῦν λέγει, οὗ δημιουργὸς πάντως ἐστὶ καὶ θεός, ἀλλὰ περὶ ἀνθρωπίνων
19 ψυχῶν, ἃς οὐ τῆς αὐτῆς ἐπιμελείας ἠξίωκε. δικαιοῖ γὰρ τῶν μὲν φαύλων λέγεσθαι κύριος καὶ δεσπότης, τῶν δ' ἐν προκοπαῖς καὶ βελτιώσεσι θεός, τῶν δ' ἀρίστων καὶ τελειοτάτων ἀμφότερον, κύριος ὁμοῦ καὶ θεός. αὐτίκα γέ τοι ἔσχατον ὅρον ἀσεβείας ἱδρυσάμενος τὸν Φαραὼ [κύριον καὶ] θεὸν τούτου οὐδέποτε προσεῖπεν ἑαυτόν, ἀλλὰ τὸν σοφὸν Μωυσῆν — λέγει γάρ· „ἰδοὺ δίδωμί σε θεὸν Φαραώ“ (Exod. 7,1) —, κύριον δὲ
20 ὠνόμασε πολλαχοῦ τῶν ὑπ' αὐτοῦ χρησθέντων· ᾄδεται δὲ τὰ τοιαῦτα· „τάδε λέγει κύριος“ (Exod. 7,17), καὶ ἐν ἀρχῇ· „ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων· ἐγὼ κύριος, λάλησον Φαραὼ βασιλεῖ Αἰγύπτου, ὅσα ἐγὼ
21 λαλῶ πρὸς σέ“ (Exod. 6,29), καὶ Μωυσῆς πρὸς αὐτόν· „ὅταν ἐξέλθω τὴν πόλιν, ἐκπετάσω τὰς χεῖρας πρὸς κύριον, καὶ αἱ φωναὶ παύσονται, καὶ ἡ χάλαζα καὶ ὁ ὑετὸς οὐκ ἔσται· ἵνα γνῷς, ὅτι κυρίου ἡ γῆ,“ οἱονεὶ πᾶσα ἡ σωματικὴ καὶ γεώδης σύστασις, „καὶ σύ“, ὁ ἀγαλματοφορούμενος νοῦς, „καὶ οἱ θεράποντές σου,“ οἱ κατὰ μέρος δορυφοροῦντες λογισμοί. „ἐπίσταμαι γάρ, ὅτι οὐδέπω πεφόβησθε τὸν κύριον“ (Exod. 9,29. 30), ἴσον τῷ οὐ τὸν λεγόμενον ἄλλως, ἀλλὰ τὸν ὄντως ὄντα
22 δεσπότην. κύριος γὰρ γενητὸς πρὸς | ἀλήθειαν οὐδείς, κἂν ἀπὸ περάτων p. 582 M.
ἐπὶ πέρατα εὐρύνας τὴν ἡγεμονίαν ἀνάψηται· μόνος δ' ὁ ἀγένητος ἀψευδῶς ἡγεμών, οὗ τὴν ἀρχὴν ὁ δεδιὼς καὶ καταπεπληγμένος ἆθλον ὠφε-

1. 2 ⟨εἰ⟩ καὶ ὀψιμαθὴς ἦν, οὐ conicio  ἐφαντασιώθη Cohn: ἐφαντασιάσθη codd.  4 τὸν] τὴν A  ἀκροατὴν καὶ om. A  5 ἂν addidi  τῶν (del. δὲ) conicio  7 post οὗ add. ὁ A, ras. in B  11 ἱδρυσάμενος] δ ex corr. B  11. 12 κύριον καὶ secl. Mang.  14 χρισθέντων A  δὲ] γε conicio  15 ἐν ἀρχῇ, sc. orationis dei] ⟨„κύριος ἔκτισέν με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέν με⟩ ἐν ἀρχῇ (Prov. 8, 22) coni. Mang.  16 βασιλεῖ Φαραὼ B  17 Μωσῆς codd.  18 τὰς χεῖρας om. B  19 ὁ om. B  κύριον A  24 γεννητὸς codd. D (Ant. Mel.)  25 ἐπὶ codd.: εἰς D (Ant.)  εὐρύνας om. D[R] (Ant.)

24—26 D[P] fol. 130 (ἐκ τοῦ περὶ τῶν μετονομαζομένων) D[R] fol. 159[r] τοῦ αὐτοῦ D[V] p. 434 Φίλωνος Anton. Mel. II 21 col. 1063: κύριος γεννητὸς — ἡγεμών.

λιμώτατον αἵρεται νουθεσίας, τὸν δὲ ὀλίγωρον ἐκδέχεται πάντως οἰκτρὸς
ὄλεθρος. οὐκοῦν κύριος ἀφρόνων ἐπιδέδεικται τὸν ἄρχοντος ἐπανατεινά- 23
μενος οἰκεῖον φόβον, θεὸς δὲ βελτιουμένων γράφεται, καθὼς καὶ νῦν·
„ἐγώ εἰμι θεὸς σός" (Gen. 17,1), „ἐγὼ ⟨ὁ⟩ θεός σου, αὐξάνου καὶ πλη-
θύνου" (Gen. 35,11), τελείων δὲ ἀμφότερον, κύριος ὁμοῦ καὶ θεός, ὡς
ἐν δέκα λόγοις· „ἐγὼ κύριος ὁ θεός σου" (Exod. 20,2) καὶ ἑτέρωθι·
„κύριος ὁ θεὸς τῶν πατέρων ὑμῶν" (Deut. 4,1). δικαιοῖ γὰρ τὸν μὲν 24
φαῦλον ὡς ὑπὸ κυρίου δεσπόζεσθαι, ἵν' εὐλαβούμενος καὶ στένων ἐπι-
κρεμάμενον ἔχῃ τὸν δεσποτικὸν φόβον, τὸν δὲ προκόπτοντα ὡς ὑπὸ θεοῦ
εὐεργετεῖσθαι, ὅπως ταῖς εὐποιίαις τελειότητος ἐφίκηται, τὸν δὲ τέλειον
καὶ ἡγεμονεύεσθαι ὡς ὑπὸ κυρίου καὶ εὐεργετεῖσθαι ὡς ὑπὸ θεοῦ· δια-
μένει γὰρ οὗτος εἰσάπαν ἄτρεπτος, ἐκεῖνος δὲ πάντως ἐστὶν ἄνθρωπος
θεοῦ. δηλοῦται δὲ τοῦτο μάλισθ' ὡς ἐπὶ Μωυσέως· „αὕτη" γάρ φησιν 25
„ἡ εὐλογία ἣν εὐλόγησε Μωυσῆς, ἄνθρωπος θεοῦ" (Deut. 33,1). ὦ
παγκάλης καὶ ἱεροπρεποῦς ἀντιδόσεως ἀξιωθείς, θείας προνοίας ἀντιδοῦναι
ἑαυτόν. ἀλλὰ μὴ νομίσῃς τὸν αὐτὸν τρόπον ἄνθρωπόν τε γίνεσθαι καὶ 26
ἄνθρωπον θεοῦ· ἄνθρωπον μὲν γάρ, θεοῦ ὡς κτῆμα· ἄνθρωπον δὲ θεοῦ,
ὡς αὔχημα καὶ ὠφέλημα. εἰ δὴ βούλει διανοίας κλῆρον τὸν θεὸν ἔχειν,
αὐτὸς πρότερον γενοῦ κλῆρος ἀξιόχρεως αὐτοῦ· γενήσῃ δέ, ἂν τοὺς
χειροποιήτους καὶ ἑκουσίους ἅπαντας νόμους ἐκφύγῃς. (4.) ἀλλὰ γὰρ 27
οὐδ' ἐκεῖνο προσῆκεν ἀγνοεῖν, ὅτι τὸ „ἐγώ εἰμι θεὸς σὸς" (Gen. 17,1)
λέγεται καταχρηστικῶς, οὐ κυρίως. τὸ γὰρ ὄν, ᾗ ὄν ἐστιν, οὐχὶ τῶν
πρός τι· αὐτὸ γὰρ ἑαυτοῦ πλῆρες καὶ αὐτὸ ἑαυτῷ ἱκανόν, καὶ πρὸ τῆς
τοῦ κόσμου γενέσεως καὶ μετὰ τὴν γένεσιν τοῦ παντὸς ἐν ὁμοίῳ.
ἄτρεπτον γὰρ καὶ ἀμετάβλητον, χρῇζον ἑτέρου τὸ παράπαν οὐδενός, 28
ὥστε αὐτοῦ μὲν εἶναι τὰ πάντα, μηδενὸς δὲ κυρίως αὐτό. τῶν δὲ δυνά-
μεων, ἃς ἔτεινεν εἰς γένεσιν ἐπ' εὐεργεσίᾳ τοῦ συσταθέντος, ἐνίας συμ-
βέβηκε λέγεσθαι ὡσανεὶ πρός τι, τὴν βασιλικήν, τὴν εὐεργετικήν· βασι-
λεὺς γάρ τινος καὶ εὐεργέτης τινὸς ἑτέρου πάντως βασιλευομένου καὶ
p. 583 M. εὐεργετουμένου. τούτων συγγενής ἐστι καὶ | ἡ ποιητικὴ δύναμις, ἡ κα- 29
λουμένη θεός· διὰ γὰρ ταύτης τῆς δυνάμεως ἔθηκε τὰ πάντα ὁ γεννήσας

---

1 αἵρεται scripsi: αἱρεῖται codd. νουθεσίαν coni. Mang. 2 ἀφρόνων A: ἀμφοτέρων B 3 καθὰ coni. Cohn 4 σὸς ⟨καὶ ἑτέρωθι⟩ conicio ὁ addidi 5 καὶ θεὸς ὁμοῦ transpos. B 6 δεκαλόγοις codd. ἐγὼ—σου om. B 7 ὑμῶν Hoesch.: ἡμῶν codd. 13 ὡς fort. del. Μωυσέος codd. 15 ἱσορρεποῦς B 15. 16 ἀντιδόσεως, ἀξιωθῆναι θείας προνοίας αὐτόν conicio 18 δὴ A: δὲ B 18. 19 διάνοια et αὐτὴ conicio 24 ⟨μένον⟩ ἐν conicio 28 πρός τι ὡσανεί transpon. Mang.

καὶ τεχνιτεύσας πατήρ, ὥστε τὸ „ἐγώ εἰμι θεὸς σὸς“ ἴσον ἐστὶ τῷ ἐγώ
30 εἰμι ποιητὴς καὶ δημιουργός. μεγίστη δὲ δωρεὰ τὸ αὐτοῦ λαχεῖν ἀρχι-
τέκτονος, οὗ καὶ σύμπας ὁ κόσμος ἔλαχε. φαύλου μὲν γὰρ ψυχὴν οὐ
διέπλασεν — ἐχθρὸν γὰρ θεῷ κακία —, τὴν δὲ μέσην οὐ δι' ἑαυτοῦ
μόνου κατὰ τὸν ἱερώτατον Μωυσῆν, ἐπειδὴ κηροῦ τρόπον ἔμελλεν αὕτη
31 δέξασθαι καλοῦ τε καὶ αἰσχροῦ διαφοράν. διόπερ λέγεται· „ποιήσωμεν
ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν“ (Gen. 1,26), ἵν', εἰ μὲν δέξεται φαῦλον
τύπον, ἑτέρων φαίνηται δημιούργημα, εἰ δὲ καλόν, τοῦ τῶν καλῶν καὶ
ἀγαθῶν μόνων τεχνίτου. πάντως οὖν σπουδαῖος ἐκεῖνός ἐστιν, ᾧ φησιν·
„ἐγώ εἰμι θεὸς σός,“ ποιητοῦ μόνου λαχὼν ἄνευ συμπράξεως ἑτέρων.
32 ἅμα μέντοι καὶ τὸ πολλαχοῦ κατασκευαζόμενον αὐτῷ δόγμα συνάγει
διδάσκων, ὅτι μόνων ἀγαθῶν καὶ σοφῶν δημιουργός ἐστιν. οὗτος δὲ
πᾶς ὁ θίασος τὴν ⟨τῶν⟩ ἐκτὸς ἄφθονον κτῆσιν ἑαυτὸν ἑκὼν ἀφῄρηται,
33 ἀλλὰ καὶ τῶν σαρκὶ φίλων ὠλιγώρηκεν. εὐέκται μὲν γὰρ καὶ σφριγῶντες
ἀθληταὶ τὸ δοῦλον ἐπιτετειχικότες ψυχῇ τὸ σῶμα, ὠχροὶ δὲ καὶ διερρυη-
κότες καὶ κατεσκελετευμένοι τρόπον τινὰ οἱ ἀπὸ παιδείας, ταῖς ψυχικαῖς
δυνάμεσι καὶ τοὺς σωματικοὺς τόνους προσκεκληρωκότες καί, εἰ δεῖ τἀλη-
θὲς εἰπεῖν, εἰς ἓν εἶδος τὸ τῆς ψυχῆς ἀναλυθέντες καὶ ἀσώματοι διάνοιαι
34 γεγονότες. φθείρεται οὖν εἰκότως τὸ γεῶδες καὶ καταλύεται, ὅταν ὅλος
δι' ὅλων ὁ νοῦς εὐαρεστεῖν προέληται θεῷ· σπάνιον δὲ καὶ τὸ γένος
καὶ μόλις εὑρισκόμενον, πλὴν οὐκ ἀδύνατον γενέσθαι. δηλοῖ δὲ τὸ
χρησθὲν ἐπὶ τοῦ Ἐνὼχ λόγιον τόδε· „εὐηρέστησε δὲ Ἐνὼχ τῷ θεῷ,
35 καὶ οὐχ εὑρίσκετο“ (Gen. 5, 24). ποῦ γὰρ ⟨ἂν⟩ σκεψάμενός τις εὕροι
τἀγαθὸν τοῦτο; ποῖα πελάγη διαβαλών; ⟨πρὸς⟩ τίνας νήσους, τίνας ἠπεί-
36 ρους ἐλθών; παρὰ βαρβάροις ἢ παρ' Ἕλλησιν; ἢ οὐχὶ καὶ μέχρι νῦν
τῶν φιλοσοφίᾳ τετελεσμένων εἰσί τινες, οἳ λέγουσιν ἀνύπαρκτον εἶναι
σοφίαν, ἐπειδὴ καὶ τὸν σοφόν; μηδένα γὰρ ἀπ' ἀρχῆς ἀνθρώπων γενέ-

2 δημιουργὸς ⟨σός⟩ conicio ⟨τοῦ⟩ αὐτοῦ conicio 3 φαύλην coni. Mang. 5 μόνον Hoesch. αὕτη scripsi: αὐτὴ codd. 7 δέξεται B, ex corr. A: δέξηται prius A, δέξαιτο conicio 9 μόνον Hoesch. ἐστιν ἐκεῖνος B 10 μόνου ⟨θεοῦ⟩ vel ⟨τούτου⟩ μόνου conicio 11 ἀτῶ B εἰσάγει coni. Mang. 12 μόνων ⟨τῶν⟩ conicio οὗτος] τούτων conicio 13 τῶν ἐκτὸς ἄφθονον Markland: ἐκ τοῦ ἀφθόνου codd. 15 ἀθληταὶ ⟨οἱ⟩ conicio alterum τὸ vid. secl. 18 διάνοιαι Mang.: διανοία codd. 19 καταλύεται Mang.: κατακλύζεται codd. 20 καὶ vid. del. 23 ἂν addidi 23. 24 εὕροι (corr. ex εὕρη) τἀγαθὸν A: εὕροιτ' ἀγαθὸν B, εὕρῃ τὸ ἀγαθὸν v 24 διαλαβὼν A πρὸς add. Mang., sed fort. lin. 25 ἐπελθὼν leg.

26 Stoici: Zeller III 1 p. 253. 254. 27—263,2 D^C fol. 46^v (post locum ad vol. I p. 247, 12 allatum) D^R fol. 24^r τοῦ αὐτοῦ περὶ γενέσεως Ἄβελ et fol. 67^v (post

σεως ἄχρι τοῦ παρόντος βίου κατὰ τὸ παντελὲς ἀνυπαίτιον νομισθῆναι· καὶ γὰρ ἀδύνατον εἶναι θνητῷ σώματι ἐνδεδεμένον εἰσάπαν εὐδαιμονῆσαι.
p. 584 M. ταῦτα δ' εἰ μὲν ὀρθῶς | λέγεται, σκεψόμεθα ἐν καιρῷ· νυνὶ δ' ἀκολου- 37
θήσαντες τῷ λογίῳ φήσομεν, ὅτι ἔστι μὲν ὑπαρκτὸν πρᾶγμα σοφία, ἔστι δὲ καὶ ὁ ἐραστὴς αὐτῆς, σοφός, ὑπάρχων δὲ ὅμως ἡμᾶς τοὺς φαύλους διαλέληθεν· ἀγαθὸν γὰρ οὐκ ἐθέλει κακῷ συνέρχεσθαι. διὰ τοῦτο 38
λέγεται· „οὐχ εὑρίσκετο“ ὁ εὐαρεστήσας τρόπος τῷ θεῷ, ὡς ἂν δήπου ὑπαρκτὸς μὲν ὤν, ἀποκρυπτόμενος δὲ καὶ τὴν εἰς ταὐτὸ σύνοδον ἡμῶν ἀποδιδράσκων, ἐπειδὴ καὶ μετατεθῆναι λέγεται, τὸ δ' ἐστὶ μεταναστῆναι καὶ μετοικίαν στείλασθαι τὴν ἀπὸ θνητοῦ βίου πρὸς τὸν ἀθάνατον.

(5.) Οὗτοι μὲν δὴ τὴν ἔνθεον μανίαν μανέντες ἐξηγριώθησαν, ἕτεροι 39
δ' εἰσὶν οἱ τῆς τιθασοῦ καὶ ἡμέρου σοφίας ἑταῖροι. τούτοις καὶ εὐσέβεια διαφερόντως ἀσκεῖται καὶ τὰ ἀνθρώπεια οὐχ ὑπερορᾶται. μάρτυρες δ' οἱ χρησμοί, ἐν οἷς λέγεται τῷ Ἀβραὰμ ἐκ προσώπου τοῦ θεοῦ· „εὐαρέστει ἐνώπιον ἐμοῦ“ (Gen. 17, 1), τοῦτο δ' ἐστὶ μὴ ἐμοὶ μόνῳ, ἀλλὰ καὶ τοῖς ἐμοῖς ἔργοις παρ' ἐμοὶ κριτῇ, ὡς ἐφόρῳ καὶ ἐπισκόπῳ.
τιμῶν γὰρ γονεῖς ἢ πένητας ἐλεῶν ἢ φίλους εὐεργετῶν ἢ πατρίδος ὑπερ- 40
ασπίζων ἢ τῶν κοινῶν πρὸς ἅπαντας ἀνθρώπους δικαίων ἐπιμελούμενος εὐαρεστήσεις μὲν πάντως τοῖς χρωμένοις, θεοῦ δ' ἐνώπιον εὐαρεστήσεις· ἀκοιμήτῳ γὰρ ὀφθαλμῷ βλέπει πάντα καὶ τὰ σπουδαῖα χάριτι ἐξαιρέτῳ
πρὸς ἑαυτὸν καλεῖ καὶ ἀποδέχεται. τοιγάρτοι καὶ ὁ ἀσκητὴς εὐχόμενος 41
ταὐτὸν ἀποδηλώσει φάσκων· „ὁ θεός, ᾧ εὐηρέστησαν οἱ πατέρες μου“ καὶ προστίθησιν „ἐνώπιον αὐτοῦ“ (Gen. 48, 15), χάριν τοῦ γνῶναι τὴν πραγματικὴν διαφορὰν τοῦ „θεῷ“ εὐαρεστεῖν πρὸς τὸ „ἐνώπιον
αὐτοῦ“· τὸ μὲν γὰρ ἀμφότερα περιέχει, τὸ δὲ θάτερον μόνον. οὕτω 42

1 εὑρεθῆναι conicio (cf. D) 2 συνδεδεμένον D[R] fol. 24 4 σοφὸν D 5 δὲ om. B 6 οὐκ ἐθέλει D: οὐ θέλει codd., οὐ φιλεῖ coni. Mang. 12 τιθασσοῦ codd. 15 εὐαρέστει D: εὐαρεστήσει AB, in εὐαρεστήσῃ corr. B, εὐαρεστήσεις v τουτέστι D ἐμοὶ μόνῳ D: μόνω ἐμοὶ AB μόνον Mang. ex Cantabrigiensi Coll. S. Trin. B. 9. 6 17 ἐλεῶν om. D 18 πάντας D 19 εὐαρεστήσεις D: εὐαρεστεῖς codd. δὲ D εὐαρεστήσεις D: εὐαρεστεῖς codd. 25 περιέχει Mang.: παρέχει codd.

locum ad vol. I l. c. allatum): ἀδύνατον ἀπ' ἀρχῆς .... ἀνυπαίτιον εὑρεῖν θνητῷ σώματι ἐνδεδεμένον. 4—6 D[R] fol. 77[r] τοῦ αὐτοῦ ἐκ τῶν μετονομαζομένων: ἔστι μὲν — συνέρχεσθαι. 14—20 D[P] fol. 305[v] (post verba κοινωνικὸν καὶ οὐ μονωτικὸν ζῷον ὁ ἄνθρωπος ad nostrum librum relata; v. Harris p. 105. 92. eadem praecedunt in D[R]) D[R] fol. 253[v] τοῦ αὐτοῦ: τῷ Ἀβραὰμ εἴρηται ἐκ προσώπου—πάντα. pergunt p. 164,2. 17—19 cf. ad p. 116,18.

καὶ Μωυσῆς ἐν τοῖς προτρεπτικοῖς παραινεῖ λέγων· „τὸ εὐάρεστον ποιή-
σεις ἐνώπιον κυρίου τοῦ θεοῦ σου“ (Deut. 12,28), οἷον τοιαῦτα πρᾶττε,
ἃ γενήσεται ἐπάξια τοῦ φανῆναι θεῷ καὶ ἅπερ ἰδὼν ἀποδέξεται· ταῦτα
43 δὲ καὶ εἰς τοὺς ὁμοίους εἴωθε χωρεῖν. ἐντεῦθεν ὁρμηθεὶς τήν τε
σκηνὴν δυσὶ περιβόλων ὁρίοις συνύφαινε, μέσον ἀμφοῖν κάλυμμα θείς,
ὅπως διακρίνηται τῶν εἴσω τὰ ἔξω (Exod. 26, 33), καὶ τὴν νομοφυλα-
κίδα ἱερὰν κιβωτὸν ἔνδοθεν καὶ ἔξωθεν ἐχρύσωσε (Exod. 25,10), καὶ
τῷ μεγάλῳ ἱερεῖ διττὰς ἀνέδωκε στολάς, τὴν μὲν λινῆν ἔνδον, τὴν δὲ
44 ποικίλην ἔξω μετὰ τοῦ ποδήρους (Exod. 28, 4. Lev. 6, 10). ταῦτα γὰρ
καὶ τὰ τοιαῦτα σύμβολα ψυχῆς ἐστι καὶ τοῖς εἴσω πρὸς θεὸν ἁγνευούσης
καὶ [ἐν] τοῖς ἔξω πρὸς τὸν αἰσθητὸν κόσμον καὶ βίον καθαρευούσης.
εὐστόχως οὖν ἐκεῖνο πρὸς τὸν παλαιστὴν νικηφόρον ἐλέχθη μέλλοντα
τοῖς νικητηρίοις ἀναδεῖσθαι στεφάνοις. τὸ γὰρ ἐπ' αὐτῷ | κήρυγμα p. 585 M.
τοιοῦτόν ἐστι· „ἴσχυσας μετὰ θεοῦ καὶ μετὰ ἀνθρώπων δυνατός“ (Gen.
45 32, 28). τὸ γὰρ καθ' ἑκατέραν τάξιν εὐδοκιμῆσαι, καὶ τὴν πρὸς τὸ
ἀγένητον καὶ τὴν πρὸς τὸ γενόμενον, οὐ μικρᾶς ἐστι διανοίας, ἀλλ', εἰ
δεῖ τἀληθὲς εἰπεῖν, κόσμου καὶ θεοῦ μεθορίου· συνόλως τε προσήκει
τὸν ἀστεῖον ὀπαδὸν εἶναι θεοῦ· μέλει γὰρ τῷ πάντων ἡγεμόνι καὶ πατρὶ
46 τοῦ γενομένου. τίς γὰρ οὐκ οἶδεν, ὅτι καὶ πρὸ τῆς τοῦ κόσμου γενέ-

---

1 Μωσῆς codd. 3 ἃ φανῆναι θεῷ γενήσεται ἐπάξια $D^R$ 4 καὶ τοῖς χρωμένοις εἴωθεν ἀρέσκειν conicio (cf. § 40), τοῖς εἴσω καὶ ἔξω ὁμοίως εἴωθε καθαρεύειν coni. Mang., καὶ ἐκτὸς ὁμοίως εἴωθε χωρεῖν coni. Cohn 10 τοῖς ἐκ τῆς corr. B 11 ἐν seclusi 12 κἀκεῖνο conicio 13 αὐτὸ B, αὐτοῦ Cohn 14 ἤσκησας B δυνατός $A^2$: δυνατῶς $A^1$, δυνατὸς εἶ B, sed ο et ει ex corr. 15 τὸ καθ' ἑκάτερον φησὶν $D^H$ τάξιν] ἀξίαν D (om. $D^H$) καὶ τὴν πρὸς] τήν τε πρὸς $D^M D_1^R D^L D^H$ 15. 16 τὸ ἀγένητον καὶ om. $D^P$ 16 ἀγέννητον $D_2^R D_1^L D^H$ γενόμενον $D^P D_2^R$: γεννώμενον codd., ε corr. $D_2^R$, γεγεννημένον $D_1^R D_1^L$, γεγενημένον $D^M D_2^L D^H$ 16. 17 εἰ — εἰπεῖν om $D_2^R$ 17 θεοῦ om. $D_1^R D_1^L$ μεθορίου συνόλως τε $D_2^R$, μεθόριον συνόλως τε $D^P$: μεθόριον οὖσαν (μεθορίου οὔσης man. recentissima in A, coni. Hoesch.) ὅλως τε AB, μεθόριον καὶ καθόλου $D^M D_1^R D^L D^H$ 18 ὀπαδὸν] σπουδαῖον $D_1^R D^L D^H$, καὶ σπουδαῖον $D^M$ εἶναι] ἐστιν $D^P$ μέλλει $A D^M D^R D_1^L D^H$ γὰρ D: δὲ codd. πατρὶ] περὶ $D^M D_1^R D^L$ 19 γινομένου $D_1^R D_1^L$, γεγενημένου $D^M$

---

2. 3 pergunt $D^P D^R$ τοιαῦτα οὖν πρᾶττε — ἀποδέξεται. pergunt lin. 15. 15—165,3 $D^M$ fol. 22r $D^L$ fol. 28r et 59r $D^H$ fol. 113v $D^R$ fol. 24r Φίλωνος ἐκ τοῦ (τῶν $D^M D_2^L$) περὶ (τῶν add. $D^H$) μετονομαζομένων: τὸ καθ' ἑτέραν ἀξίαν — τῷ δεσπότῃ εἰς καλοκαγαθίαν (ἐν καλοκαγαθίᾳ $D_2^L$). 15—19 pergunt $D^P D^R$ post locum ad lin. 2 allatum: τὸ γὰρ καθ' ἑτέραν ἀξίαν εὐδοκιμῆσαι — γενομένου. 18. 19 cf. librum meum „Philos Schrift über die Vorsehung“ p. 43.

σεως ἱκανὸς ἦν αὐτὸς ἑαυτῷ ὁ θεὸς καὶ μετὰ τὴν τοῦ κόσμου γένεσιν ὁ αὐτὸς ἔμενεν, οὐ μεταβαλών; διὰ τί οὖν ἐποίει τὰ μὴ ὄντα; ἢ ὅτι ἀγαθὸς καὶ φιλόδωρος ἦν; εἶτ' οὐχ ἑψόμεθα οἱ δοῦλοι τῷ δεσπότῃ, θαυμάζοντες μὲν τὸν αἴτιον ὑπερφυῶς, τῆς δὲ καθ' αὑτοὺς φύσεως μὴ ὑπερορῶντες;

(6.) Εἰπὼν δὲ „εὐαρέστει ἐνώπιον ἐμοῦ“ προσεπιλέγει· „καὶ γίνου 47
ἄμεμπτος“ (Gen. 17,1), ἀκολουθίᾳ καὶ εἱρμῷ χρώμενος. μᾶλλον μὲν οὖν ἐγχειρεῖ τοῖς καλοῖς, ἵνα εὐαρεστῇς· εἰ δὲ μή, τῶν γε ἁμαρτημάτων ἀπέχου, ἵνα μὴ τυγχάνῃς μέμψεως. ὁ μὲν γὰρ κατορθῶν ἐπαινετός, ὁ δὲ μὴ ἀδικῶν οὐ ψεκτός. καὶ τὸ μὲν πρεσβυτικὸν ἆθλον κατορθοῦσι 48
πρόκειται, τὸ εὐάρεστον, τὸ δεύτερον δὲ μὴ ἁμαρτάνουσι, τὸ ἄμεμπτον. τάχα δὲ καὶ γενέσει τῇ θνητῇ τὸ μὴ διαμαρτάνειν ἴσον καὶ τὸ αὐτὸ γράφεται τῷ κατορθοῦντι. „τίς γάρ,“ ὡς ὁ Ἰώβ φησι, „καθαρὸς ἀπὸ ῥύπου, κἂν μία ἡμέρα ἐστὶν ἡ ζωή“ (Iob 14,4); ἄπειρα μέν ἐστι τὰ 49
καταρρυπαίνοντα τὴν ψυχήν, ἅπερ ἐκνίψασθαι καὶ ἀπολούσασθαι παντελῶς οὐκ ἔνεστιν. ἀπολείπονται γὰρ ἐξ ἀνάγκης παντὶ θνητῷ συγγενεῖς κῆρες, ἃς λωφῆσαι μὲν εἰκός, ἀναιρεθῆναι δ' εἰσάπαν ἀδύνατον. δίκαιον 50
οὖν ἢ φρόνιμον ἢ σώφρονα ἢ συνόλως ἀγαθὸν τέλειον ἐν πεφυρμένῳ βίῳ ζητεῖ τις; στέργε, κἂν μὴ ἄδικον ἢ μὴ ἄφρονα ἢ μὴ ἀκόλαστον ἢ μὴ παντελῶς φαῦλον εὕρῃς. ἀγαπητὸν γὰρ αἱ τῶν κακιῶν ἀνατροπαί,

---

1 ὁ θεὸς καὶ D: καὶ φίλος codd. τοῦ $D^R D^L D^H$: om. codd. $D^M$ 2 ἔμενεν codd.: ἔμεινε D, ἔμεινεν v οὐ μεταβαλών om. D οὖν D: γοῦν codd. ἢ ὅτι D: ὅτι codd. 3 οὐχ ἑψόμεθα D: οὐκ ἐφεψόμεθα codd. 10 πρεσβύτατον conicio, πρῶτον Mang. 12 διαμαρτάνον coni. Mang. 13 κατορθοῦν conicio 14 κἂν ⟨εἰ⟩ coni. Cohn ἐστὶν] γένηται conicio (cf. LXX Alex.) μὲν ⟨γάρ⟩ conicio 15 τὴν ψυχήν codd. $D^K$ Barb.: ἡμῶν τὴν ζωήν $D^C D^R$ 15. 16 παντελῶς AD: καθαρῶς B, καὶ παντελῶς mg. B 17 μέν πως εἰκός $D^C D^R$ 19 ζητεῖ τις] ζητεῖς conicio, ζητεῖ τίς coni. Cohn 20 εὕρῃς scripsi: εὑρήσεις codd. ἀνατροπαὶ D: ἀποτροπαὶ codd.

---

2. 3 Platonis Tim. p. 29 DE. 14—17 $D^C$ fol. 47ʳ ἐκ τοῦ περὶ τῶν μετονομαζομένων, $D^R$ fol. 67ᵛ 68ʳ ἐκ τοῦ περὶ τῶν κατονομαζομένων: ἄπειρα τὰ καταρρυπαίνοντα .... ἅπερ οὐκ ἔνεστιν ἀπολούσασθαι παντελῶς· πάντως γὰρ λείπονται κηλῖδες τινὲς τῷ θνητῷ, ἃς ὑπολωφῆσαι μέν πως εἰκός ἐστιν, ἀναιρεθῆναι δὲ εἰσάπαξ ἀμήχανον. — $D^K$ fol. 93ʳ et 116ʳ ἐκ τοῦ περὶ τῶν μετονομαζομένων: πολλὰ καὶ ἄπειρα τὰ τοῦ κόσμου κακὰ καταρρυπαίνοντα, tum plane concinit cum codd., nisi quod fol. 93 κῆραι· λοφίσαι μὲν γὰρ εἰκός et εἰς ἅπαξ scribit, fol. 116 κῆραι ἃς λοφίσαι μὲν εἰκός. desinit ut $D^C D^R$. — Barberinus I 158: τὰ καταρρυπαίνοντα τὴν ψυχὴν ἐκνίψασθαι καὶ ἀπολούσασθαι παντελῶς οὐκ ἔστιν. ἀπολείπονται γὰρ ἐξ ἀνάγκης παντὶ θνητῷ συγγενῆ σκηνώματα. λωφῆσαι μὲν γὰρ αὐτὰ εἰκός, ἀναιρεθῆναι δὲ εἰς ἅπαξ ἀδύνατον. 20. 166,1 pergit $D^C D^R$ l. c. ἀγαπητὸν γὰρ (οὖν $D^C$) αἱ τῶν κακιῶν ἀνατροπαί, ἐπεὶ ἡ (ἡ om. $D^R$) ἀρετῆς ἐντελὴς

καὶ Μωυσῆς ἐν τοῖς προτρεπτικοῖς παραινεῖ λέγων· „τὸ εὐάρεστον ποιή-
σεις ἐνώπιον κυρίου τοῦ θεοῦ σου“ (Deut. 12,28), οἷον τοιαῦτα πράττε,
ἃ γενήσεται ἐπάξια τοῦ φανῆναι θεῷ καὶ ἅπερ ἰδὼν ἀποδέξεται· ταῦτα
43 δὲ καὶ εἰς τοὺς ὁμοίους εἴωθε χωρεῖν. ἐντεῦθεν ὁρμηθεὶς τήν τε
σκηνὴν δυσὶ περιβόλων ὁρίοις συνύφαινε, μέσον ἀμφοῖν κάλυμμα θείς,
ὅπως διακρίνηται τῶν εἴσω τὰ ἔξω (Exod. 26, 33), καὶ τὴν νομοφυλα-
κίδα ἱερὰν κιβωτὸν ἔνδοθεν καὶ ἔξωθεν ἐχρύσωσε (Exod. 25,10), καὶ
τῷ μεγάλῳ ἱερεῖ διττὰς ἀνέδωκε στολάς, τὴν μὲν λινῆν ἔνδον, τὴν δὲ
44 ποικίλην ἔξω μετὰ τοῦ ποδήρους (Exod. 28, 4. Lev. 6, 10). ταῦτα γὰρ
καὶ τὰ τοιαῦτα σύμβολα ψυχῆς ἐστι καὶ τοῖς εἴσω πρὸς θεὸν ἁγνευούσης
καὶ [ἐν] τοῖς ἔξω πρὸς τὸν αἰσθητὸν κόσμον καὶ βίον καθαρευούσης.
εὐστόχως οὖν ἐκεῖνο πρὸς τὸν παλαιστὴν νικηφόρον ἐλέχθη μέλλοντα
τοῖς νικητηρίοις ἀναδεῖσθαι στεφάνοις. τὸ γὰρ ἐπ' αὐτῷ | κήρυγμα p. 585 M.
τοιοῦτόν ἐστι· „ἴσχυσας μετὰ θεοῦ καὶ μετὰ ἀνθρώπων δυνατός“ (Gen.
45 32, 28). τὸ γὰρ καθ' ἑκατέραν τάξιν εὐδοκιμῆσαι, καὶ τὴν πρὸς τὸ
ἀγένητον καὶ τὴν πρὸς τὸ γενόμενον, οὐ μικρᾶς ἐστι διανοίας, ἀλλ', εἰ
δεῖ τἀληθὲς εἰπεῖν, κόσμου καὶ θεοῦ μεθορίου· συνόλως τε προσήκει
τὸν ἀστεῖον ὀπαδὸν εἶναι θεοῦ· μέλει γὰρ τῷ πάντων ἡγεμόνι καὶ πατρὶ
46 τοῦ γενομένου. τίς γὰρ οὐκ οἶδεν, ὅτι καὶ πρὸ τῆς τοῦ κόσμου γενέ-

---

1 Μωσῆς codd. 3 ἃ φανῆναι θεῷ γενήσεται ἐπάξια $D^R$ 4 καὶ τοῖς χρωμένοις εἴωθεν ἀρέσκειν conicio (cf. § 40), τοῖς εἴσω καὶ ἔξω ὁμοίως εἴωθε καθαρεύειν coni. Mang., καὶ ἐκτὸς ὁμοίως εἴωθε χωρεῖν coni. Cohn 10 τοῖς ex τῆς corr. B 11 ἐν seclusi 12 κἀκεῖνο conicio 13 αὐτὸ B, αὐτοῦ Cohn 14 ἤσκησας B δυνατός $A^2$: δυνατῶς $A^1$, δυνατὸς εἶ B, sed ο et ει ex corr. 15 τὸ καθ' ἑκάτερον φησὶν $D^H$ τάξιν] ἀξίαν D (om. $D^H$) καὶ τὴν πρὸς] τήν τε πρὸς $D^M D_1^R D^L D^H$ 15. 16 τὸ ἀγένητον καὶ om. $D^P$ 16 ἀγέννητον $D_2^R D_1^L D^H$ γενόμενον $D^P D_2^R$: γεννώμενον codd., ε corr. $D_2^R$, γεγεννημένον $D_1^R D_1^L$, γεγενημένον $D^M D_2^L D^H$ 16. 17 εἰ — εἰπεῖν om $D_2^R$ 17 θεοῦ om. $D_1^R D_1^L$ μεθορίου συνόλως τε $D_2^R$, μεθόριον συνόλως τε $D^P$: μεθόριον οὖσαν (μεθορίου οὔσης man. recentissima in A, coni. Hoesch.) ὅλως τε AB, μεθόριον καὶ καθόλου $D^M D_1^R D^L D^H$ 18 ὀπαδὸν] σπουδαῖον $D_1^R D^L D^H$, καὶ σπουδαῖον $D^M$ εἶναι] ἐστιν $D^P$ μέλλει $A D^M D^R D_1^L D^H$ γὰρ D: δὲ codd. πατρὶ] περὶ $D^M D_1^R D^L$ 19 γινομένου $D_1^R D_1^L$, γεγενημένου $D^M$

---

2. 3 pergunt $D^P D^R$ τοιαῦτα οὖν πράττε — ἀποδέξεται. pergunt lin. 15. 15—165,3 $D^M$ fol. 22r $D^L$ fol. 28r et 59r $D^H$ fol. 113v $D^R$ fol. 24r Φίλωνος ἐκ τοῦ (τῶν $D^M D_2^L$) περὶ (τῶν add. $D^H$) μετονομαζομένων: τὸ καθ' ἑτέραν ἀξίαν — τῷ δεσπότῃ εἰς καλοκαγαθίαν (ἐν καλοκαγαθίᾳ $D_2^L$). 15—19 pergunt $D^P D^R$ post locum ad lin. 2 allatum: τὸ γὰρ καθ' ἑτέραν ἀξίαν εὐδοκιμῆσαι — γενομένου. 18. 19 cf. librum meum „Philos Schrift über die Vorsehung“ p. 43.

σεως ἱκανὸς ἦν αὐτὸς ἑαυτῷ ὁ θεὸς καὶ μετὰ τὴν τοῦ κόσμου γένεσιν
ὁ αὐτὸς ἔμενεν, οὐ μεταβαλών; διὰ τί οὖν ἐποίει τὰ μὴ ὄντα; ἢ ὅτι
ἀγαθὸς καὶ φιλόδωρος ἦν; εἶτ' οὐχ ἑψόμεθα οἱ δοῦλοι τῷ δεσπότῃ,
θαυμάζοντες μὲν τὸν αἴτιον ὑπερφυῶς, τῆς δὲ καθ' αὑτοὺς φύσεως μὴ
ὑπερορῶντες;

(6.) Εἰπὼν δὲ „εὐαρέστει ἐνώπιον ἐμοῦ“ προσεπιλέγει· „καὶ γίνου 47
ἄμεμπτος“ (Gen. 17,1), ἀκολουθίᾳ καὶ εἱρμῷ χρώμενος. μᾶλλον μὲν
οὖν ἐγχείρει τοῖς καλοῖς, ἵνα εὐαρεστῇς· εἰ δὲ μή, τῶν γε ἁμαρτημάτων
ἀπέχου, ἵνα μὴ τυγχάνῃς μέμψεως. ὁ μὲν γὰρ κατορθῶν ἐπαινετός, ὁ
δὲ μὴ ἀδικῶν οὐ ψεκτός. καὶ τὸ μὲν πρεσβυτικὸν ἆθλον κατορθοῦσι 48
πρόκειται, τὸ εὐάρεστον, τὸ δεύτερον δὲ μὴ ἁμαρτάνουσι, τὸ ἄμεμπτον.
τάχα δὲ καὶ γενέσει τῇ θνητῇ τὸ μὴ διαμαρτάνειν ἴσον καὶ τὸ αὐτὸ
γράφεται τῷ κατορθοῦντι. „τίς γάρ,“ ὡς ὁ Ἰὼβ φησι, „καθαρὸς ἀπὸ
ῥύπου, κἂν μία ἡμέρα ἐστὶν ἡ ζωή“ (Iob 14,4); ἄπειρα μέν ἐστι τὰ 49
καταρρυπαίνοντα τὴν ψυχήν, ἅπερ ἐκνίψασθαι καὶ ἀπολούσασθαι παντε-
λῶς οὐκ ἔνεστιν. ἀπολείπονται γὰρ ἐξ ἀνάγκης παντὶ θνητῷ συγγενεῖς
κῆρες, ἃς λωφῆσαι μὲν εἰκός, ἀναιρεθῆναι δ' εἰσάπαν ἀδύνατον. δίκαιον 50
οὖν ἢ φρόνιμον ἢ σώφρονα ἢ συνόλως ἀγαθὸν τέλειον ἐν πεφυρμένῳ
βίῳ ζητεῖ τις; στέργε, κἂν μὴ ἄδικον ἢ μὴ ἄφρονα ἢ μὴ ἀκόλαστον ἢ
μὴ παντελῶς φαῦλον εὕρῃς. ἀγαπητὸν γὰρ αἱ τῶν κακιῶν ἀνατροπαί,

---

1 ὁ θεὸς καὶ D: καὶ φίλος codd. τοῦ $D^R D^L D^H$: om. codd. $D^M$ 2 ἔμενεν codd.: ἔμεινε D, ἔμεινεν v οὐ μεταβαλών om. D οὖν D: γοῦν codd. ἢ ὅτι D: ὅτι codd. 3 οὐχ ἑψόμεθα D: οὐκ ἐφεψόμεθα codd. 10 πρεσβύτατον conicio, πρῶτον Mang. 12 διαμαρτάνον coni. Mang. 13 κατορθοῦν conicio 14 κἂν ⟨εἰ⟩ coni. Cohn ἐστὶν] γένηται conicio (cf. LXX Alex.) μὲν ⟨γάρ⟩ conicio 15 τὴν ψυχήν codd. $D^K$ Barb.: ἡμῶν τὴν ζωήν $D^C D^R$ 15. 16 παντελῶς AD: καθαρῶς B, καὶ παντελῶς mg. B 17 μέν πως εἰκός $D^C D^R$ 19 ζητεῖ τις] ζητεῖς conicio, ζητεῖ τίς coni. Cohn 20 εὕρῃς scripsi: εὑρήσεις codd. ἀνατροπαὶ D: ἀποτροπαὶ codd.

---

2. 3 Platonis Tim. p. 29 DE. 14—17 $D^C$ fol. 47r ἐκ τοῦ περὶ τῶν μετονομαζομένων, $D^R$ fol. 67v 68r ἐκ τοῦ περὶ τῶν κατονομαζομένων: ἄπειρα τὰ καταρρυπαίνοντα .... ἅπερ οὐκ ἔνεστιν ἀπολούσασθαι παντελῶς· πάντως γὰρ λείπονται κηλῖδες τινὲς τῷ θνητῷ, ἃς ὑπολωφῆσαι μέν πως εἰκός ἐστιν, ἀναιρεθῆναι δὲ εἰσάπαξ ἀμήχανον. — $D^K$ fol. 93r et 116r ἐκ τοῦ περὶ τῶν μετονομαζομένων: πολλὰ καὶ ἄπειρα τὰ τοῦ κόσμου κακὰ καταρρυπαίνοντα, tum plane concinit cum codd., nisi quod fol. 93 κῆραι· λοφίσαι μὲν γὰρ εἰκός et εἰς ἅπαξ scribit, fol. 116 κῆραι ἃς λοφίσαι μὲν εἰκός. desinit ut $D^C D^R$. — Barberinus I 158: τὰ καταρρυπαίνοντα τὴν ψυχὴν ἐκνίψασθαι καὶ ἀπολούσασθαι παντελῶς οὐκ ἔστιν. ἀπολείπονται γὰρ ἐξ ἀνάγκης παντὶ θνητῷ συγγενῆ σκηνώματα. λωφῆσαι μὲν γὰρ αὐτὰ εἰκός, ἀναιρεθῆναι δὲ εἰς ἅπαξ ἀδύνατον. 20. 166,1 pergit $D^C D^R$ l. c. ἀγαπητὸν γὰρ (οὖν $D^C$) αἱ τῶν κακιῶν ἀνατροπαί, ἐπεὶ ἡ (ἡ om. $D^R$) ἀρετῆς ἐντελὴς

# ΠΕΡΙ ΤΩΝ ΜΕΤΟΝΟΜΑΖΟΜΕΝΩΝ ΚΑΙ ΩΝ ΕΝΕΚΑ ΜΕΤΟΝΟΜΑΖΟΝΤΑΙ

1 (1.) „Ἐγένετο Ἀβραὰμ ἐτῶν ἐνενήκοντα ἐννέα, καὶ ὤφθη κύριος I p. 578 M.
τῷ Ἀβραὰμ καὶ εἶπεν αὐτῷ· ἐγώ εἰμι ὁ θεός σου“ (Gen. 17,1). ὁ
ἐννέα πρὸς τοῖς ἐνενήκοντα ἀριθμὸς ἑκατοντάδος γείτων ἐστίν, ᾗ τὸ αὐτο-
μαθὲς ἐπέλαμψε γένος, Ἰσαάκ, εὐπαθειῶν ἀρίστη, χαρά· τῷ γὰρ ἑκα-
2 τονταετεῖ γίνεται. ἔστι δὲ καὶ Λευιτικῆς φυλῆς ἱερεῦσιν ἀπαρχὴ διδο-
μένη· δεκάτας γὰρ λαβόντες, ἀπὸ τούτων ὡς ἂν ἀπ' οἰκείων καρπῶν
ἑτέρας ἀπάρχονται ἑκατοστὸν λόγον περιεχούσας (Num. 18,26). προ-
κοπῆς μὲν γὰρ δεκάς, ἑκατοντὰς δὲ τελειότητος σύμβολον. σπεύδει δὲ
ὁ μέσος ἀεὶ πρὸς ἀκρότητα, φύσεως εὐμοιρίᾳ χρώμενος· ᾧ φησιν ὀφθῆναι
3 τὸν τῶν ὅλων κύριον. ἀλλὰ μὴ νομίσῃς τοῖς σώματος ὀφθαλμοῖς
γίνεσθαι τὴν προσβολήν — οἱ μὲν γὰρ τὰ αἰσθητὰ μόνα ὁρῶσι, τὰ δ'
αἰσθητὰ σύγκριτα, φθορᾶς ἀνάμεστα, τὸ δὲ θεῖον ἀσύγκριτον, ἄφθαρτον
—, ἀλλὰ τὸ δεχόμενον τὴν θείαν φαντασίαν τὸ τῆς ψυχῆς ἐστιν ὄμμα.
4 καὶ γὰρ ἄλλως ὅσα μὲν οἱ σώματος ὀφθαλμοὶ | θεωροῦσι, συνεργῷ φωτὶ p. 579 M.
χρώμενοι καταλαμβάνουσιν, ὃ διαφέρει τοῦ θ' ὁρωμένου καὶ τοῦ ὁρῶντος·
ὅσα δὲ ἡ ψυχή, αὐτὴ δι' ἑαυτῆς ἄνευ τινὸς ἄλλου συμπράξεως· αὐτὰ

---

περὶ — μετονομάζονται A, τοῦ αὐτοῦ Φίλωνος Ἰουδαίου περὶ .... μετονομάζονται B
1 Ἁβραὰμ per totum librum AB     ἐννενήκοντα codd., item lin. 3
2 ὁ θεός σου B: θεὸς σός A et sic § 18. 27. 29. 31, sed ὁ θεός σου LXX et Philo vol. II p. 54,9 et vol. II p. 186,29 Mang.     5 καὶ ⟨ὑπὸ⟩ coni. Mang.
7 ἀπάρχονται ἑτέρας B     ἑκατοστὸν Mang.: ἑκατὸν codd.     7. 8 ante προκοπῆς ras. 3 litt. in B, καὶ ex Coisl. 43 add. Mang.     13 prius τὸ B: τὸν A     14 μὲν οἱ scripsi: μόνοι codd.

γὰρ ἑαυτοῖς ἐστι φέγγος τὰ νοούμενα. τὸν αὐτὸν τρόπον καὶ τὰς ἐπι- 5
στήμας διδασκόμεθα· ὁ γὰρ νοῦς τὸ ἄκλειστον καὶ ἀκοίμητον προσβαλὼν
ὄμμα τοῖς δόγμασι καὶ τοῖς θεωρήμασιν εἶδεν αὐτὰ οὐ νόθῳ φωτί, γνησίῳ
δὲ ὅπερ ἀφ' ἑαυτοῦ ἐξέλαμψεν. ὅταν οὖν ἀκούσῃς ὀφθέντα θεὸν ἀν- 6
θρώπῳ, τοῦτο γίνεσθαι νόει χωρὶς φωτὸς αἰσθητοῦ· νοήσει γὰρ τὸ νοη-
τὸν εἰκὸς μόνον καταλαμβάνεσθαι. πηγὴ δὲ τῆς καθαρωτάτης αὐγῆς
θεός ἐστιν· ὥσθ' ὅταν ἐπιφαίνηται ψυχῇ, τὰς ἀσκίους καὶ περιφανε-
στάτας ἀκτῖνας ἀνίσχει. (2.) μὴ μέντοι νομίσῃς τὸ ὄν, ὅ ἐστι πρὸς 7
ἀλήθειαν ὄν, ὑπ' ἀνθρώπου τινὸς καταλαμβάνεσθαι. ὄργανον γὰρ οὐδὲν
ἐν ἑαυτοῖς ἔχομεν, ᾧ δυνησόμεθα ἐκεῖνο φαντασιωθῆναι, οὔτ' αἴσθησιν
— αἰσθητὸν γὰρ οὐκ ἔστιν — οὔτε νοῦν. Μωυσῆς οὖν ὁ τῆς ἀειδοῦς
φύσεως θεατὴς [καὶ θεόπτης] — εἰς γὰρ τὸν γνόφον φασὶν αὐτὸν οἱ
θεῖοι χρησμοὶ εἰσελθεῖν (Exod. 20,21), τὴν ἀόρατον καὶ ἀσώματον οὐσίαν
αἰνιττόμενοι — πάντα διὰ πάντων ἐρευνήσας ἐζήτει τὸν τριπόθητον καὶ
μόνον ἀγαθὸν τηλαυγῶς ἰδεῖν. ἐπεὶ δ' οὐδὲν εὕρισκεν, ἀλλ' οὐδὲ ἐμ- 8
φερῆ τινα ἰδέαν τῷ ἐλπιζομένῳ, τὴν ἀπὸ τῶν ἄλλων διδασκαλίαν ἀπο-
γνοὺς ἐπ' αὐτὸ καταφεύγει τὸ ζητούμενον καὶ δεῖται λέγων· „ἐμφάνισόν
μοι σεαυτόν, γνωστῶς ἴδω σε“ (Exod. 33,13)· καὶ ὅμως ἀμοιρεῖ τῆς
προθέσεως, αὐταρκεστάτης δωρεᾶς τῷ θνητῶν. ἀρίστῳ γένει νομισθείσης
τῆς ⟨τῶν⟩ μετὰ τὸ ὂν σωμάτων τε ὁμοῦ καὶ πραγμάτων ἐπιστήμης.
λέγεται γάρ· „ὄψει τὰ ὀπίσω μου, τὸ δὲ πρόσωπόν μου οὐκ ὀφθήσεταί 9
σοι“ (ibid. 23), ὡς τῶν ὅσα μετὰ τὸ ὂν σωμάτων τε ὁμοῦ καὶ πραγμά-

---

1 φέγγος] post φ ras. in B 8 νοήσῃς τὸ ὄν, ὅπερ πρὸς Hoeschel 9 ὄργανον Mang.: ὁρᾶν codd. 10 φαντασιωθῆναι Cohn: φαντασιασθῆναι codd. 11 γὰρ ex Coisl. 43 et codice Oxon. Coll. Novi 143 Mang.: οὖν AB ἔστιν] ἦν Hoesch. νοῦν scripsi: ἰσχύν codd. Μωσῆς codd. 12 καὶ θεόπτης secl. Cohn, καὶ θεοπρόπος coniciebam αὐτόν φασιν B 13 θεῖοι D: om. codd. καὶ ἀσώματον D: om. codd. 15 ἀγαθὸν D: om. codd. 16 τῶν ἐλπιζομένων Hoesch. 18 γνωστῶς] εἰ s. s. B, ἵνα add. Richter ὅμως D: ὁμοίως codd. 19 θνητῶν Mang.: θνητῷ codd. 20 τῶν addidi

---

12—19. 158,2 D^C fol. 44^r ἐκ τοῦ περὶ τῶν μετονομαζομένων D^R fol. 55^v τοῦ αὐτοῦ ἐκ τῶν μετονομαζομένων D^H fol. 65^v τοῦ αὐτοῦ: τὸν Μωυσῆν φασιν οἱ θεῖοι χρησμοὶ εἰς τὸν γνόφον εἰσελθεῖν, τὴν . . . . . . . . διὰ πάντων ἐρευνήσαντα (διερευνήσαντα D^R) τὸ μόνον ἀγαθὸν ἰδεῖν μὴ ἰσχῦσαι· ἐπειδήπερ οὐδὲν εὕρισκεν (ηὕρισκεν D^R) οὐδὲ ἐμφερῆ τινα ἰδέαν (ἰδεῖν D^C D^H) ἐν τῷ ἐλπιζομένῳ . . . . . . προθέσεως τῷ μὴ πεφυκέναι ὁρᾶσθαι τὸ ὄν (θεόν D^R). postrema τῷ — ὄν olim in textu lin. 6 addebam, nunc ex p. 158,2 fluxisse verisimilius puto.

των εἰς κατάληψιν ἐρχομένων, εἰ καὶ μὴ πάντα ἤδη καταλαμβάνεται,
10 μόνου δ' ἐκείνου μὴ πεφυκότος ὁρᾶσθαι. καὶ τί θαυμαστόν, εἰ τὸ ὂν ἀνθρώποις ἀκατάληπτον, ὁπότε καὶ ὁ ἐν ἑκάστῳ νοῦς ἄγνωστος ἡμῖν; τίς γὰρ ψυχῆς οὐσίαν εἶδεν; ἧς ἡ ἀδηλότης μυρίας ἔριδας σοφισταῖς ἐγέννησεν ἐναντίας εἰσηγουμένοις γνώμας ἢ καὶ. ὅλοις γένεσιν ἀντιστα-
11 τούσας. ἦν οὖν ἀκόλουθον τὸ μηδ' ὄνομα κύριον ἐπιφημισθῆναι δύνασθαι τῷ ὄντι πρὸς ἀλήθειαν. οὐχ ὁρᾷς ὅτι φιλοπευστοῦντι τῷ | προ- p. 580 M. φήτῃ, τί τοῖς περὶ τοῦ ὀνόματος αὐτοῦ ζητοῦσιν ἀποκριτέον, φησὶν ὅτι „ἐγώ εἰμι ὁ ὤν“ (Exod. 3, 14), ἴσον τῷ εἶναι πέφυκα, οὐ λέγεσθαι.
12 τοῦ δὲ μὴ παντάπασιν ἀμοιρῆσαι τὸ τῶν ἀνθρώπων γένος προσρήσεως τοῦ ἀρίστου, δίδωσι καταχρῆσθαι ὡς ἂν ὁ ὢν ὀνόματι τοιούτῳ· „κύριος ὁ θεὸς“ τῶν τριῶν φύσεων, διδασκαλίας, τελειότητος, ἀσκήσεως, ὧν σύμβολα Ἀβραάμ, Ἰσαάκ, Ἰακὼβ ἀναγράφεται. „τοῦτο γάρ μου“ φησίν „ὄνομα αἰώνιον“ ὡς ἂν ἐν τῷ καθ' ἡμᾶς αἰῶνι ἐξεταζόμενον, οὐκ ἐν τῷ πρὸ αἰῶνος, „καὶ μνημόσυνον“, οὐ τὸ πέρα μνήμης καὶ νοήσεως ἱστάμενον,
13 καὶ πάλιν „γενεαῖς“ (ibid. 15), οὐ φύσεσιν ἀγενήτοις. καταχρήσεως γὰρ ὀνόματος θείου δεῖ τοῖς εἰς τὴν θνητὴν γένεσιν ἐλθοῦσιν, ἵν', εἰ καὶ μὴ πράγματι, ὀνόματι γοῦν προσερχόμενοι ἀρίστῳ κατ' αὐτὸ κοσμῶνται. δηλοῖ δὲ καὶ λόγιον ἐκ προσώπου θεσπισθὲν τοῦ τῶν ὅλων ἡγεμόνος περὶ τοῦ μηδενὶ δεδηλῶσθαι τὸ ὄνομα αὐτοῦ κύριον. „ὤφθην“ φησί

---

3 ἀκατονόμαστον D 4 τίς γὰρ D: ἐστι. τίς codd. 5 ἢ fort. del. 7 πρὸς ἀλήθειαν ante alt. τῷ add. codd., om. D 8 τί om. D^R D_2^C τοῦ D: om. codd. ὅτι om. D 9 ἴσον τῷ] εἰς ὢν τὸ D^R 10 ἀμοιρῆσαι D (Mang.): ἀφαιρῆσαι codd. τῶν D: om. codd. 11 ἀρρήτου coni. Mang. δίδωσι D (Hoesch.): δίδωμι codd. καταχρήσασθαι D καταχρῆσθαι ὁ ἀκατονόμαστος ὢν conicio ἂν D (Hoesch.): ἐν codd. ὁ ὢν D: om. codd. τοιούτῳ D: τῷ κυρίῳ codd. 12 τελειότητος D: ὁσιότητος codd. 13 Ἰακὼβ D: καὶ Ἰακὼβ codd. μου D: om. codd. 14 ἂν D: om. codd. 15 πέρα D: πέραν codd. 16 καὶ πάλιν — ἀγενήτοις om. D κατὰ χρῆσιν D
17 θνητὴν D (Mang): ὠνητὴν codd. 17. 18 ἐλθοῦσιν εἰμὶ καὶ πράγματι D
18 προσερυόμενοι D, προσχρώμενοι coni. Mang., προσεχόμενοι coni. Cohn 20 τὸ scripsi: τὸ ὂν D^R, ἀνθρώπων D^C (fort. scrib. ἀνθρώπων τὸ), om. codd. ὄνομα D: ὀνόματι codd., ὄνομά τι Hoesch. κύριον D (Hoesch.): κυρίῳ codd.
20. 159,1 ὤφθην — αὐτῶν καὶ D: om. codd.

---

2—4 D^C fol. 224^r τοῦ αὐτοῦ ἐκ τοῦ περὶ τῶν μετονομαζομένων D^R fol. 222^v: τί θαυμαστόν .... εἶδεν. 7—9 pergit D^C D^R l. c.: οὐχ ὁρᾷς — λέγεσθαι.
7—18 D^C fol. 224^r τοῦ αὐτοῦ ἐκ τοῦ περὶ τῶν ἐν γενέσει ζητημάτων: φιλοπευστοῦντι τῷ προφήτῃ τοῖς περὶ — κοσμοῦνται (sic). 20—129,2 pergit D^C D^R post locum ad lin. 7—9 allatum: περὶ δὲ τοῦ μηδενὶ — αὐτοῖς.

„πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ θεὸς ὢν αὐτῶν, καὶ τὸ ὄνομά
μου κύριον οὐκ ἐδήλωσα αὐτοῖς“ (Exod. 6,3). τοῦ γὰρ ὑπερβατοῦ
μετατεθέντος ἑξῆς ἂν τοιοῦτος εἴη λόγος· „ὄνομά μου τὸ κύριον οὐκ
ἐδήλωσα αὐτοῖς“, ἀλλὰ τὸ ἐν καταχρήσει διὰ τὰς εἰρημένας αἰτίας. οὕτω 14
μέντοι τὸ ὂν ἄρρητόν ἐστιν, ὥστ' οὐδὲ αἱ ὑπηρετούμεναι δυνάμεις κύριον
ὄνομα ἡμῖν λέγουσι· μετὰ γοῦν τὴν πάλην, ἣν ὑπὲρ κτήσεως ἀρετῆς ὁ
ἀσκητὴς ἐπάλαισε, φησὶ τῷ ἀοράτῳ ἐπιστάτῃ· „ἀνάγγειλόν μοι τὸ ὄνομά
σου“, ὁ δὲ εἶπεν· „ἵνα τί τοῦτο ἐρωτᾷς τὸ ὄνομά μου;“ (Gen. 32,29),
καὶ οὐ μηνύει τὸ ἴδιον καὶ κύριον. ἀπόχρη γάρ σοι, φησίν, ὠφελεῖσθαι
κατὰ τὰς ἐμὰς εὐφημίας, τὰ δὲ γενητῶν σύμβολα, ὀνόματα, μὴ ζήτει
παρὰ φύσεσιν ἀφθάρτοις· (3.) μήτ' οὖν διαπόρει, εἰ τὸ τῶν ὄντων 15
πρεσβύτατον ἄρρητον, ὁπότε καὶ ὁ λόγος αὐτοῦ κυρίῳ ὀνόματι οὐ ῥητὸς
p. 581 M. ἡμῖν· καὶ μὴν εἰ ἄρρητον, καὶ | ἀπερινόητον καὶ ἀκατάληπτον· ὥστε
τὸ „ὤφθη κύριος τῷ Ἀβραὰμ“ (Gen. 17,1) λέγεσθαι ὑπονοητέον οὐχ
ὡς ἐπιλάμποντος καὶ ἐπιφαινομένου τοῦ παντὸς αἰτίου — τίς γὰρ ἀν-
θρώπειος νοῦς τὸ μέγεθος τῆς φαντασίας ἱκανός ἐστι χωρῆσαι; —, ἀλλ'
ὡς μιᾶς τῶν περὶ αὐτὸ δυνάμεων, τῆς βασιλικῆς, προφαινομένης· ἡ γὰρ
κύριος πρόσρησις ἀρχῆς καὶ βασιλείας ἐστί. νοῦς δὲ ἡμῶν ἡνίκα ἐχαλ- 16
δάιζε μετεωρολεσχῶν, τῷ κόσμῳ τὰς δραστηρίους ἦν περιέπων δυνάμεις
ὡς αἰτίας· γενόμενος δὲ μετανάστης ἀπὸ τοῦ Χαλδαϊκοῦ δόγματος ἔγνω
ἡνιοχούμενον καὶ κυβερνώμενον αὐτὸν ὑπὸ ἡγεμόνος, οὗ τῆς ἀρχῆς φαν-
τασίαν ἔλαβε. διὸ λέγεται „ὤφθη“ οὐ τὸ ὄν, ἀλλὰ κύριος· οἷον ἐφάνη 17

---

2 κύριον D: om. codd., κύριος ex LXX Hoesch. 5 τὸ ὂν A: ras. 3 litt. B ἐστι A οὐδ' B ὑπηρετοῦσαι conicio 5. 6 ⟨τὸ⟩ κύριον ὄνομα ⟨αὐτῶν⟩ conicio 7 ἀρρήτῳ coni. Mang. ἐπιστάτῃ] παλαιστῇ conicio (v. § 44) 8 τοῦτο codd.: om. D 9 καὶ οὐ — κύριον om. D σοι D: om. codd. ὠφελεῖσθαι φησὶ $D^R$ 10 κατὰ Coisl. (v. Mang.): καὶ AB; om. D εὐφημίας $D^R$: εὐφημήσεις $D^C$, ὑφηγήσεις codd., mg. $D^C$ γενητῶν $B^2$: γεννητῶν $AB^1$ 11 μηδ' conicio, μὴ γοῦν coni. Cohn 12 πρεσβύτατον D (Mang.): πρεσβύτερον codd. καὶ D: om. codd. οὐ ῥητὸς] ἄρρητος $D^R$ 13 καὶ μένει ἄρρητος (ἄρρητος om. $D^R$) καὶ ἀπερινόητος D καὶ ἀκατάληπτον scripsi: καὶ ἀκατάληπτος D, om. codd. 15 πάντων conicio 16 ⟨ταύτης⟩ τῆς conicio 17 αὐτὸ B (Mang.): αὐτὸν A 19 τὰ κόσμου τὰς Mang., τὰς ἐν τῷ κόσμῳ δραστηρίους περιεῖπεν conicio περιέπων Mang.: περιιππεύων codd.

---

6—10 pergit $D^C D^R$ l. c.: οὕτω καὶ Ἰακὼβ μετὰ τὴν πάλην μαθεῖν ἐθέλων ἤκουσεν (ἤκουεν $D^C$) ἵνα τί — εὐφημίας. 11—13 $D^C$ fol. 44v, $D^R D^H$ post locum ad p. 157,12 allatum: τί διαπορεῖς, εἰ — ἀκατάληπτος. Mang. falso fragmentum, quod in D sequitur ex libro de praem. et poen. 6 (II 414,25—32 M.) depromptum, nostro libro inserendum esse conicit.

ὁ βασιλεύς, ἐξ ἀρχῆς μὲν ὤν, οὔπω δὲ τῇ ψυχῇ γνωριζόμενος, ἢ καὶ
ὀψιμαθὴς μέν, οὐ μὴν εἰσάπαν ἀμαθὴς διετέλεσεν, ἀλλ᾽ ἐφαντασιώθη
18 τὴν ἐν τοῖς οὖσιν ἀρχὴν καὶ ἡγεμονίαν. φανεὶς δ᾽ ὁ ἄρχων ἔτι μᾶλλον
εὐεργετεῖ τὸν ἀκροατὴν καὶ θεατὴν φάσκων· „ἐγώ εἰμι θεὸς σός" (Gen.
17, 1). τίνος γάρ, εἴποιμ᾽ ⟨ἄν⟩, οὐ θεὸς ὑπάρχεις τῶνδε ὅσα εἰς γένεσιν
ἦλθεν; ἀλλὰ διδάξει με ὁ ὑποφήτης αὐτοῦ λόγος, ὅτι οὐ περὶ τοῦ κόσμου
νῦν λέγει, οὗ δημιουργὸς πάντως ἐστὶ καὶ θεός, ἀλλὰ περὶ ἀνθρωπίνων
19 ψυχῶν, ἃς οὐ τῆς αὐτῆς ἐπιμελείας ἠξίωκε. δικαιοῖ γὰρ τῶν μὲν φαύλων
λέγεσθαι κύριος καὶ δεσπότης, τῶν δ᾽ ἐν προκοπαῖς καὶ βελτιώσεσι
θεός, τῶν δ᾽ ἀρίστων καὶ τελειοτάτων ἀμφότερον, κύριος ὁμοῦ καὶ θεός.
αὐτίκα γέ τοι ἔσχατον ὅρον ἀσεβείας ἱδρυσάμενος τὸν Φαραὼ [κύριον
καὶ] θεὸν τούτου οὐδέποτε προσεῖπεν ἑαυτόν, ἀλλὰ τὸν σοφὸν Μωυσῆν —
λέγει γάρ· „ἰδοὺ δίδωμί σε θεὸν Φαραώ" (Exod. 7,1) —, κύριον δὲ
20 ὠνόμασε πολλαχοῦ τῶν ὑπ᾽ αὐτοῦ χρησθέντων· ᾄδεται δὲ τὰ τοιαῦτα·
„τάδε λέγει κύριος" (Exod. 7,17), καὶ ἐν ἀρχῇ· „ἐλάλησε κύριος πρὸς
Μωυσῆν λέγων· ἐγὼ κύριος, λάλησον Φαραὼ βασιλεῖ Αἰγύπτου, ὅσα ἐγὼ
21 λαλῶ πρὸς σέ" (Exod. 6,29), καὶ Μωυσῆς πρὸς αὐτόν· „ὅταν ἐξέλθω
τὴν πόλιν, ἐκπετάσω τὰς χεῖρας πρὸς κύριον, καὶ αἱ φωναὶ παύσονται,
καὶ ἡ χάλαζα καὶ ὁ ὑετὸς οὐκ ἔσται· ἵνα γνῷς, ὅτι κυρίου ἡ γῆ,"
οἱονεὶ πᾶσα ἡ σωματικὴ καὶ γεώδης σύστασις, „καὶ σύ", ὁ ἀγαλματο-
φορούμενος νοῦς, „καὶ οἱ θεράποντές σου," οἱ κατὰ μέρος δορυφοροῦντες
λογισμοί. „ἐπίσταμαι γάρ, ὅτι οὐδέπω πεφόβησθε τὸν κύριον" (Exod.
9,29. 30), ἴσον τῷ οὐ τὸν λεγόμενον ἄλλως, ἀλλὰ τὸν ὄντως ὄντα
22 δεσπότην. κύριος γὰρ γενητὸς πρὸς | ἀλήθειαν οὐδείς, κἂν ἀπὸ περάτων p. 582 M.
ἐπὶ πέρατα εὐρύνας τὴν ἡγεμονίαν ἀνάψηται· μόνος δ᾽ ὁ ἀγένητος ἀψευ-
δῶς ἡγεμών, οὗ τὴν ἀρχὴν ὁ δεδιὼς καὶ καταπεπληγμένος ἆθλον ὠφε-

1. 2 ⟨εἰ⟩ καὶ ὀψιμαθὴς ἦν, οὐ conicio ἐφαντασιώθη Cohn: ἐφαντασιάσθη codd. 4 τὸν] τὴν A ἀκροατὴν καὶ om. A 5 ἄν addidi τῶν (del. δὲ) conicio 7 post οὗ add. ὁ A, ras. in B 11 ἱδρυσάμενος] δ ex corr. B 11. 12 κύριον καὶ secl. Mang. 14 χρισθέντων A δὲ] γε conicio 15 ἐν ἀρχῇ, sc. orationis dei] ⟨„κύριος ἔκτισέν με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέν με⟩ ἐν ἀρχῇ (Prov. 8, 22) coni. Mang. 16 βασιλεῖ Φαραὼ B 17 Μωσῆς codd. 18 τὰς χεῖρας om. B 19 ὁ om. B κύριον A 24 γεννητὸς codd. D (Ant. Mel.) 25 ἐπὶ codd.: εἰς D (Ant.) εὐρύνας om. D^R (Ant.)

24—26 D^P fol. 130 (ἐκ τοῦ περὶ τῶν μετονομαζομένων) D^R fol. 159^r τοῦ αὐτοῦ D^V p. 434 Φίλωνος Anton. Mel. II 21 col. 1063: κύριος γεννητὸς—ἡγεμών.

λιμώτατον αἵρεται νουθεσίας, τὸν δὲ ὀλίγωρον ἐκδέχεται πάντως οἰκτρὸς
ὄλεθρος. οὐκοῦν κύριος ἀφρόνων ἐπιδέδεικται τὸν ἄρχοντος ἐπανατεινά- 23
μενος οἰκεῖον φόβον, θεὸς δὲ βελτιουμένων γράφεται, καθὼς καὶ νῦν·
„ἐγώ εἰμι θεὸς σός“ (Gen. 17,1), „ἐγὼ ⟨ὁ⟩ θεός σου, αὐξάνου καὶ πλη-
θύνου“ (Gen. 35,11), τελείων δὲ ἀμφότερον, κύριος ὁμοῦ καὶ θεός, ὡς
ἐν δέκα λόγοις· „ἐγὼ κύριος ὁ θεός σου“ (Exod. 20,2) καὶ ἑτέρωθι·
„κύριος ὁ θεὸς τῶν πατέρων ὑμῶν“ (Deut. 4,1). δικαιοῖ γὰρ τὸν μὲν 24
φαῦλον ὡς ὑπὸ κυρίου δεσπόζεσθαι, ἵν' εὐλαβούμενος καὶ στένων ἐπι-
κρεμάμενον ἔχῃ τὸν δεσποτικὸν φόβον, τὸν δὲ προκόπτοντα ὡς ὑπὸ θεοῦ
εὐεργετεῖσθαι, ὅπως ταῖς εὐποιίαις τελειότητος ἐφίκηται, τὸν δὲ τέλειον
καὶ ἡγεμονεύεσθαι ὡς ὑπὸ κυρίου καὶ εὐεργετεῖσθαι ὡς ὑπὸ θεοῦ· δια-
μένει γὰρ οὗτος εἰσάπαν ἄτρεπτος, ἐκεῖνος δὲ πάντως ἐστὶν ἄνθρωπος
θεοῦ. δηλοῦται δὲ τοῦτο μάλισθ' ὡς ἐπὶ Μωυσέως· „αὕτη“ γάρ φησιν 25
„ἡ εὐλογία ἣν εὐλόγησε Μωυσῆς, ἄνθρωπος θεοῦ“ (Deut. 33,1). ὦ
παγκάλης καὶ ἱεροπρεποῦς ἀντιδόσεως ἀξιωθείς, θείας προνοίας ἀντιδοῦναι
ἑαυτόν. ἀλλὰ μὴ νομίσῃς τὸν αὐτὸν τρόπον ἄνθρωπόν τε γίνεσθαι καὶ 26
ἄνθρωπον θεοῦ· ἄνθρωπον μὲν γάρ, θεοῦ ὡς κτῆμα· ἄνθρωπον δὲ θεοῦ,
ὡς αὔχημα καὶ ὠφέλημα. εἰ δὴ βούλει διανοίας κλῆρον τὸν θεὸν ἔχειν,
αὐτὸς πρότερον γενοῦ κλῆρος ἀξιόχρεως αὐτοῦ· γενήσῃ δέ, ἂν τοὺς
χειροποιήτους καὶ ἑκουσίους ἅπαντας νόμους ἐκφύγῃς. (4.) ἀλλὰ γὰρ 27
οὐδ' ἐκεῖνο προσῆκεν ἀγνοεῖν, ὅτι τὸ „ἐγώ εἰμι θεὸς σὸς“ (Gen. 17,1)
λέγεται καταχρηστικῶς, οὐ κυρίως. τὸ γὰρ ὄν, ᾗ ὄν ἐστιν, οὐχὶ τῶν
πρός τι· αὐτὸ γὰρ ἑαυτοῦ πλῆρες καὶ αὐτὸ ἑαυτῷ ἱκανόν, καὶ πρὸ τῆς
τοῦ κόσμου γενέσεως καὶ μετὰ τὴν γένεσιν τοῦ παντὸς ἐν ὁμοίῳ.
ἄτρεπτον γὰρ καὶ ἀμετάβλητον, χρῇζον ἑτέρου τὸ παράπαν οὐδενός, 28
ὥστε αὐτοῦ μὲν εἶναι τὰ πάντα, μηδενὸς δὲ κυρίως αὐτό. τῶν δὲ δυνά-
μεων, ἃς ἔτεινεν εἰς γένεσιν ἐπ' εὐεργεσίᾳ τοῦ συσταθέντος, ἐνίας συμ-
βέβηκε λέγεσθαι ὡσανεὶ πρός τι, τὴν βασιλικήν, τὴν εὐεργετικήν· βασι-
λεὺς γάρ τινος καὶ εὐεργέτης τινὸς ἑτέρου πάντως βασιλευομένου καὶ
p. 583 M. εὐεργετουμένου. τούτων συγγενής ἐστι καὶ | ἡ ποιητικὴ δύναμις, ἡ κα- 29
31 λουμένη θεός· διὰ γὰρ ταύτης τῆς δυνάμεως ἔθηκε τὰ πάντα ὁ γεννήσας

1 αἵρεται scripsi: αἱρεῖται codd. νουθεσίαν coni. Mang. 2 ἀφρόνων A: ἀμφοτέρων B 3 καθὰ coni. Cohn 4 σός ⟨καὶ ἑτέρωθι⟩ conicio ὁ addidi 5 καὶ θεὸς ὁμοῦ transpos. B 6 δεκαλόγοις codd. ἐγὼ—σου om. B 7 ὑμῶν Hoesch.: ἡμῶν codd. 13 ὡς fort. del. Μωυσέος codd. 15 ἰσορρεποῦς B 15. 16 ἀντιδόσεως, ἀξιωθῆναι θείας προνοίας αὐτόν conicio 18 δὴ A: δὲ B 18. 19 διάνοια et αὐτὴ conicio 24 ⟨μένον⟩ ἐν conicio 28 πρός τι ὡσανεί transpon. Mang.

καὶ τεχνιτεύσας πατήρ, ὥστε τὸ „ἐγώ εἰμι θεὸς σὸς“ ἴσον ἐστὶ τῷ ἐγώ
30 εἰμι ποιητὴς καὶ δημιουργός. μεγίστη δὲ δωρεὰ τὸ αὐτοῦ λαχεῖν ἀρχι-
τέκτονος, οὗ καὶ σύμπας ὁ κόσμος ἔλαχε. φαύλου μὲν γὰρ ψυχὴν οὐ
διέπλασεν — ἐχθρὸν γὰρ θεῷ κακία —, τὴν δὲ μέσην οὐ δι' ἑαυτοῦ
μόνου κατὰ τὸν ἱερώτατον Μωυσῆν, ἐπειδὴ κηροῦ τρόπον ἔμελλεν αὕτη
31 δέξασθαι καλοῦ τε καὶ αἰσχροῦ διαφοράν. διόπερ λέγεται· „ποιήσωμεν
ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν“ (Gen. 1,26), ἵν', εἰ μὲν δέξεται φαῦλον
τύπον, ἑτέρων φαίνηται δημιούργημα, εἰ δὲ καλόν, τοῦ τῶν καλῶν καὶ
ἀγαθῶν μόνων τεχνίτου. πάντως οὖν σπουδαῖος ἐκεῖνός ἐστιν, ᾧ φησιν·
„ἐγώ εἰμι θεὸς σός,“ ποιητοῦ μόνου λαχὼν ἄνευ συμπράξεως ἑτέρων.
32 ἅμα μέντοι καὶ τὸ πολλαχοῦ κατασκευαζόμενον αὐτῷ δόγμα συνάγει
διδάσκων, ὅτι μόνων ἀγαθῶν καὶ σοφῶν δημιουργός ἐστιν. οὗτος δὲ
πᾶς ὁ θίασος τὴν ⟨τῶν⟩ ἐκτὸς ἄφθονον κτῆσιν ἑαυτὸν ἑκὼν ἀφῄρηται,
33 ἀλλὰ καὶ τῶν σαρκὶ φίλων ὠλιγώρηκεν. εὐέκται μὲν γὰρ καὶ σφριγῶντες
ἀθληταὶ τὸ δοῦλον ἐπιτετειχικότες ψυχῇ τὸ σῶμα, ὠχροὶ δὲ καὶ διερρυη-
κότες καὶ κατεσκελετευμένοι τρόπον τινὰ οἱ ἀπὸ παιδείας, ταῖς ψυχικαῖς
δυνάμεσι καὶ τοὺς σωματικοὺς τόνους προσκεκληρωκότες καί, εἰ δεῖ τἀλη-
θὲς εἰπεῖν, εἰς ἓν εἶδος τὸ τῆς ψυχῆς ἀναλυθέντες καὶ ἀσώματοι διάνοιαι
34 γεγονότες. φθείρεται οὖν εἰκότως τὸ γεῶδες καὶ καταλύεται, ὅταν ὅλος
δι' ὅλων ὁ νοῦς εὐαρεστεῖν προέληται θεῷ· σπάνιον δὲ καὶ τὸ γένος
καὶ μόλις εὑρισκόμενον, πλὴν οὐκ ἀδύνατον γενέσθαι. δηλοῖ δὲ τὸ
χρησθὲν ἐπὶ τοῦ Ἐνὼχ λόγιον τόδε· „εὐηρέστησε δὲ Ἐνὼχ τῷ θεῷ,
35 καὶ οὐχ εὑρίσκετο“ (Gen. 5,24). ποῦ γὰρ ⟨ἂν⟩ σκεψάμενός τις εὕροι
τἀγαθὸν τοῦτο; ποῖα πελάγη διαβαλών; ⟨πρὸς⟩ τίνας νήσους, τίνας ἠπεί-
36 ρους ἐλθών; παρὰ βαρβάροις ἢ παρ' Ἕλλησιν; ἢ οὐχὶ καὶ μέχρι νῦν
τῶν φιλοσοφίᾳ τετελεσμένων εἰσί τινες, οἳ λέγουσιν ἀνύπαρκτον εἶναι
σοφίαν, ἐπειδὴ καὶ τὸν σοφόν; μηδένα γὰρ ἀπ' ἀρχῆς ἀνθρώπων γενέ-

---

2 δημιουργὸς ⟨σός⟩ conicio ⟨τοῦ⟩ αὐτοῦ conicio 3 φαύλην coni. Mang. 5 μόνον Hoesch. αὕτη scripsi: αὐτὴ codd. 7 δέξεται B, ex corr. A: δέξηται prius A, δέξαιτο conicio 9 μόνον Hoesch. ἐστιν ἐκεῖνος B 10 μόνου ⟨θεοῦ⟩ vel ⟨τούτου⟩ μόνου conicio 11 ἀτῶ B εἰσάγει coni. Mang. 12 μόνων ⟨τῶν⟩ conicio οὗτος] τούτων conicio 13 τῶν ἐκτὸς ἄφθονον Markland: ἐκ τοῦ ἀφθόνου codd. 15 ἀθληταὶ ⟨οἱ⟩ conicio alterum τὸ vid. secl. 18 διάνοιαι Mang.: διανοία codd. 19 καταλύεται Mang.: κατακλύζεται codd. 20 καὶ vid. del. 23 ἂν addidi 23. 24 εὕροι (corr. ex εὕρη) τἀγαθὸν A: εὕροιτ' ἀγαθὸν B, εὕρῃ τὸ ἀγαθὸν v 24 διαλαβών A πρὸς add. Mang., sed fort. lin. 25 ἐπελθὼν leg.

---

26 Stoici: Zeller III 1 p. 253. 254. 27—263,2 D[C] fol. 46[v] (post locum ad vol. I p. 247,12 allatum) D[R] fol. 24[r] τοῦ αὐτοῦ περὶ γενέσεως Ἄβελ et fol. 67[v] (post

σεως ἄχρι τοῦ παρόντος βίου κατὰ τὸ παντελὲς ἀνυπαίτιον νομισθῆναι·
καὶ γὰρ ἀδύνατον εἶναι θνητῷ σώματι ἐνδεδεμένον εἰσάπαν εὐδαιμονῆσαι.
p. 584 M. ταῦτα δ' εἰ μὲν ὀρθῶς | λέγεται, σκεψόμεθα ἐν καιρῷ· νυνὶ δ' ἀκολου- 37
θήσαντες τῷ λογίῳ φήσομεν, ὅτι ἔστι μὲν ὑπαρκτὸν πρᾶγμα σοφία,
ἔστι δὲ καὶ ὁ ἐραστὴς αὐτῆς, σοφός, ὑπάρχων δὲ ὅμως ἡμᾶς τοὺς φαύ-
λους διαλέληθεν· ἀγαθὸν γὰρ οὐκ ἐθέλει κακῷ συνέρχεσθαι. διὰ τοῦτο 38
λέγεται· „οὐχ εὑρίσκετο" ὁ εὐαρεστήσας τρόπος τῷ θεῷ, ὡς ἂν δήπου
ὑπαρκτὸς μὲν ὤν, ἀποκρυπτόμενος δὲ καὶ τὴν εἰς ταὐτὸ σύνοδον ἡμῶν
ἀποδιδράσκων, ἐπειδὴ καὶ μετατεθῆναι λέγεται, τὸ δ' ἐστὶ μεταναστῆναι
καὶ μετοικίαν στείλασθαι τὴν ἀπὸ θνητοῦ βίου πρὸς τὸν ἀθάνατον.

(5.) Οὗτοι μὲν δὴ τὴν ἔνθεον μανίαν μανέντες ἐξηγριώθησαν, ἕτεροι 39
δ' εἰσὶν οἱ τῆς τιθασοῦ καὶ ἡμέρου σοφίας ἑταῖροι. τούτοις καὶ εὐσέ-
βεια διαφερόντως ἀσκεῖται καὶ τὰ ἀνθρώπεια οὐχ ὑπερορᾶται. μάρτυρες
δ' οἱ χρησμοί, ἐν οἷς λέγεται τῷ Ἀβραὰμ ἐκ προσώπου τοῦ θεοῦ·
„εὐαρέστει ἐνώπιον ἐμοῦ" (Gen. 17, 1), τοῦτο δ' ἐστὶ μὴ ἐμοὶ μόνῳ,
ἀλλὰ καὶ τοῖς ἐμοῖς ἔργοις παρ' ἐμοὶ κριτῇ, ὡς ἐφόρῳ καὶ ἐπισκόπῳ.
τιμῶν γὰρ γονεῖς ἢ πένητας ἐλεῶν ἢ φίλους εὐεργετῶν ἢ πατρίδος ὑπερ- 40
ασπίζων ἢ τῶν κοινῶν πρὸς ἅπαντας ἀνθρώπους δικαίων ἐπιμελούμενος
εὐαρεστήσεις μὲν πάντως τοῖς χρωμένοις, θεοῦ δ' ἐνώπιον εὐαρεστήσεις·
ἀκοιμήτῳ γὰρ ὀφθαλμῷ βλέπει πάντα καὶ τὰ σπουδαῖα χάριτι ἐξαιρέτῳ
πρὸς ἑαυτὸν καλεῖ καὶ ἀποδέχεται. τοιγάρτοι καὶ ὁ ἀσκητὴς εὐχόμενος 41
ταὐτὸν ἀποδηλώσει φάσκων· „ὁ θεός, ᾧ εὐηρέστησαν οἱ πατέρες μου"
καὶ προστίθησιν „ἐνώπιον αὐτοῦ" (Gen. 48, 15), χάριν τοῦ γνῶναι
τὴν πραγματικὴν διαφορὰν τοῦ „θεῷ" εὐαρεστεῖν πρὸς τὸ „ἐνώπιον
αὐτοῦ"· τὸ μὲν γὰρ ἀμφότερα περιέχει, τὸ δὲ θάτερον μόνον. οὕτω 42

---

1 εὑρεθῆναι conicio (cf. D) 2 συνδεδεμένον D^R fol. 24 4 σοφὸν D 5 δὲ om. B 6 οὐκ ἐθέλει D: οὐ θέλει codd., οὐ φιλεῖ coni. Mang. 12 τιθασσοῦ codd. 15 εὐαρέστει D: εὐαρεστήσει AB, in εὐαρεστήση corr. B, εὐαρεστήσεις v τουτέστι D ἐμοὶ μόνῳ D: μόνω ἐμοὶ AB μόνον Mang. ex Cantabrigiensi Coll. S. Trin. B. 9. 6 17 ἐλεῶν om. D 18 πάντας D 19 εὐαρεστήσεις D: εὐαρεστεῖς codd. δὲ D εὐαρεστήσεις D: εὐαρεστεῖς codd. 25 περιέχει Mang.: παρέχει codd.

---

locum ad vol. I l. c. allatum): ἀδύνατον ἀπ' ἀρχῆς . . . . ἀνυπαίτιον εὑρεῖν θνητῷ σώματι ἐνδεδεμένον. 4—6 D^R fol. 77^r τοῦ αὐτοῦ ἐκ τῶν μετονομαζομένων: ἔστι μὲν — συνέρχεσθαι. 14—20 D^P fol. 305^v (post verba κοινωνικὸν καὶ οὐ μονωτικὸν ζῷον ὁ ἄνθρωπος ad nostrum librum relata; v. Harris p. 105. 92. eadem praecedunt in D^R) D^R fol. 253^v τοῦ αὐτοῦ: τῷ Ἀβραὰμ εἴρηται ἐκ προσώπου—πάντα. pergunt p. 164,2. 17—19 cf. ad p. 116,18.

καὶ Μωυσῆς ἐν τοῖς προτρεπτικοῖς παραινεῖ λέγων· „τὸ εὐάρεστον ποιή-
σεις ἐνώπιον κυρίου τοῦ θεοῦ σου“ (Deut. 12,28), οἷον τοιαῦτα πρᾶττε,
ἃ γενήσεται ἐπάξια τοῦ φανῆναι θεῷ καὶ ἅπερ ἰδὼν ἀποδέξεται· ταῦτα
43 δὲ καὶ εἰς τοὺς ὁμοίους εἴωθε χωρεῖν. ἐντεῦθεν ὁρμηθεὶς τήν τε
σκηνὴν δυσὶ περιβόλων ὁρίοις συνύφαινε, μέσον ἀμφοῖν κάλυμμα θείς,
ὅπως διακρίνηται τῶν εἴσω τὰ ἔξω (Exod. 26, 33), καὶ τὴν νομοφυλα-
κίδα ἱερὰν κιβωτὸν ἔνδοθεν καὶ ἔξωθεν ἐχρύσωσε (Exod. 25,10), καὶ
τῷ μεγάλῳ ἱερεῖ διττὰς ἀνέδωκε στολάς, τὴν μὲν λινῆν ἔνδον, τὴν δὲ
44 ποικίλην ἔξω μετὰ τοῦ ποδήρους (Exod. 28, 4. Lev. 6, 10). ταῦτα γὰρ
καὶ τὰ τοιαῦτα σύμβολα ψυχῆς ἐστι καὶ τοῖς εἴσω πρὸς θεὸν ἁγνευούσης
καὶ [ἐν] τοῖς ἔξω πρὸς τὸν αἰσθητὸν κόσμον καὶ βίον καθαρευούσης.
εὐστόχως οὖν ἐκεῖνο πρὸς τὸν παλαιστὴν νικηφόρον ἐλέχθη μέλλοντα
τοῖς νικητηρίοις ἀναδεῖσθαι στεφάνοις. τὸ γὰρ ἐπ' αὐτῷ | κήρυγμα p. 585 M.
τοιοῦτόν ἐστι· „ἴσχυσας μετὰ θεοῦ καὶ μετὰ ἀνθρώπων δυνατός“ (Gen.
45 32, 28). τὸ γὰρ καθ' ἑκατέραν τάξιν εὐδοκιμῆσαι, καὶ τὴν πρὸς τὸ
ἀγένητον καὶ τὴν πρὸς τὸ γενόμενον, οὐ μικρᾶς ἐστι διανοίας, ἀλλ', εἰ
δεῖ τἀληθὲς εἰπεῖν, κόσμου καὶ θεοῦ μεθορίου· συνόλως τε προσήκει
τὸν ἀστεῖον ὀπαδὸν εἶναι θεοῦ· μέλει γὰρ τῷ πάντων ἡγεμόνι καὶ πατρὶ
46 τοῦ γενομένου. τίς γὰρ οὐκ οἶδεν, ὅτι καὶ πρὸ τῆς τοῦ κόσμου γενέ-

1 Μωσῆς codd. 3 ἃ φανῆναι θεῷ γενήσεται ἐπάξια $D^R$ 4 καὶ τοῖς χρωμένοις εἴωθεν ἀρέσκειν conicio (cf. § 40), τοῖς εἴσω καὶ ἔξω ὁμοίως εἴωθε καθαρεύειν coni. Mang., καὶ ἐκτὸς ὁμοίως εἴωθε χωρεῖν coni. Cohn 10 τοῖς ἐκ τῆς corr. B 11 ἐν seclusi 12 κἀκεῖνο conicio 13 αὐτὸ B, αὐτοῦ Cohn 14 ἤσκησας B δυνατός $A^2$: δυνατῶς $A^1$, δυνατὸς εἶ B, sed ο et ει ex corr. 15 τὸ καθ' ἑκάτερον φησὶν $D^H$ τάξιν] ἀξίαν D (om. $D^H$) καὶ τὴν πρὸς] τήν τε πρὸς $D^M D_1^R D^L D^H$ 15. 16 τὸ ἀγένητον καὶ om. $D^P$ 16 ἀγέννητον $D_2^R D_1^L D^H$ γενόμενον $D^P D_2^R$: γεννώμενον codd., ε corr. $D_2^R$, γεγεννημένον $D_1^R D_1^L$, γεγενημένον $D^M D_2^L D^H$ 16. 17 εἰ — εἰπεῖν om $D_2^R$ 17 θεοῦ om. $D_1^R D_1^L$ μεθορίου συνόλως τε $D_2^R$, μεθόριον συνόλως τε $D^P$: μεθόριον οὖσαν (μεθορίου οὔσης man. recentissima in A, coni. Hoesch.) ὅλως τε AB, μεθόριον καὶ καθόλου $D^M D_1^R D^L D^H$ 18 ὀπαδὸν] σπουδαῖον $D_1^R D^L D^H$, καὶ σπουδαῖον $D^M$ εἶναι] ἐστιν $D^P$ μέλλει $A D^M D^R D_1^L D^H$ γὰρ D: δὲ codd. πατρὶ] περὶ $D^M D_1^R D^L$ 19 γινομένου $D_1^R D_1^L$, γεγενημένου $D^M$

2. 3 pergunt $D^P D^R$ τοιαῦτα οὖν πρᾶττε — ἀποδέξεται. pergunt lin. 15. 15—165,3 $D^M$ fol. 22r $D^L$ fol. 28r et 59r $D^H$ fol. 113v $D^R$ fol. 24r Φίλωνος ἐκ τοῦ (τῶν $D^M D_2^L$) περὶ (τῶν add. $D^H$) μετονομαζομένων: τὸ καθ' ἑτέραν ἀξίαν — τῷ δεσπότῃ εἰς καλοκαγαθίαν (ἐν καλοκαγαθίᾳ $D_2^L$). 15—19 pergunt $D^P D^R$ post locum ad lin. 2 allatum: τὸ γὰρ καθ' ἑτέραν ἀξίαν εὐδοκιμῆσαι — γενομένου. 18. 19 cf. librum meum „Philos Schrift über die Vorsehung“ p. 43.

σεως ἱκανὸς ἦν αὐτὸς ἑαυτῷ ὁ θεὸς καὶ μετὰ τὴν τοῦ κόσμου γένεσιν ὁ αὐτὸς ἔμενεν, οὐ μεταβαλών; διὰ τί οὖν ἐποίει τὰ μὴ ὄντα; ἢ ὅτι ἀγαθὸς καὶ φιλόδωρος ἦν; εἶτ' οὐχ ἐψόμεθα οἱ δοῦλοι τῷ δεσπότῃ, θαυμάζοντες μὲν τὸν αἴτιον ὑπερφυῶς, τῆς δὲ καθ' αὑτοὺς φύσεως μὴ ὑπερορῶντες;

(6.) Εἰπὼν δὲ „εὐαρέστει ἐνώπιον ἐμοῦ“ προσεπιλέγει· „καὶ γίνου 47
ἄμεμπτος“ (Gen. 17,1), ἀκολουθίᾳ καὶ εἱρμῷ χρώμενος. μᾶλλον μὲν οὖν ἐγχείρει τοῖς καλοῖς, ἵνα εὐαρεστῇς· εἰ δὲ μή, τῶν γε ἁμαρτημάτων ἀπέχου, ἵνα μὴ τυγχάνῃς μέμψεως. ὁ μὲν γὰρ κατορθῶν ἐπαινετός, ὁ δὲ μὴ ἀδικῶν οὐ ψεκτός. καὶ τὸ μὲν πρεσβυτικὸν ἆθλον κατορθοῦσι 48
πρόκειται, τὸ εὐάρεστον, τὸ δεύτερον δὲ μὴ ἁμαρτάνουσι, τὸ ἄμεμπτον. τάχα δὲ καὶ γενέσει τῇ θνητῇ τὸ μὴ διαμαρτάνειν ἴσον καὶ τὸ αὐτὸ γράφεται τῷ κατορθοῦντι. „τίς γάρ,“ ὡς ὁ Ἰὼβ φησι, „καθαρὸς ἀπὸ ῥύπου, κἂν μία ἡμέρα ἐστὶν ἡ ζωή“ (Iob 14,4); ἄπειρα μέν ἐστι τὰ 49
καταρρυπαίνοντα τὴν ψυχήν, ἅπερ ἐκνίψασθαι καὶ ἀπολούσασθαι παντελῶς οὐκ ἔνεστιν. ἀπολείπονται γὰρ ἐξ ἀνάγκης παντὶ θνητῷ συγγενεῖς κῆρες, ἃς λωφῆσαι μὲν εἰκός, ἀναιρεθῆναι δ' εἰσάπαν ἀδύνατον. δίκαιον 50
οὖν ἢ φρόνιμον ἢ σώφρονα ἢ συνόλως ἀγαθὸν τέλειον ἐν πεφυρμένῳ βίῳ ζητεῖ τις; στέργε, κἂν μὴ ἄδικον ἢ μὴ ἄφρονα ἢ μὴ ἀκόλαστον ἢ μὴ παντελῶς φαῦλον εὕρῃς. ἀγαπητὸν γὰρ αἱ τῶν κακιῶν ἀνατροπαί,

---

1 ὁ θεὸς καὶ D: καὶ φίλος codd. τοῦ $D^R D^L D^H$: om. codd. $D^M$ 2 ἔμενεν codd.: ἔμεινε D, ἔμεινεν v οὐ μεταβαλών om. D οὖν D: γοῦν codd. ἢ ὅτι D: ὅτι codd. 3 οὐχ ἐψόμεθα D: οὐκ ἐφεψόμεθα codd. 10 πρεσβύτατον conicio, πρῶτον Mang. 12 διαμαρτάνον coni. Mang. 13 κατορθοῦν conicio 14 κἂν ⟨εἰ⟩ coni. Cohn ἐστὶν] γένηται conicio (cf. LXX Alex.) μὲν ⟨γάρ⟩ conicio 15 τὴν ψυχήν codd. $D^K$ Barb.: ἡμῶν τὴν ζωήν $D^C D^R$ 15. 16 παντελῶς AD: καθαρῶς B, καὶ παντελῶς mg. B 17 μέν πως εἰκός $D^C D^R$ 19 ζητεῖ τις] ζητεῖς conicio, ζητεῖ τίς coni. Cohn 20 εὕρῃς scripsi: εὑρήσεις codd. ἀνατροπαὶ D: ἀποτροπαὶ codd.

---

2. 3 Platonis Tim. p. 29 DE. 14—17 $D^C$ fol. 47r ἐκ τοῦ περὶ τῶν μετονομαζομένων, $D^R$ fol. 67v 68r ἐκ τοῦ περὶ τῶν κατονομαζομένων: ἄπειρα τὰ καταρρυπαίνοντα .... ἅπερ οὐκ ἔνεστιν ἀπολούσασθαι παντελῶς· πάντως γὰρ λείπονται κηλῖδες τινὲς τῷ θνητῷ, ἃς ὑπολωφῆσαι μέν πως εἰκός ἐστιν, ἀναιρεθῆναι δὲ εἰσάπαξ ἀμήχανον. — $D^K$ fol. 93r et 116r ἐκ τοῦ περὶ τῶν μετονομαζομένων: πολλὰ καὶ ἄπειρα τὰ τοῦ κόσμου κακὰ καταρρυπαίνοντα, tum plane concinit cum codd., nisi quod fol. 93 κῆραι· λοφίσαι μὲν γὰρ εἰκός et εἰς ἅπαξ scribit, fol. 116 κῆραι ἃς λοφίσαι μὲν εἰκός. desinit ut $D^C D^R$. — Barberinus I 158: τὰ καταρρυπαίνοντα τὴν ψυχὴν ἐκνίψασθαι καὶ ἀπολούσασθαι παντελῶς οὐκ ἔστιν. ἀπολείπονται γὰρ ἐξ ἀνάγκης παντὶ θνητῷ συγγενῆ σκηνώματα. λωφῆσαι μὲν γὰρ αὐτὰ εἰκός, ἀναιρεθῆναι δὲ εἰς ἅπαξ ἀδύνατον. 20. 166,1 pergit $D^C D^R$ l. c. ἀγαπητὸν γὰρ (οὖν $D^C$) αἱ τῶν κακιῶν ἀνατροπαί, ἐπεὶ ἡ (ἡ om. $D^R$) ἀρετῆς ἐντελὴς

τῶν δ' ἀρετῶν ἡ ἐντελὴς κτῆσις ἀδύνατος ἀνθρώπῳ τῷ καθ' ἡμᾶς.
51 εὐλόγως οὖν ἔφη· „γίνου ἄμεμπτος" (Gen. 17, 1), μέγα πλεονέκτημα
πρὸς εὐδαίμονα | βίον ὑπολαβὼν εἶναι τὸ ἀναμάρτητον καὶ ἀνυπαίτιον. p. 586 M.
τῷ δὲ ᾐρημένῳ ζῆν τὸν τρόπον τοῦτον καὶ κλῆρον κατὰ διαθήκας ἀπο-
52 λείψειν ὁμολογεῖ τὸν ἁρμόζοντα δοῦναι μὲν θεῷ, λαβεῖν δὲ σοφῷ. φησὶ
γάρ· „θήσω τὴν διαθήκην μου ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σοῦ"
(Gen. 17, 2). διαθῆκαι δὲ ἐπ' ὠφελείᾳ γράφονται τῶν δωρεᾶς ἀξίων,
ὥστε σύμβολον εἶναι διαθήκην χάριτος, ἣν μέσην ἔθηκεν ὁ θεὸς ἑαυτοῦ
53 τε ὀρέγοντος καὶ ἀνθρώπου λαμβάνοντος. ὑπερβολὴ δὲ εὐεργεσίας τοῦτό
ἐστι, μὴ εἶναι θεοῦ καὶ ψυχῆς μέσον, ὅτι μὴ τὴν παρθένον χάριτα.
τὸν δὲ περὶ διαθηκῶν σύμπαντα λόγον ἐν δυσὶν ἀναγέγραφα συντάξεσι
καὶ ὑπὲρ τοῦ μὴ παλινῳδεῖν ἑκὼν ὑπερβαίνω καὶ ἅμα μὴ βουλόμενος
ἀπαρτᾶν τὸ συμφυὲς τῆς πραγματείας.
54 (7.) Λέγεται δ' ἑξῆς· „ἔπεσεν Ἀβραὰμ ἐπὶ πρόσωπον" (ibid. 3).
ἆρ' οὐκ ἔμελλεν ὑποσχέσεσι θείαις γνῶναί τε ἑαυτὸν καὶ τὴν τοῦ θνητοῦ
γένους οὐδένειαν καὶ πεσεῖν παρὰ τὸν ἑστῶτα εἰς ἔνδειξιν τῆς ὑπολή-
ψεως, ἣν περὶ ἑαυτοῦ τε ἔσχε καὶ θεοῦ, ὅτι ὁ μὲν κατὰ τὰ αὐτὰ ἑστὼς
κινεῖ τὴν σύμπασαν στάσιν, οὐ διὰ τῶν σκελῶν — οὐ γὰρ ἀνθρωπό-
55 μορφος —, ἀλλὰ τὴν ἄτρεπτον καὶ ἀμετάβλητον ἐμφαίνουσαν, ὁ δ'
οὐδέποτε ἐν ταὐτῷ βεβαίως ἱδρυμένος ἄλλοτε ἀλλοίας δέχεται μεταβολὰς
καὶ ὑποσκελιζόμενος, ὁ δυστυχής, — ὀλισθος γὰρ σύμπας ὁ βίος ἐστὶν
56 αὐτῷ — μέγα πτῶμα πίπτειν; ἀλλ' ὁ μὲν ἄκων ἀμαθής, ὁ δ' ἑκὼν
εὐάγωγος· οὗ χάριν καὶ ἐπὶ πρόσωπον πεσεῖν λέγεται, ἐπὶ τὰς αἰσθήσεις,
ἐπὶ τὸν λόγον, ἐπὶ τὸν νοῦν, μονονοὺ βοῶν καὶ κεκραγώς, ὅτι πέπτωκε

---

1 ἐντελὴς D: παντελὴς codd. 4 δ' B τὸν δὲ ᾐρημένον et ἀπολήψεσθαι conicio 7 ἀξίων] ἀξί in ras. B 11 τὸν] τῶν A ἀναγεγραφὼς conicio συντάξεσι Mang.: πράξεσι codd. 12 pr. καὶ] ὃν coni. Mang. 15 ὑφηγήσεσι coni. Mang. 16 οὐδένειαν scripsi: οὐθένειαν codd. 18 τὴν πᾶσαν σύστασιν coni. Mang. σύμπασαν φύσιν (vel γένεσιν) ⟨κινούμενος αὐτὸς κίνησιν⟩ οὐ ⟨τὴν⟩ διὰ conicio οὐ ⟨τὴν⟩ διὰ σκελῶν ⟨κίνησιν⟩ Markland 18. 19 ἀνθρωπόμορφος ⟨ὁ θεός⟩ conicio 19 τὴν ⟨τὸ⟩ coni. Cohn ἐμφαίνων οὐσίαν Markland 20 ἄλλας coni. Mang. δεχόμενος D 21 ὁ δυστυχής codd.: δυστυχής ἐστιν D ἐστὶν om. B, ante ὁ pos. D 22 ἀσταθής coni. Mang.

---

κτῆσις ἀδύνατος ἀνθρώπῳ τῷ (τὸ D^C) καθ' ἡμᾶς. 7. 8 D^R fol. 136^v D^H fol. 199^r τοῦ αὐτοῦ: διαθῆκαι ἐπ' — χάριτος. 19—22 D^R fol. 125^r Φίλωνος ἐκ τοῦ περὶ τῶν μετονομαζομένων: ὁ μηδέποτε — αὐτῷ. sequuntur verba κάλλιστα γοῦν εἴρηταί τινι· βέβαιος ἴσθι καὶ βεβαίοις χρῶ φίλοις.

μὲν αἴσθησις ἐξ αὑτῆς ἀδυνατοῦσα αἰσθάνεσθαι, εἰ μὴ προμηθείᾳ τοῦ
σωτῆρος ἀνεγερθείη πρὸς τὴν τῶν ὑποκειμένων σωμάτων ἀντίληψιν,
πέπτωκε δὲ καὶ ὁ λόγος ἑρμηνεῦσαί τι τῶν ὄντων ἀδυνατῶν, εἰ μὴ διαν-
οίξας τὸ στόμα καὶ τὴν γλῶτταν ἀρθρώσας ὁ τὸ φωνητήριον ὄργανον
κατεσκευακὼς καὶ ἁρμοσάμενος πλήξειε τοὺς φθόγγους μουσικῶς, πέπτωκε
δὲ καὶ ὁ βασιλεὺς νοῦς τὰς καταλήψεις ἀφῃρημένος, εἰ μὴ πάλιν αὐτὸν
ἐγείρας ὁ ζῳοπλάστης ἱδρύσαιτο καὶ ἐνομματώσας ὀξυδερκέσι κόραις ἀγάγοι
πρὸς τὴν τῶν ἀσωμάτων θέαν πραγμάτων.

p. 587 M. (8.) | Ἀγάμενος οὖν τὸν αὐτὸν ἀποδιδράσκοντα τρόπον καὶ ἑκούσιον 57
πτῶμα πίπτοντα διὰ τὴν ὁμολογίαν ἣν ὡμολόγησε περὶ τοῦ ὄντος, ὅτι
πρὸς ἀλήθειαν ἑστὼς ἓν ἦν ἄρα, τῶν μετ' αὐτὸ τροπὰς καὶ μεταβολὰς
παντοίας ἐνδεχομένων, ἐνηχεῖ τε καὶ λόγου μεταδίδωσι φάσκων· „κἀγώ,
ἰδοὺ ἡ διαθήκη μου μετὰ σοῦ“ (Gen. 17,4). τοῦτο δὲ τοιοῦτον ὑπο- 58
βάλλει νοῦν· εἴδη μὲν διαθήκης ἐστὶ πάμπολλα χάριτας καὶ δωρεὰς
τοῖς ἀξίοις ἀπονέμοντα, τὸ δ' ἀνώτατον γένος διαθηκῶν αὐτὸς ἐγώ εἰμι.
δείξας γὰρ ἑαυτόν, ὡς ἐνῆν δειχθῆναι τὸν ἄδεικτον, διὰ τοῦ φάναι
„κἀγὼ“ ἐπιλέγει· „ἰδοὺ ἡ διαθήκη μου“· ἡ πασῶν χαρίτων ἀρχή τε
καὶ πηγὴ αὐτός εἰμι ἐγώ. τοῖς μὲν γὰρ δι' ἑτέρων τὰς εὐεργεσίας 59
εἴωθε προτείνειν ὁ θεός, γῆς, ὕδατος, ἀέρος, ἡλίου, σελήνης, οὐρανοῦ,
δυνάμεων ἄλλων ἀσωμάτων, τοῖς δὲ δι' ἑαυτοῦ μόνου, κλῆρον ἀποφήνας
τῶν λαμβανόντων ἑαυτόν, οὓς εὐθέως καὶ προσρήσεως ἑτέρας ἠξίωσε.
λέγεται γὰρ ὅτι „οὐ κληθήσεται τὸ ὄνομά σου Ἀβράμ, ἀλλ' ἔσται τὸ 60
ὄνομά σου Ἀβραάμ“ (Gen. 17,5). ἔνιοι μὲν οὖν τῶν φιλαπεχθημόνων
καὶ μώμους ἀεὶ τοῖς ἀμώμοις προσάπτειν ἐθελόντων οὐ σώμασι μᾶλλον
ἢ πράγμασι καὶ πόλεμον ἀκήρυκτον πολεμούντων τοῖς ἱεροῖς πάνθ' ὅσα
μὴ τὸ εὐπρεπὲς ἐν λόγῳ διασῴζειν δοκεῖ σύμβολα φύσεως τῆς ἀεὶ
κρύπτεσθαι φιλούσης ὑπάρχοντα μετὰ ἀκριβοῦς ἐρεύνης φαυλίσαντες
ἐπὶ διαβολῇ προφέρουσι, διαφερόντως δὲ τὰς τῶν ὀνομάτων μεταθέσεις.
καὶ πρῴην ἤκουσα χλευάζοντος καὶ κατακερτομοῦντος ἀνδρὸς ἀθέου καὶ 61
ἀσεβοῦς, ὃς ἐτόλμα λέγειν· μεγάλαι δὴ καὶ ὑπερβάλλουσαι δωρεαί, ἅς
φησι Μωυσῆς τὸν ἡγεμόνα τῶν ὅλων ὀρέγειν· στοιχείου ⟨γὰρ⟩ προσθήκῃ,

---

1 αὐτῆς codd. 3 δεόντων coni. Mang. 4 γλῶσσαν A 5 πλήξειε scripsi: πλήξει codd., πλήξῃ coni. Mang. 7 ἀνάγοι coni. Mang. 9 αὐτὸν scripsi: αὐτὸν codd. τρόπον ⟨τινὰ⟩ coni. Mang. 12 παντοίας Mang.: παντοίων codd. 15 ἀνωτάτω conicio 16. 17 ὡς ἐνῆν — μου om. B
26 ἐμφανὲς coni. Mang. 27 μετὰ] δίχα conicio, ⟨οὐ⟩ μετὰ vel μετ' ⟨οὐκ⟩ coni. Cohn; haec enim cum φαυλίσαντες coniungenda videntur 30 δὴ Mang.: δὲ codd.
31 Μωσῆς A γὰρ addidi

τοῦ ἑνὸς ἄλφα, [στοιχείῳ περιττεύει] καὶ πάλιν ἑτέρᾳ προσθέσει τοῦ
ῥῶ θαυμαστὴν ἡλίκην ἔδοξεν εὐεργεσίαν παρεσχῆσθαι * * * τὴν Ἀβρὰμ
γυναῖκα Σάραν Σάρραν ὠνόμασε δὶς τὸ ῥῶ παραλαβών· καὶ ὅσα ὁμοιό-
62 τροπα συνείρων ἀπνευστὶ καὶ ἐπισαρκάζων ἅμα διεξῄει. τῆς μὲν οὖν
φρενοβλαβείας οὐκ εἰς μακρὰν ἔδωκε τὴν ἁρμόζουσαν δίκην· ἀπὸ γὰρ
μικρᾶς καὶ τῆς τυχούσης προφάσεως ἐπ' ἀγχόνην ἦξεν, ἵν' ὁ μιαρὸς
καὶ δυσκάθαρτος μηδὲ καθαρῷ θανάτῳ τελευτήσῃ. (9.) δικαίως δ' ἂν
ἡμεῖς ὑπὲρ τοῦ μὴ καὶ ἕτερον τοῖς αὐτοῖς ἁλῶναι τὰς ὑπονοίας ἐκκό-
ψαιμεν, φυσιολογοῦντες καὶ ἀποδεικνύντες τὰ λεγόμενα ταῦτα πάσης
63 ἐπάξια σπουδῆς. οὐ ⟨γὰρ⟩ γράμματα ἄφωνα ἢ φωνήεντα ἢ συνόλως
ῥήματα καὶ ὀνόματα χαρίζεται ὁ θεός, | ὁπότε καὶ γεννήσας φυτά τε p. 588 M.
αὖ καὶ ζῷα ἐκάλεσεν ὡς πρὸς ἡγεμόνα τὸν ἄνθρωπον, ὃν ἐκ πάντων
δι' ἐπιστήμην ἐχώρισεν, ἵν' ἑκάστοις τὰ οἰκεῖα ὀνόματα θῆται· „πᾶν"
γάρ φησιν „ὃ ἂν ἐκάλεσεν ὁ Ἀδάμ, τοῦτο ὄνομα τοῦ κληθέντος ἦν"
64 (Gen. 2,19). εἶθ' ὅπου οὐδὲ τὰς ὁλοκλήρους θέσεις τῶν ὀνομάτων ὁ
θεὸς ἠξίωσεν ἐπιφημίζειν, ἐπιτρέψας ἀνδρὶ σοφῷ, τῷ γένους ἀνθρώ-
πων ἀρχηγέτῃ, τὸ ἔργον, ὑπονοεῖν ἄξιον, ὅτι μέρη τῶν ὀνομάτων ἢ
συλλαβὰς ἢ γράμματα, οὐ φωνήεντα μόνον, ἀλλὰ καὶ ἄφωνα, αὐτὸς
προσετίθει καὶ μεθήρμοζε, καὶ ταῦτ' ἐπὶ προφάσει δωρεᾶς καὶ ὑπερβαλ-
65 λούσης εὐεργεσίας; οὐκ ἔστιν εἰπεῖν. ἀλλὰ τὰ τοιαῦτα χαρακτῆρες
δυνάμεών εἰσι, βραχεῖς μεγάλων, αἰσθητοὶ νοητῶν, φανεροὶ ἀδήλων· αἱ
δὲ δυνάμεις ἐν δόγμασιν ἀρίστοις, ἐν ἀψευδέσι καὶ καθαραῖς ὑπολήψεσιν,
ἐν ψυχῆς βελτιώσεσιν ἐξετάζονται. τὸν δὲ ἔλεγχον λαμβάνειν εὐμαρὲς

---

1 στοιχείῳ περιττεύει seclusi, στοιχείου περιττοῦ Markland    ἑτέρου conicio    προσθέσει scripsi: προσθεὶς codd., προσθήκῃ Markland    τοῦ scripsi: τὸ codd.    2 ⟨τὸν μὲν γὰρ Ἀβρὰμ Ἀβραάμ προσθεὶς ἕτερον ἄλφα καὶ⟩ τὴν conicio    post τὴν add. δὲ Mang.    Ἄβραμ B    3 τὸ Hoesch.: τὴν codd.    4. 5 οὖν φρενοβλαβείας scripsi: φρενοβλαβείας οὖν codd.    8 καὶ om. B    τὰς ⟨τοιαύτας⟩ conicio    ⟨κακὰς⟩ ὑπονοίας coni. Mang.    9 ταῦτα B: ταῦτα τὰ A    ἁπάσης (om. τὰ) coni. Mang.    10 γὰρ addidi    φωνάεντα A    11 γεννήσας] alterum ν erasit B    12 ὃν scripsi: ὃς codd.    12. 13 ὃς καὶ πάντων δι' ἐπιστήμης ἐχώρησε coni. Mang.    13 πᾶν ex LXX Mang.: πάντα codd.    14 ὁ] αὐτὸ conicio    15 ὁπότε coni. Cohn    16. 17 ἀρχηγέτη ἀνθρώπων B    18 φωνάεντα AB    23 ψυχῆς βελτιώσεσιν Mang.: ψυχαῖς βελτίοσιν codd.

---

20 sqq. *Orig. Comment. in Gen. p. 36 (ad Gen. 17,5):* τὰς ἑρμηνείας τῶν ὀνομάτων ζήτει· δυνάμει γὰρ ὠνομάσθησαν ὑπὸ τοῦ ἁγίου πνεύματος. ἀλλὰ μὴν καὶ τοῦτο χρὴ εἰδέναι, ὅτι τὰ ὀνόματα ἕξεών ἐστι καὶ καταστάσεων καὶ δυνάμεων δηλωτικά· ἐξ ὧν ἔστιν ἰδεῖν τὴν ἐπιτηδειότητα τοῦ ὀνομαζομένου. *Homil. in Num. XXV 3 p. 366* (cf. etiam Philonis quaest. in Gen. III § 43).

τὴν ἀρχὴν ποιησαμένοις ἀπὸ τοῦ νυνὶ μετονομασθέντος. Ἀβρὰμ γὰρ 66
ἑρμηνεύεται μετέωρος πατήρ, Ἀβραὰμ δὲ πατὴρ ἐκλεκτὸς ἠχοῦς. ᾗ δὲ
διαφέρει ταῦτ' ἀλλήλων, εἰσόμεθα σαφέστερον, ἐπειδὰν τὸ δηλούμενον
ὑφ' ἑκατέρου πρότερον ἀναγνῶμεν. μετέωρον τοίνυν ἀλληγοροῦντές φαμεν 67
τὸν ἀπὸ γῆς ἑαυτὸν εἰς ὕψος αἴροντα καὶ ἐπισκοποῦντα τὰ μετάρσια,
μετεωροπόλον τε καὶ μετεωρολογικόν, ἐρευνῶντα τί ἡλίου μέγεθος, τίνες
αὐτοῦ φοραί, πῶς τὰς ἐτησίους ὥρας διανέμει προσιὼν καὶ ἐξαναχωρῶν
πάλιν ἰσοταχέσι ταῖς ἀνακυκλήσεσι, καὶ σελήνης περὶ φωτισμῶν, σχη-
ματισμῶν, μειώσεως, αὐξήσεως, καὶ τῶν ἄλλων ἀστέρων κινήσεως,
ἀπλανοῦς τε καὶ πεπλανημένης. ἡ γὰρ τούτων ἐξέτασις οὐκ ἀφυοῦς 68
καὶ ἀγόνου ψυχῆς ἐστιν, ἀλλ' ἐν τοῖς μάλιστα εὐφυοῦς καὶ δυναμένης
ὁλόκληρα καὶ τέλεια γεννᾶν ἔγγονα. διὸ καὶ τὸν μετεωρολογικὸν „πατέρα"
εἶπεν, ὅτι οὐκ ἄγονος σοφίας. (10.) τὰ μὲν οὖν τοῦ Ἀβρὰμ σύμβολα 69
οὕτως ἀκριβοῦται, τὰ δὲ τοῦ Ἀβραάμ, ὡς ὑποδείξομεν· ἦν δὲ τρία,
πατὴρ καὶ ἐκλεκτὸς καὶ ἠχοῦς. φαμὲν δὴ τὴν μὲν ἠχὼ τὸν προφορικὸν
εἶναι λόγον — τοῦ γὰρ ζῴου ἠχεῖον ὄργανόν ἐστι τὸ φωνητήριον —,
τούτου δὲ πατέρα τὸν νοῦν — ἀπὸ γὰρ διανοίας ὥσπερ ἀπὸ πηγῆς
p. 589 M. φέρεται τὸ τοῦ λόγου νᾶμα —, | ἐκλεκτὸν δὲ τὸν τοῦ σοφοῦ· ὅ τι γὰρ
ἄριστον, ἐν τούτῳ. κατὰ μὲν οὖν τοὺς προτέρους χαρακτῆρας ὁ φιλο- 70
μαθὴς καὶ μετεωρολέσχης ἐσκιαγραφεῖτο, κατὰ δὲ τοὺς ἀρτίως ὑποτυ-
πωθέντας ὁ φιλόσοφος, μᾶλλον δ' ὁ σοφὸς ἐδηλοῦτο. μηκέτ' οὖν ὀνο-
μάτων ἀλλαγὴν ὑπολάβῃς χαρίζεσθαι τὸ θεῖον, ἀλλὰ διὰ συμβόλων ἠθῶν
ἐπανόρθωσιν. τὸν γὰρ πραγματευόμενον τὰ περὶ φύσεως οὐρανοῦ πρό- 71
τερον, ὃν μαθηματικὸν ἔνιοι προσαγορεύουσιν, ἐπὶ τὴν μετουσίαν καλέσας
ἀρετῆς σοφὸν καὶ ἀπέδειξε καὶ ὠνόμασεν, ἐπιφημίσας τὸν μεταχαραχ-
θέντα τρόπον, ὡς μὲν Ἑβραῖοι εἴποιεν ἄν, Ἀβραάμ, ὡς δ' ἂν Ἕλληνες,
πατέρα ἐκλεκτὸν ἠχοῦς. τίνος γάρ, φησίν, ἕνεκα χορείας καὶ περιόδους 72
ἀστέρων ἐρευνᾷς καὶ τοσοῦτον ἀπὸ γῆς ἄνω πρὸς αἰθέρα πεπήδηκας;
ἆρ' ἵνα αὐτὸ μόνον τὰ ἐκεῖ περιεργάσῃ; καὶ τίς ἐκ τῆς τοσαύτης περι-
εργίας γένοιτ' ἂν ὠφέλεια; τίς καθαίρεσις ἡδονῆς; τίς ἐπιθυμίας ἀνα-
τροπή; τίς λύπης ἢ φόβου κατάλυσις; ποία παθῶν, ἃ κλονεῖ καὶ συγχεῖ
τὴν ψυχήν, ἐκτομή; καθάπερ γὰρ δένδρων οὐδὲν ὄφελος, εἰ μὴ καρπῶν 73

1 Ἄβραμ B 4 ὑφ' scripsi: ἀφ' codd. ἀναγνῶμεν] ἀνοίγωμεν coni. Mang., ἀκριβώσωμεν (cf. lin. 14) vel ἐρευνήσωμεν e gr. conicio, γνῶμεν coni. Cohn 8 πέρι codd. 13 Ἄβραμ B 16 ἠχοῦν coni. Mang. 20 ἐσκιογραφεῖτο A 29 ἵν' B τοιαύτης conicio

2 sqq. cf. Ambros. de Abr. I 4,27.

οἰστικὰ γένοιτο, τὸν αὐτὸν δὴ τρόπον οὐδὲ φυσιολογίας, εἰ μὴ μέλλοι
74 κτῆσιν ἀρετῆς ἐνεγκεῖν· ὁ γὰρ καρπὸς αὐτῆς οὗτός ἐστι. διὸ καὶ τῶν
πάλαι τινὲς ἀγρῷ τὸν κατὰ φιλοσοφίαν ἀπεικάσαντες λόγον φυτοῖς μὲν
ἐξωμοίωσαν τὸ φυσικὸν μέρος, αἱμασιαῖς δὲ καὶ περιβόλοις τὸ λογικόν,
καρπῷ δὲ τὸ ἠθικόν, ὑπολαβόντες καὶ τὰ ἐν κύκλῳ τείχη φυλακῆς ἕνεκα
τοῦ καρποῦ κατεσκευάσθαι πρὸς τῶν ἐχόντων καὶ τὰ φυτὰ δεδημιουρ-
75 γῆσθαι γενέσεως καρποῦ χάριν. οὕτως οὖν ἔφασαν καὶ ἐν φιλοσοφίᾳ
δεῖν τήν τε φυσικὴν καὶ λογικὴν πραγματείαν ἐπὶ τὴν ἠθικὴν ἀναφέ-
ρεσθαι, ᾗ βελτιοῦται τὸ ἦθος κτήσεως ὁμοῦ καὶ χρήσεως ἀρετῆς ἐφιέ-
76 μενον. τοιαῦτα ἐδιδάχθημεν περὶ τοῦ λόγῳ μὲν μετονομασθέντος, ἔργῳ
δὲ μεταβαλόντος ἀπὸ φυσιολογίας πρὸς τὴν ἠθικὴν φιλοσοφίαν καὶ μετα-
ναστάντος ἀπὸ τῆς περὶ τὸν κόσμον θεωρίας πρὸς τὴν τοῦ πεποιηκότος
ἐπιστήμην, ἐξ ἧς εὐσέβειαν, κτημάτων τὸ κάλλιστον, ἐκτήσατο. (11.)
77 τὰ δὲ περὶ τῆς γυναικὸς αὐτοῦ Σάρας νῦν ἐροῦμεν· καὶ γὰρ αὕτη μετο-
νομάζεται εἰς Σάρραν κατὰ τὴν τοῦ ἑνὸς στοιχείου πρόσθεσιν τοῦ ῥῶ.
τὰ μὲν οὖν ὀνόματα ταῦτα, τὰ δὲ τυγχάνοντα μηνυτέον· ἑρμηνεύεται
78 Σάρα μὲν | ἀρχή μου, Σάρρα δὲ ἄρχουσα. τὸ μὲν οὖν πρότερον εἰδικῆς p. 590 M.
σύμβολον ἀρετῆς ἐστι, τὸ δ' ὕστερον γενικῆς. ὅσῳ δὲ γένος εἴδους δια-
φέρει κατὰ τὸ ἔλαττον, τοσούτῳ τὸ δεύτερον ὄνομα τοῦ προτέρου· τὸ
μὲν γὰρ εἶδος καὶ βραχὺ καὶ φθαρτόν, τὸ δὲ γένος πολύ τε αὖ καὶ
79 ἄφθαρτον. βούλεται δὲ ὁ θεὸς ἀντὶ μικρῶν καὶ φθαρτῶν μεγάλα καὶ
ἀθάνατα χαρίζεσθαι, καὶ ἐμπρεπὲς αὐτῷ τὸ ἔργον. ἡ μὲν ⟨γὰρ⟩ ἐν τῷ
σπουδαίῳ φρόνησις αὐτοῦ μόνου ἐστὶν ἀρχή, καὶ οὐκ ἂν ἁμάρτοι ὁ ἔχων,
εἰ λέγοι· ἀρχή μού ἐστιν ἡ ἐν ἐμοὶ φρόνησις· ἡ δὲ ταύτην τυπώσασα,
ἡ γενικὴ φρόνησις, οὐκέτι τοῦ δεῖνός ἐστιν ἀρχή, ἀλλ' αὐτὸ τοῦτο ἀρχή.
80 τοιγαροῦν ἐκείνη μὲν ἡ ἐν εἴδει τῷ ἔχοντι συμφθαρήσεται, ἡ δὲ σφρα-
γῖδος τρόπον αὐτὴν τυπώσασα παντὸς ἀπηλλαγμένη θνητοῦ διατελέσει
πρὸς αἰῶνα ἄφθαρτος. οὕτω καὶ τῶν τεχνῶν αἱ μὲν ἐν εἴδει συναπόλ-
λυνται τοῖς κτησαμένοις, γεωμέτραις, γραμματικοῖς, μουσικοῖς· αἱ δὲ
γενικαὶ μένουσιν ἀνώλεθροι. προσυπογράφει δὲ ἀναδιδάσκων ἐν ταὐτῷ,

1 δὴ Mang.: δὲ codd. οὐδὲ scripsi: οὐδὲν codd. 5 ὑπολαβόντες Mang.: ἀπολαβόντες codd. 14 ἐρευνῶμεν conicio αὕτη Cohn: αὐτὴ codd. 18 γένους εἶδος coni. Mang. (sed sic scrib. etiam lin. 19 τὸ πρότερον ὄνομα τοῦ δευτέρου) 19 κατὰ τὸ ἔλαττον secl. Cohn τοῦ προτέρου ὄνομα B 22 γὰρ addidi, οὖν add. Mang. 24 λέγοι scripsi: λέγει codd.

2 sqq. v. vol. II ad p. 98,1. 14 sqq. cf. Ambros. l. c. 4,31.

ὅτι καὶ πᾶσα ἀρετὴ βασιλίς ἐστι καὶ ἄρχουσα καὶ ἡγεμονεύουσα τῶν κατὰ τὸν βίον πραγμάτων.

(12.) Ἀλλὰ καὶ τὸν Ἰακὼβ μετονομάζεσθαι συμβέβηκεν εἰς τὸν 81
Ἰσραήλ, οὐκ ἀπὸ σκοποῦ. διὰ τί; ὅτι ὁ μὲν Ἰακὼβ πτερνιστής, ὁ δὲ Ἰσραὴλ ὁρῶν τὸν θεὸν καλεῖται. πτερνιστοῦ μὲν οὖν ἔργον ἀσκοῦντος ἀρετὴν τὰς βάσεις τοῦ πάθους, αἷς ἐφίδρυται, καὶ εἴ τι ὀχυρὸν καὶ ἱδρυμένον ἐν αὐταῖς κινεῖν καὶ σαλεύειν καὶ ἀνατρέπειν — ταῦτα δὲ οὐ δίχα ἀγωνίας ἀκονιτὶ φιλεῖ γίνεσθαι, ἀλλ' ἐπειδάν τις τοὺς φρονήσεως ἄθλους διαθλῶν γυμνάζηταί τε τὰ τῆς ψυχῆς γυμνάσματα καὶ πρὸς τοὺς ἀντιπάλους καὶ τραχηλίζοντας αὐτὴν λογισμοὺς παλαίῃ —, τοῦ δὲ τὸν θεὸν ὁρῶντος τὸ μὴ ἐκ τοῦ ἱεροῦ ἀγῶνος ἀστεφάνωτον ἐξελθεῖν,
ἀλλὰ τὰ ἐπὶ τῇ νίκῃ βραβεῖα ἄρασθαι. τίς δ' ἂν εὐανθέστερος καὶ ἐπι- 82
τηδειότερος πλέκοιτο νικηφόρῳ ψυχῇ στέφανος ἢ δι' οὗ τὸν ὄντα δυνήσεται θεωρεῖν ὀξυδερκῶς; καλόν γε ἀσκητικῇ ψυχῇ πρόκειται τὸ ἆθλον, ἐνομματωθῆναι πρὸς τὴν τοῦ μόνου θέας ἀξίου τηλαυγῆ κατανόησιν.
(13.) ἄξιον δὲ ἀπορῆσαι, διὰ τί ὁ μὲν Ἀβραάμ, ἀφ' οὗ μετωνομάσθη, 83
τῆς αὐτῆς προσρήσεως ἀξιοῦται μηκέτι καλούμενος ὀνόματι τῷ προτέρῳ, ὁ δὲ Ἰακὼβ προσρηθεὶς Ἰσραὴλ οὐδὲν ἧττον αὖθις πάλιν Ἰακὼβ ἐπὶ
p. 591 M. πλέον ὀνομάζεται. | λεκτέον οὖν ὅτι καὶ ταῦτα χαρακτῆρές εἰσιν, οἷς ἡ
διδακτικὴ τῆς ἀσκητικῆς ἀρετῆς διαφέρει. ὁ μὲν γὰρ διδασκαλίᾳ βελτιω- 84
θείς, εὐμοίρου λαχὼν φύσεως, ἣ περιποιεῖ τὸ ἄληστον αὐτῷ διὰ συνεργοῦ μνήμης, μονῇ χρῆται, ὧν ἔμαθεν ἀπρὶξ ἐπειλημμένος καὶ βεβαίως περιεχόμενος· ὁ δ' ἀσκητὴς ἐπειδὰν γυμνάσηται συντόνως, διαπνεῖ πάλιν καὶ ὑπανίεται, συλλεγόμενος καὶ ἀνακτώμενος τὴν ἐκ τοῦ πονεῖν τεθρυμμένην δύναμιν, καθάπερ καὶ οἱ τὰ σώματα ἀλειφόμενοι· καὶ γὰρ οὗτοι περὶ τὴν ἄσκησιν καμόντες, ὡς μὴ κατὰ τὸ παντελὲς αὐτοῖς ἀπορραγεῖεν αἱ δυνάμεις διὰ τὸ σφοδρὸν καὶ σύντονον τῆς ἀθλήσεως, ἔλαιον ἐπιχέ-
ουσιν. εἶθ' ὁ μὲν διδαχθεὶς ἀθανάτῳ χρώμενος ὑποβολεῖ τὴν ὠφέλειαν 85
ἔναυλον καὶ ἀθάνατον ἴσχει, μὴ τρεπόμενος· ὁ δ' ἀσκητὴς καὶ τὸ ἑκούσιον ἔχων αὐτὸ μόνον καὶ τοῦτο γυμνάζων καὶ συγκροτῶν, ἵνα τὸ οἰκεῖον

---

4 ὅτι ex Coisl. 43 Mang.: om. AB  6 ⟨τὸ⟩ τὰς conicio  alterum καὶ om. B  ὀχυρῶς (om. καὶ) vel ὀχυρὸν καὶ ⟨βεβαίως⟩ conicio  8 ἀκονιτὶ Mang.: ἀπονητὶ codd.  12 καὶ A: ἢ B  17 ταύτης τῆς conicio τῆς αὐτῆς ⟨ἀεὶ⟩ coni. Cohn  19 πλεῖον codd.  20 διδακτικὴ B: διδακτὴ A ἀσκητῆς coni. Mang.  22 μονῇ scripsi: μόνη codd.  ἐνειλημμένος conicio  24 ὑπανίσται B, ὑπανίσταται coni. Mang.  24. 25 τεθρυμμένην scripsi: τετρυμμένην codd., τετρυμένην Mang.  28 ὑποβολεῖ in ὑποβολῇ corr. B  29 alt. καὶ vid. secl.

πάθος τῷ γενητῷ καταβάλῃ, κἂν τελειωθῇ, καμὼν πρὸς τὸ ἀρχαῖον
86 ἐπάνεισι γένος. τλητικώτερος μὲν γὰρ οὗτος, εὐτυχέστερος δ' ἐκεῖνος·
ὁ μὲν γὰρ χρῆται διδασκάλῳ ἑτέρῳ, ὁ δ' ἐξ ἑαυτοῦ ζητεῖ τε καὶ σκέ-
πτεται καὶ πολυπραγμονεῖ, μετὰ σπουδῆς ἐρευνῶν τὰ φύσεως, ἀδιαστάτῳ
87 χρώμενος καὶ συνεχεῖ πόνῳ. διὰ τοῦτο τὸν μὲν Ἀβραάμ, ἐπειδὴ μένειν
ἔμελλεν ἐν ὁμοίῳ, μετωνόμασεν ὁ ἄτρεπτος θεός, ἵν' ὑπὸ τοῦ ἑστῶτος
καὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντος τὸ μέλλον στήσεσθαι παγίως
ἱδρυθῇ, τὸν δὲ Ἰακὼβ ἄγγελος ὑπηρέτης τοῦ θεοῦ, λόγος, ἵν' ὁμολο-
γηθῇ μηδὲν εἶναι τῶν μετὰ τὸ ὂν ἀκλινοῦς καὶ ἀρρεποῦς αἴτιον βεβαιό-
τητος, ἀλλ' ἁρμονίας τῆς ὡς ἐν ὀργάνῳ μουσικῷ περιεχούσης ἐπιτάσεις
καὶ ἀνέσεις φθόγγων πρὸς τὴν τοῦ μέλους ἔντεχνον κρᾶσιν.
88 (14.) Ἀλλὰ τριῶν ὄντων τοῦ γένους ἀρχηγετῶν, οἱ μὲν ἄκροι
μετωνομάσθησαν, Ἀβραάμ τε καὶ Ἰακώβ, ὁ δὲ μέσος Ἰσαὰκ τῆς αὐτῆς
ἔλαχεν εἰς ἀεὶ προσρήσεως. διὰ τί; ὅτι ἡ μὲν διδακτικὴ ἀρετὴ καὶ ἀσκη-
τικὴ δέχονται τὰ πρὸς βελτίωσιν — ἐφίεται γὰρ δὴ ὁ μὲν διδασκόμενος
ἐπιστήμης ὧν ἀγνοεῖ, ὁ δὲ ἀσκήσει χρώμενος στεφάνων καὶ τῶν προ-
κειμένων ἄθλων φιλοπόνῳ καὶ φιλοθεάμονι ψυχῇ —, τὸ δ' αὐτοδίδακτον
καὶ αὐτομαθὲς γένος, ἅτε φύσει μᾶλλον ἢ ἐπιτηδεύσει συνιστάμενον, ἐξ
ἀρχῆς ἴσον καὶ τέλειον καὶ ἄρτιον ἠνέχθη, | μηδενὸς ἐνδέοντος τῶν εἰς p. 592 M.
89 πλήρωσιν ἀριθμοῦ. ἀλλ' οὐχ ὁ τῶν τοῦ σώματος ἐπιτηδείων προστάτης
Ἰωσήφ· ἀλλάττει γὰρ τοὔνομα, Ψονθομφανὴχ ὑπὸ τοῦ τῆς χώρας βασι-
λέως ἐπικληθείς (Gen. 41, 45). ὃν δὲ λόγον ἔχει καὶ ταῦτα, μηνυτέον.
Ἰωσὴφ ἑρμηνεύεται πρόσθεμα· προσθήκη δ' ἐστὶ τῶν φύσει τὰ θέσει,
χρυσός, ἄργυρος, κτήματα, πρόσοδοι, οἰκετῶν θεραπεῖαι, κειμηλίων καὶ
ἐπίπλων καὶ τῆς ἄλλης περιουσίας ἄφθονοι ὗλαι, τῶν ἡδονῆς ποιητικῶν
90 ἀμήχανοι τὸ πλῆθος παρασκευαί. ὧν τὸν ποριστὴν καὶ ἐπιμελητὴν
Ἰωσὴφ ὀνόματι εὐθυβόλῳ καλεῖσθαι συμβέβηκε πρόσθεμα, ἐπεὶ τῶν
ἔξωθεν ἐπεισοδιαζομένων καὶ προστιθεμένων τοῖς κατὰ φύσιν προστασίαν
ἀνῆπται. μαρτυροῦσι δ' οἱ χρησμοὶ δηλοῦντες ὅτι τὰς τροφὰς τῆς σω-
ματικῆς χώρας ἁπάσης, Αἰγύπτου, θησαυρισάμενος ἐσιτάρχει (Gen. 41,
91 48). (15.) τοιοῦτος μέν τις ὁ Ἰωσὴφ ἐκ τῶν γνωρισμάτων γνω-
ρίζεται· ὁ δὲ Ψονθομφανὴχ ποῖός ἐστι, θεασώμεθα. ἑρμηνεύεται οὖν

---

1 γεννητῷ codd. καταβάλῃ scripsi: μεταβάλῃ codd. 2 γὰρ] ἄρ' coni. Mang.
5 χρώμενα Hoesch. 12 ⟨τῶν⟩ τοῦ conicio 14 εἰσαεὶ codd. διδακτικὴ
scripsi (cf. § 83): διδακτὴ codd. 14. 15 ἀσκητὴ Mang., ⟨ἡ⟩ ἀσκητικὴ conicio
19 ὅσιον coni. Mang. ἐνδέον coni. Mang. 20 οὐχ ⟨οὕτως⟩ conicio 24 θε-
ραπεία B, fort. recte

ἐν ἀποκρίσει στόμα κρῖνον. οἴεται γὰρ πᾶς ἄφρων τὸν πολυχρήματον
καὶ περιρρεόμενον ταῖς ἐκτὸς οὐσίαις εὐθὺς εἶναι καὶ εὐλόγιστον, ἱκανὸν
μὲν πρὸς ἃ ἂν πύθηταί τις ἀποκρίνασθαι, ἱκανὸν δὲ καὶ δι' ἑαυτοῦ
γνώμας εἰσηγήσασθαι συμφερούσας, καὶ συνόλως τὸ φρόνιμον ἐν τῷ
τυχηρῷ τίθεται, δέον ἔμπαλιν τὸ τυχηρὸν ἐν τῷ φρονίμῳ· ἄξιον γὰρ
τὸ ἄστατον ὑπὸ τοῦ ἑστῶτος ἡνιοχεῖσθαι. καὶ μὴν τὸν ἀδελφὸν αὐτοῦ 92
τὸν ὁμογάστριον ὁ μὲν πατὴρ Βενιαμίν, ἡ δὲ μήτηρ υἱὸν ὀδύνης προς-
αγορεύει (Gen. 35,18), φυσικώτατα· μεταληφθεὶς γὰρ ὁ Βενιαμίν ἐστιν
υἱὸς ἡμερῶν, ἡμέρα δὲ τῷ ἀφ' ἡλίου αἰσθητῷ φωτὶ καταλάμπεται,
τούτῳ δὲ τὴν κενὴν δόξαν ἐξομοιοῦμεν. ἔχει γάρ τινα λαμπρότητα 93
αἰσθητὴν ἐν τοῖς παρὰ τῶν πολλῶν καὶ ἀγελαίων ἐπαίνοις, ἐν τοῖς γρα-
φομένοις ψηφίσμασιν, ἐν ταῖς ἀνδριάντων καὶ εἰκόνων ἀναθέσεσιν, ἐν
πορφύραις καὶ στεφάνοις χρυσοῖς, ἐν ἅρμασι καὶ τεθρίπποις καὶ παρα-
πομπαῖς ὄχλων. ὁ τούτων οὖν ζηλωτὴς εἰκότως υἱὸς ἡμερῶν, αἰσθητοῦ
p. 593 M. φέγγους καὶ τῆς περὶ τὴν | κενὴν δόξαν λαμπρότητος, ὠνομάσθη. τοῦτο 94
ὁ πρεσβύτερος λόγος καὶ πατὴρ ὄντως εὐθυβόλον καὶ κύριον ὄνομα αὐτῷ
τίθεται, ἡ δὲ παθοῦσα ψυχὴ τὸ ᾧ πέπονθεν ἁρμόττον· ὀδύνης γὰρ υἱὸν
καλεῖ. διὰ τί; ὅτι οἱ ἐν ταῖς κεναῖς φερόμενοι δόξαις ὑπολαμβάνονται
μὲν εὐδαιμονεῖν, πρὸς ἀλήθειαν δὲ κακοδαιμονοῦσι. τὰ γὰρ ἀντιπνέοντα 95
πολλά, βασκανία, φθόνοι, συνεχεῖς ἔριδες, φιλονεικίαι ἀκατάλλακτοι μέχρι
θανάτου, δυσμένειαι παισὶ παίδων κατὰ διαδοχὰς παραδιδόμεναι, κλῆρος
οὐ κτητός. ἀναγκαίως οὖν ὁ θεοφράδμων ἐν αὐταῖς ὠδῖσιν ἀποθνή- 96
σκουσαν, ἣ τίκτει κενοδοξίαν, παρέστησεν· „ἀπέθανε" γάρ φησι „Ῥαχὴλ
δυστοκήσασα" (Gen. 35,16. 19), ἐπειδὴ τῷ ὄντι ψυχῆς ἐστι θάνατος
δόξης αἰσθητῆς καὶ κενῆς σπορά τε καὶ γέννησις.

(16.) Τί δ'; οἱ τοῦ Ἰωσὴφ παῖδες, Ἐφραὶμ τε καὶ Μανασσῆς, οὐ 97
πάνυ φυσικῶς ἐξωμοιοῦντο δυσὶ τοῖς πρεσβυτάτοις υἱοῖς τοῦ Ἰακώβ,
Ῥουβήν τε καὶ Συμεών; λέγει γάρ· „οἱ δύο υἱοί σου, οἱ γενόμενοι ἐν
Αἰγύπτῳ πρὸ τοῦ με ἐλθεῖν εἰς Αἴγυπτον, ἐμοί εἰσιν· Ἐφραὶμ καὶ
Μανασσῆς ὡς Ῥουβὴν καὶ Συμεὼν ἔσονταί μοι" (Gen. 48,5). τίνα

---

1 ἐν ἀποκρύψει στόμα ἀποκρινόμενον coni. Mang. 2 οὐσίαις] ὕλαις coni. Mang. 4 φρόνημα B 8 μεταληφθῆς A 11 παρὰ B²: περὶ A(B¹) 17 τῷ δ coni. Mang. ᾧ] δ B 18 φυρόμενοι coni. Mang., fort. recte; v. Quis rer. div. her. § 234 20 βασκανίαι conicio μέχρις A 22 οὐκ εὐκτός coni. Markland, ἄκληρος conicio 23 ἣ B²: ἣν AB¹ 25 δόξης αὖ θνητῆς τε καὶ coni. Mang. 26 Ἰωσὴφ in ras. B Εὐφραὶμ B οὐ om. B 27 ἐξομοιοῦντο A 28 Ῥουβήν scripsi: Ῥουβίμ codd., item lin. 30. 174,1 29 με B²: μὴ AB¹ 30 Μανασσῆ A

98 οὖν τρόπον οἱ δύο τοῖς δυσὶν ἐφαρμόζονται, θεασώμεθα. Ῥουβὴν μὲν
σύμβολον εὐφυίας ἐστίν — ἑρμηνεύεται γὰρ ὁρῶν υἱός, ἐπειδὴ πᾶς ὁ
εὐθιξίᾳ καὶ εὐφυίᾳ χρώμενος ὁρατικός —, Ἐφραὶμ δέ, ὡς πολλάκις
εἴπομεν ἐν ἑτέροις, μνήμης — μεταληφθεὶς γάρ ἐστι καρποφορία, καρπὸς
δὲ ψυχῆς ἄριστος ἡ μνήμη —· συγγενὲς δὲ οὐδὲν ἕτερον οὕτως [τῷ]
99 ἑτέρῳ, ὡς εὐφυεῖ τὸ μεμνῆσθαι. πάλιν ὁ Συμεὼν ὄνομα μαθήσεως
καὶ διδασκαλίας ἐστίν — εἰσακοὴ γὰρ ἑρμηνεύεται —, μανθάνοντος δ'
ἴδιον ἀκούειν τε καὶ προσέχειν τοῖς λεγομένοις, ὁ δὲ Μανασσῆς ἀνα-
100 μνήσεως σύμβολον· καλεῖται γὰρ ἐκ λήθης. τῷ δ' ἐκ λήθης ἔξω
προϊόντι συμβαίνει κατὰ τὸ ἀναγκαῖον ἀναμιμνῄσκεσθαι· μαθήσεως δὲ
ἀνάμνησις οἰκεῖον. πολλάκις γὰρ τοῦ μανθάνοντος ἀπορρεῖ τὰ θεωρή-
ματα μὴ δυναμένου δι' ἀσθένειαν κρατεῖν καὶ πάλιν ἐξ ἀρχῆς ὑπανα-
πλεῖ. τὸ μὲν οὖν τῆς ἀπορροῆς πάθος ὀνομάζεται λήθη, τὸ δὲ τῆς
101 παλιρροίας ἀνάμνησις. ἆρ' οὐ προσφυῶς εὐφυίᾳ μὲν [ἡ] μνήμη, μα-
θήσει δὲ ἀνάμνησις ἐφαρμόζεται; καὶ μὴν ὃν λόγον ἔχει Συμεὼν πρὸς
Ῥουβήν, τὸ δ' ἐστὶ μάθησις πρὸς φύσιν, τοῦτον ἔχει λόγον Μανασσῆς
102 πρὸς Ἐφραίμ, τὸ δ' ἐστὶ πρὸς μνήμην ἀνάμνησις. ὡς γὰρ τὸ εὐφυὲς
ἄμεινον τοῦ μανθάνοντος — τὸ μὲν γὰρ ἔοικεν ὁράσει, τὸ δὲ ἀκοῇ·
ἀκοὴ δὲ ὁράσεως | τὰ δεύτερα φέρεται —, οὕτω τὸ μνημονικὸν τοῦ p. 594 M.
ἀναμιμνῃσκομένου πανταχοῦ κρεῖττον, ὅτι τὸ μὲν λήθῃ κέκραται, τὸ δὲ
ἀμιγὲς καὶ ἄκρατον ἐξ ἀρχῆς ἄχρι τέλους διαμένει.
103 (17.) Καὶ μὴν τόν γε τοῦ ἀρχιπροφήτου πενθερὸν τοτὲ μὲν Ἰοθὸρ
τοτὲ δὲ Ῥαγουὴλ οἱ χρησμοὶ καλοῦσιν· Ἰοθὸρ μέν, ὅταν τῦφος εὐημερῇ·
μεταληφθεὶς γάρ ἐστι περισσός, περιττὸν δὲ ἀψευδεῖ βίῳ τῦφος, γέλωτα
μὲν τὰ ἴσα καὶ ἀναγκαῖα τῷ βίῳ τιθέμενος, τὰ δὲ πλεονεξίας ἄνισα
104 σεμνύνων. οὗτος καὶ ἀνθρώπεια θείων καὶ ἔθη νόμων καὶ βέβηλα ἱερῶν
καὶ θνητὰ ἀθανάτων καὶ συνόλως τὸ δοκεῖν τοῦ εἶναι προτιμᾷ. καὶ
ἐπιτολμήσας αὐτοκέλευστος εἰς τὴν τοῦ συμβούλου παρέρχεται τάξιν,
ὑφηγούμενος τῷ σοφῷ [μὴ] ἀναδιδάσκειν ἃ μόνα μανθάνειν ἄξιον, „τὰ
προστάγματα τοῦ θεοῦ καὶ τὸν νόμον“ (Exod. 18,20), ἀλλὰ ⟨μὴ⟩ τὰ
πρὸς ἀλλήλους ἀνθρώπων συμβόλαια, τῆς ἀκοινωνήτου σχεδὸν αἴτια
κοινωνίας. καὶ ὁ μέγας πάντα πειθαρχεῖ, νομίσας ἁρμόττον εἶναι μικροῖς

---

5 τῷ seclusi, τῷ post ὡς vid. add. 9 σύμβολόν ἐστι· οὕτω γὰρ καλεῖται Mang. δ' s. s. B 12. 13 ὑπαναπολεῖ coni. Hoesch., ἐπαναπολεῖ coni. Mang. 14 ἡ seclusi 16 Ῥουβὶμ codd. τόδε A ⟨τὸν⟩ λόγον conicio 19 δευτερεῖα Cantabr. Coll. S. Trin. (Mang.), fort. recte 24 ἀπλανεῖ coni. Mang. 25 ⟨καὶ⟩ ἄνισα coni. Mang. 29 μὴ secl. Mang. 30 μὴ add. Mang. (v. LXX)

μὲν τὰ μικρά, μεγάλοις δὲ τὰ μεγάλα δίκαια τίθεσθαι (ibid. 22. 24).
μεταβαλὼν δὲ πολλάκις ὁ δοκησίσοφος οὗτος καὶ μεταβὰς ἀπὸ τῶν 105
θρεμμάτων, ἃ δὴ τυφλὸς ἔλαχεν ἡνιοχεῖν, ἀναζητήσας τὴν θείαν ἀγέλην
μέρος οὐ μεμπτὸν αὐτῆς γίνεται, θαυμάσας τῆς φύσεως τὸν ἀγελάρχην
καὶ τῆς ἐπιστασίας ἀγάμενος, ᾗ χρῆται πρὸς τὴν τῶν ἑαυτοῦ θρεμ-
μάτων ἐπιμέλειαν· ἑρμηνεύεται γὰρ Ῥαγουὴλ (Exod. 2, 18) ποιμασία
θεοῦ. (18.) τὸ μὲν κεφάλαιον εἴρηται, τὰς δὲ πίστεις ὑφηγήσεται. 106
πρῶτον μὲν θεραπευτὴν αὐτὸν κρίσεως καὶ δίκης εἰσηγεῖται· ἡ γὰρ
προσηγορία τῆς Μαδιὰμ μεταληφθεῖσα ἐκ κρίσεως ὀνομάζεται. διττὸν
δὲ τοῦτο. δηλοῖ γὰρ τὸ μὲν ἔκκρισιν καὶ ἀπόκρισιν, ἣ καὶ τοῖς ἀγω-
νισταῖς κατὰ τοὺς ἱεροὺς ἀγῶνας λεγομένους εἴωθε συμβαίνειν· μυρίοι
γὰρ ἀνεπιτήδειοι φανέντες ἤδη πρὸς τῶν ἀθλοθετῶν ἐξεκρίθησαν.
οὗτοι [τε] τελεταῖς ἀνιέροις ταῖς Βεελφεγὼρ τελεσθέντες (Num. 25,3) 107
p. 595 M. καὶ τὰ τοῦ σώματος στόμια πάντα εὐρύναντες πρὸς τὴν | τῶν ἔξωθεν
ἐπιχεομένων ῥευμάτων ὑποδοχὴν — ἑρμηνεύεται γὰρ Βεελφεγὼρ ἀνω-
τέρω στόμα δέρματος — κατέκλυσαν τὸν ἡγεμόνα νοῦν καὶ ἀφεῖσαν
εἰς βυθὸν ἔσχατον, ὡς μηδ' ἀνανήξασθαι μηδὲ μικρὸν ὅσον δυνηθῆναι
ἀνασχεῖν· καὶ τοῦτο ἔπαθεν, ἕως ὁ εἰρηνικὸς καὶ ἱερεὺς τοῦ θεοῦ 108
(ibid. 12. 13) τρανός, Φινεές, ὑπέρμαχος αὐτοκέλευστος ἦλθε, φύσει
μισοπόνηρος ὢν καὶ ζήλῳ τῶν καλῶν κατεσχημένος· ᾧ σειρομάστην
λαβόντι, τὸ δ' ἐστὶν ἠκονημένον καὶ ὀξὺν λόγον, μαστεύειν καὶ ἀναζη-
τεῖν ἕκαστα ἱκανόν, ἐξεγένετο μὴ φενακισθῆναι, ῥώμῃ δὲ καρτερᾷ χρη-
σαμένῳ καταχεντῆσαι διὰ τῆς μήτρας τὸ πάθος (ibid. 7. 8), ἵνα μηδὲν
ἔτι κακὸν θεήλατον τίκτῃ. πρὸς τούτους καὶ ὁ μέγιστος ἐνίσταται 109
τῷ ὁρατικῷ γένει πόλεμος, ἐν ᾧ τῶν διαγωνισαμένων „διεφώνησεν
οὐδείς" (Num. 31,49), ἀλλ' ἄτρωτος καὶ σῷος ἐπανῆλθε, τοῖς νικητη-
ρίοις ἀναδούμενος στεφάνοις. (19.) ἓν μὲν δὴ τοῦτο ἐκ τῆς Μαδιὰμ 110
ἐδηλοῦτο· ἕτερον δὲ τὸ κριτικὸν καὶ δικαστικὸν εἶδος, ὃ καὶ κατ' ἐπι-
γαμίαν οἰκειοῦται γένει τῷ προφητικῷ. „τῷ ἱερεῖ", φησὶν οὖν, τῆς
κρίσεως καὶ τῆς δίκης „εἰσὶν ἑπτὰ θυγατέρες" (Exod. 2, 16), συμβολι-
κῶς αἱ τοῦ ἀλόγου δυνάμεις, γονή τε καὶ φωνὴ καὶ πέντε αἰσθήσεις,

---

3 θρεμμάτων Mang.: σχημάτων codd. 7 ὑφηγήσεται ⟨αὐτὸς Μωυσῆς⟩ conicio 9 ἐκ-
κρίσεως B 13 τε seclusi τελετὰς ἀνιέρους τὰς conicio 14 στόμια scripsi:
στόματα codd. ἄνωθεν coni. Mang. 16 ἀφεῖσαν (vel ἠφάνισαν?) scripsi: ἐπήεσαν
codd., ἐπίεσαν coni. Mang., ἔπεμψαν coni. Cohn 18 ἀνακῦψαι coni. Mang.
19 τρανὸς] θεραπευτὴς coni. Mang., τρανὸς ⟨λόγος⟩ conicio, sed fort. maior lacuna sta-
tuenda 20 κατεσχημένος Hoesch: κατισχημένος codd. 26 σῶος ⟨πᾶς⟩ coni.
Mang. 28 κριτικὸν Mang.: κρεῖττον codd. 30 ἦσαν ex LXX coni. Mang.

111 ποιμαίνουσαι τὰ πρόβατα τοῦ πατρός. διὰ γὰρ τῶν ἑπτὰ δυνάμεων
τούτων αἱ προβάσεις καὶ παραυξήσεις τοῦ πατρὸς νοῦ ταῖς ἐγγινομέναις
καταλήψεσι συνίστανται. παραγενόμεναι δ' ἐπὶ τὰ οἰκεῖα ἑκάστη, χρώματα μὲν καὶ σχήματα ὅρασις, φωνὰς δὲ ἀκοή, ἀτμοὺς δὲ ὄσφρησις,
χυλοὺς δὲ γεῦσις καὶ αἱ ἄλλαι πρὸς τὰ ἁρμόττοντα ἑαυταῖς, „ἀντλοῦσι“
τρόπον τινὰ τὰ ἐκτὸς αἰσθητά, „ἕως ἂν πληρώσωσι τὰς τῆς ψυχῆς
δεξαμενάς, ἐξ ὧν ποτίζουσι τὰ πρόβατα τοῦ πατρός“ (ibid.), τὴν καθαρωτάτην λέγω τοῦ λογισμοῦ ποίμνην, ἀσφάλειαν καὶ κόσμον περιφέ-
112 ρουσαν ἐν ταὐτῷ. παραγενόμενοι δ' οἱ φθόνου καὶ βασκανίας ἑταῖροι,
πονηρᾶς ἀγέλης ἡγεμόνες, ἐλαύνουσιν αὐτὰς τῆς κατὰ φύσιν χρήσεως
(ibid. 17). αἱ μὲν γὰρ τὰ ἐκτὸς ἄγουσιν εἴσω πρὸς οἷα δικαστὴν καὶ
113 βασιλέα τὸν νοῦν, ἵν' ἄρχοντι χρώμεναι τῷ βελτίστῳ κατορθῶσιν· οἱ
δ' ἀντικάθηνται διώκοντες καὶ τἀναντία παραγγέλλοντες, ἔξω τὸν νοῦν
ἐπισπᾶσθαι καὶ ἀγώγιμα παραδιδόναι τὰ φαινόμενα, μέχρις „ἀναστὰς“
| ὁ τέως ἠρεμεῖν τρόπος δοκῶν φιλάρετος καὶ ἐπιθειάσας, ὄνομα Μωυσῆς, p. 596 M.
ὑπερασπίσει καὶ „ῥύσεται αὐτὰς“ τῶν κατεχόντων, ποτίμοις λόγοις
114 θρέψας τὴν τοῦ πατρὸς ποίμνην (ibid.). ἐκφυγοῦσαι δὲ τὴν ἐπίθεσιν
τῶν διανοίας μὲν ἐχθρῶν, τὰ δὲ περίαπτα ὥσπερ ἐν τραγῳδίᾳ μόνα
ἐζηλωκότων οὐκέτι πρὸς Ἰοθόρ, ἀλλὰ πρὸς Ῥαγουὴλ ἀφικνοῦνται (ibid.
17. 18). καταλελοίπασι μὲν γὰρ τὴν πρὸς τῦφον συγγένειαν, ᾠκείωνται
δὲ ἀγωγῇ νομίμῳ, μοῖρα τῆς ἱερᾶς ἀγέλης ἀξιώσασαι γενέσθαι, ἧς ὁ
θεῖος ἀφηγεῖται λόγος, ὡς δηλοῖ τοὔνομα· ποιμασία γάρ ἐστι θεοῦ.
115 (20.) ποίμνης δ' ἐπιμελουμένου τῆς ἰδίας, ἐξ ἑτοίμου ἀγαθὰ πάρεστιν
ἀθρόα τοῖς πειθαρχοῦσι καὶ μὴ ἀφηνιάζουσι τῶν θρεμμάτων. ᾄδεται
δὲ καὶ ἐν ὕμνοις ᾆσμα τοιοῦτον· „κύριος ποιμαίνει με, καὶ οὐδέν με
116 ὑστερήσει“ (Psalm. 22, 1). πεύσεται οὖν εἰκότως ὁ ποιμένι ⟨καὶ⟩
βασιλεῖ χρώμενος τῷ θείῳ λόγῳ νοῦς τῶν ἑπτὰ θυγατέρων αὐτοῦ· διὰ
τί συντείνασαι μετὰ πολλοῦ τάχους τήμερον ἀφῖχθε (Exod. 2, 18);
πρότερον γὰρ ὅτ' ἐνετυγχάνετε τοῖς αἰσθητοῖς, μακρὸν χρόνον ἔξω διατρίβουσαι μόλις ἐπανῄειτε δελεαζόμεναι πρὸς αὐτῶν· νυνὶ δ' οὐκ οἶδ'
117 ὅ τι παθοῦσαι συντόνως παρὰ τὸ εἰωθὸς ἐπανήκετε. φήσουσιν οὖν, ὅτι

---

7 ποτίζουσι Mang.: πίνουσι codd. 9 αὐτῷ per errorem Mang. 11 καὶ om. B 13 ἔξω Mang.: ἐξὸν codd., ἐξ ὧν coni. et post ἀγώγιμα add. αἰσθήσει Markland 14 ἀγώγιμον παραδιδόναι τοῖς φαινομένοις (πρὸς τὰ φαινόμενα Cohn) conicio ποιμαινόμενα Mang. 15 Μωσῆς codd. 16 ὑπερασπιεῖ conicio αὐτὰς scripsi: αὐτὰ codd. κατατρεχόντων coni. Mang. 21 ἀξιωθεῖσαι coni. Mang. 23 ⟨τούτου⟩ τῆς conicio 26 πεύσεται Mang.: πευστέον codd. καὶ addidi 31 συντόνως Mang.: συντόμως codd.

οὐχ αὗται γεγόνασιν αἴτιαι τοῦ τὸν δίαυλον ἐπὶ τὰ αἰσθητὰ καὶ ἀπὸ
τῶν αἰσθητῶν ἀπνευστὶ καὶ μετὰ πολλῆς ῥύμης δραμεῖν, ἀλλ' ὁ ῥυσά-
μενος αὐτὰς ἄνθρωπος ἀπὸ τῶν τῆς ἀγρίας ἀγέλης ποιμένων. Αἰγύπ-
τιον δὲ καλοῦσι Μωυσῆν (ibid. 19), τὸν οὐ μόνον Ἑβραῖον, ἀλλὰ καὶ
τοῦ καθαρωτάτου γένους ὄντα Ἑβραίων, ὃ ἱερᾶται μόνον, οὐ δυνάμεναι
τὴν ἑαυτῶν φύσιν ὑπερβῆναι. μεθόριοι γὰρ αἱ αἰσθήσεις οὖσαι [τῶν] 118
νοητῶν τε καὶ αἰσθητῶν ἀγαπητὸν ἐὰν ἑκατέρων ἐφιῶνται, ἀλλὰ μὴ
ὑπὸ μόνων τῶν αἰσθητῶν ἄγωνται· τὸ δ' οἴεσθαι ὅτι μόνοις ποτὲ τοῖς
κατὰ διάνοιαν ἐπανέξουσιν εὐήθεια πολλή. οὗ χάριν ἀμφότερα τιθέασι,
διὰ μὲν τοῦ „ἄνθρωπος“ τὰ μόνῳ λόγῳ θεωρητὰ μηνύουσαι, διὰ δὲ
τοῦ „Αἰγύπτιος“ παριστᾶσαι τὰ αἰσθητά. ταῦτ' ἀκούσας καὶ πάλιν 119
πεύσεται· „ποῦ ἐστιν“ ὁ ἄνθρωπος (ibid. 20); ἐν τίνι μέρει τῶν καθ'
ὑμᾶς οἰκεῖ τὸ λογικὸν εἶδος; „ἵνα τί αὐτὸν“ ῥᾳδίως οὕτω „καταλελοί-
πατε“ (ibid.), ἀλλ' οὐχ ἅπαξ ἐντυχοῦσαι περιέσχετε κτῆμα κάλλιστον
καὶ λυσιτελέστατον ἑαυταῖς; ἀλλ' εἰ μὴ πρότερον, νῦν „αὐτὸν καλέσατε, 120
ὅπως ἂν φάγῃ“ (ibid.) καὶ τραφῇ ταῖς ὑμετέραις βελτιώσεσι καὶ πρὸς
p. 597 M. αὐτὸν οἰκειώσεσι. τάχα γὰρ καὶ οἰκήσει | παρ' ἡμῖν καὶ τὸ πτηνὸν
καὶ [τὸ] θεοφόρητον καὶ προφητικὸν γένος, ὄνομα Σεπφώραν, ἄξεται
(ibid. 21).

(21.) Ταῦτα καὶ περὶ τούτων. ἀλλὰ καὶ τὸν Ὡσηὲ μετονομάζει 121
Μωυσῆς εἰς τὸν Ἰησοῦν (Num. 13,17), τὸν ποιὸν εἰς ἕξιν μεταχα-
ράττων. Ὡσηὲ μὲν γὰρ ἑρμηνεύεται ποιὸς οὗτος, Ἰησοῦς δὲ σωτηρία
κυρίου, ἕξεως ὄνομα τῆς ἀρίστης. ἕξεις γὰρ τῶν κατ' αὐτὰς ποιῶν 122
ἀμείνους, ὡς μουσικὴ μουσικοῦ καὶ ἰατρικὴ ἰατροῦ καὶ παντὸς τεχνίτου
τέχνη ποιά, καὶ αἰδιότητι καὶ δυνάμει καὶ τῇ περὶ τὰ θεωρήματα ἀπταί-
στῳ ἀκρότητι. ἡ μὲν γὰρ ἕξις ἀίδιον, ἐνεργοῦν, τέλειον, ὁ δὲ ποιὸς
θνητόν, πάσχον, ἀτελές· κρεῖττον δὲ θνητοῦ μὲν τὸ ἄφθαρτον, πάσχον-
τος δὲ τὸ δρῶν αἴτιον, τὸ δὲ τέλειον ἀτελοῦς. οὕτω μετεχαράχθη καὶ 123
τὸ τοῦ λεχθέντος νόμισμα πρὸς ἰδέαν βελτίονα. ὁ δὲ Χάλεβ καὶ
αὐτὸς ὅλος ἀλλάττεται· „ἐγένετο“ γάρ φησι „πνεῦμα ἕτερον ἐν αὐτῷ“
(Num. 14,24), ὡσανεὶ τοῦ ἡγεμονικοῦ μεταβαλόντος πρὸς ἄκραν τελειό-
τητα. καὶ γὰρ ἑρμηνευθείς ἐστι Χάλεβ πᾶσα καρδία· τοῦτο δὲ σύμ- 124

1 νοητὰ coni. Mang. 3 ἄνθρωπος ⟨Αἰγύπτιος⟩ coni. Mang. 4 Μωσῆν codd. 6 τῶν seclusi 7 ἐφίωνται codd. 10 μόνῳ om. A 11 post καὶ fort. add. part. 13 οἰκεῖ scripsi: οἰκεῖον codd., οἰκεῖ οὖν Mang. 14 περιέσχετε] περιεχόμεναι ἐκτήσασθε conicio 16 δεξιώσεσι coni. Mang. 18 τὸ seclusi 21 Μωσῆς codd. 25 ποιά] πᾶσα bene coni. Mang. 27 πάσχων B²

βολον τοῦ μὴ ἐκ μέρους ἐπαμφοτερίζουσαν καὶ ἀντιρρέπουσαν, ἀλλ' ὅλην δι' ὅλου τὴν ψυχὴν μεταβεβλῆσθαι πρὸς τὸ δόκιμον, κἂν εἴ τι μὴ πάνυ ἐπαινετὸν εἴη, λόγοις τοῖς περὶ μετανοίας ἐξοικίσασαν· οὕτω γὰρ ἐκνιψαμένη τὰ καταρρυπαίνοντα καὶ τοῖς φρονήσεως λουτροῖς χρησαμένη καὶ καθαρσίοις ἔμελλε φαιδρύνεσθαι.

125 (22.) Τὸν δὲ ἀρχιπροφήτην συμβέβηκεν εἶναι πολυώνυμον. ὁπότε μὲν γὰρ τοὺς χρησμῳδουμένους χρησμοὺς ἑρμηνεύων ὑφηγεῖται, προσαγορεύεται Μωυσῆς· ὁπότε δ' εὐχόμενος εὐλογεῖ τὸν λεών, ἄνθρωπος θεοῦ (Deut. 33,1)· ἡνίκα δὲ Αἴγυπτος τὰς ὑπὲρ τῶν ἀσεβηθέντων δίκας ἐκτίνει, τοῦ βασιλεύοντος τῆς χώρας Φαραὼ θεός (Exod. 7, 1).
126 διὰ τί δέ; ὅτι τὸ μὲν νόμους μεταγράφειν ἐπ' ὠφελείᾳ τῶν ἐντευξομένων ψηλαφῶντός ἐστι καὶ διὰ χειρὸς ἔχοντος ἀεὶ τὰ θεῖα καὶ ἀνακεκλημένου (Exod. 24,1) ὑπὸ τοῦ θεσπιῳδοῦ νομοθέτου καὶ εἰληφότος παρ' αὐτοῦ μεγάλην δωρεάν, ἑρμηνείαν καὶ προφητείαν νόμων ἱερῶν· μεταληφθεὶς γὰρ Μωυσῆς καλεῖται λῆμμα, δύναται δὲ καὶ ψηλάφημα
127 διὰ τὰς εἰρημένας αἰτίας. τὸ δέ γε εὔχεσθαι καὶ εὐλογεῖν οὐκ ἔστι τοῦ τυχόντος, ἀλλ' ἀνθρώπου τὴν πρὸς γένεσιν μὴ ἑωρακότος συγγένειαν, προσκεκληρωκότος δὲ ἑαυτὸν τῷ πάντων ἡγεμόνι καὶ πατρί·
128 ἀγαπητὸν γάρ, εἴ τῳ ἐξεγένετο εὐλογιστίᾳ χρῆσθαι, τὸ δέ γε καὶ ἑτέροις περιποιεῖν τὸ ἀγαθόν, τοῦτο μείζονος καὶ τελειοτέρας ψυχῆς καὶ ὡς ἀληθῶς θειαζούσης | ἣν ἐπάγγελμα, ἧς ὁ τυχὼν εἰκότως θεὸς κεκλή- p. 598 M.
σεται. θεὸς δὲ ὁ αὐτὸς οὗτος ἅτε σοφὸς ὢν καὶ διὰ τοῦτ' ἄρχων παντὸς ἄφρονος, κἂν εἰ τοῖς βασιλείοις σκήπτροις ἐκεῖνος ἐφιδρύοιτο μεγα-
129 λαυχῶν καὶ διὰ τοῦτο οὐχ ἥκιστα. βούλεται γὰρ ὁ τῶν ὅλων ἡγεμών, κἂν ἀφόρητα ἀδικοῦντές τινες μέλλωσι κολάζεσθαι, παραιτητὰς ἔχειν τοὺς ἐντευξομένους ὑπὲρ αὐτῶν, οἳ τὴν τοῦ πατρὸς ἵλεω δύναμιν ἀπομιμούμενοι μετριώτερον καὶ φιλανθρωπότερον χρήσονται ταῖς τιμωρίαις· θεοῦ δὲ τὸ εὐεργετεῖν ἴδιον.

130 (23.) Ἀποχρώντως οὖν περὶ τῆς τῶν ὀνομάτων ἀλλαγῆς τε καὶ μεταθέσεως εἰρηκότες ἐπὶ τὰ ἑξῆς τῆς ἐφόδου τρεψόμεθα κεφάλαια.

---

3 εἴη scripsi: ἢ codd. ἐξοικίζουσαν B οὕτω] ὄντως Hoesch. 5 καθαρσίοις Mang.: καθαρσίῳ codd. 6 δ' B 7 θεσπιζομένους conicio 8 Μωσῆς codd. 11 δή conicio ἀναγράφειν conicio 13 θεσπιῳδοῦ] θεοῦ coni. Mang., ὑπὸ τοῦ θεσπιῳδοῦ secl. Cohn 15 Μωσῆς A 17 μὴ ἡρμοκότος coni. Mang., μὲν ὑπερεωρακότος vel μὲν ἀποδεδρακότος conicio 19 εὐλογίᾳ Mang. 20 τελεωτέρας B 21 θεὸς] ἄνθρωπος θεοῦ vid. leg. 23 σκήπτροις] θρόνοις conicio 23. 24 ἐφιδρύοιτο μεγαλαυχῶν. καὶ διὰ τοῦτο οὐχ ἥκιστα ⟨εὔχεται⟩ coni. Mang. 25 μέλλουσι B

εἵπετο δ' εὐθὺς ἡ γένεσις Ἰσαάκ· καλέσας γὰρ τὴν μητέρα αὐτοῦ
Σάρραν ἀντὶ Σάρας φησὶ τῷ Ἀβραάμ· „δώσω σοι ⟨ἐξ αὐτῆς⟩ τέκνον“
(Gen. 17, 16). ἐν μέρει δ' ἕκαστον ἀκριβωτέον. ὁ τοίνυν κυρίως 131
διδοὺς ὁτιοῦν ἴδιόν τι πάντως ἑαυτοῦ δίδωσιν· εἰ δὲ τοῦτ' ἀψευδές
ἐστι, γένοιτ' ἂν Ἰσαὰκ οὐχ ὁ ἄνθρωπος, ἀλλ' ὁ συνώνυμος τῆς ἀρίστης
τῶν εὐπαθειῶν, χαρᾶς, γέλως, ὁ ἐνδιάθετος υἱὸς θεοῦ τοῦ διδόντος
αὐτὸν μείλιγμα καὶ εὐθυμίαν εἰρηνικωτάταις ψυχαῖς. ἄτοπον μὲν γὰρ 132
ἕτερον ἄνδρα εἶναι, ἐξ ἑτέρου δὲ νόθα καὶ μοιχίδια παιδοποιεῖσθαι· καὶ
μὴν τόν γε θεὸν ἄνδρα τῆς φιλαρέτου διανοίας Μωυσῆς ἀναγράφει δι'
ὧν φησιν· „ἰδὼν κύριος, ὅτι μισεῖται Λεία, ἤνοιξε τὴν μήτραν αὐτῆς“
(Gen. 29, 31). ἔλεον γὰρ καὶ οἶκτον λαβὼν τῆς ὑπὸ τοῦ θνητοῦ γένους 133
μισουμένης ἀρετῆς καὶ ψυχῆς τῆς φιλαρέτου στειροῖ μὲν * * * τὴν
φιλόκαλον φύσιν, ἀνοίγνυσι δὲ τῆς εὐπαιδίας πηγὴν εὐτοκίαν αὐτῇ χαρι-
ζόμενος. ἡ δὲ Θάμαρ ἐγκύμων τε γενομένη θείων σπερμάτων καὶ τὸν 134
μὲν σπείραντα οὐκ ἰδοῦσα — λέγεται γὰρ τότε „ἐγκαλύψασθαι τὸ πρό-
σωπον“ (Gen. 38, 15), ὡς Μωυσῆς, ἡνίκα ἀπεστράφη εὐλαβούμενος
τὸν θεὸν ἰδεῖν (Exod. 3, 6) —, τὰ δὲ σύμβολα καὶ τὰ μαρτύρια δια-
θρήσασα καὶ παρ' αὐτῇ δικάσασα, ὅτι θνητὸς ταῦτ' οὐ δίδωσιν, ἀνέ-
κραγεν· „οὗτινος ταῦτ' ἐστίν, ἐξ ἐκείνου ἐν γαστρὶ ἔχω“ (Gen. 38,25).
τίνος ὁ δακτύλιος, ἡ πίστις, ἡ τῶν ὅλων σφραγίς, ἡ ἀρχέτυπος ἰδέα, 135
ᾗ τὰ πάντ' ἀνείδεα ὄντα καὶ ἄποια σημειωθέντα ἐτυπώθη; τίνος δὲ
καὶ ⟨ὁ⟩ ὁρμίσκος, ἡ [ὁ κόσμος] εἱμαρμένη, ἀκολουθία καὶ ἀναλογία τῶν
συμπάντων εἱρμὸν ἔχουσα ἀδιάλυτον; τίνος δὲ καὶ ἡ ῥάβδος (ibid.), τὸ
ἐρηρεισμένον, τὸ ἀκράδαντον, τὸ ἄτρεπτον, ἡ νουθεσία, ὁ σωφρονισμός,
ἡ παιδεία; τὸ σκῆπτρον, ἡ βασιλεία, τίνος; ἆρ' οὐχὶ μόνου θεοῦ; τοιγα- 136
p. 599 M. ροῦν ὁ ἐξομολογητικὸς | τρόπος, Ἰούδας, ἡσθεὶς αὐτῆς τῷ κατεχομένῳ
καὶ θεοφορήτῳ παρρησιάζεται λέγων· „δεδικαίωται, ἧς ἕνεκα αἰτίας ἐγὼ
οὐδενὶ θνητῷ αὐτὴν ἔδωκα“ (ibid. 26), ἀσεβὲς ἡγούμενος μιαίνειν βεβή-

2 ἐξ αὐτῆς addidi, v. § 141 3 κυρίως om. B 5 Ἰσαὰκ post ἄνθρωπος transpon. B 6 υἱὸς] λόγος coni. Mang. 7. 8 γὰρ ἕτερον μὲν conicio 9 Μωσῆς codd. 12 lacunam statuit Cohn 13 φιλόκοσμον Mang. παιδείας Mang. 14 καὶ om. B 16 Μωσῆς codd. 18 εἰκάσασα coni. Mang. ταῦτα B 21 πάντα B 22 ὁ addidi ἡ scripsi: ἢ codd. ὁ κόσμος seclusi; videtur vocum ὁ ὁρμίσκος explicatio, ἡ κόσμου εἱμαρμένη vel ὁ κόσμος, ἡ εἱμαρμένη coni. Mang.

6 v. ad p. 185,4. 22. 23 cf. Gercke, Chrysippea fr. 42. 56.

137 λοις τὰ θεῖα. (24.) μηνύει δὲ καὶ ἡ τρόπον μητρὸς ἀποκυήσασα
φρόνησις τὸ αὐτομαθὲς γένος, ὅτι θεὸς αὐτὸ ἔσπειρε· τεχθέντος γὰρ
ἐπισεμνύνεται φάσκουσα· „γέλωτά μοι ἐποίησεν ὁ κύριος“ (Gen. 21, 6),
ἴσον τῷ τὸν Ἰσαὰκ διέπλασεν, ἐδημιούργησεν, ἐγέννησεν, ἐπειδὴ γέλωτι
138 ὁ αὐτὸς ἦν. ἀλλ' οὐ παντός ἐστιν ἀκοῦσαι τὸ ἄκουσμα τοῦτο, πολλοῦ
τοῦ δεισιδαιμονίας ῥυέντος παρ' ἡμῖν κακοῦ καὶ τὰς ἀνάνδρους καὶ
ἀγεννεῖς ψυχὰς ἐπικλύσαντος. διὸ προστίθησιν· „ὃς γὰρ ἂν ἀκούσῃ,
συγχαρεῖταί μοι“ (ibid.), ὡς ὀλίγων ὄντων, οἷς τὰ ὦτα ἀναπέπταται
καὶ ἀνωρθίασται πρὸς τὴν τῶν ἱερῶν τούτων λόγων ὑποδοχήν, οἳ διδά-
σκουσιν, ὡς ἄρα μόνου θεοῦ σπείρειν καὶ γεννᾶν τὰ καλὰ ἔργον ἴδιον·
139 πρὸς οὓς οἱ ἄλλοι πάντες κεκώφηνται. στόματι δ' οἶδά ποτε προφη-
τικῷ θεσπισθέντα διάπυρον τοιόνδε χρησμόν· „ἐξ ἐμοῦ ὁ καρπός σου
εὕρηται. τίς σοφὸς καὶ συνήσει ταῦτα; συνετὸς καὶ γνώσεται αὐτά“
(Hos. 14, 9. 10); τὸν δ' ὑπηχοῦντα καὶ κρούοντα ἀόρατον ἀοράτως τὸ
φωνῆς ὄργανον ἐνενόουν καὶ ἐθαύμαζον ἅμα καταπληττόμενος καὶ τὸ
140 εἰρημένον. εἰ γάρ τι ἀγαθὸν ἐν τοῖς οὖσι * * * μᾶλλον δὲ καὶ ὁ
σύμπας οὐρανός τε καὶ κόσμος, εἰ δεῖ τἀληθὲς εἰπεῖν, θεοῦ καρπός
ἐστιν, ὑφ' οἷα δένδρου συνεχόμενος τῆς ἀιδίου καὶ ἀειθαλοῦς φύσεως.
συνετῶν δ' ἐστὶ καὶ σοφῶν ἀνδρῶν τὰ τοιαῦτα γινώσκειν καὶ ὁμολογεῖν,
οὐκ ἀσήμων.
141 (25.) Τί μὲν οὖν ἐστι τὸ „δώσω σοι“ λέλεκται, τὸ δ' „ἐξ αὐτῆς“
(Gen. 17, 16) μηνυτέον. οἱ μὲν οὖν τὸ ἔξω γινόμενον αὐτῆς ἐδέξαντο
νομίζοντες ἄριστον κεκρίσθαι παρὰ ὀρθῷ λόγῳ τὸ μηδὲν ἀποφαίνειν
τὴν ψυχὴν ἴδιον αὐτῆς καλόν, ἀλλὰ προσγινόμενον ἔξωθεν κατὰ τὴν
142 μεγαλόνοιαν τοῦ χάριτας ὀμβροῦντος θεοῦ· οἱ δὲ τὸ παραυτίκα τάχος·
ἴσον γὰρ εἶναι τὸ ἐξ αὐτῆς τῷ παραχρῆμα, εὐθύς, ἀνυπερθέτως, ἄνευ
μελλήσεως. τοῦτον δὲ τὸν τρόπον αἱ θεῖαι φιλοῦσι συμβαίνειν δωρεαὶ
φθάνουσαι καὶ τὰ χρόνων διαστήματα. τρίτοι δέ εἰσιν οἱ τὴν ἀρετὴν
μητέρα τοῦ γενητοῦ εἶναι λέγοντες ἀγαθοῦ, λαμβάνουσαν τὰς γονὰς
143 παρὰ μηδενὸς θνητοῦ. πρὸς δὲ τοὺς ζητοῦντας, εἰ στεῖρα τίκτει —
Σάρραν γὰρ εἰσάγοντες πάλαι στεῖραν οἱ χρησμοὶ νῦν ὅτι γενήσεται
μήτηρ ὁμολογοῦσι —, λεκτέον ἐκεῖνο, ὅτι γυνὴ μὲν στεῖρα τίκτειν οὐ

---

1 καὶ om. B  2 φρόνησις om. B  6 τοῦ] τῆς coni. Cohn  7 ἀγενεῖς A  8 συγχαρεῖταί A: οὐ χαριεῖταί B  12 διάπυρον] διάφορον coni. Mang.  13 εὑρήσεται Hoesch.  16 post οὖσι lacunam statuo  20 ἀσυνέτων vel ἀνεπιστημόνων coni. Mang.  23 ἄριστα v  24 αὐτῆς codd.  25 μεγάλην εὔνοιαν coni. Mang.  27 μελήσεως B  29 γεννητοῦ codd.  31 εἰσαγαγόντες conicio

p. 600 M. πέφυκεν, ὥσπερ | οὐδὲ τυφλὸς βλέπειν οὐδὲ κωφὸς ἀκούειν, ψυχὴ δ' ἡ
πρὸς τὰ φαῦλα ἐστειρωμένη καὶ παθῶν ἀμετρίας καὶ κακιῶν ἄγονος
μόνη σχεδὸν εὐτοκίᾳ χρῆται, τὰ ἀξιέραστα τίκτουσα, τὸν ἀριθμὸν ἑπτὰ
κατὰ τὸ ᾀδόμενον ᾆσμα ὑπὸ τῆς χάριτος, Ἄννης, ἥ φησιν· „στεῖρα
ἔτεκεν ἑπτά, ἡ δὲ πολλὴ ἐν τέκνοις ἠσθένησε“ (I Reg. 2, 5). καλεῖ 144
δὲ πολλὴν μὲν τὴν ἐκ μιγάδων καὶ συγκλύδων λογισμῶν συμπεφορη-
μένην διάνοιαν, ἣ διὰ τὸ πλῆθος τῶν περὶ αὐτὴν ὄχλων καὶ θορύβων
ἀνήκεστα κακὰ τίκτει, στεῖραν δὲ τὴν μὴ παραδεχομένην θνητὸν ὡς
γόνιμον σπόρον, ἀλλὰ τὰς τῶν φαύλων ὁμιλίας καὶ συνουσίας ανα-
λίσκουσάν τε καὶ διαφθείρουσαν, περιεχομένην δὲ τῆς ἑβδόμης καὶ τοῦ
κατ' αὐτὴν εἰρηνικωτάτου· τούτου γὰρ ἐγκύμων τε εἶναι βούλεται καὶ
μήτηρ λέγεσθαι.

(26.) Τοιοῦτον ἦν καὶ τὸ „ἐξ αὐτῆς“· τὸ δὲ τρίτον, ὃ δὴ „τέκνον“ 145
ἐλέγετο, νῦν διασκεψώμεθα. πρῶτον μὲν τοίνυν ἄξιον θαυμάσαι τὸ μὴ
πολλὰ τέκνα φάναι δώσειν, ἓν δὲ χαριεῖσθαι μόνον. διὰ τί δέ; ὅτι τὸ
καλὸν οὐκ ἐν πλήθει μᾶλλον ἢ δυνάμει πέφυκεν ἐξετάζεσθαι. μουσικὰ 146
μὲν γάρ, εἰ τύχοι, καὶ γραμματικὰ καὶ γεωμετρικὰ καὶ δίκαια καὶ φρό-
νιμα καὶ ἀνδρεῖα καὶ σώφρονα πάμπολλά ἐστιν· αὐτὸ δὲ τοῦτο ⟨τὸ⟩
μουσικὸν καὶ γραμματικὸν καὶ γεωμετρικόν, ἔτι δὲ δίκαιον καὶ σῶφρον
φρόνιμόν τε καὶ ἀνδρεῖον ἓν αὐτὸ μόνον τὸ ἀνωτάτω, μηδὲν ἰδέας
ἀρχετύπου διαφέρον, ἀφ' οὗ τὰ πολλὰ καὶ ἀμύθητα ἐκεῖνα διεπλάσθη.
ταῦτα μὲν περὶ τοῦ ἓν φάναι δώσειν· νυνὶ δὲ τέκνον εἴρηκεν οὐκ ἀμελῶς 147
οὐδ' ἀπερισκέπτως, ἀλλ' ἕνεκα τοῦ παραστῆσαι, ὅτι οὐκ ὀθνεῖον οὐδ'
ὑποβολιμαῖον οὐδ' αὖ θετὸν ἢ νόθον, ἀλλὰ γνήσιον καὶ ἀστεῖον [ὅτι
οὐκ ὀθνεῖον] ὄντως ἀστῆς ψυχῆς ἔγγονον. παρὰ γὰρ τὸν τόκον τὸ
τέκνον εἴρηται. πρὸς ἔμφασιν οἰκειότητος, ἣ φυσικῶς ἁρμόζεται τέκνα
γονεῦσιν.

(27.) „Εὐλογήσω“ δέ φησιν „αὐτήν, καὶ ἔσται εἰς ἔθνη“ (Gen. 148
17, 16), δηλῶν ὅτι οὐ μόνον ἡ γενικὴ ἀρετὴ ὡς ἂν εἰς ἔθνη τὰ προσ-
εχέστατα εἴδη τέμνεται καὶ τὰ ὑπὸ τοῖς εἴδεσιν, ἀλλὰ καὶ ὅτι συμ-
p. 601 M. βέβηκεν ὡς ζῴων οὕτω καὶ πραγμάτων | εἶναι τρόπον τινὰ ἔθνη, οἷς
μέγα ὄφελος ἀρετὴν προσεῖναι. τὰ γὰρ ἔρημα καὶ χῆρα φρονήσεως 149

---

5 ἠσθένησεν B  6. 7 συμπεφυρμένην B  9. 10 ἀποδιδράσκουσάν τε conicio  10 διαφεύγουσαν coni. Mang.  11 εἰρηνικοῦ τρόπου vel ἠρεμαιοτάτου coni. Mang.  15 δή conicio  18 τὸ add. Hoesch.  24 ἀστὸν coni. Mang.  24. 25 ὅτι οὐκ ὀθνεῖον seclusi, irrepserunt ex lin. 23  29 δηλῶν ὅτι Mang.: δηλονότι codd.  29. 30 προσεχέστατα Mang.: πρὸς ἔσχατα τὰ codd.

πάντα ἐπιζήμια, καθάπερ οἷς οὐκ ἐπιλάμπει ἥλιος ἐξ ἀνάγκης ζοφερά. ἀρετῇ μὲν γὰρ γεωπόνος ἄμεινον φυτῶν ἐπιμελεῖται, ἀρετῇ δὲ καὶ ἡνίοχος ἅρμα ἐν ἱπποδρομίαις ἄπταιστον ἐλαύνει, ἀρετῇ δὲ καὶ κυβερνήτης [οἰακονόμος] οἰακονομεῖ κατὰ πλοῦν τὸ σκάφος. ἀρετὴ καὶ οἰκίας καὶ πόλιν καὶ χώραν βέλτιον οἰκεῖσθαι παρεσκεύασεν, οἰκονομικούς,
150 πολιτικούς, κοινωνικοὺς ἄνδρας δημιουργοῦσα. ἀρετὴ καὶ νόμους ἀρίστους εἰσηγήσατο καὶ τὰ εἰρήνης κατεβάλετο πανταχοῦ σπέρματα· ἐπεὶ καὶ ὑπὸ τῆς ἐναντίας ἕξεως πέφυκε γίνεσθαι τἀναντία, πόλεμος, ἀνομία, κακοπολιτεῖαι, συγχύσεις, δύσπλοιαι, περιτροπαί, ἡ ἐν ταῖς ἐπιστήμαις ἀργαλεωτάτη νόσος, πανουργία, ἀφ' ἧς ἀντὶ τεχνῶν κακοτεχνίαι προσερρήθησαν. ἀναγκαίως οὖν εἰς ἔθνη χωρήσει ἡ ἀρετή, ζῴων ὁμοῦ καὶ πραγμάτων μεγάλα καὶ ἀθρόα συστήματα, ἐπὶ τῇ τῶν δεχομένων ὠφελείᾳ.

151 (28.) Λέγεται δὲ ἑξῆς, ὅτι „καὶ βασιλεῖς ἐθνῶν ἐξ αὐτῆς ἔσονται“ (ibid.). οὓς γὰρ κυοφορεῖ καὶ ἀποτίκτει, πάντες εἰσὶν ἡγεμόνες; οὐ κλήρῳ, πράγματι ἀβεβαίῳ, καὶ χειροτονίᾳ ἐμμίσθων τὰ πολλὰ ἀνθρώπων πρὸς ὀλίγον χρόνον αἱρεθέντες, ἀλλ' ὑπὸ φύσεως εἰς ἀεὶ κατασταθέντες
152 αὐτῆς. οὗτος δ' οὐκ ἐμὸς μῦθος, ἀλλὰ χρησμῶν τῶν ἱερωτάτων ἐστίν, ἐν οἷς εἰσάγονταί τινες λέγοντες τῷ Ἀβραάμ· „βασιλεὺς παρὰ θεοῦ εἶ σὺ ἐν ἡμῖν“ (Gen. 23,6), οὐ τὰς ὕλας ἐξετάσαντες, — τίνες γὰρ ἦσαν ἀνδρὶ μετανάστῃ καὶ μηδὲ πόλιν οἰκοῦντι, πολλὴν δὲ καὶ ἐρήμην καὶ ἄβατον ἀλωμένῳ γῆν; — ἀλλὰ τὴν ἐν τῇ διανοίᾳ βασιλικὴν ἕξιν κατανοήσαντες, ὥστ' ἀνομολογῆσαι κατὰ Μωυσῆν μόνον τὸν σοφὸν βασιλέα.
153 καὶ γὰρ ὄντως ὁ μὲν φρόνιμος ἡγεμὼν ἀφρόνων ἐστὶν εἰδὼς ἃ χρὴ ποιεῖν τε καὶ ἃ μή, ὁ δὲ σώφρων ἀκολάστων τὰ περὶ τὰς αἱρέσεις καὶ φυγὰς ἠκριβωκὼς οὐκ ἀμελῶς, δειλῶν δὲ ὁ ἀνδρεῖος ἃ δεῖ ὑπομένειν καὶ ἃ μὴ σαφῶς ἐκμαθών, ἀδίκων δὲ ὁ δίκαιος ἰσότητος ἐν τοῖς ἀπονεμητέοις ἀρρεποῦς στοχαζόμενος, ὁ δ' ὅσιος ἀνοσίων [ἐν] ἀρίσταις ὑπολήψεσι ταῖς περὶ θεοῦ κατεσχημένος.

154 (29.) Ταύταις εἰκὸς ἦν ταῖς ὑποσχέσεσι τὸν νοῦν ἐκφυσηθέντα μετέωρον ἀρθῆναι. ὁ δὲ πρὸς | ἔλεγχον ἡμῶν, οἳ καὶ ἐπὶ τοῖς p. 602 M.

---

4 οἰακονόμος seclusi, vid. add. adverbium (βεβαίως?) οἰκονομεῖ A οἰκίαν conicio 5 χώρας B 7 κατεβάλλετο B 10 ὑφ' conicio 10. 11 προσερρέθησαν v, προσερρύησαν coni. Mang., προσευρέθησαν conicio 11 χωρήσει] διεχωρίσθη coni. Mang. 18 ⟨ὁ⟩ μῦθος conicio 23 ἀνωμολογῆσθαι coni. Mang. Μωσῆν codd. 28 ἐν seclusi ἐναρέτοις coni. Mang. 29 κατεσχημένος Mang.: κατισχημένος codd. 30 ταῖς A

μικροτάτοις εἰώθαμεν ὑψαυχενεῖν, πίπτει καὶ εὐθὺς γελᾷ (Gen. 17, 17)
τὸν ψυχῆς γέλωτα, σκυθρωπάζων μὲν τῷ προσώπῳ, μειδιῶν δὲ
τῇ διανοίᾳ, πολλῆς καὶ ἀκράτου χαρᾶς εἰσοικισαμένης. ἀμφότερα 155
δὲ κατὰ τὸν αὐτὸν χρόνον συμβαίνει τῷ μείζονα ἐλπίδος ἀγαθὰ κληρο-
νομοῦντι σοφῷ, γελᾶν τε καὶ πίπτειν· τὸ μὲν εἰς πίστιν τοῦ μὴ μεγα-
λαυχεῖν διὰ κατάγνωσιν τῆς θνητῆς οὐδενείας, τὸ δ' εἰς εὐσεβείας
βεβαίωσιν διὰ τὸ μόνον χαρίτων καὶ ἀγαθῶν νομίζειν τὸν θεὸν αἴτιον.
πιπτέτω μὲν δὴ καὶ σκυθρωπαζέτω γένεσις, φυσικῶς — ἀνίδρυτός τε 156
γὰρ καὶ ἐπίλυπος ἐξ ἑαυτῆς ἐστιν —, ἀνιστάσθω δὲ ὑπὸ θεοῦ καὶ
γελάτω· τὸ γὰρ ἔρεισμα αὐτῆς καὶ ἡ χαρὰ μόνος οὗτός ἐστιν. εἰκότως 157
δ' ἂν ἀπορήσειέ τις, πῶς ἐνδέχεται γελᾶν τινα, μήπω γέλωτος εἰς τὴν
καθ' ἡμᾶς γένεσιν ἐλθόντος· ὁ γὰρ Ἰσαάκ ἐστι γέλως, ὃς κατὰ τὴν
παροῦσαν σκέψιν οὔπω γεγένηται. ὥσπερ γὰρ οὔτε βλέπειν χωρὶς
ὀφθαλμῶν οὔτ' ἀκούειν χωρὶς ὤτων οὔτε δίχα μυκτήρων ὀσφραίνεσθαι
οὐδ' αὖ ταῖς ἄλλαις αἰσθήσεσιν ἄνευ τῶν κατ' αὐτὰς ὀργάνων χρῆσθαι
οὔτε καταλαμβάνειν δίχα λογισμοῦ, οὕτως οὐδὲ γελᾶν εἰκὸς ἦν, εἰ μὴ
γέλως ἐδεδημιούργητο. τί οὖν χρὴ λέγειν; πολλὰ ἡ φύσις τῶν μελ- 158
λόντων γίνεσθαι διά τινων συμβόλων προμηνύει. ἢ τὸν νεοττὸν οὐχ
ὁρᾷς, ὅς, πρὶν ἀέρι ἐπινήχεσθαι, πτερύσσεσθαι καὶ τοὺς ταρσοὺς δια-
σείειν φιλεῖ, τὴν ἐλπίδα τοῦ πέτεσθαι δυνήσεσθαι προευαγγελιζόμενος;
ἀμνὸν δ' ἢ χίμαρον ἢ βοῦν ἔτι νεογνὸν οὐχ εἶδες, μήπω τῶν κεράτων 159
ἐκπεφυκότων, ὁπότε διερεθίζει τις, ἀντιβεβηκότα καὶ τοῖς μέρεσιν ἐκείνοις
ὁρμῶντα πρὸς ἄμυναν, ἐξ ὧν ἡ φύσις τὰ ἀμυντήρια ὅπλα ἀναδίδωσιν;
ἔν γε μὴν ταῖς θηριομαχίαις οὐκ εὐθὺς οἱ ταῦροι τοὺς ἀντιτεταγμένους 160
ἀναπείρουσιν, ἀλλ' εὖ μάλα διαβάντες καὶ μετρίως τὸν αὐχένα χαλά-
σαντες καὶ θάτερον ἐκκλίναντες καὶ ταυρωπὸν ὄντως ἀποβλεψάμενοι
τηνικαῦτα ἐπίασιν, ἔργου ἐξόμενοι. τὸ δὲ γινόμενον ὄρουσιν ἐκάλεσαν,
οἷς ὀνοματοποιεῖν ἔθος, ὁρμήν τινα πρὸ ὁρμῆς ὑπάρχουσαν. (30.)
ὅμοιον δή τι καὶ ἡ ψυχὴ τὰ πολλὰ πάσχει· ἐλπιζομένου γὰρ τἀγαθοῦ 161

---

5 πίπτειν τε καὶ γελᾶν conicio 7 τὸ scripsi: τοῦ codd. μόνον Mang.: μόνων codd. 9 ἐπίλυπος Mang.: ἐπίλυτος codd. 12 ἡμᾶς Mang.: ἡμέραν codd. 13 γεγέννηται codd. 15 οὔτ' conicio 16 οὕτω A 21 χίμαρρον B 22 διερεθίζοι conicio 27 ἔργον Hoesch. ὄρουσιν Mang.: ἔρυσιν codd. 28 πρὸς Hoesch. 29 δή τι scripsi: δῆτα codd. τοῦ ἀγαθοῦ B

---

27. 28 ὄρουσις] v. Stobaei Ecl. II 87,7—9 Wachsmuth.

προγήθει, ὡς τρόπον τινα χαίρειν πρὸ χαρᾶς καὶ εὐφραίνεσθαι πρὸ
εὐφροσύνης. εἰκάσαι δ' ἄν τις αὐτὸ καὶ τῷ περὶ τὰ φυτὰ συμβαί-
νοντι· καὶ γὰρ ταῦτα, ὁπότε μέλλοι καρποφορεῖν, προβλαστάνει καὶ προ-
162 ανθεῖ | καὶ χλοηφορεῖ. τὴν ἡμερίδα ἄμπελον ἴδε, ὡς ὑπὸ φύσεως p. 603 M.
τεθαυματούργηται, κλληματίσιν, ἕλιξι, μοσχεύμασι, πετάλοις, οἰνάροις, ἃ
φωνὴν ⟨μονον⟩οὐκ ἀφιέντα μηνύει τὴν ἐπὶ τῷ μέλλοντι καρπῷ τοῦ
δένδρου χαράν. καὶ ἡ ἡμέρα μέντοι προγελᾷ πρὸς βαθὺν ὄρθρον μέλ-
λοντος ἀνίσχειν ἡλίου· αὐγὴ γὰρ αὐγῆς ἄγγελος καὶ φῶς φωτὸς ἀμυ-
163 δρότερον τηλαυγεστέρου προεξέρχεται. ἥκοντι μὲν οὖν ἤδη τῷ ἀγαθῷ
συνομαρτεῖ χαρά, προσδοκωμένῳ δὲ ἐλπίς· ἀφικομένῳ μὲν ⟨γὰρ⟩ χαί-
ρομεν, μέλλοντος δὲ ἐλπίζομεν, καθάπερ καὶ ἐπὶ τῶν ἐναντίων ἔχειν
συμβέβηκεν· ἡ μὲν γὰρ παρουσία τοῦ κακοῦ λύπην, ἡ δὲ προσδοκία
φόβον ἐγέννησεν. φόβος δὲ ἄρα ἦν οὐδὲν ἢ λύπη πρὸ λύπης, ὥσπερ
ἐλπὶς χαρὰ πρὸ χαρᾶς· ὃ γάρ, οἶμαι, πρὸς λύπην φόβος, τοῦτο πρὸς
164 χαρὰν ἐλπίς. σημεῖα δὲ τοῦ λεγομένου καὶ αἰσθήσεις ἐναργῆ πέρι-
φέρουσι· γεύσεως γὰρ ὄσφρησις προκαθημένη τὰ πρὸς ἐδωδὴν καὶ πόσιν
σχεδὸν ἅπαντα προδικάζει· ἀφ' οὗ καὶ προγευστρίδα αὐτὴν ἐκάλεσαν
εἰς τὴν ἐνάργειαν ἀπιδόντες εὐθυβόλως ἔνιοι. πέφυκε δὲ καὶ ἡ ἐλπὶς
ὡσανεὶ τοῦ μέλλοντος ἀγαθοῦ προγεύεσθαι καὶ διασυνιστάνειν αὐτὸ
165 ψυχῇ τῇ βεβαίως κτησομένῃ. κἂν ταῖς ὁδοιπορίαις μέντοι πεινήσας
τις καὶ διψήσας, πηγὰς ἐξαίφνης ἰδὼν ἢ δένδρα παντοῖα ἡμέροις βρί-
θοντα καρποῖς, μήπω φαγὼν ἢ πιών, ἀλλὰ μηδ' ἀρυσάμενος ἢ δρεψά-
μενος ἐλπίδι τῆς ἀπολαύσεως προπληροῦται. εἶτ' οἰόμεθα ταῖς μὲν τοῦ
σώματος τροφαῖς καὶ πρὸ τῆς χρήσεως ἑστιᾶσθαι δύνασθαι, τὰς δὲ τῆς
διανοίας οὐχ ἱκανὰς εἶναι καὶ ὁπότε μέλλοιεν ἑστιᾶν προευφραίνειν;

166 (31.) Ἐγέλασεν οὖν εἰκότως μήπω δοκοῦντος ἐν τῷ θνητῷ γένει σπα-
ρῆναι τοῦ γέλωτος· καὶ οὐ μόνον αὐτός, ἀλλὰ καὶ ἡ γυνὴ γελᾷ. λέγεται
γὰρ αὖθις· „ἐγέλασε δὲ Σάρρα ἐν ἑαυτῇ λέγουσα· οὔπω μέν μοι γέγονεν
ἕως τοῦ νῦν“ (Gen. 18,12) ἄνευ μελέτης ἀπαυτοματίζον ἀγαθόν· ὁ δ'
ὑποσχόμενος „κύριός μου καὶ πρεσβύτερος“ (ibid.) πάσης γενέσεώς

---

1 προγήθη Hoesch., προγηθεῖ Mang. 3 ταῦτα scripsi: αὐτὰ codd. 5 ἕλυξι B 6 μονον addidi 8 αὐγῆς Mang.: αὐτῆς codd. 10 γὰρ addidi 11 μέλλοντος scripsi: μέλλοντι codd., μέλλον coni. Cohn ἐπελπίζομεν coni. Mang. 18 ἐνάργειαν scripsi: ἐνέργειαν codd. εἰς τὴν ἐνέργειαν ἀπιδόντες post ἔνιοι transpos. B 22 ἀρυσάμενος Mang.: ἱδρυσάμενος codd., ὑδρευσάμενος ed. Paris. in mg. 23 τοῦ om. B(?)v 24 ἑστιᾶσθαι ed. Paris. in mg.: αἰτιᾶσθαι AB

ἐστιν, ᾧ πιστεύειν ἀναγκαῖον. ἅμα μέντοι καὶ ἀναδιδάσκει, ὅτι ἥ τ' 167
ἀρετὴ χαρτόν ἐστι φύσει καὶ ὁ ἔχων αὐτὴν αἰεὶ γέγηθε, καὶ τοὐναντίον ὅτι ἥ τε κακία λυπηρὸν καὶ ὁ ἔχων ὀδυνηρότατος. ἔτι νῦν θαυμάζομεν τῶν φιλοσόφων τοὺς λέγοντας τὴν ἀρετὴν εὐπάθειαν εἶναι; ἰδοὺ γὰρ 168
Μωυσῆς χορηγὸς ἀνεύρηται τοῦ σοφοῦ τούτου δόγματος, χαίροντα καὶ γελῶντα παραγαγὼν τὸν ἀστεῖον· ἀλλαχόθι δὲ οὐκ αὐτὸν μόνον, ἀλλὰ καὶ τοὺς εἰς ταὐτὸν ἀφικνουμένους αὐτῷ. „ἰδών γάρ σε" φησί „χαρή-
p. 604 M. σεται ἐν αὐτῷ" (Exod. 4,14), | ὡς τῆς τοῦ σπουδαίου προσόψεως αὐτὸ μόνον ἱκανῆς οὔσης ἀναπληρῶσαι τὴν διάνοιαν εὐφροσύνης, ἀποφορτισαμένην τὸ ἀπεχθέστατον ψυχῆς κακῶν, λύπην. φαύλῳ δ' οὐδενὶ χαίρειν 169
ἐφεῖται, καθάπερ καὶ ἐν προφητικαῖς ᾄδεται ῥήσεσι· „χαίρειν οὐκ ἔστι τοῖς ἀσεβέσιν, εἶπεν ὁ θεός" (Ies. 48,22). λόγος γὰρ ὄντως καὶ χρησμός ἐστι θεῖος, σκυθρωπὸν καὶ ἐπίλυπον καὶ μεστὸν βαρυδαιμονίας εἶναι τὸν παντὸς μοχθηροῦ βίον, κἂν προσποιῆται τῷ προσώπῳ μειδιᾶν. οὐ γὰρ τοὺς Αἰγυπτίους χαίρειν ἂν εἴποιμι πρὸς ἀλήθειαν, ἡνίκα τοὺς 170
ἀδελφοὺς Ἰωσὴφ ἥκοντας ἤκουσαν, ἀλλ' ἐπιμορφάζειν καθυποκρινομένους τὸ δοκεῖν. οὐδενὶ γὰρ ἐπιστὰς ἔλεγχος ἀφρόνων δι' ἡδονῆς ἐστιν, ὥσπερ οὐδ' ἰατρὸς ἀκρατεῖ νοσοῦντι. πόνος μὲν γὰρ τοῖς συμφέρουσι, ῥᾳστώνη δὲ τοῖς βλαβεροῖς ἕπεται· πόνου δὲ ῥᾳστώνην προκρίναντες εἰκότως τοῖς τὰ συμφέροντα εἰσηγουμένοις ἀπεχθάνονται. ἐπειδὰν οὖν 171
ἀκούσῃς ὅτι „ἐχάρη Φαραὼ καὶ ἡ θεραπεία αὐτοῦ" (Gen. 45,16) διὰ τὴν τῶν ἀδελφῶν Ἰωσὴφ ἄφιξιν, μὴ νόμιζε πρὸς ἀλήθειαν ἥδεσθαι, εἰ μὴ κατ' ἐκεῖνο ἴσως, ὅτι προσδοκῶσιν αὐτὸν μεταβαλεῖν ἀπὸ τῶν

---

2 ἀεὶ B   4 εὐπάθειαν scripsi: ἀπάθειαν codd.   5 Μωσῆς codd.   9. 10 ἀποφορτισαμένης v   11 ἐφίεται D (Ant. Mel.)   καὶ om. D (Ant. Mel.)   12 εἶπεν ὁ D (Ant. Mel.): εἶπε codd.   λόγος] νόμος coni. Mang.   16 ἐπιμορφάζειν Mang.: ὑπομορφάζειν codd.   19 προκρίνοντες Ant. Mel., προκρίναντος D   20 εἰκότως om. D Ant. Mel.   τοῖς] τοὺς D   εἰσηγουμένοις ἀπεχθάνονται Ant. Mel.: ἡγουμένους ἀπεχθάνονται D, ἀπεχθάνονται εἰσηγουμένοις codd.

---

1 sqq. cf. Cic. Tusc. V 43.   4 Zeller III 1 p. 268 adnot. 2.   10—12 DR fol. 237v περὶ τῶν μετονομαζομένων Anton Mel. II 32 col. 1084 Φίλωνος: τῶν φαύλων οὐδενὶ — θεός. Anton. Mel. pergit usque ad lin. 14 βίον.   17 DR fol. 257r Φίλωνος Anton. Mel. II 60 col. 1153: οὐδενὶ τῶν φαύλων ἐπιστὰς ἔλεγχος δι' ἡδονῆς ἐστιν.   18—20 DR fol. 213r Φίλωνος ἐκ τῶν περὶ μετονομαζομένων Anton. Mel. II 51 col. 1128 Φίλωνος: πόνος μὲν τοῖς — ἀπεχθάνονται. — 19 DR fol. 142r DH fol. 256v Φίλωνος: ῥᾳστώνη τοῖς βλαβεροῖς ἕπεται. in DH sequitur ἡ ἐξ ἔθους καὶ σχολῆς ἀργία πρᾶγμα ἐπίβουλον, in DR et apud Anton. Mel. post locum ad lin. 18 laudatum locus ad vol. I p. 238,1—3 adlatus, tum ἡ ἐξ ἔθους .... sequitur.

ψυχῆς ἀγαθῶν, οἷς συνετράφη, πρὸς τὰς τοῦ σώματος ἀνηνύτους ἐπι-
θυμίας, τὸ ἀρχαῖον καὶ προγονικὸν ἀρετῆς συγγενοῦς νόμισμα παρακό-
172 ψαντα. (32.) τοιαῦτα δ' ἐλπίσας ὁ φιλήδονος νοῦς αὔταρκες οὐχ ὑπο-
λαμβάνει τοὺς νεωτέρους καὶ ἄρτι πρὸς τὰ σωφροσύνης γυμνάσια φοι-
τῶντας ἐπιθυμιῶν δελέασιν ἀγκιστρεύσασθαι, ἀλλὰ δεινὸν ἐνόμισεν εἶναι,
εἰ μὴ καὶ τὸν πρεσβύτερον ὑπάξεται λόγον, οὗ τὰ λυττῶντα πάθη
173 παρήβηκε. λέγει γὰρ αὖ τὰς ζημίας ὡς ὠφελείας προτείνων· „παρα-
λαβόντες τὸν πατέρα καὶ τὰ ὑπάρχοντα ὑμῶν ἥκετε πρὸς μέ" (ibid. 18)
ἐπ' Αἰγύπτου καὶ τοῦ φοβεροῦ τούτου βασιλέως, ὃς καὶ τὰ πατρῷα
ἡμῶν καὶ τὰ ὄντως ὑπάρχοντα ἀγαθὰ ἔξω προεληλυθότα τοῦ σώματος
— φύσει γάρ ἐστιν ἐλεύθερα — ἀντισπᾷ βιαζόμενος δεσμωτηρίῳ πάνυ
πικρῷ παραδοῦναι, καταστήσας εἱρκτοφύλακα, ὥς φησι τὸ λόγιον, Πεν-
τεφρῆ τὸν σπάδοντα καὶ ἀρχιμάγειρον (Gen. 39, 1) σπάνει κεχρημένον
τῶν καλῶν καὶ τὰ γεννητικὰ τῆς ψυχῆς ἐκτετμημένον, ἔτι δὲ σπείρειν
καὶ φυτεύειν τι τῶν κατὰ παιδείαν ἀδυνατοῦντα, μαγείρου τρόπον κτεί-
νοντα τὰ ζῶντα καὶ κατὰ μέρη καὶ κατὰ μέλη κόπτοντα καὶ διαιροῦντα
καὶ ἐν ἀψύχοις καὶ νεκροῖς χαλινδούμενον οὐ σώμασι μᾶλλον ἢ πράγ-
μασι καὶ ταῖς περιέργοις παραρτύσεσιν ἀνεγείροντα καὶ ἀνερεθίζοντα τὰς
174 τῶν ἀνηνύτων παθῶν ὁρμάς, ἃς εἰκὸς ἦν τιθασεύοντα πραῦναι. ὁ δὲ καὶ
„δώσω" φησίν „ὑμῖν πάντων τῶν ἀγαθῶν Αἰγύπτου, καὶ | φάγεσθε τὸν p. 605 M.
μυελὸν ⟨τῆς⟩ γῆς" (Gen. 45, 18). ἀλλ' ἐροῦμεν αὐτῷ· σώματος ἀγαθὸν
οὐ προσιέμεθα οἱ τὰ ψυχῆς ἰδόντες· ἱκανὸς γὰρ ὁ τριπόθητος ἐκείνων
ἵμερος ἐντακεὶς πάντων ὅσα τῇ σαρκὶ φίλα λήθην ἐργάσασθαι.
175 (33.) Τοιαύτη μέν τις ἡ ψευδώνυμος χαρὰ τῶν ἀφρόνων, ἡ δὲ
ἀληθὴς πρότερον εἴρηται, μόνοις ἀστείοις ἐφαρμόζουσα. „πεσὼν οὖν
ἐγέλασεν" (Gen. 17, 17), οὐχ ἀπὸ θεοῦ πεσών, ἀλλ' ἀφ' ἑαυτοῦ· ἔστη
176 μὲν γὰρ περὶ τὸν ἄτρεπτον, ἔπεσε δὲ ἀπὸ τῆς ἰδίας οἰήσεως. διὸ καὶ
τοῦ μὲν δοκησισόφου καταβληθέντος φρονήματος, ἀνεγερθέντος δὲ τοῦ
φιλοθέου καὶ περὶ τὸν ἀκλινῆ μόνον ἱδρυθέντος, γελάσας εὐθὺς „εἶπε
τῇ διανοίᾳ· εἰ τῷ ἑκατονταετεῖ γενήσεται, καὶ ἡ Σάρρα ἐνενήκοντα
177 ἐτῶν οὖσα τέξεται" (ibid.); μὴ ⟨μέν⟩τοι νομίσῃς, ὦ γενναῖε,

---

1 συνετράφη B (in ras. τ): συνεστράφη A, συνανεστράφη coni. Mang. 7 παρήβασκε v 8 ἥκετε Hoesch.: ἥκατε codd. 9 ἐπ' ⟨ἀγαθὰ⟩ conicio, certe corruptela latet 10 ἡμῶν om. Hoesch. προεληλυθότος Hoesch. 16 alt. κατὰ fort. secl. 17 κυλινδούμενον Mang. 19 τιθασεύοντα Mang.: τιθασσεύοντας codd. 20. 21 τὸν μυελὸν ex LXX Mang.: τῶν μυελῶν codd. 21 τῆς ex LXX addidi 29 ἱδρυθέντος scripsi: ἱδρυνθέντος codd. ἐννενήκοντα codd. 31 μέν addidi

τὸ „εἰπεῖν“ οὐχὶ τῷ στόματι, ἀλλὰ „τῇ διανοίᾳ“ προσχεῖσθαι παρέργως,
ἀλλὰ καὶ πάνυ ἐξητασμένως. διὰ τί; ὅτι ἔοικε διὰ τοῦ φάσκειν „εἰ τῷ
ἑκατονταετεῖ γενήσεται“ περὶ τῆς Ἰσαὰκ ἐνδοιάσαι γενέσεως, ἐφ' ᾗ
πρότερον ἐλέγετο πιστεῦσαι, ὡς ἐδήλου τὸ χρησθὲν πρὸ μικροῦ τόδε·
„οὐ κληρονομήσει σε οὗτος, ἀλλ' ὃς ἐξελεύσεται ἐκ σοῦ“· εἶτ' εὐθὺς
εἶπεν· „ἐπίστευσε δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιο-
σύνην“ (Gen. 15,4. 6). ἐπειδὴ τοίνυν ἀκόλουθον οὐκ ἦν ἐνδοιάσαι τῷ 178
πεπιστευκότι, πεποίηκε τὸν ἐνδοιασμὸν οὐ πολυχρόνιον, μηκυνόμενον μέχρι
γλώττης καὶ στόματος, ἀλλ' αὐτοῦ περὶ τὴν ὀξυκίνητον διάνοιαν ἱστά-
μενον. „τῇ γὰρ διανοίᾳ“ φησίν „εἶπεν,“ ἣν τῶν εἰς ποδώκειαν ἐπαι-
νουμένων οὐδὲν ἂν ἰσχύσαι παραδραμεῖν, ἐπεὶ καὶ τὰς πτηνὰς φύσεις
ἁπάσας ἔφθακεν. ἀφ' οὗ μοι δοκεῖ καὶ τῶν παρ' Ἕλλησι ποιητῶν ὁ 179
δοκιμώτατος „ὡς εἰ πτερὸν ἠὲ νόημα“ φάναι, δηλῶν τὸ τῆς ὀξύτητος
τάχος, κατ' ἐπίτασιν ὕστερον τοῦ πτεροῦ τὸ νόημα θείς. ἐπὶ πολλὰ
γὰρ ἡ διάνοια ἐν ταὐτῷ πράγματα ὁμοῦ καὶ σώματα στείχει μετὰ
ἀλέκτου φορᾶς, καὶ ἐπὶ τὰ γῆς καὶ θαλάττης αὐτίκα πέρατα φθάνει
συναιροῦσα καὶ τέμνουσα τὰ ἀπειρομεγέθη διαστήματα· κατὰ δὲ τὸν
αὐτὸν χρόνον τοσοῦτον ἀπὸ γῆς ἀναπηδᾷ, ὡς δι' ἀέρος εἰς αἰθέρα ἀνέρ-
χεσθαι καὶ μόλις περὶ τὴν ἐσχάτην τῶν ἀπλανῶν ἁψῖδα ἵστασθαι. τὸ 180
γὰρ ἔνθερμον καὶ διάπυρον ἠρεμεῖν αὐτὴν οὐκ ἐᾷ· διὸ πολλὰ ὑπερβάλ-
λουσα καὶ τοῦ παντὸς αἰσθητοῦ τούτου ὅρου ἔξω φέρεται πρὸς τὸν ἐκ τῶν
ἰδεῶν παγέντα συγγενικῶς. γέγονεν οὖν περὶ τὸν ἀστεῖον ἡ τροπὴ βραχεῖα,
p. 606 M. ἄτομος, ἀμερής, οὐκ αἰσθητή, | νοητὴ δὲ μόνον, τρόπον τινὰ ἄχρονος.
(34.) ἀλλ' ἴσως ἄν τις εἴποι· τί οὖν γε, ὅτι πεπιστευκὼς ἴχνος ἢ σκιὰν 181
ἢ αὖραν ἀπιστίας δέχεται τὸ παράπαν; οὗτος δὲ οὐδὲν ἕτερόν μοι βού-
λεσθαι δοκεῖ ἢ τὸν γενόμενον ἀποφαίνειν ἀγένητον καὶ τὸν θνητὸν ἀθά-
νατον καὶ τὸν φθαρτὸν ἄφθαρτον καὶ τὸν ἄνθρωπον, εἰ θέμις εἰπεῖν,

---

1 τὸ] τῷ conicio   εἶπεν Mang.   3 ἐνδοιάσαι B: ἐνδοιάζειν A   ᾗ] ἧς conicio   9 αὐτὸ ⟨μόνον⟩ conicio   15 πράγματι et σώματι Hoesch.   17 συνδιαιροῦσα coni. Mang.   συντέμνουσα conicio   ἀπειρομεγέθη διαστήματα Mang.: ἄπειρα μεγέθη διὰ στόματος codd.   20. 21 ὑπερβαίνουσα coni. Mang.   21 τούτου ⟨κόσμου τοὺς⟩ ὅρους conicio   22 συγγενικῶν coni. Mang.   23 ἀμερίς B, ἀχαρής Mang.   24 τί; οὐ γέλοιον ὅτι conicio, τί οὖν; ὅ ποτε πεπιστευκὼς coni. Mang.   25 αὖραν Mang.: ὥραν codd.   26 ἀγέννητον codd.

---

13 Hom. Od. η 36.

182 θεόν. τὴν γὰρ πίστιν, ἧς ἔλαχεν ἄνθρωπος, οὕτω βέβαιόν φησι δεῖν
εἶναι, ὡς μηδὲν διαφέρειν τῆς περὶ τὸ ὄν, τῆς ἀρτίου καὶ περὶ πάντα
πλήρους. λέγει γὰρ Μωυσῆς ἐν ᾠδῇ τῇ μείζονι· „θεὸς πιστός, καὶ
183 οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ“ (Deut. 32,8). πολλὴ δὲ ἄγνοια νομίζειν,
τὰς θεοῦ ἀρετὰς τὰς ἀρρεπεῖς καὶ παγιωτάτας χωρῆσαι ψυχὴν ἀνθρώπου
δύνασθαι· ἀγαπητὸν γὰρ εἰκόνας αὐτῶν κτήσασθαι δυνηθῆναι, πολλοῖς
καὶ μεγάλοις ἀριθμοῖς τῶν ἀρχετύπων ἐλαττουμένας· καὶ μήποτ' εἰκότως·
184 ἀκράτους μὲν γὰρ ἀναγκαῖον εἶναι τὰς θεοῦ ἀρετάς, ἐπειδὴ καὶ ὁ θεὸς
οὐ σύγκριμα, φύσις ὢν ἁπλῆ, κεκραμένας δὲ τὰς τῶν ἀνθρώπων, ἐπειδὴ
καὶ ἡμεῖς γεγόναμεν κράματα, θείου καὶ θνητοῦ συγκερασθέντων καὶ
κατὰ τοὺς τῆς τελείας μουσικῆς λόγους ἁρμοσθέντων· τὸ δ' ἐκ πλειό-
185 νων συνεστὼς φυσικὰς πρὸς ἕκαστον τῶν μερῶν ἀνθολκὰς ἔχει. εὐδαί-
μων δ' ὅτῳ ἐξεγένετο τὸν πλείω τοῦ βίου χρόνον πρὸς τὴν ἀμείνω καὶ
θειοτέραν μοῖραν ταλαντεύειν· ἅπαντα γὰρ τὸν αἰῶνα ἀμήχανον, ἐπεὶ
καὶ τὸ ἀντίπαλον θνητὸν ἄχθος ἐστὶν ὅτε ἀντέρρεψε καὶ ἐφεδρεῦσαν
ἐκαιροφυλάκησε τὰς ἀκαιρίας τοῦ λογισμοῦ, ὡς ἀντιβιάσασθαι. (35.)
186 „πεπίστευκεν οὖν Ἀβραὰμ τῷ θεῷ“ (Gen. 15,6), ἀλλ' ὡς ἄνθρωπος
πεπίστευκεν, ἵνα τὸ ἴδιον τοῦ θνητοῦ γνῷς καὶ μάθῃς οὐκ ἄλλως αὐτῷ
γενέσθαι, εἰ μὴ ἐκ φύσεως, τὴν τροπήν. ἀλλ' εἰ βραχεῖα καὶ ἀκαρὴς
γέγονεν, ἄξιον εὐχαριστεῖν· πολλοὶ γὰρ ἕτεροι τῇ ῥύμῃ καὶ φορᾷ κατα-
187 κλυσθέντες καὶ τῇ βίᾳ εἰσάπαν ἠφανίσθησαν. οὐκ ἔστι γάρ, ὦ γενναῖε,
κατὰ τὸν ἱερώτατον Μωυσῆν ἀρτίπους, ἡ ἐν θνητῷ σώματι ἀρετή,
ἀλλὰ παραπλήσιόν τι πάσχουσα νάρκῃ, μικρὸν ὅσον ὑποχωλαίνουσα.
„ἐνάρκησε“ γάρ φησι „τὸ πλάτος τοῦ μηροῦ, ᾧ καὶ ἐπέσκαζεν“ (Gen.
188 32,25. 31). ἴσως δ' ἂν τῶν εὐθαρσεστέρων εἴποι τις παρελθών, ὅτι
οὐδὲ ἀπιστοῦντός ἐστιν ἡ προφορά, ἀλλ' εὐχομένου, ἵν', εἰ μέλλοι τῶν
εὐπαθειῶν ἡ ἀρίστη γεννᾶσθαι, χαρά, μὴ ἑτέροις ἀριθμοῖς μᾶλλον ἢ
τοῖς ἐνενήκοντα καὶ ἑκατὸν τεχθῇ (Gen. 17,17), ἵνα τὸ | τέλειον ἀγαθὸν p. 607 M.
189 τελείοις ἀριθμοῖς εἰς γένεσιν ἔλθῃ. τέλειοι δ' οἱ λεχθέντες ἀριθμοί,
καὶ μάλιστα κατὰ τὰς ἱερωτάτας ἀναγραφάς. ἴδωμεν δ' αὐτῶν ἑκάτερον·

---

1 φασι Mang. 3 Μωσῆς codd. 4 ἄνοια Mang. 5 ἀρεπεῖς A
6 αὐτὸν Hoesch. 19 ἀκαρὴς ed. Par. in mg.: ἀχαρίς codd., ἄχρονος Mang.
21 καὶ τῇ βίᾳ] τῆς βίας conicio 22 Μωσῆν codd. 26 οὐδὲ] οὐκ
conicio 28 ἐνενήκοντα καὶ ἑκατὸν scripsi: ἐννενηκονταέταις οὖσι codd.,
ἑκατονταέταις Mang. 30 ἑκάτερον scripsi: ἑκάτερα codd.

---

12—14 DL fol. 139r Φίλωνος ἐκ τῶν περὶ μετονομαζομένων: εὐδαίμων ὅτῳ—ἅπαντα.

Σὴμ εὐθέως μέν, ὁ υἱὸς τοῦ δικαίου Νῶε, πρόγονος δὲ τοῦ ὁρα-
τικοῦ γένους, „ἑκατὸν ἐτῶν εἶναι λέγεται, ἡνίκα ἐγέννησε τὸν Ἀρφαξάτ“
(Gen. 11,10), ὃς ἑρμηνεύεται συνετάραξε ταλαιπωρίαν· καλόν γε ἔγγονον
ψυχῆς κλονεῖν καὶ συγχεῖν καὶ διαφθείρειν τὴν ταλαίπωρον καὶ γέμουσαν
κακῶν ἀδικίαν. ἀλλὰ καὶ „Ἀβραὰμ ἄρουραν φυτεύει“ (Gen. 21,33) 190
χρώμενος ἑκατοστῷ λόγῳ πρὸς ἀναμέτρησιν τοῦ χωρίου, καὶ Ἰσαὰκ
„ἑκατοστεύουσαν εὑρίσκει κριθήν“ (Gen. 26,12). καὶ τὴν αὐλὴν τῆς
ἱερᾶς σκηνῆς Μωυσῆς κατασκευάζει πήχεσιν ἑκατόν (Exod. 27,9), τὸ
πρὸς ἀνατολὰς καὶ δύσεις ἐκμετρούμενος διάστημα. ἔστι δὲ καὶ ἀπαρχῆς 191
ἀπαρχὴ ὁ ἑκατοστὸς λόγος, ὃν Λευῖται τοῖς ἱερωμένοις ἀπάρχονται
(Num. 18,28)· λαβοῦσι γὰρ αὐτοῖς τὰς δεκάτας παρὰ τοῦ ἔθνους διεί-
ρηται καθάπερ ἀπὸ κτημάτων οἰκείων τοῖς ἱερεῦσι διδόναι ὡς δεκάτην
λόγων ἱεράν. πολλὰ δ' ἂν τις καὶ ἄλλα σκοπῶν εὕροι πρὸς ἔπαινον 192
τοῦ λεχθέντος ἀριθμοῦ τοῖς νόμοις ἐμφερόμενα, πρὸς δὲ τὸ παρὸν διεξ-
αρκεῖ τὰ εἰρημένα. ἀλλ' ἐὰν τῶν ἑκατὸν ἀφέλῃς δεκάτην ἱερὰν ἀπαρχὴν
τῷ τῆς ψυχῆς φέροντι καὶ αὔξοντι καὶ πληροῦντι καρποὺς θεῷ, ἕτερον
ἀριθμὸν ⟨τέλειον⟩ τὸν ἐνενήκοντα ἀπολείψεις. πῶς γὰρ οὐ τέλειος, μεθό-
ριος ὢν πρώτης καὶ δεκάτης, καθ' ὃν διακρίνεται τὰ ἅγια τῶν ἁγίων
τρόπον καταπετάσματος τοῦ μέσου (Exod. 26,33), ᾧ τὰ ὁμογενῆ δια-
στέλλεται κατὰ τὰς ἐν τοῖς εἴδεσι τομάς. (36.) ὁ μὲν οὖν ἀστεῖος 193
ἐλάλει τῇ διανοίᾳ τὰ ἀστεῖα ὄντως, ὁ δὲ φαῦλος ἑρμηνεύει ἔστιν ὅτε
παγκάλως τὰ καλά, πράττει δὲ αἰσχρῶς τὰ αἴσχιστα, καθάπερ καὶ
Συχὲμ ὁ ἔγγονος ἀνοίας. Ἐμὼρ γάρ ἐστι πατρός, ὃς μεταληφθεὶς ὄνος
καλεῖται, αὐτὸς δὲ ἑρμηνευθείς ἐστιν ὦμος, πόνου σύμβολον. ἄθλιος
δὲ καὶ ταλαιπωρίας μεστὸς πόνος, ὃν ἄνοια γεννᾷ, ὥσπερ ὠφέλιμος,
ᾧ συγγενὴς ἀγχίνοια. φασὶ γοῦν οἱ χρησμοὶ ὅτι „ἐλάλησε κατὰ τὴν 194
διάνοιαν τῆς παρθένου“ ταπεινώσας αὐτὴν πρότερον ὁ Συχέμ (Gen.
34,2. 3). ἆρ' οὐκ ἐξητασμένως ἐλέχθη τὸ „ἐλάλησε κατὰ τὴν διάνοιαν
τῆς παρθένου“, μονονοὺκ εἰς δήλωσιν τοῦ τἀναντία οἷς εἶπεν εἰργασ-
p. 608 M. μένου; Δεῖνα γάρ ἐστιν ἡ ἀδέκαστος κρίσις, ἡ | πάρεδρος θεοῦ δίκη,

---

4 fort. οἷόν τε add. 6 χρώμενος Markland: χώματος codd. 8 Μωσῆς codd. 11 παρὰ ex περὶ corr. $B^2$ 12. 13 ὡς δεκάτην λόγων ἱεράν] ἑτέρας δεκάτας ⟨ἑκατοστὸν⟩ λόγον περιεχούσας (v. § 2) vel δεκάτην ὡς ἀπαρχὴν ἱεράν conicio, δεκάτην ἑκαστοστῷ λόγῳ ἱερὰν coni. Mang. 16 τῆς] τοὺς conicio τὴν ψυχὴν $B^2$ 17 τέλειον add. Mang. ἐννενήκοντα codd. διαλείψεις per errorem Mang. 18 ⟨δευτέρας⟩ δεκάτης conicio 19 post μέσου multa, quibus de nonagenarii numeri vi ageretur, excidisse coni. Mang. 21 ⟨μὲν⟩ ἔστιν conicio 23 ὄνος man. recentissima in mg. A (Hoesch.): ὦμος AB 28 οὐκ Mang.: οὖν codd. ἐλαλήθη B 29 μόνον οὐκ codd.

195 ἡ ἀειπάρθενος· ἑρμηνεύεται γὰρ ἑκάτερον Δεῖνα, κρίσις ἢ δίκη. ταύτην οἱ ἐπιχειροῦντες ἄφρονες διαφθείρειν διὰ τῶν καθ' ἑκάστην ἡμέραν βουλευμάτων καὶ ἐπιτηδευμάτων εὐπρεπείᾳ λόγου διαδιδράσκουσι τὸν ἔλεγχον. χρὴ γοῦν αὐτοὺς ἢ ἀκόλουθα τοῖς λεγομένοις πράττειν ἢ ἀδικοῦντας ἡσυχάζειν· ἥμισυ γάρ, φασί, κακοῦ ἡσυχία· καθὰ καὶ Μωυσῆς ἐπιτιμῶν τῷ πρεσβείων μὲν ἀξιώσαντι γένεσιν, δευτερείων δὲ τὸν ἄφ-
196 θαρτον θεόν φησιν· „ἥμαρτες, ἡσύχασον“ (Gen. 4,7). τὸ γὰρ ἐκτραγῳδεῖν καὶ ἐπικομπάζειν τὰ κακὰ διπλοῦν ἁμάρτημα. σχεδὸν δ' οἱ πολλοὶ πεπόνθασι τοῦτο· λέγουσι μὲν γὰρ ἀεὶ τῇ παρθένῳ ἀρετῇ τὰ φίλα καὶ δίκαια, καιρὸν δ' οὐδένα παριᾶσιν, ἐν ᾧ δυνηθέντες αὐτὴν οὐχ ὑβριοῦσι καὶ κακώσουσι. ποία γὰρ πόλις οὐκ ἔστι μεστὴ τῶν τὴν
197 ἀειπάρθενον ὑμνούντων ἀρετήν; οἳ τὰ ὦτα τῶν παρατυγχανόντων ἀποκναίουσι διεξιόντες τὰ τοιαῦτα· ἡ φρόνησις ἀναγκαῖον, ἡ ἀφροσύνη βλαβερόν· αἱρετὸν ἡ σωφροσύνη, ἐχθρὸν ἡ ἀκολασία· ὑπομονῆς ἄξιον ἡ ἀνδρεία, φυγῆς ἡ δειλία· συμφέρον ἡ δικαιοσύνη, ἀσύμφορον ἡ ἀδικία· τὸ ὅσιον καλόν, τὸ ἀνόσιον αἰσχρόν· τὸ θεοσεβὲς ἐπαινετόν, τὸ ἀσεβὲς ψεκτόν· [τὸ] οἰκειότατον ἀνθρώπου φύσει τὸ εὖ καὶ βουλεύεσθαι καὶ
198 πράττειν καὶ λέγειν, ἀλλοτριώτατον τὸ κακῶς τούτων ἕκαστον. ταῦτα καὶ τὰ τοιαῦτα ἀεὶ συνείροντες τὰ δικαστήρια καὶ βουλευτήρια καὶ τὰ θέατρα καὶ πάντα σύλλογον καὶ θίασον ἀνθρώπων ἀπατῶσιν, ὥσπερ οἱ προσωπεῖα καλὰ αἰσχίσταις ὄψεσι περιτιθέντες προνοίᾳ τοῦ μὴ ὑπὸ τῶν
199 ὁρώντων ἐλέγχεσθαι. ἀλλ' οὐδὲν ὄφελος· ἀφίξονται γάρ τινες εὖ μάλα ἐρρωμένοι καὶ τῷ περὶ ἀρετὴν ζήλῳ κατεσχημένοι καὶ τὰ περικαλύμματα καὶ περίαπτα ταῦτα, ὅσα λόγῳ κακοτεχνοῦντες συνύφηναν, ἀπαμφιάσαντες καὶ γυμνὴν αὐτὴν ἐφ' αὑτῆς τὴν ψυχὴν αὐγάσαντες εἴσονται καὶ τὰ ἐν μυχοῖς ἀποκείμενα τῆς φύσεως ἀπόρρητα· εἶτ' ἔξω προαγαγόντες τὰ αἴσχη καὶ τὰ ὀνείδη πάντα αὐτῆς ἐν ἡλίῳ καθαρῷ πᾶσιν

---

3 καὶ ἐπιτηδευμάτων om. B   εὐεπείᾳ coni. Mang.   4 ἐχρῆν οὖν conicio   5 Μωσῆς codd.   9 τῇ ἀειπαρθένῳ coni. Mang.   10 δίκαια Mang.: δίκη codd.   παριᾶσιν Hoesch.: παρίασιν codd.   15 ἀνδρία codd.   16. 17 τὸ ἀσεβὲς ψεκτόν om. B   17 τὸ secl. Mang.   βουλεύεσθαι Mang.: βούλεσθαι codd.   19 tert. τὰ secl. vel ⟨τὰ⟩ βουλευτήρια scrib.   20 ἀνθρώπων Mang.: ἄνθρωποι codd.   23 κατεσχημένοι Mang.: κατισχημένοι codd.   24 κακοτεχνοῦντες scripsi: κατατεχνοῦντες codd.   συνύφηναν scripsi: συνύφαναν codd.   27 τὰ αἴσχη scripsi: τὴν αἰσχύνην codd.

---

7. 8 DR fol. 46v τοῦ αὐτοῦ DH fol. 134r: τὸ ἐκτραγῳδεῖν καὶ ἐπικομπάζειν (ἐπικωμάζειν DR) τὰ κακὰ διπλοῦν ἁμάρτημα.

ἐπιδείξονται, οἵα τις οὖσα, ὡς αἰσχρὰ καὶ καταγέλαστος οἵαν ἐκ τῶν
περιάπτων, ὡς νόθην ἐπεμόρφαζεν εὐμορφίαν. οἱ δὲ πρὸς ἄμυναν 200
εὐτρεπεῖς τῶν οὕτως βεβήλων καὶ ἀκαθάρτων τρόπων δύο μέν εἰσιν
ἀριθμῷ, Συμεὼν καὶ Λευί, γνώμῃ δὲ εἷς. διὸ καὶ ἐν ταῖς εὐλογίαις ὁ μὲν
πατὴρ αὐτοὺς ἐν τάξει ἑνὸς κατηρίθμει (Gen. 49,5), διὰ τὸ σύμφωνον τῆς
ὁμονοίας καὶ τῆς πρὸς ἓν καὶ τὸ αὐτὸ μέρος ὁρμῆς. ὁ δὲ Μωυσῆς
p. 609 M. οὐδὲ δυάδος ἔτι μέμνηται, ἀλλ' ὅλον τὸν | Συμεὼν εἰς τὸν Λευὶ ἐνεχάραξε (Deut. 33,8) δύο οὐσίας κερασάμενος, ἀφ' ὧν ἕνα εἰργάσατο
οἷον ἰδέᾳ μιᾷ τυπωθέντα, τὸ ἀκούειν τῷ πράττειν ἑνώσας.

(37.) Ἐπειδὴ τοίνυν ἔγνω τὴν ἐπαγγελίαν λαλοῦσαν τὰ αἰδοῦς καὶ 201
εὐλαβείας μεστὰ κατὰ τὴν αὐτοῦ διάνοιαν ὁ σπουδαῖος, ἔπαθεν ἀμφότερα, καὶ τὴν πρὸς τὸν θεὸν πίστιν καὶ τὴν πρὸς τὸ γενητὸν ἀπιστίαν.
εἰκότως οὖν φησι δεόμενος· „Ἰσμαὴλ οὗτος ζήτω ἐνώπιόν σου“ (Gen.
17,18), οὐκ ἀπὸ σκοποῦ τῶν ἐμφερομένων ἕκαστον τῶν ὀνομάτων τιθείς,
τὸ „οὗτος“, τὸ „ζήτω“, τὸ „ἐνώπιόν σου“· ταῖς γὰρ ἐν τοῖς πράγμασιν
ὁμωνυμίαις ἠπατήθησαν οὐκ ὀλίγοι. τί δ' ἐστὶν ὃ λέγω, σκεπτέον· 202
ἑρμηνευθεὶς Ἰσμαὴλ ἐστιν ἀκοὴ θεοῦ, τῶν δὲ θείων δογμάτων οἱ μὲν
ἀκούουσιν ἐπ' ὠφελείᾳ, οἱ δ' ἐπὶ βλάβῃ αὐτῶν τε καὶ ἑτέρων. ἢ τὸν
οἰωνοσκόπον Βαλαὰμ οὐχ ὁρᾷς; οὗτος εἰσάγεται „ἀκούων λόγια θεοῦ
ἐπιστάμενός τε ἐπιστήμην παρὰ ὑψίστου“ (Num. 24,16). ἀλλὰ τί ἐκ 203
τῆς τοιαύτης ἀκροάσεως, τί δ' ἐκ τῆς τοιαύτης ἐπιστήμης ὤνατο,
γνώμῃ μὲν ἐπιχειρήσας τὸ ψυχῆς ἄριστον ὄμμα λυμήνασθαι, ὃ δὴ μόνον
τὸν θεὸν ὁρᾶν πεπαίδευται, μὴ δυνηθεὶς δέ διὰ τὸ σωτῆρος κράτος
ἀήττητον; τοιγαροῦν ὁ μὲν καταχεντούμενος ὑπὸ φρενοβλαβείας τῆς
ἑαυτοῦ καὶ τραύματα πολλὰ δεξάμενος ἐν μέσοις τραυματίαις ἀπώλετο
(Num. 31,8), διότι σοφιστείᾳ μαντικῇ τὴν θεοφόρητον προφητείαν παρεχάραξε. δεόντως οὖν εὔχεται ὁ ἀστεῖος, ἵν' οὗτος μόνος Ἰσμαὴλ ὑγιαίνῃ, 204
διὰ τοὺς μὴ γνησίως ἀκούοντας τῶν ἱερῶν ὑφηγήσεων· οἷς ἀπεῖπε
Μωυσῆς ἄντικρυς εἰς ἐκκλησίαν φοιτᾶν τοῦ πανηγεμόνος. τεθλασμένοι 205
γὰρ τὰ γεννητικὰ τῆς διανοίας ἢ καὶ τελείως ἀποκοπέντες οἱ τὸν ἴδιον
νοῦν καὶ τὴν αἴσθησιν ἀποσεμνύνοντες ὡς μόνα τῶν κατ' ἀνθρώπους
αἴτια πραγμάτων ἢ οἱ πολυθείας ἐρασταὶ καὶ τὸν πολύθεον ἐκτετιμη-

---

1 ὡς om. B 2 ⟨καὶ⟩ ὡς coni. Mang. 3 εὐπρεπεῖς B ὄντως B
6 Μωσῆς codd. 10 ἐπαγγελίαν Mang.: ἀπαγγελίαν codd. 11 αὑτοῦ codd.
12 γεννητὸν v 14 ἐκφερομένων coni. Mang. alt. τῶν vid. secl. 22 γνώμην B 23 τὸ ⟨τοῦ⟩ conicio 26. 27 παρεχάραξε Mang.: προεχάραξε A,
προὐχάραξε B 27 μόνος in mg. B 32 πράγματα B ἢ] καὶ conicio

χότες θίασον, οἱ ἐκ πόρνης γεγονότες, τὸν ἕνα ἄνδρα καὶ πατέρα φιλα-
ρέτου ψυχῆς θεὸν οὐκ εἰδότες, ἆρ' οὐκ εἰκότως ἐλαύνονταί τε καὶ φυγα-
206 δεύονται (Deut. 23, 1. 2); παραπλήσιόν μοι δοκοῦσι ποιεῖν καὶ οἱ κατη-
γοροῦντες τοῦ υἱοῦ γονεῖς ἐπ' οἰνοφλυγίᾳ· λέγουσι γάρ· „ὁ υἱὸς ἡμῶν
οὗτος ἀπειθεῖ“ (Deut. 21,20), διὰ τῆς προσθήκης τῆς „οὗτος“ μη-
νύοντες, ὅτι εἰσὶν ἕτεροι παῖδες καρτερικοὶ καὶ σώφρονες, τοῖς ἐπιτάγ-
μασι τοῦ ὀρθοῦ λόγου καὶ παιδείας πειθαρχοῦντες· οὗτοι γὰρ ψυχῆς
ἀψευδέστατοι γονεῖς, ὑφ' ὧν κατηγορηθῆναι μὲν | αἴσχιστον, ἐπαινεθῆναι p. 610 M
207 δ' εὐκλεέστατον. τὸ ⟨δὲ⟩ „οὗτός ἐστιν Ἀαρὼν καὶ Μωυσῆς, οἷς εἶπεν
ὁ θεὸς ἐξαγαγεῖν τοὺς υἱοὺς Ἰσραὴλ ἐξ Αἰγύπτου“ (Exod. 6, 26) καὶ
τὸ „οὗτοί εἰσιν οἱ διαλεγόμενοι Φαραὼ βασιλεῖ“ (ibid. 27), ταῦτα μὴ
νομίζωμεν εἰρῆσθαι παρέργως ἢ τὰς δείξεις μὴ πλέον τι τῶν ὀνομάτων
208 παρεμφαίνειν. ἐπειδὴ γὰρ Μωυσῆς μέν ἐστι νοῦς ὁ καθαρώτατος,
Ἀαρὼν δὲ λόγος αὐτοῦ, πεπαίδευται δὲ καὶ ὁ νοῦς θεοπρεπῶς ἐφά-
πτεσθαι καὶ ὁ λόγος ὁσίως ἑρμηνεύειν τὰ ὅσια, μιμηλάζοντες δὴ οἱ
σοφισταὶ καὶ παρακόπτοντες τὸ δόκιμον νόμισμα τοῦτό φασι καὶ νοεῖν
ὀρθῶς περὶ τοῦ ἀρίστου καὶ λέγειν ἐπαινετῶς (Exod. 7,11). ὅπως
οὖν μὴ ἀπατώμεθα παραθέσει τῶν κεκιβδηλευμένων πρὸς τὰ δόκιμα
209 δι' ὁμοιότητος τοῦ χαρακτῆρος, βάσανον ἔδωκεν, ᾗ διακριθήσεται. τίς
οὖν ἡ βάσανος; τὸ ἐξαγαγεῖν ἐκ τῆς σωματικῆς χώρας τὸν ὁρατικὸν
καὶ φιλοθεάμονα νοῦν καὶ φιλόσοφον. ὁ μὲν γὰρ τοῦτο δυνηθεὶς Μωυ-
σῆς ἐστιν οὗτος, ὁ δὲ ἀδυνατήσας, ὁ λεγόμενος μόνον, μυρίας δὲ σεμ-
νότητας ὀνομάτων ἐπαμπισχόμενος, γελᾶται. ζῆν δὲ εὔχεται τῷ Ἰσμαήλ,
οὐ τῆς μετὰ σώματος ζωῆς ἐπιστρεφόμενος, ἀλλ' ἵνα τὸ θεῖον ἄκουσμα
210 ἐπὶ ψυχῇ διαιωνίζον ἐγείρῃ τε αὐτὸν καὶ ζωπυρῇ. (38.) καὶ ὁ μὲν
ἀκρόασιν λόγων καὶ μάθησιν δογμάτων ἱερῶν εὔχεται ζῆν, ὡς ἐλέχθη,
ὁ δ' ἀσκητὴς Ἰακὼβ εὐφυΐαν· λέγει γάρ· „ζήτω Ῥουβὴν καὶ μὴ ἀπο-
θανέτω“ (Deut. 33,6)· ἆρά γε ἀθανασίαν καὶ ἀφθαρσίαν εὐχόμενος,
ἀνθρώπῳ πρᾶγμα ἀδύνατον; οὐ δήπου. τί οὖν ἔσθ' ὃ βούλεται παρα-
211 στῆσαι, λεκτέον. πάντα τὰ ἀκούσματα καὶ μαθήματα ἐποικοδομεῖται

4 τοῦ υἱοῦ Mang.: τούτου codd. 9 δὲ add. Mang. Μωσῆς codd. 12 λέξεις Mang. 13 Μωσῆς codd. 15 μιμηλάζοντες Mang.: μιμηλίζοντες codd., κιβδηλεύοντες conicio δὴ Mang.: δ' codd. 16 τοῦτό] αὐτοὺς ex codice Oxon. Coll. Nov. 143 Mang. 19 ὁμοιότητα conicio τὴν βάσανον B 21. 22 Μωσῆς codd. 23 ἐπαμπισχόμενος scripsi: ἐπαμφισκόμενος codd. 27 Ἰακὼβ] per memoriae lapsum Philo, capitis Gen. 49 memor, Iacobum pro Mose inducit Ρουβὴν scripsi: Ῥουβὶμ codd. 30 μαθήματα] θεάματα coni. Mang.

καθάπερ θεμελίῳ προκαταβεβλημένῳ φύσει παιδείας δεκτικῇ, φύσεως
δὲ μὴ προϋπαρχούσης ἀνωφελῆ πάντα. δρυὸς γὰρ ἢ λίθου κωφῆς
οὐδὲν ἂν δόξαιεν οἱ ἀφυεῖς διαφέρειν· ἔγκολλον γὰρ ἂν οὐδὲν αὐτοῖς
ἁρμόζοιτο, πάντα δ' ὡς ἀπὸ στερροῦ τινος ἀποπάλλεται καὶ ἀποπηδᾷ.
τὰς δὲ τῶν εὐφυῶν ψυχὰς ἔστιν ἰδεῖν κηροῦ τρόπον λελειασμένου μήτε 212
ἄγαν στερεοῦ μήτε ἄγαν ἁπαλοῦ κεκερασμένας μετρίως, παραδεχομένας
τὰ ἀκούσματα καὶ θεάματα ῥᾳδίως πάντα καὶ ἐναποματτομένας ἄκρως
αὐτὰς τὰ εἴδη, μνήμης ἐναργεῖς τινας εἰκόνας. ἦν γοῦν ἀναγκαῖον 213
p. 611 M. εὔξασθαι τῷ | λογικῷ γένει τὸ εὐφυὲς ἄνοσον καὶ ἀθάνατον παρεῖναι.
τοῦ μὲν γὰρ κατ' ἀρετὴν βίου, ὅς ἐστιν ἀψευδεστάτη ζωή, μετέχουσιν
ὀλίγοι, οὐχὶ τῶν ἀγελαίων φημί — τούτων γὰρ οὐδεὶς τῆς ἀληθοῦς
ζωῆς κεκοινώνηκεν —, ἀλλ' εἴ τισιν ἐξεγένετο τὰς τῶν ἀνθρώπων φυγεῖν
σπουδὰς καὶ θεῷ μόνῳ ζῆσαι. παρὸ καὶ λίαν τεθαύμακεν ὁ ἀσκητικὸς 214
καὶ ἀνδρεῖος, εἴ τις ἐν μέσῳ τοῦ βίου ποταμῷ φορούμενος ὑπ' οὐδε-
μιᾶς ῥύμης κατασύρεται, δύναιτο δὲ καὶ πλούτῳ πολλῷ ῥέοντι ἀντισχεῖν
καὶ ἡδονῆς ἀμέτρου φορὰν ⟨ἀν⟩ῶσαι καὶ λαίλαπι κενῆς δόξης μὴ ἀναρ-
πασθῆναι. λέγει γοῦν οὐχ ὁ Ἰακὼβ τῷ Ἰωσὴφ μᾶλλον ἢ ὁ ἱερὸς λόγος 215
παντὶ τῷ τὸ μὲν σῶμα εὐεκτοῦντι, ἐν ἀφθόνοις δὲ ταῖς εἰς περιουσίαν
ὕλαις ἐξεταζομένῳ καὶ πρὸς μηδεμιᾶς ἁλισκομένῳ· „ἔτι γὰρ σὺ ζῇς“
(Gen. 46, 30); θαυμαστὸν ἐκφωνήσας λόγον καὶ τὸν ἡμέτερον βίον
ὑπερδεδραμηκότα, οἳ μικρᾶς πρὸς εὐτυχίαν αὔρας λαβόμενοι, πάντα
κάλων ἀνασείσαντες, λαμπρὰ φυσῶμεν καὶ πνεύσαντες μέγα καὶ σύντονον
πλησίστιοι πρὸς τὰς ἀπολαύσεις τῶν παθῶν φερόμεθα καὶ οὐ πρότερον
στέλλομεν τὰς ἀνειμένας καὶ κεχαλασμένας ἀκρατῶς ἐπιθυμίας, ἕως

4 στερεοῦ D (Cohn) 5. 6 μήτε bis scripsit Mang.: μετὰ codd. 8 αὐτῶν vel αὐταῖς conicio ἐνεργεῖς Hoesch. 10 ἐστιν D: ἔστιν ἡ codd. 11 οὐδὲ εἷς D 13 σπουδὰς codd.: βλάβας D, συνουσίας conicio 14 ⟨τῷ⟩ τοῦ conicio ποταμοφορούμενος B ὑπ' scripsi: ἀπ' codd. 15 δύναται coni. Cohn 16 ἀνῶσαι scripsi: οἶσαι codd., στῆσαι vel. ἀντωθῆσαι (sic) coni. Mang. 21 ὑπερδεδραμηκότα Mang.: ἀπο-δεδραμηκότα codd.

1—4 D$^R$ fol. 204$^r$ Φίλωνος ἐκ τῶν περὶ μετονομαζομένων: φυσικῶς μὴ προϋπαρχούσης τῷ μανθάνοντι εὐφυΐας ἀνωφελῆ πάντα .... καλὸν γὰρ μάθημα οὐδὲν αὐτοῖς ἁρμόζεται ἀπεστραμμένως διακειμένοις καὶ τὰ ὦτα μύουσι, πάντα δὲ ὡς ἀπὸ στερεοῦ τινος ἀντιπνέοντος πρὸς τὸ πνεῦμα. 5 cf. Platonis Theaet. p. 191 C ss., supra ad p. 41, 18. 10—13 D$^P$ fol. 255$^v$ τοῦ κατ' ἀρετὴν — ζῆσαι. 19 cf. vol. II ad p. 272, 23.

216 ἂν ἐξοκείλαντες ὅλῳ τῷ ψυχῆς ναυαγήσωμεν σκάφει. (39.) παγκάλως
οὖν τοῦτον τὸν Ἰσμαὴλ εὔχεται ζῆν. προστίθησιν οὖν „ἐνώπιον τοῦ
θεοῦ ζήτω" (Gen. 17, 18), τέλος τῆς εὐδαιμονίας τιθέμενος ἐπισκόπου
217 καὶ ἐφόρου τοῦ τῶν ὄντων ἀρίστου τὴν διάνοιαν ἀξιωθῆναι. εἰ γὰρ
παιδαγωγοῦ μὲν παρόντος οὐκ ἂν ἁμάρτοι ὁ ἀγόμενος, ὑφηγητὴς δὲ
ἐγγὺς ὢν ὠφελεῖ τὸν μανθάνοντα, πρεσβυτέρου δὲ παρατυγχάνοντος αἰδοῖ
καὶ σωφροσύνῃ κοσμεῖται νέος, πατὴρ δὲ ἢ μήτηρ υἱὸν μέλλοντα ἀδικεῖν
ἐκώλυσαν ἐφ' ἡσυχίας αὐτὸ μόνον ὀφθέντες, ἡλίκαις τισὶν ὑπερβολαῖς
ἀγαθῶν χρήσεσθαι νομίζομεν τὸν ὑπολαμβάνοντ' ἀεὶ ὑπὸ θεοῦ θεω-
ρεῖσθαι; τὸ γὰρ τοῦ παρόντος καὶ περιβλέπεται ἀξίωμα δεδιὼς καὶ
218 τρέμων ἀνὰ κράτος τὸ ἀδικεῖν ἀποδράσεται. τὸν δὲ Ἰσμαὴλ ὅταν
εὔχηται ζῆν, οὐκ ἀπέγνωκε τὴν γένεσιν Ἰσαάκ, ὡς καὶ πρότερον εἶπον,
ἀλλὰ πεπίστευκε μὲν τῷ θεῷ * * * οὐδὲ γὰρ ἃ δοῦναι θεῷ, ταῦτα καὶ
ἀνθρώπῳ λαβεῖν δυνατόν, ἐπειδὴ τῷ μὲν πλεῖστα καὶ μέγιστα χαρίσασθαι
219 ῥᾴδιον, ἡμῖν δ' οὐκ εὐμαρὲς τὰς προτεινομένας δέξασθαι δωρεάς. ἀγα-
πητὸν γάρ, εἰ τῶν ἐκ πόνου καὶ μελέτης συντρόφων καὶ συνηθεστέρων
ἀγαθῶν ἐπιλάχοιμεν, | τῶν δ' ἄνευ τέχνης ἢ συνόλως ἀνθρωπίνης ἐπι- p. 612 M.
νοίας ἀπαυτοματιζόντων καὶ ἐξ ἑτοίμου γινομένων οὐδ' ἐλπὶς ἐφικέσθαι·
ταῦτα γὰρ ἅτε θεῖα ὄντα θειοτέραις καὶ ἀκηράτοις φύσεσιν ἀπηλλαγ-
220 μέναις θνητοῦ σώματος εὑρίσκειν ἀναγκαῖον. ἐδίδαξε δὲ Μωυσῆς κατὰ
δύναμιν τῶν χειρῶν τὰς εὐχαρίστους ὁμολογίας ποιεῖσθαι (Num. 6, 21),

---

1 ἐξωκείλαντες B 2 ⟨κατὰ⟩ τοῦτον coni. Cohn εὔχεται scripsi: εὐχόμεθα codd., εὐχώμεθα coni. Cohn προστίθησι γοῦν bene coni. Cohn 3 ζήτω Mang.: ζῇ codd., fort. del. 5 εἰσαγόμενος coni. Mang., παιδαγωγούμενος conicio 8 αὐτὸ Mang.: αὐτῷ codd. 9 χρήσεσθαι Mang.: χρήσασθαι codd. 10 αἰεὶ περιβλεπόμενος conicio, καὶ προσβλέποντος coni. Mang. 12 ἀπέγνωκε Mang.: ἀπέγνωσε codd. 13 lacunam statuo (cf. § 178) ἃ] ὅσα $D^H$ fol. 338 θεὸν $D^C$ fol. 259 $D^R$ fol. 277 14 λαμβάνειν $D^C$ fol. 259 $D^R$ fol. 277 πλεῖστα] καὶ πλεῖστα $D^C$ fol. 138 $D^H$ fol. 204 et 338 καὶ μέγιστα om. $D^H$ fol. 338, καὶ μεστὰ μεγέθους $D^R$ fol. 277 χαρίσασθαι $D^C$ fol. 259 $D^R D^H$ fol. 256: χαρίζεσθαι codd. $D^C$ fol. 138 $D^H$ fol. 204 et 338 15 προκειμένας B 16 μελέταις coni. Mang. 20 ἐδίδαξε Mang.: ἔδειξε codd. Μωσῆς codd. 21 χαρίτων coni. Mang.

---

1—4 cf. *Orig. Comment. in Gen. p. 36 (ad eundem locum):* ἐξαίρετόν τι ἠξίου περὶ τοῦ Ἰσμαὴλ ὁ Ἀβραάμ, οὐκ ἀρκούμενος τῷ „ζήτω"· διὸ προσέθηκεν „ἐναντίον σου". τὸ γὰρ ζῆν ἐναντίον κυρίου μακαρίων ἐστὶ καὶ τῶν ἁγίων μόνων (cf. Philonis quaest. in Gen. III § 57). 13—15 $D^C$ fol. $138^r$ Φίλωνος ἐκ τοῦ περὶ τῶν μετονομαζομένων, fol. $259^v$ τοῦ αὐτοῦ ἐκ τοῦ περὶ τῶν μετονομαζομένων, $D^R$ fol. $142^v$ et $277^r$ τοῦ αὐτοῦ $D^H$ fol. $204^v$ $256^r$ $338^r$ Φίλωνος: οὐχ ἃ δοῦναι — δωρεάς.

τὸν ἀγχίνουν ἀνάθημα ἀνατιθέντα τὸ συνετὸν καὶ τὸ φρόνιμον, τὸν
λόγιον τὰς ἐν λόγῳ πάσας ἀρετὰς ἀνιεροῦντα διά τε ᾠδῆς καὶ τῶν κατα-
λογάδην τοῦ ὄντος ἐγκωμίων, καὶ κατ' εἶδος τὸν φυσικὸν φυσιολογίαν,
τὸν ἠθικὸν πᾶσαν τὴν ἠθικὴν φιλοσοφίαν, τὸν τεχνικὸν καὶ ἐπιστήμονα
τὰ θεωρήματα τῶν τεχνῶν καὶ ἐπιστημῶν. οὕτως εὔπλοιαν μὲν ναύτης 221
καὶ κυβερνήτης, εὐφορίαν δὲ καρπῶν γεωπόνος, εὐτοκίαν δὲ ζῴων ἀγε-
λάρχης, ὑγείαν δὲ καμνόντων ἰατρός, ὁ δ' αὖ στρατείας ἡγεμὼν τοῦ
πολέμου κράτος καὶ ὁ πολιτικὸς ἢ βασιλικὸς τὴν νόμιμον προστασίαν
καὶ ἡγεμονίαν ἀναθήσει, καὶ συνελόντα φράσαι πάντων ὅσα ἢ ψυχῆς
ἢ σώματος ἢ τῶν ἐκτὸς ἀγαθά ἐστιν ὁ μὴ φίλαυτος αἴτιον ἀποφανεῖ
τὸν ἀψευδῶς μόνον αἴτιον θεόν. μηδεὶς οὖν τῶν ἀφανεστέρων καὶ 222
ταπεινοτέρων εἶναι δοκούντων ἐλπίδος ἀπογνώσει τῆς ἀμείνονος ἀποκνη-
σάτω ἱκέτης εὐχάριστος γενέσθαι θεοῦ, ἀλλ' εἰ καὶ μηδὲν ἔτι προσδοκᾷ
τῶν μειζόνων, ὑπὲρ τούτων ὧν ἔλαχεν ἤδη κατὰ τὴν ἑαυτοῦ δύναμιν
εὐχαριστείτω. μυρίων δ' ἔλαχε, γενέσεως, ζωῆς, τροφῆς, ψυχῆς, 223
αἰσθήσεως, φαντασίας, ὁρμῆς, λογισμοῦ. λογισμὸς δὲ βραχὺ μὲν ὄνομα,
τελειότατον δὲ καὶ θειότατον ἔργον, τῆς τοῦ παντὸς ψυχῆς ἀπόσπασμα
ἤ, ὅπερ ὁσιώτερον εἰπεῖν τοῖς κατὰ Μωυσῆν φιλοσοφοῦσιν, εἰκόνος
θείας ἐκμαγεῖον ἐμφερές. (40.) ἐπαινεῖν ἄξιον καὶ τῶν κατασκόπων 224
τοὺς ἐπιχειρήσαντας μὲν αὐτόπρεμνον τὸ ἀρετῆς ὅλον ἀνασπάσαι καὶ
βαστάσαι στέλεχος, ἐπεὶ δ' οὐκ ἠδυνήθησαν, κληματίδα γοῦν καὶ ἕνα
βότρυν λαβόντας, δεῖγμα καὶ μέρος τῆς συμπάσης, ὃ φέρειν αὐτὸ μόνον
ἴσχυον (Num. 13,24). εὐκτὸν μὲν ἀθρόῳ τῷ πλήθει τῶν ἀρετῶν 225
ἐγχορεύειν· εἰ δὲ τοῦτο μεῖζον ἢ κατὰ ἀνθρωπίνην φύσιν, ἀγαπῶμεν,
p. 613 M. εἴ τῳ ἐξεγένετο μιᾷ τινι τῶν κατὰ μέρος | ἐντυχεῖν, σωφροσύνῃ ἢ ἀνδρείᾳ

---

3 τὸν in mg. Hoesch.: τὸ codd. φυσιολογίαν in mg. ed. Par.: φυσιολογίας codd. 7 ⟨τὸ⟩ τοῦ conicio 9 συνελόντι conicio 10 ἀποφανεῖ Mang.: ἀποφαίνει codd. 12 ἀπογνώσῃ D 13 εὐχάριστος D: om. codd. θεῷ D 14 post ἤδη add. ἀγαθῶν D, fort. recte 15 εὐχαριστεῖ τῷ θεῷ. μυρίων D post ἔλαχεν add. ἀγαθῶν D 16 φαντασίας ὁρμῆς om. D ὁρμῆς, νοῦ. νοῦς δὲ coni. Mang. 16 βραχύτατον Dv ὄνομα μὲν D 17 δὲ om. B θειότατον D: βραχύτατον codd., ⟨οὐ⟩ βραχύτατον coni. Grossmann, περιμάχητον coni. Mang. 18 Μωσῆν codd. 19 ⟨δ'⟩ ἄξιον conicio 22 αὐτὸ μόνον Mang.: μόνον αὐτὸ A, μόνον αὐτῷ B 23 μὲν ⟨γὰρ⟩ conicio 25 ἀνδρία codd.

---

11—13 DH post locum ad lin. 19 allatum: μηδεὶς οὖν — γενέσθαι θεῷ.
14—17 DH fol. 338r Φίλωνος: ὑπὲρ ὧν οὖν ἕκαστος ἔλαχεν ἤδη ἀγαθῶν, κατὰ — ἔργον. 18. 19 pergit DH: ἐκεῖνος θείας ἐμφερείας ἐκμαγεῖον.

ἡ δικαιοσύνῃ ἢ φιλανθρωπίᾳ. φερέτω γὰρ ἕν τι ἀγαθὸν ἡ ψυχὴ καὶ
226 τικτέτω, μὴ πάντων ἄφορος καὶ στεῖρα γινέσθω. σὺ δὲ τοιαῦτα ἐπι-
τάγματα ἐπιτάξεις υἱεῖ τῷ σεαυτοῦ; εἰ μὴ τοῖς οἰκέταις ἡμέρως χρῇ,
μηδὲ τοῖς ὁμοτίμοις κοινωνικῶς· εἰ μὴ κοσμίως γυναικί, μηδὲ γονεῦσι
τιμητικῶς· εἰ μητρὸς ὀλιγωρεῖς καὶ πατρός, ἀσέβει καὶ εἰς τὸ θεῖον.
εἰ χαίρεις ἡδονῇ, μη⟨δὲ⟩ φιλαργυρίας ἀποστῇς. ἐφίεσαι πολυχρηματίας;
227 καὶ κενοδόξει. τί γάρ; οὐ μετριάζειν ἐν ἐνίοις ἀξιοῖς, εἰ μὴ ἐν πᾶσι
δύνασαι; οὐκ ἂν οὖν εἴποι ὁ υἱός· τί λέγεις, ὦ πάτερ; ἢ τέλειον ἀγαθὸν
ἢ τέλειον κακὸν βούλει σοι τὸν υἱὸν γενέσθαι καὶ οὐκ ἀγαπήσεις, εἰ
228 πρὸ τῶν ἄκρων τὰ μέσα ἕλοιτο; οὐ διὰ τοῦτο καὶ ὁ Ἀβραὰμ ἐπὶ τῆς
Σοδομιτῶν ἀπωλείας ἀρξάμενος ἀπὸ πεντηκοντάδος εἰς δεκάδα τελευτᾷ
(Gen. 18, 24. 32), ποτνιώμενος καὶ ἱκετεύων, ἵν', εἰ μὴ εὑρίσκοιτο
ἐν γενέσει ἡ παντελὴς εἰς ἐλευθερίαν ἄφεσις (Lev. 25, 10), ἧς σύμ-
βολον ὁ πεντηκοστὸς λόγος ἱερός, ἡ μέση παιδεία παραληφθῇ δεκάδι
παραριθμουμένη πρὸς τὴν τῆς καταδικάζεσθαι ψυχῆς μελλούσης ἀπό-
229 λυσιν; τῶν ἀναγώγων οἱ πεπαιδευμένοι καὶ τῶν ἀλύρων καὶ ἀμούσων
οἱ ⟨ἐγ⟩κεχορευκότες τῇ ἐγκυκλίῳ μουσικῇ πλείους ἀφορμὰς ἔχουσι πρὸς
τὸ αὔξεσθαι, σχεδὸν ἐκ παίδων τοῖς περὶ καρτερίας καὶ ἐγκρατείας καὶ
ἀρετῆς πάσης λόγοις ἐπαντληθέντες. διὸ εἰ καὶ μὴ παντελῶς ἐξερρύ-
ψαντο καὶ ἀπελούσαντο τὸ ἀδικεῖν φαιδρυνόμενοι δέ, ἀλλὰ μετρίως γοῦν
230 καὶ μέσως ἐρρύψαντο. τὸ παραπλήσιον ὁ Ἠσαῦ λέγειν ἔοικε τῷ πατρί·
„μὴ εὐλογία σοι μία ἐστί, πάτερ; εὐλόγησον κἀμέ, πάτερ" (Gen. 27,
38). ἄλλαι γὰρ ἄλλοις ἀποκεκρίσθωσαν, τελείοις μὲν τέλειαι, μέσαι
δὲ ἀτελέσιν, ὡς ἔχει καὶ ἐπὶ τῶν σωμάτων· ὑγιαινόντων γὰρ καὶ νο-
σούντων ἕτερα μὲν γυμνάσματα, ἕτεραι δὲ τροφαί, καὶ ὅσα ἄλλα περὶ
δίαιταν, οὐ τὰ αὐτά, ἀλλὰ τοῖς μὲν τὰ πρόσφορα, ἵνα μηδ' ὅλως νοσή-
231 σωσι, τοῖς δὲ τὰ οἰκεῖα, ὅπως πρὸς τὸ ὑγιεινότερον μεταβάλωσι. πολ-
λῶν οὖν ἀγαθῶν ὑπαρχόντων ἐν τῇ φύσει τὸ δοκοῦν ἐφαρμόττειν μοι
τοῦτο χάρισαι, κἂν μικρότατον ᾖ, στοχασάμενος ἐκείνου μόνου, εἰ δυνή-

---

1 ἕν Mang.: ἑνός codd. 3 εἰ om. B 5 τιμητικός B 6 μηδὲ scripsi: μὴ codd. 8 δύναται conicio 8. 9 τελείως bis coni. Mang. 9 σου coni. Cohn 10 ἕλοιτο scripsi: ἕληται codd. τῆς A: τοῖς B 11 δεκάδα Mang.: πεντάδα codd. 12 ἵνα μὴ B 13 τῇ γενέσει v ἧς A: ἣ B
15 ψυχῆς A: τῆς B 17 ἐγκεχορευκότες Mang.: κεχορευκότες codd. 18 αὔξεσθαι scripsi (αὔξασθαι Mang.): εὔξεσθαι codd. καρτερίας Mang.: ἀρετῆς codd.
18. 19 καὶ ἀρετῆς πάσης om. B 19 ἐπασκηθέντες coni. Mang. (immo ἐνασκηθέντες) 20 δὲ codd.: δὴ Mang., τελείως conicio 21 Ἡσαῦ A 22 εὐλογία σοι] α et οι in ras. B[2] μία σοι ex LXX conicio ἐστί scripsi: ἔσται codd.

σομαι τὸ δοθὲν φέρειν εὐμαρῶς, ἀλλὰ καὶ μὴ πρὸς τοῦτο ἀπειπὼν ὁ
δυστυχὴς ὀκλάσω. τί δ' οἰόμεθα ἐμφαίνεσθαι διὰ τοῦ· „μὴ χεὶρ κυρίου 232
οὐκ ἐξαρκέσει“ (Num. 11,23); ἆρ' οὐχὶ τὸ πάντῃ τὰς τοῦ ὄντος
φθάνειν δυνάμεις ἐπ' εὐεργεσίᾳ μὴ μόνον τῶν ἐνδόξων ἀλλὰ καὶ τῶν
p. 614 M. ἀφανεστέρων εἶναι | δοκούντων; οἷς τὰ ἁρμόττοντα χαρίζεται πρὸς τὰ
τῆς ἑκάστου ψυχῆς σταθμήματα καὶ μέτρα σταθμώμενος καὶ διαμετρῶν
ἰσότητι παρ' ἑαυτῷ τὸ ἀνάλογον ἑκάστοις. (41.) καταπλήττει με οὐχ 233
ἥκιστα καὶ ὁ τεθεὶς νόμος ἐπὶ τοῖς ἐκδυομένοις τὰ ἁμαρτήματα καὶ
μεταγινώσκειν δοκοῦσι. κελεύει γὰρ τὸ μὲν πρῶτον ἱερεῖον προσάγειν
θῆλυ πρόβατον ἄμωμον. „ἐὰν δὲ“ φησί „μὴ ἰσχύῃ ἡ χεὶρ αὐτοῦ τὸ
ἱκανὸν εἰς πρόβατον, οἴσει περὶ τῆς ἁμαρτίας ἧς ἥμαρτε δύο τρυγόνας
ἢ δύο νεοσσοὺς περιστερῶν, ἕνα περὶ ἁμαρτίας καὶ ἕνα εἰς ὁλοκαύτωμα.
ἐὰν δὲ μὴ εὑρίσκῃ ἡ χεὶρ αὐτοῦ ζεῦγος τρυγόνων ἢ δύο νεοσσοὺς περι- 234
στερῶν, οἴσει τὸ δῶρον τὸ δέκατον οἶφι σεμίδαλιν. οὐκ ἐπιχεεῖ ἐπ'
αὐτὸ ἔλαιον οὐδ' ἐπιθήσει ἐπ' αὐτὸ λίβανον, ὅτι περὶ ἁμαρτίας ἐστί.
καὶ οἴσει αὐτὸ πρὸς τὸν ἱερέα, καὶ δραξάμενος ὁ ἱερεὺς ἀπ' αὐτοῦ
πλήρη τὴν δράκα τὸ μνημόσυνον ἐπιθήσει ἐπὶ τὸ θυσιαστήριον“
(Lev. 5, 7. 11. 12). οὐκοῦν τρισὶ μετανοίας τρόποις ἱλάσκεται τοῖς 235
εἰρημένοις, κτήνεσιν ἢ πτηνοῖς ἢ λευκοπύροις, πρὸς τὴν τοῦ καθαιρο-
μένου καὶ μετανοοῦντος δήπου δύναμιν· οὔτε γὰρ μικρὰ μεγάλων οὔτε
μεγάλα μικρῶν δεῖται καθαρσίων, τῶν δὲ πρὸς τὸ ἀνάλογον ἴσων καὶ
ὁμοίων. τί δήποτ' οὖν διὰ τριῶν ἡ κάθαρσις, ἄξιον ἐρευνῆσαι. σχεδὸν 236
τοίνυν καὶ τὰ ἁμαρτήματα καὶ τὰ κατορθώματα συμβέβηκεν ἐν τρισὶν
ἐξετάζεσθαι, διανοίᾳ, λόγοις, πράξεσιν. οὗ χάριν κἀν τοῖς προτρεπτικοῖς
Μωυσῆς διδάσκων, ὅτι ἡ ἀγαθοῦ κτῆσις οὔτ' ἀδύνατός ἐστιν οὔτε δυσθή-
ρατος, φησίν· οὐκ εἰς οὐρανὸν ἀναπτῆναι δεῖ οὐδ' ἄχρι περάτων γῆς 237
καὶ θαλάττης ἐλθεῖν ἐπὶ τὴν σύλληψιν αὐτοῦ· ἀλλ' ἔστιν ἐγγύς, καὶ
σφόδρα ἐγγύς. εἶτα μόνον οὐκ ὀφθαλμοφανῶς δείκνυσι· „πᾶν ἔργον“
φησί „τῷ στόματί σου καὶ τῇ καρδίᾳ καὶ ταῖς χερσί“ (Deut. 30,
12—14), συμβολικῶς ἐν λόγοις, ἐν βουλαῖς, ἐν ἔργοις· ἐκ γὰρ εὐβου-
λίας καὶ εὐλογίας καὶ εὐπραξίας τὴν ἀνθρωπίνην εὐδαιμονίαν συνίστασθαι,

---

1 μὴ καὶ coni. Mang. 6 σταθμούμενος B 7 ἰσώτατα coni. Mang.
12 εἰς] εἰς τὸ Hoesch. 14 ⟨τοῦ⟩ οἶφι conicio σεμιδάλεως e Vaticano codice versionis LXX falso Mang. ἐπιχεεῖ ex LXX Mang.: ἐπιχρίσει codd.
15 λιβανωτόν Mang. 17 ⟨αὐτῆς⟩ ἐπιθήσει conicio; v. § 249 24 διανοίαις conicio
25 Μωσῆς codd. ἀγαθοῦ Mang.: ἀγαθὴ codd., τἀγαθοῦ conicio 28 δείκνυσι. ἐν γὰρ τῷ στόματί σου, φησί, καὶ conicio ἔργον] ῥῆμα ex LXX coni. Mang.
31 εὐδαιμονίαν ἀνθρωπίνην v

238 ὥσπερ καὶ τὴν κακοδαιμονίαν ἐκ τῶν ἐναντίων. ἐν γὰρ τοῖς αὐτοῖς τό τε κατορθοῦν καὶ ἁμαρτάνειν χωρίοις ἐστί, καρδίᾳ, στόματι, χειρί· καὶ γὰρ βουλεύονταί τινες εὐγνωμονέστατα καὶ λέγουσιν ἄριστα καὶ πράττουσι τὰ πρακτέα. τριῶν δὲ ὄντων κουφότατόν ἐστι τὸ βουλεύεσθαι ἃ μὴ p. 615 M. χρή, βαρύτατον δὲ τὸ χειρουργεῖν τὰ ἄδικα, μέσον δὲ τὸ λέγειν ἃ μὴ

239 δεῖ. συμβαίνει δὲ τὸ κουφότατον δυσαποτριπτότατον εἶναι· χαλεπὸν γὰρ ψυχῆς τροπὴν εἰς ἠρεμίαν ἀγαγεῖν, καὶ θᾶττον ἄν τις χειμάρρου φορὰν ἐπίσχοι ἢ ψυχῆς τροπὴν ῥέουσαν ἀκατασχέτως· ἀμύθητα γὰρ ἐνθύμια ἄλλα ἐπ' ἄλλοις τρικυμίας τρόπον ἐπιτρέχει, φοροῦντα καὶ κυκῶντα

240 καὶ πᾶσαν αὐτὴν βιαίως ἀνατρέποντα. τὸ μὲν οὖν ἄριστον τῆς καθάρσεως καὶ τελεώτατον τοῦτ' ἐστί, μηδ' ἐνθυμεῖσθαί τι τῶν ἀτόπων, ἀλλ' εἰρήνῃ καὶ εὐνομίᾳ, ὧν ἡγεμών ἐστι δικαιοσύνη, πολιτεύσασθαι· τὸ δὲ δεύτερον, λόγοις μὴ διαμαρτάνειν ψευδόμενον ἢ ψευδορκοῦντα ἢ ἀπατῶντα ἢ σοφιζόμενον ἢ συκοφαντοῦντα ἢ συνόλως στόμα καὶ γλῶτταν ἐπ' ὀλέθρῳ τινῶν ἀνιέντα, οἷς χαλινὸν ἦν ἄμεινον περιθεῖναι καὶ δεσμὸν

241 ἄρρηκτον. (42.) διὰ τί δὲ τὸ λέγειν τοῦ νοεῖν τὰ μὴ προσήκοντα βαρύτερον ἁμάρτημα, ῥᾷον ἰδεῖν. ἐνθυμεῖται μέν τις οὐ παρ' ἑαυτὸν ἔστιν ὅτε, ἀλλ' ἀβουλῶν· ὧν γὰρ οὐ θέλει λαμβάνειν ἐννοίας ἀναγκάζεται,

242 τῶν δ' ἀκουσίων οὐδὲν ὑπαίτιον. λέγει δέ τις ἑκών, ὥστε, εἰ μὴ εὔφημον προΐεται φωνήν, ἀδικεῖ κακοδαιμονῶν, ὁ μηδ' ἐκ τύχης ἐθέλων τι τῶν ἐπιεικεστέρων φθέγξασθαι· ᾧ λυσιτελὲς τὴν ἀσφαλεστάτην ἡσυχίαν δεξιοῦσθαι· κἄπειτα μὴ ἡσυχάζων τις δύναται δήπου βουληθεὶς σιωπᾶν.

243 τὸ δὲ καὶ τοῦ λέγειν βαρύτερον ἁμάρτημα ἡ ἄδικος πρᾶξίς ἐστι·

---

2 καρδίᾳ om. B    6 δυσαπότρεπτον coni. Mang.    7 εἰς om. D Barocc.    8 τροπὴν ψυχῆς D Barocc.    9 ἀλλ' ἐπ' ἀλλήλοις Barocc.    τρικυμίαις Barocc.    τὸν τρόπον Barocc.    ἐπέχει Barocc.    φοροῦντα καὶ om. D Barocc.    10 ἀνατρέποντα D[M] Barocc.: ἐπιστρέφοντα codd., ἐπιτρέποντα D[P]    μὲν γὰρ ἀρκτὸν Barocc., ἄρρηκτον D[M]    11 τελειότατον D Barocc.    τουτό D Barocc.    μηδ' scripsi: μηδὲν codd., μὴ D Barocc., μηδὲ v    τι om. D Barocc.    τῶν om. D[M]    ἀτόπων D Barocc.: ἀτοπωτάτων codd.    12 ἐμπολιτεύσασθαι conicio    15 ἀνιέντα Mang.: ἀνέντα codd.    17 ῥᾴδιον conicio    18 ἀλλὰ B    20 κακοδαίμων coni. Mang.    ἐκ τύχης] ἐξ ἀρχῆς coni. Mang.    21 τὴν] ἣν coni. Mang.    22 κἄπειτα] ἐπεί τοι conicio

---

6—11 D[P] fol. 358[v] D[M] fol. 269[r] τοῦ αὐτοῦ ἐκ τῶν περὶ τῶν μετονομαζομένων Mel. Barocc. fol. 168[r] Φίλωνος: χαλεπὸν (τῆς add. Barocc.) ψυχῆς — ἀτόπων.
23—199,2 pergit D[P] D[M] Mel. Barocc. l. c. βαρὺ δὲ τὸ διὰ λόγου τὰ πονηρὰ προφέρειν, ὅ ἐστιν ἄδικος πρᾶξις. λόγος — βλαβερώτερον.

„λόγος γὰρ ἔργου“ φασί „σκιά,“ σκιᾶς δὲ βλαπτούσης πῶς οὐ τὸ ἔργον
βλαβερώτερον; διὰ τοῦτο καὶ Μωυσῆς τὴν μὲν γνώμην ἐγκλημάτων καὶ
ἐπιτιμίων ἀπήλλαξεν, ἀκουσίοις τὰ πολλὰ μεταβολαῖς χρωμένην καὶ τροπαῖς
καὶ πάσχουσαν μᾶλλον ὑπὸ τῶν ἐπεισφοιτώντων νοημάτων ἔξωθεν ἢ
δρῶσαν· τὰ δ' ὅσα ἂν ἐξέλθῃ διὰ τοῦ στόματος, ταῦτ' εἰς ἀπόλογον
καὶ εὐθύνας ἄγει, ὡς ἂν δὴ τοῦ λέγειν ἐφ' ἡμῖν ὑπάρχοντος. ἀλλ' αἱ 244
μὲν λόγων εὔθυναι μετριώτεραι, αἱ δ' ὑπαιτίων ἔργων ἀργαλεώτεραι.
μεγάλας γὰρ τάττει τιμωρίας ἐπὶ τοῖς μεγάλα ἀδικοῦσι καὶ ἔργῳ ἐπε-
ξιοῦσιν ἃ γνώμῃ μὲν ἀγνώμονι ἐβουλεύσαντο, προπετείᾳ δὲ γλώττης
p. 616 M. ἐξελάλησαν. (43.) τὰ δὲ καθάρσια | τῶν τριῶν, διανοίας, λόγου, πρά- 245
ξεως, εἴρηκεν [οὖν] πρόβατον καὶ ζεῦγος τρυγόνων ἢ περιστερῶν καὶ
σεμιδάλεως ἱεροῦ μέτρου δέκατον, ἀξιῶν προβάτῳ μὲν διάνοιαν καθαί-
ρεσθαι, λόγον δὲ τοῖς πτηνοῖς, σεμιδάλει δὲ πρᾶξιν. διὰ τί; ὅτι, κα- 246
θάπερ ἐν ἡμῖν ἄριστον ὁ νοῦς, καὶ ἐν ζῴων ἀλόγων γένει τὸ πρόβατον
ἅτε ἡμερώτατον ὑπάρχον καὶ καρπὸν ἐτήσιον ἀνατέλλον ἐξ ἑαυτοῦ πρὸς
ὠφέλειαν ὁμοῦ καὶ κόσμον ἀνθρώπων· ἐσθὴς γὰρ τὰς ἀπὸ κρυμοῦ καὶ
θάλπους ἀνείργει βλάβας καὶ τὰ ἀπόρρητα τῆς φύσεως ἐπισκιάζουσα
πρὸς εὐκοσμίας τοῖς χρωμένοις ἐστί. σύμβολον οὖν ἔστω τῆς τοῦ 247
ἀρίστου καθάρσεως, διανοίας, τὸ ζῴων ἄριστον, τὸ πρόβατον, λόγου δὲ
τὰ πτηνά· κοῦφόν τε γὰρ ὁ λόγος καὶ πτηνὸν φύσει, βέλους θᾶττον
φερόμενος καὶ πάντῃ διᾴττων. τὸ γὰρ ἅπαξ λεχθὲν ἀναδραμεῖν μὲν
οὐκ ἔστιν, ἔξω δὲ φερόμενον, τάχει πολλῷ τρέχον, πλήττει τὰ ὦτα
καὶ διὰ πάσης ἀκοῆς ἐρχόμενον εὐθὺς ἠχεῖ. δίδυμος δὲ ὁ λόγος, ὁ 248
μὲν ἀληθής, ὁ δὲ ψευδής· οὗ μοι δοκεῖ χάριν ζεύγει τρυγόνων ἢ περι-
στερῶν ἐξομοιωθῆναι. τῶν δὲ πτηνῶν τὸ μὲν περὶ ἁμαρτίας φησὶ
δεῖν εἶναι, τὸ δὲ ὁλοκαύτωμα θύειν, ἐπειδὴ τὸν μὲν ἀληθῆ λόγον ὅλον
δι' ὅλου συμβέβηκεν εἶναι ἱερόν ⟨τε καὶ⟩ τέλειον, τὸν δὲ ψευδῆ διημαρ-
τῆσθαί τε καὶ ἐπανορθώσεως δεῖσθαι. πράξεως δέ, ὡς ἔφην, σύμβολον 249

---

2 Μωσῆς codd. 3 ἀκουσίοις scripsi: ἀκουσίαις codd. 7 ὑπαιτίων Mang.: ὑπαίτιαι codd. 11 οὖν seclusi, fort. θῆλυ leg., νῦν coni. Cohn 12 τριῶν μέτρων coni. Mang. 15 ἀνατέλλων A 16 ἀσφάλειαν coni. Mang. 17 ἀποσκιάζουσα Hoesch. 18 εὐκοσμίας B: εὐκοσμίαν A 19 ζῷον B(?)v 21 φερόμενος et διᾴττων scripsi: φερόμενον et διᾷττον codd. 24 ζεύγει ex ζεύγῃ corr. B 25 τὸ Hoesch.: τὰ codd. 26 εἶναι fort. secl. 27 ὅλων coni. Cohn τε καὶ addidi, καὶ add. Mang.

---

1 Democriti fr. 105 Natorp, qui omisit testimonia Philonea.

ἡ σεμίδαλις· καὶ γὰρ ταύτην συμβέβηκεν οὐκ ἄνευ τέχνης καὶ ἐπινοίας
καθαίρεσθαι, ἀλλὰ χερσὶ σιτοπόνων, ἐπιτήδευμα τὸ πρᾶγμα πεποιηκότων,
διακρίνεται. διὸ καί φησι· „δραξάμενος ὁ ἱερεὺς πλήρη τὴν δράκα τὸ
μνημόσυνον αὐτῆς ἀνοίσει“ (Lev. 5, 12), διὰ τῆς δρακὸς τὸ ἐγχείρημα
250 καὶ τὴν πρᾶξιν ἐμφαίνων. ἄγαν δ' ἐξητασμένως ἐπὶ μὲν τοῦ κτήνους
εἶπεν· „ἐὰν δὲ μὴ ἰσχύῃ ἡ χεὶρ τὸ ἱκανὸν εἰς πρόβατον“ (ibid. 5,7),
ἐπὶ δὲ τῶν πτηνῶν· „ἐὰν δὲ μὴ εὑρίσκῃ“ (ibid. 5,11). διὰ τί; ὅτι
μεγάλης μὲν ἰσχύος καὶ ὑπερβαλλούσης δυνάμεώς ἐστι καταλῦσαι τὰς
τῆς διανοίας τροπάς, οὐ μεγάλης δὲ ῥώμης τὰ λόγων ἐπισχεῖν ἁμαρ-
251 τήματα. πάντων γὰρ ἀλεξίκακον τῶν διὰ φωνῆς ἁμαρτανομένων, ὡς
καὶ πρότερον εἶπον, ἡσυχία, ᾗ παντί τῳ ῥᾴδιον χρῆσθαι· πολλοὶ δὲ
διὰ τὸ λάλον καὶ ἀμετροεπὲς οὐχ εὑρίσκουσι πέρας ἐπιθεῖναι τῷ λόγῳ.
252 (44.) ταύταις καὶ ταῖς παραπλησίαις τομαῖς καὶ διαστολαῖς τῶν πραγ-
μάτων ἐντραφεὶς καὶ ἐνασκηθεὶς ὁ ἀστεῖος ἆρ' οὐκ εἰκότως εὔχεσθαι
ἂν δόξαι τὸν Ἰσμαὴλ ζῆν, εἰ μὴ δύναται κυοφορῆσαί πω | τὸν Ἰσαάκ; p. 617 M.
253 τί οὖν ὁ χρηστὸς θεός; ἓν αἰτησαμένῳ δύο δίδωσι καὶ τὸ ἔλαττον
εὐξαμένῳ χαρίζεται τὸ μεῖζον. „εἶπε“ γάρ φησι „τῷ Ἀβραάμ· ναί,
ἰδοὺ Σάρρα ἡ γυνή σου τέξεταί σοι υἱόν“ (Gen. 17,19)· εὐθυβόλος γε
ἡ συμβολικὴ ἀπόκρισις ἡ ναί. τί γὰρ ἐμπρεπέστερον ἢ τἀγαθὰ ἐπι-
254 νεύειν θεῷ καὶ ταχέως ὁμολογεῖν; ἀλλ' οἷς ἐπινεύει τὸ θεῖον, ἅπας
ἄφρων ἀνανένευκε. τὴν γοῦν Λείαν μισουμένην εἰσάγουσιν οἱ χρησμοί·
διὸ καὶ τοιαύτης ἔτυχε προσρήσεως· ἑρμηνευθεῖσα γάρ ἐστιν ἀνανευο-
μένη καὶ κοπιῶσα διὰ τὸ πάντας ἡμᾶς ἀρετὴν ἀποστρέφεσθαι καὶ κο-
255 πώδη νομίζειν ἐπιτάγματα οὐχ ἡδέα πολλάκις ἐπιτάττουσαν. ἀλλὰ
τοσαύτης ἀποδοχῆς ἠξίωται παρὰ τοῦ πανηγεμόνος, ὥστε τὴν μήτραν
ὑπ' αὐτοῦ διοιχθεῖσαν (Gen. 29,31) σπορὰν θείας γονῆς παραδέξασθαι
πρὸς τὴν τῶν καλῶν ἐπιτηδευμάτων καὶ πράξεων γένεσιν. μάθε οὖν,
ὦ ψυχή, ὅτι καὶ „Σάρρα“, ἡ ἀρετή, „τέξεταί σοι υἱόν“, οὐ μόνον Ἄγαρ,
ἡ μέση παιδεία· ἐκείνης μὲν γὰρ τὸ ἔγγονον διδακτόν, ταύτης δὲ πάντως
256 αὐτομαθές ἐστι. μὴ θαυμάσῃς ⟨δ'⟩, εἰ πάντα φέρων σπουδαῖα ὁ θεὸς
ἤνεγκε καὶ τοῦτο τὸ γένος, σπάνιον μὲν ἐπὶ γῆς, πάμπολυ δ' ἐν οὐρανῷ.

---

3 διακρίνεσθαι conicio  τὴν B: τὸν A  4 αὐτῆς ex LXX Mang.: αὐτῶν codd.  8 ὑπερβαλούσης B  9 οὐ om. B  18 σοι B: om. A  19 prius ἡ] καὶ coni. Mang.  τὰ ἀγαθὰ B  20 θεῷ scripsi: θεοῦ AB, θεὸν Cantabrig. Coll. S. Trin. B. 9. 6, τε coni. Mang.  24 ἐπιτάττουσαν] ν add. B²  25 τοῦ πανηγεμόνος Mang.: τῶν ἡγεμόνων codd., τοῦ πάντων ἡγεμόνος coni. Cohn  26 θείας Cohn: θείου codd.  30 δ' adddidi  ⟨τὰ⟩ σπουδαῖα conicio  31 τὸ B² (Mang.): om. AB¹

μάθοις δ' ἂν ἀπὸ τῶν ἄλλων, ἐξ ὧν συνέστηκεν ἄνθρωπος. ἆρά γε
οἱ ὀφθαλμοὶ διδαχθέντες ὁρῶσι; τί δ'; οἱ μυκτῆρες ὀσφραίνονται μα-
θήσει; ἅπτονται δ' αἱ χεῖρες ἢ οἱ πόδες προΐασι κατ' ἐπιτάγματα ἢ
παραινέσεις ὑφηγητῶν; αἱ δ' ὁρμαὶ καὶ φαντασίαι — πρῶται δ' εἰσὶν 257
αὗται κινήσεις καὶ σχέσεις ψυχῆς — διδασκαλίᾳ συνέστησαν; παρὰ δὲ
σοφιστὴν φοιτήσας ὁ νοῦς ἡμῶν νοεῖν καὶ καταλαμβάνειν ἔμαθε; πάντα
ταῦτ' ἀφειμένα διδασκαλίας ἀπαυτοματιζούσῃ φύσει χρῆται πρὸς τὰς
οἰκείας ἐνεργείας. τί οὖν ἔτι θαυμάζεις, εἰ καὶ ἀρετὴν ἄπονον καὶ 258
ἀταλαίπωρον ὁ θεὸς ὀμβρήσει μηδεμιᾶς δεομένην ἐπιστασίας, ἀλλ' ἐξ
ἀρχῆς ὁλόκληρον καὶ παντελῆ; εἰ ⟨δὲ⟩ καὶ μαρτυρίαν βούλει λαβεῖν,
Μωυσέως ἀξιοπιστοτέραν εὑρήσεις; ὅς φησι τοῖς μὲν ἄλλοις ἀνθρώποις
ἀπὸ γῆς εἶναι τὰς τροφάς, μόνῳ δὲ ἀπ' οὐρανοῦ τῷ ὁρατικῷ. ταῖς 259
μὲν οὖν ἀπὸ γῆς καὶ ἄνθρωποι γεωπόνοι συνεργοῦσι, τὰς δ' ἀπ' οὐρα-
νοῦ νίφει χωρὶς συμπράξεως ἑτέρων ὁ μόνος αὐτουργὸς θεός. καὶ μὴν
λέγεται· „ἰδοὺ ὕω ὑμῖν ἄρτους ἀπ' οὐρανοῦ“ (Exod. 16,4). τίνα οὖν
p. 618 M. ἀπ' ⟨οὐρανοῦ⟩ τροφὴν ἐνδίκως ὕεσθαι λέγει, ὅτι μὴ τὴν οὐράνιον | σο-
φίαν; ἣν ἄνωθεν ἐπιπέμπει ταῖς ἵμερον ἀρετῆς ἐχούσαις ψυχαῖς ὁ 260
φρονήσεως εὐθηνίαν καὶ εὐετηρίαν ἔχων καὶ τὰ ὅλα ἄρδων καὶ μάλιστα
ἐν ἱερᾷ ἑβδόμῃ, ἣν σάββατον καλεῖ (Exod. 16,23 ss.). τότε γὰρ τὴν
τῶν αὐτομάτων ἀγαθῶν φορὰν ἔσεσθαί φησιν, οὐκ ἐξ ὅλης τέχνης ἀνα-
τελλόντων, ἀλλ' αὐτογενεῖ καὶ αὐτοτελεῖ φύσει βλαστανόντων καὶ τοὺς
οἰκείους φερόντων καρπούς.

(45.) Τέξεταί σοι ἡ ἀρετὴ υἱὸν γενναῖον ἄρρενα (Gen. 17,19), 261
παντὸς ἀπηλλαγμένον θήλεος πάθους, καὶ καλέσεις τὸ ὄνομα τοῦ υἱοῦ τὸ
πάθος, ὅπερ ἂν ἐπ' αὐτῷ πάθῃς, πείσῃ δὲ πάντως χαράν· ὥστε καὶ τὸ
σύμβολον αὐτῆς ὄνομα θήσεις, γέλωτα. καθάπερ λύπη καὶ φόβος ἰδίας 262
ἀναφθέγξεις ἔχουσιν, ἃς ἂν τὸ βιασάμενον καὶ κρατῆσαν ὀνοματοποιήσῃ
πάθος, οὕτως εὐβουλίαι καὶ εὐφροσύναι φυσικαῖς ἐκφωνήσεσιν ἀναγκά-
ζουσι χρῆσθαι, ὧν οὐκ ἂν εὕροι τις κυριωτέρας καὶ εὐθυβολωτέρας
κλήσεις, κἂν τυγχάνῃ περὶ τὰς κλήσεις σοφός. διό φησιν· „εὐλόγηκα 263

1 μάθης B 2 ὀσφραίνονται scripsi: ὄσφρονται codd. 5 σχέσεις Mang.: πείσεις codd. 6 σοφιστὴν Mang.: σοφιστῇ codd. 7 ταῦτα B ἀφειμένα scripsi: ἐφιέμενα codd., ἀφιέμενα Mang. 10 ⟨δὲ⟩ add. Mang. 11 Μωσέως codd. 14 νείφει codd. 16 ἀπ' οὐρανοῦ τροφὴν Markland (nisi quod οὖν del.): ἀποτροφήν codd. 17 ἐπινίφει coni. Mang. 18 ἔχων] χέων Mang. 20 αὐτομάτων Mang.: αὐτομαθῶν codd. ὅλης] ὑλικῆς coni. Mang., ἀνθρωπίνης conicio 21 αὐθιγενεῖ conicio 26 καθάπερ ⟨γὰρ⟩ coni. Cohn 27 ὀνοματοποιήσῃ scripsi: ὄνομα ποιήσῃ codd. 30 τυγχάνοι A

αὐτόν, αὐξήσω αὐτόν, πληθυνῶ, δώδεκα ἔθνη γεννήσει“ (ibid. 20), τὸν κύκλον καὶ τὸν χορὸν ἅπαντα τῶν σοφιστικῶν προπαιδευμάτων. „τὴν δὲ διαθήκην μου στήσω πρὸς Ἰσαάκ“ (ibid. 21), ἵν᾽ ἑκατέρας ἀρετῆς τὸ ἀνθρώπων μεταποιῆται γένος, διδακτῆς τε καὶ αὐτομαθοῦς, τὸ μὲν ἀσθενέστερον διδασκομένης, ἑτοίμης δὲ τὸ ἐρρωμένον.

264 (46.) „Εἰς δὲ τὸν καιρὸν τοῦτον τέξεταί σοι“, φησίν, ἡ σοφία χαράν (ibid.). ποῖον, ὦ θαυμασιώτατε, δεικνύεις καιρόν; ἢ τὸν ὑπὸ γενέσεως ἄδεικτον μόνον; ὁ γὰρ ἀληθὴς αὐτὸς ⟨ἂν⟩ εἴη καιρός, ἀνατολὴ τῶν ὅλων, ἡ εὐπραξία καὶ εὐκαιρία γῆς, οὐρανοῦ, τῶν μεταξὺ
265 φύσεων, ζῴων ὁμοῦ καὶ φυτῶν ἁπάντων. ὅθεν καὶ Μωυσῆς ἐθάρρησεν εἰπεῖν τοῖς ἀποδεδρακόσι καὶ μὴ θέλουσι τὸν ὑπὲρ ἀρετῆς ἄρασθαι πόλεμον πρὸς τοὺς ἀντιτεταγμένους· „ἀφέστηκεν ὁ καιρὸς ἀπ᾽ αὐτῶν, ὁ δὲ κύριος ἐν ἡμῖν“ (Num. 14,9). μόνον γὰρ οὐκ ἄντικρυς ὁμολογεῖ τὸν θεὸν καιρόν, ὃς παντὸς μὲν ἀσεβοῦς μακρὰν ἀφέστηκεν, ἀρετώσαις
266 δ᾽ ἐμπεριπατεῖ ψυχαῖς. „περιπατήσω“ γάρ φησιν „ἐν ὑμῖν, καὶ ἔσομαι ὑμῶν θεός“ (Lev. 26,12). οἱ δὲ τὰς ὥρας τοῦ ἔτους καιροὺς εἶναι λέγοντες οὐ κυρίως καταχρῶνται τοῖς ὀνόμασιν, ἅτε μὴ πάνυ | τὰς φύσεις p. 619 M.
τῶν πραγμάτων ἠκριβωκότες, ἀλλὰ πολλοῦ τοῦ εἰκῇ μετέχοντες.

267 (47.) Ἐπιτείνων δὲ τὸ κάλλος τοῦ γεννωμένου φησὶν αὐτὸ „ἐν τῷ ἐνιαυτῷ τῷ ἑτέρῳ“ (Gen. 17,21) γεννηθήσεσθαι, ἐνιαυτὸν ἕτερον οὐ ⟨τὸ⟩ τοῦ χρόνου μηνύων διάστημα, ὃ ταῖς σεληνιακαῖς ἢ ἡλιακαῖς ἀναμετρεῖται περιόδοις, ἀλλὰ τὸ ἔκτοπον καὶ ξένον καὶ καινὸν ὄντως, ἕτερον τῶν ὁρωμένων καὶ αἰσθητῶν, ἐν ἀσωμάτοις καὶ νοητοῖς ἐξεταζόμενον, ὅπερ τὸ χρόνου παράδειγμα καὶ ἀρχέτυπον εἴληχεν, αἰῶνα. αἰὼν δὲ ἀναγράφεται τοῦ νοητοῦ βίος κόσμου, ὡς αἰσθητοῦ χρόνος.
268 ἐν ᾧ ἐνιαυτῷ καὶ „τὴν ἑκατοστεύουσαν εὑρίσκει κριθήν“ (Gen. 26,12) ὁ τὰς θεοῦ χάριτας ἐπὶ γενέσει πλειόνων σπείρας ἀγαθῶν, ἵν᾽ ὡς
269 πλεῖστοι τῶν ἐπαξίων τυχεῖν μεταλάβωσιν. ἀλλὰ γὰρ τῷ σπείραντι καὶ θερίζειν ἔθος· ὁ δ᾽ ἔσπειρε μὲν ἐπιδεικνύμενος τὴν ἔχθραν φθόνου καὶ κακίας ἀρετήν, εὑρεῖν δέ, ἀλλ᾽ οὐ θερίσαι λέγεται· ὁ γὰρ στάχυν

---

1 ⟨καὶ⟩ πληθυνῶ coni. Mang. 5 αὐτομαθοῦς δὲ τὸ ἐρρωμενέστερον coni. Mang. τῷ ἐρρωμένῳ B 8 ἂν addidi 9 καὶ] καὶ ἡ B 10 Μωσῆς codd. 11 ἀποδεδειλιακόσι coni. Mang. 18 πολλοῦ om. B εἰκαίου coni. Mang. 19 αὐτὸν coni. Cohn 21 τὸ addidi ὃ] ὃς coni. Mang. 25 ὡς] ὡς καὶ Mang.

---

25 cf. ad p. 38,15.

ἁδρότερον τῶν εὐεργεσιῶν καὶ πλήρη πεποιηκὼς ἕτερος ἦν, ὃς εὐτρεπισάμενος καὶ ἑτοιμασάμενος ἐλπίδας μείζους καὶ πλείους δωρεὰς προύθηκε τοῖς ζητοῦσιν εἰς εὕρεσιν.

(48.) Τὸ δὲ „συνετέλεσε λαλῶν πρὸς αὐτὸν“ (Gen. 17,22) ἴσον 270 ἐστὶ τῷ τὸν ἀκροατὴν αὐτὸν ἐτελείωσε κενὸν ὄντα σοφίας πρότερον καὶ ἀθανάτων λόγων ἐπλήρωσεν. ἐπεὶ δὲ τέλειος ὁ μαθητὴς ἐγένετο, „ἀνέβη κύριος ἀπὸ Ἀβραάμ“ (ibid.) δηλῶν, οὐχ ὅτι διεζεύχθη — φύσει γὰρ θεοῦ ὀπαδὸς ὁ σοφός —, ἀλλὰ τὸ ἑκούσιον τοῦ μαθητοῦ βουλόμενος παραστῆσαι, ἵν', ὅπερ ἔμαθε, μηκέτι ἐφεστῶτος τοῦ διδάσκοντος χωρὶς ἀνάγκης αὐτὸς ἐπιδεικνύμενος, ἐθελουργῷ καὶ αὐτοκελεύστῳ προθυμίᾳ χρώμενος, ἐνεργῇ δι' ἑαυτοῦ. δίδωσι γὰρ ὁ διδάσκαλος τῷ μαθόντι τόπον πρὸς τὴν ἄνευ ὑποβολῆς ἑκούσιον μελέτην, ἀλήστου μνήμης ἐγχαράττων βεβαιότατον εἶδος.

---

1 εὐεργεσιῶν] συνήθων conicio    ὃς scripsi: ὁ codd.    7 ⟨φησὶ⟩ κύριος conicio    9 ὅπερ Mang.: ὥσπερ codd.

ἢ δικαιοσύνῃ ἢ φιλανθρωπίᾳ. φερέτω γὰρ ἕν τι ἀγαθὸν ἡ ψυχὴ καὶ
226 τικτέτω, μὴ πάντων ἄφορος καὶ στεῖρα γινέσθω. σὺ δὲ τοιαῦτα ἐπι-
τάγματα ἐπιτάξεις υἱεῖ τῷ σεαυτοῦ; εἰ μὴ τοῖς οἰκέταις ἡμέρως χρῇ,
μηδὲ τοῖς ὁμοτίμοις κοινωνικῶς· εἰ μὴ κοσμίως γυναικί, μηδὲ γονεῦσι
τιμητικῶς· εἰ μητρὸς ὀλιγωρεῖς καὶ πατρός, ἀσέβει καὶ εἰς τὸ θεῖον.
εἰ χαίρεις ἡδονῇ, μη⟨δὲ⟩ φιλαργυρίας ἀποστῇς. ἐφίεσαι πολυχρηματίας;
227 καὶ κενοδόξει. τί γάρ; οὐ μετριάζειν ἐν ἐνίοις ἀξιοῖς, εἰ μὴ ἐν πᾶσι
δύνασαι; οὐκ ἂν οὖν εἴποι ὁ υἱός· τί λέγεις, ὦ πάτερ; ἢ τέλειον ἀγαθὸν
ἢ τέλειον κακὸν βούλει σοι τὸν υἱὸν γενέσθαι καὶ οὐκ ἀγαπήσεις, εἰ
228 πρὸ τῶν ἄκρων τὰ μέσα ἕλοιτο; οὐ διὰ τοῦτο καὶ ὁ Ἀβραὰμ ἐπὶ τῆς
Σοδομιτῶν ἀπωλείας ἀρξάμενος ἀπὸ πεντηκοντάδος εἰς δεκάδα τελευτᾷ
(Gen. 18,24. 32), ποτνιώμενος καὶ ἱκετεύων, ἵν', εἰ μὴ εὑρίσκοιτο
ἐν γενέσει ἡ παντελὴς εἰς ἐλευθερίαν ἄφεσις (Lev. 25,10), ἧς σύμ-
βολον ὁ πεντηκοστὸς λόγος ἱερός, ἡ μέση παιδεία παραληφθῇ δεκάδι
παραριθμουμένη πρὸς τὴν τῆς καταδικάζεσθαι ψυχῆς μελλούσης ἀπό-
229 λυσιν; τῶν ἀναγώγων οἱ πεπαιδευμένοι καὶ τῶν ἀλύρων καὶ ἀμούσων
οἱ ⟨ἐγ⟩κεχορευκότες τῇ ἐγκυκλίῳ μουσικῇ πλείους ἀφορμὰς ἔχουσι πρὸς
τὸ αὔξεσθαι, σχεδὸν ἐκ παίδων τοῖς περὶ καρτερίας καὶ ἐγκρατείας καὶ
ἀρετῆς πάσης λόγοις ἐπαντληθέντες. διὸ εἰ καὶ μὴ παντελῶς ἐξερρύ-
ψαντο καὶ ἀπελούσαντο τὸ ἀδικεῖν φαιδρυνόμενοι δέ, ἀλλὰ μετρίως γοῦν
230 καὶ μέσως ἐρρύψαντο. τὸ παραπλήσιον ὁ Ἠσαῦ λέγειν ἔοικε τῷ πατρί·
„μὴ εὐλογία σοι μία ἐστί, πάτερ; εὐλόγησον κἀμέ, πάτερ“ (Gen. 27,
38). ἄλλαι γὰρ ἄλλοις ἀποκεχρίσθωσαν, τελείοις μὲν τέλειαι, μέσαι
δὲ ἀτελέσιν, ὡς ἔχει καὶ ἐπὶ τῶν σωμάτων· ὑγιαινόντων γὰρ καὶ νο-
σούντων ἕτερα μὲν γυμνάσματα, ἕτεραι δὲ τροφαί, καὶ ὅσα ἄλλα περὶ
δίαιταν, οὐ τὰ αὐτά, ἀλλὰ τοῖς μὲν τὰ πρόσφορα, ἵνα μηδ' ὅλως νοσή-
231 σωσι, τοῖς δὲ τὰ οἰκεῖα, ὅπως πρὸς τὸ ὑγιεινότερον μεταβάλωσι. πολ-
λῶν οὖν ἀγαθῶν ὑπαρχόντων ἐν τῇ φύσει τὸ δοκοῦν ἐφαρμόττειν μοι
τοῦτο χάρισαι, κἂν μικρότατον ᾖ, στοχασάμενος ἐκείνου μόνου, εἰ δυνή-

---

1 ἕν Mang.: ἑνός codd. 3 εἰ om. B 5 τιμητικός B 6 μηδὲ scripsi: μὴ codd. 8 δύναται conicio 8. 9 τελείως bis coni. Mang. 9 σου coni. Cohn 10 ἕλοιτο scripsi: ἕληται codd. τῆς A: τοῖς B 11 δεκάδα Mang.: πεντάδα codd. 12 ἵνα μὴ B 13 τῇ γενέσει v ἧς A: ἣ B 15 ψυχῆς A: τῆς B 17 ἐγκεχορευκότες Mang.: κεχορευκότες codd. 18 αὔξεσθαι scripsi (αὔξασθαι Mang.): εὔξεσθαι codd. καρτερίας Mang.: ἀρετῆς codd. 18. 19 καὶ ἀρετῆς πάσης om. B 19 ἐπασκηθέντες coni. Mang. (immo ἐνασκηθέντες) 20 δὲ codd.: δὴ Mang., τελείως conicio 21 Ἡσαῦ A 22 εὐλογία σοι] α et οι in ras. B² μία σοι ex LXX conicio ἐστί scripsi: ἔσται codd.

σομαι τὸ δοθὲν φέρειν εὐμαρῶς, ἀλλὰ καὶ μὴ πρὸς τοῦτο ἀπειπὼν ὁ
δυστυχὴς ὀκλάσω. τί δ' οἰόμεθα ἐμφαίνεσθαι διὰ τοῦ· „μὴ χεὶρ κυρίου 232
οὐκ ἐξαρκέσει“ (Num. 11,23); ἆρ' οὐχὶ τὸ πάντῃ τὰς τοῦ ὄντος
φθάνειν δυνάμεις ἐπ' εὐεργεσίᾳ μὴ μόνον τῶν ἐνδόξων ἀλλὰ καὶ τῶν
p. 614 M. ἀφανεστέρων εἶναι | δοκούντων; οἷς τὰ ἁρμόττοντα χαρίζεται πρὸς τὰ
τῆς ἑκάστου ψυχῆς σταθμήματα καὶ μέτρα σταθμώμενος καὶ διαμετρῶν
ἰσότητι παρ' ἑαυτῷ τὸ ἀνάλογον ἑκάστοις. (41.) καταπλήττει με οὐχ 233
ἥκιστα καὶ ὁ τεθεὶς νόμος ἐπὶ τοῖς ἐκδυομένοις τὰ ἁμαρτήματα καὶ
μεταγινώσκειν δοκοῦσι. κελεύει γὰρ τὸ μὲν πρῶτον ἱερεῖον προσάγειν
θῆλυ πρόβατον ἄμωμον. „ἐὰν δὲ“ φησί „μὴ ἰσχύῃ ἡ χεὶρ αὐτοῦ τὸ
ἱκανὸν εἰς πρόβατον, οἴσει περὶ τῆς ἁμαρτίας ἧς ἥμαρτε δύο τρυγόνας
ἢ δύο νεοσσοὺς περιστερῶν, ἕνα περὶ ἁμαρτίας καὶ ἕνα εἰς ὁλοκαύτωμα.
ἐὰν δὲ μὴ εὑρίσκῃ ἡ χεὶρ αὐτοῦ ζεῦγος τρυγόνων ἢ δύο νεοσσοὺς περι- 234
στερῶν, οἴσει τὸ δῶρον τὸ δέκατον οἶφι σεμίδαλιν. οὐκ ἐπιχεεῖ ἐπ'
αὐτὸ ἔλαιον οὐδ' ἐπιθήσει ἐπ' αὐτὸ λίβανον, ὅτι περὶ ἁμαρτίας ἐστί.
καὶ οἴσει αὐτὸ πρὸς τὸν ἱερέα, καὶ δραξάμενος ὁ ἱερεὺς ἀπ' αὐτοῦ
πλήρη τὴν δράκα τὸ μνημόσυνον ἐπιθήσει ἐπὶ τὸ θυσιαστήριον“
(Lev. 5, 7. 11. 12). οὐκοῦν τρισὶ μετανοίας τρόποις ἱλάσκεται τοῖς 235
εἰρημένοις, κτήνεσιν ἢ πτηνοῖς ἢ λευκοπύροις, πρὸς τὴν τοῦ καθαιρο-
μένου καὶ μετανοοῦντος δήπου δύναμιν· οὔτε γὰρ μικρὰ μεγάλων οὔτε
μεγάλα μικρῶν δεῖται καθαρσίων, τῶν δὲ πρὸς τὸ ἀνάλογον ἴσων καὶ
ὁμοίων. τί δήποτ' οὖν διὰ τριῶν ἡ κάθαρσις, ἄξιον ἐρευνῆσαι. σχεδὸν 236
τοίνυν καὶ τὰ ἁμαρτήματα καὶ τὰ κατορθώματα συμβέβηκεν ἐν τρισὶν
ἐξετάζεσθαι, διανοίᾳ, λόγοις, πράξεσιν. οὗ χάριν κἀν τοῖς προτρεπτικοῖς
Μωυσῆς διδάσκων, ὅτι ἡ ἀγαθοῦ κτῆσις οὔτ' ἀδύνατός ἐστιν οὔτε δυσθή-
ρατος, φησίν· οὐκ εἰς οὐρανὸν ἀναπτῆναι δεῖ οὐδ' ἄχρι περάτων γῆς 237
καὶ θαλάττης ἐλθεῖν ἐπὶ τὴν σύλληψιν αὐτοῦ· ἀλλ' ἐστὶν ἐγγύς, καὶ
σφόδρα ἐγγύς. εἶτα μόνον οὐκ ὀφθαλμοφανῶς δείκνυσι· „πᾶν ἔργον“
φησί „τῷ στόματί σου καὶ τῇ καρδίᾳ καὶ ταῖς χερσί“ (Deut. 30,
12—14), συμβολικῶς ἐν λόγοις, ἐν βουλαῖς, ἐν ἔργοις· ἐκ γὰρ εὐβου-
λίας καὶ εὐλογίας καὶ εὐπραξίας τὴν ἀνθρωπίνην εὐδαιμονίαν συνίστασθαι,

---

1 μὴ καὶ coni. Mang. 6 σταθμούμενος B 7 ἰσώτατα coni. Mang.
12 εἰς] εἰς τὸ Hoesch. 14 ⟨τοῦ⟩ οἶφι conicio σεμιδάλεως e Vaticano codice versionis LXX falso Mang. ἐπιχεεῖ ex LXX Mang.: ἐπιχρίσει codd.
15 λιβανωτόν Mang. 17 ⟨αὐτῆς⟩ ἐπιθήσει conicio; v. § 249 24 διανοίαις conicio
25 Μωσῆς codd. ἀγαθοῦ Mang.: ἀγαθὴ codd., τἀγαθοῦ conicio 28 δείκνυσι. ἐν γὰρ τῷ στόματί σου, φησί, καὶ conicio ἔργον] ῥῆμα ex LXX coni. Mang.
31 εὐδαιμονίαν ἀνθρωπίνην v

238 ὥσπερ καὶ τὴν κακοδαιμονίαν ἐκ τῶν ἐναντίων. ἐν γὰρ τοῖς αὐτοῖς τό
τε κατορθοῦν καὶ ἁμαρτάνειν χωρίοις ἐστί, καρδίᾳ, στόματι, χειρί· καὶ
γὰρ βουλεύονταί τινες εὐγνωμονέστατα καὶ λέγουσιν ἄριστα καὶ πράττουσι
| τὰ πρακτέα. τριῶν δὲ ὄντων κουφότατόν ἐστι τὸ βουλεύεσθαι ἃ μὴ p. 615 M.
χρή, βαρύτατον δὲ τὸ χειρουργεῖν τὰ ἄδικα, μέσον δὲ τὸ λέγειν ἃ μὴ
239 δεῖ. συμβαίνει δὲ τὸ κουφότατον δυσαποτριπτότατον εἶναι· χαλεπὸν γὰρ
ψυχῆς τροπὴν εἰς ἠρεμίαν ἀγαγεῖν, καὶ θᾶττον ἄν τις χειμάρρου φορὰν
ἐπίσχοι ἢ ψυχῆς τροπὴν ῥέουσαν ἀκατασχέτως· ἀμύθητα γὰρ ἐνθύμια
ἄλλα ἐπ' ἄλλοις τρικυμίας τρόπον ἐπιτρέχει, φοροῦντα καὶ κυκῶντα
240 καὶ πᾶσαν αὐτὴν βιαίως ἀνατρέποντα. τὸ μὲν οὖν ἄριστον τῆς καθάρ-
σεως καὶ τελεώτατον τοῦτ' ἐστί, μηδ' ἐνθυμεῖσθαί τι τῶν ἀτόπων,
ἀλλ' εἰρήνῃ καὶ εὐνομίᾳ, ὧν ἡγεμών ἐστι δικαιοσύνη, πολιτεύσασθαι·
τὸ δὲ δεύτερον, λόγοις μὴ διαμαρτάνειν ψευδόμενον ἢ ψευδορκοῦντα ἢ
ἀπατῶντα ἢ σοφιζόμενον ἢ συκοφαντοῦντα ἢ συνόλως στόμα καὶ γλῶτταν
ἐπ' ὀλέθρῳ τινῶν ἀνιέντα, οἷς χαλινὸν ἦν ἄμεινον περιθεῖναι καὶ δεσμὸν
241 ἄρρηκτον. (42.) διὰ τί δὲ τὸ λέγειν τοῦ νοεῖν τὰ μὴ προσήκοντα βαρύ-
τερον ἁμάρτημα, ῥᾷον ἰδεῖν. ἐνθυμεῖται μέν τις οὐ παρ' ἑαυτὸν ἔστιν
ὅτε, ἀλλ' ἀβουλῶν· ὧν γὰρ οὐ θέλει λαμβάνειν ἐννοίας ἀναγκάζεται,
242 τῶν δ' ἀκουσίων οὐδὲν ὑπαίτιον. λέγει δέ τις ἑκών, ὥστε, εἰ μὴ εὔφημον
προΐεται φωνήν, ἀδικεῖ κακοδαιμονῶν, ὁ μηδ' ἐκ τύχης ἐθέλων τι τῶν
ἐπιεικεστέρων φθέγξασθαι· ᾧ λυσιτελὲς τὴν ἀσφαλεστάτην ἡσυχίαν δεξι-
οῦσθαι· κἄπειτα μὴ ἡσυχάζων τις δύναται δήπου βουληθεὶς σιωπᾶν.
243 τὸ δὲ καὶ τοῦ λέγειν βαρύτερον ἁμάρτημα ἡ ἄδικος πρᾶξίς ἐστι·

---

2 καρδίᾳ om. B 6 δυσαπότρεπτον coni. Mang. 7 εἰς om. D Barocc. 8 τροπὴν ψυχῆς D Barocc. 9 ἀλλ' ἐπ' ἀλλήλοις Barocc. τρικυμίαις Barocc. τὸν τρόπον Barocc. ἐπέχει Barocc. φοροῦντα καὶ om. D Barocc. 10 ἀνατρέποντα $D^M$ Barocc.: ἐπιστρέφοντα codd., ἐπιτρέποντα $D^P$ μὲν γὰρ ἀρκτὸν Barocc., ἄρρηκτον $D^M$ 11 τελειότατον D Barocc. τοῦτό D Barocc. μηδ' scripsi: μηδὲν codd., μὴ D Barocc., μηδὲ v τι om. D Barocc. τῶν om. $D^M$ ἀτόπων D Barocc.: ἀτοπωτάτων codd. 12 ἐμπολιτεύσασθαι conicio 15 ἀνιέντα Mang.: ἀνέντα codd. 17 ῥᾴδιον conicio 18 ἀλλὰ B 20 κακοδαίμων coni. Mang. ἐκ τύχης] ἐξ ἀρχῆς coni. Mang. 21 τὴν] ἣν coni. Mang. 22 κἄπειτα] ἐπεί τοι conicio

---

6--11 $D^P$ fol. $358^v$ $D^M$ fol. $269^r$ τοῦ αὐτοῦ ἐκ τῶν περὶ τῶν μετονομαζομένων Mel. Barocc. fol. $168^r$ Φίλωνος: χαλεπὸν (τῆς add. Barocc.) ψυχῆς—ἀτόπων.
23—199,2 pergit $D^P$ $D^M$ Mel. Barocc. l. c. βαρὺ δὲ τὸ διὰ λόγου τὰ πονηρὰ προφέρειν, ὅ ἐστιν ἄδικος πρᾶξις. λόγος—βλαβερώτερον.

„λόγος γὰρ ἔργου“ φασί „σκιά,“ σκιᾶς δὲ βλαπτούσης πῶς οὐ τὸ ἔργον
βλαβερώτερον; διὰ τοῦτο καὶ Μωυσῆς τὴν μὲν γνώμην ἐγκλημάτων καὶ
ἐπιτιμίων ἀπήλλαξεν, ἀκουσίοις τὰ πολλὰ μεταβολαῖς χρωμένην καὶ τροπαῖς
καὶ πάσχουσαν μᾶλλον ὑπὸ τῶν ἐπεισφοιτώντων νοημάτων ἔξωθεν ἢ
δρῶσαν· τὰ δ' ὅσα ἂν ἐξέλθῃ διὰ τοῦ στόματος, ταῦτ' εἰς ἀπόλογον
καὶ εὐθύνας ἄγει, ὡς ἂν δὴ τοῦ λέγειν ἐφ' ἡμῖν ὑπάρχοντος. ἀλλ' αἱ 244
μὲν λόγων εὔθυναι μετριώτεραι, αἱ δ' ὑπαιτίων ἔργων ἀργαλεώτεραι.
μεγάλας γὰρ τάττει τιμωρίας ἐπὶ τοῖς μεγάλα ἀδικοῦσι καὶ ἔργῳ ἐπε-
ξιοῦσιν ἃ γνώμῃ μὲν ἀγνώμονι ἐβουλεύσαντο, προπετείᾳ δὲ γλώττης
p. 616 M. ἐξελάλησαν. (43.) τὰ δὲ καθάρσια | τῶν τριῶν, διανοίας, λόγου, πρά- 245
ξεως, εἴρηκεν [οὖν] πρόβατον καὶ ζεῦγος τρυγόνων ἢ περιστερῶν καὶ
σεμιδάλεως ἱεροῦ μέτρου δέκατον, ἀξιῶν προβάτῳ μὲν διάνοιαν καθαί-
ρεσθαι, λόγον δὲ τοῖς πτηνοῖς, σεμιδάλει δὲ πρᾶξιν. διὰ τί; ὅτι, κα- 246
θάπερ ἐν ἡμῖν ἄριστον ὁ νοῦς, καὶ ἐν ζῴων ἀλόγων γένει τὸ πρόβατον
ἅτε ἡμερώτατον ὑπάρχον καὶ καρπὸν ἐτήσιον ἀνατέλλον ἐξ ἑαυτοῦ πρὸς
ὠφέλειαν ὁμοῦ καὶ κόσμον ἀνθρώπων· ἐσθὴς γὰρ τὰς ἀπὸ κρυμοῦ καὶ
θάλπους ἀνείργει βλάβας καὶ τὰ ἀπόρρητα τῆς φύσεως ἐπισκιάζουσα
πρὸς εὐκοσμίας τοῖς χρωμένοις ἐστί. σύμβολον οὖν ἔστω τῆς τοῦ 247
ἀρίστου καθάρσεως, διανοίας, τὸ ζῴων ἄριστον, τὸ πρόβατον, λόγου δὲ
τὰ πτηνά· κοῦφόν τε γὰρ ὁ λόγος καὶ πτηνὸν φύσει, βέλους θᾶττον
φερόμενος καὶ πάντῃ διᾴττων. τὸ γὰρ ἅπαξ λεχθὲν ἀναδραμεῖν μὲν
οὐκ ἔστιν, ἔξω δὲ φερόμενον, τάχει πολλῷ τρέχον, πλήττει τὰ ὦτα
καὶ διὰ πάσης ἀκοῆς ἐρχόμενον εὐθὺς ἠχεῖ. δίδυμος δὲ ὁ λόγος, ὁ 248
μὲν ἀληθής, ὁ δὲ ψευδής· οὗ μοι δοκεῖ χάριν ζεύγει τρυγόνων ἢ περι-
στερῶν ἐξομοιωθῆναι. τῶν δὲ πτηνῶν τὸ μὲν περὶ ἁμαρτίας φησὶ
δεῖν εἶναι, τὸ δὲ ὁλοκαύτωμα θύειν, ἐπειδὴ τὸν μὲν ἀληθῆ λόγον ὅλον
δι' ὅλου συμβέβηκεν εἶναι ἱερόν ⟨τε καὶ⟩ τέλειον, τὸν δὲ ψευδῆ διημαρ-
τῆσθαί τε καὶ ἐπανορθώσεως δεῖσθαι. πράξεως δέ, ὡς ἔφην, σύμβολον 249

---

2 Μωσῆς codd. 3 ἀκουσίοις scripsi: ἀκουσίαις codd. 7 ὑπαιτίων Mang.: ὑπαίτιαι codd. 11 οὖν seclusi, fort. θῆλυ leg., νῦν coni. Cohn
12 τριῶν μέτρων coni. Mang. 15 ἀνατέλλων A 16 ἀσφάλειαν coni. Mang.
17 ἀποσκιάζοῦσα Hoesch. 18 εὐκοσμίας B: εὐκοσμίαν A 19 ζῷον B(?)v 21 φερόμενος et διᾴττων scripsi: φερόμενον et διᾶττον codd.
24 ζεύγει ex ζεύγη corr. B 25 τὸ Hoesch.: τὰ codd. 26 εἶναι fort. secl. 27 ὅλων coni. Cohn τε καὶ addidi, καὶ add. Mang.

---

1 Democriti fr. 105 Natorp, qui omisit testimonia Philonea.

ἡ σεμίδαλις· καὶ γὰρ ταύτην συμβέβηκεν οὐκ ἄνευ τέχνης καὶ ἐπινοίας
καθαίρεσθαι, ἀλλὰ χερσὶ σιτοπόνων, ἐπιτήδευμα τὸ πρᾶγμα πεποιηκότων,
διακρίνεται. διὸ καί φησι· „δραξάμενος ὁ ἱερεὺς πλήρη τὴν δράκα τὸ
μνημόσυνον αὐτῆς ἀνοίσει“ (Lev. 5, 12), διὰ τῆς δρακὸς τὸ ἐγχείρημα
250 καὶ τὴν πρᾶξιν ἐμφαίνων. ἄγαν δ' ἐξητασμένως ἐπὶ μὲν τοῦ κτήνους
εἶπεν· „ἐὰν δὲ μὴ ἰσχύῃ ἡ χεὶρ τὸ ἱκανὸν εἰς πρόβατον“ (ibid. 5,7),
ἐπὶ δὲ τῶν πτηνῶν· „ἐὰν δὲ μὴ εὑρίσκῃ“ (ibid. 5,11). διὰ τί; ὅτι
μεγάλης μὲν ἰσχύος καὶ ὑπερβαλλούσης δυνάμεώς ἐστι καταλῦσαι τὰς
τῆς διανοίας τροπάς, οὐ μεγάλης δὲ ῥώμης τὰ λόγων ἐπισχεῖν ἁμαρ-
251 τήματα. πάντων γὰρ ἀλεξίκακον τῶν διὰ φωνῆς ἁμαρτανομένων, ὡς
καὶ πρότερον εἶπον, ἡσυχία, ᾗ παντί τῳ ῥᾴδιον χρῆσθαι· πολλοὶ δὲ
διὰ τὸ λάλον καὶ ἀμετροεπὲς οὐχ εὑρίσκουσι πέρας ἐπιθεῖναι τῷ λόγῳ.
252 (44.) ταύταις καὶ ταῖς παραπλησίαις τομαῖς καὶ διαστολαῖς τῶν πραγ-
μάτων ἐντραφεὶς καὶ ἐνασκηθεὶς ὁ ἀστεῖος ἆρ' οὐκ εἰκότως εὔχεσθαι
ἂν δόξαι τὸν Ἰσμαὴλ ζῆν, εἰ μὴ δύναται κυοφορῆσαί πω | τὸν Ἰσαάκ; p. 617 M.
253 τί οὖν ὁ χρηστὸς θεός; ἓν αἰτησαμένῳ δύο δίδωσι καὶ τὸ ἔλαττον
εὐξαμένῳ χαρίζεται τὸ μεῖζον. „εἶπε“ γάρ φησι „τῷ Ἀβραάμ; ναί,
ἰδοὺ Σάρρα ἡ γυνή σου τέξεταί σοι υἱόν“ (Gen. 17,19)· εὐθυβόλος γε
ἡ συμβολικὴ ἀπόκρισις ἡ ναί. τί γὰρ ἐμπρεπέστερον ἢ τἀγαθὰ ἐπι-
254 νεύειν θεῷ καὶ ταχέως ὁμολογεῖν; ἀλλ' οἷς ἐπινεύει τὸ θεῖον, ἅπας
ἄφρων ἀνανένευκε. τὴν γοῦν Λείαν μισουμένην εἰσάγουσιν οἱ χρησμοί·
διὸ καὶ τοιαύτης ἔτυχε προσρήσεως· ἑρμηνευθεῖσα γάρ ἐστιν ἀνανευο-
μένη καὶ κοπιῶσα διὰ τὸ πάντας ἡμᾶς ἀρετὴν ἀποστρέφεσθαι καὶ κο-
255 πώδη νομίζειν ἐπιτάγματα οὐχ ἡδέα πολλάκις ἐπιτάττουσαν. ἀλλὰ
τοσαύτης ἀποδοχῆς ἠξίωται παρὰ τοῦ πανηγεμόνος, ὥστε τὴν μήτραν
ὑπ' αὐτοῦ διοιχθεῖσαν (Gen. 29,31) σπορὰν θείας γονῆς παραδέξασθαι
πρὸς τὴν τῶν καλῶν ἐπιτηδευμάτων καὶ πράξεων γένεσιν. μάθε οὖν,
ὦ ψυχή, ὅτι καὶ „Σάρρα“, ἡ ἀρετή, „τέξεταί σοι υἱόν“, οὐ μόνον Ἄγαρ,
ἡ μέση παιδεία· ἐκείνης μὲν γὰρ τὸ ἔγγονον διδακτόν, ταύτης δὲ πάντως
256 αὐτομαθές ἐστι. μὴ θαυμάσῃς ⟨δ'⟩, εἰ πάντα φέρων σπουδαῖα ὁ θεὸς
ἤνεγκε καὶ τοῦτο τὸ γένος, σπάνιον μὲν ἐπὶ γῆς, πάμπολυ δ' ἐν οὐρανῷ.

---

3 διακρίνεσθαι conicio τὴν B: τὸν A 4 αὐτῆς ex LXX Mang.: αὐτῶν codd. 8 ὑπερβαλούσης B 9 οὐ om. B 18 σοι B: om. A 19 prius ἡ] καὶ coni. Mang. τὰ ἀγαθὰ B 20 θεῷ scripsi: θεοῦ AB, θεὸν Cantabrig. Coll. S. Trin. B. 9. 6, τε coni. Mang. 24 ἐπιτάττουσαν] ν add. B² 25 τοῦ πανηγεμόνος Mang.: τῶν ἡγεμόνων codd., τοῦ πάντων ἡγεμόνος coni. Cohn 26 θείας Cohn: θείου codd. 30 δ' adddidi ⟨τὰ⟩ σπουδαῖα conicio 31 τὸ B² (Mang.): om. AB¹

μάθοις δ' ἂν ἀπὸ τῶν ἄλλων, ἐξ ὧν συνέστηκεν ἄνθρωπος. ἆρά γε
οἱ ὀφθαλμοὶ διδαχθέντες ὁρῶσι; τί δ'; οἱ μυκτῆρες ὀσφραίνονται μα-
θήσει; ἅπτονται δ' αἱ χεῖρες ἢ οἱ πόδες προΐασι κατ' ἐπιτάγματα ἢ
παραινέσεις ὑφηγητῶν; αἱ δ' ὁρμαὶ καὶ φαντασίαι — πρῶται δ' εἰσὶν 257
αὗται κινήσεις καὶ σχέσεις ψυχῆς — διδασκαλίᾳ συνέστησαν; παρὰ δὲ
σοφιστὴν φοιτήσας ὁ νοῦς ἡμῶν νοεῖν καὶ καταλαμβάνειν ἔμαθε; πάντα
ταῦτ' ἀφειμένα διδασκαλίας ἀπαυτοματιζούσῃ φύσει χρῆται πρὸς τὰς
οἰκείας ἐνεργείας. τί οὖν ἔτι θαυμάζεις, εἰ καὶ ἀρετὴν ἄπονον καὶ 258
ἀταλαίπωρον ὁ θεὸς ὀμβρήσει μηδεμιᾶς δεομένην ἐπιστασίας, ἀλλ' ἐξ
ἀρχῆς ὁλόκληρον καὶ παντελῆ; εἰ ⟨δὲ⟩ καὶ μαρτυρίαν βούλει λαβεῖν,
Μωυσέως ἀξιοπιστοτέραν εὑρήσεις; ὅς φησι τοῖς μὲν ἄλλοις ἀνθρώποις
ἀπὸ γῆς εἶναι τὰς τροφάς, μόνῳ δὲ ἀπ' οὐρανοῦ τῷ ὁρατικῷ. ταῖς 259
μὲν οὖν ἀπὸ γῆς καὶ ἄνθρωποι γεωπόνοι συνεργοῦσι, τὰς δ' ἀπ' οὐρα-
νοῦ νίφει χωρὶς συμπράξεως ἑτέρων ὁ μόνος αὐτουργὸς θεός. καὶ μὴν
λέγεται· „ἰδοὺ ὕω ὑμῖν ἄρτους ἀπ' οὐρανοῦ" (Exod. 16,4). τίνα οὖν
p. 618 M. ἀπ' ⟨οὐρανοῦ⟩ τροφὴν ἐνδίκως ὕεσθαι λέγει, ὅτι μὴ τὴν οὐράνιον | σο-
φίαν; ἣν ἄνωθεν ἐπιπέμπει ταῖς ἵμερον ἀρετῆς ἐχούσαις ψυχαῖς ὁ 260
φρονήσεως εὐθηνίαν καὶ εὐετηρίαν ἔχων καὶ τὰ ὅλα ἄρδων καὶ μάλιστα
ἐν ἱερᾷ ἑβδόμῃ, ἣν σάββατον καλεῖ (Exod. 16,23 ss.). τότε γὰρ τὴν
τῶν αὐτομάτων ἀγαθῶν φορὰν ἔσεσθαί φησιν, οὐκ ἐξ ὅλης τέχνης ἀνα-
τελλόντων, ἀλλ' αὐτογενεῖ καὶ αὐτοτελεῖ φύσει βλαστανόντων καὶ τοὺς
οἰκείους φερόντων καρπούς.

(45.) Τέξεται οὖν σοι ἡ ἀρετὴ υἱὸν γενναῖον ἄρρενα (Gen. 17,19), 261
παντὸς ἀπηλλαγμένον θήλεος πάθους, καὶ καλέσεις τὸ ὄνομα τοῦ υἱοῦ τὸ
πάθος, ὅπερ ἂν ἐπ' αὐτῷ πάθῃς, πείσῃ δὲ πάντως χαράν· ὥστε καὶ τὸ
σύμβολον αὐτῆς ὄνομα θήσεις, γέλωτα. καθάπερ λύπη καὶ φόβος ἰδίας 262
ἀναφθέγξεις ἔχουσιν, ἃς ἂν τὸ βιασάμενον καὶ κρατῆσαν ὀνοματοποιήσῃ
πάθος, οὕτως εὐβουλίαι καὶ εὐφροσύναι φυσικαῖς ἐκφωνήσεσιν ἀναγκά-
ζουσι χρῆσθαι, ὧν οὐκ ἂν εὕροι τις κυριωτέρας καὶ εὐθυβολωτέρας
κλήσεις, κἂν τυγχάνῃ περὶ τὰς κλήσεις σοφός. διό φησιν· „εὐλόγηκα 263

---

1 μάθῃς B    2 ὀσφραίνονται scripsi: ὄσφρονται codd.    5 σχέσεις Mang.: πείσεις codd.    6 σοφιστὴν Mang.: σοφιστῇ codd.    7 ταῦτα B ἀφειμένα scripsi: ἐφιέμενα codd., ἀφιέμενα Mang.    10 ⟨δὲ⟩ add. Mang.    11 Μωσέως codd.    14 νείφει codd.    16 ἀπ' οὐρανοῦ τροφὴν Markland (nisi quod οὖν del.): ἀποτροφήν codd.    17 ἐπινίφει coni. Mang.    18 ἔχων] χέων Mang.    20 αὐτομάτων Mang.: αὐτομαθῶν codd.    ὅλης] ὑλικῆς coni. Mang., ἀνθρωπίνης conicio    21 αὐθιγενεῖ conicio    26 καθάπερ ⟨γὰρ⟩ coni. Cohn    27 ὀνοματοποιήσῃ scripsi: ὄνομα ποιήσῃ codd.    30 τυγχάνοι A

αὐτόν, αὐξήσω αὐτόν, πληθυνῶ, δώδεκα ἔθνη γεννήσει“ (ibid. 20), τὸν
κύκλον καὶ τὸν χορὸν ἅπαντα τῶν σοφιστικῶν προπαιδευμάτων. „τὴν δὲ
διαθήκην μου στήσω πρὸς Ἰσαάκ“ (ibid. 21), ἵν' ἑκατέρας ἀρετῆς τὸ
ἀνθρώπων μεταποιῆται γένος, διδακτῆς τε καὶ αὐτομαθοῦς, τὸ μὲν
ἀσθενέστερον διδασκομένης, ἑτοίμης δὲ τὸ ἐρρωμένον.
264 (46.) „Εἰς δὲ τὸν καιρὸν τοῦτον τέξεταί σοι“, φησίν, ἡ σοφία
χαράν (ibid.). ποῖον, ὦ θαυμασιώτατε, δεικνύεις καιρόν; ἢ τὸν ὑπὸ
γενέσεως ἄδεικτον μόνον; ὁ γὰρ ἀληθὴς αὐτὸς ⟨ἂν⟩ εἴη καιρός, ἀνα-
τολὴ τῶν ὅλων, ἡ εὐπραξία καὶ εὐκαιρία γῆς, οὐρανοῦ, τῶν μεταξὺ
265 φύσεων, ζῴων ὁμοῦ καὶ φυτῶν ἁπάντων. ὅθεν καὶ Μωυσῆς ἐθάρρησεν
εἰπεῖν τοῖς ἀποδεδρακόσι καὶ μὴ θέλουσι τὸν ὑπὲρ ἀρετῆς ἄρασθαι
πόλεμον πρὸς τοὺς ἀντιτεταγμένους· „ἀφέστηκεν ὁ καιρὸς ἀπ' αὐτῶν,
ὁ δὲ κύριος ἐν ἡμῖν“ (Num. 14,9). μόνον γὰρ οὐκ ἄντικρυς ὁμολογεῖ
τὸν θεὸν καιρόν, ὃς παντὸς μὲν ἀσεβοῦς μακρὰν ἀφέστηκεν, ἀρετώσαις
266 δ' ἐμπεριπατεῖ ψυχαῖς. „περιπατήσω“ γάρ φησιν „ἐν ὑμῖν, καὶ ἔσομαι
ὑμῶν θεός“ (Lev. 26,12). οἱ δὲ τὰς ὥρας τοῦ ἔτους καιροὺς εἶναι
λέγοντες οὐ κυρίως καταχρῶνται τοῖς ὀνόμασιν, ἅτε μὴ πάνυ | τὰς φύσεις p. 619 M.
τῶν πραγμάτων ἠκριβωκότες, ἀλλὰ πολλοῦ τοῦ εἰκῇ μετέχοντες.
267 (47.) Ἐπιτείνων δὲ τὸ κάλλος τοῦ γεννωμένου φησὶν αὐτὸ „ἐν
τῷ ἐνιαυτῷ τῷ ἑτέρῳ“ (Gen. 17,21) γεννηθήσεσθαι, ἐνιαυτὸν ἕτερον
οὐ ⟨τὸ⟩ τοῦ χρόνου μηνύων διάστημα, ὃ ταῖς σεληνιακαῖς ἢ ἡλιακαῖς
ἀναμετρεῖται περιόδοις, ἀλλὰ τὸ ἔκτοπον καὶ ξένον καὶ καινὸν ὄντως,
ἕτερον τῶν ὁρωμένων καὶ αἰσθητῶν, ἐν ἀσωμάτοις καὶ νοητοῖς ἐξετα-
ζόμενον, ὅπερ τὸ χρόνου παράδειγμα καὶ ἀρχέτυπον εἴληχεν, αἰῶνα.
αἰὼν δὲ ἀναγράφεται τοῦ νοητοῦ βίος κόσμου, ὡς αἰσθητοῦ χρόνος.
268 ἐν ᾧ ἐνιαυτῷ καὶ „τὴν ἑκατοστεύουσαν εὑρίσκει κριθὴν“ (Gen. 26,12)
ὁ τὰς θεοῦ χάριτας ἐπὶ γενέσει πλειόνων σπείρας ἀγαθῶν, ἵν' ὡς
269 πλεῖστοι τῶν ἐπαξίων τυχεῖν μεταλάβωσιν. ἀλλὰ γὰρ τῷ σπείραντι
καὶ θερίζειν ἔθος· ὁ δ' ἔσπειρε μὲν ἐπιδεικνύμενος τὴν ἐχθρὰν φθόνου
καὶ κακίας ἀρετήν, εὑρεῖν δέ, ἀλλ' οὐ θερίσαι λέγεται· ὁ γὰρ στάχυν

---

1 ⟨καὶ⟩ πληθυνῶ coni. Mang. 5 αὐτομαθοῦς δὲ τὸ ἐρρωμενέστερον coni. Mang. τῷ ἐρρωμένῳ B 8 ἂν addidi 9 καὶ] καὶ ἡ B 10 Μωσῆς codd. 11 ἀποδεδειλιακόσι coni. Mang. 18 πολλοῦ om. B εἰκαίου coni. Mang. 19 αὐτὸν coni. Cohn 21 τὸ addidi ὃ] ὃς coni. Mang. 25 ὡς] ὡς καὶ Mang.

---

25 cf. ad p. 38,15.

ἁδρότερον τῶν εὐεργεσιῶν καὶ πλήρη πεποιηκὼς ἕτερος ἦν, ὃς εὐτρεπισάμενος καὶ ἑτοιμασάμενος ἐλπίδας μείζους καὶ πλείους δωρεὰς προὔθηκε τοῖς ζητοῦσιν εἰς εὕρεσιν.

(48.) Τὸ δὲ „συνετέλεσε λαλῶν πρὸς αὐτὸν“ (Gen. 17,22) ἴσον 270
ἐστὶ τῷ τὸν ἀκροατὴν αὐτὸν ἐτελείωσε κενὸν ὄντα σοφίας πρότερον καὶ ἀθανάτων λόγων ἐπλήρωσεν. ἐπεὶ δὲ τέλειος ὁ μαθητὴς ἐγένετο, „ἀνέβη κύριος ἀπὸ Ἀβραάμ“ (ibid.) δηλῶν, οὐχ ὅτι διεζεύχθη — φύσει γὰρ θεοῦ ὀπαδὸς ὁ σοφός —, ἀλλὰ τὸ ἑκούσιον τοῦ μαθητοῦ βουλόμενος παραστῆσαι, ἵν', ὅπερ ἔμαθε, μηκέτι ἐφεστῶτος τοῦ διδάσκοντος χωρὶς ἀνάγκης αὐτὸς ἐπιδεικνύμενος, ἐθελουργῷ καὶ αὐτοκελεύστῳ προθυμίᾳ χρώμενος, ἐνεργῇ δι' ἑαυτοῦ. δίδωσι γὰρ ὁ διδάσκαλος τῷ μαθόντι τόπον πρὸς τὴν ἄνευ ὑποβολῆς ἑκούσιον μελέτην, ἀλήστου μνήμης ἐγχαράττων βεβαιότατον εἶδος.

---

1 εὐεργεσιῶν] συνήθων conicio ὃς scripsi: ὁ codd. 7 ⟨φησὶ⟩ κύριος conicio 9 ὅπερ Mang.: ὥσπερ codd.

# ΦΙΛΩΝΟΣ

# ΠΕΡΙ ΤΟΥ ΘΕΟΠΕΜΠΤΟΥΣ ΕΙΝΑΙ ΤΟΥΣ ΟΝΕΙΡΟΥΣ

---

1 (1.) Ἡ μὲν πρὸ ταύτης γραφὴ περιεῖχε τῶν θεοπέμπτων ὀνείρων I p. 620 M.
τοὺς κατὰ τὸ πρῶτον εἶδος ταττομένους, ἐφ᾽ οὗ τὸ θεῖον ἐλέγομεν κατὰ
τὴν ἰδίαν ἐπιβολὴν τὰς ἐν τοῖς ὕπνοις ἐπιπέμπειν φαντασίας. ἐν ταύτῃ
2 δ᾽, ὡς ἂν οἷόν τε ᾖ, δηλώσομεν τοὺς ἐφαρμόττοντας τῷ δευτέρῳ. δεύ-
τερον δ᾽ εἶδος, ἐν ᾧ ὁ ἡμέτερος νοῦς τῷ τῶν ὅλων συγκινούμενος ἐξ
ἑαυτοῦ κατέχεσθαί τε καὶ θεοφορεῖσθαι δοκεῖ, ὡς ἱκανὸς εἶναι προλαμ-
βάνειν καὶ προγινώσκειν τι τῶν μελλόντων. ὄναρ δ᾽ ἐστὶ πρῶτον οἰκεῖον
3 εἴδει τῷ σημαινομένῳ τὸ φανὲν ἐπὶ τῆς οὐρανοῦ κλίμακος τόδε· „καὶ
ἐνυπνιάσθη· καὶ ἰδοὺ κλῖμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφι-
κνεῖτο εἰς τὸν οὐρανόν, καὶ οἱ ἄγγελοι τοῦ θεοῦ ἀνέβαινον καὶ κατέβαινον
ἐπ᾽ αὐτῆς· ὁ δὲ κύριος ἐπεστήρικτο ἐπ᾽ αὐτῆς· καὶ εἶπεν· ἐγώ εἰμι ὁ

---

Φίλωνος MAG: om. FHP  τοὺς ὀνείρους εἶναι transpos. F  1 μὲν MA: μὲν οὖν GFHP  τῶν θεοπέμπτων ὀνείρων hic habet MA: post ταττομένους transpos. (τῶν om. P) GFHP  3 ὑποβολὴν F, ἐπιβουλὴν P²
4 δὲ GFP  ἂν om. L  δηλώσωμεν A  ἐφαρμόττοντας MA: ἐφαρμόζοντας ceteri  5 ⟨ἦν⟩, ἐν coni. Cohn  6 ἑαυτοῦ H: αὑτοῦ ceteri  δοκεῖ MAP: ἐδόκει GFH  7 δέ ἐστι GFHP  8 εἴδει H: εἴδη G, ἤδη A, εἴ τι MFP  οὐρανοῦ κλίμακος G (Mang.): οὐρανοκλίμακος ceteri  τὸ δὲ MAFP  9 post ἐνυπνιάσθη add. Ἰακὼβ GFHP  10 οἱ om. A  11 αὐτῇ G post prius αὐτῆς verba καὶ ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ ex lin. 9 repet. HP
ὁ δὲ κύριος ἐπεστήρικτο MA: καὶ (ὁ add. HP) κύριος ἐστήλωται GFHP  αὐτῇ G
ὁ MA, s. s. H: om. GFP  εἰμι] κύριος conicio (v. § 159. 166. 175)

---

1 ss. cf. Origenem in vol. I p. LXXXVII.  2 ss. cf. Posidonium apud Cic. De div. I 64.

θεὸς Ἀβραὰμ τοῦ πατρός σου καὶ ὁ θεὸς Ἰσαάκ· μὴ φοβοῦ· ἡ γῆ, ἐφ'
ἧς σὺ καθεύδεις, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου, καὶ ἔσται τὸ
σπέρμα σου ὡς ἡ ἄμμος τῆς γῆς, καὶ πλατυνθήσεται ἐπὶ θάλασσαν
καὶ λίβα καὶ βορρᾶν καὶ ἀνατολάς· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι
αἱ φυλαὶ τῆς γῆς καὶ ⟨ἐν⟩ τῷ σπέρματί σου. καὶ ἰδοὺ ἐγὼ μετὰ σοῦ,
διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, ᾗ ἂν πορευθῇς· καὶ ἀποστρέψω σε
εἰς τὴν γῆν ταύτην, ὅτι οὐ μή σε ἐγκαταλίπω, ἕως τοῦ ποιῆσαί με πάντα
p. 621 M. ὅσα ἐλάλησα σοι" (Gen. 28,12—15). | προκατασκευὴ δ' ἐστὶ τῆς φαν- 4
τασίας ἀναγκαία, ἣν ἀκριβώσαντες εὐμαρῶς ἴσως δυνησόμεθα καὶ τὰ
δηλούμενα ὑπὸ τῆς φαντασίας καταλαβεῖν. τίς οὖν ἡ προκατασκευή;
„καὶ ἐξῆλθε" φησίν „Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου καὶ ἐπορεύθη
εἰς Χαρράν, καὶ ἀπήντησε τόπῳ· ἔδυ γὰρ ὁ ἥλιος· καὶ ἔλαβεν ἀπὸ τῶν
λίθων τοῦ τόπου καὶ ἔθηκε πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἐκοιμήθη ἐν τῷ
τόπῳ ἐκείνῳ" (ibid. 10. 11)· κἄπειτ' εὐθύς ἐστι τὸ ὄναρ. οὐκοῦν ἄξιον 5
ἐν ἀρχῇ ταυτὶ τρία διαπορῆσαι· ἓν μὲν τί τὸ τοῦ ὅρκου φρέαρ καὶ διὰ
τί οὕτως ὠνομάσθη, δεύτερον δὲ τίς ἡ Χαρρὰν καὶ διὰ τί ἀπὸ τοῦ
λεχθέντος φρέατος ἐξελθὼν εἰς Χαρρὰν ἔρχεται εὐθύς, τρίτον τίς ὁ τόπος
καὶ διὰ τί, ὅταν γένηται κατ' αὐτόν, ὁ μὲν ἥλιος δύεται, αὐτὸς δὲ κοιμᾶται.

(2.) Σκοπῶμεν οὖν αὐτίκα τὸ πρῶτον. ἐμοὶ τοίνυν δοκεῖ σύμ- 6
βολον εἶναι τὸ φρέαρ ἐπιστήμης· οὐ γάρ ἐστιν ἐπιπόλαιος αὐτῆς ἡ φύσις,

---

1 Ἀβραὰμ fere scribunt HP τοῦ MAG, s. s. H: om. FP ὁ $MAH^{2}$: om. $GFPH^{1}$ ἡ γῆ MA: τὴν γῆν ceteri 2 ἧς] ᾗ AF αὐτὴν MA: om. ceteri 3 ἡ ἄμμος MA: χοῦς ceteri (ὁ s. s. $H^{2}$) 3—5 καὶ—σου om. A 3 πλατυνθήσεται Mang. (cf. § 176): πληθυνθήσεται HP, πληθυνθήσονται MGF 4 λίβα καὶ ante ἀνατολὰς transp. M λίβαν F εὐλογηθήσονται G 5 φυλαὶ M: συγγένειαι ceteri ἐν addidi post σου rep. καὶ ἔσται—γῆς ex lin. 2. 3 M μετὰ σοῦ om. MA 6 διαφυλάσσω MA σε s. s. H ἀποστρέψω MA: ἐπιστρέψω ceteri 7 ἐγκαταλείπω GL 8 ὅσα MA: ἃ ceteri δέ ἐστι MAP 9 ἴσως om. G 10 καταλαβεῖν MA: καταλαμβάνειν ceteri 11 prius τοῦ om. $FPH^{1}$ alterum τοῦ s. s. $H^{2}P^{2}$, om. F 12 ἀπήντησεν ἐν τόπω GFHP ἔδυ γὰρ MA (cf. § 72): καὶ ηὐλίσθη ἐκεῖ, ὅτι εἰσῆλθεν ceteri 13 κεφαλὴν H αὐτοῦ v 14 κἄπειτα G εὐθύς MA: εὐθέως ceteri ἐστι] ἐπὶ G, ἕπεται conicio 15 ταυτὶ τρία MA: τρία ταῦτα ceteri τὸ MA, s. s. $G^{2}H^{2}$: om. $G^{1}FPH^{1}$ post ὅρκου add. τὸ $P^{2}$ 17 λεχθέντος MA: προλεχθέντος ceteri ἐξελθὼν hic habet MA: post ἔρχεται transpos. GFHP εὐθύς GFHP: om. MA 18 κατ' αὐτοῦ F δύηται GP 20 τὸ] καὶ τὸ A τοίνυν om. MA

---

21 sqq. cf. Orig. Contra Cels. IV 44 p. 537 (Siegfried, Philo von Alex. p. 356). Ambros. de Isaac 4,21.

ἀλλὰ πάνυ βαθεῖα· οὐδ' ἐν φανερῷ πρόκειται, ἀλλ' ἐν ἀφανεῖ που
κρύπτεσθαι φιλεῖ· οὐδὲ ῥᾳδίως, ἀλλὰ μετὰ πολλῶν πόνων καὶ μόλις
ἀνευρίσκεται. καὶ ταῦτ' οὐ μόνον ἐπὶ τῶν μεγάλα καὶ ἀμύθητα ὅσα
7 θεωρήματα ἐχουσῶν, ἀλλὰ καὶ ἐπὶ τῶν εὐτελεστάτων θεωρεῖται. ἣν
γοῦν ἂν ἐθέλῃς ἑλοῦ τῶν τεχνῶν, μή μοι τὴν ἀρίστην, ἀλλὰ τὴν πασῶν
ἀφανεστάτην, ἣν ἐλεύθερος μὲν ἴσως οὐδεὶς ἐν πόλει τραφεὶς ἑκὼν ἐπι-
τηδεύσειεν ἄν, ἐν ἀγρῷ δὲ μόλις ἄκων οἰκέτης δυσκόλῳ καὶ δυστρόπῳ
8 παλαίων δεσπότῃ βιαζομένῳ πολλὰ δρᾶν τῶν ἀβουλήτων. εὑρεθήσεται
γὰρ οὐχ ἁπλοῦν, ἀλλὰ ποικίλον τὸ πρᾶγμα, οὐ θήρᾳ ληπτόν, δυσεύρετον,
δυσπεριγένητον, ἐχθρὸν μὲν ὄκνῳ καὶ ἀμελείᾳ καὶ ῥᾳθυμίᾳ, σπουδῆς
δὲ καὶ φιλοτιμίας ἱδρώτων τε καὶ φροντίδων μεστόν. οὗ χάριν οὐδ'
ὕδωρ ἐν τῷ φρέατι τούτῳ φασὶν οἱ ὀρύττοντες εὑρεῖν (Gen. 26,32),
ἐπειδὴ τὰ τέλη τῶν ἐπιστημῶν οὐ δυσεύρετα μόνον, ἀλλὰ καὶ ἀνεύρετα
9 παντελῶς εἶναι συμβέβηκε. γραμματικώτερος δὲ διὰ τοῦτο καὶ γεωμε-
τρικώτερος ἕτερος ἑτέρου γίνεται τῷ τὰς ἐπιτάσεις καὶ παραυξήσεις ἀμή-
χανον εἶναι ὅροις περιγραφῆναι· πλείω γὰρ ἀεὶ τῶν εἰς μάθησιν ἡκόντων
τὰ ἀπολειπόμενα ἐκδέχεται καὶ ἐφεδρεύει, ὡς καὶ τὸν ἅπτεσθαι περάτων
ἐπιστήμης ὑπολαμβανόμενον ἡμιτελῆ παρ' ἑτέρῳ κριτῇ νομίζεσθαι, παρὰ
10 δὲ ἀληθείᾳ δικαζούσῃ καὶ ἄρτι ἄρχεσθαι δοκεῖν. „βραχὺς μὲν γὰρ ὁ
βίος,“ ἔφη τις, „ἡ δὲ τέχνη μακρά,“ ἧς ἄριστα καταλαμβάνει τὸ μέγεθος

---

1 ἀφανεῖ] ἁ s. s. $G^2$ 3 post ἀνευρίσκεται verba καὶ ἐπὶ — θεωρεῖται ex lin. 4 add. H, sed rursus del. 3. 4 καὶ ταῦτα — ἐχουσῶν rep. in mg. $H^2$ 3 ταῦτ' οὐ M: τούτου A, ταῦτα οὐ ceteri μεγάλων A 3. 4 ὅσα θεωρήματα om. G 5 πασῶν MA: ἁπασῶν ceteri 7 ἂν om. MA δυσκόλῳ καὶ δυστρόπῳ MA: δυστρόπῳ καὶ δυσκόλῳ ceteri 8 δουλεύων coni. Mang. 9 ποικίλλω G οὐ om. GF, add. mg. $P^2$ θηρατοῦ GF, τῇ ῥᾳστώνῃ conicio ληπτόν $MAH^2P^2$: μεμπτόν $GFH^1P^1$ δυσόρατον MA 10 ἀμελείᾳ καὶ ῥαθυμίᾳ MA: ῥαθυμίᾳ καὶ ἀμελείᾳ ceteri 11 τε] δὲ A οὗ χάριν om. Turn. 12 τοῦτο A 13 δυσεύρητα D ἀνεύρητα D 14 συμβέβηκεν HP δὲ om. MA 14. 15 δὲ — γεωμετρικώτερος om. D 15 τῷ] τῶν AP ἐπιδόσεις coniciebam 16 εἶναι ὅροις M: ὅροις εἶναι ceteri ἀεὶ $MAP^2$: δεῖ ceteri 17 τὰ s. s. $H^2P^2$ ἐκδέχεται $MAP^2$: ἐκδέχεσθαι ceteri ἐφεδρεύει $MAP^2$: ἐφεδρεύειν ceteri 18 ὑπολαμβανόμενον MA: ὑπολαμβάνοντα ceteri νομίζεσθαι MA: ὑπολαμβάνεσθαι ceteri 19 ἄρτι om. A ἄρχεσθαι] νομίζεσθαι G γὰρ om. G 20 ὡς post βίος add. GFHP ἧς MA: ἡ FHP, ὃς G (man. 2 ut vid.)

---

13—16 $D^K$ fol. $262^r$ ἐκ τοῦ περὶ τῶν ὀνείρων· τὰ τέλη — περιγραφῆναι. 20 Hippocrates, Aphorismi I 1.

p. 622 M. ὁ ἀψευδῶς ἐμβαθύνων αὐτῇ καὶ ὥσπερ φρέαρ | αὐτὴν ὀρύττων. διὸ
καὶ τελευτῶντά τινα πολιὸν ἤδη καὶ ὑπέργηρων λόγος ἔχει δακρύειν, οὐ
δι' ἀνανδρίαν φόβῳ θανάτου, ἀλλὰ διὰ παιδείας ἵμερον ὡς νῦν πρῶτον
εἰς αὐτὴν εἰσιόντα, ὅτε πανύστατ' ἔξεισιν. ἀνθεῖ γὰρ ἡ ψυχὴ πρὸς ἐπι- 11
στήμην, ὁπότε αἱ τοῦ σώματος ἀκμαὶ χρόνου μήκει μαραίνονται. πρὶν
οὖν ἡβῆσαι καὶ ἐννεάσαι τῇ τῶν πραγμάτων ἀκριβεστέρᾳ καταλήψει,
χαλεπὸν ὑποσκελισθῆναι. τὸ δὲ πάθος τοῦτο κοινὸν ἁπάντων ἐστὶ τῶν
φιλομαθῶν· οἷς νέα ἐπὶ παλαιοῖς ἀνίσχει καὶ ἀναλάμπει θεωρήματα,
πολλὰ μὲν καὶ τῆς ψυχῆς, ὁπότε μὴ στεῖρα καὶ ἄγονος εἴη, τικτούσης,
πολλὰ δὲ καὶ τῆς φύσεως ἀτεκμάρτως ἐκ ταὐτομάτου προφαινούσης τοῖς
διάνοιαν ὀξυδορκοῦσι. τὸ μὲν οὖν ἐπιστήμης φρέαρ ὅρον καὶ τελευτὴν
οὐκ ἔχον τοιοῦτον ἀπεδείχθη. διὰ τί δὲ ὅρκος ὠνομάσθη (Gen. 26,33), 12
λεκτέον· τὰ ἐνδοιαζόμενα τῶν πραγμάτων ὅρκῳ διακρίνεται καὶ τὰ ἀβέβαια βεβαιοῦται καὶ τὰ ἄπιστα λαμβάνει πίστιν· ἐξ ὧν ἐκεῖνο συνάγεται,
ὅτι περὶ οὐδενὸς ἄν τις οὕτως βεβαιώσαιτο, ὡς περὶ τοῦ τὸ σοφίας γένος
ἀπερίγραφον καὶ ἀτελεύτητον εἶναι. καλὸν μὲν οὖν καὶ ἀνωμότῳ διε- 13
ξιόντι περὶ τούτων συνεπιγράφεσθαι· ὁ δὲ μὴ λίαν εἰς συναίνεσιν εὐχερὴς ἐνωμότῳ γενομένῳ συναινείτω. μηδεὶς δὲ ὀμνύναι τὸν τοιοῦτον ὅρκον

---

1 ὁ MAP²: om. ceteri   ὀρύττων αὐτήν HP   διὸ MA: ὃν ceteri   2 τινα MA: om. ceteri   3 δι'] δ' F¹   ἀνανδρείαν P   διὰ om. A   post νῦν add. ἔχων AP²   4 εἰς αὐτὴν MAP²: ἐπ' αὐτὰ G², ἐπ' αὐτῇ H(P¹), ὑπ' αὐτῇ F(G¹?)   εἰσιόντα MAP (εἰσ in ras. P²): ἱερεῖ ὄντα G¹, ἀνιερεῖον ὄντα G², ἐρεῖ ὄντα F; ἐρ, ras. 1 litt., ὄντα H (supra ρ scr. εἶν H²)   πάνυ κατέξεισιν A   πρὸς] κατ' A   5 αἱ] καὶ MA   αἱ ἀκμαὶ M   7 ante χαλεπὸν add. οὐ A   κοινῶν G   9 πολλοὺς N   11 διάνοιαν MAG: τὴν διάνοιαν FHPN   12 ὅρκος scripsi (cf. § 14. 24. 40): ὅρκου codd.   14 βεβαιοῦνται AHP   15 οὕτω A   16 καλὸν MAP²: μᾶλλον ceteri N   ἀνομότω A, ἀνωτάτω G, ἀνομωτάτω F   17 λίαν MAP²: δεῖν G, δὲ FN, δ' HP¹   συναίνεσιν Mang.: σύνεσιν codd. N   18 ἐνομότω AF, ἐνομώτω G   γινομένω N   συναινείτω MP²: συναινεῖτο A, συναινεῖ ceteri N

---

2 cf. Aristo apud Stob. IV 202 Mein.: πολλοὶ σοφοὶ γηραιοὶ φιλοζωοῦσι .... ὀψὲ ἀρετῆς ἐπήβολοι γενόμενοι ἐφίενται αὐτὴν ἐκθρέψαι.   4. 5 D^P fol. 105 Εὐαγρίου D^V p. 404 Floril. Par. (inter sententias Euagrii No. 8) Max. Ecl. cap. 41 Εὐαγρίου (praecedit in D^V Euagrii sententia, sed Φίλωνος in margine adnotatum est): ἀνθεῖ πρὸς ἐπιστήμην ψυχή, ὁπότε αἱ (αἱ om. D) τοῦ σώματος ἀκμαὶ χρόνου (χρόνου om. D) μήκει μαραίνονται. cf. Elter, Gnomica I p. IL   4—208,1 N fol. 150r: ἀνθεῖ — στήλαις. sequuntur: λέγει δὲ καὶ ὁ Πλάτων ὅτι ἡ τῆς διανοίας ὄψις ἄρχεται ὀξὺ βλέπειν, ὅταν ἡ τῶν ὀμμάτων τῆς ἀκμῆς λήγειν ἐπιχειρῇ.

ἀναδυέσθω σαφῶς εἰδώς, ὅτι ἐν εὐόρκων γραφήσεται στήλαις. (3.)
14 ἅλις μὲν δὴ τούτων. ἑπόμενον δ' ἂν εἴη σκέψασθαι, διὰ τί τεττάρων
ὀρυττομένων φρεάτων ὑπὸ τῶν ἀμφὶ τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ (Gen. 21,
15 25. 26, 19—23) τὸ τέταρτον καὶ τελευταῖον „ὅρκος" προσερρήθη. μήποτ'
οὖν δι' ὑπονοιῶν ἐκεῖνο βούλεται παραστῆσαι, ὅτι κἂν τῷ παντὶ τεττάρων
ὄντων, ἐξ ὧν συνέστηκεν ὅδε ὁ κόσμος, καὶ ἐν ἡμῖν αὐτοῖς ἰσαρίθμων,
ἐξ ὧν διαπλασθέντες εἰς ἀνθρωπόμορφον εἶδος ἐτυπώθημεν, τὰ μὲν [οὖν]
τρία πέφυκεν ἀμηγέπῃ καταλαμβάνεσθαι, τὸ δὲ τέταρτον ἀκατάληπτον
16 πᾶσι τοῖς κριταῖς ἐστιν. ἐν μὲν οὖν τῷ κόσμῳ γῆν καὶ ὕδωρ καὶ ἀέρα
καὶ οὐρανὸν τέτταρα τὰ πάντα εἶναι συμβέβηκεν· ὧν τὰ μὲν ἄλλα κἂν
17 δυσευρέτου, ἀλλ' οὐχ εἰσάπαν ἀνευρέτου μοίρας ἠξίωται. καὶ γὰρ γῆν,
ὅτι ἐστὶ σῶμα βαρὺ καὶ ἀδιάλυτον καὶ στερέμνιον καὶ τεμνόμενον εἰς ὄρη
καὶ πεδιάδας χώρας καὶ ποταμοῖς καὶ θαλάττῃ διαιρούμενον, ὡς τὰ μὲν
νησιάζειν, τὰ δὲ ἠπειροῦσθαι, καὶ ὅτι τὸ μὲν αὐτῆς λεπτόγεων, τὸ δὲ
βαθύγειον, καὶ τὸ μὲν τραχὺ καὶ στρυφνὸν καὶ λιθῶδες καὶ εἰσάπαν
ἄγονον, τὸ δὲ λεῖον καὶ μαλακὸν καὶ γονιμώτατον, | καὶ μυρία πρὸς p. 623 M.
18 τούτοις ἕτερα καταλαμβάνομεν· καὶ πάλιν ὕδωρ ὅτι πολλά τε τῶν εἰρη-
μένων ἔχει κοινὰ πρὸς γῆν καὶ ἐξαίρετα ἕτερα· τὸ μὲν γὰρ αὐτοῦ γλυκύ,
τὸ δ' ἁλμυρόν, τὸ δ' ἄλλαις διακεκριμένον ἰδέαις· καὶ τὸ μὲν πότιμον,
τὸ δ' οὐ πότιμον — καὶ ἑκάτερον οὐ πᾶσιν, ἀλλ' οἷς θάτερον, οὐ τὸ
ἕτερον, καὶ οἷς μὴ θάτερον, πάντως τὸ ἕτερον —, καὶ τὸ μὲν φύσει
19 ψυχρόν, τὸ δὲ φύσει θερμόν — εἰσὶ γὰρ μυρίαι πολλαχόθι πηγαὶ ζέον
ὕδωρ ἐκδιδοῦσαι, οὐ κατὰ γῆν μόνον ἀλλὰ καὶ κατὰ θάλατταν· ἤδη γοῦν
ἐφάνησαν φλέβες ἀνομβροῦσαι ζέον ὕδωρ ἐν μέσοις πελάγεσιν, ἃς ἡ

---

1 ἐν εὐόρκων MA: ὁ εὐορκῶν ceteri, εὐορκῶν N 2 τεσσάρων GFHP 3 τῶν] τὸν A 4 ὅρκου MA προσερρήθη MA: προσηγορεύθη ceteri 4. 5 μήποτε δι' FHP 5 κἂν τῷ] αὐτῷ Turn. τεσσάρων MA 6 συνέστηκεν FH post αὐτοῖς ras. 3 litt. G 7 μὲν οὖν GFHP (οὖν seclusi): om. MA 8 πέφυκε GFHP ἀμηγέπη MAP²: om. ceteri 10 τὰ πάντα εἶναι MA: ταῦτα εἶναι G, εἶναι ταῦτα FHP 10. 11 κἂν δυσευρέτου MA: εἰ καὶ δυσεύρετα ceteri 12 στερέμνιον GFHP: κάτω νεῦον τὲ MA 14 λεπτόγεων MAF: λεπτόγεον G, λεπτόγειον HP 14—16 τὸ δὲ βαθύγειον — ἄγονον om. P 15 βαθύγεων A βραχὺ L στρυφνὸν FH²: στριφνὸν ceteri 17 τε MA: om. ceteri 19 δ' ἄλλαις MA, in ras. P²: δὲ ὑλῶδες ἐστὶ G, δὲ βλακώδεσι F, δὲ βλυχῶδες ἐστί H (sed υχ, εσ, ε, τ scr. H²) διακεκριμένον GFHP: διακεκραμένον A, διακεκραμμένον M 20 ἑκάτερον] θάτερον MA 20. 21 οὐ τὸ ἕτερον HP: οὗ οὐ τὸ ἕτερον F, οὐθέτερον MA, om. G 22 πολλαχόθι A: πολλαχόθεν ceteri 23 μόνον om. Turn. post alt. κατὰ add. τὴν HL, sed H rursus del. θάλασσαν GFHP 24 ζέον ὕδωρ MAP²: om. ceteri

τοσαύτη τῶν ἐν κύκλῳ πελαγῶν ἀνάχυσις ἐξ αἰῶνος ἐπικλύζουσα οὐκ
ἴσχυσε σβέσαι, ἀλλ' οὐδ' ἐπὶ ποσὸν ἀνεῖναι —· καὶ πάλιν ὅτι ὁ ἀὴρ 20
ἔχει φύσιν εἴκουσαν ἀντιπεριιστάμενος τοῖς σώμασιν, ὄργανον ὢν ζωῆς,
ἀναπνοῆς, ὁράσεως, ἀκοῆς, τῶν ἄλλων αἰσθήσεων, πυκνότητας καὶ μανό-
τητας κινήσεις τε καὶ ἠρεμίας ἐνδεχόμενος, τροπὰς καὶ μεταβολὰς παντοίας
τρεπόμενός τε καὶ μεταβάλλων, χειμῶνας καὶ θέρη γεννῶν καὶ τὰς μετο-
πωρινὰς καὶ ἐαρινὰς ὥρας, ἐξ ὧν ὁ ἐνιαυτοῦ κύκλος πέφυκε περατοῦσθαι.
(4.) τούτων μὲν δὴ πάντων αἰσθανόμεθα, ὁ δ' οὐρανὸς ἀκατάληπτον 21
ἔχει τὴν φύσιν, οὐδὲν ἑαυτοῦ σαφὲς γνώρισμα πρὸς ἡμᾶς ἀποστείλας.
τί γὰρ ἂν εἴποιμεν; ὅτι πεπηγώς ἐστι κρύσταλλος, ὡς ἠξίωσάν τινες;
ἢ ὅτι πῦρ τὸ καθαρώτατον; ἢ ὅτι πέμπτον κυκλοφορικὸν σῶμα, μηδενὸς
τῶν τεττάρων στοιχείων μετέχον; τί δ'; ἡ ἀπλανὴς καὶ ἐξωτάτω σφαῖρα
πρὸς τὸ ἄνω βάθος ἔχει ἢ αὐτὸ μόνον ἐστὶν ἐπιφάνεια βάθους ἐρήμη,
τοῖς ἐπιπέδοις σχήμασιν ἐοικυῖα; τί δ'; οἱ ἀστέρες πότερον γῆς εἰσιν 22
ὄγκοι πυρὸς πλήρεις — ἄγκεα γὰρ καὶ νάπας καὶ μύδρους διαπύρους
εἶπον αὐτοὺς εἶναί τινες, αὐτοὶ δεσμωτηρίου καὶ μύλωνος, ἐν οἷς τὰ
τοιαῦτά ἐστιν ἐπὶ τιμωρίᾳ τῶν ἀσεβῶν, ὄντες ἐπάξιοι — ἢ συνεχὴς καί,
ὡς εἶπέ τις, πυκνὴ ἁρμονία, πιλήματα ἀδιάλυτα αἰθέρος; ἔμψυχοι δὲ
καὶ νοεροὶ ἢ νοῦ καὶ ψυχῆς ἀμέτοχοι; προαιρετικὰς δὲ ἢ κατηναγκασ-
μένας αὐτὸ μόνον κινήσεις ἔχοντες; τί δέ; σελήνη πότερον γνήσιον ἢ 23
νόθον ἐπιφέρεται φέγγος ἡλιακαῖς ἐπιλαμπόμενον ἀκτῖσιν ἢ καθ' αὐτὸ
p. 624 M. μὲν ἰδίᾳ τούτων οὐδέτερον, | τὸ δ' ἐξ ἀμφοῖν ὡς ἂν ἐξ οἰκείου καὶ
ἀλλοτρίου πυρὸς κρᾶμα; πάντα γὰρ ταῦτα καὶ τὰ τοιαῦτα τοῦ ἀρίστου
τε καὶ τετάρτου τῶν ἐν κόσμῳ σώματος ὄντα, οὐρανοῦ, ἄδηλα καὶ
ἀκατάληπτα, στοχασμοῖς καὶ εἰκασίαις, οὐ παγίῳ λόγῳ τῆς ἀληθείας,

---

2 ὁ ἀὴρ MA: ἀὴρ ὁλκὸν ceteri (ὁλκὸν del. P²) 3 εἴκουσαν MP²: ἤκουσαν A, εἴκων GHP¹L¹, εἴκων ἔστι τε FL², εἴκων τε καὶ Turn. ἀντιπεριισταμένοις H² 4. 5 πυκνότητα καὶ μανότητα H² 5 καὶ ante κινήσεις add. G alt. καὶ MA: τε καὶ ceteri 6 προτρεπόμενος A, ἐπόμενος G χειμῶνα HP 8 δὴ] δὲ MA 10 εἴπομεν H post ἐστι ras. 3 litt. H κρύσταλος H 11 ἢ — καθαρώτατον om. G κυκλοφορητικὸν conicio 12 τεσσάρων MAP μετέχων A, μέτοχον HP 13 ἡ] ὁ Turn. 15 ὅροι F ἄγκαια A μύδρους MAP²: δρυμοὺς ceteri 17 τοιαῦτ' HP 18 ἁρμονία πυκνή F 20 σελήνης A 21 ἐκλαμπόμενον A 22 μὲν MA: μόνον ceteri ἰδίαν F post ἰδίᾳ add. ἢ GH² 23 ταῦτα καὶ om. MA 23. 24 ἀρίστου τε καὶ τετάρτου MA: τετάρτου καὶ ἀρίστου ceteri 25 ἰκασίαις F λογίῳ HP

---

10 ss. de fontibus cf. Sitzungsberichte der K. preuss. Akad. 1897 p. 1074 sqq.

24 ἐφορμοῦντα· ὥστε κἂν ὀμόσαι τινὰ θαρρήσαντα, ὅτι θνητὸς οὐδεὶς πώποτε
ἰσχύσει τούτων ἐναργῶς καταλαβεῖν οὐδέν. ὅρκος διὰ τοῦτ' ὠνομάσθη
τὸ τέταρτον καὶ ξηρὸν φρέαρ, ἡ τοῦ τετάρτου τῶν ἐν τῷ κόσμῳ ζήτησις
25 ἀτελεύτητος καὶ πάντῃ δυσεύρετος, οὐρανοῦ. (5.) ἴδωμεν δέ, ὃν τρόπον
καὶ τὸ ἐν ἡμῖν αὐτοῖς τέταρτον διαφερόντως καὶ κατ' ἐξαίρετον λόγον
ἀκατάληπτον εἶναι πέφυκεν. οὐκοῦν τέτταρα τὰ ἀνωτάτω τῶν περὶ ἡμᾶς
ἐστι, σῶμα, αἴσθησις, λόγος, νοῦς· τούτων μὲν δὴ τὰ τρία οὐ κατὰ πάσας
ἄδηλα τὰς ἰδέας ἐστίν, ἀλλ' ἔχει τινὰ δείγματα ἐν ἑαυτοῖς τοῦ καταλαμ-
26 βάνεσθαι. τί δ' ἔσθ' ὅ φημι; ὅτι τὸ σῶμα καὶ τριχῇ διαστατὸν καὶ
ἑξαχῇ κινητόν, ἴσμεν, διαστάσεις μὲν τρεῖς ἔχον, μῆκος, βάθος, πλάτος,
κινήσεις δὲ τὰς διπλασίας ἕξ, τὴν ἄνω, τὴν κάτω, τὴν ἐπὶ δεξιά, τὴν
ἐπὶ εὐώνυμα, τὴν πρόσω, τὴν εἰς τὸ κατόπιν· ἀλλὰ καὶ ὅτι ψυχῆς ἐστιν
ἀγγεῖον, οὐκ ἀγνοοῦμεν· ἀλλὰ καὶ ὅτι ἡβᾷ, φθίνει, γηράσκει, τελευτᾷ,
27 διαλύεται, σαφῶς ἴσμεν. καὶ πρὸς αἴσθησιν μέντοι γε οὐ παντάπασιν
ἀμβλεῖς καὶ πηροὶ γεγόναμεν, ἀλλ' ἔχομεν εἰπεῖν, ὅτι καὶ πενταχῇ σχί-
ζεται καὶ ὄργανα ἑκάστης ἐστὶν ὑπὸ φύσεως δημιουργηθέντα οἰκεῖα, ὁρά-
σεως μὲν ὀφθαλμοί, ἀκοῆς δὲ ὦτα, ῥῖνες δὲ ὀσφρήσεως καὶ τῶν ἄλλων
τὰ οἷς ἐναρμόζεται, καὶ ὅτι ἄγγελοι διανοίας εἰσὶ διαγγέλλουσαι χρώματα,
σχήματα, φωνάς, ἀτμῶν καὶ χυλῶν ἰδιότητας, συνόλως σώματα καὶ ὅσαι
ποιότητες ἐν τούτοις, καὶ ὅτι δορυφόροι ψυχῆς εἰσιν, ὅσα ἂν ἴδωσιν ἢ
ἀκούσωσι δηλοῦσαι κἂν εἴ τι βλαβερὸν ἔξωθεν ἐπίοι προορώμεναί τε καὶ
φυλαττόμεναι, ὡς μὴ λάθρᾳ παρεισρεῦσαν αἴτιον ζημίας ἀνηκέστου τῇ
28 δεσποίνῃ γένηται. καὶ φωνὴ δ' οὐκ εἰσάπαν ἀποδιδράσκει τὴν ἡμετέραν
κρίσιν, ἀλλ' ἴσμεν ὅτι ἡ μὲν ὀξεῖα, ἡ δὲ βαρεῖα, καὶ ἡ μὲν ἐμμελὴς
καὶ ἐναρμόνιος, ἡ δὲ ἀπῳδὸς καὶ λίαν ἀνάρμοστος, καὶ πάλιν ἡ μὲν

1 ἀφορμοῦντα G, ἐφαρμόττοντα MA 2 post ὅρκος add. γοῦν H[2] ὅρκου coni. Mang. τοῦτο MA 3 ante ἡ add. ὅτι H[2] 4 ἀκατάληπτος coni. Mang. δυσεύρετος Mang.: δυσόρατος codd. δ' GFHP 6 ἀνώτατα L 7 ἐστίν H 8 ταῖς ἰδέαις GFH[1]P δόγματα HP[1] αὐτοῖς A 9 δ' ἐστὶν GFHP (ἢ add. M) ὅτι τὸ σῶμα καὶ MA: τὸ σῶμα ὅτι μὲν ceteri, fort. recte διαστατοῦν MA 10 ἴσμεν GFHP: om. MA πλάτος βάθος GFP 11 διακινήσεις M τὰς] τρεῖς coni. Mang. 12 εἰς τὸ om. GFHP ἐστιν om. A 13 post ἡβᾷ add. καὶ GFHP 14 ἴδμεν P οὐ παντάπασιν MAP[2]: om. ceteri 15 πονηροὶ F ἀλλ' ἔχομεν om. MA 16 εἰσὶν P 18 ἐναρμόζοντα FL[2], ἐναρμόζονται G εἰσὶν A διαγγέλουσαι GFH[2], διαγγέλουσι H[1] 19 prius καὶ om. MA 20 ἂν] δ' ἂν A ἴδωσιν ἢ MAGF: ἴδωσι καὶ HP 21 ἐπίῃ A 23 δὲ GFHP 24 prius μὲν MA: μέν ἐστιν GFHP

μείζων, ἡ δὲ ἐλάττων· διαφέρουσι καὶ ἄλλοις μυρίοις, γένεσι, χρώμασι,
διαστήμασι, συνημμέναις τάσεσι καὶ διεζευγμέναις, ταῖς διὰ τεττάρων,
ταῖς διὰ πέντε, ταῖς διὰ πασῶν συμφωνίαις. καὶ μὲν δὴ καὶ τῆς ἐνάρ- 29
θρου φωνῆς, ἣν μόνος ἐκ πάντων ζῴων ἔλαχεν ἄνθρωπος, ἔστιν ἃ γνω-
ρίζομεν· οἷον ὅτι ἀπὸ διανοίας ἀναπέμπεται, ὅτι ἐν τῷ στόματι ἀρθροῦται,
ὅτι ἡ γλῶσσα πλήττουσα τῇ τῆς φωνῆς τάσει τὸ ἔναρθρον ἐνσφραγί-
p. 625 M. ζεται καὶ λόγον, ἀλλ' οὐ ψιλὴν | αὐτὸ μόνον φωνὴν ἀργὴν καὶ ἀδιατύ-
πωτον ἦχον ἀπεργάζεται, ὅτι κήρυκος ἢ ἑρμηνέως ἔχει τάξιν πρὸς τὸν
ὑποβάλλοντα νοῦν. (6.) ἆρ' οὖν καὶ τὸ τέταρτον τῶν ἐν ἡμῖν αὐτοῖς, 30
ὁ ἡγεμὼν νοῦς, καταληπτός ἐστιν; οὐ δήπου. τί γὰρ αὐτὸν οἰόμεθα
κατὰ τὴν οὐσίαν εἶναι; πνεῦμα ἢ αἷμα ἢ σῶμα συνόλως — ἀλλ' οὐ
σῶμα, ἀσώματον δὲ λεκτέον — ἢ πέρας ἢ εἶδος ἢ ἀριθμὸν ἢ ἐνδελέ-
χειαν ἢ ἁρμονίαν ἢ τί τῶν ὄντων; γεννώμενον δ' εὐθὺς ἢ ἔξωθεν 31
εἰσκρίνεται ἢ ὑπὸ τοῦ περιέχοντος ἀέρος ἡ ἔνθερμος ἐν ἡμῖν φύσις οἷα
σίδηρος ἐν χαλκέως πεπυρωμένος ὕδατι ψυχρῷ πρὸς τὸ κραταιότατον
στομοῦται; διότι καὶ παρὰ τὴν ψῦξιν ὠνομάσθαι ψυχὴ δοκεῖ. τί δέ;
τελευτώντων σβέννυται καὶ συμφθείρεται τοῖς σώμασιν ἢ πλεῖστον ἐπι-
βιοῖ χρόνον ἢ κατὰ τὸ παντελὲς ἄφθαρτόν ἐστι; ποῦ δ' ἐμπεφώλευκεν 32
ὁ νοῦς αὐτῷ; ἆρα οἶκον κεκλήρωται; οἱ μὲν γὰρ τὴν ἀκρόπολιν ἐν ἡμῖν
ἀνιέρωσαν αὐτῷ κεφαλήν, περὶ ἣν καὶ αἱ αἰσθήσεις λοχῶσιν, εἰκὸς εἶναι
νομίσαντες ἐγγὺς οἷα μεγάλου βασιλέως ἐφεδρεύειν τοὺς δορυφόρους· οἱ
δ' ὑπὸ καρδίας αὐτὸν ἀγαλματοφορεῖσθαι διανοηθέντες γνωσιμαχοῦσιν.

---

1 διαφέρουσι F (probat Cohn): διαφέρουσαι MAGH$^2$P$^2$, διαφέρουσα H$^1$(P$^1$? coni. Mang.), διαφέρουσι δὲ conicio 2 στάσεσι G$^1$FHP$^1$ ταῖς MAG$^2$: τὰς G$^1$, ταῖς τε H$^2$P$^2$, τά τε FH$^1$P$^1$ τεσσάρων MA 3 πέντε] ε̄ M συμφωνίας A 4 ζώων MAP$^2$: om. ceteri ἄνθρωπος ἔλαβεν (ἔλαχεν H) GFHP 5 οἷον om. MA ἐν om. GFHP 6 γλῶττα A τῇ add. H$^2$P$^2$ ⟨τὸν ἀέρα⟩ τῇ coni. Mang. τῆς] σ add. H$^2$P$^2$ φωνῆς] σ add. H$^2$ τάσει om. A 7 prius καὶ om. F ἀρχὴν L$^1$ 9 ὑπερβάλλοντα L 10 οὐδείς που G 12 δὲ MA: τε s. s. G$^2$P$^2$, om. G$^1$FHP$^1$ 12. 13 ἐνδελέχθειαν G, ἐντελέχειαν Mang. 13 γενόμενον A, γεννωμένων coni. Mang. δ' MA: om. ceteri 14 ἡ] ἢ AGFH$^1$P 15 ἐν MA: ἐκ GFHP κραταιότατον MA: κραταιότερον ceteri 16 ὠνόμασται A δοκεῖ ψυχὴ transpos. GFHP 17 φθείρεται HP 18 ἢ] ἢ καὶ FP 18. 19 ἐμπεφώλευκε νοῦς GFHP 19 αὐτῶν H$^2$, αὐτός coni. Mang. ἆρα] τίνα ἄρα conicio ⟨τὴν⟩ ἐν conicio 20 ἐνιέρωσαν A (corr. Hoesch.) περιεῖναι αἰσθήσεις εἰς χόλωσιν A (corr. Hoesch.) αἱ om. GFH$^1$P

---

11 ss. de fontibus v. Sitzungsberichte p. 1076 sqq.

33 ἀεὶ δὴ τὸ τέταρτον ἀκατάληπτον, οὐρανὸς μὲν ἐν κόσμῳ παρὰ τὴν
ἀέρος καὶ γῆς καὶ ὕδατος φύσιν, νοῦς δὲ ἐν ἀνθρώπῳ παρὰ σῶμα καὶ
αἴσθησιν καὶ τὸν ἑρμηνέα λόγον. μήποτε μέντοι καὶ τὸ τέταρτον ἔτος
„ἅγιον καὶ αἰνετὸν“ ταύτης ἕνεκα τῆς αἰτίας ἐν ταῖς ἱεραῖς ἀναγραφαῖς
34 δηλοῦται (Lev. 19,24)· τὸ γὰρ ἐν τοῖς γεγονόσιν ἅγιον οὐρανὸς μέν
ἐστιν ἐν κόσμῳ, καθ' ὃν αἱ ἄφθαρτοι καὶ μακραίωνες φύσεις περιπο-
λοῦσιν, ἐν ἀνθρώπῳ δὲ νοῦς, ἀπόσπασμα θεῖον ὤν, καὶ μάλιστα κατὰ
Μωυσέα λέγοντα· „ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ
35 ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν“ (Gen. 2, 7). καὶ ἑκάτερον δὲ
αἰνετὸν οὐκ ἀπὸ σκοποῦ μοι δοκεῖ προσειρῆσθαι· τὰ γὰρ δυνάμενα τοὺς
ἐπαίνους καὶ ὕμνους καὶ εὐδαιμονισμοὺς ἐκτραγῳδεῖν τοῦ γεννήσαντος
πατρὸς ταῦτ' ἐστίν, οὐρανός τε καὶ νοῦς. ἄνθρωπος μὲν γὰρ ἐξαιρέτου
παρὰ τὰ ἄλλα ζῷα γέρως ἔλαχε, θεραπεύειν τὸ ὄν, ὁ δὲ οὐρανὸς ἀεὶ
μελῳδεῖ, κατὰ τὰς κινήσεις τῶν ἐν ἑαυτῷ τὴν πάμμουσον ἁρμονίαν ἀπο-
36 τελῶν· ἧς εἰ συνέβαινε τὴν ἠχὴν εἰς τὰς ἡμετέρας φθάνειν ἀκοάς,
ἔρωτες ἂν ἀκάθεκτοι καὶ λελυττηκότες ἵμεροι καὶ ἄπαυστοι καὶ μανιώδεις
| ἐγίνοντο οἶστροι, ὡς καὶ τῶν ἀναγκαίων ἀπέχεσθαι τρεφομένους μηκέθ' p. 626 M.
ὡς θνητοὶ σιτίοις καὶ ποτοῖς διὰ φάρυγγος, ἀλλ' ὡς οἱ μέλλοντες ἀπα-
θανατίζεσθαι δι' ὤτων μουσικῆς τελείας ἐνθέοις ᾠδαῖς· ὧν ἀκροατὴν
Μωυσῆν ἀσώματον γενόμενον λόγος ἔχει τεσσαράκοντα ἡμέρας καὶ τὰς
ἴσας νύκτας μήτε ἄρτου μήτε ὕδατος ψαῦσαι τὸ παράπαν (Exod. 24,18).
37 (7.) ὁ τοίνυν οὐρανός, τὸ μουσικῆς ἀρχέτυπον ὄργανον, ἄκρως ἡρμόσθαι
δοκεῖ δι' οὐδὲν ἕτερον ἢ ἵνα οἱ ἐπὶ τιμῇ τοῦ τῶν ὅλων πατρὸς ᾀδόμενοι

---

1 ἀεὶ δὴ A: αὖ εἰ δὴ M, εἰ δὴ ceteri, ἤδη v  2 δ' GFHP  4 ἕνεκεν GFHP  5 οὐρανὸν A  6 αἱ om. HP[1]  8 Μωυσέα MA: Μωυσῆν cetari  9 ὁ om. A  10 καὶ ante οὐκ add. F  προσειρῆσθαι δοκεῖ GFHP  προηρῆσθαι A  13 γέρας F  14 τῶν MPal.: τὴν A, τῶν ὄντων ceteri  ἑαυτῶ MA Pal.: αὐτῶ ceteri  15 φθάνει F[1]  16 ἂν] ὧν A  ἀνύποιστοι coni. Mang.  17 ἐγίνοντο M: ἐγίγνοντο F, ἐγένοντο ceteri  ὡς Pal.: om. codd.  post ἀναγκαίων add. ἠνάγκασαν H[2]  στρεφομένους F  17. 18 μηκέθ' ὡς θνητοὶ MA: μὴ καθὼς οἱονεὶ ἢ (οἷον ἢ P, οἱονεὶ οἱ L) GFP, μὴ καθὼς οἱ, tum ras. 3 litt. H  18 τοῖς σιτίοις GFHP  καὶ] ἢ FL[2]  τοῖς ποτοῖς GFL[2]  ποτίοις P  ὡς om. GFHP[1]  19 δι' ὤτων MPal.: διὰ τῶν ceteri, διὰ τῆς Turn.  ἐνθέων ᾠδῶν G[2]H[2]L[1], ἐνθέαις ᾠδαῖς FL[2], P[1] ut vid.  ὧν] ἧς A  20 Μωσῆν MA  ἀσωμάτου P  21 alt. μήθ' MA  23 δι'] δ' A  οἱ MG[2]FHP (Hoesch. in mg. A): ἡ AG[1](?), om v  ἐπιστήμη GFHP

---

13 sqq. Pythagorei: Zeller I 1 p. 432.  13—19 Pal. fol. 27[v] ὁ δὲ οὐρανός — ᾠδαῖς.

ὕμνοι μουσικῶς ἐπιψάλλωνται. καὶ τὴν ἀρετὴν μέντοι Λείαν ἀκούομεν
ἐπὶ τῆς τοῦ τετάρτου γενέσεως υἱοῦ μηκέτι τίκτειν δυναμένην, ἀλλ' ἐπέ-
χουσαν ἢ ἐπεχομένην τὰς γονάς· εὕρισκε γάρ, οἶμαι, πᾶσαν τὴν γένεσιν
ἐξ αὑτῆς ξηράν τε καὶ στεῖραν, ἡνίκα Ἰούδαν, τὴν ἐξομολόγησιν, τὸν
τέλειον καρπόν, ἤνθησε. διαφέρει δ' οὐδὲν τὸ λέγειν „ἵστασθαι τίκτου- 38
σαν“ (Gen. 29, 35) τοῦ μὴ εὑρίσκειν ἐν τῷ τετάρτῳ φρέατι τοὺς παῖδας
Ἰσαὰκ ὕδωρ (Gen. 26,32), ἐπειδήπερ ἐξ ἑκατέρου τῶν συμβόλων ἐμφαί-
νεται τὸ πάντα διψῆν θεοῦ, παρ' ὃν αἱ γενέσεις καὶ τροφαὶ τοῖς γεγο-
νόσιν ᾄδονται. μικροπολῖται μὲν οὖν τινες ἴσως ὑπολήψονται περὶ φρεά- 39
των διορυχῆς τὸν τοσοῦτον εἶναι λόγον τῷ νομοθέτῃ, οἱ δὲ δὴ μείζονι
ἐγγραφέντες πατρίδι, τῷδε τῷ κόσμῳ, τελειοτέρων φρονημάτων ὄντες,
εἴσονται σαφῶς, ὅτι περὶ τεττάρων ἐστίν, οὐ φρεάτων, ἀλλὰ τῶν τοῦ
παντὸς μερῶν ἡ ζήτησις τοῖς ὁρατικοῖς καὶ φιλοθεάμοσι, γῆς, ὕδατος,
ἀέρος, οὐρανοῦ. ὧν ἕκαστον ἐπινοίαις εἰς ἄκρον πεποιημέναις διεξελ- 40
θόντες ἐν μὲν τοῖς τρισὶν εὗρόν τινα καταληπτά — διὸ καὶ τρία ὀνό-
ματα ἐπεφήμισαν τοῖς εὑρεθεῖσιν, ἀδικίαν, ἔχθραν, εὐρυχωρίαν (Gen.
26, 20. 21. 22) —, ἐν δὲ τῷ τετάρτῳ τὸ παράπαν οὐδέν, οὐρανῷ, κα-
θάπερ ὀλίγῳ πρότερον ἐδηλώσαμεν· τὸ γὰρ τέταρτον φρέαρ ἄνυδρον
καὶ ξηρὸν εὑρίσκεται καὶ ὅρκος διὰ τὴν εἰρημένην αἰτίαν προσαγορεύεται.
(8.) Τὰ δὲ ἑπόμενα ζητήσωμεν ἐρευνῶντες, τίς ἡ Χαρρὰν καὶ 41
διὰ τί ὁ ἀπὸ τοῦ φρέατος ἐξελθὼν εἰς αὐτὴν ἔρχεται (Gen. 28,10).
ἔστι τοίνυν, ὡς ἔμοιγε φαίνεται, Χαρρὰν μητρόπολίς τις αἰσθήσεων.
ἑρμηνεύεται γὰρ τοτὲ μὲν ὀρυκτή, τοτὲ δὲ τρῶγλαι, δι' ἀμφοτέρων τῶν
ὀνομάτων ἑνὸς δηλουμένου πράγματος. τὸ γὰρ σῶμα ἡμῶν εἰς τὰ τῶν 42
αἰσθήσεων ὄργανα τρόπον τινὰ ἐξορώρυκται, καὶ γέγονεν ἕκαστον τῶν

---

1 λίαν A (corr. Hoesch.) G    ἀκούωμεν A    2 τοῦ om. Mang.
3 ἢ ἐπεχομένην om. F, secl. Mang.    εὕρισκε HP: ηὕρισκε MAF, ἢ εὕρισκε G
4 αὐτῆς H²    5 τὸ MAFH²: τῷ H¹P, τοῦ in ras. G    λέγειν MA: τὴν λείαν HP, τὴν λίαν GF    6 τοῦ MAF: τὸ οὐ G, τῷ H, τὸ P    7 περ] παρ' A    7. 8 ἐφαίνετο P    8 παρ' ὃν GFH²: παρ' οὗ MAP², παρ' ὃ H¹P¹, tum καὶ add HP    αἱ τροφαὶ HP    9 μικρολόγοι GFHP (Hoesch. in mg. A)
10 δὲ δὴ M: δὲ A, δ' ἐν τῇ ceteri, δὲ τῇ conicio    11 γραφέντες HP    ὄντες] ἐπιλαχόντες conicio, γέμοντες coni. Cohn    12 περὶ τεττάρων ἐστὶν οὐ φρεάτων MA: οὐ περὶ φρεάτων τεττάρων ἐστὶν ceteri    14 ἕκαστος G¹, ἕκαστον, s. s. ὁ G²
πεπονημέναις coni. Mang, τετελειωμέναις coniciebam    15 post μὲν add. οὖν GFHP, sed GH rursus del.    16 ἐπεφήμισαν M: ἐπευφήμισαν A, ἐφήμισαν F, εὐφήμησαν GHP    ἔχθραν εὐρυχωρίαν om. G    19 alt. καὶ — προσαγορεύεται om. G
προσηγόρευται P    20 δ' GFHP    ζητήσομεν H    23 ποτὲ bis G
τῶν om. GFHP    24 τὰ γὰρ σώματα GFHP    25 ἐξώρυκται A, ἐξωρώρυκται G

ὀργάνων ἑκάστης ὀπή τις αἰσθήσεως, ἐν ᾗ πέφυκε φωλεύειν. | ὅταν p. 627 M.
οὖν τις ἀπὸ τοῦ φρέατος, ὃ καλεῖται ὅρκος, ὥσπερ ἀπὸ λιμένος ἐξαναχθῇ,
παραγίνεται εὐθὺς εἰς Χαρρὰν ἀναγκαίως· τὸν γὰρ ἀποδημίαν στελλό-
μενον ἀπὸ τοῦ ἀρίστου καὶ ἀπειρομεγέθους ἐπιστήμης χωρίου κατ'
43 ἀναγκαῖον αἰσθήσεις ἄνευ ξεναγῶν ὑποδέχονται. κινεῖται γὰρ ἡμῶν ἡ
ψυχὴ πολλάκις μὲν ἐφ' ἑαυτῆς, ὅλον τὸν σωματικὸν ὄγκον ἐκδῦσα καὶ
τὸν τῶν αἰσθήσεων ὄχλον ἀποδρᾶσα, πολλάκις δὲ καὶ ταῦτα ἐπαμπισχο-
μένη. τὴν μὲν οὖν γυμνὴν κίνησιν αὐτῆς τὰ νοήσει μόνῃ καταληπτὰ
44 ἔλαχε, τὴν δὲ μετὰ σώματος τὰ αἰσθητά. εἴ τις οὖν ὁμιλεῖν εἰσάπαν
ἀδυνατεῖ διανοίᾳ μόνῃ, δευτέραν καταφυγὴν αἴσθησιν εὑρίσκεται, καὶ
ὅστις ἂν σφαλῇ τῶν νοητῶν, αὐτίκα πρὸς τὰ αἰσθητὰ κατασύρεται·
δεύτερος γὰρ ἀεὶ πλοῦς ὁ πρὸς αἴσθησιν τοῖς μὴ δυνηθεῖσι πρὸς τὸν
45 ἡγεμόνα νοῦν εὐπλοῆσαι. καλὸν δὲ κἂν τούτῳ γενομένους μὴ καταγη-
ράσαι καὶ διαιωνίσαι, ἀλλ' ὡς ἐν ξένῃ διατρίβοντας παροίκων τρόπον
ἀεὶ μετανάστασιν ζητεῖν καὶ ἐπάνοδον εἰς τὴν πατρῴαν γῆν. Λάβαν
μὲν γὰρ οὐκ εἶδος, οὐ γένος, οὐκ ἰδέαν, οὐκ ἐννόημα, οὐκ ἄλλο τῶν
νοήσει μόνῃ καταλαμβανομένων οὐδὲν ἁπλῶς εἰδώς, ἠρτημένος δὲ τῶν
ἐμφανῶν, ἅπερ εἰς ὄψεις καὶ ἀκοὰς καὶ τὰς συγγενεῖς δυνάμεις ἔρχεται,
πατρίδος ἠξίωται Χαρράν, ἣν ὡς ξένην ὁ φιλάρετος Ἰακὼβ πρὸς ὀλίγον
46 οἰκεῖ χρόνον, τῆς οἴκαδε ἐπανόδου διαμεμνημένος. φησὶ γοῦν ἡ μήτηρ,
ἡ ὑπομονή, Ῥεβέκκα πρὸς αὐτόν· „ἀναστὰς ἀπόδραθι πρὸς Λάβαν τὸν
ἀδελφόν μου εἰς Χαρράν, καὶ οἴκησον μετ' αὐτοῦ ἡμέρας τινάς“ (Gen.
27, 43. 44). ἆρα οὖν κατανοεῖς, ὅτι οὐχ ὑπομένει ὁ ἀσκητὴς ἐν τῇ
χώρᾳ τῶν αἰσθήσεων καταβιῶναι, ἀλλ' ἡμέρας ὀλίγας καὶ βραχύν τινα

---

1 τις] τῆς G$^2$ ὅταν] ὅπως Turn. 3 παραγίνεται MAN: ras. 3 litt., γίνεται εἶτ' G, παραγίνεταί τ' FHP Χαρὰν GN ἀποδημίας H$^1$P, ἀποδημία N 4 ἀορίστου coni. Mang. κατὰ M 4. 5 κατὰ τἀναγκαῖον GFN 5 ξεναγωγῶν M ἡμῶν om. H$^1$P 6 ἀφ' coni. Cohn οἶκον coni. Mang. 7 τὸν τῶν αἰσθήσεων M: τὸν τῆς αἰσθήσεως A Pal., τὸν αἰσθήσεων GFHPN, τῶν αἰσθήσεων L ἀποδράσασα GFHPN 7. 8 ἐπ' ἀμπισχόμενα G$^1$ 8 αὐτῆς κατανοήσει G μόνον HP καταληπτὴν in ras. G$^2$ 9 εἴληχε Pal. 10 ἀδυνατεῖ om. A (suppl. Hoesch.) τῇ διανοίᾳ A δευτέραν om. H 12 ὁ MA: om. ceteri N 13 γινομένους N, γινόμενος F 16 οὐ γένος] ἢ γένος P 17 μόνον A ἠρτημένως F 19 καὶ ante πατρίδος add. GFHP 20 φησὶν οὖν HP(F$^1$) 21 ἀναστὰς om. MA 22 καὶ ποίησον ἐκεῖ ἡμέρας MA 23 οὖν MA: δὴ ceteri

---

1—15 N fol. 150r: ὅταν — γῆν. 5—9 Pal. fol. 27v κινεῖται μὲν ἡ ψυχὴ — αἰσθητά.

χρόνον διὰ τὰς τοῦ συνδέτου σώματος ἀνάγκας, ὁ δὲ μακρὸς αἰὼν αὐτῷ καὶ βίος ἐν τῇ νοητῇ πόλει ταμιεύεται; (9.) παρό μοι δοκεῖ καὶ ὁ 47
πάππος αὐτοῦ τῆς ἐπιστήμης, Ἀβραὰμ ὄνομα, μὴ πολὺν χρόνον ὑπομεῖναι τῇ Χαρρὰν ἐνδιατρῖψαι. λέγεται γὰρ ὅτι „Ἀβραὰμ ἦν ἐτῶν ἑβδομήκοντα πέντε, ὅτε ἐξῆλθεν ἐκ Χαρράν“ (Gen. 12, 4), καίτοι τοῦ πατρὸς αὐτοῦ Θάρρα, ὃς ἑρμηνεύεται κατασκοπὴ ὀσμῆς, μέχρι τελευτῆς ἐν αὐτῇ
p. 628 M. βιώσαντος. ῥητῶς γοῦν ἐν ταῖς ἱεραῖς ἀναγραφαῖς | δηλοῦται, ὅτι „ἀπέ- 48
θανε Θάρρα ἐν Χαρράν“ (Gen. 11, 32)· κατάσκοπος γὰρ ἦν ἀρετῆς, οὐ πολίτης, καὶ ὀσμαῖς ἀλλ' οὐ τροφῶν ἀπολαύσεσιν ἐχρῆτο, μήπω ἱκανὸς ὢν ἐμπίπλασθαι φρονήσεως, ἀλλὰ μηδὲ γεύεσθαι, τοῦτο δ' αὐτὸ μόνον ὀσφραίνεσθαι. καθάπερ γὰρ τοὺς θηρατικοὺς τῶν σκυλάκων λόγος ἔχει 49
καὶ τὰ πορρωτάτω τῶν θηρίων πτώματα ῥινηλατοῦντας ἀνευρίσκειν ἠκονημένους ὑπὸ φύσεως διαφερόντως τὴν περὶ τὰς ὀσμὰς αἴσθησιν, τὸν αὐτὸν τρόπον τὴν ἀπὸ δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς ἀναδιδομένην ἡδεῖαν αὔραν ὁ παιδείας ἐραστὴς ἰχνηλατεῖ καὶ ποθεῖ μὲν ἐκείναις ἐντυχεῖν, ἐξ ὧν ἀναδίδοται τὸ θαυμασιώτατον γάνωμα τοῦτο, μὴ δυνάμενος δ' ἐν κύκλῳ κενὴν περιάγει τὴν κεφαλήν, ὀσφραινόμενος αὐτὸ μόνον καλοκἀγαθίας καὶ σιτίων ἱερωτάτης κνίσσης· οὐ γὰρ ἀρνεῖται λίχνος ἐπιστήμης καὶ φρονήσεως εἶναι. μακάριοι μὲν οὖν οἷς ἐξεγένετο τῶν σο- 50
φίας φίλτρων ἀπόνασθαι καὶ τῶν θεωρημάτων καὶ δογμάτων αὐτῆς ἑστιαθῆναι καὶ ἐνευφρανθεῖσιν ἔτι διψῆν, ἄπληστον καὶ ἀκόρεστον ἐπιφερομένοις ἵμερον ἐπιστήμης. δεύτερα δ' οἴσονται, οἷς ἀπολαῦσαι μὲν 51
οὐκ ἐξεγένετο τῆς ἱερᾶς τραπέζης, κνισσοῦν δὲ τὰς ἑαυτῶν ψυχάς· αὔραις γὰρ ἀρετῆς οὗτοι ζωπυρηθήσονται, καθάπερ τῶν καμνόντων οἱ

---

1 συνθέτου GFHP    post ἀνάγκας e. gr. παροικεῖ addiderim, βιῶναι subaudit Cohn    4 τὴν MA    4. 5 οε̄ MAHP    6 κατασκοπῆς G    ὀδσμῆς (sic) G, ὀδμῆς F    post μέχρι add. τῆς, ut vid., $P^2$    7 γοῦν MA: οὖν ceteri, μὲν οὖν v    ἀναγραφαῖς MA: γραφαῖς GHP, γραφῆς F    δουλοῦται A    8 Χαρρᾶ $GFH^1P$    ἦν ἀρετῆς] ἀρθεὶς ἦν A    9 ὀδσμαῖς (sic) G, ὀδμαῖς F    ἀπόλαυσιν HP    10 ἐμπίμπλασθαι M    γεύσασθαι A    11 θηρευτικοὺς $G^2$    12 πορρώτατα F    13 φύσεως MA: τῆς φύσεως ceteri    ὀδσμὰς G, ὀδμὰς F    14 τὴν ἀπὸ δικαιοσύνης om. $G^1$, τὴν s. s. $G^2$    τῆς ἀρετῆς τῆς ἄλλης HP    15 ἄβραν M    ὁ om. $G^1FHP^1$    16 ἐξ ὧν ἀναδίδοται post τοῦτο transp. G    16. 17 μὴ δυνάμενος δ' ἐν κύκλῳ MA: μηδ' ἐν κύκλῳ δυνάμενος ceteri    17 καινὴν A    αὐτῷ AG    18 καὶ fort. secl. vel ἀρετῶν pro σιτίων scrib.    κνίσης HP    19 ἐξεγένοντο G    21 ἐνευφρανθεῖσιν Cohn: εὐφρανθεῖσι G, ἀνευφρανθεῖσιν ceteri    ἔτι om. $GFHP^1$    21. 22 ἐπιφερόμενος G, περιφερομένοις coni. Mang.    22 δευτερεῖα coni. Mang.    23 ἐγένετο H    κνισοῦν MHP    ταῖς et ψυχαῖς G    24 ζωπηρηθήσονται F

παρειμένοι διὰ τὸ μὴ δύνασθαι τροφῇ χρῆσθαι τὰς εἰς ἀνάληψιν προσ-
φέρονται ὀσμάς, ἃς ἰατρῶν παῖδες λιποθυμίας ἄκη σωτήρια προευτρεπί-
52 ζονται. (10.) καταλιπὼν μέντοι τὴν Χαλδαίαν γῆν εἰς Χαρρὰν λέγεται
μετανίστασθαι Θάρρα, τόν τε υἱὸν Ἀβραὰμ καὶ τοὺς ὁμογνίους τῆς οἰκίας
ἐπαγόμενος, οὐχ ἵν' ὡς παρὰ συγγραφέως ἱστορικοῦ μάθωμεν, ὅτι μετα-
νάσται τινὲς ἐγένοντο, τὴν μὲν πατρῴαν γῆν καταλιπόντες, τὴν δὲ ξένην
ὡς πατρίδα οἰκήσαντες, ἀλλ' ὑπὲρ τοῦ μάθημα βιωφελέστατον καὶ
53 ἁρμόττον ἀνθρώπῳ μὴ ἀμεληθῆναι. τί δὲ τοῦτό ἐστι; Χαλδαῖοι μὲν
ἀστρονομοῦσιν, οἱ δὲ τῆς Χαρρὰν πολῖται περὶ τὸν τῶν αἰσθήσεων τόπον
πραγματεύονται. φησὶν οὖν ὁ ἱερὸς λόγος τῷ κατασκόπῳ τῶν τῆς φύσεως
πραγμάτων· τί περὶ ἡλίου ζητεῖς, εἰ ποδιαῖός ἐστιν, εἰ τῆς γῆς μείζων
ἁπάσης, εἰ πολλαπλάσιος αὐτῆς; τί δὲ περὶ φωτισμῶν σελήνης, εἰ νόθον
ἔχει φέγγος, εἰ γνησίῳ μόνῳ χρῆται; τί δὲ περὶ τῆς τῶν ἄλλων ἀστέρων
54 φύσεως ἢ περιφορᾶς ἢ συμπαθείας πρός τε ἀλλήλους καὶ τἀπίγεια; τί
δὲ βαίνων ἐπὶ γῆς ὑπὲρ νεφέλας πηδᾷς; τί δ' ἅπτεσθαι τῶν ἐν αἰθέρι
φῂς δύνασθαι προσερριζωμένος χέρσῳ; τί δὲ περὶ τῶν ἀτεκμάρτων
τεκμαίρεσθαι τολμᾷς; τί δὲ πολυπραγμονεῖς ἃ μή σε δεῖ, τὰ μετέωρα;
τί δὲ τὴν ἐν τοῖς μαθήμασιν εὑρεσιλογίαν ἄχρις οὐρανοῦ τείνεις; τί δ'
ἀστρονομεῖς μετεωρολεσχῶν; | μὴ τὰ ὑπὲρ σὲ καὶ ἄνω, ὦ οὗτος, ἀλλὰ p. 629 M.
τὰ ἐγγὺς σαυτοῦ κατανόησον, μᾶλλον δὲ σαυτὸν ἀκολακεύτως ἐρεύνησον.
55 πῶς οὖν ἐρευνήσεις; ἴθι νοερῶς εἰς Χαρρὰν τὴν ὀρυχτήν, τὰς τρώγλας
καὶ ὀπὰς τοῦ σώματος, καὶ ἐπίσκεψαι ὀφθαλμούς, ὦτα, ῥῖνας, τὰ ἄλλα

---

1 διὰ GFHP[1]: καὶ διὰ MAP[2]    τροφαῖς GFHP    τὰς] ταῖς GFHP    1. 2 προσφέροντες GHP, προσφέροντ' F    2 ὀδμάς GF    ἃς om. GFHP    λειποθυμίας ἀκεστήρια (ἄκη σωτήρια scripsi) MA: ἄκη λιποθυμίας (sic G, hoc recepi, λυποθυμίας F, λειποθυμίας HP) σωτήρια GFHP    2. 3 προσευτρεπίζονται GFHP    3 Χαλδαίαν MA: Χαλδαίων ceteri    4 τε MA: δὲ ceteri    ὁμογνίους scripsi: ὁμογνώμονας codd. οἰκείας HP    5 ἱστορικοῦ secl. Cohn    7 post καὶ add. νοερὸν GFHP    8 ante ἀνθρώπῳ ras. in H    μόνω post ἀνθρώπω add. GFHP, ἐπιστήμονι coni. Mang.    τοῦτ' HP    9 τρόπον F    10 φησὶ MA    οὖν GFPH[2]: γοῦν MA, οὐκ L[1], om. H[1]    13 εἰ] ἢ H[2]    ἄστρων A    14 prius ἢ] εἰ F    εἰσφορᾶς G, φορᾶς FHP    τἀπίγεια M: τὰ ἐπίγεια ceteri    14. 15 ἐπίγεια — βαίνων om. G    18 εὑρησολογίαν G, εὑρησιλογίαν H[1]P    19 ὑπὲρ σὲ καὶ ἄνω MA: ὑπερωκεάνια ceteri    20 σαυτοῦ MA: ἑαυτοῦ GFH[2], αὐτοῦ H[1]P    21 εὑρήσεις F(?)H, tum ἐὰν ἐπιτύχῃς add. GFHP, ἐρευνήσας ἂν ἐπιτύχῃς (immo ἐπιτύχοις) coni. Mang.    ἴθ' A    νοερῶς om. MA    22. 217,1 καὶ τὰ ἄλλα ὅσα conicio

---

11—14 de fontibus v. Sitzungsberichte l. c. p. 1075. 1076.    19 cf. Usener, Epicurea p. 229,1. Norden in supplem. annal. philolog. XVIII p. 270.

ὅσα καὶ αἰσθήσεως ὄργανα, καὶ φιλοσόφησον ἀναγκαιοτάτην καὶ πρεπωδεστάτην φιλοσοφίαν ἀνθρώπῳ, ζητῶν, τί ὅρασις, τί ἀκοή, τί γεῦσις, τί ὄσφρησις, τί ἁφή, τί καὶ συνόλως αἴσθησις· κἄπειτα τί τὸ ὁρᾶν καὶ πῶς ὁρᾷς, τί τὸ ἀκούειν καὶ πῶς ἀκούεις, τί τὸ ὀσφραίνεσθαι ἢ γεύεσθαι ἢ ἅπτεσθαι καὶ πῶς ἕκαστον αὐτῶν εἴωθε γίγνεσθαι. πρὶν δὲ τὸν ἴδιον 56
οἶκον καλῶς ἐπεσκέφθαι, τὸν τοῦ παντὸς ἐξετάζειν οὐχ ὑπερβολὴ μανίας; καὶ οὔπω σοι μεῖζον ἐπίταγμα ἐπιτάττω, τὴν σαυτοῦ ψυχὴν ἰδεῖν καὶ τὸν νοῦν, ἐφ' ᾧ μέγα φρονεῖς· καταλαβεῖν γὰρ αὐτὸν οὔποτε δυνήσῃ. ἀνάβαινε νῦν εἰς οὐρανὸν καὶ καταλαζονεύου περὶ τῶν ἐκεῖ, μήπω δεδυ- 57
νημένος γνῶναι κατὰ τὸ ποιητικὸν γράμμα

ὅττί τοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται,

καταγαγὼν δ' ἀπ' οὐρανοῦ τὸν κατάσκοπον καὶ ἀντισπάσας ἀπὸ τῆς ἐκεῖ ζητήσεως γνῶθι σαυτόν, εἶτα καὶ τοῦτ' ἐπιμελῶς ἐκπόνησον, ἵνα τῆς ἀνθρωπίνης εὐδαιμονίας ἐπιλάχῃς. τὸν τρόπον τοῦτον Θάρρα μὲν 58
Ἑβραῖοι, Σωκράτην δὲ Ἕλληνες ὀνομάζουσι· καὶ γὰρ ἐκεῖνον ἐγγηράσαι φασὶν τῇ περὶ τοῦ γνῶθι σαυτὸν ἀκριβεστάτῃ σκέψει, μηδὲν ἔξω τῶν καθ' ἑαυτὸν φιλοσοφοῦντα. ἀλλ' ὁ μὲν ἄνθρωπος ἦν, Θάρρα δ' αὐτὸς ὁ λόγος ὁ περὶ τοῦ γνῶναί τινα ἑαυτὸν προκείμενος οἷα δένδρον εὐερνέστατον, ἵν' ἔχοιεν εὐμαρῶς οἱ φιλάρετοι τὸν περὶ ἠθοποιίαν δρεπόμενοι καρπὸν σωτηρίου καὶ ἡδίστης ἐμπίπλασθαι τροφῆς. τοιοῦτοι μὲν ἡμῖν 59
οἱ φρονήσεως κατάσκοποι, τῶν δὲ ἀθλητῶν καὶ ἀγωνιστῶν αὐτῆς αἱ φύσεις τελειότεραι· δικαιοῦσι γὰρ οὗτοι τὸν περὶ τῶν αἰσθήσεων σύμπαντα λόγον ἀκριβῶς καταμαθόντες ἐπί τι μεῖζον ἕτερον χωρεῖν θεώ-

1 ὅσα καὶ MA: καὶ GH, καὶ ὅσα P, om. F    αἰσθήσεως MAG: τῶν αἰσθήσεων Fv, αἰσθήσεων HP    φιλοσόφησον] φιλοσοφωτάτην φιλοσοφίαν ἢ μᾶλλον εἰπεῖν HP
2 ἀνθρώπῳ ζητῶν MA: ἀληθεῖ, tum ras., ζητῶν G; ἀληθείᾳ ἀνθρώπῳ ζητῶν F, ἀληθείᾳ (ἀλήθειαν L) ἀναζητῶν HL, ἀλη<sup>θ'</sup> ἄνω ζητῶν (ἄνω ζητῶν rursus del.) P
3 primum τί om. GFHP    τὸ om. L    4 ὁρᾷς — πῶς om. A
5 γίνεσθαι GFHP    6 συνεπεσκέφθαι G    9. 10 δυνάμενος GFHP    11 ὅτι MAFP    τε om. AP    τέτεκται F    12 καταγαγὼν δ' MA: κάταγε τῶν (τῶν rursus del. P) ceteri, κατάγων δ' per errorem Mang.    ἀντὶ πάσας A
13 εἶτα om. GFHP, fort recte    14 εὐδαιμονίας MAP²: ἐπιμελείας ceteri    τὸν (om. τρόπον) τοῦ Θάρρα F    Θάρραν H²    16 σκέψει MAFP, mg. H: γνώσει GHL, mg. P²    τῶν] τὸν A    17 ἑαυτὸν GFHP: αὐτὸν MA
18. 19 εὐθαλέστατον A    19 περὶ] πρὸς MA    20 ἐμπίμπλασθαι M
22 τελειότεραι MA: τελεώτεραι GFHP    23 χωρεῖν MA: ἐλθεῖν ceteri

10 Hom. Od. δ 392.

60 ρημα, καταλιπόντες τὰς αἰσθήσεως ὀπάς, αἳ Χαρρὰν ὀνομάζονται. τούτων ἐστὶν ὁ ἐπιδόσεις καὶ βελτιώσεις πρὸς ἐπιστήμης ἄκρας ἀνάληψιν ἐσχηκὼς Ἀβραάμ· ὅτε γὰρ μάλιστα ἔγνω, τότε μάλιστα ἀπέγνω ἑαυτόν, ἵνα τοῦ πρὸς ἀλήθειαν ὄντος εἰς ἀκριβῆ γνῶσιν ἔλθῃ. καὶ πέφυκεν οὕτως ἔχειν· ὁ λίαν καταλαβὼν ἑαυτὸν λίαν ἀπέγνωκε τὴν ἐν πᾶσι τοῦ | γενητοῦ σαφῶς προλαβὼν οὐδένειαν, ὁ δ' ἀπογνοὺς ἑαυτὸν γινώσκει p. 630 M. τὸν ὄντα.

61 (11.) Τίς μὲν οὖν ἐστιν ἡ Χαρρὰν καὶ διὰ τί ὁ ἀπολείπων τὸ τοῦ ὅρκου φρέαρ εἰς αὐτὴν ἔρχεται, δεδήλωται. σκεπτέον δὲ τὸ τρίτον καὶ ἀκόλουθον, τίς ὁ τόπος, ᾧ ὑπαντᾷ· λέγεται γάρ, ὅτι „ἀπήντησε
62 τόπῳ“ (Gen. 28, 11). τριχῶς δὲ ἐπινοεῖται τόπος, ἅπαξ μὲν χώρα ὑπὸ σώματος πεπληρωμένη, κατὰ δεύτερον δὲ τρόπον ὁ θεῖος λόγος, ὃν ἐκπεπλήρωκεν ὅλον δι' ὅλων ἀσωμάτοις δυνάμεσιν αὐτὸς ὁ θεός. „εἶδον“ γάρ φησι „τὸν τόπον οὗ εἱστήκει ὁ θεὸς τοῦ Ἰσραήλ“ (Exod. 24, 10), ἐν ᾧ μόνῳ καὶ ἱερουργεῖν ἐφῆκεν ἀλλαχόθι κωλύσας· διείρηται γὰρ ἀναβαίνειν εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός, κἀκεῖ θύειν τὰ ὁλοκαυτώματα καὶ τὰ σωτήρια καὶ τὰς ἄλλας ἀμώμους θυσίας ἀνά-
63 γειν (Deut. 12,5ss.). κατὰ δὲ τρίτον σημαινόμενον αὐτὸς ὁ θεὸς καλεῖται τόπος τῷ περιέχειν μὲν τὰ ὅλα, περιέχεσθαι δὲ πρὸς μηδενὸς ἁπλῶς, καὶ τῷ καταφυγὴν τῶν συμπάντων αὐτὸν εἶναι, καὶ ἐπειδήπερ αὐτός ἐστι
64 χώρα ἑαυτοῦ, κεχωρηκὼς ἑαυτὸν καὶ ἐμφερόμενος μόνῳ ἑαυτῷ. ἐγὼ μὲν οὖν οὐκ εἰμι τόπος, ἀλλ' ἐν τόπῳ, καὶ ἕκαστον τῶν ὄντων ὁμοίως· τὸ γὰρ περιεχόμενον διαφέρει τοῦ περιέχοντος, τὸ δὲ θεῖον ὑπ' οὐδενὸς περιεχόμενον ἀναγκαίως ἐστὶν αὐτὸ τόπος ἑαυτοῦ. μαρτυρεῖ δέ μοι

---

1 αἰσθήσεις ὡς ὀπάς H ὠνομάζοντο GFHP 3 ἑαυτοῦ (ὃν s. s.) A 4 τοῦ et ὄντος GFHP: τῶν et ὄντων MA (sed v. lin. 7) 5 post ὁ add. γὰρ GFHP ἐν] ἐπὶ MA 6 γεννητοῦ AGF οὐθένειαν A γιγνώσκει G 8 διότι F ἀπολιπὼν GFHP 10 καὶ om. F ὅτι om. GHP[1] ὑπήντησεν GH, tum ἐν add. G, ἐν τῷ FHPN 12 ἐκπεπληρωμένη GFHP 13 ἐκπεπλήρωκεν] ἀφῆκεν coni. Mang. 14 φησιν F τοῦ] τὸν P 15 μόνον GFHPN ἀφῆκεν AFL[2]N ἄλλοθι MA διείρηται M: διήρηται A, εἴρηται ceteri N 17 alterum τὰ om. GFHPN ἄλλα A 20 καταφυγεῖν A (corr. Hoesch.) εἶναι αὐτόν transpos. FHPN, εἶναι καὶ αὐτόν G 21 ἑαυτοῦ MAFP[2]N: αὐτοῦ GH[1]P[1], αὐτοῦ H[2] 21 μόνως αὐτῷ N, ἑαυτῷ μόνῳ conicio 22 οὖν οὐκ M: οὐνοῦτ' (i. e. οὐρανοῦ τ', ut vid.) A, οὐκ ceteri N 24 ἀναγκαῖος AP ἐστὶ A αὐτὸ om. A ἑαυτῷ N

---

10—24 N fol. 150[v]: λέγεται — τόπος ἑαυτῷ. 18. 19 cf. Clem. Alex. Strom. V 74 p. 690 P.

λόγιον τὸ χρησθὲν ἐπὶ Ἀβραὰμ τόδε· „ἦλθεν εἰς τὸν τόπον ὃν εἶπεν
αὐτῷ ὁ θεός· καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς εἶδε τὸν τόπον μακρόθεν“
(Gen. 22,3. 4). ὁ ἐλθὼν εἰς τὸν τόπον, εἰπέ μοι, μακρόθεν αὐτὸν εἶδεν; 65
ἀλλὰ μήποτε δυεῖν πραγμάτων ἐστὶν ὁμωνυμία διαφερόντων, ὧν τὸ μὲν
ἕτερον θεῖός ἐστι λόγος, τὸ δὲ ἕτερον ὁ πρὸ τοῦ λόγου θεός. ὁ δὴ 66
ξεναγηθεὶς ὑπὸ σοφίας εἰς τὸν πρότερον ἀφικνεῖται τόπον, εὑράμενος
τῆς ἀρεσκείας κεφαλὴν καὶ τέλος τὸν θεῖον λόγον, ἐν ᾧ γενόμενος οὐ
φθάνει πρὸς τὸν κατὰ τὸ εἶναι θεὸν ἐλθεῖν, ἀλλ' αὐτὸν ὁρᾷ μακρόθεν·
μᾶλλον δὲ οὐδὲ πόρρωθεν αὐτὸν ἐκεῖνον θεωρεῖν ἱκανός ἐστιν, ἀλλὰ τὸ
μακρὰν τὸν θεὸν εἶναι πάσης γενέσεως αὐτὸ μόνον ὁρᾷ καὶ τὸ πορρωτάτω τὴν κατάληψιν αὐτοῦ πάσης ἀνθρωπίνης διανοίας διῳκίσθαι.
μήποτε μέντοι γε οὐδὲ τόπον νῦν ἀλληγορῶν ἐπὶ τοῦ αἰτίου παρείληφεν, 67
ἀλλ' ἔστι τὸ δηλούμενον τοιοῦτον· „ἦλθεν εἰς τὸν τόπον, καὶ ἀναβλέψας
τοῖς ὀφθαλμοῖς εἶδεν“ αὐτὸν τὸν τόπον, εἰς ὃν ἦλθε, μακρὰν ὄντα τοῦ
ἀκατονομάστου καὶ ἀρρήτου καὶ κατὰ πάσας ἰδέας ἀκαταλήπτου θεοῦ.
p. 631 M. (12.) | τούτων προδιωρισμένων, ὅταν εἰς Χαρράν, τὴν αἴσθησιν, ἔλθῃ 68
ὁ ἀσκητής, „ὑπαντᾷ τόπῳ“ (Gen. 28,11), οὔτε τῷ ἐκπεπληρωμένῳ
ὑπὸ σώματος θνητοῦ — μετέχουσι γὰρ αὐτοῦ πάντες οἱ γηγενεῖς ἐκπεπληρωκότες χώραν καὶ τόπον τινὰ κατὰ τἀναγκαῖον ἐπέχοντες —
οὔτε τῷ τρίτῳ καὶ ἀρίστῳ, οὗ μόλις ἔννοιαν λαβεῖν ἣν ἂν ἐπὶ τοῦ
φρέατος ποιούμενον τὰς διατριβάς, ὃ προσηγορεύετο ὅρκος, ᾧ τὸ αὐτομαθὲς γένος, Ἰσαάκ, ἐνδιαιτᾶται μηδέποτε τῆς πρὸς θεὸν πίστεως
καὶ ἀφανοῦς ὑπολήψεως ἀφιστάμενον, ἀλλὰ τῷ μέσῳ λόγῳ θείῳ, τὰ
ἄριστα ὑφηγουμένῳ καὶ ὅσα πρόσφορα τοῖς καιροῖς ἀναδιδάσκοντι. οὐ 69
γὰρ ἀξιῶν ὁ θεὸς εἰς αἴσθησιν ἔρχεσθαι τοὺς ἑαυτοῦ λόγους ἐπικουρίας
ἕνεκα τῶν φιλαρέτων ἀποστέλλει· οἱ δ' ἰατρεύουσι καὶ ἐκνοσηλεύουσι τὰ
ψυχῆς ἀρρωστήματα, παραινέσεις ἱερὰς ὥσπερ νόμους ἀκινήτους τιθέντες

1 λόγιον MAFP, in ras. $H^2$, $L^1$: ἅγιον G($H^1$)$L^2$ post ἐπὶ add. τοῦ GFHP 2 post ὀφθαλμοῖς add. αὐτοῦ GFHP 3 τὸν om. F 4 δυεῖν AGF: δυοῖν MHP 5 θεῖός MA$P^2$: οἷός ceteri πρὸ] περὶ Turn. δὴ] δὲ GFHP 6 τῆς σοφίας HP (τῆς om. etiam L) εὑρόμενος F$H^1L^2$ 9 οὐδὲ] οὐ A τὸ] τῷ F 10 τὸ] τῷ F 11 ἀνθρωπίνης om. A διῳκίσθαι MF: διῴκισται $H^1$P, διακεῖσθαι G$H^2$, κεῖσθαι A 14 εἶδε MA αὐτὸν τὸν om. MA εἰσῆλθε G 15 πάσης MAG 17 ante ὑπαντᾷ add. οὐχ GFHP 19 κατ' ἀναγκαῖον A 20 ἂν om. GFH$P^1$ 21 προσαγορεύεται M, προσηγόρευτος F 23 ὑφιστάμενον $P^1$ 24 οὗ $H^2$ 25 ἀξιῶν (Mang.): ἀπαξιῶν codd. θεὸς ⟨αὐτὸς⟩ conicio 26 ἕνεκεν MA ἀποστελεῖ GFHP δὲ GFHP

καὶ ἐπὶ τὰ τούτων γυμνάσια καλοῦντες καὶ τρόπον ἀλειπτῶν ἰσχὺν καὶ
70 δύναμιν καὶ ῥώμην ἀνανταγώνιστον ἐμφύοντες. δεόντως οὖν εἰς αἴσθησιν
ἐλθὼν οὐκέτι θεῷ, λόγῳ δ' ὑπαντᾷ θεοῦ, καθὰ καὶ ὁ πάππος αὐτοῦ
τῆς σοφίας Ἀβραάμ. λέγεται γάρ· „ἀπῆλθε κύριος, ὡς ἐπαύσατο λαλῶν
τῷ Ἀβραάμ, καὶ Ἀβραὰμ ἀπέστρεψεν εἰς τὸν τόπον αὐτοῦ“ (Gen. 18,33)·
δι' οὗ συνάγεται τὸ λόγοις τοιούτοις ἐντυγχάνειν ἱεροῖς, ὧν ὁ πρὸ τῶν
ὅλων θεὸς ἀπήλλακται, μηκέτι τὰς ἀφ' αὑτοῦ τείνων φαντασίας, ἀλλὰ
71 τὰς ἀπὸ τῶν μεθ' αὑτὸν δυνάμεων. ὑπερφυέστατα δ' ἔχει τὸ μὴ φάναι
ἐλθεῖν εἰς τὸν τόπον, ἀλλ' ἀπαντῆσαι τόπῳ· ἑκούσιον μὲν γὰρ τὸ
ἔρχεσθαι, τὸ δ' ἀπαντᾶν πολλάκις ἀκούσιον, ἵν' ἐξαπιναίως ὁ θεῖος λόγος
ἐπιφαινόμενος ἀπροσδόκητον χαρὰν ἐλπίδος μείζονα ἐρήμῃ ψυχῇ συνο-
δοιπορεῖν μέλλων προτείνῃ. καὶ γὰρ Μωυσῆς „ἐξάγει τὸν λαὸν εἰς τὴν
συνάντησιν τοῦ θεοῦ“ (Exod. 19,17), σαφῶς εἰδὼς ἐρχόμενον αὐτὸν
ἀοράτως πρὸς τὰς ποθούσας ψυχὰς ἐντυχεῖν αὐτῷ.
72 (13.) Τὴν δ' αἰτίαν ἐπιφέρει, δι' ἣν τόπῳ ὑπήντησεν· „ἔδυ“ γάρ
φησιν „ὁ ἥλιος“ (Gen. 28,11), οὐχ ὁ φαινόμενος οὗτος, ἀλλὰ τὸ τοῦ
ἀοράτου καὶ μεγίστου θεοῦ περιφεγγέστατον καὶ περιαυγέστατον φῶς.
τοῦθ' ὅταν μὲν ἐπιλάμψῃ διανοίᾳ, τὰ δεύτερα λόγων δύεται φέγγη, πολὺ
δὲ μᾶλλον οἱ αἰσθητοὶ τόποι πάντες ἐπισκιάζονται· ὅταν δ' ἑτέρωσε
73 χωρήσῃ, πάντ' εὐθὺς ἀνίσχει καὶ ἀνατέλλει. μὴ θαυμάσῃς δέ, εἰ ὁ
ἥλιος κατὰ τοὺς τῆς ἀλληγορίας κανόνας ἐξομοιοῦται τῷ πατρὶ καὶ ἡγε-
μόνι τῶν συμπάντων· θεῷ γὰρ ὅμοιον πρὸς ἀλήθειαν μὲν οὐδέν, ἃ δὲ
δόξῃ νενόμισται, δύο μόνα ἐστίν, ἀόρατόν τε καὶ ὁρατόν, ψυχὴ μὲν
74 ἀόρατον, ὁρατὸν δὲ ἥλιος. τὴν | μὲν οὖν ψυχῆς ἐμφέρειαν δεδήλωκεν p. 632 M.
ἐν ἑτέροις εἰπών· „ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ
ἐποίησεν αὐτόν“ (Gen. 1,27), καὶ ἐν τῷ κατὰ ἀνδροφόνων τεθέντι νόμῳ
πάλιν· „ὁ ἐκχέων αἷμα ἀνθρώπου ἀντὶ τοῦ αἵματος αὐτοῦ ἐκχυθήσεται,

1 prius καὶ om. Turn. ἄλειπτον G 2 καὶ τρόπον ἀκαταγώνιστον GHP ῥώ (om. μην) F ἐκφύοντες MAH 3 δ' $MAH^2P^2$: om. $GFH^1P^1$ 4 ἀπῆλθεν ὁ κύριος GFHP 6 ἱερεῖς $L^1$ πρὸ] πατὴρ coni. Cohn 7 ἀπ' αὐτοῦ MA 8 μεθ' ἑαυτῶν G, μεθ' αὐτὴν Turn. δὲ GFHP 9 τὸν om. G ἀλλὰ GFHP ὑπαντῆσαι v 10 ὑπαντᾶν GFHP 11 ἀπο-φαινόμενος $HP^1$ 11. 12 μέλλων συνοδοιπορεῖν F 12 τὴν om. GFHP 15 δὲ GFHP 18 τοῦτο GFHP ἐπιλάμψει L τὰ δεύτερα om. G τῶν λόγων P πολλοὶ AGF (corr. Hoesch. in mg. A) 19 ἑτέρως FHP 20 εἰ om. A (add. Hoesch.) 21 τῆς om. GFHP ἐξομοιοῦνται A 24 ὁ ἥλιος F 26 ἐποίησεν αὐτόν om. MA τεθέντι MF: ταθέντι A, τιθέντι $GP^2$, τίθεται H (sed prius ι in ras.) $P^1$

ὅτι ἐν εἰκόνι θεοῦ ἐποίησα τὸν ἄνθρωπον" (Gen. 9,6), τὴν δὲ ἡλίου
διὰ συμβόλων μεμήνυκε. ῥᾴδιον δὲ καὶ ἄλλως ἐξ ἐπιλογισμοῦ τοῦτο 75
κατιδεῖν, ἐπειδὴ πρῶτον μὲν ὁ θεὸς φῶς ἐστι — „κύριος γὰρ φωτισμός
μου καὶ σωτήρ μου" ἐν ὕμνοις ᾄδεται (Psalm. 26, 1) — καὶ οὐ μόνον
φῶς, ἀλλὰ καὶ παντὸς ἑτέρου φωτὸς ἀρχέτυπον, μᾶλλον δὲ παντὸς ἀρχε-
τύπου πρεσβύτερον καὶ ἀνώτερον, λόγον ἔχον παραδείγματος. τὸ μὲν
γὰρ παράδειγμα ὁ πληρέστατος ἦν αὐτοῦ λόγος, φῶς — „εἶπε" γάρ φησιν
„ὁ θεός· γενέσθω φῶς" (Gen. 1,3) —, αὐτὸς δὲ οὐδενὶ τῶν γεγονότων
ὅμοιος. ἔπειθ' ὡς ἥλιος ἡμέραν καὶ νύκτα διακρίνει, οὕτως φησὶ 76
Μωυσῆς τὸν θεὸν φῶς καὶ σκότος διατειχίσαι· „διεχώρισε γὰρ ὁ θεὸς
ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους" (Gen. 1,4)· ἄλλως
τε ὡς ἥλιος ἀνατείλας τὰ κεκρυμμένα τῶν σωμάτων ἐπιδείκνυται, οὕτως
καὶ ὁ θεὸς τὰ πάντα γεννήσας οὐ μόνον εἰς τοὐμφανὲς ἤγαγεν, ἀλλὰ
καὶ ἃ πρότερον οὐκ ἦν, ἐποίησεν, οὐ δημιουργὸς μόνον ἀλλὰ καὶ κτίστης
αὐτὸς ὤν. (14.) λέγεται δὲ πολλαχῶς κατὰ τὸν ἱερὸν λόγον ἐν ὑπο- 77
νοίαις ἥλιος, ἅπαξ μὲν ὁ ἀνθρώπινος νοῦς, ὃν οἰκοδομοῦσιν ὡς πόλιν
καὶ κατασκευάζουσιν οἱ γένεσιν πρὸ τοῦ ἀγενήτου θεραπεύειν ἀναγκαζό-
μενοι, ἐφ' ὧν εἴρηται ὅτι „ᾠκοδόμησαν πόλεις ὀχυρὰς τῷ Φαραώ, τήν
τε Πειθώ", τὸν λόγον ᾧ τὸ πείθειν ἀνάκειται, „καὶ 'Ραμεσσή", τὴν
αἴσθησιν, ὑφ' ἧς ὥσπερ ὑπὸ σέων ἡ ψυχὴ διεσθίεται — ἑρμηνεύεται
γὰρ σεισμὸς σητός —, „καὶ τὴν Ὦν", τὸν νοῦν, ἣν 'Ηλίου πόλιν ὠνό-
μασεν (Exod. 1,11), ἐπειδὴ καθάπερ ἥλιος τοῦ παντὸς ἡμῶν ὄγκου
τὴν ἡγεμονίαν ἀνῆπται καὶ τὰς αὑτοῦ δυνάμεις ὥσπερ ἀκτῖνας εἰς ὅλον
τείνει· τὸν δὲ ἱερέα καὶ θεραπευτὴν τοῦ νοῦ πενθερὸν ἐπιγράφεται πᾶς 78
ὁ τὴν τοῦ σώματος πολιτείαν ἀναψάμενος, ὄνομα Ἰωσήφ. „ἔδωκε" γάρ
φησιν „αὐτῷ τὴν Ἀσενὲθ θυγατέρα Πετεφρῆ ἱερέως 'Ηλίου πόλεως"

---

1 ἐποίησε H[1]P τὸν δὲ ἥλιον L 2 μεμήνυκεν M, μεμύνηκε G 3 φωτισμός MA: φῶς GFHP 4 ἐν om. GFHP 5 παντὸς om. GFHP 5. 6 πρεσβύτερον ἀρχετύπου GFHP 7 πληρέστατος] περιφεγγέστατος vel περιαυγέστατος coni. Mang. (cf. § 72) 7. 8 εἶπε — φῶς MA: om. ceteri 10 Μωυσῆς A: Μωσῆς ceteri 12 ὁ ἥλιος FHP ἀνατείλας om. GFHP οὔτω HP 15 δὲ om. GFHP τὸν ἱερὸν λόγον GFHP: Μωσῆν MA 16 ὁ ἥλιος GFHP 17 γένησιν F ἀγεννήτου codd. 18 ἐφ'] ἀφ' G[1] 19 Πειθών G τὸν λόγον om. MA 'Ραμεσσή M: 'Ραμεσή A, 'Ραμεσσήν GF, 'Ραμεσήν HP 20 σεῶν M: σαιῶν A, σητῶν ceteri δ' ἐσθίεται A 21 τὴν ὧν GHP (alt. ν eras. in P) L[1]: κτηνῶν ceteri ἡλιούπολιν codd. 21. 22 ὠνόμασαν HP 23 τὴν om. A αὐτοῦ (sic) MA: ἀφ' αὐτοῦ ceteri 25 ἀναγραψάμενος H 26 αὐτῶ φησιν MA Πεντεφρῆ AF ἡλιουπόλεως MA

79 (Gen. 41,45). | δεύτερον δὲ ἥλιον καλεῖ συμβολικῶς τὴν αἴσθησιν, ἐπειδὴ p. 633 M.
τὰ αἰσθητὰ πάντα δείκνυται διανοίᾳ. περὶ ἧς λελάληκεν ὧδε· „ἀνέτειλεν
ὁ ἥλιος αὐτῷ, ἡνίκα παρῆλθε τὸ εἶδος τοῦ θεοῦ“ (Gen. 32,31)· τῷ γὰρ
ὄντι ταῖς ἱερωτάταις ἰδέαις καὶ ὡς ἂν εἰκόσιν ἀσωμάτοις ὅταν μηκέτι
δυνώμεθα συνδιατρίβειν, ἀλλ' ἑτέρωσε τρεπόμενοι μεταχωρήσωμεν, ἄλλῳ
φωτὶ τῷ κατὰ αἴσθησιν χρώμεθα σκότους πρὸς τὸν ὑγιῆ λόγον οὐδὲν
80 ἁπλῶς διαφέροντι· ὅπερ ἀνατεῖλαν ὅρασιν μὲν καὶ ἀκοήν, ἔτι δὲ γεῦσιν
καὶ ὄσφρησιν καὶ ἁφὴν ὥσπερ κοιμωμένας ἀνήγειρε, φρόνησιν δὲ καὶ
δικαιοσύνην ἐπιστήμην τε καὶ σοφίαν ἐγρηγορυίας εἰς ὕπνον ἔτρεψεν.
81 οὗ χάριν ἁγνεύειν οὐδένα πρὸ ἑσπέρας φησὶν ὁ ἱερὸς λόγος (Lev.
11,24 al.) δύνασθαι, τῆς διανοίας ὑπὸ τῶν κατ' αἴσθησιν κινήσεων ἔτι
παρευημερουμένης. ἄφυκτον δὲ καὶ τοῖς ἱερεῦσι νόμον ἐν ταὐτῷ καὶ
γνώμην ἀποφαινόμενος τίθησιν, ἐπειδὰν λέγῃ· „Οὐκ ἔδεται ἀπὸ τῶν
ἁγίων, ἐὰν μὴ λούσηται τὸ σῶμα ὕδατι καὶ δύῃ ὁ ἥλιος καὶ γένηται
82 καθαρός“ (Lev. 22, 6. 7). δηλοῖ γὰρ σαφέστατα διὰ τούτων, ὅτι εὐαγὴς
εἰσάπαν οὐδείς ἐστιν, ὡς ταῖς ἁγίαις καὶ ἱεροπρεπέσι χρῆσθαι τελεταῖς,
ᾧ τὰς αἰσθητὰς τοῦ θνητοῦ βίου λαμπρότητας ἔτι τετιμῆσθαι συμβέβηκεν.
εἰ δέ τις αὐτὰς οὐκ ἀποδέχεται, κατὰ τὸ ἀκόλουθον τῷ φρονήσεως ἐπι-
λάμπεται φέγγει, δι' οὗ δυνήσεται τὰς τῶν κενῶν δοξῶν ἐκνίπτεσθαι
83 καὶ ἀπολούεσθαι κηλῖδας. ἢ τὸν ἥλιον αὐτὸν οὐχ ὁρᾷς, ὅτι τἀναντία
καὶ ἀνατέλλων καὶ δυόμενος ἐργάζεται; ἐπειδὰν γὰρ ἀνίσχῃ, τὰ μὲν
κατὰ γῆν ἅπαντα περιλάμπεται, τὰ δὲ κατ' οὐρανὸν ἀποκρύπτεται·
δύντος δ' ἔμπαλιν οἱ μὲν ἀστέρες προφαίνονται, τὰ δὲ περίγεια συσκιά-
84 ζεται. τὸν αὐτὸν τρόπον καὶ ἐν ἡμῖν, ὅταν μὲν τὸ τῶν αἰσθήσεων
φέγγος ὡς ἥλιος ἀνατείλῃ, τὰς ὀλυμπίους καὶ οὐρανίους ὡς ἀληθῶς
ἐπιστήμας κρύπτεσθαι συμβέβηκεν· ὅταν δὲ πρὸς δυσμὰς γένηται, τὰς

---

1 καλεῖ ἥλιον GFHP   2 δείκνυσι GFHP, fort. recte (an ἐπιδείκνυται? cf. § 91) διάνοια GF   3 ὁ om. GFHP   4 εἰκόνα H¹P, εἰκότι H²   5 συντρίβειν F   μετατρεπόμενοι GFH   8 ἁφὴν καὶ ὄσφρησιν GFHP   δὲ scripsi: τε codd.   9 διανοίας ante εἰς add. H   10 οὐδὲν ἀπὸ ἑσπέρας A   πρὸς GFHP   φησιν ὁ ἱερὸς λόγος GFHP: φησὶ Μωσῆς MA   11 τῆς om. GFHP   12 ἐπ' αὐτῷ A   13 ἔδετε A   14 λούσητε et ὕδασι A   16 ἅπαν MGFH¹   οὐδὲ εἷς GFHP   ὡς] ὃς A   χρῆσθαι MA: μυῆσθαι G, μυεῖσθαι FHP   17 ᾧ, tum ras. G (coni. Mang.): ὧν ceteri   τὰς αἰσθητὰς MAG²: τὰς ἐσθῆτας ceteri, ταῖς αἰσθηταῖς et λαμπρότησι coni. Mang.   λαμπρότητας ἔτι scripsi: λαμπρότητος G², λαμπρότητι ceteri   18. 19 ἐπιλάμπει A   19 φέγγει MA: φωτὶ ceteri   20 καὶ ἀπολούεσθαι om. Turn.   ἢ v τὰ ἐναντία HP   21 γὰρ MA: μὲν γὰρ ceteri   ἀνάσχῃ conicio   23 δύναντος GFHP   26 ἀποκρύπτεσθαι GFP, ἐπικρύπτεσθαι H   δυσμαῖς GH

ἀστεροειδεστάτας καὶ θειοτάτας ἀναφαίνεσθαι ἀρετῶν αὐγάς, ὅτε καὶ
καθαρὸς ὁ νοῦς ὑπὸ μηδενὸς κρυπτόμενος αἰσθητοῦ γίνεται. (15.) κατὰ 85
δὲ τὸ τρίτον σημαινόμενον ἥλιον καλεῖ τὸν θεῖον λόγον, τὸ τοῦ κατ'
οὐρανὸν περιπολοῦντος, ὡς πρότερον ἐλέχθη, παράδειγμα, ἐφ' οὗ λέγεται·
„ὁ ἥλιος ἐξῆλθεν ἐπὶ τὴν γῆν, καὶ Λὼτ εἰσῆλθεν εἰς Σηγώρ, καὶ κύριος
ἔβρεξεν ἐπὶ Σόδομα καὶ Γόμορρα θεῖον καὶ πῦρ" (Gen. 19, 23. 24). ὁ 86
γὰρ τοῦ θεοῦ λόγος, ὅταν ἐπὶ τὸ γεῶδες ἡμῶν σύστημα ἀφίκηται, τοῖς
μὲν ἀρετῆς συγγενέσι καὶ πρὸς αὐτὴν ἀποκλίνουσιν ἀρήγει καὶ βοηθεῖ,
ὡς καταφυγὴν καὶ σωτηρίαν αὐτοῖς πορίζειν παντελῆ, τοῖς δὲ ἀντιπάλοις
ὄλεθρον καὶ φθορὰν ἀνίατον ἐπιπέμπει. λέγεται δὲ κατὰ τέταρτον 87
σημαινόμενον ἥλιος μὲν αὐτὸς ὁ τῶν ὅλων ἡγεμών, ὡς εἶπον ἤδη, δι'
οὗ τὰ ἀνίατα τῶν ἁμαρτημάτων ἀνακαλύπτεται συσκιάζεσθαι δοκοῦντα·
p. 634 M. | πάντα γὰρ ὡς δυνατά, οὕτως καὶ γνώριμα θεῷ. παρὸ καὶ τοὺς κατα- 88
λυθέντας τῶν τόνων τῶν ψυχικῶν, ἀκολάστως καὶ λαγνίστερον ὁμιλοῦν-
τας ταῖς νοῦ θυγατράσιν, αἰσθήσεσιν, ὡς χαμαιτύπαις καὶ πόρναις,
ἐνδειχθησομένους πρὸς ἥλιον ἄγει. φησὶ γάρ· „καὶ κατέλυσεν ὁ λαὸς 89
ἐν Σαττὶν" — ἄκανθαι δ' ἑρμηνεύεται, παθῶν κεντούντων καὶ τιτρω-
σκόντων ψυχὴν σύμβολον —, „καὶ ἐβεβηλώθη" φησίν „ἐκπορνεῦσαι εἰς
τὰς θυγατέρας Μωάβ" — αἱ δέ εἰσιν αἱ αἰσθήσεις, κεκλημέναι νοῦ
θυγατέρες· Μωὰβ γὰρ ἐκ πατρὸς ἑρμηνεύεται —, καὶ προστίθησι· „λάβε
πάντας τοὺς ἀρχηγοὺς τοῦ λαοῦ καὶ παραδειγμάτισον τῷ κυρίῳ ἀπέναντι
τοῦ ἡλίου, καὶ ἀποστραφήσεται ὀργὴ κυρίου ἀπὸ Ἰσραήλ" (Num. 25,
1. 4). οὐ γὰρ μόνον τὰ κεκρυμμένα τῶν ἀδικημάτων ἐμφανῆ γενέσθαι 90
βουλόμενος ταῖς ἡλιακαῖς περιέλαμψεν ἀκτῖσιν, ἀλλὰ καὶ διὰ συμβόλων
ἥλιον τὸν πατέρα τῶν ὅλων ἐκάλεσεν, ᾧ πάντα προὖπτα καὶ ὅσα ἐν
μυχοῖς τῆς διανοίας ἀοράτως ἐπιτελεῖται· γενομένων δ' ἐμφανῶν ἵλεῳ

1 καὶ θειοτάτας om. GFHP 2 αἰσθητὸς Turn. γίνεται in ras. P, γένηται AF 3 δὲ τὸ GP: τὸ MA, δὲ FH alt. τὸ H²: τὸν ceteri 5 ἐξῆλθεν ὁ ἥλιος MA (sed v. quaest. in Gen. IV § 51) τῆς γῆς P Σηγώρ AP²: Σιγώρ MH (ι vid. corr.) (P¹), Σοὲρ GF 7 ἀφίκηται σύστημα ἡμῶν F 8 αὐτὴν MA: ἀρετὴν ceteri 10 κατὰ MA; καὶ κατὰ ceteri 11 post ὅλων add. θεὸς καὶ GFHP 12 συσκιάζεσθαι δοκοῦντα ἀνακαλύπτεται GFHP 13 οὕτω G καὶ per errorem om. Mang. 13. 14 καταλυθέντων conicio τόνων τῶν ψυχικῶν MAP²: ὄντων ψυχικῶς ceteri 14 καὶ ante ἀκολάστως add. GFHP λαγνέστερον A 15 τοῦ νοῦ GFHP χαμαιτύποις v post πόρναις add. τοῦ νοῦ G, ras. 4 litt. in H 17 Σαττίοις F, Σαττεὶν Mang. (LXX) δὲ GFHP ἑρμηνεύονται GFHP, post παθῶν transpos. HP 19 δ' GFHP alterum αἱ om. GFHP νοῦ MAP²: om. ceteri 23 μόνα H 26 ἀοράτοις GFP δὲ HP ἵλεων HP

91 φησιν ἔσεσθαι τὸν μόνον ἵλεω. διὰ τί; ὅτι, ἐὰν ὑπολαβοῦσα διάνοια
λήσεσθαι τὸ θεῖον ἀδικοῦσα, ὡς μὴ πάντα καθορᾶν δυνάμενον, κρύφα
καὶ ἐν μυχοῖς διαμαρτάνῃ καὶ μετὰ ταῦτα εἴτ' ἐξ αὐτῆς εἴτε καὶ ὑφη-
γησαμένου τινὸς ἐννοήσῃ, ὅτι ἀμήχανον ἄδηλον εἶναί τι τῷ θεῷ, καὶ
ἑαυτὴν καὶ τὰς ἑαυτῆς πράξεις ἁπάσας ἀναπτύξῃ καὶ εἰς μέσον προενεγ-
κοῦσα καθάπερ εἰς ἡλιακὸν φῶς ἐπιδείξηται τῷ τῶν ὅλων ἐπισκόπῳ
φήσασα μετανοεῖν ἐφ' οἷς πρότερον ἀγνώμονι γνώμῃ χρωμένη κακῶς
ἐδόξαζε — μηδὲν γὰρ ἄδηλον, γνώριμα δὲ καὶ δῆλα πάντα, οὐ τὰ πρα-
χθέντα μόνον, ἀλλὰ καὶ τὰ ἐλπιζόμενα κατὰ πολλὴν περιουσίαν ὑπάρχειν
αὐτῷ —, κεκάθαρται καὶ ὠφέληται καὶ τὸν ἐφεστῶτα κολαστὴν ἔλεγχον
ἡμέρωκεν ὀργῇ δικαίᾳ χρώμενον, εἰ τὸ μετανοεῖν ἀδελφὸν νεώτερον ὂν
92 τοῦ μηδ' ὅλως ἁμαρτεῖν ἀποδέχεται. (16.) φαίνεται μέντοι καὶ ἑτέρωθι
κατὰ σύμβολον ἐπὶ τοῦ αἰτίου τὸν ἥλιον παραλαμβάνων, ὡς ἐν τῷ γρα-
φέντι νόμῳ περὶ τῶν ἐπ' ἐνεχύροις δανειζόντων· λέγε τὸν νόμον· „ἐὰν
ἐνεχύρασμα ἐνεχυράσῃς τὸ ἱμάτιον τοῦ πλησίον, πρὸ δυσμῶν ἡλίου ἀπο-
δώσεις αὐτῷ· ἔστι γὰρ τοῦτο περιβόλαιον αὐτῷ μόνον, τοῦτο τὸ ἱμάτιον
ἀσχημοσύνης αὐτοῦ. ἐν τίνι κοιμηθήσεται; ἐὰν οὖν καταβοήσῃ πρός
93 μέ, εἰσακούσομαι αὐτοῦ· ἐλεήμων γάρ εἰμι" (Exod. 22, 26. 27). ἆρ'
οὐκ ἄξιον τοὺς οἰομένους τὴν τοσαύτην σπουδὴν εἶναι τῷ νομοθέτῃ περὶ
ἀμπεχόνης, εἰ καὶ μὴ ὀνειδίζειν, ἀλλά τοί γε ὑπομιμνήσκειν φάσκοντας·
τί λέγετε, ὦ γενναῖοι; ὁ τῶν ὅλων κτίστης καὶ ἡγεμὼν ἐλεήμονα ἑαυτὸν
ἐφ' οὕτως εὐτελοῦς πράγματος, ἱματίου μὴ ἀποδοθέντος χρεώστῃ
94 | πρὸς δανειστοῦ, καλεῖ; τὸ μέγεθος καθάπαξ τῆς ἀρετῆς τοῦ πάντα p. 635 M.

---

1 γενέσθαι A post ἵλεω (ἵλεων HP) add. τῷ λαῷ GFHP 3 ἐν—alt. καὶ om. G ταῦτ' GF εἴτ' MA: εἴτε καὶ ceteri αὐτῆς $H^2$: αὑτῆς ceteri 4 ἐννοήσει A τῷ om. FHP 5 ἀναπτύξει AG 5. 6 προενεγκοῦσα GFHP: ἐνεγκοῦσα MA 6 φῶς MA: φέγγος ceteri ἐπιδείξῃ τὰ P, ἀποδεῖξαι ταῦτα G 8 πάντα καὶ δῆλα GFHP 10 κεκάθαρται om. A (add. Hoesch.) ἀπολέλουται coni. Mang. 11 δικαίῳ GHP χρώμενος A εἰ] ὃς H, om. A ὂν om. A 12 ἁμαρτεῖν] ἁμαρτάνειν ὂν A ἀπωθεῖται vel ⟨μὴ⟩ ἀποδέχεται (sc. διάνοια) conicio, aut lin. 11 ⟨μὴ⟩ δικαίᾳ leg. 14 post νόμῳ add. ἐνορῶ GFH², ἐν ᾧ P(H¹) ἐπ' om. GFHP λέγεται F, λέγειν $H^2$ 16 αὐτῷ MA: αὐτό GFHP αὐτὸ $H^1$L τοῦτο τὸ ex LXX scripsi (cf. ad § 101. 109): τὸ A; ras., tum τὸ P, τοῦτο ceteri 17 τῆς ἀσχημοσύνης A ante ἐν add. καὶ $AP^2$ οὖν $MAP^2$: om. ceteri 20 ἀμπεχόνην F, fort. recte 21 ὁ MA: ὅτι $FH^1P^1$, ὅτι ὁ $GH^2P^2$ 22 μὴ om. $H^1P^1$ χρέος τὸ $G^1$, χρέους τοῦ $G^2$ 23 δανειστὴν $GFH^1P^1$ καλεῖ] παρέχει coniciebam ante τὸ add. τῶν mg. G καθάπαξ GFHP: om. MA τὰ πάντα $H^2$

μεγάλου θεοῦ μὴ συνεωρακότων τοιαῦτ' ἐστὶν ὑπολαμβάνειν καὶ τὴν
ἀνθρωπίνην μικρολογίαν τῇ ἀγενήτῳ καὶ ἀφθάρτῳ καὶ πλήρει μακαριό-
τητος καὶ εὐδαιμονίας φύσει παρὰ θέμιν καὶ δίκην προσνεμόντων. τί 95
γὰρ ἄτοπον ποιοῦσιν οἱ τὰ ῥύσια κατέχοντες δανεισταὶ παρ' αὐτοῖς,
ἄχρις ἂν τὰ ἴδια ἀναπράξωνται; πένητες οἱ χρεῶσται, φήσει τις ἴσως,
καὶ ἄξιον ἐλεεῖν αὐτούς. εἶτ' οὐκ ἄμεινον ἦν γράψαι νόμον, δι' οὗ
τούτους ἐρανιοῦσι μᾶλλον ἢ χρεώστας ἀποφανοῦσιν ἢ ἐπ' ἐνεχύροις
τοῦ δανείζειν κωλύσουσιν; ὁ δὲ ἐφεὶς οὐκ ἂν εἰκότως ἐπὶ τοῖς ἃ
ἔλαβον πρὸ καιροῦ μὴ προιεμένοις δυσχεραίνοι ὡς ἀσεβοῦσι. πενίας δ' 96
εἰς αὐτά τις ἐλθών, ὡς ἔπος εἰπεῖν, τὰ πέρατα καὶ ῥάκιον ἓν ἀμπεχό-
μενος δανειστὰς καινοὺς ἐπάγεται τὸν ἀπὸ τῶν ὁρώντων παρεὶς ἔλεον,
ὃς τοῖς κεχρημένοις ταῖς τοιαύταις κακοπραγίαις κατ' οἰκίαν καὶ παρ'
ἱεροῖς καὶ ἐν ἀγορᾷ καὶ πανταχοῦ προκέχυται; νυνὶ δὲ καὶ ὃ μόνον 97
εἶχε προκάλυμμα αἰδοῦς, ᾧ τὰ τῆς φύσεως ἀπόρρητα συνεσκίαζε, τοῦτο
φέρων προὔτεινε· ῥύσιον ὑπὲρ τίνος, εἰπέ μοι; ἢ ὑπὲρ ἑτέρας ἀμείνονος
ἐσθῆτος; τροφῆς μὲν γὰρ ἀναγκαίας ἄπορος οὐδείς, ἄχρις ἂν πηγαὶ μὲν
ἀναβλύζωσι, ποταμοὶ δὲ χείμαρροι πλημμυρῶσι, γῆ δὲ τοὺς ἐτησίους
ἀναδιδῷ καρπούς. οὕτω δὲ ἢ βαθύπλουτός τις ἢ λίαν ὠμὸς ὁ δανειστής, 98
ὡς ἢ τετράδραχμον, τάχα δὲ καὶ ἔλαττον ἐθέλειν τῷ συμβαλεῖν ἢ οὕτω
πενιχρῷ δανείζειν ἀλλὰ μὴ χαρίζεσθαι, ἢ ὃ μόνον ἦν ἱμάτιον ἐκείνῳ
λαμβάνειν ἐνέχυρον, ὅπερ ἑτέρῳ ὀνόματι λωποδυτεῖν εἰκότως ἂν λέγοιτο;

1 μὴ add. H² post συνεωρακότων add. μηδὲ συνορώντων GFHP ἐστὶ τοιαῦθ' GFHP 2 μικρολογίαν A: σμικρολογίαν ceteri ἀγεννήτω AGF 3 προσνεμόντων GFHP: προσνέμειν MA 4 αὐτοῖς H²: αὐτοῖς ceteri 5 ἴδια τί διαπράξονται G cum ras. post δι φησί τις GF 6 ἐλεεῖν corr. in ἐλεῖν P post οὐκ add. εὔλογον καὶ GFHP 7 τούτοις v ἀποφαινοῦσιν (sic) MA ἢ om. MA 8 τοῦ] τὸ conicio κωλύσουσιν MAGFP: κωλῦσαι H, κωλύει Μωυσῆς conicio ἀφεὶς A 9 προιέμενος G¹H¹P 10. 11 ἐναμπεχόμενος L²v, ἀμπεχόμενος (om. ἓν) HP¹ 11 ἐπάξεται coni. Mang. ἔλαιον A 12 ὃς F(?)H: οἷς ceteri ante κατ' add. ἃ GF, ras. in HP 13 ἱεραῖς A πανταχῇ P ὅμοιον A 14 τούτω A 15 ἢ v 17 ἀναβλύζωσι GFHP: ἀναβλύωσι MA ποταμοὶ δὲ MAP² (χείμαρροι addidi): ποταμῶν χείμαρροι δὲ GFHP¹, post δὲ add. ποταμῶν H (del. H²) P¹, ποταμοὶ δὲ αὐθιγενεῖς τε καὶ χείμαρροι coni. Mang. πλημυρῶσι G 18 ἀναδιδῷ scripsi: ἀναδίδωσι codd. οὕτως GFHP φιλόπλουτός conicio prius ἢ] ἡ M post ὠμὸς add. καὶ A, ἢ λίαν σκαιὸς GFHP 19 ὡς ἢ] ὡσεὶ H², ὥστε v τετράδι δραχμῶν G ⟨μὴ⟩ ἐθέλειν male Mang. οὕτως GF 20 πενιχρῶς GFHP ὅμοιον A ἱμάτιον ἐκείνω GFHP: ἐκείνω ἱμάτιον MA 21 ὁ περαιτέρω A λωποδοτεῖν G

καὶ γὰρ λωποδύταις ἔθος ἀπαμπίσχουσι τὰς μὲν ἐσθῆτας ἀφαιρεῖσθαι,
99 γυμνοὺς δὲ τοὺς ἔχοντας ἀποφαίνειν. διὰ τί δὲ νυκτὸς μὲν καὶ τοῦ μὴ
ἀνείμονά τινα κοιμηθῆναι προὐνόησεν, ἡμέρας δὲ καὶ τοῦ μὴ ἐγρηγορότα
γυμνὸν ἀσχημονεῖν οὐκέθ' ὁμοίως ἐφρόντισεν; ἢ οὐ νυκτὶ μὲν καὶ
σκότῳ κρύπτεται πάντα, ὡς ἧττον ἢ μηδ' ὅλως αἰδεῖσθαι, ἡμέρᾳ δὲ
100 καὶ φωτὶ ἀνακαλύπτεται, ὡς τότε μᾶλλον ἐρυθριᾶν ἀναγκάζεσθαι; διὰ τί
δ' οὐ διδόναι τὸ ἱμάτιον, ἀλλ' ἀποδιδόναι προσέταξεν; ἀπόδοσις γὰρ
ἐπ' ἀλλοτρίοις γίνεται, τὰ δ' ἐνέχυρα τῶν δεδανεικότων μᾶλλον ἢ τῶν
δεδανεισμένων ἐστίν. ἐκεῖνο δὲ οὐκ ἐννοεῖς, ὅτι λαβόντι τῷ χρεώστῃ
πρόσκοιτον τὸ ἱμάτιον οὐ προσέταξε μεθ' ἡμέραν περιελεῖν ἀναστάντι
101 καὶ κομίσαι τῷ δανειστῇ; καὶ μὴν τῷ γε τῆς ἑρμηνείας ἰδιοτρόπῳ καὶ
ὁ βραδύτατος ἕτερόν τι τοῦ ῥητοῦ κατανοεῖν ἂν | προαχθείη· μᾶλλον p. 636 M.
γὰρ ἀφορισμῷ ἢ παραινέσει ἔοικε τὸ διάταγμα. παραινῶν μὲν γὰρ
εἶπεν ἄν τις· τὸ ἐνεχυρασθὲν ἱμάτιον, ἐὰν τοῦτ' ᾖ μόνον τῷ χρεώστῃ,
πρὸ ἑσπέρας ἀπόδος, ἵν' ἔχῃ νύκτωρ ἀμπέχεσθαι, ἀφοριζόμενος δὲ
οὕτως, ὡς νῦν ἔχει· „ἔστι γὰρ τοῦτο περιβόλαιον αὐτῷ μόνον, τοῦτο τὸ
ἱμάτιον ἀσχημοσύνης αὐτοῦ· ἐν τίνι κοιμηθήσεται“ (Exod. 22, 27);
102 (17.) ταῦτα μὲν δὴ καὶ τὰ τοιαῦτα πρὸς τοὺς τῆς ῥητῆς πραγματείας
σοφιστὰς καὶ λίαν τὰς ὀφρῦς ἀνεσπακότας εἰρήσθω, λέγωμεν δὲ ἡμεῖς
ἑπόμενοι τοῖς ἀλληγορίας νόμοις τὰ πρέποντα περὶ τούτων. φαμὲν
τοίνυν λόγου σύμβολον ἱμάτιον εἶναι. τάς τε γὰρ ἀπὸ κρυμοῦ καὶ θάλ-
πους εἰωθυίας τῷ σώματι κατασκήπτειν βλάβας ἐσθὴς ἀπωθεῖται καὶ
ἐπισκιάζει τὰ τῆς φύσεως ἀπόρρητα καὶ ἔστιν ἁρμόττων σώματι κόσμος
103 ἡ ἀμπεχόνη. κατὰ τὸ παραπλήσιον μέντοι καὶ ἀνθρώπῳ λόγος

---

1. 2 καὶ γὰρ — τοὺς om. F ἀπαμφίσκουσι G 2 οἴχοντας FH(P[1]) alt. δὲ] δὴ L μὴ om. F 3 ἡμέρα A 4 ἢ οὐ] ἢ οὖν H[1]P, οἷον L 6 ποτὲ A διότι F 7 δὲ GFHP 8 δὲ GFHP 9 ἐστίν AGF: εἰσίν MHP τῷ λαβόντι transp. HP 10. 11 περιελεῖν ἀναστάντι καὶ (καὶ om. A) MA: πάλιν ceteri, πάλιν ἀναστάντι conicio 11 ἰδίῳ τρόπῳ A 12 βραδύτητος L[1], βραδύτερος L[2] προσαχθείη HP 13 ἐοικὸς G, ἔοικεν ante ἢ transpos. H 14 ἐνεχυριασθὲν A τοῦτ' ᾖ M: τουτὶ A, τοῦτο ᾖ ceteri 15 πρὸς AHP ἑσπέραν A ἀπόδοσ, tum ras. 2 litt. F; ἀπόδοσιν L[2] ἔχοι GFHP 16 post ἔχει vid. add. ἀποδώσεις αὐτῷ post prius τοῦτο add. τὸ GFHP τὸ A: om. ceteri 17 αὐτῶ GFHP 19 εἰρῆσθαι prius P, εἰρήσεω F λέγωμεν M: λέγομεν ceteri δὲ A: δὴ M, γὰρ ceteri 20 τοῖς] τοῖς τῆς A 21 τὸ ἱμάτιον P post ἀπὸ ras. 2—3 litt. G χρύους GFHP 22 εἰωθείας F κατασκήπτει A 23 ἐπισκιάζεται A ἁρμόττον A κόσμου F 24 ἡ om. GFHP ἀμπεχομένη A ἀνθρωπίνῳ G

δώρημα κάλλιστον ἐδόθη παρὰ θεοῦ, πρῶτον μὲν κατὰ τῶν νεωτερι-
ζόντων εἰς αὐτὸν ὅπλον ἀμυντήριον — ὡς γὰρ τῶν ἄλλων ἕκαστον
ζῴων ἡ φύσις οἰκείοις ἕρκεσιν ὠχύρωσε, δι' ὧν τοὺς ἐπιχειροῦντας
ἀδικεῖν ἀποκρούσεται, καὶ ἀνθρώπῳ μέγιστον ἔρυμα καὶ φρουρὰν ἀκα-
θαίρετον λόγον δέδωκεν, οὗ κραταιῶς οἷα πανοπλίας ἐνειλημμένος
οἰκεῖον καὶ προσφυέστατον ἕξει δορυφόρον· τούτῳ δὲ προαγωνιστῇ χρώ-
μενος δυνήσεται τὰς ἀπὸ τῶν ἐχθρῶν ἐπιφερομένας ἀπωθεῖσθαι
ζημίας —, δεύτερον δὲ καὶ αἰσχύνης καὶ ὀνειδῶν ἀναγκαιότατον περί- 104
βλημα — δεινὸς γὰρ συγκρύψαι καὶ συσκιάσαι τὰς ἁμαρτίας τῶν
ἀνθρώπων λόγος —, τρίτον δὲ πρὸς ὅλου τοῦ βίου κόσμον· ὁ γὰρ
βελτιῶν ἕκαστον καὶ πάντα ἄγων ἐπὶ τὸ κρεῖττον οὗτός ἐστιν. ἀλλὰ 105
γάρ εἰσι λῶβαί τινες καὶ κῆρες ἀνθρώπων, οἳ καὶ τὸν λόγον ἐνεχυρά-
ζουσιν ἀφαιρούμενοι τοὺς ἔχοντας καί, συναυξῆσαι δέον, ὅλον ὑποτέμ-
νονται, καθάπερ οἱ τὰ τῶν πολεμίων δῃοῦντες χωρία καὶ τόν τε σῖτον
καὶ τὸν ἄλλον καρπὸν φθείρειν ἐπιχειροῦντες, ὃς ἀφεθεὶς μεγάλη τοῖς
χρησαμένοις ἂν ὄνησις ἦν. πόλεμος οὖν ἐστιν ἐνίοις ἄσπονδος καὶ 106
ἀκήρυκτος πρὸς τὴν λογικὴν φύσιν, οἵτινες τὰς βλάστας αὐτῆς ἀποκεί-
ρουσιν ἐν χρῷ καὶ τὰς πρώτας ἐπιφύσεις ἐκθλίβουσιν, ἄγονον καὶ
στεῖραν, ὡς ἔπος εἰπεῖν, καλῶν ἐπιτηδευμάτων ἀπεργαζόμενοι. ὁρμῶ- 107
σαν γὰρ ἔστιν ὅτε πρὸς παιδείαν ἀκατασχέτῳ ῥύμῃ καὶ πληχθεῖσαν
ἔρωτι τῶν φιλοσοφίας θεωρημάτων ὑπὸ βασκανίας καὶ φθόνου δείσαντες,
μὴ μεγάλα πνεύσασα καὶ ἐπὶ μήκιστον ἀρθεῖσα τὰς γλισχρολογίας
αὐτῶν καὶ πιθανὰς κατὰ τῆς ἀληθείας εὑρέσεις ἐπικλύσῃ χειμάρρου
τρόπον, ἑτέρωσε ταῖς ἑαυτῶν κακοτεχνίαις τὴν φορὰν ἔτρεψαν, εἰς
p. 637 M. βαναύσους καὶ | ἀνελευθέρους τέχνας μετοχετευσάμενοι· πολλάκις δὲ καὶ

---

2 αὐτὸν om., ὅπλον bis habet F   3 οἰκείαις H$^2$   ἕρκεσιν MA: ἄλκεσιν GFH$^1$P, ἀλκαῖς H$^2$   3. 4 τοὺς χειρῶν ἄρχοντας ἀδίκων Oxon. Coll. Novi 143   4 ἀποκρούεσθαι GF   5 ἔδωκεν GFHP   πανοπλία F   ἀνειλημμένος GFH   6 post οἰκεῖον add. μὲν GFHP   7 ἀπὸ] ἐπὶ F   φερομένας H   8 αἰσχῶν coni. Mang.   10 ὁ λόγος GFHP   ὅλου FP (coni. Mang.): ὅλον ceteri   11 κρείττων F   12 κῆρες HP: κῆραι ceteri   οἳ καὶ] αἳ MA   12. 13 ἐνεχυριάζουσιν AF   13 ἀφαιρούμεναι A   15 ὃς] ὃ F   16 χρησομένοις conicio   ἐνίοις ἐστὶν GFHP   18 χρόνῳ GFHP   τὰς om. A   19. 20 ὁρμώσης et πληχθείσης coni. Cohn   20 post παιδείαν add. τὴν ἱερὰν GFHP   21 τῶν] τῆς H$^1$P, om. Mang.   post φιλοσοφίας add. ἀληθοῦς GFHP   ὑπὸ] ἢ τὰς A   βασκάνου H   22 μεγάλη GFHP   γλισχρολογίας MAP$^2$ (coni. Mang.): αἰσχρολογίας ceteri   23 πιθανὰς] ras. 2 litt., δεινὰς G   εὑρέσεις ante κατὰ transpos. GFHP   ἐπικλύσει A   24 ante ταῖς add. δὲ PH$^1$   αὐτῶν MA

καὶ γὰρ λωποδύταις ἔθος ἀπαμπίσχουσι τὰς μὲν ἐσθῆτας ἀφαιρεῖσθαι,
99 γυμνοὺς δὲ τοὺς ἔχοντας ἀποφαίνειν. διὰ τί δὲ νυκτὸς μὲν καὶ τοῦ μὴ
ἀνείμονά τινα κοιμηθῆναι προὐνόησεν, ἡμέρας δὲ καὶ τοῦ μὴ ἐγρηγορότα
γυμνὸν ἀσχημονεῖν οὐκέθ' ὁμοίως ἐφρόντισεν; ἢ οὐ νυκτὶ μὲν καὶ
σκότῳ κρύπτεται πάντα, ὡς ἧττον ἢ μηδ' ὅλως αἰδεῖσθαι, ἡμέρᾳ δὲ
100 καὶ φωτὶ ἀνακαλύπτεται, ὡς τότε μᾶλλον ἐρυθριᾶν ἀναγκάζεσθαι; διὰ τί
δ' οὐ διδόναι τὸ ἱμάτιον, ἀλλ' ἀποδιδόναι προσέταξεν; ἀπόδοσις γὰρ
ἐπ' ἀλλοτρίοις γίνεται, τὰ δ' ἐνέχυρα τῶν δεδανεικότων μᾶλλον ἢ τῶν
δεδανεισμένων ἐστίν. ἐκεῖνο δὲ οὐκ ἐννοεῖς, ὅτι λαβόντι τῷ χρεώστῃ
πρόσκοιτον τὸ ἱμάτιον οὐ προσέταξε μεθ' ἡμέραν περιελεῖν ἀναστάντι
101 καὶ κομίσαι τῷ δανειστῇ; καὶ μὴν τῷ γε τῆς ἑρμηνείας ἰδιοτρόπῳ καὶ
ὁ βραδύτατος ἕτερόν τι τοῦ ῥητοῦ κατανοεῖν ἂν | προαχθείη· μᾶλλον p. 636 M.
γὰρ ἀφορισμῷ ἢ παραινέσει ἔοικε τὸ διάταγμα. παραινῶν μὲν γὰρ
εἶπεν ἄν τις· τὸ ἐνεχυρασθὲν ἱμάτιον, ἐὰν τοῦτ' ᾖ μόνον τῷ χρεώστῃ,
πρὸ ἑσπέρας ἀπόδος, ἵν' ἔχῃ νύκτωρ ἀμπέχεσθαι, ἀφοριζόμενος δὲ
οὕτως, ὡς νῦν ἔχει· „ἔστι γὰρ τοῦτο περιβόλαιον αὐτῷ μόνον, τοῦτο τὸ
ἱμάτιον ἀσχημοσύνης αὐτοῦ· ἐν τίνι κοιμηθήσεται“ (Exod. 22, 27);
102 (17.) ταῦτα μὲν δὴ καὶ τὰ τοιαῦτα πρὸς τοὺς τῆς ῥητῆς πραγματείας
σοφιστὰς καὶ λίαν τὰς ὀφρῦς ἀνεσπακότας εἰρήσθω, λέγωμεν δὲ ἡμεῖς
ἑπόμενοι τοῖς ἀλληγορίας νόμοις τὰ πρέποντα περὶ τούτων. φαμὲν
τοίνυν λόγου σύμβολον ἱμάτιον εἶναι. τάς τε γὰρ ἀπὸ κρυμοῦ καὶ θάλ-
πους εἰωθυίας τῷ σώματι κατασκήπτειν βλάβας ἐσθὴς ἀπωθεῖται καὶ
ἐπισκιάζει τὰ τῆς φύσεως ἀπόρρητα καὶ ἔστιν ἁρμόττων σώματι κόσμος
103 ἡ ἀμπεχόνη. κατὰ τὸ παραπλήσιον μέντοι καὶ ἀνθρώπῳ λόγος

---

1. 2 καὶ γὰρ — τοὺς om. F ἀπαμφίσχουσι G 2 οἴχοντας FH(P¹) alt. δὲ] δὴ L μὴ om. F 3 ἡμέρα A 4 ἢ οὐ] ἢ οὖν H¹P, οἷον L 6 ποτὲ A διότι F 7 δὲ GFHP 8 δὲ GFHP 9 ἐστίν AGF: εἰσίν MHP τῷ λαβόντι transp. HP 10. 11 περιελεῖν ἀναστάντι καὶ (καὶ om. A) MA: πάλιν ceteri, πάλιν ἀναστάντι conicio 11 ἰδίῳ τρόπῳ A 12 βραδύτητος L¹, βραδύτερος L² προσαχθείη HP 13 ἐοικὸς G, ἔοικεν ante ἢ transpos. H 14 ἐνεχυριασθὲν A τοῦτ' ᾖ M: τουτὶ A, τοῦτο ᾖ ceteri 15 πρὸς AHP ἑσπέραν A ἀπόδοσ, tum ras. 2 litt. F; ἀπόδοσιν L² ἔχοι GFHP 16 post ἔχει vid. add. ἀποδώσεις αὐτῷ post prius τοῦτο add. τὸ GFHP τὸ A: om. ceteri 17 αὐτῷ GFHP 19 εἰρῆσθαι prius P, εἰρήσεω F λέγωμεν M: λέγομεν ceteri δὲ A: δὴ M, γὰρ ceteri 20 τοῖς] τοῖς τῆς A 21 τὸ ἱμάτιον P post ἀπὸ ras. 2—3 litt. G χρύους GFHP 22 εἰωθείας F κατασκήπτει A 23 ἐπισκιάζεται A ἁρμόττον A κόσμου F 24 ἡ om. GFHP ἀμπεχομένη A ἀνθρωπίνῳ G

δώρημα κάλλιστον ἐδόθη παρὰ θεοῦ, πρῶτον μὲν κατὰ τῶν νεωτερι-
ζόντων εἰς αὐτὸν ὅπλον ἀμυντήριον — ὡς γὰρ τῶν ἄλλων ἕκαστον
ζῴων ἡ φύσις οἰκείοις ἕρκεσιν ὠχύρωσε, δι' ὧν τοὺς ἐπιχειροῦντας
ἀδικεῖν ἀποκρούσεται, καὶ ἀνθρώπῳ μέγιστον ἔρυμα καὶ φρουρὰν ἀκα-
θαίρετον λόγον δέδωκεν, οὗ κραταιῶς οἷα πανοπλίας ἐνειλημμένος
οἰκεῖον καὶ προσφυέστατον ἕξει δορυφόρον· τούτῳ δὲ προαγωνιστῇ χρώ-
μενος δυνήσεται τὰς ἀπὸ τῶν ἐχθρῶν ἐπιφερομένας ἀπωθεῖσθαι
ζημίας —, δεύτερον δὲ καὶ αἰσχύνης καὶ ὀνειδῶν ἀναγκαιότατον περί- 104
βλημα — δεινὸς γὰρ συγκρύψαι καὶ συσκιάσαι τὰς ἁμαρτίας τῶν
ἀνθρώπων λόγος —, τρίτον δὲ πρὸς ὅλου τοῦ βίου κόσμον· ὁ γὰρ
βελτιῶν ἕκαστον καὶ πάντα ἄγων ἐπὶ τὸ κρεῖττον οὗτός ἐστιν. ἀλλὰ 105
γάρ εἰσι λῶβαί τινες καὶ κῆρες ἀνθρώπων, οἳ καὶ τὸν λόγον ἐνεχυρά-
ζουσιν ἀφαιρούμενοι τοὺς ἔχοντας καί, συναυξῆσαι δέον, ὅλον ὑποτέμ-
νονται, καθάπερ οἱ τὰ τῶν πολεμίων δῃοῦντες χωρία καὶ τόν τε σῖτον
καὶ τὸν ἄλλον καρπὸν φθείρειν ἐπιχειροῦντες, ὃς ἀφεθεὶς μεγάλη τοῖς
χρησαμένοις ἂν ὄνησις ἦν. πόλεμος οὖν ἐστιν ἐνίοις ἄσπονδος καὶ 106
ἀκήρυκτος πρὸς τὴν λογικὴν φύσιν, οἵτινες τὰς βλάστας αὐτῆς ἀποκεί-
ρουσιν ἐν χρῷ καὶ τὰς πρώτας ἐπιφύσεις ἐκθλίβουσιν, ἄγονον καὶ
στεῖραν, ὡς ἔπος εἰπεῖν, καλῶν ἐπιτηδευμάτων ἀπεργαζόμενοι. ὁρμῶ- 107
σαν γὰρ ἔστιν ὅτε πρὸς παιδείαν ἀκατασχέτῳ ῥύμῃ καὶ πληχθεῖσαν
ἔρωτι τῶν φιλοσοφίας θεωρημάτων ὑπὸ βασκανίας καὶ φθόνου δείσαντες,
μὴ μεγάλα πνεύσασα καὶ ἐπὶ μήκιστον ἀρθεῖσα τὰς γλισχρολογίας
αὐτῶν καὶ πιθανὰς κατὰ τῆς ἀληθείας εὑρέσεις ἐπικλύσῃ χειμάρρου
τρόπον, ἑτέρωσε ταῖς ἑαυτῶν κακοτεχνίαις τὴν φορὰν ἔτρεψαν, εἰς
p. 637 M. βαναύσους καὶ | ἀνελευθέρους τέχνας μετοχετευσάμενοι· πολλάκις δὲ καὶ

2 αὐτὸν om., ὅπλον bis habet F 3 οἰκείαις $H^{2}$ ἕρκεσιν MA: ἕλκεσιν $GFH^{1}P$, ἀλκαῖς $H^{2}$ 3. 4 τοὺς χειρῶν ἄρχοντας ἀδίκων Oxon. Coll. Novi 143 4 ἀποκρούεσθαι GF 5 ἔδωκεν GFHP πανοπλία F ἀνειλημμένος GFH 6 post οἰκεῖον add. μὲν GFHP 7 ἀπὸ] ἐπὶ F φερομένας H 8 αἰσχῶν coni. Mang. 10 ὁ λόγος GFHP ὅλου FP (coni. Mang.): ὅλον ceteri 11 κρείττων F 12 κῆρες HP: κῆραι ceteri οἳ καὶ] αἳ MA 12. 13 ἐνεχυριάζουσιν AF 13 ἀφαιρούμεναι A 15 ὃς] ὃ F 16 χρησομένοις conicio ἐνίοις ἐστὶν GFHP 18 χρόνῳ GFHP τὰς om. A 19. 20 ὁρμώσης et πληχθείσης coni. Cohn 20 post παιδείαν add. τὴν ἱερὰν GFHP 21 τῶν] τῆς $H^{1}P$, om. Mang. post φιλοσοφίας add. ἀληθοῦς GFHP ὑπὸ] ἢ τὰς A βασκάνου H 22 μεγάλη GFHP γλισχρολογίας $MAP^{2}$ (coni. Mang.): αἰσχρολογίας ceteri 23 πιθανὰς] ras. 2 litt., δεινὰς G εὑρέσεις ante κατὰ transpos. GFHP ἐπικλύσει A 24 ante ταῖς add. δὲ $PH^{1}$ αὐτῶν MA

60 ρημα, καταλιπόντες τὰς αἰσθήσεως ὀπάς, αἳ Χαρρὰν ὀνομάζονται. τούτων ἐστὶν ὁ ἐπιδόσεις καὶ βελτιώσεις πρὸς ἐπιστήμης ἄκρας ἀνάληψιν ἐσχηκὼς Ἀβραάμ· ὅτε γὰρ μάλιστα ἔγνω, τότε μάλιστα ἀπέγνω ἑαυτόν, ἵνα τοῦ πρὸς ἀλήθειαν ὄντος εἰς ἀκριβῆ γνῶσιν ἔλθῃ. καὶ πέφυκεν οὕτως ἔχειν· ὁ λίαν καταλαβὼν ἑαυτὸν λίαν ἀπέγνωκε τὴν ἐν πᾶσι τοῦ | γενητοῦ σαφῶς προλαβὼν οὐδένειαν, ὁ δ' ἀπογνοὺς ἑαυτὸν γινώσκει p. 630 M. τὸν ὄντα.

61 (11.) Τίς μὲν οὖν ἐστιν ἡ Χαρρὰν καὶ διὰ τί ὁ ἀπολείπων τὸ τοῦ ὅρκου φρέαρ εἰς αὐτὴν ἔρχεται, δεδήλωται. σκεπτέον δὲ τὸ τρίτον καὶ ἀκόλουθον, τίς ὁ τόπος, ᾧ ὑπαντᾷ· λέγεται γάρ, ὅτι „ἀπήντησε
62 τόπῳ“ (Gen. 28, 11). τριχῶς δὲ ἐπινοεῖται τόπος, ἅπαξ μὲν χώρα ὑπὸ σώματος πεπληρωμένη, κατὰ δεύτερον δὲ τρόπον ὁ θεῖος λόγος, ὃν ἐκπεπλήρωκεν ὅλον δι' ὅλων ἀσωμάτοις δυνάμεσιν αὐτὸς ὁ θεός. „εἶδον“ γάρ φησι „τὸν τόπον οὗ εἱστήκει ὁ θεὸς τοῦ Ἰσραήλ“ (Exod. 24, 10), ἐν ᾧ μόνῳ καὶ ἱερουργεῖν ἐφῆκεν ἀλλαχόθι κωλύσας· διείρηται γὰρ ἀναβαίνειν εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός, κἀκεῖ θύειν τὰ ὁλοκαυτώματα καὶ τὰ σωτήρια καὶ τὰς ἄλλας ἀμώμους θυσίας ἀνά-
63 γειν (Deut. 12,5ss.). κατὰ δὲ τρίτον σημαινόμενον αὐτὸς ὁ θεὸς καλεῖται τόπος τῷ περιέχειν μὲν τὰ ὅλα, περιέχεσθαι δὲ πρὸς μηδενὸς ἁπλῶς, καὶ τῷ καταφυγὴν τῶν συμπάντων αὐτὸν εἶναι, καὶ ἐπειδήπερ αὐτός ἐστι
64 χώρα ἑαυτοῦ, κεχωρηκὼς ἑαυτὸν καὶ ἐμφερόμενος μόνῳ ἑαυτῷ. ἐγὼ μὲν οὖν οὐκ εἰμὶ τόπος, ἀλλ' ἐν τόπῳ, καὶ ἕκαστον τῶν ὄντων ὁμοίως· τὸ γὰρ περιεχόμενον διαφέρει τοῦ περιέχοντος, τὸ δὲ θεῖον ὑπ' οὐδενὸς περιεχόμενον ἀναγκαίως ἐστὶν αὐτὸ τόπος ἑαυτοῦ. μαρτυρεῖ δέ μοι

---

1 αἰσθήσεις ὡς ὀπάς H ὠνομάζοντο GFHP 3 ἑαυτοῦ (ὃν s. s.) A 4 τοῦ et ὄντος GFHP: τῶν et ὄντων MA (sed v. lin. 7) 5 post ὁ add. γὰρ GFHP ἐν] ἐπὶ MA 6 γεννητοῦ AGF οὐθένειαν A γιγνώσκει G 8 διότι F ἀπολιπὼν GFHP 10 καὶ om. F ὅτι om. GHP[1] ὑπήντησεν GH, tum ἐν add. G, ἐν τῷ FHPN 12 ἐκπεπληρωμένη GFHP 13 ἐκπεπλήρωκεν] ἀφῆκεν coni. Mang. 14 φησιν F τοῦ] τὸν P 15 μόνον GFHPN ἀφῆκεν AFL[2]N ἄλλοθι MA διείρηται M: διήρηται A, εἴρηται ceteri N 17 alterum τὰ om. GFHPN ἄλλα A 20 καταφυγεῖν A (corr. Hoesch.) εἶναι αὐτόν transpos. FHPN, εἶναι καὶ αὐτόν G 21 ἑαυτοῦ MAFP[2]N: αὐτοῦ GH[1]P[1], αὑτοῦ H[2] 21 μόνως αὐτῶ N, ἑαυτῷ μόνῳ conicio 22 οὖν οὐκ M: οὐνοῦτ' (i. e. οὐρανοῦ τ', ut vid.) A, οὐκ ceteri N 24 ἀναγκαῖος AP ἐστὶ A αὐτὸ om. A ἑαυτῶ N

---

10—24 N fol. 150v: λέγεται — τόπος ἑαυτῶ. 18. 19 cf. Clem. Alex. Strom. V 74 p. 690 P.

λόγιον τὸ χρησθὲν ἐπὶ Ἀβραὰμ τόδε· „ἦλθεν εἰς τὸν τόπον ὃν εἶπεν
αὐτῷ ὁ θεός· καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς εἶδε τὸν τόπον μακρόθεν“
(Gen. 22,3. 4). ὁ ἐλθὼν εἰς τὸν τόπον, εἰπέ μοι, μακρόθεν αὐτὸν εἶδεν; 65
ἀλλὰ μήποτε δυεῖν πραγμάτων ἐστὶν ὁμωνυμία διαφερόντων, ὧν τὸ μὲν
ἕτερον θεῖός ἐστι λόγος, τὸ δὲ ἕτερον ὁ πρὸ τοῦ λόγου θεός. ὁ δὴ 66
ξεναγηθεὶς ὑπὸ σοφίας εἰς τὸν πρότερον ἀφικνεῖται τόπον, εὑράμενος
τῆς ἀρεσκείας κεφαλὴν καὶ τέλος τὸν θεῖον λόγον, ἐν ᾧ γενόμενος οὐ
φθάνει πρὸς τὸν κατὰ τὸ εἶναι θεὸν ἐλθεῖν, ἀλλ' αὐτὸν ὁρᾷ μακρόθεν·
μᾶλλον δὲ οὐδὲ πόρρωθεν αὐτὸν ἐκεῖνον θεωρεῖν ἱκανός ἐστιν, ἀλλὰ τὸ
μακρὰν τὸν θεὸν εἶναι πάσης γενέσεως αὐτὸ μόνον ὁρᾷ καὶ τὸ πορρω-
τάτω τὴν κατάληψιν αὐτοῦ πάσης ἀνθρωπίνης διανοίας διῳκίσθαι.
μήποτε μέντοι γε οὐδὲ τόπον νῦν ἀλληγορῶν ἐπὶ τοῦ αἰτίου παρείληφεν, 67
ἀλλ' ἔστι τὸ δηλούμενον τοιοῦτον· „ἦλθεν εἰς τὸν τόπον, καὶ ἀναβλέψας
τοῖς ὀφθαλμοῖς εἶδεν“ αὐτὸν τὸν τόπον, εἰς ὃν ἦλθε, μακρὰν ὄντα τοῦ
ἀκατονομάστου καὶ ἀρρήτου καὶ κατὰ πάσας ἰδέας ἀκαταλήπτου θεοῦ.
p. 631 M. (12.) | τούτων προδιωρισμένων, ὅταν εἰς Χαρράν, τὴν αἴσθησιν, ἔλθῃ 68
ὁ ἀσκητής, „ὑπαντᾷ τόπῳ“ (Gen. 28,11), οὔτε τῷ ἐκπεπληρωμένῳ
ὑπὸ σώματος θνητοῦ — μετέχουσι γὰρ αὐτοῦ πάντες οἱ γηγενεῖς ἐκ-
πεπληρωκότες χώραν καὶ τόπον τινὰ κατὰ τἀναγκαῖον ἐπέχοντες —
οὔτε τῷ τρίτῳ καὶ ἀρίστῳ, οὗ μόλις ἔννοιαν λαβεῖν ἣν ἂν ἐπὶ τοῦ
φρέατος ποιούμενον τὰς διατριβάς, ὃ προσηγορεύετο ὅρκος, ᾧ τὸ αὐτο-
μαθὲς γένος, Ἰσαάκ, ἐνδιαιτᾶται μηδέποτε τῆς πρὸς θεὸν πίστεως
καὶ ἀφανοῦς ὑπολήψεως ἀφιστάμενον, ἀλλὰ τῷ μέσῳ λόγῳ θείῳ, τὰ
ἄριστα ὑφηγουμένῳ καὶ ὅσα πρόσφορα τοῖς καιροῖς ἀναδιδάσκοντι. οὐ 69
γὰρ ἀξιῶν ὁ θεὸς εἰς αἴσθησιν ἔρχεσθαι τοὺς ἑαυτοῦ λόγους ἐπικουρίας
ἕνεκα τῶν φιλαρέτων ἀποστέλλει· οἱ δ' ἰατρεύουσι καὶ ἐκνοσηλεύουσι τὰ
ψυχῆς ἀρρωστήματα, παραινέσεις ἱερὰς ὥσπερ νόμους ἀκινήτους τιθέντες

1 λόγιον MAFP, in ras. $H^2$, $L^1$: ἅγιον G($H^1$)$L^2$ post ἐπὶ add. τοῦ GFHP 2 post ὀφθαλμοῖς add. αὐτοῦ GFHP 3 τὸν om. F 4 δυεῖν AGF: δυοῖν MHP 5 θεῖός MAP²: οἷός ceteri πρὸ] περὶ Turn. δὴ] δὲ GFHP 6 τῆς σοφίας HP (τῆς om. etiam L) εὑρόμενος $FH^1L^2$ 9 οὐδὲ] οὐ A τὸ] τῷ F 10 τὸ] τῷ F 11 ἀνθρωπίνης om. A διωκίσθαι MF: διώκισται $H^1$P, διακεῖσθαι $GH^2$, κεῖσθαι A 14 εἶδε MA αὐτὸν τὸν om. MA εἰσῆλθε G 15 πάσης MAG 17 ante ὑπαντᾷ add. οὐχ GFHP 19 κατ' ἀναγκαῖον A 20 ἂν om. $GFHP^1$ 21 προσαγορεύεται M, προσηγόρευτος F 23 ὑφιστάμενον $P^1$ 24 οὗ $H^2$ 25 ἀξιῶν (Mang.): ἀπαξιῶν codd. θεὸς ⟨αὐτὸς⟩ conicio 26 ἕνεκεν MA ἀποστελεῖ GFHP δὲ GFHP

καὶ ἐπὶ τὰ τούτων γυμνάσια καλοῦντες καὶ τρόπον ἀλειπτῶν ἰσχὺν καὶ
70 δύναμιν καὶ ῥώμην ἀνανταγώνιστον ἐμφύοντες. δεόντως οὖν εἰς αἴσθησιν
ἐλθὼν οὐκέτι θεῷ, λόγῳ δ' ὑπαντᾷ θεοῦ, καθὰ καὶ ὁ πάππος αὐτοῦ
τῆς σοφίας Ἀβραάμ. λέγεται γάρ· „ἀπῆλθε κύριος, ὡς ἐπαύσατο λαλῶν
τῷ Ἀβραάμ, καὶ Ἀβραὰμ ἀπέστρεψεν εἰς τὸν τόπον αὐτοῦ“ (Gen. 18,33)·
δι' οὗ συνάγεται τὸ λόγοις τοιούτοις ἐντυγχάνειν ἱεροῖς, ὧν ὁ πρὸ τῶν
ὅλων θεὸς ἀπήλλακται, μηκέτι τὰς ἀφ' αὐτοῦ τείνων φαντασίας, ἀλλὰ
71 τὰς ἀπὸ τῶν μεθ' αὐτὸν δυνάμεων. ὑπερφυέστατα δ' ἔχει τὸ μὴ φάναι
ἐλθεῖν εἰς τὸν τόπον, ἀλλ' ἀπαντῆσαι τόπῳ· ἑκούσιον μὲν γὰρ τὸ
ἔρχεσθαι, τὸ δ' ἀπαντᾶν πολλάκις ἀκούσιον, ἵν' ἐξαπιναίως ὁ θεῖος λόγος
ἐπιφαινόμενος ἀπροσδόκητον χαρὰν ἐλπίδος μείζονα ἐρήμῃ ψυχῇ συνο-
δοιπορεῖν μέλλων προτείνῃ. καὶ γὰρ Μωυσῆς „ἐξάγει τὸν λαὸν εἰς τὴν
συνάντησιν τοῦ θεοῦ“ (Exod. 19,17), σαφῶς εἰδὼς ἐρχόμενον αὐτὸν
ἀοράτως πρὸς τὰς ποθούσας ψυχὰς ἐντυχεῖν αὐτῷ.
72 (13.) Τὴν δ' αἰτίαν ἐπιφέρει, δι' ἣν τόπῳ ὑπήντησεν· „ἔδυ“ γάρ
φησιν „ὁ ἥλιος“ (Gen. 28,11), οὐχ ὁ φαινόμενος οὗτος, ἀλλὰ τὸ τοῦ
ἀοράτου καὶ μεγίστου θεοῦ περιφεγγέστατον καὶ περιαυγέστατον φῶς.
τοῦθ' ὅταν μὲν ἐπιλάμψῃ διανοίᾳ, τὰ δεύτερα λόγων δύεται φέγγη, πολὺ
δὲ μᾶλλον οἱ αἰσθητοὶ τόποι πάντες ἐπισκιάζονται· ὅταν δ' ἑτέρωσε
73 χωρήσῃ, πάντ' εὐθὺς ἀνίσχει καὶ ἀνατέλλει. μὴ θαυμάσῃς δέ, εἰ ὁ
ἥλιος κατὰ τοὺς τῆς ἀλληγορίας κανόνας ἐξομοιοῦται τῷ πατρὶ καὶ ἡγε-
μόνι τῶν συμπάντων· θεῷ γὰρ ὅμοιον πρὸς ἀλήθειαν μὲν οὐδέν, ἃ δὲ
δόξῃ νενόμισται, δύο μόνα ἐστίν, ἀόρατόν τε καὶ ὁρατόν, ψυχὴ μὲν
74 ἀόρατον, ὁρατὸν δὲ ἥλιος. τὴν | μὲν οὖν ψυχῆς ἐμφέρειαν δεδήλωκεν p. 632 M.
ἐν ἑτέροις εἰπών· „ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ
ἐποίησεν αὐτόν“ (Gen. 1,27), καὶ ἐν τῷ κατὰ ἀνδροφόνων τεθέντι νόμῳ
πάλιν· „ὁ ἐκχέων αἷμα ἀνθρώπου ἀντὶ τοῦ αἵματος αὐτοῦ ἐκχυθήσεται,

---

1 prius καὶ om. Turn. ἄλειπτον G 2 καὶ τρόπον ἀκαταγώνιστον GHP ῥώ (om. μην) F ἐκφύοντες MAH 3 δ' MAH$^2$P$^2$: om. GFH$^1$P$^1$ 4 ἀπῆλθεν ὁ κύριος GFHP 6 ἱερεῖς L$^1$ πρὸ] πατὴρ coni. Cohn 7 ἀπ' αὐτοῦ MA 8 μεθ' ἑαυτῶν G, μεθ' αὐτὴν Turn. δὲ GFHP 9 τὸν om. G ἀλλὰ GFHP ὑπαντῆσαι v 10 ὑπαντᾶν GFHP 11 ἀποφαινόμενος HP$^1$ 11. 12 μέλλων συνοδοιπορεῖν F 12 τὴν om. GFHP 15 δὲ GFHP 18 τοῦτο GFHP ἐπιλάμψει L τὰ δεύτερα om. G τῶν λόγων P πολλοὶ AGF (corr. Hoesch. in mg. A) 19 ἑτέρως FHP 20 εἰ om. A (add. Hoesch.) 21 τῆς om. GFHP ἐξομοιοῦνται A 24 ὁ ἥλιος F 26 ἐποίησεν αὐτόν om. MA τεθέντι MF: ταθέντι A, τιθέντι GP$^2$, τίθεται H (sed prius ι in ras.) P$^1$

ὅτι ἐν εἰκόνι θεοῦ ἐποίησα τὸν ἄνθρωπον“ (Gen. 9,6), τὴν δὲ ἡλίου
διὰ συμβόλων μεμήνυκε. ῥᾴδιον δὲ καὶ ἄλλως ἐξ ἐπιλογισμοῦ τοῦτο 75
κατιδεῖν, ἐπειδὴ πρῶτον μὲν ὁ θεὸς φῶς ἐστι — „κύριος γὰρ φωτισμός
μου καὶ σωτήρ μου“ ἐν ὕμνοις ᾄδεται (Psalm. 26, 1) — καὶ οὐ μόνον
φῶς, ἀλλὰ καὶ παντὸς ἑτέρου φωτὸς ἀρχέτυπον, μᾶλλον δὲ παντὸς ἀρχε-
τύπου πρεσβύτερον καὶ ἀνώτερον, λόγον ἔχον παραδείγματος. τὸ μὲν
γὰρ παράδειγμα ὁ πληρέστατος ἦν αὐτοῦ λόγος, φῶς — „εἶπε“ γάρ φησιν
„ὁ θεός· γενέσθω φῶς“ (Gen. 1,3) —, αὐτὸς δὲ οὐδενὶ τῶν γεγονότων
ὅμοιος. ἔπειθ' ὡς ἥλιος ἡμέραν καὶ νύκτα διακρίνει, οὕτως φησὶ 76
Μωυσῆς τὸν θεὸν φῶς καὶ σκότος διατειχίσαι· „διεχώρισε γὰρ ὁ θεὸς
ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους“ (Gen. 1,4)· ἄλλως
τε ὡς ἥλιος ἀνατείλας τὰ κεκρυμμένα τῶν σωμάτων ἐπιδείκνυται, οὕτως
καὶ ὁ θεὸς τὰ πάντα γεννήσας οὐ μόνον εἰς τοὐμφανὲς ἤγαγεν, ἀλλὰ
καὶ ἃ πρότερον οὐκ ἦν, ἐποίησεν, οὐ δημιουργὸς μόνον ἀλλὰ καὶ κτίστης
αὐτὸς ὤν. (14.) λέγεται δὲ πολλαχῶς κατὰ τὸν ἱερὸν λόγον ἐν ὑπο- 77
νοίαις ἥλιος, ἅπαξ μὲν ὁ ἀνθρώπινος νοῦς, ὃν οἰκοδομοῦσιν ὡς πόλιν
καὶ κατασκευάζουσιν οἱ γένεσιν πρὸ τοῦ ἀγενήτου θεραπεύειν ἀναγκαζό-
μενοι, ἐφ' ὧν εἴρηται ὅτι „ᾠκοδόμησαν πόλεις ὀχυρὰς τῷ Φαραώ, τήν
τε Πειθώ“, τὸν λόγον ᾧ τὸ πείθειν ἀνάκειται, „καὶ Ῥαμεσσή“, τὴν
αἴσθησιν, ὑφ' ἧς ὥσπερ ὑπὸ σέων ἡ ψυχὴ διεσθίεται — ἑρμηνεύεται
γὰρ σεισμὸς σητός —, „καὶ τὴν Ὤν“, τὸν νοῦν, ἣν Ἡλίου πόλιν ὠνό-
μασεν (Exod. 1,11), ἐπειδὴ καθάπερ ἥλιος τοῦ παντὸς ἡμῶν ὄγκου
τὴν ἡγεμονίαν ἀνῆπται καὶ τὰς αὐτοῦ δυνάμεις ὥσπερ ἀκτῖνας εἰς ὅλον
τείνει· τὸν δὲ ἱερέα καὶ θεραπευτὴν τοῦ νοῦ πενθερὸν ἐπιγράφεται πᾶς 78
ὁ τὴν τοῦ σώματος πολιτείαν ἀναψάμενος, ὄνομα Ἰωσήφ. „ἔδωκε“ γάρ
φησιν „αὐτῷ τὴν Ἀσενὲθ θυγατέρα Πετεφρῆ ἱερέως Ἡλίου πόλεως“

---

1 ἐποίησε H[1]P τὸν δὲ ἥλιον L 2 μεμήνυκεν M, μεμύνηκε G 3 φωτισμός MA: φῶς GFHP 4 ἐν om. GFHP 5 παντὸς om. GFHP 5. 6 πρεσβύτερον ἀρχετύπου GFHP 7 πληρέστατος] περιφεγγέστατος vel περιαυγέστατος coni. Mang. (cf. § 72) 7. 8 εἶπε — φῶς MA: om. ceteri 10 Μωυσῆς A: Μωσῆς ceteri 12 ὁ ἥλιος FHP ἀνατείλας om. GFHP οὕτω HP 15 δὲ om. GFHP τὸν ἱερὸν λόγον GFHP: Μωσῆν MA 16 ὁ ἥλιος GFHP 17 γένησιν F ἀγεννήτου codd. 18 ἐφ'] ἀφ' G[1] 19 Πειθών G τὸν λόγον om. MA Ῥαμεσσή M: Ῥαμεσή A, Ῥαμεσσήν GF, Ῥαμεσήν HP 20 σεῶν M: σαιῶν A, σητῶν ceteri δ' ἐσθίεται A 21 τὴν ὢν GHP (alt. ν eras. in P) L[1]: κτηνῶν ceteri ἡλιούπολιν codd. 21. 22 ὠνόμασαν HP 23 τὴν om. A αὐτοῦ (sic) MA: ἀφ' αὐτοῦ ceteri 25 ἀναγραψάμενος H 26 αὐτῷ φησιν MA Πεντεφρῆ AF ἡλιουπόλεως MA

79 (Gen. 41,45). | δεύτερον δὲ ἥλιον καλεῖ συμβολικῶς τὴν αἴσθησιν, ἐπειδὴ p. 633 M.
τὰ αἰσθητὰ πάντα δείκνυται διανοίᾳ. περὶ ἧς λελάληκεν ὧδε· „ἀνέτειλεν
ὁ ἥλιος αὐτῷ, ἡνίκα παρῆλθε τὸ εἶδος τοῦ θεοῦ“ (Gen. 32,31)· τῷ γὰρ
ὄντι ταῖς ἱερωτάταις ἰδέαις καὶ ὡς ἂν εἰκόσιν ἀσωμάτοις ὅταν μηκέτι
δυνώμεθα συνδιατρίβειν, ἀλλ᾽ ἑτέρωσε τρεπόμενοι μεταχωρήσωμεν, ἄλλῳ
φωτὶ τῷ κατὰ αἴσθησιν χρώμεθα σκότους πρὸς τὸν ὑγιῆ λόγον οὐδὲν
80 ἁπλῶς διαφέροντι· ὅπερ ἀνατεῖλαν ὅρασιν μὲν καὶ ἀκοήν, ἔτι δὲ γεῦσιν
καὶ ὄσφρησιν καὶ ἀφὴν ὥσπερ κοιμωμένας ἀνήγειρε, φρόνησιν δὲ καὶ
δικαιοσύνην ἐπιστήμην τε καὶ σοφίαν ἐγρηγορυίας εἰς ὕπνον ἔτρεψεν.
81 οὗ χάριν ἁγνεύειν οὐδένα πρὸ ἑσπέρας φησὶν ὁ ἱερὸς λόγος (Lev.
11,24 al.) δύνασθαι, τῆς διανοίας ὑπὸ τῶν κατ᾽ αἴσθησιν κινήσεων ἔτι
παρευημερουμένης. ἄψυχτον δὲ καὶ τοῖς ἱερεῦσι νόμον ἐν ταὐτῷ καὶ
γνώμην ἀποφαινόμενος τίθησιν, ἐπειδὰν λέγῃ· „Οὐκ ἔδεται ἀπὸ τῶν
ἁγίων, ἐὰν μὴ λούσηται τὸ σῶμα ὕδατι καὶ δύῃ ὁ ἥλιος καὶ γένηται
82 καθαρός“ (Lev. 22, 6. 7). δηλοῖ γὰρ σαφέστατα διὰ τούτων, ὅτι εὐαγὴς
εἰσάπαν οὐδείς ἐστιν, ὡς ταῖς ἁγίαις καὶ ἱεροπρεπέσι χρῆσθαι τελεταῖς,
ᾧ τὰς αἰσθητὰς τοῦ θνητοῦ βίου λαμπρότητας ἔτι τετιμῆσθαι συμβέβηκεν.
εἰ δέ τις αὐτὰς οὐκ ἀποδέχεται, κατὰ τὸ ἀκόλουθον τῷ φρονήσεως ἐπι-
λάμπεται φέγγει, δι᾽ οὗ δυνήσεται τὰς τῶν κενῶν δοξῶν ἐκνίπτεσθαι
83 καὶ ἀπολούεσθαι κηλῖδας. ἢ τὸν ἥλιον αὐτὸν οὐχ ὁρᾷς, ὅτι τἀναντία
καὶ ἀνατέλλων καὶ δυόμενος ἐργάζεται; ἐπειδὰν γὰρ ἀνίσχῃ, τὰ μὲν
κατὰ γῆν ἅπαντα περιλάμπεται, τὰ δὲ κατ᾽ οὐρανὸν ἀποκρύπτεται·
δύντος δ᾽ ἔμπαλιν οἱ μὲν ἀστέρες προφαίνονται, τὰ δὲ περίγεια συσκιά-
84 ζεται. τὸν αὐτὸν τρόπον καὶ ἐν ἡμῖν, ὅταν μὲν τὸ τῶν αἰσθήσεων
φέγγος ὡς ἥλιος ἀνατείλῃ, τὰς ὀλυμπίους καὶ οὐρανίους ὡς ἀληθῶς
ἐπιστήμας κρύπτεσθαι συμβέβηκεν· ὅταν δὲ πρὸς δυσμὰς γένηται, τὰς

---

1 καλεῖ ἥλιον GFHP 2 δείκνυσι GFHP, fort. recte (an ἐπιδείκνυται? cf. § 91) διάνοια GF 3 ὁ om. GFHP 4 εἰκόνα H[1]P, εἰκότι H[2] 5 συντρίβειν F μετατρεπόμενοι GFH 8 ἀφὴν καὶ ὄσφρησιν GFHP δὲ scripsi: τε codd. 9 διανοίας ante εἰς add. H 10 οὐδὲν ἀπὸ ἑσπέρας A πρὸς GFHP φησιν ὁ ἱερὸς λόγος GFHP: φησὶ Μωσῆς MA 11 τῆς om. GFHP 12 ἐπ᾽ αὐτῷ A 13 ἔδετε A 14 λούσητε et ὕδασι A 16 ἅπαν MGFH[1] οὐδὲ εἰς GFHP ὡς] ὃς A χρῆσθαι MA: μυῆσθαι G, μυεῖσθαι FHP 17 ᾧ, tum ras. G (coni. Mang.): ὧν ceteri τὰς αἰσθητὰς MAG[2]: τὰς ἐσθῆτας ceteri, ταῖς αἰσθηταῖς et λαμπρότησι coni. Mang. λαμπρότητας ἔτι scripsi: λαμπρότητος G[2], λαμπρότητι ceteri 18. 19 ἐπιλάμπει A 19 φέγγει MA: φωτὶ ceteri 20 καὶ ἀπολούεσθαι om. Turn. ἢ ν τὰ ἐναντία HP 21 γὰρ MA: μὲν γὰρ ceteri ἀνάσχῃ conicio 23 δύναντος GFHP 26 ἀποκρύπτεσθαι GFP, ἐπικρύπτεσθαι H δυσμαῖς GH

ἀστεροειδεστάτας καὶ θειοτάτας ἀναφαίνεσθαι ἀρετῶν αὐγάς, ὅτε καὶ
καθαρὸς ὁ νοῦς ὑπὸ μηδενὸς κρυπτόμενος αἰσθητοῦ γίνεται. (15.) κατὰ 85
δὲ τὸ τρίτον σημαινόμενον ἥλιον καλεῖ τὸν θεῖον λόγον, τὸ τοῦ κατ'
οὐρανὸν περιπολοῦντος, ὡς πρότερον ἐλέχθη, παράδειγμα, ἐφ' οὗ λέγεται·
„ὁ ἥλιος ἐξῆλθεν ἐπὶ τὴν γῆν, καὶ Λὼτ εἰσῆλθεν εἰς Σηγώρ, καὶ κύριος
ἔβρεξεν ἐπὶ Σόδομα καὶ Γόμορρα θεῖον καὶ πῦρ“ (Gen. 19, 23. 24). ὁ 86
γὰρ τοῦ θεοῦ λόγος, ὅταν ἐπὶ τὸ γεῶδες ἡμῶν σύστημα ἀφίκηται, τοῖς
μὲν ἀρετῆς συγγενέσι καὶ πρὸς αὐτὴν ἀποκλίνουσιν ἀρήγει καὶ βοηθεῖ,
ὡς καταφυγὴν καὶ σωτηρίαν αὐτοῖς πορίζειν παντελῆ, τοῖς δὲ ἀντιπάλοις
ὄλεθρον καὶ φθορὰν ἀνίατον ἐπιπέμπει. λέγεται δὲ κατὰ τέταρτον 87
σημαινόμενον ἥλιος μὲν αὐτὸς ὁ τῶν ὅλων ἡγεμών, ὡς εἶπον ἤδη, δι'
οὗ τὰ ἀνίατα τῶν ἁμαρτημάτων ἀνακαλύπτεται συσκιάζεσθαι δοκοῦντα·
p. 634 M. | πάντα γὰρ ὡς δυνατά, οὕτως καὶ γνώριμα θεῷ. παρὸ καὶ τοὺς κατα- 88
λυθέντας τῶν τόνων τῶν ψυχικῶν, ἀκολάστως καὶ λαγνίστερον ὁμιλοῦν-
τας ταῖς νοῦ θυγατράσιν, αἰσθήσεσιν, ὡς χαμαιτύπαις καὶ πόρναις,
ἐνδειχθησομένους πρὸς ἥλιον ἄγει. φησὶ γάρ· „καὶ κατέλυσεν ὁ λαὸς 89
ἐν Σαττὶν“ — ἄκανθαι δ' ἑρμηνεύεται, παθῶν κεντούντων καὶ τιτρω-
σκόντων ψυχὴν σύμβολον —, „καὶ ἐβεβηλώθη“ φησὶν „ἐκπορνεῦσαι εἰς
τὰς θυγατέρας Μωάβ“ — αἱ δέ εἰσιν αἱ αἰσθήσεις, κεκλημέναι νοῦ
θυγατέρες· Μωὰβ γὰρ ἐκ πατρὸς ἑρμηνεύεται —, καὶ προστίθησι· „λάβε
πάντας τοὺς ἀρχηγοὺς τοῦ λαοῦ καὶ παραδειγμάτισον τῷ κυρίῳ ἀπέναντι
τοῦ ἡλίου, καὶ ἀποστραφήσεται ὀργὴ κυρίου ἀπὸ Ἰσραήλ“ (Num. 25,
1. 4). οὐ γὰρ μόνον τὰ κεκρυμμένα τῶν ἀδικημάτων ἐμφανῆ γενέσθαι 90
βουλόμενος ταῖς ἡλιακαῖς περιέλαμψεν ἀκτῖσιν, ἀλλὰ καὶ διὰ συμβόλων
ἥλιον τὸν πατέρα τῶν ὅλων ἐκάλεσεν, ᾧ πάντα προὖπτα καὶ ὅσα ἐν
μυχοῖς τῆς διανοίας ἀοράτως ἐπιτελεῖται· γενομένων δ' ἐμφανῶν ἵλεῴ

1 καὶ θειοτάτας om. GFHP 2 αἰσθητὸς Turn. γίνεται in ras. P, γένηται AF 3 δὲ τὸ GP: τὸ MA, δὲ FH alt. τὸ H²: τὸν ceteri 5 ἐξῆλθεν ὁ ἥλιος MA (sed v. quaest. in Gen. IV § 51) τῆς γῆς P Σηγώρ AP²: Σιγώρ MH (ι vid. corr.) (P¹), Σοὲρ GF 7 ἀφίκηται σύστημα ἡμῶν F
8 αὐτὴν MA: ἀρετὴν ceteri 10 κατὰ MA; καὶ κατὰ ceteri 11 post ὅλων add. θεὸς καὶ GFHP 12 συσκιάζεσθαι δοκοῦντα ἀνακαλύπτεται GFHP
13 οὕτω G καὶ per errorem om. Mang. 13. 14 καταλυθέντων conicio τόνων τῶν ψυχικῶν MAP²: ὄντων ψυχικῶς ceteri 14 καὶ ante ἀκολάστως add. GFHP λαγνέστερον A 15 τοῦ νοῦ GFHP χαμαιτύποις v post πόρναις add. τοῦ νοῦ G, ras. 4 litt. in H 17 Σαττίοις F, Σαττεὶν Mang. (LXX) δὲ GFHP ἑρμηνεύονται GFHP, post παθῶν transpos. HP
19 δ' GFHP alterum αἱ om. GFHP νοῦ MAP²: om. ceteri
23 μόνα H 26 ἀοράτοις GFP δὲ HP ἵλεων HP

91 φησιν ἔσεσθαι τὸν μόνον ἵλεω. διὰ τί; ὅτι, ἐὰν ὑπολαβοῦσα διάνοια
λήσεσθαι τὸ θεῖον ἀδικοῦσα, ὡς μὴ πάντα καθορᾶν δυνάμενον, κρύφα καὶ ἐν μυχοῖς διαμαρτάνῃ καὶ μετὰ ταῦτα εἴτ' ἐξ αὑτῆς εἴτε καὶ ὑφηγησαμένου τινὸς ἐννοήσῃ, ὅτι ἀμήχανον ἄδηλον εἶναί τι τῷ θεῷ, καὶ ἑαυτὴν καὶ τὰς ἑαυτῆς πράξεις ἁπάσας ἀναπτύξῃ καὶ εἰς μέσον προενεγκοῦσα καθάπερ εἰς ἡλιακὸν φῶς ἐπιδείξηται τῷ τῶν ὅλων ἐπισκόπῳ φήσασα μετανοεῖν ἐφ' οἷς πρότερον ἀγνώμονι γνώμῃ χρωμένη κακῶς ἐδόξαζε — μηδὲν γὰρ ἄδηλον, γνώριμα δὲ καὶ δῆλα πάντα, οὐ τὰ πραχθέντα μόνον, ἀλλὰ καὶ τὰ ἐλπιζόμενα κατὰ πολλὴν περιουσίαν ὑπάρχειν αὐτῷ —, κεκάθαρται καὶ ὠφέληται καὶ τὸν ἐφεστῶτα κολαστὴν ἔλεγχον ἡμέρωκεν ὀργῇ δικαίᾳ χρώμενον, εἰ τὸ μετανοεῖν ἀδελφὸν νεώτερον ὂν
92 τοῦ μηδ' ὅλως ἁμαρτεῖν ἀποδέχεται. (16.) φαίνεται μέντοι καὶ ἑτέρωθι
κατὰ σύμβολον ἐπὶ τοῦ αἰτίου τὸν ἥλιον παραλαμβάνων, ὡς ἐν τῷ γραφέντι νόμῳ περὶ τῶν ἐπ' ἐνεχύροις δανειζόντων· λέγε τὸν νόμον· „ἐὰν ἐνεχύρασμα ἐνεχυράσῃς τὸ ἱμάτιον τοῦ πλησίον, πρὸ δυσμῶν ἡλίου ἀποδώσεις αὐτῷ· ἔστι γὰρ τοῦτο περιβόλαιον αὐτῷ μόνον, τοῦτο τὸ ἱμάτιον ἀσχημοσύνης αὐτοῦ. ἐν τίνι κοιμηθήσεται; ἐὰν οὖν καταβοήσῃ πρός
93 μέ, εἰσακούσομαι αὐτοῦ· ἐλεήμων γάρ εἰμι“ (Exod. 22, 26. 27). ἆρ'
οὐκ ἄξιον τοὺς οἰομένους τὴν τοσαύτην σπουδὴν εἶναι τῷ νομοθέτῃ περὶ ἀμπεχόνης, εἰ καὶ μὴ ὀνειδίζειν, ἀλλά τοί γε ὑπομιμνήσκειν φάσκοντας· τί λέγετε, ὦ γενναῖοι; ὁ τῶν ὅλων κτίστης καὶ ἡγεμὼν ἐλεήμονα ἑαυτὸν ἐφ' οὕτως εὐτελοῦς πράγματος, ἱματίου μὴ ἀποδοθέντος χρεώστῃ
94 | πρὸς δανειστοῦ, καλεῖ; τὸ μέγεθος καθάπαξ τῆς ἀρετῆς τοῦ πάντα p. 635 M.

---

1 γενέσθαι A  post ἵλεω (ἵλεων HP) add. τῷ λαῷ GFHP  3 ἐν — alt. καὶ om. G  ταῦτ' GF  εἴτ' MA: εἴτε καὶ ceteri  αὐτῆς $H^{2}$: αὐτῆς ceteri  4 ἐννοήσει A  τῷ om. FHP  5 ἀναπτύξει AG  5. 6 προενεγκοῦσα GFHP: ἐνεγκοῦσα MA  6 φῶς MA: φέγγος ceteri  ἐπιδείξῃ τὰ P, ἀποδεῖξαι ταῦτα G  8 πάντα καὶ δῆλα GFHP  10 κεκάθαρται om. A (add. Hoesch.) ἀπολέλουται coni. Mang.  11 δικαίῳ GHP  χρώμενος A  εἰ] ὃς H, om. A  ὂν om. A  12 ἁμαρτεῖν] ἁμαρτάνειν ὂν A  ἀπωθεῖται vel ⟨μὴ⟩ ἀποδέχεται (sc. διάνοια) conicio, aut lin. 11 ⟨μὴ⟩ δικαίᾳ leg.  14 post νόμῳ add. ἐνορῶ GF$H^{2}$, ἐν ᾧ P($H^{1}$)  ἐπ' om. GFHP  λέγεται F, λέγειν $H^{2}$  16 αὐτῷ MA: αὐτό GFHP  αὐτὸ $H^{1}$L  τοῦτο τὸ ex LXX scripsi (cf. ad § 101. 109): τὸ A; ras., tum τὸ P, τοῦτο ceteri  17 τῆς ἀσχημοσύνης A  ante ἐν add. καὶ A$P^{2}$  οὖν MA$P^{2}$: om. ceteri  20 ἀμπεχόνην F, fort. recte  21 ὁ MA: ὅτι F$H^{1}P^{1}$, ὅτι ὁ G$H^{2}P^{2}$  22 μὴ om. $H^{1}P^{1}$  χρέος τὸ $G^{1}$, χρέους τοῦ $G^{2}$  23 δανειστὴν GF$H^{1}P^{1}$  καλεῖ] παρέχει coniciebam  ante τὸ add. τῶν mg. G  καθάπαξ GFHP: om. MA  τὰ πάντα $H^{2}$

μεγάλου θεοῦ μὴ συνεωρακότων τοιαῦτ' ἐστὶν ὑπολαμβάνειν καὶ τὴν
ἀνθρωπίνην μικρολογίαν τῇ ἀγενήτῳ καὶ ἀφθάρτῳ καὶ πλήρει μακαριό-
τητος καὶ εὐδαιμονίας φύσει παρὰ θέμιν καὶ δίκην προσνέμοντων. τί 95
γὰρ ἄτοπον ποιοῦσιν οἱ τὰ ῥύσια κατέχοντες δανεισταὶ παρ' αὑτοῖς,
ἄχρις ἂν τὰ ἴδια ἀναπράξωνται; πένητες οἱ χρεῶσται, φήσει τις ἴσως,
καὶ ἄξιον ἐλεεῖν αὐτούς. εἶτ' οὐκ ἄμεινον ἦν γράψαι νόμον, δι' οὗ
τούτους ἐρανιοῦσι μᾶλλον ἢ χρεώστας ἀποφανοῦσιν ἢ ἐπ' ἐνεχύροις
τοῦ δανείζειν κωλύσουσιν; ὁ δὲ ἐφεὶς οὐκ ἂν εἰκότως ἐπὶ τοῖς ἃ
ἔλαβον πρὸ καιροῦ μὴ προιεμένοις δυσχεραίνοι ὡς ἀσεβοῦσι. πενίας δ' 96
εἰς αὐτά τις ἐλθών, ὡς ἔπος εἰπεῖν, τὰ πέρατα καὶ ῥάκιον ἓν ἀμπεχό-
μενος δανειστὰς καινοὺς ἐπάγεται τὸν ἀπὸ τῶν ὁρώντων παρεὶς ἔλεον,
ὃς τοῖς κεχρημένοις ταῖς τοιαύταις κακοπραγίαις κατ' οἰκίαν καὶ παρ'
ἱεροῖς καὶ ἐν ἀγορᾷ καὶ πανταχοῦ προκέχυται; νυνὶ δὲ καὶ ὃ μόνον 97
εἶχε προκάλυμμα αἰδοῦς, ᾧ τὰ τῆς φύσεως ἀπόρρητα συνεσκίαζε, τοῦτο
φέρων προὔτεινε· ῥύσιον ὑπὲρ τίνος, εἰπέ μοι; ἢ ὑπὲρ ἑτέρας ἀμείνονος
ἐσθῆτος; τροφῆς μὲν γὰρ ἀναγκαίας ἄπορος οὐδείς, ἄχρις ἂν πηγαὶ μὲν
ἀναβλύζωσι, ποταμοὶ δὲ χείμαρροι πλημμυρῶσι, γῆ δὲ τοὺς ἐτησίους
ἀναδιδῷ καρπούς. οὕτω δὲ ἢ βαθύπλουτός τις ἢ λίαν ὠμὸς ὁ δανειστής, 98
ὡς ἢ τετράδραχμον, τάχα δὲ καὶ ἔλαττον ἐθέλειν τῷ συμβαλεῖν ἢ οὕτω
πενιχρῷ δανείζειν ἀλλὰ μὴ χαρίζεσθαι, ἢ ὃ μόνον ἦν ἱμάτιον ἐκείνῳ
λαμβάνειν ἐνέχυρον, ὅπερ ἑτέρῳ ὀνόματι λωποδυτεῖν εἰκότως ἂν λέγοιτο;

---

1 μὴ add. $H^2$ post συνεωρακότων add. μηδὲ συνορώντων GFHP ἐστὶ τοιαῦθ' GFHP 2 μικρολογίαν A: σμικρολογίαν ceteri ἀγεννήτω AGF 3 προσνεμόντων GFHP: προσνέμειν MA 4 αὐτοῖς $H^2$: αὐτοῖς ceteri 5 ἴδια τί διαπράξονται G cum ras. post δι φησί τις GF 6 ἐλεεῖν corr. in ἐλεῖν P post οὐκ add. εὔλογον καὶ GFHP 7 τούτοις v ἀποφαινοῦσιν (sic) MA ἢ om. MA 8 τοῦ] τὸ conicio κωλύσουσιν MAGFP: κωλῦσαι H, κωλύει Μωυσῆς conicio ἀφεὶς A 9 προιέμενος $G^1H^1P$ 10. 11 ἐναμπεχόμενος $L^2$v, ἀμπεχόμενος (om. ἓν) $HP^1$ 11 ἐπάξεται coni. Mang. ἔλαιον A 12 ὃς F(?)H: οἷς ceteri ante κατ' add. ἃ GF, ras. in HP 13 ἱεραῖς A πανταχῆ P ὅμοιον A 14 τούτω A 15 ἢ v 17 ἀναβλύζωσι GFHP: ἀναβλύωσι MA ποταμοὶ δὲ $MAP^2$ (χείμαρροι addidi): ποταμῶν χείμαρροι δὲ $GFHP^1$, post δὲ add. ποταμῶν H (del. $H^2$) $P^1$, ποταμοὶ δὲ αὐθιγενεῖς τε καὶ χείμαρροι coni. Mang. πλημυρῶσι G 18 ἀναδιδῷ scripsi: ἀναδίδωσι codd. οὕτως GFHP φιλόπλουτός conicio prius ἢ] ἡ M post ὠμὸς add. καὶ A, ἢ λίαν σκαιὸς GFHP 19 ὡς ἢ] ὡσεὶ $H^2$, ὥστε v τετράδι δραχμῶν G ⟨μὴ⟩ ἐθέλειν male Mang. οὕτως GF 20 πενιχρῶς GFHP ὅμοιον A ἱμάτιον ἐκείνω GFHP: ἐκείνω ἱμάτιον MA 21 ὁ περαιτέρω A λωποδοτεῖν G

καὶ γὰρ λωποδύταις ἔθος ἀπαμπίσχουσι τὰς μὲν ἐσθῆτας ἀφαιρεῖσθαι,
99 γυμνοὺς δὲ τοὺς ἔχοντας ἀποφαίνειν. διὰ τί δὲ νυκτὸς μὲν καὶ τοῦ μὴ
ἀνείμονά τινα κοιμηθῆναι προὐνόησεν, ἡμέρας δὲ καὶ τοῦ μὴ ἐγρηγορότα
γυμνὸν ἀσχημονεῖν οὐκέθ' ὁμοίως ἐφρόντισεν; ἢ οὐ νυκτὶ μὲν καὶ
σκότῳ κρύπτεται πάντα, ὡς ἧττον ἢ μηδ' ὅλως αἰδεῖσθαι, ἡμέρᾳ δὲ
100 καὶ φωτὶ ἀνακαλύπτεται, ὡς τότε μᾶλλον ἐρυθριᾶν ἀναγκάζεσθαι; διὰ τί
δ' οὐ διδόναι τὸ ἱμάτιον, ἀλλ' ἀποδιδόναι προσέταξεν; ἀπόδοσις γὰρ
ἐπ' ἀλλοτρίοις γίνεται, τὰ δ' ἐνέχυρα τῶν δεδανεικότων μᾶλλον ἢ τῶν
δεδανεισμένων ἐστίν. ἐκεῖνο δὲ οὐκ ἐννοεῖς, ὅτι λαβόντι τῷ χρεώστῃ
πρόσκοιτον τὸ ἱμάτιον οὐ προσέταξε μεθ' ἡμέραν περιελεῖν ἀναστάντι
101 καὶ κομίσαι τῷ δανειστῇ; καὶ μὴν τῷ γε τῆς ἑρμηνείας ἰδιοτρόπῳ καὶ
ὁ βραδύτατος ἕτερόν τι τοῦ ῥητοῦ κατανοεῖν ἂν | προαχθείη· μᾶλλον p. 636 M.
γὰρ ἀφορισμῷ ἢ παραινέσει ἔοικε τὸ διάταγμα. παραινῶν μὲν γὰρ
εἶπεν ἄν τις· τὸ ἐνεχυρασθὲν ἱμάτιον, ἐὰν τοῦτ' ᾖ μόνον τῷ χρεώστῃ,
πρὸ ἑσπέρας ἀπόδος, ἵν' ἔχῃ νύκτωρ ἀμπέχεσθαι, ἀφοριζόμενος δὲ
οὕτως, ὡς νῦν ἔχει· „ἔστι γὰρ τοῦτο περιβόλαιον αὐτῷ μόνον, τοῦτο τὸ
ἱμάτιον ἀσχημοσύνης αὐτοῦ· ἐν τίνι κοιμηθήσεται" (Exod. 22, 27);
102 (17.) ταῦτα μὲν δὴ καὶ τὰ τοιαῦτα πρὸς τοὺς τῆς ῥητῆς πραγματείας
σοφιστὰς καὶ λίαν τὰς ὀφρῦς ἀνεσπακότας εἰρήσθω, λέγωμεν δὲ ἡμεῖς
ἑπόμενοι τοῖς ἀλληγορίας νόμοις τὰ πρέποντα περὶ τούτων. φαμὲν
τοίνυν λόγου σύμβολον ἱμάτιον εἶναι. τάς τε γὰρ ἀπὸ κρυμοῦ καὶ θάλ-
πους εἰωθυίας τῷ σώματι κατασκήπτειν βλάβας ἐσθὴς ἀπωθεῖται καὶ
ἐπισκιάζει τὰ τῆς φύσεως ἀπόρρητα καὶ ἔστιν ἁρμόττων σώματι κόσμος
103 ἡ ἀμπεχόνη. κατὰ τὸ παραπλήσιον μέντοι καὶ ἀνθρώπῳ λόγος

1. 2 καὶ γὰρ — τοὺς om. F ἀπαμφίσκουσι G 2 οἴχοντας FH($P^{1}$) alt. δὲ] δὴ L μὴ om. F 3 ἡμέρα A 4 ἢ οὐ] ἢ οὖν $H^{1}$P, οἷον L 6 ποτὲ A διότι F 7 δὲ GFHP 8 δὲ GFHP 9 ἐστίν AGF: εἰσίν MHP τῶ λαβόντι transp. HP 10. 11 περιελεῖν ἀναστάντι καὶ (καὶ om. A) MA: πάλιν ceteri, πάλιν ἀναστάντι conicio 11 ἰδίω τρόπω A 12 βραδύτητος $L^{1}$, βραδύτερος $L^{2}$ προσαχθείη HP 13 ἐοικὸς G, ἔοικεν ante ἢ transpos. H 14 ἐνεχυριασθὲν A τοῦτ' ᾖ M: τουτὶ A, τοῦτο ᾖ ceteri 15 πρὸς AHP ἑσπέραν A ἀπόδοσ, tum ras. 2 litt. F; ἀπόδοσιν $L^{2}$ ἔχοι GFHP 16 post ἔχει vid. add. ἀποδώσεις αὐτῷ post prius τοῦτο add. τὸ GFHP τὸ A: om. ceteri 17 αὐτῶ GFHP 19 εἰρῆσθαι prius P, εἰρήσεω F λέγωμεν M: λέγομεν ceteri δὲ A: δὴ M, γὰρ ceteri 20 τοῖς] τοῖς τῆς A 21 τὸ ἱμάτιον P post ἀπὸ ras. 2—3 litt. G κρύους GFHP 22 εἰωθείας F κατασκήπτει A 23 ἐπισκιάζεται A ἁρμόττον A κόσμου F 24 ἡ om. GFHP ἀμπεχομένη A ἀνθρωπίνω G

δώρημα κάλλιστον ἐδόθη παρὰ θεοῦ, πρῶτον μὲν κατὰ τῶν νεωτεριζόντων εἰς αὐτὸν ὅπλον ἀμυντήριον — ὡς γὰρ τῶν ἄλλων ἕκαστον ζῴων ἡ φύσις οἰκείοις ἕρκεσιν ὠχύρωσε, δι' ὧν τοὺς ἐπιχειροῦντας ἀδικεῖν ἀποκρούσεται, καὶ ἀνθρώπῳ μέγιστον ἔρυμα καὶ φρουρὰν ἀκαθαίρετον λόγον δέδωκεν, οὗ κραταιῶς οἷα πανοπλίας ἐνειλημμένος οἰκεῖον καὶ προσφυέστατον ἕξει δορυφόρον· τούτῳ δὲ προαγωνιστῇ χρώμενος δυνήσεται τὰς ἀπὸ τῶν ἐχθρῶν ἐπιφερομένας ἀπωθεῖσθαι
ζημίας —, δεύτερον δὲ καὶ αἰσχύνης καὶ ὀνειδῶν ἀναγκαιότατον περί- 104
βλημα — δεινὸς γὰρ συγκρύψαι καὶ συσκιάσαι τὰς ἁμαρτίας τῶν ἀνθρώπων λόγος —, τρίτον δὲ πρὸς ὅλου τοῦ βίου κόσμον· ὁ γὰρ
βελτιῶν ἕκαστον καὶ πάντα ἄγων ἐπὶ τὸ κρεῖττον οὗτός ἐστιν. ἀλλὰ 105
γάρ εἰσι λῶβαί τινες καὶ κῆρες ἀνθρώπων, οἳ καὶ τὸν λόγον ἐνεχυράζουσιν ἀφαιρούμενοι τοὺς ἔχοντας καί, συναυξῆσαι δέον, ὅλον ὑποτέμνονται, καθάπερ οἱ τὰ τῶν πολεμίων δῃοῦντες χωρία καὶ τόν τε σῖτον καὶ τὸν ἄλλον καρπὸν φθείρειν ἐπιχειροῦντες, ὃς ἀφεθεὶς μεγάλη τοῖς
χρησαμένοις ἂν ὄνησις ἦν. πόλεμος οὖν ἐστιν ἐνίοις ἄσπονδος καὶ 106
ἀκήρυκτος πρὸς τὴν λογικὴν φύσιν, οἵτινες τὰς βλάστας αὐτῆς ἀποκείρουσιν ἐν χρῷ καὶ τὰς πρώτας ἐπιφύσεις ἐκθλίβουσιν, ἄγονον καὶ
στεῖραν, ὡς ἔπος εἰπεῖν, καλῶν ἐπιτηδευμάτων ἀπεργαζόμενοι. ὁρμῶ- 107
σαν γὰρ ἔστιν ὅτε πρὸς παιδείαν ἀκατασχέτῳ ῥύμῃ καὶ πληχθεῖσαν ἔρωτι τῶν φιλοσοφίας θεωρημάτων ὑπὸ βασκανίας καὶ φθόνου δείσαντες, μὴ μεγάλα πνεύσασα καὶ ἐπὶ μήκιστον ἀρθεῖσα τὰς γλισχρολογίας αὐτῶν καὶ πιθανὰς κατὰ τῆς ἀληθείας εὑρέσεις ἐπικλύσῃ χειμάρρου τρόπον, ἑτέρωσε ταῖς ἑαυτῶν κακοτεχνίαις τὴν φορὰν ἔτρεψαν, εἰς
p. 637 M. βαναύσους καὶ | ἀνελευθέρους τέχνας μετοχετευσάμενοι· πολλάκις δὲ καὶ

---

2 αὐτὸν om., ὅπλον bis habet F 3 οἰκείαις H[2] ἕρκεσιν MA: ἄλκεσιν GFH[1]P, ἀλκαῖς H[2] 3. 4 τοὺς χειρῶν ἄρχοντας ἀδίκων Oxon. Coll. Novi 143 4 ἀποκρούεσθαι GF 5 ἔδωκεν GFHP πανοπλία F ἀνειλημμένος GFH 6 post οἰκεῖον add. μὲν GFHP 7 ἀπὸ] ἐπὶ F φερομένας H 8 αἰσχῶν coni. Mang. 10 ὁ λόγος GFHP ὅλου FP (coni. Mang.): ὅλον ceteri 11 κρείττων F 12 κῆρες HP: κῆραι ceteri οἳ καὶ] αἳ MA 12. 13 ἐνεχυριάζουσιν AF 13 ἀφαιρούμεναι A 15 ὅς] ὃ F 16 χρησομένοις conicio ἐνίοις ἐστὶν GFHP 18 χρόνῳ GFHP τὰς om. A 19. 20 ὁρμώσης et πληχθείσης coni. Cohn 20 post παιδείαν add. τὴν ἱερὰν GFHP 21 τῶν] τῆς H[1]P, om. Mang. post φιλοσοφίας add. ἀληθοῦς GFHP ὑπὸ] ἢ τὰς A βασκάνου H 22 μεγάλη GFHP γλισχρολογίας MAP[2] (coni. Mang.): αἰσχρολογίας ceteri 23 πιθανὰς] ras. 2 litt., δεινὰς G εὑρέσεις ante κατὰ transpos. GFHP ἐπικλύσει A 24 ante ταῖς add. δὲ PH[1] αὐτῶν MA

ἀμβλώσαντες καὶ ἐπιφράξαντες ἀργὸν τὸ μεγαλοφυὲς κατέλιπον, ὥσπερ
βαθύγειον καὶ εὐδαίμονα γῆν ὀρφανῶν παίδων ἐπίτροποι κακοὶ χέρσον,
καὶ οὐκ ᾐδέσθησαν οἱ πάντων ἀνηλεέστατοι τὸ μόνον ἱμάτιον ἀνθρώ-
που περισυλῶντες, λόγον· „ἔστι“ γάρ φησι „τοῦτο περιβόλαιον αὐτῷ
108 μόνον“ (Exod. 22, 27). τί πλὴν ὁ λόγος; ὥσπερ γὰρ ἵππου τὸ χρε-
μετίζειν ἴδιον καὶ τὸ ὑλακτεῖν κυνὸς καὶ βοὸς τὸ μυκᾶσθαι καὶ τὸ
ὠρύεσθαι λέοντος, οὕτω καὶ ἀνθρώπου τὸ λέγειν καὶ αὐτὸς ὁ λόγος.
τοῦτον γὰρ ἔρυμα, περίβλημα, πανοπλίαν, τεῖχος τὸ ζῷον τὸ θεοφιλέστα-
109 τον, ὁ ἄνθρωπος, ἐκ πάντων ἴδιον κεχάρπωται. (18.) διὸ καὶ ἐπι-
φέρει· „τοῦτο τὸ ἱμάτιον αὐτὸ μόνον ἀσχημοσύνης αὐτοῦ“ (Exod. 22,
27). τίς ἄλλος γὰρ οὕτως τὰ ὀνείδη καὶ τὰ αἴσχη τοῦ βίου συσκιάζει
καὶ συγκρύπτει, ὡς λόγος; ἀμαθία μὲν γὰρ ἀλόγου φύσεως συγγενὲς
110 αἶσχος, παιδεία δὲ ἀδελφὸν λόγου, κόσμος οἰκεῖος. „ἐν τίνι οὖν κοι-
μηθήσεται“, τουτέστιν ἠρεμήσει καὶ διαναπαύσεται ἄνθρωπος, πλὴν
ἐν λόγῳ; λόγος γὰρ τὸ βαρυποτμότατον ἡμῶν γένος ἐπικουφίζει. ὥσπερ
οὖν τοὺς λύπαις ἢ φόβοις ἤ τισιν ἄλλοις κακοῖς πιεσθέντας εὐμένεια
καὶ συνήθεια καὶ δεξιότης φίλων πολλάκις ἐθεράπευσεν, οὕτως οὐ
πολλάκις ἀλλ' ἀεὶ τὸ βαρύτατον ἄχθος, ὅπερ ἐπιτιθέασιν ἡμῖν αἵ τε
τοῦ συνδέτου σώματος ἀνάγκαι καὶ αἱ τῶν ἔξωθεν κατασκηπτόντων
111 ἀπροόρατοι συντυχίαι, μόνος ὁ ἀλεξίκακος λόγος ἀπωθεῖται. φίλος γὰρ
καὶ γνώριμος καὶ συνήθης καὶ ἑταῖρος ἡμῖν ἐστιν, ἐνδεδεμένος, μᾶλλον
δὲ ἡρμοσμένος καὶ ἡνωμένος κόλλῃ τινὶ φύσεως ἀλύτῳ καὶ ἀοράτῳ. διὰ
τοῦτο καὶ προλέγει τὰ συνοίσοντα καὶ συμβάντος τινὸς ἀβουλήτου πάρεστιν
αὐτοκέλευστος βοηθήσων, οὐ τὴν ἑτέραν φέρων μόνον ὠφέλειαν, ἣν ὁ
112 μὴ δρῶν σύμβουλος ἢ ὁ συναγωνιστὴς ἥσυχος, ἀλλ' ἀμφοτέρας. οὐ γὰρ
ἡμίεργον ἐπιτετήδευκε δύναμιν, ἀλλὰ πᾶσι τοῖς μέρεσιν ὁλόκληρον· ὅς

---

3 ἀνηλέστατοι P 3. 4 ἀνθρώπου ἱμάτιον transpos. GFHP 4 περιαλόντες A 5 ὁ om. GFHP ὥσπερ MA: ὡς ceteri 7 οὕτως GFHP 8 τοῦτο L πανοπλία F prius τὸ om. GFHP, quo omisso fort. leg. ζῴων 10 τὸ MA: om. ceteri αὐτὸ M: αὐτῷ GFHP, om. A 11 ἄλλος Mang.: καλῶς codd., γὰρ ἄλλος conicio, nisi potius καλῶς secl. 12 ἀμαθεία G 14 ὁ ἄνθρωπος G 15 βαρυπονώτατον GFHP 16 γοῦν conicio τοὺς] ταῖς H 17 συνήθεια Mang.: συνέχεια codd. φίλου G[1] 18 ἀλλὰ εἰς τὸ MA αἰεὶ v τε om. GFHP 20 ἀνεξίκακος A 21 ἐνδεδυμένος G 22 κάλλει G ἀρρήκτῳ coni. Mang. 23 καὶ om. F ἀβουλήτω A 24 βοηθήσει A ἑτέρων MA μόνον φέρων transpos. GFHP 25 ἢ] ἣν A ὁ A (Mang.): ὁ μὴ ceteri ἀλλὰ F, ἀλλὰ καὶ G 26 μέλεσιν G

γε, κἂν σφαλῇ πείρας ἐν οἷς διανοεῖται ἢ ἔργῳ ἐπεξέρχεται, [ἢ] ἐπὶ
τὸ τρίτον ἀφικνεῖται βοήθημα, παρηγορίαν. φάρμακον γὰρ ὡς τραυ-
μάτων, καὶ ψυχῆς παθῶν ὁ λόγος ἐστὶ σωτήριον, ὃν „πρὸ δυσμῶν
ἡλίου“ φησὶ δεῖν ὁ νομοθέτης ἀποδοῦναι (Exod. 22, 26), τουτέστι
πρὶν τὰς τοῦ μεγίστου καὶ ἐπιφανεστάτου θεοῦ καταδῦναι περιλαμπεστά-
τας αὐγάς, ἃς δι' ἔλεον τοῦ γένους ἡμῶν εἰς νοῦν τὸν ἀνθρώπινον
οὐρανόθεν ἀποστέλλει. παραμένοντος γὰρ ἐν ψυχῇ τοῦ θεοειδεστάτου 113
καὶ ἀσωμάτου φωτὸς ἀποδώσομεν τὸν ἐνεχυρασθέντα λόγον, ὡς ἱμάτιον,
ἵν' ἐγγένηται τῷ λαβόντι τὸ ἴδιον ἀνθρώπου κτῆμα τήν τε αἰσχύνην
τοῦ βίου περιστεῖλαι καὶ τῆς θείας ἀπόνασθαι δωρεᾶς καὶ μετ' ἠρεμίας
p. 638 M. ἀναπαύσασθαι παρουσίᾳ τοιούτου συμβούλου | καὶ προασπιστοῦ τάξιν
ἣν ἐτάχθη μηδέποτε λείψοντος. ἕως οὖν ἔτι σοι τὸ ἱερὸν φέγγος ὁ 114
θεὸς ἀκτινοβολεῖ, σπούδασον ἐν ἡμέρᾳ τὸ ῥύσιον ἀποδοῦναι τῷ κυρίῳ·
δύντος γάρ, ὡς πᾶσα Αἴγυπτος (Exod. 10, 21), ψηλαφητὸν ἕξεις σκότος
τὸν αἰῶνα καὶ πληχθεὶς ἀορασίᾳ καὶ ἀγνοίᾳ, ὧν ἐδόκεις ἐπικρατεῖν
πάντων ἀφαιρεθήσῃ, πρὸς τοῦ βλέποντος Ἰσραήλ, ὃν ἐρρυσίαζες ἀδού-
λωτον ὄντα φύσει, δουλούμενος ἀνάγκῃ. (19). τοῦτον δὴ τὸν δόλιχον 115
ἀπεμηκύναμεν οὐκ ἄλλου του χάριν ἢ τοῦ διδάξαι, ὅτι ἡ ἀσκητικὴ
διάνοια κινήσεσιν ἀνωμάλοις πρός τε εὐφορίαν καὶ τοὐναντίον χρωμένη
καὶ τρόπον τινὰ ἀνιοῦσα καὶ κατιοῦσα συνεχῶς, ὅταν μὲν εὐφορῇ καὶ
πρὸς τὸ ὕψος αἴρηται, ταῖς ἀρχετύποις καὶ ἀσωμάτοις ἀκτῖσι τῆς λογι-
κῆς πηγῆς τοῦ τελεσφόρου θεοῦ περιλάμπεται, ὅταν δὲ καταβαίνῃ καὶ
ἀφορῇ, ταῖς ἐκείνων εἰκόσιν, ἀθανάτοις λόγοις, οὓς καλεῖν ἔθος ἀγγέ-
λους. διὸ καὶ νῦν φησιν· „ἀπήντησε τόπῳ· ἔδυ γὰρ ὁ ἥλιος“ 116
(Gen. 28, 11). ὅταν γὰρ τὴν ψυχὴν ἀπολίπωσιν αἱ τοῦ θεοῦ αὐγαί,
δι' ὧν σαφέσταται αἱ τῶν πραγμάτων γίνονται καταλήψεις, ἀνατέλλει

1 κἂν] καὶ G σφαλεῖ G ἔργων G ἢ secl. Mang. 2 τὸ om. AP γὰρ om. P 3 πρὸς F(H[1]) 4 δεῖν ὁ νομοθέτης GFHP: Μωυσῆς (Μωσῆς A) δεῖν MA 5 post μεγίστου add. ἡλίου MA 6 ἡμῶν om. L ἄνθρωπον G 7 οὐρανὸν GFP, νοῦν H, sed rursus del. 8 καὶ ἀσωμάτου om. GFHP ἐνεχυριασθέντα A 9 ἵνα GFHP 11 παρουσίᾳ om. A τοῦ τοιούτου AF συμβόλου GP 12 λείψαντος AP, λήψαντος G 14 δύναντος P[2], δυνατός A (corr. Hoesch.) πᾶσαν P ἀψηλάφητον A ἕξεις AH[2]: ἕξει ceteri 15. 16 πάντων ἀποκρατεῖν GFHP 16 ἀφαιρήσει MA ἐρρυσίαζεις G: ἐρυσίαζες ceteri 18 του] δὴ GFH[2], δεῖν P(H[1]) 20 καὶ κατιοῦσα om. L 21 τὸ om. GFHP 22 πηγῆς] αὐγῆς coni. Mang. 23 ἀφορᾶ MAP[2] εἰκότι H[2], κινήσεσιν Turn. 24 ὑπήντησε v 26 αἱ τῶν — καταλήψεις om. A

τὸ δεύτερον καὶ ἀσθενέστερον λόγων, οὐκέτι πραγμάτων, φέγγος,
καθάπερ καὶ ἐν τῷδε τῷ κόσμῳ· σελήνη γὰρ τὰ δευτερεῖα ἡλίου
φερομένη καταδύντος ἐκείνου φῶς ἀμυδρότερον ἐπὶ τὴν γῆν ἀποστέλλει.
117 καὶ τὸ ὑπαντᾶν μέντοι τόπῳ ἢ λόγῳ τοῖς μὴ δυναμένοις τὸν πρὸ
τόπου καὶ λόγου θεὸν ἰδεῖν αὐταρκεστάτη δωρεά, διότι τὴν ψυχὴν
ἀφώτιστον εἰσάπαν οὐκ ἔσχον, ἀλλ' ἐπειδὴ τὸ ἄκρατον ἐκεῖνο φέγγος
ἀπ' αὐτῶν ἔδυ, τὸ κεκραμένον ἐκαρπώσαντο. „τοῖς γὰρ υἱοῖς 'Ισραὴλ
φῶς ἦν ἐν πᾶσιν οἷς κατεγίνοντο“, φησὶν ἐν 'Εξαγωγῇ (10, 23), ὡς
νύκτα καὶ σκότος ἀεὶ πεφυγαδεῦσθαι, μεθ' ὧν οἱ τὰ ψυχῆς ὄμματα
πρὸ τῶν σώματος πεπηρωμένοι ζῶσιν, ἀρετῆς αὐγὰς οὐκ εἰδότες.
118 ἔνιοι δὲ ἥλιον μὲν ὑποτοπήσαντες εἰρῆσθαι νυνὶ συμβολικῶς αἴσθησίν
τε καὶ νοῦν, τὰ νενομισμένα καθ' ἡμᾶς αὐτοὺς εἶναι κριτήρια, τόπον
δὲ τὸν θεῖον λόγον, οὕτως ἐξεδέξαντο· ἀπήντησεν ὁ ἀσκητὴς λόγῳ
119 θείῳ δύντος τοῦ θνητοῦ καὶ ἀνθρωπίνου φέγγους. ἄχρι μὲν γὰρ ὁ
νοῦς τὰ νοητὰ καὶ τὰ αἰσθητὰ αἴσθησις οἴεται παγίως καταλαμβάνειν
καὶ ἄνω περιπολεῖν, μακρὰν ὁ θεῖος λόγος ἀφέστηκεν· ἐπειδὰν δ'
ἑκάτερον ἀσθένειαν ὁμολογήσῃ τὴν ἑαυτοῦ καὶ τρόπον τινὰ καταδύσει
χρησάμενον ἀποκρυφθῇ, προϋπαντᾷ δεξιούμενος εὐθὺς ὁ ἔφεδρος
ἀσκητικῆς ψυχῆς ὀρθὸς λόγος ἑαυτὴν | μὲν ἀπογινωσκούσης, τὸν δὲ p. 639 M.
ἐπιφοιτῶντα ἔξωθεν ἀφανῶς ἀναμενούσης.
120 (20.) Φησὶ τοίνυν ἑξῆς ὅτι „ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου
καὶ ἔθηκε πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ"
(Gen. 28, 11). θαυμάσαι ἄν τις οὐ μόνον τὴν ἐν ὑπονοίαις πραγματείαν καὶ φυσιολογίαν αὐτοῦ, ἀλλὰ καὶ τὴν ῥητὴν πρὸς πόνου καὶ
121 καρτερίας μελέτην ὑφήγησιν. οὐ γὰρ ἀξιοῖ τὸν ἀρετῆς ἐπιμελούμενον
ἁβροδιαίτῳ βίῳ χρῆσθαι καὶ τρυφᾶν ζηλοῦντα τὰς τῶν λεγομένων μὲν
εὐδαιμόνων πρὸς ἀλήθειαν δὲ κακοδαιμονίας γεμόντων σπουδάς τε καὶ

---

1 λόγος ut vid. $G^{2}$ 2 τῶδε τῶ $MAG^{2}$: τῶ δεκάτω $F(G^{1})$, τῶ δὲ (tum τῶ add. $H^{2}$) κάτω $H^{1}P$, sed δὲ rursus del. P 3 ἐπὶ γῆς GFHP 4 τὸ] τὸν P τὸν om. A 8 ἦν ante φῶς hab. A, om. G ἐξόδω GFHP 9 τὰ] τὰ τῆς F 10 πεπυρωμένοι A 11 δὲ] μὲν F 13 τὸ F 14 δύναντος GFHP ἄχρις F 14. 15 ὁ νοῦς MA: οὐρανοῦ ceteri, οὗ ὁ νοῦς Mang. 15 νοητὰ καὶ τὰ om. MA καὶ τὰ om. L καὶ Mang: ἢ GFHP αἰσθήσει MA 17 ἑκάτερος A καταδύση HP 18 χρησάμενος AG ἀποκρυφῆ GFHP προσυπαντᾶ L ὁ om. FHP φαιδρὸς G 19 ἀσκητὴς ὁ ὀρθὸς GFHP ἑαυτῆς A 24 post ῥητὴν add. ἢ GF, ἡ $P(H^{1})$ πόνους $A(G^{1}?)$, πόνον Turn. 25 τὸν] τῆς F 26 βίῳ om. A (add. Hoesch.)

φιλοτιμίας, οἷς πᾶς ὁ βίος ὕπνος καὶ ἐνύπνιόν ἐστι κατὰ τὸν ἱερώτατον
νομοθέτην. οὗτοι μεθ' ἡμέραν, ὅταν τὰ ἐν δικαστηρίοις καὶ βουλευ- 122
τηρίοις καὶ θεάτροις καὶ πανταχοῦ πρὸς τοὺς ἄλλους ἀδικήματα διεξέλ-
θωσιν, οἴκαδε ἀφικνοῦνται τὸν ἑαυτῶν οἶκον, οἱ δυστυχεῖς, καταστρέ-
ψοντες, οὐ τὸν τῶν οἰκοδομημάτων, ἀλλὰ τὸν συμφυᾶ τῆς ψυχῆς οἶκον,
τὸ σῶμα, τροφὰς ἀμέτρους καὶ ἐπαλλήλους εἰσφέροντες καὶ πολὺν
ἄκρατον ἄρδοντες, ἕως ⟨ἂν⟩ βύθιος μὲν ὁ λογισμὸς οἴχηται, τὰ δ' ὑπὸ
γαστέρα πλησμονῆς ἔκγονα πάθη διαναστάντα, λύττῃ χρώμενα ἀκα-
θέκτῳ, προσπεσόντα καὶ ἐμπλακέντα τοῖς ἐπιτυχοῦσι, τὸν πολὺν οἶστρον
ἀπερυγόντα λωφήσῃ. νύκτωρ δέ, ὁπότε καιρὸς εἴη πρὸς κοῖτον τρα- 123
πέσθαι, πολυτελεῖς κλίνας καὶ εὐανθεστάτας στρωμνὰς εὐτρεπισάμενοι
μαλακῶς σφόδρα κατακλίνονται, τὴν γυναικῶν ἐκμιμούμενοι τρυφήν,
αἷς ἡ φύσις ἐπέτρεψεν ἀνειμένῃ χρῆσθαι διαίτῃ, παρὸ καὶ τὸ σῶμα
τοῦ μαλθακωτέρου κόμματος ὁ τεχνίτης καὶ ποιητὴς αὐταῖς εἰργάζετο.
τοιοῦτος οὐδεὶς γνώριμος τοῦ ἱεροῦ λόγου, ἀλλ' οἱ πρὸς ἀλήθειαν 124
ἄνδρες, σωφροσύνης καὶ κοσμιότητος καὶ αἰδοῦς ἐρασταί, ἐγκράτειαν,
ὀλιγοδείαν, καρτερίαν ὥσπερ κρηπῖδάς τινας ὅλου τοῦ βίου καταβεβλη-
μένοι, ψυχῆς ἀσφαλεῖς ὑποδρόμους, οἷς ἀκινδύνως καὶ βεβαίως ἐνορμιεῖται,
χρημάτων καὶ ἡδονῆς καὶ δόξης κρείττους, σιτίων καὶ ποτῶν καὶ αὐτὸ
μόνον τῶν ἀναγκαίων, ἐφ' ὅσον μὴ νεωτερίζειν ἄρχεται λιμός, ὑπερόπται,
πεῖναν δέχεσθαι καὶ δίψαν θάλπος τε καὶ κρύος καὶ ὅσα ἄλλα δυσκαρ-
τέρητα ὑπὲρ ἀρετῆς κτήσεως ἑτοιμότατοι, ζηλωταὶ τῶν εὐποριστοτά-
των, ὡς μηδ' ἐπ' εὐτελεῖ χλαίνῃ ποτὲ δυσωπηθῆναι, τοὐναντίον δὲ τὰς
πολυτελεῖς ὄνειδος καὶ μεγάλην τοῦ βίου ζημίαν νομίσαι. τούτοις πολυ- 125

---

2 νομοθέτην GFHP: Μωυσῆν MA    2. 3 καὶ βουλευτηρίοις om. G    3 πρὸς] καὶ πρὸς GFH[2]    3. 4 πρὸς—ἑαυτῶν om. HP, add. in mg. H[2]P[2], H[2] etiam priora inde a lin. 2 αν ὅταν.    4 τὸν] τῶν P    ἑαυτὸν A    4. 5 καταστρέψοντες H: ἐπιστρέψοντες ceteri    6 τρυφὰς GFL[2]    εἰσφοροῦντες GFHP    7 ἕως] ἕως οὗ HP    ἂν addidi    οἴχεται P
8 διαστάντα L    δρώμενα A    8. 9 post ἀκαθέκτῳ add. καὶ GFHP
9 ἐμπεσόντα F    συμπλακέντα H    10 ἀπερυγόντα scripsi: ἀπερύγοντα GFHP, ἀπερύκοντα MAP[2], ἀπερεύγοντα vel ἐπαπερυγόντα coni. Mang.    δέ om. GFH[1]P    κοίτην A    12 ἐκμιμουμένη A    15 οὐδὲ εἷς GFHP    τοῦ ἱεροῦ λόγου GFHP: ἐστι Μωυσέως (Μωυσέος A) MA    17 ὀλιγοδέειαν MHP
18 ἱπποδρόμους A (corr. Hoesch.)    οἷς] οὓς F    18 ἐνορμεῖται G
19 postremum καὶ om. GHP, πλὴν conicio    20 λιμοῦ MAP[2]    20. 21 ὑπερόπται καὶ δείψαν L (δίψης Turn.)    21 δέχεσθαι om. GFHP    δίψος MA    θάλπους τε καὶ κρύους Turn.    κρυμὸν A, fort. recte (cf. § 102)    22 ἑτοιμότατοι om. H[1]P    22. 23 εὐποριστάτων GFP    24 μεγάλην] ζάλην A (corr. Hoesch.)

τελής μέν ἐστι κλίνη μαλακὸν ἔδαφος, στρωμνὴ δὲ θάμνοι, πόαι, βοτάναι, φύλλων πολλὴ χύσις, τὰ δὲ πρὸς κεφαλῆς λίθοι τινὲς ἢ βραχεῖς γεώλοφοι τοῦ ἰσοπέδου | μικρὸν ἀνέχοντες. τὸν βίον τοῦτον p. 640 M.
οἱ μὲν τρυφῶντες σκληροδίαιτον καλοῦσιν, οἱ δὲ πρὸς καλοκἀγαθίαν ζῶντες ἥδιστον ὀνομάζουσιν· ἀνδράσι γὰρ οὐ λεγομένοις ἀλλ' οὖσιν ὄντως

126 ἐφαρμόζει. οὐχ ὁρᾷς, ὅτι καὶ νῦν βασιλικαῖς ὕλαις καὶ παρασκευαῖς περιουσιάζοντα τὸν ἀθλητὴν τῶν καλῶν ἐπιτηδευμάτων εἰσάγει χαμευνοῦντα καὶ λίθῳ προσκεφαλαίῳ χρώμενον καὶ μικρὸν ὕστερον ἐν ταῖς εὐχαῖς ἄρτον καὶ ἱμάτιον, τὸν φύσεως πλοῦτον, αἰτούμενον (Gen. 28, 20), ἐπειδὴ τὸν ἐν ταῖς κεναῖς δόξαις ἐχλεύαζεν ἀεὶ καὶ τοὺς θαυμαστικῶς ἔχοντας αὐτοῦ κατεκερτόμει; οὗτός ἐστι παράδειγμα ἀρχέτυπον ἀσκητι-

127 κῆς ψυχῆς, ἐκτεθηλυσμένῳ καὶ ἀνδρογύνῳ παντὶ πολέμιος. (21.) ὁ μὲν οὖν ⟨τοῦ⟩ φιλοπόνου καὶ φιλαρέτου πρόχειρος ἔπαινος εἴρηται, τὸ δὲ κατὰ σύμβολον μηνυόμενον ἐρευνητέον. εἰδέναι δὲ νῦν προσήκει, ὅτι ὁ θεῖος τόπος καὶ ἡ ἱερὰ χώρα πλήρης ἀσωμάτων ἐστὶ λόγων·

128 ψυχαὶ δ' εἰσὶν ἀθάνατοι οἱ λόγοι οὗτοι. τούτων δὴ τῶν λόγων ἕνα λαβών, ἀριστίνδην ἐπιλεγόμενος τὸν ἀνωτάτω καὶ ὡσανεὶ σώματος ἡνωμένου κεφαλὴν πλησίον ἱδρύεται διανοίας τῆς ἑαυτοῦ (Gen. 28, 11)· καὶ γὰρ αὕτη τρόπον τινὰ τῆς ψυχῆς ἐστι κεφαλή. ποιεῖ δὲ τοῦτο πρόφασιν μὲν ὡς κοιμησόμενος, τὸ δ' ἀληθὲς ὡς ἀναπαυσόμενος ἐπὶ λόγῳ θείῳ καὶ σύμπαντα ἑαυτοῦ τὸν βίον κουφότατον ἄχθος ἐπαναθή-

129 σων ἐκείνῳ. ὁ δὲ ἄσμενος ἐπακούει καὶ δέχεται τὸν ἀθλητὴν ὡς φοιτητὴν ἐσόμενον τὸ πρῶτον, εἶθ' ὅταν αὐτοῦ τὴν ἐπιτηδειότητα τῆς φύσεως ἀποδέξηται, χειροτονεῖ τρόπον ἀλείπτου καὶ πρὸς τὰ γυμνάσια καλεῖ, καὶ διερειδόμενος παλαίειν ἀναγκάζει, μέχρις ἂν ἀνανταγώνιστον

---

1 ὁμαλὸν coni. Mang. στρωμνοὶ F δὲ om. MA 2 βοτάναι post χύσις transpos. HP πολλῶν HP κεφαλῆς A (coni. Mang.): κεφα (λ superscr.) F, κεφαλὴν ceteri (cf. § 4) 3 μικρὸν] λοιμικὴ (corr. Hoesch.) 4 τρυφῶντε F 5 νομίζουσιν coni. Mang. ἀλλὰ GFHP οὕτως A, οὗτος M 6 ἐφαρμόζειν FHP, ἐφαρμόζων Turn. αὐλαῖς MA 10 ἐχλεύαζεν H: ἐχλεύασαν A, ἐχλεύασεν ceteri 12 ἐκτεθηλυσμένος A (corr. Hoesch.), ἐκτεθηλυμένῳ HP καὶ ἀνδρογύνῳ MAP$^{2}$: om. ceteri πόλεμος A 13 τοῦ addidi τὸ scripsi: τὸν codd. 14 κατὰ] τὸ A ἑρμηνευτέον G εἴ γε καὶ νῦν A 15 λόγων om. GFHP 16 δέ GFHP 17 ἐπιλεγόμενον AF 17. 18 σώματι ἡνωμένον A 18 κεφαλὴν Turn.: κεφαλῆς codd. πλουσίου A (corr. Hoesch.) τῆς om. P 19 τοῦτο om. GFHP 20 κοιμηθησόμενος GFHP 22 ὑπακούει GFHP 23 εἶτα GFHP 24 χειροθετεῖ coni. Wyttenbach ad Plut. Mor. p. 585, συγκροτεῖ Mang., fort. recte 25 ἂν om. G$^{1}$FHP ἀνταγώνιστον AG$^{1}$

αὐτῷ ῥώμην ἐγκατασκευάσῃ, τὰ ὦτα θείαις ἐπιπνοίαις μεταβαλὼν εἰς
ὄμματα καὶ καλέσας αὐτὸν μεταχαραχθέντα καινὸν τύπον Ἰσραήλ,
ὁρῶντα. τότε καὶ τὸν νικητήριον ἐπιτίθησιν αὐτῷ στέφανον. ὁ δὲ 130
στέφανος ἔκτοπον ἔχει καὶ ξένον καὶ ἴσως οὐκ εὔφημον ὄνομα· καλεῖται
γὰρ ὑπὸ τοῦ ἀγωνοθέτου νάρκα. λέγεται γὰρ ὅτι „ἐνάρκησε τὸ πλάτος“
(Gen. 32, 25), βραβείων καὶ κηρυγμάτων καὶ τῶν ἐν τιμαῖς ἁπάντων
θαυμασιώτατον ἀριστεῖον· εἰ γὰρ ἡ δυνάμεως ἀκαθαιρέτου ψυχὴ 131
μεταλαβοῦσα καὶ τελειωθεῖσα ἐν ἄθλοις ἀρετῶν καὶ ἐπὶ τὸν ὅρον αὐτὸν
ἀφικομένη τοῦ καλοῦ μὴ πρὸς ὕψος ὑπὸ μεγαλαυχίας ἀρθείη μηδ'
ἀκροβατοῦσα ἐπικομπάζοι, ὡς ἀρτίοις ποσὶ μακρὰ βαίνειν δυναμένη,
p. 641 M. ναρκήσειε δὲ καὶ | σταλείη τὸ εὐρυνθὲν οἰήσει πλάτος, εἶθ' ἑκουσίως
ὑποσκελίσασα ἑαυτὴν χωλεύοι, τῶν ἀσωμάτων ὅπως ὑστερίζοι
φύσεων, ἡττᾶσθαι δοκοῦσα νικηφορήσει. τὸ γὰρ πρεσβείων ἐξί- 132
στασθαι γνώμῃ μᾶλλον ⟨ἢ⟩ ἀνάγκῃ τοῖς ἀμείνοσιν λυσιτελέστατον
νενόμισται, ἐπεὶ καὶ τὰ δευτερεῖα τῶν ἐν τῷδε τῷ ἀγῶνι τιθεμένων
ἄθλων τὰ πρῶτα τῶν ἐν ἑτέροις ἀξιώματος μεγέθει πλεῖστον ὅσον
ὑπερβάλλει.

(22.) Τὸ μὲν δὴ προοίμιον τῆς θεοπέμπτου φαντασίας ὧδ' ἔχει, 133
τρέπεσθαι δ' ἐπ' αὐτὴν καιρὸς ἤδη καὶ τῶν ἐμφερομένων ἀκριβοῦν

---

1 κατασκευάσῃ A, ἐγκατασκευάσει HP    ἐπιπνοίαις Mang.: ἐπινοίαις codd. μεταβάλλων GFHP    2 αὐτὸν MAP²: τὸν ceteri    κοινὸν GFHP    3 τὸν ὁρῶντα FHP    τὸν] τὸ P    4 ἔκτυπον A (corr. Hoesch.)    6 βραχιόνων A (corr. Hoesch.)    7 θαυμασιωτάτων HP    ἀριστειῶν H, ἀρετῶν Turn.    εἰ] ἡ H    ἡ om. H    8 μεταλαχοῦσα GFHP    ἀρετῶν ἄθλοις HP    αὐτῶν G    9 ἀφικομένη MA (coni. Mang.): ἐφικομένη FHP, ἐφελκομένη G    10 ἄκροις coni. Mang.    μακρὰν P    δυναμένη GFHP: ἀεὶ δυνησομένην MA    11 ναρκήσειε scripsi: ναρκήσει MA, e corr. G, νάρκησε F, ναρκήσοι HP    εὐρυσθὲν GFH¹P, εὐρυθὲν A    εἶθ'] εἰ δ' A    12 ὑποσκελίσασθαι G    ὑστερίζουσα v    13 νικήσει HP, νικήσῃ Turn., νικηφορήσοι Mang.    13—18 νικηφορήσει — τῆς in mg. add. G    14 ἢ add. Mang.    λυσιτελέστατον scripsi: οἷς (spatium in A, οἷς add. man. rec.) εὐτελέστατον codd., οἷς (ὡς coni. Mang.) ἐντελέστατον v    16 τῶν] τοῦ in ras. A    ἑτέρῳ A, sed ω in ras.    ἀξιωμάτων FL²    18 ἔχοι GFHP, sed ἔχει prius P    19 αὐτὸν F

---

5 sqq. *Ambros. de fuga saeculi 4, 22:* unde et iactantiam carnis eius recidit, quod significat femoris stupor salva sacri interpretatione mysterii.

ἕκαστον. „ἐνυπνιάσθη“ φησί „καὶ ἰδοὺ κλῖμαξ ἐστηριγμένη ἐν τῇ γῇ,
ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν, καὶ οἱ ἄγγελοι τοῦ θεοῦ
ἀνέβαινον καὶ κατέβαινον ἐπ' αὐτῆς· ὁ δὲ κύριος ἐπεστήρικτο ἐπ' αὐτῆς“
134 (Gen. 28, 12. 13). κλῖμαξ τοίνυν ἐν μὲν τῷ κόσμῳ συμβολικῶς λέγε-
ται ὁ ἀήρ, οὗ βάσις μέν ἐστι γῆ, κορυφὴ δ' οὐρανός· ἀπὸ γὰρ τῆς
σεληνιακῆς σφαίρας, ἣν ἐσχάτην μὲν τῶν κατ' οὐρανὸν κύκλων, πρώ-
την δὲ τῶν πρὸς ἡμᾶς ἀναγράφουσιν οἱ φροντισταὶ τῶν μετεώρων,
135 ἄχρι γῆς ἐσχάτης ὁ ἀὴρ πάντῃ ταθεὶς ἔφθακεν. οὗτος δ' ἐστὶ
ψυχῶν ἀσωμάτων οἶκος, ἐπειδὴ πάντα τῷ ποιητῇ τὰ τοῦ κόσμου
μέρη καλὸν ἔδοξεν εἶναι ζῴων ἀναπληρῶσαι. διὰ τοῦτο γῇ μὲν τὰ
χερσαῖα ἐγκατεσκεύαζε, θαλάτταις δὲ καὶ ποταμοῖς τὰ ἔνυδρα, οὐρανῷ
δὲ τοὺς ἀστέρας — καὶ γὰρ ἕκαστος τούτων οὐ μόνον ζῷον, ἀλλὰ καὶ
νοῦς ὅλος δι' ὅλων ὁ καθαρώτατος εἶναι λέγεται —· ὥστε καὶ ἐν τῷ
λοιπῷ τμήματι τοῦ παντός, ἀέρι, ζῷα γέγονεν. εἰ δὲ μὴ αἰσθήσει
136 καταληπτά, τί τοῦτο; καὶ ψυχὴ γὰρ ἀόρατον. καὶ μὴν εἰκός γε ἀέρα
γῆς μᾶλλον καὶ ὕδατος ζῳοτροφεῖν, διότι καὶ τὰ ἐν ἐκείνοις οὗτος
ἐψύχωσεν· ἐποίει γὰρ αὐτὸν ὁ τεχνίτης ἀκινήτων μὲν σωμάτων ἕξιν,
κινουμένων δὲ ἀφαντάστως φύσιν, ἤδη δὲ ὁρμῇ καὶ φαντασίᾳ χρῆσθαι
137 δυναμένων ψυχήν. οὐκ ἄτοπον οὖν, δι' οὗ τὰ ἄλλα ἐψυχώθη, ψυχῶν
ἀμοιρεῖν; διὸ μηδεὶς τὴν ἀρίστην φύσιν ζῴων τοῦ ἀρίστου τῶν περι-
γείων, ἀέρος, ἀφαιρείσθω· οὐ γὰρ μόνος ἐκ πάντων ἔρημος οὗτος, ἀλλ'
οἷα πόλις εὐανδρεῖ πολίτας ἀφθάρτους καὶ ἀθανάτους ψυχὰς ἔχων
138 ἰσαρίθμους ἄστροις. τούτων τῶν ψυχῶν αἱ μὲν κατίασιν ἐνδεθησόμεναι

1 καὶ ante ἐνυπνιάσθη add. H    ἠνυπνιάσθη GP    φησί MA: φησὶν οὖν ceteri    ἐν τῇ γῇ scripsi (cf. § 3. 144): εἰς τὴν γῆν GFHP, om. MA    3 ὁ δὲ — αὐτῆς (αὐτῇ M) MA: om. ceteri    4 τῷ MA: τῷ λεγομένῳ ceteri    4. 5 λέγεται συμβολικῶς GFP, λέγεται om. H    5 ὁ om. GFHP, sed G μὲν scripsit, tum rursus del.    κορυφὴ] κεφαλὴ H    δὲ GFHP    ὁ οὐρανός M    7 τῶν Turn.: τοῖς codd. (τῆς G)    8 γῆς GFHP: τῆς MA    ὁ om. F    δέ ἐστι GFHP    10 ἀναπλῆσαι GFHP    11 ἐγκατεσκεύασε GFP, ἐγκατεσκεύασται H    θαλάττῃ GFHP    ποταμοὶ F    12 ἕκαστον HP    ζώων G    13 ὅλος] ὅλων P'    ὁ vid. secl.    14 ἀέρος F    γεγονέναι ⟨ἀναγκαῖον⟩ conicio    16 διὰ τί; ὅτι GFHP    ἐν om. $H^1P^1$    οὕτως F    17 μὲν om. P    18 ἀφαντάστως — δὲ om. G    φύσεων A    ἤδη] ἔτι coni. Mang.    χρᾶσθαι F    19 καὶ post οὗ add. GFHP, fort. recte (cf. lin. 16)    20. 21 περιγείων] στοιχείων coni. Cohn    21 ἀφαιρεῖσθαι A    μόνον H    22 εὐανδρεῖ GFH: εὐανδρὴς A, εὔανδρος MP    ἔχων ψυχὰς GFHP    23—235,7 ἰσαρίθμους — αἰῶνα om. MA

1 sqq. cf. Origenem Contra Celsum VI 21 (Proleg. vol. I p. LXXXXVII).

σώμασι θνητοῖς, ὅσαι προσγειότατοι καὶ φιλοσώματοι, αἱ δ' ἀνέρχονται,
διακριθεῖσαι πάλιν κατὰ τοὺς ὑπὸ φύσεως ὁρισθέντας ἀριθμοὺς καὶ
p. 642 M. χρόνους. τούτων αἱ μὲν τὰ σύντροφα καὶ συνήθη τοῦ | θνητοῦ βίου 139
ποθοῦσαι παλινδρομοῦσιν αὖθις, αἱ δὲ πολλὴν φλυαρίαν αὐτοῦ κατα-
γνοῦσαι δεσμωτήριον μὲν καὶ τύμβον ἐκάλεσαν τὸ σῶμα, φυγοῦσαι δ'
ὥσπερ ἐξ εἱρκτῆς ἢ μνήματος ἄνω κούφοις πτεροῖς πρὸς αἰθέρα ἐξαρ-
θεῖσαι μετεωροπολοῦσι τὸν αἰῶνα. ἄλλαι δ' εἰσὶ καθαρώταται καὶ 140
ἄρισται, μειζόνων φρονημάτων καὶ θειοτέρων ἐπιλαχοῦσαι, μηδενὸς μὲν
τῶν περιγείων ποτὲ ὀρεχθεῖσαι τὸ παράπαν, ὕπαρχοι δὲ τοῦ πανηγε-
μόνος, ὥσπερ μεγάλου βασιλέως ἀκοαὶ καὶ ὄψεις, ἐφορῶσαι πάντα καὶ
ἀκούουσαι. ταύτας δαίμονας μὲν οἱ ἄλλοι φιλόσοφοι, ὁ δὲ ἱερὸς λόγος 141
ἀγγέλους εἴωθε καλεῖν προσφυεστέρῳ χρώμενος ὀνόματι· καὶ γὰρ τὰς
τοῦ πατρὸς ἐπικελεύσεις τοῖς ἐγγόνοις καὶ τὰς τῶν ἐγγόνων χρείας τῷ
πατρὶ διαγγέλλουσι. παρὸ καὶ ἀνερχομένους αὐτοὺς καὶ κατιόντας 142
εἰσήγαγεν, οὐχ ἐπειδὴ τῶν μηνυσόντων ὁ πάντῃ ἐφθακὼς θεὸς δεῖται,
ἀλλ' ὅτι τοῖς ἐπικήροις ἡμῖν συνέφερε μεσίταις καὶ διαιτηταῖς λόγοις
χρῆσθαι διὰ τὸ τεθηπέναι καὶ πεφρικέναι τὸν παμπρύτανιν καὶ τὸ
μέγιστον ἀρχῆς αὐτοῦ κράτος. οὗ λαβόντες ἔννοιαν ἐδεήθημέν ποτέ 143
τινος τῶν μεσιτῶν λέγοντες· „λάλησον σὺ ἡμῖν, καὶ μὴ λαλείτω πρὸς
ἡμᾶς ὁ θεός, μή ποτε ἀποθάνωμεν“ (Exod. 20, 19). οὐ γὰρ ὅτι κολά-
σεις, ἀλλ' οὐδ' ὑπερβαλλούσας καὶ ἀκράτους εὐεργεσίας χωρῆσαι δυνά-
μεθα, ἃς ἂν αὐτὸς προτείνῃ δι' ἑαυτοῦ μὴ χρώμενος ὑπηρέταις ἄλλοις.
παγκάλως δὲ ἐστηριγμένον ἐν τῇ γῇ διὰ συμβόλου κλίμακος φαντασι- 144
οῦται τὸν ἀέρα· τὰς γὰρ ἀναδιδομένας ἐκ γῆς ἀναθυμιάσεις λεπτυνομέ-

---

2 διακριθεῖσαι om. F ἀριθμοὺς] ὁρισμοὺς FL² 3 θνητοῦ om. PL 9 ἐπιγείων A 10 post ὥσπερ add. γὰρ G ἀκοαὶ] ὀφθαλμοὶ H² ὄψεις MA: ὦτα ceteri ἀφορῶσαι GFHP 11 ὁ δὲ ἱερὸς λόγος GFHP: Μωυσῆς (Μωσῆς A) δ' MA 12 ὁρώμενος A 13 ἐπι-κλήσεις G ἐκγόνοις GFHP ἐκγόνων GFHP 14 αὐτοὺς post κατιόντας transpos. GHP 15 πάντῃ scripsi: πάντα codd., ἐπὶ πάντα coni. Cohn. post ἐφθακὼς add. εἰδέναι GFHP δεῖται θεός GFHP 16 παραιτηταῖς coni. Mang. 17 περιφρικέναι H 18 ἀρχῆς om. A αὐτοκρατοῦς οὐ λαβόντες G 19 μέσων GFHP σὺ om. GFHP 20 ποτε om. GFHP θεοῦ γὰρ ⟨οὐχ⟩ ὅτι conicio 21 οὐδὲ GFHP 22 ἃς] ὡς F 23 δ' GFHP ἐστηριγμένος GFHP συμβόλων A post κλίμακος add. ὁ (καὶ pro ὁ Fv) δονούμενος GFHP, quod dittographia vocis ἀναδιδομένας videtur, οὐ δονούμενον coni. Mang.

---

10 cf. Xen. Cyrop. VIII 2,10 τοὺς βασιλέως καλουμένους ὀφθαλμοὺς καὶ τὰ βασιλέως ὦτα.

νας ἐξαεροῦσθαι συμβέβηκεν, ὥστε βάσιν μὲν καὶ ῥίζαν ἀέρος εἶναι
145 γῆν, κεφαλὴν δὲ οὐρανόν. λέγεται γοῦν, ὅτι σελήνη πίλημα μὲν
ἄκρατον αἰθέρος οὐκ ἐστιν, ὡς ἕκαστος τῶν ἄλλων ἀστέρων, κρᾶμα
δὲ ἔκ τε αἰθερώδους οὐσίας καὶ ἀερώδους· καὶ τό γε ἐμφαινόμενον
αὐτῇ μέλαν, ὃ καλοῦσί τινες πρόσωπον, οὐδὲν ἄλλο εἶναι ἢ τὸν ἀνα-
μεμιγμένον ἀέρα, ὃς κατὰ φύσιν μέλας ὢν ἄχρις οὐρανοῦ τείνεται.
146 (23.) ἡ μὲν οὖν ἐν κόσμῳ λεγομένη συμβολικῶς κλῖμαξ τοιαύτη
ἐστί, τὴν δ' ἐν ἀνθρώποις σκοποῦντες εὑρήσομεν τὴν ψυχήν, ἧς βάσις
μὲν τὸ ὡσανεὶ γεῶδές ἐστιν, αἴσθησις, κεφαλὴ δ' ὡς ἂν τὸ οὐράνιον,
147 ὁ καθαρώτατος νοῦς. ἄνω δὲ καὶ κάτω διὰ πάσης | αὐτῆς οἱ τοῦ p. 643 M.
θεοῦ λόγοι χωροῦσιν ἀδιαστάτως, ὁπότε μὲν ἀνέρχοιντο, συνανασπῶντες
αὐτὴν καὶ τοῦ θνητοῦ διαζευγνύντες καὶ τὴν θέαν ὧν ἄξιον ὁρᾶν μόνων
ἐπιδεικνύμενοι, ὁπότε δὲ κατέρχοιντο, οὐ καταβάλλοντες — οὔτε γὰρ
θεὸς οὔτε λόγος θεῖος ζημίας αἴτιος —, ἀλλὰ συγκαταβαίνοντες διὰ
φιλανθρωπίαν καὶ ἔλεον τοῦ γένους ἡμῶν, ἐπικουρίας ἕνεκα καὶ συμμα-
χίας, ἵνα καὶ τὴν ἔτι ὥσπερ ἐν ποταμῷ, τῷ σώματι, φορουμένην
148 ψυχὴν σωτήριον πνέοντες ἀναζωῶσι. ταῖς μὲν δὴ τῶν ἄκρως κεκαθαρ-
μένων διανοίαις ἀψοφητὶ μόνος ἀοράτως ὁ τῶν ὅλων ἡγεμὼν ἐμπερι-
πατεῖ — καὶ γάρ ἐστι χρησθὲν τῷ σοφῷ θεοπρόπιον, ἐν ᾧ λέγεται·
„περιπατήσω ἐν ὑμῖν, καὶ ἔσομαι ὑμῶν θεός" (Lev. 26, 12) —, ταῖς
δὲ τῶν ἔτι ἀπολουομένων, μήπω δὲ κατὰ τὸ παντελὲς ἐκνιψαμένων τὴν
ῥυπῶσαν καὶ κεκηλιδωμένην ⟨ἐν⟩ σώμασι βαρέσι ζωὴν ἄγγελοι, λόγοι
149 θεῖοι, φαιδρύνοντες αὐτὰς τοῖς καλοκἀγαθίας δόγμασιν. ὅσα δὲ ἐξοικί-

---

1 μὲν om. GFH 1. 2 γῆν εἶναι HP 2 τὴν κεφαλὴν MA δ' GFHP 3 ἀέρος A 4 καὶ ἀερώδους οὐσίας GFHP τό] τοι A ἐμφερόμενον Turn. 6 ἄχρι F 7 συμβολικῶς λεγομένη GFHP 8 ἐστί MA: τις ἦν GFHP δὲ GF τὴν om. A, fort. recte ἧς MA: ἣ G, ἡ FHP 9 post prius τὸ add. σωματοειδὲς GFHP δὲ τὸ ὡς ἂν conicio 12 μόνον MGF 14 ὁ θεὸς FHP post λόγος add. ὁ GFP 15 ἕνεκεν A 17 σωτήριον MA: τὰ σωτήρια ceteri, σωτηρίαν conicio πνέοντες scripsi: πνείον-τες MA, ἀναπνέοντες ceteri, ἐμπνέοντες conicio ἀναζωώσωσιν GFH, ἀναζώσωσι P (sed ω s. s. $P^2$), ἀνασώσωσι Turn., ἀναζωπυρῶσιν conicio 17. 18 ἐκκεκαθαρ-μένων GFHP 18 post μόνος add. καὶ A(?)v post ὅλων add. θεὸς καὶ GFHP 19 θεοπρόπειον GF 21 ἀπολυομένων F 22 ῥυπω-θεῖσαν HP κηλιδομένην A (ο ex ω corr.) ἐν addidi σώματι G σώμασι βαρέσι om. A 23 δόγμασιν scripsi: ὄμμασιν codd., ῥύμμασιν Mang.

---

2—6 de fonte v. Sitzungsberichte l. c. p. 1075.

ζεται κακῶν οἰκητόρων στίφη, ἵνα εἷς ὁ ἀγαθὸς εἰσοικίσηται, δῆλόν
ἐστι. σπούδαζε οὖν, ὦ ψυχή, θεοῦ οἶκος γενέσθαι, ἱερὸν ἅγιον, ἐνδι-
αίτημα κάλλιστον· ἴσως γάρ, ἴσως ὃν ὁ κόσμος ἅπας, καὶ σὺ οἰκοδεσπό-
την σχήσεις ἐπιμελούμενον τῆς ἰδίας οἰκίας, ὡς εὐερκεστάτη καὶ ἀπή-
μων εἰσαεὶ διαφυλάττοιτο. ἴσως δὲ καὶ τὸν ἑαυτοῦ βίον ὁ ἀσκητὴς 150
φαντασιοῦται κλίμακι ἐοικότα· φύσει γὰρ ἀνώμαλον πρᾶγμα ἄσκησις,
τοτὲ μὲν προϊοῦσα εἰς ὕψος, τοτὲ δ' ὑποστρέφουσα πρὸς τοὐναντίον,
καὶ τοτὲ μὲν καθάπερ ναῦς εὐπλοίᾳ τῇ τοῦ βίου, τοτὲ δὲ δυσπλοίᾳ
χρωμένη. ἑτερήμερος γάρ, ὡς ἔφη τις, τῶν ἀσκητῶν ὁ βίος, ἄλλοτε
μὲν ζῶν καὶ ἐγρηγορώς, ἄλλοτε δὲ τεθνεὼς ἢ κοιμώμενος. καὶ τάχα 151
οὐκ ἀπὸ σκοποῦ τοῦτο λέγεται· σοφοὶ μὲν γὰρ τὸν ὀλύμπιον καὶ
οὐράνιον χῶρον ἔλαχον οἰκεῖν, ἄνω φοιτᾶν ἀεὶ μεμαθηκότες, κακοὶ δὲ
τοὺς ἐν Ἅιδου μυχούς, ἐξ ἀρχῆς ἄχρι τέλους ἀποθνήσκειν ἐπιτετηδευκότες
καὶ εἰς γῆρας ἐκ σπαργάνων φθορᾶς ἐθάδες ὄντες. οἱ δ' ἀσκηταὶ — 152
μεθόριοι γὰρ τῶν ἄκρων εἰσὶν — ἄνω καὶ κάτω πολλάκις ὡς ἐπὶ κλί-
μακος βαδίζουσιν, ἢ ὑπὸ τῆς κρείττονος μοίρας ἀνελκόμενοι ἢ ὑπὸ τῆς
χείρονος ἀντισπώμενοι, μέχρις ἂν ὁ τῆς ἁμίλλης καὶ διαμάχης ταύτης
βραβευτὴς θεὸς ἀναδῷ τὰ βραβεῖα τάξει τῇ βελτίονι, τὴν ἐναντίαν
εἰσάπαν καθελών. (24.) ἐμφαίνεται δ' ἔτι καὶ τοιοῦτον εἴδωλον, 153
ὅπερ οὐκ ἄξιον ἡσυχασθῆναι. τὰ ἀνθρώπων πράγματα κλίμακι πέφυ-
p. 644 M. κεν ἐξομοιοῦσθαι διὰ τὴν ἀνώμαλον | αὐτῶν φοράν. ἡ μία γάρ, ὡς 154

---

1 κακῶν scripsi: κατὰ τῶν MA, κακὰ κὰκ τῶν FHP, κακὰ ἐκ τῶν G, κακὰ κακῶν coni. Mang. εἰς (τὰ add. G²) ἀγαθὰ GFHP 2 σπούδασον HP post ἅγιον add. ἵνα AP² 2—5 διαίτημα (ἐνδιαίτημα scripsi, v. ad lin. 2) — διαφυλάττοιτο traduntur p. 238,5 post γίνονται, huc transtuli Mangeii coniecturam secutus. cf. ad p. 238, 5 7 bis ποτὲ D Anton. εἰς ὕψος ἰοῦσα D Anton. δὲ GFHP 8 ποτὲ D Anton. εὐπλοίᾳ] ἐκ πλοίου A τῇ τοῦ βίου D Anton.: om. codd. ποτὲ D Anton. 9 γάρ om. Anton. 10 τεθνηκὼς A Anton. 11 τοῦτο] καὶ τοῦτο G λέγεται GFHP Anton.: λέλεκται MA 11. 12 γὰρ τὸν ἀνθρώπινον χῶρον Anton. 13 ᾅδῃ Anton. ἀποθνήσκειν om. G 14 φθορᾶς add. H² 15 γὰρ om. Anton. 17 ἀντικροτούμενοι FL² 18 ἀποδῷ e corr. G 19 καθέλκων GFHP, ἀνέλκων prius L δέ τι GFHP ἐμφαίνει et ⟨τὸ⟩ εἴδωλον coni. Cohn τῷ εἰδώλῳ conicio 20 τῶν ἀνθρώπων Io. Lyd. 21. 238,1 ἐν μιᾷ γὰρ . . . ἡμέρᾳ Io. Lyd.

---

6—19 D^R fol. 212^v Anton. Mel. II 43 col. 1116 ἀνώμαλον φύσει ἡ ἄσκησις — καθελών. D^R iam lin. 9 χρωμένη desinit. 9. 10 cf. Hom. Od. λ 303. 304. 20—238, 5 Io. Lydus De mens. IV, 7 p. 55 B.: τὰ — γίνονται (Elter, Hist. gnomol. p. 119). 237,21. 238,1 Eur. fr. 420 N.

ἔφη τις, ἡμέρα τὸν μὲν καθεῖλεν ὑψόθεν, τὸν δὲ ἦρεν ἄνω, μηδενὸς
ἐν ὁμοίῳ πεφυκότος μένειν τῶν παρ' ἡμῖν, ἀλλὰ παντοίας μεταβαλλόν-
155 των τροπάς. ἢ οὐκ ἄρχοντες μὲν ἐξ ἰδιωτῶν, ἰδιῶται δ' ἐξ ἀρχόντων,
πένητες δ' ἐκ πλουσίων καὶ ἐκ πενήτων πολυχρήματοι καὶ ἔνδοξοι
μὲν ἐξ ἠμελημένων, ἐπιφανέστατοι δὲ ἐξ ἀδόξων ἀεὶ γίνονται καὶ
ἰσχυροὶ μὲν ἐξ ἀσθενῶν, ἐκ δὲ ἀδυνάτων δυνατοὶ καὶ συνετοὶ μὲν ἐξ
156 ἀφραινόντων, εὐλογιστότατοι δὲ ἐκ παραπαιόντων· καὶ ὁδός τις ἥδ'
ἐστὶν ἄνω καὶ κάτω τῶν ἀνθρωπείων πραγμάτων, ἀστάτοις καὶ ἀνιδρύ-
τοις χρωμένη συντυχίαις, ὧν τὸ ἀνώμαλον οὐκ ἀδήλοις ἀλλὰ σαφέσι
τεκμηρίοις ὁ ἀψευδέστατος ἐλέγχει χρόνος.
157 (25). Ἐμήνυε δὲ τὸ ὄναρ ἐστηριγμένον ἐπὶ τῆς κλίμακος τὸν
ἀρχάγγελον, κύριον· ὑπεράνω γὰρ ὡς ἅρματος ἡνίοχον ἢ ὡς νεὼς
κυβερνήτην ὑποληπτέον ἵστασθαι τὸ ὂν ἐπὶ σωμάτων, ἐπὶ ψυχῶν, ἐπὶ
πραγμάτων, ἐπὶ λόγων, ἐπὶ ἀγγέλων, ἐπὶ γῆς, ἐπ' ἀέρος, ἐπ' οὐρανοῦ,
ἐπ' αἰσθητῶν δυνάμεων, ἐπ' ἀοράτων φύσεων, ὅσαπερ θεατὰ καὶ
ἀθέατα· τὸν γὰρ κόσμον ἅπαντα ἐξάψας ἑαυτοῦ καὶ ἀναρτήσας τὴν
158 τοσαύτην ἡνιοχεῖ φύσιν. μηδεὶς δ' ἀκούων, ὅτι ἐπεστήρικτο, νομισάτω
τι συνεργεῖν θεῷ πρὸς τὸ παγίως στῆναι, ἀλλ' ἐκεῖνο λογισάσθω, ὅτι
τὸ δηλούμενον ἴσον ἐστὶ τῷ στήριγμα καὶ ἔρεισμα καὶ ὀχυρότης καὶ
βεβαιότης ἁπάντων ἐστὶν ὁ ἀσφαλὴς θεός, ἐνσφραγιζόμενος οἷς ἂν
ἐθέλῃ τὸ ἀσάλευτον· ἐπερείδοντος γὰρ καὶ συστηρίζοντος αὐτοῦ μένει
159 τὰ συσταθέντα ἀνώλεθρα κραταιῶς. ὁ τοίνυν ἐπιβεβηκὼς τῇ οὐρανοῦ
κλίμακι λέγει τῷ φαντασιουμένῳ τὸ ὄναρ· „ἐγὼ κύριος ὁ θεὸς Ἀβραὰμ

---

2. 3 παντοίαις et τροπαῖς Io. Lyd. μεταβαλλόντων codd.: μεταβάλλοντος Io. Lyd. 3 ἤ v δὲ GFHP 4 δὲ GFHP alterum ἐκ om. A 5 ἀεὶ om. H$^1$P Io. Lyd. 5—7 καὶ ἰσχυροὶ — παραπαιόντων huc transtuli, traduntur p. 237,2 post ἅγιον ἰσχυρὰ, αἰσθενούσης (ἀσθενεστάτης v), ἀδυνάτου δυνατὴ, συνετὴ, ἀφραινούσης, εὐλογιστοτάτη, παραπαιούσης H$^2$; ἰσχυρὰ, δυνατὴ, συνετὴ, εὐλογιστότατος F$^2$ 7 ἥδ' MAF: ἡ GH$^2$, om. H$^1$P 8 prius καὶ om. A ἀνθρωπίνων AGH 8. 9 ἀιδρύτοις GFHP 9 χρωμένοις P, χρωμένων conicio ὧν om. GFH$^1$P$^1$ ἀλλήλοις GF$^1$P 10 φιλοψευδέστατος GFHP 11 ὃν ἀνεστηριγμένον M 12 κυρίου A ὡς om. GFHP$^1$ νεὸς A 14 θρεμμάτων GFHP ἐπ' οὐρανοῦ om. G 15 αἰσθητῶν MA (Turn.): αἰσθητικῶν GFHP ἀκηράτων coni. Mang. φύσεων, ⟨ἐπὶ πάντων⟩ conicio ὅσαπερ ἀθέατα καὶ θεατά GFHP 17 ἡνιοχεῖσθαι A 18 συνεργεῖν τι (τι om. P, H$^1$?) τῶ θεῶ GFP (H$^1$, τὸν θεὸν H$^2$) ἐκείνω A ὅτι om. MA 19 τῷ] τὸ G, prius A καὶ ἔρεισμα om. GFHP ἰσχυρότης GFHP 20 ὁ ἀσφαλής ἐστι θεός GF, ὁ ἀσφαλὴς θεός ἐστιν HP 21 ὑπερείδοντος coni. Mang. στηρίζοντος F, fort. recte μενεῖ GFHP 22. 23 τὴν οὐράνιον κλίμακα G 23 ὁ om. MA

τοῦ πατρός σου καὶ ὁ θεὸς Ἰσαάκ· μὴ φοβοῦ“ (Gen. 28, 13). ὁ
χρησμὸς οὗτος τὸ τέρμα τῆς ἀσκητικῆς ψυχῆς καὶ βεβαιότατον ἔρεισμα
ἦν, ὃς αὐτὴν ἀνεδίδασκεν, ὅτι ὁ τῶν ὅλων κύριος καὶ θεὸς ἀμφότερα
ταῦτα τοῦ γένους ἐστὶν αὐτῷ, πατέρων καὶ πάππων ἐπιγραφεὶς καὶ
ἐπικληθεὶς ἑκάτερον, ἵνα τὸν αὐτὸν ὅ τε κόσμος ἅπας καὶ ὁ φιλάρετος
ἔχῃ κλῆρον· ἐπεὶ καὶ λέλεκται· „κύριος αὐτὸς κλῆρος αὐτῷ“
(Deut. 10, 9).

(26.) Μὴ νομίσῃς δὲ παρέργως τοῦ μὲν Ἀβραὰμ νυνὶ λέγεσθαι 160
p. 645 M. κύριον καὶ θεόν, τοῦ δὲ Ἰσαὰκ θεὸν αὐτὸ μόνον. ὁ μὲν γὰρ | αὐτη-
κόου καὶ αὐτοδιδάκτου καὶ αὐτομαθοῦς φύσει περιγινομένης σύμβολον
ἐπιστήμης ἐστίν, ὁ δὲ Ἀβραὰμ διδασκομένης· καὶ τῷ μὲν αὐτόχθονι
καὶ αὐθιγενεῖ συμβέβηκεν εἶναι, τῷ δὲ μετανάστῃ καὶ ἐπηλύτῳ. τὴν 161
γὰρ χαλδαΐζουσαν ἀλλογενῆ καὶ ἀλλόφυλον γλῶτταν τῶν περὶ ἀστρονο-
μίαν μετεωρολεσχῶν ἀπολιπὼν ἐπὶ τὴν ἁρμόττουσαν λογικῷ ζῴῳ
παρεγένετο, τὴν τοῦ πάντων αἰτίου θεραπείαν. οὗτος μὲν δὴ ὁ τρόπος 162
δυεῖν δυνάμεων τῶν ἐπιμελησομένων ἐστὶ χρεῖος, ἡγεμονίας καὶ εὐερ-
γεσίας, ἵνα τῷ μὲν κράτει τοῦ ἡγεμόνος ὑπακούῃ τῶν νομοθετουμένων,
τῷ δὲ χαριστικῷ μεγάλα ὠφελῆται, ὁ δ' ἕτερος τῆς κατὰ τὸ χαρί-
ζεσθαι μόνης· οὐ γὰρ ὑπὸ νουθετούσης ἀρχῆς ἐβελτιώθη, φύσει περι-
πεποιημένος τὸ καλόν, ἀλλὰ διὰ τὰς ὀμβρηθείσας ἄνωθεν δωρεὰς ἀγα-
θὸς καὶ τέλειος ἐξ ἀρχῆς ἐγένετο. χαριστικῆς μὲν οὖν δυνάμεως θεός, 163
βασιλικῆς δὲ κύριος ὄνομα. τί οὖν ἂν τις εἴποι πρεσβύτερον ἀγαθὸν
ἢ τὸ τυχεῖν ἀκράτου καὶ ἀμιγοῦς εὐεργεσίας, τί δὲ νεώτερον ἢ τὸ
κεκραμένης ἔκ τε ἡγεμονίας καὶ δωρεᾶς; ὅ μοι δοκεῖ συνιδὼν ὁ ἀσκη-
τὴς εὔξασθαι θαυμασιωτάτην εὐχήν, ἵνα αὐτῷ γένηται κύριος εἰς θεόν
(Gen. 28, 21)· ἐβούλετο γὰρ μηκέτι ὡς ἄρχοντα εὐλαβεῖσθαι, ἀλλ' ὡς
εὐεργέτην ἀγαπητικῶς τιμᾶν. ἆρ' οὐχὶ τούτοις καὶ τοῖς παραπλησίοις 164

---

1 prius ὁ om. MA 2 τὸ] καὶ H[2] τέρμα MA: δραμα ceteri, ἔρυμα conicio βεβαιότητος H 3 ἀπεδίδασκεν GP[1], ἐπεδίδασκεν H ὅτι ὁ] ὁ γὰρ P(H[1]) 4 αὐτῶν A, αὐτοῦ coni. Mang. post αὐτῷ add. ἀνθρώπων GFHP πατρῴων v 6 αὐτὸς] αὐτῶ MA 8 παρέργως δὲ νομίσῃς GFHP 9 καὶ θεόν om. G 10 περιγενομένης A(?)HP, γινομένης coni. Cohn 11 τῷ MA: αὐτῶ GFHP 12 ἰθαγενεῖ A, αὐτογενεῖ GFHP ἐπιλύτω AGF[1]P 13 ἀλλόφυλλον FHP 15 παρεγένετο A: παρήγετο ceteri τὴν fort. secl. 16 δυοῖν HP καὶ MA: τε καὶ ceteri 17 ὑπακούει G 18 μεγάλως H ὠφελεῖται FH[2] 19 νομοθετούσης coni. Mang. 20. 21 ἀγαθὰς G 21 ὁ θεός GFHP 22 ὀνόματι οὖν G[1]FP 23 prius τὸ] τῶ P 24 κεκραμένον GFHP δωρεᾶς] εὐεργεσίας coni. Mang. 25 κύριος γένηται transp. HP

εἰκὸς ἦν καὶ τοὺς τυφλοὺς διάνοιαν ὀξυδορκήσειν, πρὸς τῶν ἱερωτάτων
ἐνομματουμένους λογίων, ὡς φυσιογνωμονεῖν καὶ μὴ μόνον τοῖς ῥητοῖς
ἐφορμεῖν; ἀλλὰ κἂν ἡμεῖς καμμύσαντες τὸ τῆς ψυχῆς ὄμμα μὴ σπου-
δάζωμεν ἢ μὴ δυνώμεθα ἀναβλέπειν, αὐτός, ὦ ἱεροφάντα, ὑπήχει καὶ
ἐπιστάτει καὶ ἐγχρίων μή ποτε ἀπείπῃς, ἕως ἐπὶ τὸ κεκρυμμένον
ἱερῶν λόγων φέγγος ἡμᾶς μυσταγωγῶν ἐπιδείξῃς τὰ κατάκλειστα καὶ
165 ἀτελέστοις ἀόρατα κάλλη. σοὶ μὲν δὴ ταῦτα ποιεῖν ἐμπρεπές· ψυχαὶ
δ᾽ ὅσαι θείων ἐρώτων ἐγεύσασθε, καθάπερ ἐκ βαθέος ὕπνου διαναστᾶ-
σαι καὶ τὴν ἀχλὺν ἀποσκεδάσασαι πρὸς τὴν περίβλεπτον θέαν ἐπείχθητε
μεθέμεναι τὸν βραδὺν καὶ μελλητὴν ὄκνον, ἵν᾽ ὅσα θεάματα καὶ ἀκού-
σματα τῆς ὑμετέρας ἕνεκα ὠφελείας ὁ ἀγωνοθέτης εὐτρέπισε κατα-
νοήσητε.
166 (27.) Μυρία μὲν οὖν ἐστιν ἀοίδιμα τῶν πρὸς ἐπίδειξιν, ἓν δ᾽
οὖν καὶ τὸ λεχθὲν πρὸ μικροῦ· τὸν μὲν γὰρ γένει πάππον τοῦ ἀσκη-
τοῦ πατέρα εἶπε τὸ λόγιον, τῷ δ᾽ ὡς | ἀληθῶς πατρὶ τὸ τοῦ γεννή- p. 646 M.
σαντος οὐκ ἐπεφήμισεν ὄνομα. λέγει γάρ· „ἐγὼ κύριος ὁ θεὸς Ἀβραὰμ
τοῦ πατρός σου“ — καίτοι πάππος οὗτος ἦν — καὶ πάλιν „ὁ θεὸς
167 Ἰσαάκ“ (Gen. 28, 13), εἶτ᾽ οὐ προστίθησι „τοῦ πατρός σου“. οὐκοῦν
ἄξιον τὴν τούτων αἰτίαν ἐρευνῆσαι; πάνυ γε. τίς οὖν ἐστι, μὴ παρέρ-
γως σκοπήσωμεν. τὴν ἀρετὴν ἢ φύσει ἢ ἀσκήσει ἢ μαθήσει περι-
γίνεσθαί φησι, διὸ καὶ τρεῖς τοὺς γενάρχας τοῦ ἔθνους σοφοὺς

---

1 διάνοιαν GFH¹P: τὴν διάνοιαν H², διανοίᾳ MA    ὀξυδορκῆσαι HP, ὀξυδερκῆσαι GF    2 φυσιογνωμονεῖν FHP: φύσει εὐγνωμονεῖν MA, φησὶν ἀγνωμονεῖν G    3 ἐφορμᾶν G    κἂν] καὶ G    κἂν ἡμεῖς om. F    τῆς om. M    3. 4 σπουδάζομεν A    4 δυνάμεθα AG    ὦ ἱεροφάντα MA: ὁ ἱεροφάντης ceteri    ὑπήχει scripsi: ὑφήχει M, ὑφηχεῖ A, ὑπηχεῖ ceteri    5 ἐπιστάτει M: ἐπὶ στάσει A, ἐφίσταται ceteri    ἐγχρίων AGFH²: ἐγχρείων MH¹P    ἀπείπῃ A    6 ἱερῶν MA (G¹, coni. Mang.): ἱερὸν ceteri    ἐπιδείξῃ GH, ἐπιδείξει FP    τὰ per errorem om. Mang.    κάλλιστα GFHP, tum spat. 2 litt. G    8. 9 διαναστὰς A    9 καὶ MA Pal.: om. ceteri    ἀποσκεδάσασαι MAFP Pal.: ἀποσκεδάσασθε GH, tum καὶ add. G², ras. in H    περίβλητον MA, περίκλυτον Pal., περιμάχητον conicio    10 μεθέμενοι A    μελλητόν M, μελητὴν GF    11 ἡμετέρας A Turn.    εὐτρέπισε Cohn: ηὐτρέπισε MAH, εὐτρέπισται GF, ηὐτρέπισται P    16 ἐφήμισεν GFP¹, εὐφήμισεν H    17 σου om. GFHP    18 οὐκοῦν MAP    19 τί G    20 σκοπῶμεν A, fort. recte    μαθήσει ἢ ἀσκήσει transp. GF    20. 21 παραγίνεσθαί Turn.    21 φησί MAG (coni. Mang.): φασί FHP

---

8—10 καθάπερ — ὄκνον Pal. fol. 28v.

πάντας ἀνέγραφεν, ἀπὸ μὲν τῆς αὐτῆς οὐχ ὁρμηθέντας ἰδέας, πρὸς δὲ τὸ
αὐτὸ τέλος ἐπειχθέντας. ὁ μὲν γὰρ πρεσβύτατος αὐτῶν Ἀβραὰμ 168
ἡγεμόνι ὁδοῦ τῆς πρὸς τὸ καλὸν ἀγούσης ἐχρήσατο διδασκαλίᾳ, ὡς ἐν
ἑτέροις, ὡς ἂν οἷόν τε ᾖ, δείξομεν, ὁ δὲ μέσος Ἰσαὰκ αὐτηκόῳ καὶ αὐτο-
μαθεῖ τῇ φύσει, ὁ δὲ τρίτος Ἰακὼβ ἀσκητικαῖς μελέταις, καθ' ἃς οἱ
ἔναθλοι καὶ ἐναγώνιοι πόνοι. τριῶν οὖν τρόπων ὑπαρχόντων, ἐξ ὧν 169
σοφία περιγίνεται, τοὺς ἄκρους μάλιστα συμβέβηκεν ἡνῶσθαι· τὸ γὰρ
ἀσκήσει ἔγγονον τοῦ μαθήσει, τὸ δὲ φύσει συγγενὲς μὲν — ὑποβέβλη-
ται γὰρ ὡς ῥίζα πᾶσιν —, ἀνανταγωνίστου δὲ καὶ ἑτοίμου γέρως
ἔλαχεν. ὥστε εἰκότως Ἀβραὰμ ὁ βελτιωθεὶς διδασκαλίᾳ πατὴρ Ἰακὼβ 170
λέγεται, τοῦ μελέτῃ συγκροτηθέντος, οὐκ ἄνθρωπος ἀνθρώπου μᾶλλον
ἢ δύναμις ἀκουστικὴ πρὸς μάθησιν ἑτοιμοτάτη δυνάμεως ἀσκητικῆς
καὶ ἐπιτηδείου πρὸς ἄθλησιν. ἐὰν μέντοι ὁ ἀσκητὴς οὗτος εὐτόνως 171
δράμῃ πρὸς τὸ τέλος καὶ τηλαυγῶς ἴδῃ ἃ πρότερον ἀμυδρῶς ὠνειρο-
πόλει, μετατυπωθεὶς τῷ κρείττονι χαρακτῆρι καὶ προσαγορευθεὶς Ἰσραήλ,
ὁ θεὸν ὁρῶν, ἀντὶ τοῦ πτερνίζοντος Ἰακὼβ πατέρα οὐκέτι τὸν μαθόντα
Ἀβραάμ, ἀλλὰ τὸν φύσει γεννηθέντα ἀστεῖον Ἰσαὰκ ἐπιγράφεται.
ταῦτα δὲ οὐκ ἐμός ἐστι μῦθος, ἀλλὰ χρησμὸς ἐν ταῖς ἱεραῖς ἀναγεγραμ- 172
μένος στήλαις. „ἀπάρας“ γάρ φησιν „Ἰσραὴλ αὐτὸς καὶ πάντα τὰ
αὐτοῦ ἦλθεν ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου, καὶ ἔθυσε θυσίαν τῷ θεῷ τοῦ
πατρὸς αὐτοῦ Ἰσαάκ“ (Gen. 46, 1). ἆρ' ἤδη κατανοεῖς, ὅτι οὐ περὶ
φθαρτῶν ἀνθρώπων, ἀλλ', ὡς ἐλέχθη, περὶ φύσεως πραγμάτων ἐστὶν
ὁ παρὼν λόγος; ἰδοὺ γὰρ τὸ αὐτὸ ὑποκείμενον τοτὲ μὲν Ἰακὼβ ὀνομά-
ζεται πατρὸς Ἀβραάμ, τοτὲ δὲ Ἰσραὴλ πατρὸς Ἰσαὰκ καλεῖται διὰ
τὴν ἠκριβωμένην αἰτίαν.

(28.) Εἰπὼν τοίνυν „ἐγὼ κύριος ὁ θεὸς Ἀβραὰμ τοῦ πατρός 173
σου καὶ ὁ θεὸς Ἰσαάκ“ ἐπιφέρει· „μὴ φοβοῦ“ (Gen. 28,13), κατὰ τὸ
ἀκόλουθον· πῶς γὰρ ἔτι φοβηθησόμεθα, τὸ φόβου καὶ παντὸς πάθους

---

1 πάντας MA: πολίτας ceteri    ἀνέγραφεν M: ἀνέγραψεν GFHP, ἀναγέγραφεν A, fort. recte    4 ἂν om. M    ᾖ om. A, ἦν Turn.    δείξωμεν GFHP, ἐδείξαμεν Turn.    μεσαίτατος GFHP    6 καὶ] καὶ οἱ A    7 παραγίνεται Turn.    8 ἔκγονον GFHP    9 ἀνταγωνίστου G    10 βελτιωθεὶς εἰς διδασκαλίαν GFHP    12 ante πρὸς add. ἢ καὶ A    13 αἴσθησιν GFHP    οὕτως M    συντόνως bene coni. Mang.    14 τὸ om. F    διαυγῶς GFHP    14. 15 ἀερ, tum ras., οπόλει P    18 δὲ om. GFGP    ἱεραῖς om. MA    18. 19 ἀναγεγραμμέναις A στήλαις ἀναγεγραμμένος transp. M    19 αὐτὸς om. HP    21 ἆρα δὴ GFHP    23 ὁτὲ GFHP    24 prius πατρὸς] πρὸς F    ὁτὲ FHP    Ἰσαὰκ om. F    27 ὁ om. MA    27. 28 τἀκόλουθον GFHP    28 ὅτι A    φοβησόμεθα F    τὸ om. A

λυτήριον σὲ τὸν ὑπερασπιστὴν ὅπλον ἔχοντες; ὃς καὶ | τοὺς ἀρχετύπους p. 647 M. τῆς παιδείας ἡμῶν τύπους ἀδηλουμένους ἐμόρφωσας, ἵν' ἐμφανεῖς ὦσιν, Ἀβραὰμ μὲν διδάξας, Ἰσαὰκ δὲ γεννήσας· τοῦ μὲν γὰρ ὑφηγητής, τοῦ δὲ πατὴρ ὑπέμεινας ὀνομασθῆναι, τῷ μὲν τὴν γνωρίμου τάξιν, τῷ δὲ
174 τὴν υἱοῦ παρασχών. διὰ τοῦτο καὶ τὴν γῆν, λέγω δὲ τὴν παμφορωτάτην καὶ εὐκαρποτάτην ἀρετήν, ἐφ' ἧς καθεύδει ὁ ἀσκητὴς ἀναπαυόμενος τῷ τὸν μὲν αἰσθήσεως κοιμᾶσθαι βίον, τὸν δὲ ψυχῆς ἐγρηγορέναι, δώσειν ὁμολογεῖς (Gen. 28, 13), ἀποδεξάμενος αὐτοῦ τὴν εἰρηνικὴν ἀνάπαυσιν, ἣν οὐκ ἄνευ πολέμου καὶ τῶν ἐν πολέμῳ ταλαιπωριῶν εἵλετο, οὐχ ὅπλα βαστάζων καὶ ἀνθρώπους ἀναιρῶν, ἄπαγε, ἀλλὰ τὸ
175 ἀντίπαλον ἀρετῆς παθῶν καὶ κακιῶν στῖφος καθαιρῶν. τὸ δὲ σοφίας γένος ἄμμῳ γῆς (ibid. 14) ἐξομοιοῦται διά τε πληθὺν ἀπερίγραφον, καὶ διότι τὰς μὲν τῆς θαλάττης ἐπιδρομὰς ἡ ὑποταίνιος ἄμμος ἀνακρούεται, τὰς δὲ τῶν ἁμαρτημάτων καὶ ἀδικημάτων ὁ παιδείας λόγος. οὗτος δὲ κατὰ τὰς θείας ὑποσχέσεις ἄχρι τῶν περάτων τοῦ παντὸς εὐρύνεται καὶ τὸν ἔχοντα ἀποφαίνει τῶν τοῦ κόσμου κληρονόμον μερῶν, φθάνοντα πάντῃ, πρὸς τὰ ἑῷα, πρὸς τὰ ἑσπέρια, τὰ κατὰ μεσημβρίαν, τὰ προσάρκτια· λέγεται γάρ, ὅτι „πλατυνθήσεται ἐπὶ θάλασσαν καὶ
176 λίβα καὶ βορρᾶν καὶ ἀνατολάς“ (ibid. 14). ἔστι δ' ὁ ἀστεῖος οὐκ ἴδιον μόνον ἀλλὰ καὶ κοινὸν ἀγαθὸν ἅπασιν, ἐξ ἑτοίμου τὴν ἀφ' ἑαυτοῦ προτείνων ὠφέλειαν. ὡς γὰρ ἥλιος ἁπάντων ἐστὶ φῶς τῶν ὄψεις ἐχόντων, οὕτω καὶ ὁ σοφὸς τῶν ὅσοι λογικῆς κεκοινωνήκασι φύσεως· (29.) „ἐνευλογηθήσονται γὰρ ἐν σοὶ“ φησί „πᾶσαι αἱ φυλαί“ (ibid. 14).
177 ὁ δὲ χρησμὸς οὗτος ἐφαρμόττει καὶ αὐτῷ τινι πρὸς ἑαυτὸν καὶ

---

2 ἐφήρμοσας GFHP[1] ἐμφανεῖς MA: ἐπιφανεῖς ceteri 4 ὑπομείνας GFHP γνώριμον P 5 primum τὴν] τοῦ P 6 καὶ εὐκαρποτάτην om. GFHP 8 δοῦναι A ὡμολόγησεν GFHP, ὡμολόγησας coni. Mang. 10 ἄπαγε om. MA 11 καθαίρων FP τὸ] τῶ A 13 τῆς om. A ἡ om. GFHP ὑπόνιος A, ὑποτένιος ceteri 13. 14 ἀνακρούει GFHP 15 τὰς om. M 16 ἔχοντα] ἔσχατον P 17 πάν[τ] καὶ πρὸς P 19 λίβαν A 20 ἀίδιον A καὶ om. A 20. 21 ἀφ' ἑαυτοῦ D: ἀφ' αὐτοῦ GHP, ἀπ' αὐτοῦ MAFN 22 οὕτω D Anton.: om. codd. N ὁ om. HP[1] 23 ἐν om. GFHP, ἐν σοὶ om. N

---

19—243,11 N fol. 150[v]: ἔστι δὲ — θεόν. 19—21 D[L]D[R] post locum ad p. 243,3 allatum: ὁ γὰρ ἀστεῖος κοινὸν ἀγαθόν ἐστιν ἅπασιν (ἅπασιν om. D[L]), ἐξ — ὠφέλειαν. 21. 22 D[L] fol. 144[v] Anton. Melissa I 50 col. 933: ὥσπερ γὰρ ὁ ἥλιος — φύσεως.

ἑτέρῳ πρὸς ἕτερον. ἐάν τε γὰρ ὁ ἐν ἐμοὶ νοῦς ἀρετῇ τελείᾳ καθαρθῇ, καὶ αἱ τοῦ περὶ ἐμὲ γεώδους φυλαὶ συγκαθαίρονται, ἃς ἔλαχον αἱ αἰσθήσεις καὶ ἡ μεγίστη δεξαμενή, τὸ σῶμα· ἐάν τέ τις κατ' οἰκίαν ἢ πόλιν ἢ χώραν ἢ ἔθνος γένηται φρονήσεως ἐραστής, ἀνάγκη τὴν οἰκίαν ἐκείνην καὶ τὴν πόλιν καὶ τὴν χώραν καὶ τὸ ἔθνος ἀμείνονι βίῳ χρῆσθαι. καθάπερ γὰρ τὰ ἐκθυμιώμενα τῶν ἀρωμάτων εὐωδίας τοὺς 178
πλησιάζοντας ἀναπίμπλησι, τὸν αὐτὸν τρόπον ὅσοι γείτονες καὶ ὅμοροι σοφοῦ, τῆς ἀπ' αὐτοῦ σπῶντες αὔρας ἐπὶ μήκιστον χεομένης βελτιοῦνται τὰ ἤθη.

(30.) Μεγίστη δέ ἐστιν εὐεργεσία ψυχῇ πονούσῃ καὶ διαθλούσῃ 179
συνοδοιπόρον ἔχειν τὸν ἐφθακότα πάντῃ θεόν· „ἰδοὺ“ γάρ φησιν „ἐγὼ μετὰ σοῦ“ (ibid. 15). τίνος οὖν ἂν ἔτι χρεῖοι γενοίμεθα πλούτου, σὲ τὸν ἀληθείᾳ πλοῦτον ἔχοντες μόνον „διαφυλάσσοντα ἐν ὁδῷ“ (ibid.) τῇ πρὸς ἀρετὴν ἀγούσῃ κατὰ πάσας αὐτῆς τὰς τομάς; οὐ γὰρ ἓν μέρος
p. 648 M. ἐστὶ τοῦ λογικοῦ | βίου τὸ πρὸς δικαιοσύνην καὶ τὴν ἄλλην τεῖνον ἀρετήν, ἀλλὰ μυρία ὅσα, ἐξ ὧν ἔστιν ὁρμωμένους φρονήσεως ἐφικνεῖσθαι. (31.) παγκάλως δὲ εἴρηται καὶ τὸ „ἀποστρέψω σε εἰς τὴν 180
γῆν ταύτην“ (ibid.). καλὸν μὲν γὰρ ἦν, τὸν λογισμὸν ἐφ' ἑαυτοῦ μείναντα μὴ ἀποδημῆσαι πρὸς αἴσθησιν· δεύτερος δὲ πλοῦς, ἐφ' ἑαυτὸν ὑποστρέψαι πάλιν. ἴσως δὲ καὶ τὸ περὶ ἀφθαρσίας ψυχῆς ὑπαι- 181
νίττεται δόγμα διὰ τούτου· ἀπολιποῦσα μὲν γὰρ τὸν οὐράνιον τόπον, ὡς καὶ μικρῷ πρότερον ἐλέχθη, καθάπερ εἰς ξένην χώραν ἦλθε τὸ σῶμα. φησὶ δ' οὐ μέχρι τοῦ παντὸς καθειργμένην αὐτὴν ὁ γεννήσας περιόψεσθαι πατήρ, ἀλλ' οἶκτον λαβὼν λύσειν τὰ δεσμὰ καὶ ἐλευθέραν

---

1 ἑτέρῳ πρὸς ἕτερον om. H, add. L in mg. 2 alt. αἱ om. GFHPN 3. 4 οἰκίαν ἢ κώμην ἢ πόλιν ἢ ἔθνος D 4 τὴν] καὶ τὴν HP 5 ἐκείνην post πόλιν transpos. D primum καὶ] ἢ D καὶ τὴν χώραν om. GFHPND καὶ τὸ ἔθνος om. D 5. 6 χρήσασθαι D 6 γὰρ om. A 7 ἀναπίπλησι P[1] 8 σοφοὶ A σπῶντες] ὄντες A 10 δ' ἐστὶν GFHPN ἀθλούσῃ A 11 πάντα H 12 ἂν om. A γενοίμεθα Turn.: γενώμεθα codd. πλούτου A: πλοῦτον ceteri σὲ om. A 12. 13 ἔχοντες σὲ τὸν ἀληθείᾳ μόνον πλοῦτον GFHP 14 μέτρον G 15 πρὸς] πρὸς τὴν F 16. 17 ἐξικνεῖσθαι GFHP 18 ἦν om. F ἀφ' A αὐτοῦ M 19 μὴ] καὶ Turn. ἐφ'] ὑφ' A, πρὸς HP 19. 20 ἐφ' ἑαυτήν L[2] αὐτὸν M 21 τούτων GHP, τοῦτο F οὐρανὸν F 22 μικρὸν GFP 23 καθειρμένην A 24 λύσιν A

---

3—6 D[L] fol. 38[r] D[R] fol. 33[v] τοῦ αὐτοῦ ἐκ τῶν ἐν γενέσει ζητουμένων: ἐάν τις — χρήσασθαι.

ἄχρι τῆς μητροπόλεως ἀσφαλῶς παραπέμψειν καὶ μὴ πρότερον ἀνή-
σειν ἢ τὰς διὰ λόγων ὑποσχέσεις ἀληθείας ἔργοις βεβαιωθῆναι· θεοῦ
182 γὰρ ἴδιον λέγειν πάντως τὰ γενησόμενα. καίτοι τί τοῦτό φαμεν;
ἔργων γὰρ ἀδιαφοροῦσιν αὐτοῦ οἱ λόγοι. διακινηθεῖσα οὖν καὶ διανα-
στᾶσα πρὸς τὰς περὶ τοῦ ὄντος ζητήσεις ἡ ἀσκητικὴ ψυχὴ τὸ μὲν
πρῶτον ὑπετόπησεν εἶναι τὸ ὂν ἐν τόπῳ, μικρὸν δὲ ἐπισχοῦσα τῷ
δυστοπάστῳ τῆς σκέψεως περιδεὴς γίνεται καὶ μετανοεῖν ἄρχεται.
183 „ἐξηγέρθη“ γάρ φησιν „Ἰακὼβ καὶ εἶπεν, ὅτι ἔστι κύριος ἐν τῷ τόπῳ
τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν“ (ibid. 16). καὶ ἄμεινον ἦν, εἴποιμ' ἄν,
ἀγνοεῖν ἢ ἕν τινι θεὸν ὑπολαμβάνειν εἶναι, τὸν περιέχοντα αὐτὸν ἐν
κύκλῳ τὰ πάντα.

184 (32.) Δικαίως οὖν ἐφοβήθη καὶ εἶπε θαυμαστικῶς· „ὡς φοβερὸς
ὁ τόπος οὗτος“ (ibid. 17). ὄντως γὰρ τῶν ἐν φυσιολογίᾳ τόπος ἀργα-
λεώτατος, ἐν ᾧ ζητεῖται, ποῦ καὶ εἰ συνόλως ἔν τινι τὸ ὄν, τῶν μὲν
λεγόντων, ὅτι πᾶν τὸ ὑφεστὼς χώραν τινὰ κατείληφε, καὶ ἄλλων ἄλλην
ἀπονεμόντων, ἢ ἐντὸς τοῦ κόσμου ἢ ἐκτὸς αὐτοῦ μετακόσμιόν τινα,
τῶν δὲ φασκόντων, ὅτι οὐδενὶ τῶν ἐν γενέσει τὸ ἀγένητον ὅμοιον, ἀλλὰ
τοῖς ὅλοις ὑπερβάλλον, ὡς καὶ τὴν ὠκυδρομωτάτην διάνοιαν ὑστερί-
185 ζουσαν μακρῷ τῆς καταλήψεως ὁμολογεῖν ἡττᾶσθαι. διόπερ εὐθὺς
ἀνέκραγεν· „οὐκ ἔστι τοῦτο“ (ibid.), ὃ ἐδόξασα, „ὅτι ἔστι κύριος ἔν τῳ
τόπῳ“ (ibid. 16)· περιέχει γάρ, ἀλλ' οὐ περιέχεται κατὰ τὸν ἀληθῆ λόγον.
τοῦτο δὲ τὸ δεικνύμενον καὶ ὁρατόν, ὁ αἰσθητὸς οὑτοσὶ κόσμος, οὐδὲν
ἄρα ἄλλο ἐστὶν ἢ οἶκος θεοῦ (ibid.), μιᾶς τῶν τοῦ ὄντος δυνάμεων,
186 καθ' ἣν ἀγαθὸς ἦν. τὸν δὲ κόσμον οἶκον ὠνόμασε καὶ πύλην τοῦ
πρὸς ἀλήθειαν οὐρανοῦ (ibid. 17) προσεῖπε. τί δὲ τοῦτ' ἐστί; τὸν ἐκ

---

2 διὰ om. Turn. ὑπομνήσεις HP 3 τὰ om. GH[1]P[1] τοι om. MA 4 ἀδιαφοροῦσιν MA: διαφέρουσιν GFHP, ante quod οὐ add. H[2] διακινηθεῖσαν A 4. 5 διαναστᾶσαν A 5 μὲν om. F 6 ὑπετόπησεν τὸν θεὸν ἐν N 8 γάρ om. MA ἔστη M τῷ om. F 10 τὸν θεὸν GFHPN ὑπολαβεῖν GFHPN 13 οὕτως N, οὗτος coni. Mang. 15 ὑφεστὸς H[2] 16 μετὰ κόσμον P(H[1]) 17 ἀγέννητον AGFN ἀλλὰ] ἀλλὰ καὶ GFHPN 20 ἐδόξασας A ἔστι om. A τῶ codd. N, in ras. H, om. Turn. 21 ἀληθινὸν HP 22 δὲ om. GFHPN, δὴ A 23 ἄρα] ἔτι H[1]P ὄντος] ὄντως θεοῦ L[1]v 25 προεῖπε H[1]P[1] δ' ἐστὶ τοῦτο FN τὸν ἐκ om. N τὸν] τῶν A

---

4—245, 17 N fol. 151r διακινηθεῖσα — ἅλις. 16 cf. Epicurea p. 240, 33. 242, 3.

τῶν ἰδεῶν συσταθέντα, ἐν τῷ χειροτονηθέντι κατὰ τὰς θείας χορηγίας, p. 649 M. κόσμον νοητὸν | οὐκ ἔνεστιν ἄλλως καταλαβεῖν ὅτι μὴ κατὰ τὴν τοῦ αἰσθητοῦ καὶ ὁρωμένου τούτου μετάβασιν. οὐδὲ γὰρ ἄλλο τῶν ὄντων 187 οὐδὲν ἀσώματον ἐννοῆσαι δυνατὸν ὅτι μὴ τὴν ἀρχὴν λαβόντας ἀπὸ σωμάτων· ἠρεμούντων μὲν γὰρ ἐνοήθη τόπος, χρόνος δὲ κινουμένων, σημεῖα δὲ καὶ γραμμαὶ καὶ ἐπιφάνειαι καὶ συνόλως πέρατα ἀπὸ τῆς ἐξωτάτω περικειμένης οἷον ἀμπεχόνης. κατὰ τὸ ἀνάλογον οὖν καὶ ὁ 188 νοητὸς ἀπὸ τοῦ αἰσθητοῦ κόσμος ἐνοήθη, πύλη τις ὢν ἐκείνου. ὡς γὰρ οἱ βουλόμενοι τὰς πόλεις θεάσασθαι διὰ πυλῶν εἰσίασιν, οὕτως ὅσοι τὸν ἀειδῆ κόσμον καταλαβεῖν ἐθέλουσιν, ὑπὸ τῆς τοῦ ὁρατοῦ φαντασίας ξεναγοῦνται. [ὁ δὲ νοητῆς ὑποστάσεως κόσμος ἄνευ ἡστινοσοῦν σχημάτων ὄψεως, μόνης δὲ διὰ τῆς ἀρχετύπου ἰδέας τῆς ἐν τῷ διαχαραχθέντι πρὸς τὸ θεαθὲν αὐτῷ εἶδος ἄνευ σκιᾶς μετακληθήσεται, πάντων αὐτῷ τειχῶν καὶ πάσης πύλης ἀπαρθέντων εἰς τὸ μὴ ἀπό τινος ἀθρῆσαι, ἀλλ' αὐτὸ καθ' αὑτὸ ἀλέκτῳ τινὶ καὶ δυσερμηνεύτῳ θέᾳ διιδεῖν κάλλος ἀναλλοίωτον.]

(33). Περὶ μὲν δὴ τούτων ἅλις. ἐφαρμόζει δὲ τῷ αὐτῷ εἴδει 189 καὶ ἕτερος ὄνειρος, ὁ περὶ τῆς ποικίλης ἀγέλης, ὃν περιαναστὰς ὁ φαντασιωθεὶς διηγεῖται φάσκων· „εἶπέ μοι ὁ ἄγγελος τοῦ θεοῦ καθ' ὕπνον· Ἰακώβ. ἐγὼ δὲ εἶπα· τί ἐστι; καὶ εἶπεν· ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου καὶ ἴδε τοὺς τράγους καὶ τοὺς κριοὺς ἀναβαίνοντας ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας διαλεύκους καὶ ποικίλους καὶ σποδοειδεῖς ῥαντούς. ἑώρακα γὰρ ὅσα σοι Λάβαν ποιεῖ. ἐγώ εἰμι ὁ θεὸς ὁ ὀφθείς σοι ἐν τόπῳ θεοῦ, οὗ ἤλειψάς μοι στήλην καὶ ηὔξω μοι εὐχήν. νῦν οὖν

---

1 ἐν τῷ ⟨αἰσθητῷ⟩ χαραχθέντα κατὰ τὰς θείας χάριτας conicio, nisi potius interpolata sunt (v. ad lin. 11); χειροτεχνηθέντι κατὰ τὰς θείας χειρουργίας coni. Markland, διαχαραχθέντι κατὰ τὰς θείας σφραγῖδας Mang. 2 ἔστιν N κατὰ τὴν MAP(H[1]): τὴν GFN, ἐκ τῆς H[2], κατὰ τὴν ⟨ἀπὸ⟩ conicio 3 μετανάβασιν G, μεταναβάσεως H[2] οὐδὲ] οὐδὲν A 4 οὐδὲν om. GFHP ἀσωμάτων G 7 ἐξωτάτης A ἀμπεχομένης H 8 πύλης ὄντος ἐκείνου coni. Mang., ⟨ὃς⟩ πύλη τις ἦν ἐκείνου conicio 9 βουλόμενοι om. G 9. 10 οὕτως ὅσοι MA, in ras. P[2]: καὶ καθὼς G, καὶ ὥσπερ FN, οὕτως καὶ οἳ in ras. H[2] 10 ἀηδῆ M, ἀεὶ δὴ A τοῦ om. FL ἀοράτου MA 11—16 emendatione abstineo, quia haec caelestis urbis imago a christiano interpolata videtur 11. 12 ἥ τινοσοῦν F, εἰς τινοσοῦν P (εἰς P[2], ut vid.) οὑτινοσοῦν σχήματος G 12 διὰ om. G 13 εἶδος αὐτῶ N 14 ἀρθέντων GFHPN 14. 15 ἀπ' εἰκόνος coni. Mang. 16 διιδεῖν M, δ' ἰδεῖν A: ἰδεῖν ceteri N 17 δὴ MA: οὖν P, om. GFHN 18 ὅνπερ ἀναστὰς v 20 εἶπεν] εἰπέ μοι GFHP τοὺς ὀφθαλμοὺς G 21 σου om. GF 23 σοι om. Turn. alterum ὁ om. P 24 τύλην (sic) A εὔξω FP[1]

ἀνάστηθι καὶ ἔξελθε ἐκ τῆς γῆς ταύτης καὶ ἄπελθε εἰς τὴν γῆν τῆς
190 γενέσεώς σου, καὶ ἔσομαι μετὰ σοῦ“ (Gen. 31, 11—13). ὁρᾷς ὅτι
θεοπέμπτους ὀνείρους ἀναγράφει ὁ θεῖος λόγος οὐ μόνον τοὺς κατὰ τὸ
πρεσβύτατον τῶν αἰτίων προφαινομένους, ἀλλὰ καὶ τοὺς διὰ τῶν ὑπο-
φητῶν αὐτοῦ καὶ ὀπαδῶν ἀγγέλων, οἳ θείας καὶ εὐδαίμονος μοίρας
191 πρὸς τοῦ γεννήσαντος ἠξίωνται πατρός. σκόπει μέντοι καὶ τὸ ἀκόλου-
θον. ὁ ἱερὸς λόγος τοῖς μὲν ὡς βασιλεὺς ἃ χρὴ πράττειν ἐξ ἐπιτάγ-
ματος παραγγέλλει, τοῖς δὲ ὡς γνωρίμοις διδάσκαλος τὰ πρὸς ὠφέλειαν
ὑφηγεῖται, τοῖς δὲ ὡς σύμβουλος γνώμας εἰσηγούμενος τὰς ἀρίστας τὸ
συμφέρον ἐξ ἑαυτῶν οὐκ εἰδότας μεγάλα ὠφελεῖ, τοῖς δὲ ὡς φίλος
ἐπιεικῶς καὶ μετὰ πειθοῦς πολλὰ καὶ τῶν ἀρρήτων ἀναφέρει, ὧν οὐ-
192 δένα τῶν ἀτελέστων ἐπακοῦσαι θέμις. ἔστι | δ' ὅτε καὶ πυνθάνεταί p. 650 M.
τινων, ὥσπερ τοῦ Ἀδάμ· „ποῦ εἶ“ (Gen. 3, 9), πρὸς ὃ ἀποκρίναιτ' ἂν
τις οἰκείως „οὐδαμοῦ“, τῷ τἀνθρώπεια πάντα ἐν ὁμοίῳ μὴ μένειν, ἀλλὰ
κινεῖσθαι καὶ ψυχῇ καὶ σώματι καὶ τοῖς ἐκτός. ἀνίδρυτοι μὲν γὰρ οἱ
λογισμοί, φαντασίας ἀπὸ τῶν αὐτῶν πραγμάτων οὐχὶ τὰς αὐτὰς ἀλλ'
ἐναντίας ἔχοντες, ἀνίδρυτον δὲ καὶ τὸ σῶμα, ὡς μηνύουσιν αἱ ἐκ βρέ-
φους ἄχρι γήρως τῶν ἡλικιῶν ἁπασῶν τροπαί, ἀνίδρυτα δὲ καὶ τὰ
193 ἐκτὸς ἐπῃωρημένα φορᾷ τύχης ἀεὶ σαλευούσης. (34.) ἐπειδὰν μέντοι
πρὸς τὸ τῶν φίλων ἔλθῃ συνέδριον, οὐ πρότερον ἄρχεται λέγειν ἢ
ἕκαστον αὐτῶν ἀνακαλέσαι καὶ ὀνομαστὶ προσειπεῖν, ἵνα τὰ ὦτα ἀνορ-
θιάσαντες, ἡσυχίᾳ καὶ προσοχῇ χρώμενοι, τῶν θεσμῳδουμένων εἰς
ἄληστον μνήμην ἀκούωσιν· ἐπεὶ καὶ ἑτέρωθι λέγεται· „σιώπα καὶ
194 ἄκουε“ (Deut. 27, 9). τοῦτον τὸν τρόπον ἐπὶ μὲν τοῦ βάτου Μωϋσῆς
ἀνακαλεῖται — „ὡς γὰρ εἶδε“ φησίν „ὅτι προσάγει ἰδεῖν, ἐκάλεσεν
αὐτὸν κύριος ἐκ τοῦ βάτου λέγων· Μωυσῆ, Μωυσῆ. ὁ δὲ εἶπε· τί

1 καὶ ἔξελθε om. G 2 γεννήσεως MA 3 θεοπόμπους HP[1] 4 τῶν αἰτιῶν v, τὸ αἴτιον coni. Mang. 4. 5 προφητῶν MA 6 ἠξίωται A 8 γνώριμος GFHP 9 τὸ] τοὺς τὸ v 10 αὐτῶν G μέγα HP 11 καὶ καταπειθοῦς P πολλὰ] ἀλλὰ G ὧν] οὖν F, rursus del. 11. 12 οὐδὲν (οὖν add. F[2]) αὐτῶν ἀτέλεστον (ἀτελὲς G) GFHP 13 ποῦ MA: τὸ ποῦ GFHP 13. 14 προσαποκρίνεται τ' ἂν τις οἰκεῖος A 13 ὃ] ὃν H[2], om. A ἀποκρίνετ' GF 14 τῷ om. P τὰ ἀνθρώπεια GFHP μὴ om. P ἀλλὰ] ἀλλὰ καὶ GFHP 15 αἵδρυτοι GFHP 17 αἵδρυτον GHP 18 γήρους GF ἅπασαι GFHP αἵδρυτα GHP 19 ἀπῃωρημένα AG, fort. recte 21 αὐτὸν H 21. 22 ἀθρήσαντες GF, ἀθροίσαντες H 22 θεσπιῳδουμένων conicio 24 μὲν om. GFHP τοῦ] τῆς H Μωσῆς H 26 κύριος MA: ὁ θεὸς ceteri τοῦ] τῆς MA Μωσῆ Μωσῆ MA

ἐστιν;“ (Exod. 3,4) —, Ἀβραὰμ δὲ ἐπὶ τῆς τοῦ ἀγαπητοῦ καὶ μόνου
παιδὸς ὁλοκαυτώσεως, ἡνίκα τε ἱερουργεῖν ἤρχετο καὶ ὁπότε δοὺς ἀπό-
πειραν εὐσεβείας ἐξ ἀνθρώπων ἀφανίσαι τὸ αὐτομαθὲς γένος, ἐπίκλησιν
Ἰσαάκ, ἐκωλύθη· ἀρχομένου μὲν γάρ φησιν, ὅτι „ὁ θεὸς ἐπείραζε 195
τὸν Ἀβραὰμ καὶ εἶπε πρὸς αὐτόν· Ἀβραάμ, Ἀβραάμ. ὁ δὲ εἶπεν·
ἰδοὺ ἐγώ. καὶ εἶπε· λάβε τὸν υἱόν σου τὸν ἀγαπητόν, ὃν ἠγάπησας,
τὸν Ἰσαάκ, καὶ ἀνένεγκε“, ἤδη δὲ τὸ ἱερεῖον ἐπὶ τὸν βωμὸν
ἀνενηνοχότος, τότε „ἐκάλεσεν αὐτὸν ἄγγελος κυρίου ἐκ τοῦ οὐρανοῦ
λέγων· Ἀβραάμ, Ἀβραάμ. ὁ δὲ εἶπεν· ἰδοὺ ἐγώ. καὶ εἶπε· μὴ ἐπι-
βάλῃς τὴν χεῖρά σου ἐπὶ τὸ παιδάριον, μηδὲ ποιήσῃς αὐτῷ μηδέν“
(Gen. 22,1. 2. 9—12). εἶς δὲ δὴ τοῦ φιλικοῦ θιάσου καὶ ὁ ἀσκητὴς 196
ὢν εἰκότως προνομίας τῆς αὐτῆς ἀξιωθεὶς ἀνακαλεῖται· „εἶπε γάρ μοι“
φησίν „ὁ ἄγγελος τοῦ θεοῦ καθ’ ὕπνον· Ἰακώβ. ἐγὼ δὲ εἶπα· τί
ἐστιν“ (Gen. 31, 11); ἀνακληθεὶς δὲ προσοχῇ χρῆται, τὰ φανέντα 197
σημεῖα πειρώμενος ἀκριβοῦν, ἔστι δὲ τὰ σημεῖα τῶν λόγων οἷα θρεμμά-
των ὀχεῖαί τε καὶ γενέσεις· „ἀναβλέψας“ γάρ φησι „τοῖς ὀφθαλμοῖς
εἶδε τοὺς τράγους καὶ τοὺς κριοὺς ἀναβαίνοντας ἐπὶ τὰ πρόβατα καὶ
τὰς αἶγας“ (Gen. 31, 12). αἰπολίου μὲν δὴ τράγος, ποίμνης δὲ κριὸς 198
ἡγεμών ἐστι· τὰ δὲ ζῷα ταῦτα δυεῖν λόγων σύμβολα τελείων, ὧν ὁ
μὲν ἕτερος καθαίρει καὶ κενοῖ ψυχὴν ἁμαρτημάτων, ὁ δὲ ἕτερος τρέφει
καὶ πλήρη κατορθωμάτων ἐργάζεται. τοιοῦτοι μὲν οἱ ἡγεμόνες ἐν
ἡμῖν ἀγελάρχαι λόγοι· αἱ δὲ ἀγέλαι προβάτοις καὶ αἰξὶ φερωνύμως δια-
τεθεῖσαι ᾄττουσι καὶ προβαίνουσι μετὰ σπουδῆς πρὸς δικαιοσύνην.
p. 651 M. ἀναβλέψας | οὖν τὸ τέως μεμυκὸς ὄμμα τῆς διανοίας εἶδε τοὺς ἀνα- 199
λογοῦντας τράγοις καὶ κριοῖς τελείους λόγους ἠκονημένους πρός τε

---

1 τῆς om. P  4 ἀρχόμενος MA  μὲν γάρ φησιν GFHP: φησὶ γὰρ MA  5 alt. Ἀβραάμ om. F  7 ἀνένεγκαι A  8 ἀνενηνοχότως AF  τότε] ὅτι conicio  11 φιλικοῦ GH$^2$: φιλιακοῦ ceteri  12 ὧν MA: ὃν ceteri  προνομίας τῆς MA: προνομιαστὴς P (sed ν corr.), προοιμιαστὴς GH, προνοίας τῆς F  ἀξιωθεὶς om. G  14 ἀνακλιθεὶς A  15 τῶν om. GFHP  16 γάρ φησι GHP: γὰρ MAF  τοὺς ὀφθαλμοὺς G  17 ἴδε conicio  19 δυεῖν A: δυοῖν M, δυσὶ ceteri  21 οἱ om. F  22 φερωνύμως H (man. rec. A): φερωνυμοῦσαι ceteri  22. 23 διατεθεῖσαι H(P$^1$, Hoesch. in A): διαθέσει MAP$^2$, διατεθεὶς GF, φερωνύμως ἔχουσαι διαθέσει conicio  23 ᾄττουσι καὶ προβαίνουσι H$^2$: ᾄττουσαι καὶ προβαίνουσαι ceteri, quod servat Cohn scribens φερώνυμοί εἰσι διαθέσει  24 τότε ὡς HP  μεμυηκὸς F, μεμυκὼς HP  τῆς] τὸ H

---

25 sqq. cf. *Ambros. de fuga saeculi 4,22:* variarum ovium sibi instituit gre-

μείωσιν ἀδικημάτων καὶ ὧν χρὴ πράττειν συναύξησιν, πῶς ἐπὶ τὰ
πρόβατα καὶ τὰς αἶγας, τὰς ἔτι νέας καὶ ἁπαλὰς ψυχὰς ἄρτι ἡβώσας
καὶ ἄνθει τῷ τῆς ἀκμῆς ὡραϊζομένας, ἀναβαίνουσιν οὐκ ἄλογον ἡδονὴν
200 διώκοντες, ἀλλ' ἀοράτῳ σπορᾷ φρονήσεως χρώμενοι δογμάτων. εὔπαις
γὰρ ὁ γάμος οὗτος οὐ σώματα συμπλέκων, ἀλλ' εὐφυέσι ψυχαῖς τελείας
ἀρετὰς ἁρμοζόμενος. ἐπιβαίνετε οὖν οἱ σοφίας ὀρθοὶ λόγοι πάντες,
ὀχεύετε, σπείρετε, καὶ ἣν ἂν ἴδητε ψυχὴν βαθεῖαν, εὔγειον, παρθένον,
μὴ παρέλθητε, καλέσαντες δ' εἰς τὴν ὁμιλίαν καὶ συνουσίαν ἑαυτῶν
τελειώσατε καὶ ἐγκύμονα ἀπεργάσασθε· τέξεται γὰρ πάντα ἀστεῖα,
γενεὰν ἄρρενα „διαλεύκων, ποικίλων, σποδοειδῶν ῥαντῶν" (Gen.
31, 10).
201 (35.) Ἣν δ' ἔχει τῶν γεννημάτων τούτων ἕκαστον δύναμιν,
ἐρευνητέον. διάλευκοι μὲν τοίνυν εἰσὶν οἱ τηλαυγέστατοι καὶ ἀριδηλό-
τατοι, τοῦ „διά" πολλάκις ἐπὶ τοῦ μεγάλου τιθεμένου, ἀφ' οὗ διάδη-
λον καὶ διάσημον τὸ μεγάλως δῆλον καὶ μεγάλως ἐπίσημον ἔθος ὀνο-
202 μάζειν ἐστί. βούλεται οὖν τῆς τὸν ἱερὸν σπόρον παραδεξαμένης ψυχῆς
τὰ πρωτότοκα γεννήματα διάλευκα εἶναι, φωτὶ ἐοικότα οὐκ ἀμυδρῷ,
φέγγει δὲ τηλαυγεστάτῳ, οἷα γένοιτ' ἂν ἀφ' ἡλιακῶν ἀκτίνων ἄσκιος
ἐν αἰθρίᾳ κατὰ μεσημβρίαν αὐγή· βούλεται δὲ καὶ ποικίλα οὐ πολυ-
μόρφου καὶ πολυτρόπου λέπρας ἀκαθάρτου τρόπον, διὰ γνώμης ἀβεβαι-
ότητα χρησόμενα ἀστάτῳ καὶ φορουμένῳ βίῳ, ἀλλὰ γράμμασιν ἐγκεχο-
λαμμένα καὶ σφραγῖσι διαφόροις, δοκίμοις δὲ πάσαις τετυπωμένα, ὧν

---

1 πῶς] ὡς A  2 ἄρτι] καὶ ἄρτι P  3 ἀναβαίνουσιν GFHP: ἀνάβαίνουσι δ' MA, ἀναβαίνουσιν· ἀναβαίνουσι δ' conicio  ἡδονῆς P  4 ἀοράτων A (M evanidus), tum καὶ add. GFHP  5 σώματι L  6 ἐργαζόμενος G  8 δὲ GHP, om. F  ἑαυτῶν MAP²: om. ceteri  9 τέξεται AGF: τέξετε HP, τετάξεται M  πάντα] γεννήματα coni. Mang.  post πάντα add. τὰ H¹P  10 γενεὰν om. MA  12 δὲ GFHP  ἑκάστων H¹P  13 μὲν om. GFHP  14 post διὰ add. τοῦ FL  16 ἐστίν F  βούλετ' GH¹P  18 διαυγεστάτω GFHP  οἷα scripsi: οἷα codd.  19 ποικίλα, οὐ ⟨ποικιλίᾳ⟩ coni. Mang.  19. 20 πολυμόρφου καὶ πολυτρόπου scripsi: πολυμόρφω καὶ πολυτρόπω M, πολυτρόπω A, πολυμόρφω καὶ ποικίλω καὶ πολυτρόπω GFHP  21 χρησάμενα GFH², χρησάμενος H¹P  21. 22 ἐκκεχολαμμένα G  22 δοκίμως A  post δὲ add. δοκίμοις, sed rursus del. HP  22. 249,1 ὧν ἀϊδιότητες GFHP

---

gem, sed illum rationabilem, virtutum plurimarum diversitate fulgentem. *de Iacob II 4,19.*

αἱ ἰδιότητες ἀναμιχθεῖσαι καὶ ἀνακραθεῖσαι μουσικὴν συμφωνίαν ἐργά-
σονται. τὴν γὰρ ποικιλτικὴν τέχνην ἐνόμισαν μέν τινες οὕτως ἠμε- 203
λημένον καὶ ἀφανὲς εἶναι πρᾶγμα, ὥστε ὑφάνταις αὐτὴν ἀνέθεσαν.
ἐγὼ δ' οὐ μόνον αὐτήν, ἀλλὰ καὶ τοὔνομα τέθηπα, καὶ μάλισθ' ὅταν
εἰς τὰ γῆς τμήματα καὶ τὰς ἐν οὐρανῷ σφαίρας καὶ ζῴων καὶ φυτῶν
διαφορὰς καὶ τὸ παμποίκιλον ὕφασμα, τουτονὶ τὸν κόσμον, ἀπίδω. τὸν 204
γὰρ τοῦ πλέγματος παντὸς τούτου δημιουργὸν εὑρετὴν τῆς ποικιλτικῆς
ἐπινοεῖν εὐθὺς ἐπιστήμης ἀναγκάζομαι, καὶ σέβομαι μὲν τὸν εὑρόντα,
τιμῶ δὲ τὴν εὑρεθεῖσαν, τὸ δ' ἔργον καταπέπληγμαι, καίτοι μηδὲ
πολλοστὸν μέρος αὐτοῦ δυνηθεὶς ἰδεῖν, ἀπὸ δὲ τοῦ φανέντος μοι μέρους,
εἰ δὴ καὶ πέφηνεν, ἀκριβῶς τὸ ὅλον εἰκάζων ἀναλογίας ἐλπίδι. θαυ- 205
p. 652 M. μάζω μέντοι καὶ | τὸν σοφίας ἐραστήν, ὅτι τὴν αὐτὴν τέχνην ἐπιτετή-
δευκε, πολλὰ καὶ διαφέροντα ἐκ διαφερόντων εἰς ταὐτὸ συνάγειν καὶ
συνυφαίνειν ἀξιῶν. λαβὼν γὰρ ἀπὸ μὲν τῆς παιδικῆς γραμματικῆς δύο
τὰ πρῶτα, τό τε γράφειν καὶ τὸ ἀναγινώσκειν, ἀπὸ δὲ τῆς τελειοτέρας
τήν τε παρὰ ποιηταῖς ἐμπειρίαν καὶ τὴν ἀρχαίας ἱστορίας ἀνάληψιν,
παρὰ δὲ ἀριθμητικῆς καὶ γεωμετρίας τὸ ἀνεξαπάτητον ἐν οἷς ἀναλογίας
καὶ λογισμῶν ἐστι χρεία, παρὰ δὲ μουσικῆς ῥυθμοὺς καὶ μέτρα τά τε
ἐναρμόνια καὶ χρωματικὰ καὶ διατονικά, συνημμένα τε αὖ καὶ διεζευ-
γμένα μέλη, παρὰ δὲ ῥητορικῆς εὕρεσιν, φράσιν, τάξιν, οἰκονομίαν,
μνήμην, ὑπόκρισιν, παρὰ δὲ φιλοσοφίας ὅσα τε ἐν ταύταις παραλέλειπται
καὶ ἄλλα ἐξ ὧν ἅπας ὁ ἀνθρώπων βίος συνέστηκεν, ἓν ἔργον εὐαν-
θέστατον ἡρμόσατο, εὐμάθειαν πολυμαθείᾳ μίξας. καὶ τὸν τούτου τοῦ 206
πλέγματος δημιουργὸν ὁ ἱερὸς λόγος Βεσελεὴλ ἐκάλεσεν (Exod. 31, 2ss.),

---

1 καὶ ἀνακραθεῖσαι om. MA ἀνακραθεῖσαι man. 2 in Vat. 379 (coni. Mang.): ἀνακριθεῖσαι GFHP 2 ποικιλτικὴν Mang.: ποικίλην codd. 3 ὑφάντες L, ὑφήναντες Turn. 4 δὲ GFHP τοὔνομα] τὸν εὑρόντα coni. Mang. μάλιστα GF 5 ⟨τὰς⟩ ζῴων conicio 7 πλέγματος om. A παντὸς om. GFHP post δημιουργὸν add. καὶ $H^2$ 10 δὲ τοῦ] τοῦ καὶ Turn. 11 ἤδη $GFHP^1$ εἰκάζω $H^2$ ἀναλογίᾳ καὶ λογισμοῖς coni. Mang., ἀναλογίας κανόσι conicio 13 ἐκ διαφερόντων om. A συνάγειν Mang.: συνάγων codd. N 16 παρὰ MA: παρὰ τοῖς FHPN, τοῖς παρὰ G alt. τὴν] τῆς FN 18 τῆς μουσικῆς HP τά] καὶ N τε om. GFHPN 21 μνῆσιν $H^1P^1$ 22 ἓν] εὖ $FP^1N$ 23 πολυμάθειαν $GFHP^1N$ πολυμαθείᾳ] πολυμάθειαν G συμμίξας Oxon. Coll. Novi 143 24 πράγματος GFHPN βελσεσαεὴλ G, βελσελεὴλ F

---

11—250,4 N fol. $151^v$: θαυμάζω — κατεσκεύασται.

ὃς ἑρμηνευθείς ἐστιν ἐν σκιᾷ θεοῦ. τὰ γὰρ μιμήματα οὗτος, τὰ δὲ
παραδείγματα ἀρχιτεκτονεῖ Μωυσῆς· διὰ τοῦθ' ὁ μὲν οἷα σκιὰς ὑπε-
γράφετο, ὁ δ' οὐ σκιάς, αὐτὰς δὲ τὰς ἀρχετύπους ἐδημιούργει φύσεις.
207 εἰ δὴ καὶ τὰ ἅγια ποικιλτικῇ τέχνῃ κατεσκεύασται καὶ ὁ σοφὸς ποικιλ-
τὴς μόνος ἐν τοῖς ἱεροφαντηθεῖσι χρησμοῖς ἀνείρηται (36.) καὶ τὸ
τοῦ θεοῦ καλὸν ποίκιλμα, ὅδε ὁ κόσμος, ἐπιστήμῃ πανσόφῳ τετελεσιούρ-
γηται, πῶς οὐκ ἄξιον ὡς ἐργαλεῖον τῆς ἐπιστήμης ἀποδέχεσθαι ποικιλτι-
208 κήν; ἧς ἀφίδρυμα ἱερώτατον πᾶς ὁ σοφίας οἶκος ἀγαλματοφορήσει καὶ
κατ' οὐρανὸν καὶ ἐπὶ γῆς, ἀφ' ἧς ποικίλων λόγων ἰδέας ὁ ἀσκητὴς
ἐκπονεῖ· μετὰ γὰρ τοὺς διαλεύκους εὐθὺς τοὺς ποικίλους εἶδε, παιδείας
209 κόμματι χαραχθέντας. τρίτοι δ' εἰσὶν οἱ σποδοειδεῖς ῥαντοί. καίτοι
τίς οὐκ ἂν εὖ φρονῶν εἴποι τῷ γένει καὶ τούτους εἶναι ποικίλους;
ἀλλὰ γὰρ οὐκ ἔστιν αὐτῷ περὶ θρεμμάτων διαφορᾶς ἡ τοσαύτη σπουδή,
210 περὶ μέντοι τῆς πρὸς καλοκἀγαθίαν ἀγούσης ὁδοῦ. βούλεται γὰρ τὸν
ἐπὶ ταύτην ἰόντα σποδῷ καὶ ὕδατι περιρραίνεσθαι, διότι γῆν καὶ ὕδωρ
λόγος ἔχει φυραθέντα καὶ μορφωθέντα πρὸς τοῦ ἀνθρωποπλάστου εἰς
τὸ ἡμέτερον ἀποκριθῆναι σῶμα, οὐ χειρόκμητον, ἀλλὰ φύσεως ἔργον
211 ἀοράτου. σοφίας οὖν ἐστιν ἀρχὴ μὴ ἐπιλανθάνεσθαι ἑαυτοῦ, τὰ δ' ἐξ
ὧν συνεκρίθη πρὸ ὀφθαλμῶν ἀεὶ λαμβάνειν· οὕτως γὰρ μεγαλαυχίαν,
τὸ κακῶν | θεομισέστατον, ἐκνίψαιτ' ἄν. τίς γὰρ εἰς νοῦν βαλλόμενος, p. 653 M.
ὅτι τέφρα καὶ ὕδωρ εἰσὶν αὐτῷ τῆς γενέσεως αἱ ἀρχαί, φυσηθεὶς ὑπ'
212 οἰήσεως μετέωρος ἀρθήσεται; διὰ τοῦτο καὶ τοὺς μέλλοντας ἱερουργεῖν
περιρραίνεσθαι τοῖς λεχθεῖσιν ἐδικαίωσεν, οὐδένα θυσιῶν ἄξιον νομίσας,

---

1 θεοῦ] ποιῶν θεός MA, ποιῶν θεοῦ conicio 2 ἀρχιτέκτονι GFN, ἀρχιτέκτονος HP, ἀρχιτέκτων Turn. post Μωυσῆς add. ὄνομα GFHPN τοῦτ' P, τοῦτο GFHN 4 εἰ δὴ A: καὶ ἤδη MG, καὶ εἴδη FHPN 4 κατεσκεύασεν GH², κατεσκεύαζεν v καὶ ὁ σοφὸς MA: ὁ δὲ σοφίας χῶρος (χώρας Turn.) ὁ σοφὸς (ὁ σοφὸς om. H) GFHP 4. 5 ποικιλτιστὴς A 5 μόνος A: μόνον ceteri ἐν τοῖς] ἑαυτοὺς A ἀνήρηται AGH¹P τὸ om. GFH¹P¹ 6 ὁ om. A 7 πῶς MA: καὶ πῶς ceteri ἐργαλεῖον Cohn: μεγαλεῖον codd. 8 ἧς Turn.: οὗ codd., fort. lacuna statuenda est οἶκος MAGF: λόγος (ὃς add. H²) HP καὶ] τὰ coni. Mang. 10 διαλέκτους A (corr. Hoesch.) 12 οὐκ om. FHP¹ 13 τοιαύτη coni. Cohn 14 ἀγούσης om. GFHP 15 ταύτην scripsi: ταῦτα MA, ταύτῃ GFH, ταύ[τ] P ἰόντα M: ὕοντα A, ὄντα ceteri περιραίνεσθαι GF, item lin. 23 16 τοὺς ἀνθρωποπλάστους (ἀνθρωποπλέκτους F) GFH¹P¹ μορφωθέντα] φυραθέντα A (corr. Hoesch.) 19 συνεκράθη H 20 κακῶν M: κακὸν ceteri τί Turn. βαλόμενος A, fort. recte 21 εἰσὶν αὐτῷ τῆς MA: ἐστὶ G, ἐστὶ τῆς FHP αἱ om. GFH¹P 21. 22 ὑπὸ οἰκήσεως A 23. 251,1 θυσιῶν — ἀνθρωπίνην in mg. H²

ὃς μὴ πρότερον ἑαυτὸν ἔγνωκε καὶ τὴν ἀνθρωπίνην οὐδένειαν κατείληφεν, ἐξ ὧν συνεκρίθη στοιχείων τὸ μηδενὸς ἄξιος εἶναι τεκμηράμενος.
(37.) τὰ τρία ταῦτα σημεῖα, τὸ διάλευκον, τὸ ποικίλον, τὸ σποδοει- 213
δὲς ῥαντόν, περὶ μὲν τὸν ἀσκητὴν ἅτε μήπω τέλειον ἀτελῆ, περὶ δὲ
τὸν τέλειον φαίνεται καὶ αὐτὰ τέλεια. ὃν δὲ τρόπον, θεασώμεθα· τὸν 214
μέγαν ἀρχιερέα, ὁπότε μέλλοι τὰς νόμῳ προστεταγμένας ἐπιτελεῖν λειτουργίας, ὁ ἱερὸς ἐδικαίωσε λόγος ὕδατι καὶ τέφρᾳ περιρραίνεσθαι τὸ πρῶτον (Exod. 29, 4) εἰς ὑπόμνησιν ἑαυτοῦ — καὶ γὰρ ὁ σοφὸς Ἀβραάμ, ὅτε ἐντευξόμενος ᾔει τῷ θεῷ, γῆν καὶ σποδὸν εἶπεν ἑαυτόν (Gen. 18, 27) —, ἔπειτ' ἐνδύεσθαι τὸν ποδήρη χιτῶνα καὶ τὸ ποικίλον ὃ κέκληκεν ἐπ' αὐτῷ περιστήθιον (Exod. 29, 5), τῶν κατ' οὐρανὸν φωσφόρων ἄστρων ἀπεικόνισμα καὶ μίμημα. δύο γάρ, ὡς ἔοικεν, 215
ἱερὰ θεοῦ, ἓν μὲν ὅδε ὁ κόσμος, ἐν ᾧ καὶ ἀρχιερεὺς ὁ πρωτόγονος αὐτοῦ θεῖος λόγος, ἕτερον δὲ λογικὴ ψυχή, ἧς ἱερεὺς ὁ πρὸς ἀλήθειαν ἄνθρωπος, οὗ μίμημα αἰσθητὸν ὁ τὰς πατρίους εὐχὰς καὶ θυσίας ἐπιτελῶν ἐστιν, ᾧ τὸν εἰρημένον ἐπιτέτραπται χιτῶνα ἐνδύεσθαι, τοῦ παντὸς ἀντίμιμον ὄντα οὐρανοῦ, ἵνα συνιερουργῇ καὶ ὁ κόσμος ἀνθρώπῳ
καὶ τῷ παντὶ ἄνθρωπος. δύο μὲν οὖν ἤδη, τόν τε ῥαντὸν καὶ τὸν 216
ποικίλον τύπον, ἔχων ἐπιδέδεικται· τὸν δὲ τρίτον καὶ τελειότατον, ὃς ὀνομάζεται διάλευκος, αὐτίκα σημανοῦμεν. ὅταν εἰς τὰ ἐσωτάτω τῶν ἁγίων ὁ αὐτὸς οὗτος ἀρχιερεὺς εἰσίῃ, τὴν μὲν ποικίλην ἐσθῆτα ἀπαμπίσχεται, λινῆν δὲ ἑτέραν, βύσσου τῆς καθαρωτάτης πεποιημένην, ἀνα-
λαμβάνει (Lev. 16, 4). ἡ δ' ἐστὶ σύμβολον εὐτονίας, ἀφθαρσίας, 217
αὐγοειδεστάτου φέγγους· ἀρραγής τε γὰρ ἡ ὀθόνη καὶ ἐξ οὐδενὸς τῶν

---

1 ἑαυτὸν GFHP: αὐτὸν A, αὑτὸν M οὐθένειαν P ϑ, s. s. A 2 συνεκράθη H² ἄξιον GFH 3 τὰ τρία ταῦτα MA: ταῦτα GFH¹P, ταῦτα τὰ H² 4 ῥαντὸν] ἑαυτόν F ante ἀτελῆ add. ἑωρακότα GFHP (ἕωλα καὶ coni. Mang.) 4. 5 ἀτελῆ—τέλειον om. A 6 μέγαν] μὲν γὰρ GFHP 9 ᾔει M, s. s. H: εἴη ceteri τῷ om. HP θεῷ om. H¹P¹ ἑαυτῶ A 10 τὸ] τὸν Turn. 11 ὃ κυκλῳ εἶχεν ἐπ' coni. Mang., ὃ πέπηκται ἐπ' conicio 12 ἀστέρων A 13 πρωτόγονος] καὶ μόνος s. s. F² 15 καὶ MAG: τε καὶ FHP 16 ἱερωμένον F ἐπιγέγραπται L 17 ἀντιμίμημα GFHP ἵνα] ἵνα καὶ A 18 ὁ ἄνθρωπος G εἴδη G²PH¹ τό τε H² 18 alterum τὸν om. GFHP 19 τύπων P² τελεώτατον A 20 διάλευκον P ἐσώτατα FHP 21 ὁ ἀρχιερεὺς F 21. 22 ἀπαμπίσχεται M: ὡς ἀμπίσχεται A, ἀπαμφίσκεται GFHP (π s. s. P²) 22 βύσσον A 23 ἀφθαρσίας om. GFHP, tum καὶ add. Mang. 24 αὐτοειδεστάτου prius GF ἀρραγής τε scripsi: καθαρά τε MAP², ἀρραγεστέρα GFP¹, ἀρραγέστατον H οὐθενὸς MAF

ἀποθνῃσκόντων γίνεται καὶ ἔτι λαμπρότατον καὶ φωτοειδέστατον ἔχει
218 μὴ ἀμελῶς καθαρθεῖσα χρῶμα. διὰ δὲ τούτων ἐκεῖνο αἰνίττεται, ὅτι
τῶν ἀδόλως καὶ καθαρῶς θεραπευόντων τὸ ὂν οὐδείς ἐστιν ὃς μὴ πρῶ-
τον μὲν ἰσχυρογνωμοσύνῃ κέχρηται καταφρονήσας τῶν ἀνθρωπείων
πραγμάτων, ἃ δελεάζοντα χηραίνει καὶ ἀσθένειαν ἐργάζεται, | ἔπειτα p. 654 M.
ἀφθαρσίας ἐφίεται γελάσας ὅσα οἱ θνητοὶ τυφοπλαστοῦσι, τελευταῖον
δὲ ἀληθείας ἀσκίῳ φέγγει καὶ περιαυγεῖ καταλάμπεται, μηδὲν ἔτι
τῶν τῆς ψευδοῦς δόξης, ἃ σκότῳ φίλα εἶναι συμβέβηκε, προσιέμενος.
219 (38.) ὁ μὲν δὴ μέγας ἀρχιερεὺς τρισὶ ταῖς εἰρημέναις τυπωθεὶς
σφραγῖσι, τῇ διαλεύκῳ, τῇ ποικίλῃ, τῇ σποδοειδεῖ ῥαντῇ, τοιοῦτος ἡμῖν
ἀναγεγράφθω· τὸν δὲ τῆς ἀνθρωπίνης πολιτείας ἐφιέμενον, Ἰωσὴφ
ὄνομα, τῶν μὲν ἄκρων ἰδεῖν ἔστι μὴ μεταποιούμενον χαρακτήρων, μόνου
220 δὲ τοῦ μέσου καὶ ποικίλου. λέγεται γὰρ ὅτι χιτῶνα ποικίλον ἔσχεν
(Gen. 37, 3), οὔτε καθαρσίοις περιρρανάμενος ἱεροῖς, ἀφ' ὧν ἑαυτὸν
ἂν ἔγνω τέφρας καὶ ὕδατος συμφόρημα, οὔτε τῆς πανλεύκου καὶ φωτο-
ειδεστάτης ἐσθῆτος, ἀρετῆς, ψαῦσαι δυνηθείς, ἀλλὰ τὸ τῆς πολιτείας
ἐπαμπισχόμενος ὕφασμα παμποίκιλον, ᾧ βραχύτατον μέρος ἀληθείας
ἐγκαταμέμικται, πολλαὶ δὲ καὶ μεγάλαι μοῖραι ψευδῶν εὐλόγων πιθα-
νῶν εἰκότων, ἐξ ὧν οἱ Αἰγύπτου πάντες ἀνέβλαστον σοφισταί, οἰωνο-
μάντεις, ἐγγαστρίμυθοι, τερατοσκόποι, δεινοὶ παλεῦσαι καὶ κατεπᾷσαι
221 καὶ γοητεῦσαι, ὧν τὰς ἐπιβούλους τέχνας μέγα ἔργον διεκδῦναι. διὸ καὶ
τὸν χιτῶνα τοῦτον εἰσάγει Μωυσῆς φυσικῶς αἵματι πεφυρμένον (Gen. 38,
31), ἐπειδὴ πᾶς ὁ τοῦ πολιτευομένου βίος πέφυρται, πολεμῶν τε καὶ πολε-
μούμενος καὶ ὑπὸ τῶν προσπιπτουσῶν ἀβουλήτων συντυχιῶν βαλλό-
222 μενος καὶ τοξευόμενος. ἐρεύνησον οὖν τὸν λίαν δημοτικόν, ᾧ τὰ
πόλεως πράγματα ἐφορμεῖ, μὴ καταπλαγεὶς τοὺς θαυμαστικῶς ἔχοντας
αὐτοῦ, καὶ πολλὰς μὲν ἐμφωλευούσας νόσους εὑρήσεις, πολλὰς δ' ἐξημ-
μένον χήρας καὶ βιαίως ἑκάστην τὴν ψυχὴν αὐχενίζουσαν καὶ ἀφανῶς

---

3 τῶν] τὸν F 4 ἀνθρωπίνων GFHP 6 θνητοὶ MAP²: τυφλοὶ ceteri τυφοπλαστοῦσι F: τυφλοπλαστοῦσι ceteri 9 ante τρισὶ add. τῆς ὁμολογίας GFHP, interpolatum ex Epist. ad Hebraeos 3, 1 10 ποικίλω HP, G ut vid. 13 εἶχεν GFHP 14 περιρανάμενος MAGF ἀφ'] ἐφ' A 15 ἂν ἔγνω A: ἀνέγνω ceteri οὔτε] οὗ F 17 ἀληθείας μέρος (μέθος F) GFHP 18 ἀλόγων A 19 οἱ MA: οἱ ἀπ' ceteri σοφίας G 19. 20 οἷς ὀνόματ' εἰσὶν A 20 παλαῖσαι GHP, παλάσαι F κατασπᾶσαι GFHP 22 Μωσῆς codd. περιφυρμένον G 23 πᾶς om. G 25 δημοκοπικὸν A, δημωτικὸν G 26 καταπλαγῆς GFHP 27. 28 ἐξ ὑμένων A, ἐξημμένας conicio 28 ἑκάστην MA: ἐφ' ἑκάτερα GHP, ἑκάτερα F

αὐτῇ προσπαλαίουσαν καὶ ζητοῦσαν ἀνατρέψαι καὶ καταβαλεῖν, ἢ τοῦ
πλήθους τῇ προστασίᾳ δυσχεράναντος ἢ κατὰ ἀντεπίθεσιν δυνατωτέρου
ἀνδρός. ἔστι δὲ καὶ ὁ φθόνος βαρὺς καὶ δυσαπότριπτος ἐχθρός, ἐπι- 223
φυόμενος ἀεὶ ταῖς λεγομέναις εὐπραγίαις, ὃν οὐ ῥᾴδιον ἐκφυγεῖν.
(39.) τί οὖν ὡς ἐσθῆτα πολυτελῆ τὴν ἐπηνθισμένην πολιτείαν ἀνα- 224
ψάμενοι γαυριῶμεν, τῷ εὐπρεπεῖ τῆς φανερᾶς ὄψεως ἀπατώμενοι, τὸ
δ' ἀφανὲς καὶ κεκρυμμένον ἐπίβουλον καὶ σφαλερὸν αἶσχος αὐτῆς οὐ
κατανοοῦντες; ἀποδυσάμενοι δὴ τὸν ἀνθηρὸν τοῦτον χιτῶνα τὸν ἱερὸν 225
ἐνδυώμεθα ἀρετῶν ποικίλμασιν ἐνυφασμένον· οὕτως γὰρ καὶ τὰς ἐνέδρας
ἀποδρασόμεθα, ἃς ἀτεχνία καὶ ἀνεπιστημοσύνη καὶ ἀπαιδευσία καθ'
ἡμῶν τιθέασιν, ὧν ὁ Λάβαν ἐστὶ θιασώτης. ἐπειδὴ γὰρ ἐκάθηρεν 226
p. 655 M. ἡμᾶς ὁ ἱερὸς λόγος τοῖς εἰς ἁγιστείαν | εὐτρεπισθεῖσι περιρραντηρίοις
καὶ τοῖς ἀπορρήτοις φιλοσοφίας ἀληθοῦς κατεποίκιλε λόγοις ἀγαγὼν εἰς
τὸ δοκίμιον καὶ διασήμους καὶ ἐπιφανεῖς καὶ λαμπροὺς ἐποίησεν, αἰτιᾶται
τὸ ἐπίβουλον ἦθος, πρὸς τὴν τῶν λεχθέντων ἀνηρεθισμένον λώβην.
φησὶ γάρ· „ἑώρακα ὅσα σοι Λάβαν ποιεῖ“ (Gen. 31, 12), τἀναντία 227
δήπουθεν οἷς ἐδωρησάμην ἐγώ, τὸ δυσκάθαρτον καὶ τὸ ἀδόκιμον,
τὸ πάντῃ σκοταῖον. ἀλλὰ γὰρ οὐ χρὴ κατεπτηχέναι τὸν ἐλπίδι
θείας συμμαχίας ἐφορμοῦντα, ᾧ καὶ λέγεται· „ἐγώ εἰμι ὁ θεὸς ὁ
ὀφθείς σοι ἐν τόπῳ θεοῦ“ (Gen. 31, 13). πάγκαλόν γε αὔχημα 228
ψυχῇ, τὸ ἀξιοῦν θεὸν ἐπιφαίνεσθαι καὶ ἐνομιλεῖν αὐτῇ. μὴ παρέλθῃς
δὲ τὸ εἰρημένον, ἀλλὰ ἀκριβῶς ἐξέτασον, εἰ τῷ ὄντι δύο εἰσὶ θεοί·
λέγεται γὰρ ὅτι „ἐγώ εἰμι ὁ θεὸς ὁ ὀφθείς σοι“, οὐκ ἐν τόπῳ ἐμῷ,
ἀλλ' „ἐν τόπῳ θεοῦ,“ ὡς ἂν ἑτέρου. τί οὖν χρὴ λέγειν; ὁ μὲν ἀλη- 229
θείᾳ θεὸς εἷς ἐστιν, οἱ δ' ἐν καταχρήσει λεγόμενοι πλείους. διὸ καὶ
ὁ ἱερὸς λόγος ἐν τῷ παρόντι τὸν μὲν ἀληθείᾳ διὰ τοῦ ἄρθρου μεμή-

1 αὐτὴν GFHP ἀναστρέψαι P 2 κατὰ ἀντιπείθεσιν A 3 δυσαπότρεπτος coni. Mang. 5. 6 ἐσθῆτος πολυτελοῦς τῆς ἐπηνθισμένης πολιτείας ἀψάμενοι v ἀψάμενοι GFHP 7 prius καὶ om. GFPL 10 ἀποδράσομεν MA 11 τίθησιν GFHP 12 ἁγιστίαν A, ἀγιστίαν HP 13 ἀπορρήτοις et ἀληθοῦς om. MAP² 14 δόκιμον H, δοκιμεῖον conicio 15 ῥηθέντων HP ἀνηρεθισμένων G, ἀνηρεθισμένην P 16 ὅσα MA: ἃ GFHP 17 alt. τὸ om. FHP 19 ὁ om. HP 21 θεῷ A 22 ἀλλ' GFHPN τῷ ὄντι om. GFHPN 23 ὅτι om. GFHPN τῷ ἐμῷ GFHPN 25 γενόμενοι HP 26 ὁ ἱερὸς λόγος GFHPN: Μωυσῆς MA διὰ τοῦ ἄρθρου om. A

21—254,10 N fol. 151ᵛ: μὴ παρέλθῃς—ὕπαρξιν. 24 ss. cf. Augustini Locutionum in Hept. lib. I ad Gen. 31,13.

νυχεν εἰπών· „ἐγώ εἰμι ὁ θεός“, τὸν δ' ἐν καταχρήσει χωρὶς ἄρθρου
φάσκων· „ὁ ὀφθείς σοι ἐν τόπῳ“, οὐ τοῦ θεοῦ, ἀλλ' αὐτὸ μόνον
230 „θεοῦ“. καλεῖ δὲ θεὸν τὸν πρεσβύτατον αὐτοῦ νυνὶ λόγον, οὐ δεισι-
δαιμονῶν περὶ τὴν θέσιν τῶν ὀνομάτων, ἀλλ' ἓν τέλος προτεθειμένος,
πραγματολογῆσαι. καὶ γὰρ ἐν ἑτέροις σκεψάμενος, εἰ ἔστι τι τοῦ ὄντος
ὄνομα, σαφῶς ἔγνω ὅτι κύριον μὲν οὐδέν (Exod. 6, 3), ὃ δ' ἂν εἴπῃ
τις, καταχρώμενος ἐρεῖ· λέγεσθαι γὰρ οὐ πέφυκεν, ἀλλὰ μόνον εἶναι
231 τὸ ὄν. (40). μαρτυρεῖ δὲ καὶ τὸ θεσπισθὲν λόγιον τῷ πυνθανομένῳ,
εἰ ἔστιν ὄνομα αὐτῷ, ὅτι „ἐγώ εἰμι ὁ ὤν“ (Exod. 3, 14), ἵν' ὧν δυνα-
τὸν ἀνθρώπῳ καταλαβεῖν μὴ ὄντων περὶ θεόν, ἐπιγνῷ τὴν ὕπαρξιν.
232 ταῖς μὲν οὖν ἀσωμάτοις καὶ θεραπευτρίσιν αὐτοῦ ψυχαῖς εἰκὸς αὐτὸν
οἷός ἐστιν ἐπιφαίνεσθαι διαλεγόμενον ὡς φίλον φίλαις, ταῖς δὲ ἔτι ἐν
σώματι ἀγγέλοις εἰκαζόμενον, οὐ μεταβάλλοντα τὴν ἑαυτοῦ φύσιν —
ἄτρεπτος γάρ —, ἀλλὰ δόξαν ἐντιθέντα ταῖς φαντασιουμέναις ἑτερό-
μορφον, ὡς τὴν εἰκόνα οὐ μίμημα, ἀλλ' αὐτὸ τὸ ἀρχέτυπον ἐκεῖνο εἶδος
233 ὑπολαμβάνειν εἶναι. παλαιὸς μὲν οὖν ᾄδεται λόγος, ὅτι τὸ θεῖον ἀνθρώ-
ποις εἰκαζόμενον ἄλλοτε ἄλλοις περινοστεῖ τὰς πόλεις ἐν κύκλῳ, τάς
τε ἀδικίας καὶ παρανομίας ἐξετάζον· καὶ τάχα μὲν οὐκ ἀληθῶς, πάν-
234 τως δὲ λυσιτελῶς καὶ συμφερόντως ᾄδεται. ὁ δὲ λόγος σεμνότερον
καὶ ἁγιώτερον ταῖς περὶ τοῦ ὄντος ἐννοίαις ἀεὶ χρώμενος, ἅμα δὲ καὶ
τὸν τῶν ἀφρόνων βίον | παιδεῦσαι γλιχόμενος ἀνθρώπῳ μὲν εἴκασεν, p. 656 M.
235 οὐ μέντοι τῶν ἐπὶ μέρους οὐδενί· πρόσωπον διὰ τοῦτο καὶ χεῖρας καὶ
βάσεις καὶ στόμα καὶ φωνὴν ὀργάς τε καὶ θυμούς, ἔτι δὲ ἀμυντήρια

---

1 post θεός add. σου A  δ' ἐν] δὲ GFHPN  3 τὸν θεὸν Turn. λόγον om. F  4 τέλος om. F  προστεθειμένος FLN  5 πραγματολογήσει HP  6 ἔγνων $H^2$L  7 ἀλλὰ] ἀλλ' ἢ $H^2$  εἶναι om. GFH$P^1$  9 ὢν M$A^1H^2(P^2)$: ὡς $A^2$, ὃν F$H^1P^1$N, om. G, ὃ vel ὃ μόνον conicio  9. 10 δυνατὸν MA: ἀδύνατον ceteri N  10 μὴ] τῶν vel μόνον τῶν conicio ὄντως F  10. 11 ἐπιγνῷ—ψυχαῖς add. mg. $P^2$, γνῷ—εἰκὸς add. mg. $H^2$  11 θεραπευτίσιν P  12 prius οἷον A  δ' HP  13 σώμασιν GFHP  14 τοῖς φαντασιουμένοις $F^2$  15 οὐ] μὴ GHP  εἶδος ἐκεῖνο GFHP  17 ἄλλοτε ἄλλοις MA$P^2$: ἀλλοδαποῖς GH$P^1$ (Hom.), ἀλλοδαπεῖς F  περιενόστει coni. Mang.  18 εὐδικίας F  19 ὁ δὲ λόγος GFHP: Μωυσῆς δὲ MA, ὁ δὲ ἱερὸς λόγος bene coni. Mang.  21 τὸν τῶν A: τὸν M(?)HP, τῶν GF

---

16 Hom. Od. ρ, 485—487.  22 ss. Clem. Alex. Strom. V § 69 p. 687 P: διὸ καὶ χεῖρας καὶ πόδας καὶ στόμα καὶ ὀφθαλμοὺς καὶ εἰσόδους καὶ ἐξόδους καὶ ὀργὰς καὶ ἀπειλὰς μὴ πάθη θεοῦ τις ὑπολάβῃ παρὰ Ἑβραίοις λέγεσθαι . . . . cf. vol. II ad p. 1,5.

ὅπλα καὶ εἰσόδους μέντοι καὶ ἐξόδους καὶ τὰς ἄνω καὶ κάτω καὶ παν-
ταχῇ κινήσεις περιέθηκεν, οὐ πρὸς ἀλήθειαν τὸ κεφάλαιον τοῦτο τῶν
λόγων ἀναφέρων, ἀλλὰ πρὸς τὸ λυσιτελὲς τῶν μανθανόντων. εἰσὶ γάρ 236
τινες ἀμβλεῖς πάνυ τὰς φύσεις, ὡς μὴ δύνασθαι θεὸν ἄνευ σώματος
ἐπινοῆσαι τὸ παράπαν· οὓς ἀμήχανον ἑτέρως ἢ τρόπον τοῦτον νουθετεῖν
λέγοντας, ὅτι ὡς ἄνθρωπος ὁ θεὸς ἀφικνεῖται καὶ ἐξαναχωρεῖ καὶ
κάτεισι καὶ ἀνέρχεται καὶ φωνῇ χρῆται καὶ τοῖς ἁμαρτανομένοις δυσχεραίνει
καὶ ἀπαραιτήτως πρὸς τὰς ὀργὰς ἔχει καὶ βέλη μέντοι καὶ ξίφη καὶ
τὰ ἄλλα ὅσα πρὸς τιμωρίας ὄργανα ἐπιτήδεια κατὰ τῶν ἀδίκων προευ-
τρέπισται. ἀγαπητὸν γάρ, ἐὰν τῷ διὰ τούτων ἐπικρεμασθέντι φόβῳ 237
σωφρονισθῆναι δυνηθῶσι. καὶ σχεδὸν δύο εἰσὶν αὗται μόναι αἱ τῆς
νομοθεσίας πάσης ὁδοί, μία μὲν ἡ πρὸς τὸ ἀληθὲς ἀπονεύουσα, δι' ἧς
κατασκευάζεται „οὐχ ὡς ἄνθρωπος ὁ θεός" (Num. 23, 19), ἑτέρα δὲ
ἡ πρὸς τὰς τῶν νωθεστέρων δόξας, ἐφ' ὧν λέγεται· „παιδεύσει σε
κύριος ὁ θεός, ὡς εἴ τις παιδεύσειεν ἄνθρωπος τὸν υἱὸν αὐτοῦ" (Deut. 8,5).
(41). τί οὖν ἔτι θαυμάζομεν, εἰ ἀγγέλοις, ὁπότε καὶ ἀνθρώποις ἕνεκα 238
τῆς τῶν δεομένων ἐπικουρίας ἀπεικάζεται; ὥσθ' ὅταν φῇ· „ἐγώ εἰμι
ὁ θεὸς ὁ ὀφθείς σοι ἐν τόπῳ θεοῦ" (Gen. 31, 13), τότε νόησον, ὅτι
τὸν ἀγγέλου τόπον ἐπέσχεν ὅσα τῷ δοκεῖν, οὐ μεταβάλλων, πρὸς τὴν
τοῦ μήπω δυναμένου τὸν ἀληθῆ θεὸν ἰδεῖν ὠφέλειαν. καθάπερ γὰρ 239
τὴν ἀνθήλιον αὐγὴν ὡς ἥλιον οἱ μὴ δυνάμενοι τὸν ἥλιον αὐτὸν ἰδεῖν
ὁρῶσι καὶ τὰς περὶ σελήνην ἅλως ὡς αὐτὴν ἐκείνην, οὕτως καὶ τὴν

---

1 ὅπλα MA: ἔργα ceteri 1. 2 πανταχοῦ HP 2. 3 τοῦ λόγου coni. Mang. 3. 4 εἰσι γάρ τινες MA: ἤδει γάρ τινες ceteri 5 ἢ τῷ τρόπῳ τούτῳ GFHP νουθετεῖ A 8 τὰς om. GFHP 9 τὰ om. GFHP 9. 10 προηυτρέπισται HP 10 ἂν MA 11 μόναι αἱ MA: μόναι GFH, om. P 12 ἁπάσης GFHP ἐπινεύουσα Mang. ex Oxon. Coll. Nov. 143 14 τῶν om. GFHP ἐφ' MAP[2]: ἀφ' ceteri, ἀφ' ἧς coni. Mang., ἐφ' ἧς conicio 15 παιδεῦσαι GF, παιδεύσει HP 16 ἔτι om. N θαυμάζομεν ἔτι transp. H εἰ om. A 17 ὥστε GFHPN ὅτε ἂν HP φησὶν P[2] 18 τότε νόησον MA: τοῦτ' ἐννοητέον GFHPN, τότε νοητέον conicio 19 οὐ secl. Mang. μεταβαλὼν GFHPN 20 μηδέπω A 22 ἅλως ὡς Mang.: ἄλλως ὡς M, ἀλλ' ὡς A (ω in ras.), ἀλλοιώσεις G, ἀλλοιώσεις ὡς H[2], ἅλως (λ in ras. F[2]) ἄλλοι ὡς F, ἀλλοίως H[1]P, καὶ ἀλλοίως N

---

11 sqq. cf. vol. II ad p. 68,14 et Orig. Homil. in Ierem. XVIII 6 p. 247 (E. Klostermann, Archiv für die Ausgabe der älteren christlichen Schriftsteller I 3 p. 94. 95).
16—256,21 N fol. 152[r]: τί οὖν — ἀπαλειφθῆναι.

240 τοῦ θεοῦ εἰκόνα, τὸν ἄγγελον αὐτοῦ λόγον, ὡς αὐτὸν κατανοοῦσιν. οὐχ
ὁρᾷς τὴν ἐγκύκλιον παιδείαν Ἄγαρ, ὅτι τῷ ἀγγέλῳ φησί· „σὺ ὁ θεὸς
ὁ ἐπιδών με“ (Gen. 16, 13); οὐ γὰρ ἦν ἱκανὴ τὸ πρεσβύτατον ἰδεῖν
αἴτιον, γένος οὖσα τῶν ἀπ' Αἰγύπτου. νυνὶ δὲ ὁ νοῦς ἄρχεται βελτιού-
μενος τὸν ἡγεμόνα πασῶν τῶν τοιούτων δυνάμεων φαντασιοῦσθαι.
241 διὸ καὶ αὐτός φησιν· „ἐγώ εἰμι ὁ θεός“, οὗ τὴν εἰκόνα ὡς ἐμὲ πρό-
τερον ἐθεάσω καὶ στήλην ἐπίγραμμα ἐγκολάψας ἱερώτατον ἀνέθηκας
(Gen. 31, 13)· τὸ δὲ ἐπίγραμμα ἐμήνυεν, ὅτι μόνος ἕστηκα ἐγὼ
(Exod. 17, 6) καὶ τὴν τῶν πάντων φύσιν ἱδρυσάμην, τὴν ἀταξίαν καὶ
ἀκοσμίαν εἰς κόσμον καὶ τάξιν ἀγαγὼν καὶ τὸ πᾶν ἐπερείσας, ἵνα στηριχθῇ
242 βεβαίως τῷ κραταιῷ καὶ ὑπάρχῳ μου | λόγῳ. (42). στήλη γὰρ τριῶν p. 657 M.
πραγμάτων σύμβολον, στάσεως ἀναθέσεως ἐπιγράμματος. ἡ μὲν οὖν
στάσις καὶ τὸ ἐπίγραμμα δεδήλωται, ἡ δὲ ἀνάθεσις ἀναγκαία μηνυ-
243 θῆναι· πᾶς ὁ οὐρανὸς καὶ ὁ κόσμος ἀνάθημα θεοῦ τοῦ πεποιηκότος
τὸ ἀνάθημα· καὶ ὅσαι μέντοι κοσμοπολίτιδες ψυχαὶ καὶ θεοφιλεῖς, ἑαυ-
τὰς ἀνιεροῦσιν ὑπὸ μηδενὸς ἀντισπώμεναι θνητοῦ, καθαγιάζουσαι δὲ
244 καὶ καλλιεροῦσαι τὸν ἑαυτῶν ἄφθαρτον βίον οὐδέποτε κάμνουσι. μάταιος
δ' ὅστις μὴ θεῷ στήλην ἀνατίθησιν, ἀλλ' ἑαυτῷ, τὰ γενέσεως ἱστὰς
τῆς πάντῃ σαλευομένης καὶ ἐπιγραμμάτων καὶ ἐπαίνων ἀξιῶν, ἃ ψόγου
καὶ κατηγορίας μεστὰ ὄντα καλὸν ἦν ἢ μὴ γραφῆναι τὸ παράπαν ἢ
245 γραφέντα εὐθὺς ἀπαλειφθῆναι. διὸ καί φησιν ἄντικρυς ὁ ἱερὸς λόγος· „οὐ
στήσεις σεαυτῷ στήλην“ (Deut. 16, 22)· ἕστηκε γὰρ τῶν ἀνθρωπίνων
246 πρὸς ἀλήθειαν οὐδέν, κἂν διαρραγῶσί τινες ψευδόμενοι. ἀλλὰ γὰρ οὐχ
οἴονται μόνον παγίως ἐρηρεῖσθαι, ἀλλὰ καὶ τιμῶν ἄξιοι καὶ ἐπιγραμμάτων
εἶναι, τοῦ μόνου τιμῆς ἀξίου καὶ ἑστῶτος ὄντως ἐπιλελησμένοι.

---

1 τοῦ om. M  αὐτὸν] αὐτοῦ $F^{1}H^{1}$PN  2 φησὶν H  4 ἀπ'] ἐπ' F
4. 5 βελτιοῦσθαι GFHPN  5 τοιούτων om. GFHPN  φαντασιούμενος
GFHPN  6 ὁ] κύριος ὁ GHP  οὗ om. A  6. 7 πρότερον ὡς ἐμὲ GFHPN
9 τὴν om. N  τῶν om. GFHP  10 τάξιν καὶ κόσμον GFHPN
10 ὑπερείσας Mang., sed cf. § 158  13 ἀναγκαῖον MA, quo servato fort.
leg. τὴν δὲ ἀνάθεσιν  14 πᾶς ὁ MA: πᾶσιν. ὁ γὰρ ceteri N  alterum
ὁ om. v  ἀνάθεμα $GF^{1}N$  15 ἀνάθεμα $GF^{1}HPN$, τὸ ἀνάθημα secl. Mang.
16 ἀναιροῦσιν AG  καθαγίζουσαι Mang.  17 καλλιεροῦσαι M: καθιεροῦσαι A
(fort. recte), καλλιεργοῦσαι GFHPN  αὐτῶν M, αὐτὸν A, αὑτῶν conicio
18 δὲ GFHP  ἱστὰς $MGH^{2}$: εἰς τὰς $FH^{1}PN$, τὰς A  19 ἃ] τὰ G
21 ἀπαλιφῆναι A  φησιν ἄντικρυς ὁ ἱερὸς λόγος GFHP: Μωυσῆς φησιν ἄντικρυς
MA  22 στήσῃς A  ἀνθρωπίνων scripsi: ἀνθρώπων codd., ἀνθρωπείων
coni. Mang.  23 κἂν] καὶ A  23. 24 οὐκ οἴονται γὰρ (om. ἀλλὰ) A
25 μόνον v  τῆς τιμῆς F  ὄντος M  ἐπιλελησμένος P

ἀποκλίναντας γὰρ αὐτοὺς καὶ ἐκτραπομένους τὴν ἐπ' ἀρετὴν ἄγουσαν ὁδὸν
ἔτι μᾶλλον ἐξέτρεψεν αἴσθησις, ἡ σύμφυτος αὐτῶν γυνή, καὶ ἠνάγκασεν
ἐξοκεῖλαι. τοιγάρτοι περικαταχθεῖσα ὡς ναῦς ἡ ὅλη ψυχὴ τρόπον 247
στήλης ἀνετέθη. τὴν γὰρ Λὼτ γυναῖκα ἐπιστραφεῖσαν εἰς τοὐπίσω
φασὶν οἱ χρησμοὶ γενέσθαι στήλην ἁλός (Gen. 19, 26), εἰκότως γε καὶ
προσηκόντως· εἰ γάρ τις μὴ τὰ πρόσω, τὰ θέας καὶ ἀκοῆς ἄξια, διορᾷ 248
— ταῦτα δ' εἰσὶν ἀρεταὶ καὶ τὰ κατὰ ἀρετὰς ἔργα —, περιβλέπεται
δὲ τὰ ὀπίσω καὶ τὰ νώτια, κωφὴν δόξαν καὶ τυφλὸν πλοῦτον καὶ ἀναί-
σθητον εὐσαρκίαν καὶ νοῦ κενὴν εὐμορφίαν καὶ ὅσα συγγενῆ τούτοις
μεταδιώκων, ἄψυχος ἀνακείσεται στήλη περὶ ἑαυτὴν καταρρυεῖσα· οἱ
γὰρ ἅλες οὐ βέβαιον.

(43.) Παγκάλως οὖν ὁ ἀσκητὴς μελέτῃ συνεχεῖ μαθών, ὅτι 249
γένεσις κινητὸν ἐξ ἑαυτῆς, τὸ δὲ ἀγένητον ἄτρεπτόν τε καὶ ἀκίνητον,
ἀνίστησι τῷ θεῷ στήλην καὶ ἀναστήσας ἀλείφει· λέγεται γάρ· „ἤλει-
ψάς μοι στήλην“ (Gen. 31, 13). ἀλλὰ μὴ νομίσῃς ἐλαίῳ λίθον ἀλεί- 250
φεσθαι, ἀλλὰ τὸ περὶ τοῦ μόνον ἑστάναι τὸν θεὸν ἐν ψυχῇ δόγμα
γυμνάζεσθαι καὶ συνασκεῖσθαι πρὸς ἀλειπτικῆς ἐπιστήμης, οὐχ ᾗ τὰ
σώματα πιαίνεται, ἀλλ' ὑφ' ἧς διάνοια ἰσχὺν κτᾶται καὶ ῥώμην ἀναντ-
αγώνιστον. φίλαθλος γὰρ καὶ φιλογυμναστὴς ὁ πρὸς τὴν τῶν καλῶν 251
p. 658 M. ἐπιτηδευμάτων ὡρμημένος | θήραν· ὥστ' εἰκότως τὴν ἀδελφὴν ἰατρικῆς

1 ἀποκλίνοντας (sed ἀποκλίναντας etiam F) et ἐκτρεπομένους GFHP τῆς ἐπ' ἀρετὴν ἀγούσης ὁδοῦ coni. Mang. 2 ἐξέθρεψεν FHP αὐτῶν Turn.: αὐτῶ codd. post ἠνάγκασεν add. αὐτὸν F 3 ἐξοκεῖλαι A: ἐξωκεῖλαι ceteri 3. 4 τοιγάρτοι — ἀνετέθη om. G 3 περικατασχεθεῖσα HP, παρακατασχεθεῖσα F, περικαταγεῖσα conicio 4 post γυναῖκα add. καὶ Turn. τὰ ὀπίσω F 5 ἁλῶν GFHP γε MA: δὲ ceteri 6 πρόσω τὰ MGF: πρόσωπα A, πρόσω HP 7 δέ εἰσιν GFHP τὰ om. F κατὰ ἀρετὰς M: ἀρετῆς A, κατὰ τὰς ἀρετὰς ceteri 8 νότια HP, νῶτα A 9 καὶ νοῦ κενὴν] κινουμένην MA τούτοισι P, τούτου H 10 στήλη om. F αὐτὴν MA, αὑτὴν conicio καταρρέουσα GFHP 11 βέβαια F 12 συνεχῆ GP 13 αὐτῆς MA, αὑτῆς conicio δὲ om. Turn. ἀγέννητον GFHP ἄτρεπτόν om. FHP 16 τὸ M: om. ceteri μόνου P 16. 17 δόγμα γυμνάζεσθαι Mang.: δόγμα παραγυμνάζεσθαι MA, παρὰ δόξαν (παράδοξα FP) γυμνάζεσθαι ceteri. παρὰ videtur dittographia vocis περὶ (lin. 16) 17 συνασκεῖσθαι MA: προσασκεῖσθαι ceteri, tum συμβαίνει add. A οὐχ ᾗ] οὐχὶ A 17. 18 οὐχ ᾗ — ἀλλ' om. F ᾗ πιαίνεται σώματα GHP 18 ἡ διάνοια FHP 18. 19 ἀνταγώνιστον G 19 φιλογύμναστος GFHP 20 ὥστε GFHP

4 cf. ad p. 136,1.

τέχνης ἀλειπτικὴν ἐκπονήσας, πάντας τοὺς περὶ ἀρετῆς καὶ εὐσεβείας
ἀλείψας καὶ συγκροτήσας λόγους, ἀνάθημα κάλλιστον καὶ ἐχυρώτατον
252 ἀναθήσει θεῷ. διὸ καὶ μετὰ τὴν τῆς στήλης ἀνάθεσίν φησιν, ὅτι „ηὔξω
μοι εὐχήν“ (ibid.). εὐχὴ δέ ἐστι κυρίως εἰπεῖν ἀνάθεσις, ὁπότε μὴ
μόνον τὰ ἑαυτοῦ κτήματα, ἀλλὰ καὶ τὸν κεκτημένον ἑαυτὸν ἀποδιδοὺς
253 διδόναι λέγεται θεῷ δῶρον. „ἅγιος“ γάρ φησιν „ἐστὶν ὁ τρέφων κόμην
τρίχα κεφαλῆς“ (Num. 6, 5) εὐξάμενος· εἰ δὲ ἅγιος, ἀνάθημα πάντως,
254 μηδενὸς ἔτ' ἀνιέρου καὶ βεβήλου προσαπτόμενος. ἐγγυᾶται δέ μου
τὸν λόγον ἡ προφῆτις καὶ προφητοτόκος Ἄννα, ἧς μεταληφθὲν τοὔνομα
καλεῖται χάρις. τὸν γὰρ υἱὸν διδόναι φησὶ τῷ ἁγίῳ δῶρον Σαμουήλ
(I Reg. 1, 28), οὐκ ἄνθρωπον μᾶλλον, ἀλλὰ τρόπον ἐνθουσιῶντα καὶ
κατεχόμενον ἐκ μανίας θεοφορήτου. Σαμουὴλ δὲ ἑρμηνεύεται τετα-
255 γμένος θεῷ. τί οὖν ἔτι, ψυχή, ματαιάζεις καὶ κενὰ πονεῖς, ἀλλ' οὐ
φοιτᾷς πρὸς τὸν ἀσκητήν, τὰ κατὰ τοῦ πάθους καὶ τῆς κενῆς δόξης
ἀναλαβεῖν ὅπλα καὶ παλαίσματα μαθησομένη; τάχα γὰρ μαθοῦσα ἀγελαρ-
χήσεις, οὐκ ἀσήμου καὶ ἀλόγου καὶ ἀναγώγου, δοκίμου δὲ καὶ λογικῆς
256 καὶ ποικίλης ἀγέλης· ἧς εἰ γένοιο ἡγεμών, τὸ μὲν οἰκτρὸν ἀνθρώπων
γένος ὀλοφυρῇ, τὸ δὲ θεῖον οὐ παύσῃ προστρεπομένη, τὸν δὲ θεὸν οὐκ
ἐπιλείψεις εὐδαιμονίζουσα, ἀλλὰ καὶ ὕμνους ἱεροπρεπεῖς στήλαις ἐγχαρά-
ξεις, ἵνα μὴ μόνον λέγῃς εὐτρόχως, ἀλλὰ καὶ ᾄδῃς μουσικῶς τὰς τοῦ
ὄντος ἀρετάς. οὕτως γὰρ δυνήσῃ καὶ εἰς τὸν πατρῷον οἶκον ἐπανελ-
θεῖν, τὴν ἐπὶ τῆς ξένης μακρὰν καὶ ἀνήνυτον ζάλην ἐκφυγοῦσα.

---

2 ἐχυρώτατον MHP: ὀχυρώτατον AF, ἰσχυρώτατον G 3 ἀναθήσει MA: ἀνατίθησι ceteri, τίθησι v τῷ θεῷ G 3. 4 εὔξομαι εὐχήν Turn. 3 εὔξω GFP(H[1]) 5 αὐτοῦ GFHP, tum τις addunt τὸν om. F 5. 6 ἀποδιδόναι διδοὺς P 6 δῶρον θεῷ HP ἐστὶν GFHP: ἐστὶ Μωυσῆς MA 7 ὁ εὐξάμενος GFHP ὁ ἅγιος F ἀνάθεμα GFHP 8 ἔτι FHP, ἐστὶν G ἀνιαροῦ HP μοι HP 9 ἡ om. MA 11 οὐκ] οὐκ ἂν H(P[1]) μᾶλλον, ἀλλὰ A: μάλα ἀλλὰ M, μᾶλλον ἀλλ' ἢ ceteri, μᾶλλον ἢ per errorem Mang.
12 δ' GH, γὰρ conicio 13 κενοπονεῖς GFHP 15 ἀναλαβοῦσα v θησομένη L 17 ποικίλης MA: ποικίλης καὶ καλῆς GF, καλῆς HP ἀγέλης om. G εἰ om. GFH[1]P γένῃ ὁ ἡγεμών A 18 ὀλοφυρῇ γένος GFHP προστρεπομένη scripsi: προτρεπομένη codd., προτρεψομένη L[2] (Vat. 379) 19 στήλας GFHP 20 εὐστόχως A 22 ζάλην MA: ἀλητείαν GH[2], ἀλήθειαν FH[1]P φίλωνος περὶ τοῦ θεοπέμπτους τοὺς ὀνείρους εἶναι subscribit G

# ΦΙΛΩΝΟΣ

# ΠΕΡΙ ΤΟΥ ΘΕΟΠΕΜΠΤΟΥΣ ΕΙΝΑΙ ΤΟΥΣ ΟΝΕΙΡΟΥΣ

I p.659 M. (1.) Τὸ τρίτον εἶδος τῶν θεοπέμπτων ὀνείρων ἀναγράφοντες 1
εἰκότως ἂν ἐπίμαχον Μωυσῆν καλοῖμεν, ἵν', ὡς ἔμαθεν οὐκ εἰδώς,
ἀγνοοῦντας καὶ ἡμᾶς ἀναδιδάξῃ περὶ τῶν σημείων, ἕκαστον αὐγάζων.
συνίσταται δὲ τὸ τρίτον εἶδος, ὁπόταν ἐν τοῖς ὕπνοις ἐξ ἑαυτῆς ἡ ψυχὴ
κινουμένη καὶ ἀναδονοῦσα ἑαυτὴν κορυβαντιᾷ καὶ ἐνθουσιῶσα δυνάμει
προγνωστικῇ τὰ μέλλοντα θεσπίζῃ. τὸ μὲν γὰρ πρῶτον ἦν ἄρχοντος 2
τῆς κινήσεως θεοῦ καὶ ὑπηχοῦντος ἀοράτως τὰ ἡμῖν μὲν ἄδηλα, γνώ-
ριμα δὲ ἑαυτῷ· τὸ δὲ δεύτερον τῆς ἡμετέρας διανοίας τῇ τῶν ὅλων
συγκινουμένης ψυχῇ καὶ θεοφορήτου μανίας ἀναπιμπλαμένης, ᾗ θέμις
πολλὰ τῶν ἀποβησομένων προαγορεύειν. διὸ ὁ ἱεροφάντης τὰς μὲν 3
κατὰ τὸ πρῶτον σημαινόμενον φαντασίας τρανῶς πάνυ καὶ ἀριδήλως
ἐμήνυσεν, ἅτε τοῦ θεοῦ χρησμοῖς σαφέσιν ἐοικότα διὰ τῶν ὀνείρων
ὑποβάλλοντος, τὰς δὲ κατὰ τὸ δεύτερον οὔτε σφόδρα τηλαυγῶς οὔτε
σκοτίως ἄγαν· ὧν ὑπόδειγμα ἡ ἐπὶ τῆς οὐρανοῦ κλίμακος φανεῖσα ὄψις.
αὕτη γὰρ αἰνιγματώδης μὲν ἦν, τὸ δὲ αἴνιγμα οὐ λίαν τοῖς ὀξὺ καθορᾶν
δυναμένοις ἀπεκρύπτετο. αἱ δὲ κατὰ τὸ τρίτον εἶδος φαντασίαι μᾶλλον 4

---

Φίλωνος — ὀνείρους A 2 ἀνεπίμαχον A, ἂν σύμμαχον conicio vel ἂν ἐπὶ ⟨τὸ ἔργον⟩ σύμμαχον καλοῖμεν Mang.: καλεῖ μὲν A, καλοῦμεν v 3 σημαινομένων coni. Mang. 5 ἀναδινοῦσα Richter, ἀναπολοῦσα conicio, ἀνακλονοῦσα coni. Cohn 6 θεσπίζῃ scripsi: θεσπίζει A 9 ᾗ Mang.: εἰ A 11 σημαινόμενον Mang.: σημαινόμενος A, εἶδος γινομένας conicio 14 σκοτὶ ὡς A, σκοταίως conicio ὧν scripsi: ὃν A, οὗ v ἐπὶ Mang.: ὑπὸ A οὐρανοῦ κλίμακος scripsi: οὐρανοκλίμακος A 15 αὕτη scripsi: αὐτὴ A

τῶν προτέρων ἀδηλούμεναι διὰ τὸ βαθὺ καὶ κατακορὲς ἔχειν τὸ αἴνιγμα
ἐδεήθησαν καὶ τῆς ὀνειροκριτικῆς ἐπιστήμης. πάντες γοῦν οἱ κατ' αὐτὸ
ἀναγραφέντες ὄνειροι τῷ νομοθέτῃ διακρίνονται πρὸς σοφῶν τὴν λεχθεῖσαν
5 | τέχνην ἀνδρῶν. τίνος οὖν εἰσιν οἱ ὄνειροι; ἢ παντί τῳ δῆλον, ὅτι οἱ p. 660 M.
τοῦ Ἰωσήφ, οἱ τοῦ βασιλέως Αἰγύπτου Φαραὼ καὶ οὓς ὅ τε ἀρχισιτο-
6 ποιὸς καὶ ἀρχιοινοχόος εἶδον αὐτοί; πρέποι δ' ἂν ἀπὸ τῶν πρώτων
ἀεὶ τῆς διδασκαλίας ἀπάρχεσθαι· πρῶτοι δ' εἰσὶν οὓς ἐθεάσατο Ἰωσήφ,
ἀπὸ δυεῖν τῶν τοῦ κόσμου μερῶν, οὐρανοῦ τε καὶ γῆς, διττὰς φαντα-
σίας λαβών· ἀπὸ μὲν γῆς τὸ περὶ τὸν ἀμητὸν ὄναρ — τοιοῦτον δ'
ἐστίν· „ᾤμην ἡμᾶς δεσμεύειν δράγματα ἐν μέσῳ τῷ πεδίῳ, ἀνέστη
δὲ τὸ ἐμὸν δράγμα“ (Gen. 37, 7), — τὸ δὲ περὶ τὸν ζῳδιακὸν κύκλον
* * * „ὥσπερ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ἕνδεκα ἀστέρες προσεκύνουν
7 με“ (ibid. 9). διάκρισις δὲ τοῦ μὲν προτέρου μετὰ σφοδρᾶς ἐπανατά-
σεως τοιαύτη· „μὴ βασιλεύων βασιλεύσεις ἐφ' ἡμῖν; ἢ κυριεύων κυριεύ-
σεις ἡμῶν“ (ibid. 8); τοῦ δὲ ὑστέρου ὀργὴ πάλιν δικαία· „ἆρά γε
ἐλευσόμεθα ἐγὼ καὶ ἡ μήτηρ καὶ οἱ ἀδελφοί σου προσκυνῆσαί σοι ἐπὶ
τὴν γῆν“ (ibid. 10);

8 (2.) Ταῦτα μὲν δὴ θεμελίων τρόπον προκαταβεβλήσθω, τὰ δὲ ἄλλα τοῖς
σοφῆς ἀρχιτέκτονος, ἀλληγορίας, ἑπόμενοι παραγγέλμασιν ἐποικοδομῶμεν,
ἑκάτερον δὴ τῶν ὀνειράτων ἀκριβοῦντες. ἃ δὲ χρὴ πρὸ ἀμφοτέρων
ἀκοῦσαι, λεκτέον· τὴν τἀγαθοῦ φύσιν οἱ μὲν ἔτειναν ἐπὶ πολλά, οἱ δὲ τῷ
ἀρίστῳ προσεκλήρωσαν μόνῳ· καὶ οἱ μὲν ἐκέρασαν, οἱ δὲ καὶ ἄκρατον
9 εἴασαν. οἱ μὲν οὖν μόνον τὸ καλὸν ἀγαθὸν εἰπόντες, ἀμιγῆ διαφυλάξαν-
τες αὐτήν, ἀπένειμαν τῷ κρατίστῳ τῶν ἐν ἡμῖν, λογισμῷ, οἱ δὲ μίξαν-
τες τρισὶν ἐφήρμοσαν, ψυχῇ, σώματι, τοῖς ἐκτός. εἰσὶ δὲ οὗτοι μὲν
τῆς μαλακωτέρας καὶ τρυφερᾶς διαίτης, τὸν πλείω χρόνον ἐν γυναικωνί-
τιδι καὶ τοῖς γυναικωνίτιδος ἐκτεθηλυμμένοις ἔθεσιν ἀπ' αὐτῶν σπαργά-
νων ἀνατραφέντες· οἱ δ' ἕτεροι σκληροδίαιτοι, πρὸς μὲν ἀνδρῶν κουρο-
τροφηθέντες, ἄνδρες δὲ καὶ αὐτοὶ τὰ φρονήματα, τὸ συμφέρον πρὸ τοῦ
ἡδέος ἀσπαζόμενοι καὶ τροφαῖς ἀθλητικαῖς πρὸς ἰσχὺν καὶ ῥώμην, οὐ

---

1 ἀδηλούμεναι Mang.: δηλούμεναι A 3 ἀναγραφέντες Hoesch.: ἀναγράφοντες A 4 τίνες conicio 5 ὅ τε] οὔτε A 6 αὐτοῦ bene coni. Cohn 8 δυοῖν v 10 ἡμᾶς (cf. § 17, 30. 33): ὑμᾶς A 11 τὸν] τὸ A ἀπὸ τοῦ οὐρανοῦ· λέγει γάρ· post κύκλον suppleo, ἀπὸ δὲ οὐρανοῦ τὸ περὶ .... coni. Mang. 14. 15 βασιλεύσῃς et κυριεύσῃς A 18 τοῖς A: τῆς v 20 δὴ Mang.: διὰ A 22 ⟨ἀμιγῆ⟩ καὶ ἄκρατον conicio 24 τῶν Mang.: τῷ A 27 ἐκτεθηλυμμένοις scripsi: ἐκτεθηλυμένοις A, ἐκτεθηλυσμένοις v ἔθεσιν secundum Cotelerium Mang.: ἔθνεσιν A 28 ἐντραφέντες coni. Mang.

πρὸς ἡδονήν, χρώμενοι. δυεῖν δὴ θιάσων ἡγεμόνας εἰσάγει Μωυσῆς, 10
τοῦ μὲν γενναίου τὸν αὐτομαθῆ καὶ αὐτοδίδακτον Ἰσαάκ — ἀναγράφει
γὰρ αὐτὸν ⟨ἀπο⟩γαλακτιζόμενον (Gen. 21, 8), ἁπαλαῖς καὶ γαλακτώδεσι
νηπίαις τε καὶ παιδικαῖς τροφαῖς οὐ δικαιοῦντα χρῆσθαι τὸ παράπαν,
ἀλλ' εὐτόνοις καὶ τελείαις, ἅτε ἐκ βρέφους εὖ πρὸς ἀλκὴν πεφυκότα
καὶ ἐπακμάζοντα καὶ ἀνηβῶντα ἀεί —, τοῦ δὲ εἴκοντος καὶ εὐενδότου
τὸν Ἰωσήφ. οὗτος γὰρ οὐκ ἀλογεῖ μὲν τῶν κατὰ ψυχὴν ἀρετῶν, προμη- 11
p. 661 M. θεῖται δὲ καὶ τῆς τοῦ σώματος εὐσταθείας, | ἐφίεται ⟨δὲ⟩ καὶ τῆς τῶν
ἐκτὸς εὐπορίας· ἀνθέλκεται δὲ εἰκότως πολλὰ τέλη τοῦ βίου προτεθει-
μένος, καὶ ἀντισπώμενος ὑφ' ἑκάστου σείεται καὶ κλονεῖται μὴ δυνά-
μενος στηριχθῆναι. καὶ γὰρ οὐδ' ὥσπερ αἱ ἔνσπονδοι πόλεις εἰρήνην 12
ἄγουσι * * * καὶ ἀντεπιτίθενται, ὡς ἐν μέρει κρατεῖν τε καὶ ἡττᾶσθαι·
πολλὴ γάρ ἐστιν ὅτε ῥυεῖσα πρὸς πλοῦτον καὶ δόξαν ὁρμὴ τὰς περὶ
σῶμα καὶ ψυχὴν φροντίδας ἐξενίκησεν, εἶτα ἀντιβιασθεῖσα πάλιν ὑπὸ
ἀμφοῖν ὑπὸ τῆς ἑτέρας ἐνικήθη. τὸν αὐτὸν δὲ τρόπον ἀθρόαι καὶ αἱ 13
σώματος ἡδοναὶ καταρραγεῖσαι πάντα ἑξῆς τὰ νοητὰ ἐπέκλυσάν τε καὶ
ἠφάνισαν· εἶτ' οὐκ εἰς μακρὰν ἀντιπνεύσασα σοφία λάβρῳ καὶ σφοδρῷ
πνεύματι τό τε ῥεῦμα τῶν ἡδονῶν ἐχάλασε καὶ συνόλως τὰς διὰ τῶν
αἰσθήσεων ἁπάσας σπουδάς τε καὶ φιλοτιμίας ἐπράυνε. τοιοῦτος μὲν 14
δὴ κύκλος εἱλεῖται περὶ τὴν πολύτροπον ψυχὴν ἀιδίου πολέμου· καθαι-
ρεθέντος γὰρ ἑνὸς ἐχθροῦ φύεται πάντως δυνατώτερος ἕτερος, ὕδρας τῆς
πολυκεφάλου τὸν τρόπον· καὶ γὰρ ἐπ' ἐκείνης φασὶν ἀντὶ τῆς ἐκτμη-
θείσης κεφαλῆς ἀναβλαστάνειν ἄλλην, αἰνιττόμενοι τὸ πολύμορφον καὶ
πολύγονον τῆς ἀθανάτου κακίας δυσάλωτον γένος. μηδὲν οὖν ἓν ἀπο- 15
κρίνας ποτὲ πρὸς * * * τῷ Ἰωσήφ, ἀλλ' ἴσθι ὅτι πολυμιγοῦς καὶ
κεκραμένης δόξης ἐστὶν εἰκών. ἐμφαίνεται γὰρ καὶ τὸ λογικὸν ἐγκρα-

---

1 δυοῖν v    δὴ ⟨τούτων τῶν⟩ conicio    3 ἀπογαλακτιζόμενον Mang. (τοῦτ' ἔστιν vid. add.): γαλακτιζόμενον A    8 εὐπαθείας coni. Mang.    δὲ add. Cohn    10 σείεται Mang.: ἵεται A    11 οὐδὲ ⟨ταῦθ'⟩ coni. Mang.
12 αἱ ἐπιθυμίαι, ἀλλὰ πολεμοῦσιν ἀλλήλαις suppleo    13 πρὸς scripsi: περὶ A
15 ἀμφοῖν ⟨ἢ⟩ vel τῆς δυνατωτέρας conicio    16 καταρρυεῖσαι coni. Mang.
18 ἐκώλυσε coni. Mang.    24 ἓν ἀποκρίνας scripsi: ἐναποκρίνας A, fort. τῶν ἀγαθῶν add.    25 lacuna 10—11 litt. iam in A exstat, προσκλήρου μόνον (vel τούτῳ) conicio, προσκληρωθεὶς Mang.    26 κεκραμένης Mang.: κεκρυμμένης A
γὰρ ⟨δι' αὐτοῦ⟩ conicio

---

3—6 cf. Origenis in Gen. Homil. VII 1 p. 78.

τείας εἶδος, ὃ τῆς ἄρρενος γενεᾶς ἐστι, κατὰ τὸν πατέρα Ἰακὼβ τυπω-
16 θέν· ἐμφαίνεται καὶ τὸ ἄλογον αἰσθήσεως, μητρῴῳ γένει τῷ κατὰ
Ῥαχὴλ ἐξεικονισθέν· ἐμφαίνεται καὶ τὸ τῆς σωματικῆς ἡδονῆς σπέρμα,
ὃ ἀρχιοινοχόων καὶ ἀρχισιτοποιῶν καὶ ἀρχιμαγείρων συνδιαιτήσεις ἐν-
εσφράγισαν· ἐμφαίνεται καὶ τὸ τῆς κενῆς δόξης, ἐφ' ἣν ὡς ἐφ' ἅρμα
διὰ τὸ κοῦφον ἀναβαίνει (Gen. 41, 43), φυσώμενος καὶ μετέωρον αἰωρῶν
ἑαυτὸν ἐπὶ καθαιρέσει ἰσότητος.
17 (3.) Ὁ μὲν δὴ τοῦ Ἰωσὴφ χαρακτὴρ διὰ τῶν εἰρημένων ὑπο-
τυποῦται· τῶν δ' ὀνειράτων ἑκάτερον μὲν ἀκριβωτέον, πρότερον δὲ τὸ
περὶ τῶν δραγμάτων ἐρευνητέον. „ᾤμην“ φησίν „ἡμᾶς δεσμεύειν
δράγματα“ (Gen. 37, 7). τὸ μὲν „ᾤμην“ εὐθέως ἀδηλοῦντος καὶ
ἐνδοιάζοντος καὶ ἀμυδρῶς ὑπολαμβάνοντος, οὐ παγίως καὶ τηλαυγῶς
18 ὁρῶντος, ἀνάφθεγμά ἐστι. τοῖς γὰρ ἐκ βαθέος ὕπνου διανισταμένοις
καὶ ἔτι ὀνειρώττουσιν ἁρμόττον λέγειν „ᾤμην“, οὐχὶ τοῖς ἐγρηγορόσι
19 παντελῶς καὶ τρανῶς ἐμβλέπουσιν. ἀλλ' οὐχ ὁ ἀσκητὴς Ἰακὼβ „ᾤμην“
ἐρεῖ, ἀλλ' „ἰδοὺ κλῖμαξ ἐστηριγμένη, ἧς ἡ κεφαλὴ | ἀφικνεῖτο εἰς τὸν p. 662 M.
οὐρανόν“ (Gen. 28, 12), καὶ πάλιν· „ἡνίκα ἐνεκίσσων τὰ πρόβατα, εἶδον
τοῖς ὀφθαλμοῖς αὐτὰ ἐν τῷ ὕπνῳ, καὶ ἰδοὺ οἱ τράγοι καὶ οἱ κριοὶ ἀνέ-
βαινον ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας, διάλευκοι καὶ ποικίλοι καὶ σπο-
20 δοειδεῖς ῥαντοί“ (Gen. 31, 10. 11). τῶν γὰρ τὸ καλὸν δι' ἑαυτὸ αἱρε-
τὸν νομιζόντων καὶ τὰς ἐν τοῖς ὕπνοις φαντασίας εἰλικρινεστέρας καὶ
καθαρωτέρας ἐξ ἀνάγκης εἶναι συμβέβηκεν, ὥσπερ καὶ τὰς μεθ' ἡμέραν
δοκιμωτέρας πράξεις.
21 (4.) Ἄγαμαι δ', ὅταν ἀκούω τοῦ διηγουμένου τὸ ὄναρ, ὅτι ὑπέ-
λαβε δράγματα καταδεῖν, οὐ θερίζειν. ἐκεῖνο μὲν ἰδιωτῶν καὶ ὑπηρε-
τῶν ἔργον, τοῦτο δ' ἡγεμόνων καὶ γεωργίας ἐμπειροτάτων τὸ ἐπιτή-
22 δευμα. τὸ γὰρ δύνασθαι διακρίνειν σκυβάλων ἀναγκαῖα καὶ τρόφιμα μὴ
τροφίμων καὶ νόθων γνήσια καὶ ἀνωφελοῦς ῥίζης καρπὸν ὠφελιμώ-
τατον, μὴ ἐν οἷς ἡ γῆ βλαστάνει μᾶλλον ἢ διάνοια φύσει, τελειοτάτης
23 ἀρετῆς ἐστιν. ὁ γοῦν ἱερὸς λόγος τοὺς ὁρῶντας εἰσάγει θερίζοντας καί,

1 γεννεᾶς A 2 ἄλογον Mang.: λογικὸν A 4. 5 συνδιαιτάσεις ἐνεσφράγησαν A ἐνέσπειραν coni. Mang. 5 καινῆς δόξης ἔφην A 6 αἰωρῶν Cohn: ἑωρῶν A, ἑωρακὼς Hoesch., ᾐωρηκὼς coni. Mang. 7 ⟨τῆς⟩ ἰσότητος conicio 10 ὑμᾶς in ἡμᾶς corr. A 11 ἀδημονοῦντος conicio 13 ὁρᾶν conicio ἀνάφθεγμα suspectum 14 ἐγρηγορόσι Mang.: ἐγρηγόρσει A 17 ἐνέκισσον A 20 αὐτὸ conicio 25 καταδεῖν v: κατιδεῖν A μὲν ⟨γὰρ⟩ conicio 26 ⟨τὸ⟩ ἔργον conicio 29 ἢ Mang.: ἡ A, ἢ ἡ coni. Hoesch.

τὸ παραδοξότατον, οὐ κριθὰς ἢ πυρούς, ἀλλὰ τὸν θερισμὸν αὐτὸν ἐκθερί-
ζοντας· λέγεται οὖν· „ὅταν θερίζητε τὸν θερισμὸν ὑμῶν, οὐ συντελέσετε
τὸ λοιπὸν τοῦ θερισμοῦ“ (Lev. 19, 9). βούλεται γὰρ τὸν ἀστεῖον οὐ 24
μόνον κριτὴν εἶναι τῶν διαφερόντων, ⟨διακρίνοντα⟩ καὶ διαστέλλοντα ἐξ
ὧν γίνεταί τινα καὶ τὰ γεννώμενα, ἀλλὰ καὶ αὐτὸ τὸ δύνασθαι διακρίνειν
δοκεῖν ἀναιρεῖν, ἀμῶντα τὸν ἀμητὸν καὶ τὴν ἰδίαν ἐπιβουλὴν ἀποτέμ-
νοντα διὰ τὸ καὶ πεποιθέναι καὶ Μωυσεῖ λέγοντι πιστεύειν, ὅτι „μόνου
τοῦ θεοῦ ἡ κρίσις ἐστί“ (Deut. 1, 17), παρ' ὃν αἱ συγκρίσεις καὶ αἱ
διακρίσεις τῶν ἁπάντων· ὑφ' οὗ καλὸν ὁμολογεῖν ἡττᾶσθαι καὶ τῆς
ἀοιδίμου νίκης εὐκλεέστερον. ὅμοιόν ἐστι τῷ τὸν θερισμὸν θερίζειν τὸ 25
δὶς περιτέμνειν, ὅπερ ὡς ὅτε ἐκαινούργησεν ἐξευρὼν περιτομῆς περιτο-
μήν (Gen. 17, 13), τὴν „ἁγνείαν ἀφαγνίζεσθαι“ (Num. 6, 2), τὴν κάθαρ-
σιν τῆς ψυχῆς αὐτὴν καθαίρεσθαι, παραχωροῦντας τῷ θεῷ τὸ φαιδρύ-
νειν καὶ μηδέποτε νομίσαντας ἱκανοὺς εἶναι ἑαυτοὺς ἄνευ θείας ἐπιφρο-
σύνης τὸν κηλίδων ἀνάμεστον ἐκνίψασθαι καὶ ἀπολούσασθαι βίον. ταύτης 26
ἐστὶ τῆς συγγενείας καὶ τὸ διπλοῦν σπήλαιον (Gen. 23, 9), αἱ διπλαῖ
καὶ περιμάχητοι γνῶμαι, ἥ τε περὶ τοῦ γεγονότος καὶ ἡ περὶ τοῦ πεποιη-
κότος, αἷς ἐντρέφεται ὁ ἀστεῖος, θεωρῶν μὲν τὰ ἐν κόσμῳ, φιλοπευ-
στῶν δὲ καὶ περὶ τοῦ γεννήσαντος πατρός. ἀφ' ὧν οἶμαι καὶ τὴν ἐν 27
μουσικῇ δὶς διὰ πασῶν εὑρεθῆναι συμφωνίαν· ἔδει γὰρ καὶ τὸ ἔργον
καὶ τὸν δημιουργὸν τελειοτάταις μελῳδίαις εὐδαιμονίζεσθαι δυσίν, οὐχὶ
p. 663 M. ταῖς αὐταῖς. ἐπειδὴ γὰρ τὰ ὑμνούμενα | διέφερεν, ἀναγκαῖον καὶ τὰς μελῳ- 28
δίας καὶ συμφωνίας διακεκρίσθαι, τὴν μὲν συνημμένην ἀπονέμοντας τῷ συνημ-
μένῳ καὶ ἐκ διαφερόντων ἁρμοσθέντι κόσμῳ, τὴν δὲ διεζευγμένην τῷ πάσης
γενέσεως διεζευγμένῳ κατὰ τὴν οὐσίαν θεῷ. γνώμην δὲ ἀποφαίνεται πάλιν 29
ὁ ἱεροφάντης φιλάρετον λέγων· „οὐ συντελέσετε τὸ λοιπὸν τοῦ θερισμοῦ“
(Lev. 19, 9), μεμνημένος τῆς ἐξ ἀρχῆς ὑποθέσεως, καθ' ἣν ὡμολόγει „τὸ
τέλος εἶναι κυρίου“ (Num. 31, 28ss.), παρ' ὃν τὸ κῦρος καὶ ἡ τούτων

---

1 πυρροὺς A 2 γοῦν conicio θερίζηται A 4 διακρίνοντα addidi
6 δοκοῦν coni. Mang. ἐπιβολὴν coni. Mang., βουλὴν conicio 7 prius
καὶ] ἑαυτῷ μὴ conicio Μωσεῖ A 10 τῷ Hoesch.: τὸ A 11 ὡσαύτως
conicio ἐκαινούργησαν v ἐξευρὼν scripsi: ἐξεῦρον A
12 ⟨καὶ τὸ⟩ τὴν conicio ἀφαγνίζεσθαι Mang.: ἀφανίζεσθαι A 14 αὐτοὺς
conicio 15 τὸν scripsi: τῶν A ἐκνίψασθαι καὶ ἀπολούσασθαι scripsi:
ἐκνίψαι καὶ ἀπολοῦσαι A 17 γνῶμαι scripsi: μνῆμαι A, ἔννοιαι Mang.
22 ἑαυταῖς A ⟨ἣν⟩ καὶ conicio 23 ἀπονέμοντα Mang., ⟨καὶ⟩ τὴν . . .
ἀπονέμεσθαι vel ἀπονέμοντος ⟨τοῦ λόγου⟩ conicio 26 συντελέσετε ex LXX
scripsi: συντελέσαι A, quocum μὴ coniungi debebat 28 κυρίῳ conicio
παρ' ὃν τὸ Mang.: παρόντος A τούτων] πάντων conicio

30 βεβαίωσίς ἐστιν. ἀλλὰ γὰρ ὁ τοῦ θερίζειν ἀμύητος αὐχεῖ λέγων·
„ᾤμην ἃ μὴ ἐθέρισα καταδεῖν σὺν ἑτέροις δράγματα“ (Gen. 37, 7),
καὶ οὐκ ἐλογίσατο παρ' ἑαυτῷ, ὅτι δούλων καὶ ἀνεπιστημόνων ἥδε
ἐστὶν ὑπηρεσία, καθὰ καὶ μικρῷ πρότερον εἶπον.
31 Δράγματα δ' ἀλληγοροῦντές φαμεν εἶναι πράγματα, ὧν ἕκαστος ὡς
οἰκείας τροφῆς ἐπιδράττεται, ἐν ᾗ ζήσεσθαι καὶ βιώσεσθαι τὸν αἰῶνα
32 ἐλπίζει. (5.) μυρίαι μὲν οὖν τῶν δραγμάτων, λέγω δὴ τῶν ὡσανεὶ
τρεφόντων πραγμάτων, διαφοραί, μυρίαι δὲ καὶ τῶν ἐπιδραττομένων καὶ
αἱρουμένων τὰ δράγματα, ὡς ἁπάσας οὔτ' εἰπεῖν οὔτ' ἐπινοῆσαι δυνα-
τόν· τινὰς δ' οὐκ ἄτοπον δείγματος ἕνεκα ἑρμηνεῦσαι, ὧν καὶ τὸ ὄναρ
33 διηγούμενος ἐπεμνήσθη. φησὶ γὰρ τοῖς ἀδελφοῖς· „ᾤμην ἡμᾶς δεσμεύειν
δράγματα“ (l. c.). ἀδελφοὶ δ' εἰσὶν ὁμοπάτριοι μὲν δέκα, ὁμογάστριος
δὲ εἷς· ἑκάστου δὲ αὐτῶν τοὔνομα σύμβολον ἀναγκαιοτάτου πράγματός
ἐστι, Ῥουβὴν μὲν εὐφυίας — υἱὸς γὰρ ὁρῶν καλεῖται, ᾗ μὲν υἱός, οὐ
τέλειος, ᾗ δὲ ὁρατικὸς καὶ ὀξὺ καθορῶν, εὐφυής —, μαθήσεως δὲ
34 Συμεών — εἰσακοὴ γὰρ ἑρμηνεύεται —, ἐνεργειῶν δὲ καὶ πράξεων
σπουδαίων καὶ λειτουργιῶν ἁγίων Λευί, τῶν δὲ εἰς θεὸν ᾠδῶν τε καὶ
ὕμνων Ἰούδας, Ἰσσάχαρ δὲ μισθῶν, οἳ ἐπ' ἔργοις καλοῖς ἀποδίδονται
— τάχα δ' αὐτὰ τὰ ἔργα ὁ τέλειος μισθὸς ἦν —, Ζαβουλὼν δὲ φωτός,
ἐπειδὴ ῥύσις νυκτερίας ὀνομάζεται — ῥεούσης δὲ καὶ ἀπολιπούσης νυκτὸς
35 ἐξ ἀνάγκης φῶς ἀνίσχει —, διακρίσεως δὲ καὶ τομῆς πραγμάτων Δάν,
ἐπιθέσεως δὲ καὶ ἀντεπιθέσεως πειρατικῆς Γάδ, Ἀσὴρ δὲ τοῦ φυσικοῦ
πλούτου — μακαρισμὸς γὰρ ἑρμηνεύεται, ἐπειδὴ μακάριον κτῆμα
36 νενόμισται πλοῦτος —, εἰρήνης δὲ Νεφθαλείμ — διανοίγεται
⟨γὰρ⟩ καὶ εὐρύνεται πάντα εἰρήνῃ, ὡς συγκλείεται | πολέμῳ· τὸ δὲ p. 664 M.
ὄνομα μεταληφθὲν πλατυσμὸς ἢ διανεῳγμένον ἐστί —, Βενιαμὶν
δὲ τοῦ νέου καὶ γέροντος χρόνου· λέγεται γὰρ ἑρμηνευθεὶς υἱὸς
ἡμερῶν εἶναι, ἡμέραις δὲ καὶ νυξὶν ὁ νέος ὁμοῦ καὶ γέρων αἰών

---

1 λέγων Mang.: λέγειν A 2 μὴ A: μὲν coni. Mang., secl. Richter, sed v. § 21 κατάδειν A 4 ⟨ἡ⟩ ὑπηρεσία conicio (v. § 21) 7 δὲ conicio 9 ὡς] ἃς coni. Mang. 10 καὶ ⟨ὁ⟩ conicio 14 Ῥουβὴν scripsi: Ῥουβείμ A 14. 15 bis ἡ pro ᾗ A 18 Ἰσάχαρ A ἀποδίδονται scripsi: ἐπιδίδονται A 20 ῥύσις Mang.: φύσις A 21 τομῆς Mang.: τροπῆς A 22 φυσικοῦ Mang.: ψυχικοῦ A 25 γὰρ add. Hoesch. 28 ἡμερῶν Hoesch.: ἡμῶν A αἰὼν Mang.: αἰῶνα A

---

27 *cf. Hieronymi quaest. in Gen.* p. 55,17 Lag.: errant qui putant Beniamin filium dierum interpretari . . .

ἀναμετρεῖται. ἐπιδράττεται γοῦν ἕκαστος τῶν οἰκείων καὶ ἐπιδραξά- 37
μενος τὰ μέρη πάντα συνδεῖ· ὁ μὲν εὐφυὴς εὐθιξίας, ἐπιμονῆς,
μνήμης, ἐν οἷς ἡ εὐφυΐα· ὁ δὲ εὐμαθὴς ἀκροάσεως, ἡσυχίας,
προσοχῆς· ὁ δὲ ἐγχειρητὴς [τῆς] θαρραλεότητος, παρακεκινδυνευ-
μένης εὐτολμίας· ὁ δὲ εὐχάριστος ἐπαίνων, ἐγκωμίων, ὕμνων, 38
εὐδαιμονισμῶν κατά τε τὸ λέγειν καὶ τὸ ᾄδειν· ὁ δὲ μισθῶν ἐφιέ-
μενος ἀόκνου συνεχείας τλητικωτάτης καρτερίας καὶ ἐπιμελείας σὺν
ἀνανταγωνίστῳ ταχυτῆτι· ὁ δὲ φῶς ἀντὶ σκότους μεταδιώκων ἐγρηγόρ- 39
σεως, ὀξυωπίας· ὁ δὲ τομῆς καὶ διακρίσεως πραγμάτων ζηλωτὴς λόγων
ἠκονημένων, τοῦ μὴ ὑφ' ὁμοίων ὡς τῶν αὐτῶν ἀπατᾶσθαι, τοῦ μὴ
πρὸς χάριν, τοῦ ἀδεκάστου· ὁ δὲ πειρατικώτερον ἐνεδρεύων τοὺς ἀντι- 40
λοχῶντας ἀπάτης, φενακισμοῦ, γοητείας, σοφισμάτων, προσποιήσεως,
ὑποκρίσεως, ἅπερ ἐξ ἑαυτῶν ψεκτὰ ὄντα κατ' ἐχθρῶν γινόμενα ἐπαινεῖ-
ται· ὁ δὲ πλουτεῖν τὸν φύσεως πλοῦτον ἐπιτηδεύων ἐγκρατείας, ὀλιγο-
δείας· ὁ δὲ εἰρήνης ἐρῶν εὐνομίας, εὐδικίας, ἀτυφίας, ἰσότητος. (6.) ἐκ 41
τούτων τὰ τῶν ὁμοπατρίων ἀδελφῶν δράγματα καταδεῖται, τὰ δὲ τοῦ
ὁμογαστρίου ἐξ ἡμερῶν καὶ χρόνου, τῶν οὐδενὸς αἰτίων ὡς ἁπάντων
αἰτίων. αὐτὸς δὲ ὁ ἐνυπνιαστὴς καὶ ὀνειροπόλος — ἦν γὰρ ἀμφότερα 42
— τῆς κενῆς δόξης ὡς μεγίστου καὶ λαμπροτάτου καὶ βιωφελεστάτου κτή-
ματος ἐπιδράττεται. διὸ πρῶτον μὲν ἀπ' ὀνειράτων, ἃ νυκτὶ φίλα, τῷ βασι-
λεῖ τῆς σωματικῆς χώρας γνωρίζεται, οὐκ ἀπὸ πραγμάτων τηλαυγῶν ἐναρ-
γείας, ἃ πρὸς ἐπίδειξιν ἡμέρας δεῖται. εἶτ' ἐπίτροπος ἢ κηδεμὼν Αἰγύπτου 43
πάσης ἀνακηρύττεται, ταῖς τιμαῖς τοῦ βασιλέως οἰσόμενος δευτερεῖα,
ἅπερ ἥττης καὶ ἀτιμίας ἀφανέστερα καὶ καταγελαστότερα παρὰ φρονή-
σει γράφεται δικαζούσῃ. εἶτα „κλοιὸν χρυσοῦν“ (Gen. 41,41.42), ἀγχόνην 44
ἐπιφανῆ, κύκλον καὶ τροχὸν ἀνάγκης ἀτελευτήτου, περιτίθεται — οὐκ
ἀκολουθίαν καὶ τὸ ἑξῆς ἐν βίῳ καὶ τὸν εἱρμὸν τῶν τῆς φύσεως πρα-
p. 665 M. γμάτων, ὡς ἡ Θάμαρ· οὐ | γὰρ κλοιός, ἀλλὰ ὁρμίσκος αὐτῆς ὁ κόσμος
(Gen. 38, 18) — καὶ δακτύλιον μέντοι βασιλικόν (Gen. 41, 42), δῶρον

---

1 οὖν conicio  4 τῆς secl. Mang., idem καὶ post θαρραλεότητος add. vel θαρραλεωτάτης coni.  5. 6 ὕμνον, εὐδαιμονισμὸν A  6 ⟨τῶν⟩ κατὰ conicio  7 συνεχείας ⟨ἀσκήσεως⟩ coniciebam, nunc satis habeo comma post συνεχείας delevisse  8 ἀνανταγωνίστῳ scripsi: εὐκαταφροντίστω A, εὐκαταφόρῳ coni. Mang., ἀκαταφρονήτῳ coniciebam  11. 12 ἀντιλοχῶντας scripsi: ἀντιλοχοῦντας A  15 εὐδικίας Mang.: εὐδοκίας A  16 alterum τὰ Mang.: τοῦ A  17. 18 αἰτίων, ὧν δ' οὐκ ἄνευ πάντα conicio  21. 22 ἐναργείας Mang.: ἐνεργείας A  22 ἐπίσκοπος v  ἢ] καὶ conicio  23 τῆς τιμῆς coni. Mang.  26 περιτιθέναι A

⟨ἄδωρον⟩, πίστιν ἄπιστον, ἐναντιούμενον τῷ δοθέντι πάλιν τῇ Θάμαρ
45 ὑπὸ τοῦ βασιλέως τοῦ ὁρῶντος, Ἰσραήλ, Ἰούδα. δίδωσι γὰρ οὗτος τῇ
ψυχῇ σφραγῖδα (Gen. 38, 18), πάγκαλον δῶρον, διδάσκων ὅτι ⟨ὁ θεὸς⟩
ἀσχημάτιστον οὖσαν τὴν τῶν πάντων οὐσίαν ἐσχημάτισε καὶ ἀτύπωτον
ἐτύπωσε καὶ ἄποιον ἐμόρφωσε καὶ τελειώσας τὸν ὅλον ἐσφράγισε κόσμον
46 εἰκόνι καὶ ἰδέᾳ, τῷ ἑαυτοῦ λόγῳ. ἀλλ' ἐκεῖνός γε καὶ ἐπὶ τὸ δευτε-
ρεῖον ἄνεισιν ἅρμα (Gen. 41, 43) [ἢ] ὑποτυφούμενος ὑπ' αἰώρας φρενῶν
καὶ κενοῦ φυσήματος καὶ σιταρχεῖ (ibid. 48), τῷ σώματι θησαυροφυλα-
κῶν καὶ πανταχόθεν αὐτῷ πορίζων τὰς τροφάς· ἐπιτειχισμὸς δὲ κατὰ
47 τῆς ψυχῆς βαρὺς οὗτός ἐστι. τῇ δὲ προαιρέσει καὶ ζηλώσει τοῦ βίου
μαρτυρεῖ καὶ τοὔνομα οὐχ ἥκιστα· πρόσθεσις γὰρ Ἰωσὴφ ἑρμηνεύεται.
κενὴ δὲ δόξα προστίθησιν ἀεὶ γνησίῳ μὲν τὸ νόθον, οἰκείῳ δὲ τὸ ἀλλό-
τριον, ἀληθεῖ δὲ τὸ ψεῦδος, αὐτάρκει δὲ τὸ πλεονάζον, ζωῇ δὲ θρύψιν,
βίῳ δὲ τῦφον.
48 (7). Τί δ' ἐστὶν ὃ βούλομαι δηλοῦν, σκόπει. σιτίοις καὶ ποτοῖς
τρεφόμεθα, κἂν ᾖ εὐτελεστάτη μᾶζα καὶ ὕδωρ ναματιαῖον. τί οὖν ἡ
κενὴ δόξα προσεπέθηκεν ἀμήτων καὶ μελιπήκτων πεμμάτων γένη μυρία
καὶ οἴνων ἀμυθήτων πολυέργους καὶ παμποικίλους κράσεις πρὸς ἀπό-
49 λαυσιν ἡδονῆς μᾶλλον ἢ πρὸς μετουσίαν τροφῆς παρηρτυμένας; πάλιν
ἡδύσματα πρὸς ἐδωδὴν ἀναγκαῖα γήτεια καὶ λάχανα καὶ πολλὰ τῶν
ἀκροδρύων καὶ ἔτι τυρὸς καὶ εἴ τι ἄλλο ὁμοιότροπον· εἰ δὲ θέλεις, ἐπὶ
σαρκοβόρων ἀνθρώπων ἰχθῦς ἔτι καὶ κρέας πρὸς τούτοις γράφομεν.
50 ἆρ' οὖν οὐκ αὔταρκες ἦν ἀπανθρακίσαντας καὶ αὐτοσχεδίως ὀπτήσαντας
πυρὶ τρόπον ἡρωικῶν ὄντως ἀνδρῶν προσφέρεσθαι; ἀλλ' οὐκ ἐπὶ ταῦτα
ὁ γαστρίμαργος μόνον ὁρμᾷ, σύμμαχον δὲ τὴν κενὴν δόξαν λαβὼν καὶ

---

1 ἄδωρον add. Mang. τῇ (vel τῇ αὐτῇ) scripsi: αὐτῆς A, αὖ τῇ Mang. 2 οὗτος] ὁ θεὸς Mang. 3 ὁ θεὸς addidi 6 γε scripsi: τε A 7 ἢ seclusi cum Mang. vel ὁ conicio 11 καὶ] δὲ (in notis δὴ) Mang. 13 ἀληθεῖ Mang.: ἀληθέσι codd. ψευδὲς conicio, nisi praeferas ἀληθείᾳ 16 ᾖ] ἡ A τί scripsi: εἴ τι A, ἔτι vel εἰς τί coni. Mang. 17 ἀμητῶν A post μελιπήκτων fort. καὶ ἄλλων add. (de ebr. § 217) 20 ἐπωδὴν A γή-τεια Mang.: γοητεία A 21 ἔτι scripsi: εἰ A, om. Mang. 22 ἀνθρώπων Hoesch.: ἄνθρωπος A κρέας] ὄρνεας coni. Mang. γράφωμεν conicio 24 ταῦτα Hoesch.: τούτων A

---

1 cf. Soph. Aiacem 665: ἄδωρα δῶρα. 15—269,1 cf. dissertationem meam „Philo und die kynisch-stoische Diatribe“ p. 18. 24 ss. 16 μᾶζα καὶ ὕδωρ] cf. Epicurea fr. 602.

τὸ ἐν αὐτῷ λίχνον πάθος ἐγείρας ὀψαρτύτας καὶ τραπεζοποιοὺς εὐδοκί-
μους τὴν τέχνην ἀναζητεῖ καὶ περιβλέπεται. οἱ δὲ τὰ κατὰ τῆς ταλαί- 51
νης γαστρὸς ἐκ πολλῶν χρόνων ἀνευρημένα δελέατα ἀνακινήσαντες καὶ
χυλῶν ἰδιότητας σκευάσαντές τε καὶ διαθέντες ἐν κόσμῳ προσσαίνουσι
καὶ τιθασεύουσι γλῶτταν· εἶτ' εὐθὺς ἀγκιστρεύονται τῶν αἰσθήσεων τὴν
ἐπιβάθραν, γεῦσιν, δι' ἧς ἀντ' ἐλευθέρου δοῦλος ὁ δειπνοθήρας οὐκ εἰς
μακρὰν ἀνεφάνη. τίς γε μὴν οὐκ οἶδεν, ὅτι ἀμπεχόνη πρὸς τὰς ἀπὸ 52
p. 666 M. κρυμοῦ | καὶ θάλπους ἐγγινομένας βλάβας τῷ σώματι κατεσκευάσθη τὸ
πρῶτον; ἀλεξάνεμος μέν, ὡς οἱ ποιηταί πού φασι, χειμῶνι * * *. τίς 53
οὖν τὰς πολυτελεῖς ἁλουργίδας, τίς τὰ διαφανῆ καὶ λεπτὰ θέριστρα, τίς
τὰς ἀραχνοϋφεῖς ἀμπεχόνας, τίς τὰ ἐπηνθισμένα ἢ βαφαῖς ἢ πλοκαῖς διὰ τῶν
βάπτειν ἢ ὑφαίνειν ποικίλα ἐπισταμένων καὶ τὴν ἐν ζῳγραφίᾳ μίμησιν παρ-
ευημερούντων δαιδαλεύεται; τίς; οὐχ ἡ κενὴ δόξα; (8.) ἀλλὰ μὴν καὶ οἰκίας 54
διὰ τὰς αὐτὰς ἐδέησεν ἡμῖν αἰτίας, καὶ ὅπως μὴ πρὸς θηρίων ἢ θηριωδε-
στάτων τὰς φύσεις ἀνθρώπων ἐπιτρεχόντων βλαπτώμεθα. τί οὖν τὰ μὲν
ἐδάφη καὶ τοὺς τοίχους πολυτελέσι λίθοις διακοσμοῦμεν; τί δὲ Ἀσίαν καὶ
Λιβύην καὶ πᾶσαν Εὐρώπην καὶ τὰς νήσους ἐπερχόμεθα, κίονας ἀριστίν-
δην ἐπιλελεγμένους καὶ ἐπιστυλίδας ἐρευνῶντες; τί δὲ περὶ Δωρίους καὶ 55
Ἰωνικὰς καὶ Κορινθιακὰς γλυφὰς καὶ ὅσα οἱ ἐντρυφῶντες ⟨τοῖς καθεστ⟩ῶσι
νόμοις προσεξεῦρον σπουδάζομέν τε καὶ φιλοτιμούμεθα, κιονόκρανα κοσ-
μοῦντες; τί δὲ χρυσορόφους ἀνδρῶνας καὶ γυναικωνίτιδας κατασκευά-
ζομεν; ἆρ' οὐ διὰ τὴν κενὴν δόξαν; καὶ μὴν πρός γε ὕπνον μαλακὸν 56
μὲν ἔδαφος αὔταρκες ἦν — ἐπεὶ καὶ μέχρι νῦν τοὺς Γυμνοσοφιστὰς παρ'
Ἰνδοῖς χαμευνεῖν ἐκ παλαιῶν ἐθῶν κατέχει λόγος —, εἰ δὲ μή, στιβὰς
γοῦν ἐκ λίθων λογάδων ἢ ξύλων εὐτελῶν πεποιημένη κλίνη. ἀλλὰ γὰρ 57
ἐλεφαντόποδες τὰ ἐνήλατα καὶ κλιντῆρες ὀστράκοις πολυτελέσι καὶ ποικί-
λαις χελώναις ἐνδεδεμέναις μετὰ πολλῶν πόνων καὶ δαπανημάτων ἐν

3 ἀνακαινίσαντες coni. Mang. 4 προσαίνουσι A 5 γλῶτταν ⟨πρῶτον⟩ coni. Mang. 6 ἐπὶ βάθραν A 9 ἀλλ' ἐξάνεμος A lacuna unius fere versus in A, τῷ δὲ θέρει ἀναψύχουσα e. gr. supplet Hoesch. 11 ἀραχνοϋφεῖς Mang.: ἀραχνοφυεῖς A ποικιλίαις coni. Mang. 12 βάπτειν Mang.: ῥάπτειν A 13 οἰκείας A 14. 15 θηριωδεστέρων coni. Mang. 19 ὅσα Hoesch.: ὅσους A τοῖς καθεστῶσι scripsi (καθεστῶσι iam Mang.): ζῶσι A 21 χρυσορρόφους A 22 γε scripsi: τε A 26 καὶ ⟨κεκοσμηνένοι⟩ conicio κλιντῆρες Hoesch.: ἠλιντῆρας A 27 ἐνδεδεμένοι coni. Mang.

9 Hom. Od. ξ 529.

πολλῷ χρόνῳ κατασκευάζονται, τινὲς δὲ ὁλοάργυροι καὶ ὁλόχρυσοι καὶ
λιθοκόλλητοι στρωμναί, ἀνθηροποικίλοις καὶ χρυσοπάστοις ὡς πρὸς ἐπί-
δειξιν καὶ πομπήν, οὐ τὴν καθ' ἡμέραν χρῆσιν, διακεκοσμημέναι, ὧν
58 δημιουργὸς ἡ κενὴ δόξα. τί δὲ τοῦ ἀπὸ τῆς ἐλαίας ἐκθλιβομένου καρ-
ποῦ πλέον ἔδει ζητεῖν πρὸς ἀλείμματα; καὶ γὰρ λεαίνει καὶ κάματον
σώματος λύει καὶ εὐσαρκίαν ἐμποιεῖ, κἂν εἴ τι κεχαλασμένον εἴη, σφίγγει
59 πυκνότητι καὶ οὐδενὸς ἧττον ἑτέρου ῥώμην καὶ εὐτονίαν ἐντίθησιν. ἀλλὰ
γὰρ ἐπετειχίσθη τοῖς ὠφελοῦσι τὰ ἡδέα τῆς κενῆς δόξης ἀλείμματα, εἰς
ἃ καὶ μυρεψοὶ πονοῦσι καὶ χῶραι μεγάλαι συντελοῦσι, Συρία, Βαβυλών,
60 Ἰνδοί, Σκύθαι, παρ' οἷς αἱ τῶν ἀρωμάτων γενέσεις εἰσί. (9.) πρός γε
μὴν τὸ πίνειν τίνος ἔδει μᾶλλον ἢ τοῦ φύσεως ἐκπώματος ἀκρότησι
τέχνης εἰργασμένου; τὸ δὲ ἔκπωμα αἱ ἡμέτεραι χεῖρές | εἰσιν, ἃς εἰς p. 667 M.
ταὐτό τις συναγαγὼν καὶ κοιλάνας, εὖ μάλα τῷ στόματι προσθείς, ἐπι-
χέοντος ἑτέρου τὸ ποτὸν οὐ μόνον ἄκος τῆς δίψης, ἀλλὰ καὶ ἄλεκτον
61 ἡδονὴν κτᾶται. εἰ δὲ ἔδει πάντως ἑτέρου, τὸ γεωργικὸν κισσύβιον οὐχ
ἱκανὸν ἦν, ἀλλὰ ἄλλων ἐπιφανῶν τέχνας ἀναζητεῖν ἔδει; τί δὲ ἀργυρῶν
καὶ χρυσῶν κυλίκων ἄφθονον πλῆθος κατασκευάζεσθαι, εἰ μὴ διὰ τὸν
φρυαττόμενον μεγάλα τῦφον καὶ τὴν ἐπ' αἰώρας φορουμένην κενὴν δόξαν;
62 ὅταν καὶ στεφανοῦσθαί τινες ἀξιῶσι μὴ δάφνης μηδὲ κιττοῦ, μὴ ἴων ἢ
κρίνων ἢ ῥόδου ἢ θαλλοῦ συνόλως ἤ τινος ἄνθους εὐώδει στεφάνῳ παρελθόν-
τες τὰ θεοῦ δῶρα, ἃ διὰ τῶν ἐτησίων ὡρῶν ἀναδίδωσι, χρυσοῦς ⟨δ'⟩
ὑπὲρ κεφαλῆς, βαρύτατον ἄχθος, αἰωρῶσιν ἐν ἀγορᾷ μέσῃ καὶ πληθούσῃ
χωρὶς αἰδοῦς, ἄλλο τι νομιστέον ἢ ὅτι κενῆς δόξης εἰσὶ δοῦλοι, φάσκον-
63 τες οὐκ ἐλεύθεροι μόνον ἀλλὰ καὶ πολλῶν ἄλλων ἡγεμόνες εἶναι; ἐπι-

---

1 τινὲς] ἔτι conicio 2 λιθοκόλλυτοι A ἄνθεσι ποικίλοις conicio ἀνθηροποικίλοις καὶ χρυσοπάστοις (add. idem ἔργοις ex Cant. S. Trin.) Mang.: ἀνθηροποικίλους καὶ χρυσοπάστους A, ἀνθηροποικίλοι καὶ χρυσόπαστοι Hoesch. 3 ὧν Hoesch.: ὡς A 4. 5 λιπαροῦ coni. Mang. 8 ἐπετειχίσθη Mang.: ἀπετειχίσθη A 11 ἀκρότητι Mang., fort. recte 13. 14 ⟨μὴ⟩ ἐπιχέοντος Mang. 14 τῆς scripsi: τε A 15 κισσίβιον A 17 ἄφθονον Mang.: ἀφθόνων A κατασκευάζεται coni. Mang. 18 φορουμένην Hoesch.: φορουμένης A 19 καὶ ὅταν vel ὅταν δὲ καὶ conicio. levioribus autem infra mutationibus opus est, si hic scribas ὅπου γε καί. sic servatur ἀξιοῦσι, lin. 22 αἰωροῦσιν leg., lin. 23 οὒς τί στεφανοῦσθαί scripsi: στεφανοῦσι A, στεφανοῦνται Hoesch. ἀξιῶσι scripsi: ἀξιοῦσι A 20 εἴ τινος A, ἢ τίνος ⟨ἄλλου⟩ conicio post στεφάνῳ add. ἀναδεῖσθαι Hoesch. 21 χρυσοῦ Hoesch. δ' Hoesch.: om. A 22 αἰωρῶσιν scripsi: ἑωρῶσιν A, αἰωροῦσιν Hoesch. πληθούσῃ Mang.: πλήθους A 23 ἄλλο τι scripsi: ἅτε A, (v. ad lin. 19)

λείψει μεθ' ἡ ἡμέρα τὰς διαφθορὰς τοῦ ἀνθρωπείου βίου διεξιόντα. καίτοι
τί δεῖ μακρηγορεῖν; τίς γὰρ αὐτῶν ἀνήκοός ἐστι, τίς δὲ οὐ θεατής; τίς
μὲν οὖν οὐ τρίβων καὶ ἐθάς; ὥστε παγκάλως προσθήκην τὸν ἀτυφίας
μὲν ἐχθρόν, τύφου δ' ἑταῖρον ὠνόμασεν ὁ ἱερὸς λόγος. καθάπερ γὰρ 64
τοῖς δένδρεσιν ἐπιφύονται βλάσται περισσαί, μεγάλαι τῶν γνησίων λῶβαι,
ἃς καθαίρουσι καὶ ἀποτέμνουσι προνοίᾳ τῶν ἀναγκαίων οἱ γεωργοῦντες,
οὕτω τῷ ἀληθεῖ καὶ ἀτύφῳ βίῳ παρανέβλαστεν ὁ κατεψευσμένος καὶ
τετυφωμένος, οὗ μέχρι ταύτης τῆς ἡμέρας οὐδεὶς εὕρηται γεωργὸς ὃς
τὴν βλαβερὰν ἐπίφυσιν αὐταῖς ῥίζαις ἀπέκοψε. τοιγαροῦν εἰδότες οἱ 65
φρονήσεως ἀσκηταὶ τὸ κατάπλαστον τοῦτ' αἰσθήσει πρῶτον, ⟨εἶτα⟩ δια-
νοίᾳ μεταδιώκοντα ἄντικρυς ἐκβοῶσι· „θηρίον πονηρὸν ἥρπασε καὶ
κατέφαγεν Ἰωσήφ“ (Gen. 37, 33). ἀλλ' οὐ θηρίον ἐξηγριωμένον ὢν ὁ 66
πολυπλοκώτατος τῶν πεφυρμένων ἀνθρώπων τυφοπλαστηθεὶς βίος, οὗ
πλεονεξία καὶ πανουργία σοφαὶ δημιουργοί, τοὺς προσιόντας ἅπαντας
εὐωχεῖται; τοιγάρτοι καὶ ἔτι ζῶσιν αὐτοῖς ὡς νεκροῖς προτεθήσεται
πένθος, ἀξίαν ὀλοφύρσεως καὶ θρήνων καρπουμένοις ζωήν· ἐπεὶ καὶ
Ἰακὼβ τὸν Ἰωσὴφ ἔτι ζῶντα πενθεῖ. ἀλλ' οὐ Μωυσῆς ἐάσει τοὺς 67
περὶ Ναδὰβ ἱεροὺς λόγους πενθεῖσθαι (Lev. 10, 6)· οὐ γὰρ ὑπ' ἀγρίου
πονηροῦ θηρὸς ἁρπασθέντες, ἀλλ' ὑπὸ ῥιπῆς ἀσβέστου καὶ ἀθανάτου
φέγγους ἀνελήφθησαν, ὅτι τὴν ἔνθερμον καὶ διάπυρον καὶ σαρκῶν ἀνα-
p. 668 M. λωτικὴν καὶ ὀξυκίνητον πρὸς τὴν | εὐσέβειαν σπουδήν, ᾗ γενέσεως μὲν
ἐστιν ἀλλοτρία, θεοῦ δὲ οἰκεία, τὸν μελλητὴν ὄκνον ἐκποδὼν ἀνελόντες,
εὐαγῶς καθιέρωσαν, οὐ δι' ἀναβαθμῶν ἐπὶ τὸν βωμὸν ἐλθόντες —
ἀπείρηται γὰρ νόμῳ —, ἀλλὰ δεξιῷ πνεύματι ἐπουρίσαντες καὶ ἄχρι
τῶν οὐρανοῦ περιόδων παραπεμφθέντες, θυσίας ὁλοκαύτου καὶ ὁλοκάρπου

---

1 διαφθορὰς scripsi: διαφορὰς A 3 ἐθάς Hoesch.: ἔθος A 4 ἑταῖρον Hoesch.: ἕτερον A 6 καθαιροῦσι coni. Cohn. sed v. de agric. § 10 7 παρανέβλαστεν scripsi: παρανέβλαψεν A 9 ἐπὶ φύσιν A 10 ⟨τὸν ἀδελφὸν⟩ τὸ conicio κατάπλαστον scripsi: κατάπλειστον A, ἄπληστον (om. τοῦτο) coni. Mang. εἶτα add. Mang., praestat fort. αὐτόν, εἶτα καὶ 11 μεταδιώκοντα scripsi: μεταδιώκοντες A, μεταδιώκοντας coni. Mang. 12 ὢν Hoesch.: ὃν A 13 τυφοπλαστηθεὶς scripsi: τύφῳ βλαστηθεὶς A οὗ Mang.: οὐ A 15 προτεθήσεται scripsi: προστεθήσεται A 16 ἀξίαν Hoesch.: ἄξιον A καρπουμένοις Hoesch.: καρπούμενοι A 17 Μωσῆς A 18 Ναδὰβ Mang.: Ἀδὰμ A ἀγρίου ⟨καὶ⟩ conicio 20 τὴν Mang.: τε A 21 σπουδήν Mang.: σπουδῆς A ᾗ Hoesch.: ἢ A 22 μελλητὴν scripsi: μὲν δὴ A 23 ἀναβασμῶν A 24 ἐπουρίσαντες Hoesch.: ἀπουρίσαντες A, ἐπουρισθέντες Mang., fort. recte

68 τρόπον εἰς αἰθερίους αὐγὰς ἀναλυθέντες. (10.) ἀποκοπτέον οὖν, ὦ
ψυχὴ πειθαρχοῦσα τῷ διδάσκοντι, τὴν σεαυτῆς χεῖρα καὶ δύναμιν, ἐπειδὰν
ἄρξηται τῶν γεννητικῶν ἢ γενέσεως ἢ ἀνθρωπείων σπουδασμάτων
69 ἐπιλαμβάνεσθαι. πολλάκις γὰρ ὑφ' * * * προσαψαμένην τῶν διδύμων
χεῖρα ἀποκόπτειν (Deut. 25, 11. 12), πρῶτον μὲν ὅτι ἐδεξιώσατο ἣν
ἐχθαίρειν ἐχρῆν ἡδονήν, δεύτερον δὲ ὅτι παρ' ἡμᾶς τὸ σπείρειν ἐνό-
70 μισεν, εἶθ' ὅτι τῷ γενομένῳ τὴν τοῦ ποιοῦντος ἀνέθηκε δύναμιν. οὐχ
ὁρᾷς, ὅτι ὁ γήινος ὄγκος, Ἀδάμ, ὅταν ἅψηται τοῦ διδύμου ξύλου (Gen. 2,
9), θνῄσκει, δυάδα τιμήσας πρὸ μονάδος καὶ τὸ γενόμενον πρὸ τοῦ
πεποιηκότος ἐκθαυμάσας; ἀλλὰ σύ γε τοῦ μὲν καπνοῦ καὶ κύματος
ἐκτὸς βαῖνε καὶ τὰς καταγελάστους τοῦ θνητοῦ βίου σπουδὰς ὡς τὴν
φοβερὰν ἐκείνην χάρυβδιν ἀποδίδρασκε καὶ μηδὲ ἄκρῳ, τὸ τοῦ λόγου
71 δὴ τοῦτο, δακτύλῳ ψαύσῃς. ἐπειδὰν δὲ ταῖς ἱεραῖς ἐπαποδύσῃ λειτουργίαις,
ὅλην τὴν χεῖρα καὶ δύναμιν εὐρύνασα εὖ μάλα τῶν παιδείας καὶ
σοφίας θεωρημάτων ἐπίδραξαι. καὶ γὰρ πρόσταξίς ἐστι τοιαύτη· „ἐὰν
ψυχὴ προσφέρῃ δῶρον ἢ θυσίαν, σεμίδαλις ἔσται τὸ δῶρον," εἶτ' ἐπιφέρει·
„καὶ δραξάμενος πλήρη τὴν δράκα ἀπὸ τῆς σεμιδάλεως σὺν τῷ
ἐλαίῳ καὶ παντὶ τῷ λιβάνῳ ἐπιθήσει τὸ μνημόσυνον ἐπὶ τὸ θυσιαστή-
72 ριον" (Lev. 2, 1. 2). ἆρ' οὐ παγκάλως ψυχὴν εἶπεν ἀσώματον τὴν
μέλλουσαν ἱερουργεῖν, ἀλλ' οὐ τὸν δίδυμον ἐκ θνητοῦ καὶ ἀθανάτου
συνεστῶτα ὄγκον; τὸ γὰρ εὐχόμενον, τὸ εὐχάριστον, τὸ θυσίας ἀμώμους
73 ἀληθῶς ἀνάγον ἓν μόνον ἦν ἄρα, ἡ ψυχή. τίς οὖν ἡ ψυχῆς ἀσωμάτου
θυσία; τίς ἢ σεμίδαλις, ἐκκεκαθαρμένης ταῖς παιδείας ὑποθήκαις
γνώμης σύμβολον, τροφὴν ἄνοσον καὶ ζωὴν ἀνυπαίτιον ποιεῖν ἱκανῆς;
74 ἀφ' ἧς δραξάμενον τὸν ἱερέα ὅλῃ τῇ δρακί, τὸ δ' ἐστὶ πάσαις ταῖς

---

1 ἀναλυθέντας A 2 σεαυτῆς Hoesch.: γε αὐτῆς A 3 ἢ γενέσεως corruptum vid. 4 lacuna 20—25 litt. A; cf. De spec. leg. III cap. 31. 32 (II 328. 329 M.), ὑφηγεῖται suppl. Mang., sed plura desunt. προσαψαμένην Hoesch.: προσαψαμένων A 7 γενομένω A (o in ras.): γεννωμένῳ v ἀνέθηκε Mang.: ἐνέθηκε A 12 τὸ secundum Cotelerium Mang.: τῶ A 13 δὴ scripsi: ποδὶ A (an δήπου?) τοῦτο A: τῷ v 16 ἢ fort. secl. (om. LXX) 18 πάντα τὸν λίβανον e LXX coni. Mang. ἐπιθήσει ex LXX Mang.: ἐπιτίθησι A, sed v. p. 197,17 ⟨αὐτῆς⟩ ἐπὶ conicio (cf. ad p. 197,17) 20 ἱερουργεῖν Mang.: ἱερουργίαν A 21 εὐχαριστοῦν Mang. ἀμώμους Hoesch.: ἀμώμου A 23 ἢ Mang.: ἡ A ἐκκεκαθαρμένης Mang.: ἐκκεκαθαρμένη A παιδείας Hoesch.: παιδείαις A 25 δραξάμενον scripsi: δραξάμενος A τὸν ἱερέα A: ὁ ἱερεὺς v·

---

10. 11 Hom. Od. μ 219.

διανοίας λαβαῖς, πλήρη τὴν ὅλην ψυχὴν εἰλικρινεστάτων καὶ καθαρω-
τάτων δογμάτων γενομένην αὐτὴν ὡς ἱερεῖον τὸ κάλλιστον ἀνάγειν προσ-
τέτακται, πίονα καὶ λιπῶσαν, θείῳ φωτὶ χαίρουσαν καὶ ταῖς ἀπὸ δικαι-
οσύνης καὶ τῶν ἄλλων ἀρετῶν ἀναδιδομέναις καταπνεομένην αὔραις, ὡς
εὐωδέστατον καὶ προσηνέστατον ἀεὶ καρποῦσθαι βίον· τὸ γὰρ ἔλαιον καὶ
p. 669 M. ὁ | λιβανωτός, ὧν ἐπιδράττεται σὺν τοῖς λευκοπύροις ὁ ἱερεύς, ταῦτα
αἰνίττεται. (11). διὰ τοῦτο καὶ Μωυσῆς ἐξαίρετον ἑορτὴν ἀνέθηκε τῷ 75
δράγματι, πλὴν οὐ παντί, ἀλλὰ τῷ ἀπὸ τῆς ἱερᾶς γῆς. „ὅταν“ γάρ
φησιν „εἰσέλθητε εἰς τὴν γῆν, ἣν ἐγὼ δίδωμι ὑμῖν, καὶ θερίζητε τὸν
θερισμὸν αὐτῆς, οἴσετε δράγματα ἀπαρχὴν τοῦ θερισμοῦ ὑμῶν πρὸς τὸν
ἱερέα“ (Lev. 23, 10), τὸ δέ ἐστιν· ὅταν εἰσέλθῃς, ὦ διάνοια, εἰς τὴν 76
ἀρετῆς χώραν, ἣν ἐμπρεπὲς μόνῳ δωρεῖσθαι θεῷ, τὴν εὔβοτον, τὴν
εὔγειον, τὴν καρποφόρον, εἶτα οἰκεῖα [εἴ γε] σπείρασ' ἀγαθὰ θερίζῃς
αὐξηθέντα ὑπὸ τοῦ τελεσφόρου, μὴ πρότερον οἴκαδε συγκομίσῃς, τουτ-
έστι μὴ ἀναθῇς μηδ' ἐπιγράψῃς σεαυτῇ τὴν τῶν περιγινομένων αἰτίαν,
ἢ ἀπάρξασθαι τῷ πλουτάρχῳ καὶ τὰ πλουτιστήρια ἔργα ἐπιτηδεύειν
ἀναπείθοντι. καὶ λέγεται „τὴν ἀπαρχὴν τοῦ θερισμοῦ ὑμῶν“ αὐτῶν, 77
ἀλλ' οὐχὶ τῆς γῆς, προσφέρειν, ἵνα ἀμῶμεν καὶ θερίζωμεν ἑαυτοῖς,
πάνθ' ὅσα καλὰ καὶ τρόφιμα καὶ σπουδαῖα βλαστήματα καθιεροῦντες.
(12.) Ἀλλ' ὅ γε τῶν ἐνυπνίων μύστης ὁμοῦ καὶ μυσταγωγὸς 78
θαρρεῖ λέγειν, ὅτι ἀνέστη τὸ αὐτοῦ δράγμα καὶ ὠρθώθη (Gen. 37, 7).
τῷ γὰρ ὄντι καθάπερ οἱ γαῦροι τῶν ἵππων τὸν αὐχένα μετέωρον ἐξά-
ραντες, ὅσοι θιασῶται τῆς κενῆς δόξης εἰσίν, ἐπάνω πάντων ἑαυτοὺς
ἱδρύουσι, πόλεων, νόμων, ἐθῶν πατρίων, τῶν παρ' ἑκάστοις πραγμάτων·
εἶτα ἀπὸ δημαγωγίας ἐπὶ δημαρχίαν βαδίζοντες καὶ τὰ μὲν τῶν πλησίον 79
καταβάλλοντες, τὰ δὲ οἰκεῖα διανιστάντες καὶ παγίως ὀρθοῦντες, ὅσα
ἐλεύθερα καὶ ἀδούλωτα φύσει φρονήματα, καὶ ταῦθ' ὑπάγεσθαι μηχα-
νῶνται. διὸ προστίθησι· „περιστραφέντα δὲ τὰ δράγματα ὑμῶν προσε- 80
κύνησαν τὸ ἐμὸν δράγμα“ (ibid.). τέθηπε γὰρ ὁ μὲν αἰδοῦς ἐραστὴς
τὸν σκληραύχενα, ὁ δὲ εὐλαβὴς τὸν αὐθάδη, ὁ δὲ ἰσότητα τιμῶν τὸν

1 διανοίας Hoesch.: διανοίαις A λάβαις A 2 ἱερείων conicio
3 χαίρουσαν Mang.: χαίρουσι A 6 ἱερεύς Hoesch.: ἱερός A 13 εἴ γε seclusi
(σύ γε?), ἔργα coni. Cohn σπείρας A, σπείρασα v 15 ἀναθεὶς A μηδ'
Hoesch.: μὴ A 16 πλουτοφόρῳ καὶ τὰ πλούτου ποριστικὰ ἔργα conicio
17 λέγετε A ἡμῶν per errorem Hoesch. 18 ἑαυτούς conicio 21 θαρρεῖ
Cohn: θαρσεῖ A 24 προσταγμάτων vel διαταγμάτων coni. Mang. 26 δια-
νιστάντες Mang.: διαναστάντες A 27 alt. καὶ secl. Cohn 30. 271,1 ἰσότητα et
ἄνισον Mang.: ὁσιότητα et ἀνόσιον A

81 ἑαυτῷ τε καὶ ἄλλοις ἄνισον, καὶ μήποτ' εἰκότως· ἅτε γὰρ θεωρὸς ὢν
οὐ μόνον τοῦ ἀνθρωπείου βίου ἀλλὰ καὶ τῶν ἐν κόσμῳ συμπάντων ὁ
ἀστεῖος οἶδεν ὅσον εἴωθε πνεῖν ἀνάγκη, τύχη, καιρός, βία, δυναστεία,
καὶ ὅσας ὑποθέσεις καὶ ἡλίκας εὐπραγίας ἀπνευστὶ δραμούσας ἄχρις
82 οὐρανοῦ κατέσεισαν καὶ κατέρραξαν. ὥστε ἀναγκαίως εὐλάβειαν ἐπασπι-
δήσεται, τοῦ μηδὲν ἐξ ἐπιδρομῆς δεινὸν παθεῖν συγγενὲς φυλακτήριον· ὃ
83 γάρ, οἶμαι, πρὸς πόλιν τεῖχος, τοῦτ' εὐλάβεια πρὸς ἕκαστον. ἆρ' οὖν
οὐ παραπαίουσι καὶ μεμήνασιν ὅσοι παρρησίαν ἄκαιρον σπουδάζουσιν
ἐπιδείκνυσθαι, βασιλεῦσι καὶ τυράννοις ἔστιν ὅτε λέγειν τε καὶ ποιεῖν
ἐναντία τολμῶντες, οὐκ αἰσθανόμενοι, ὅτι ⟨οὐ⟩ τοὺς αὐχένας μόνον
ὥσπερ τὰ θρέμματα ὑπεζεύχθησαν, ἀλλ' ὅλα τὰ σώματα καὶ τὰς
| ψυχὰς γύναιά τε καὶ τέκνα καὶ γονεῖς καὶ τὴν ἄλλων ἑταίρων ⟨καὶ⟩ p. 670 M.
συγγενῶν πολυάνθρωπον οἰκειότητα καὶ κοινωνίαν ἐκδέδενται, καὶ ἔξεστι
τῷ ἡνιόχῳ καὶ ἐπόχῳ μετὰ πάσης εὐμαρείας κεντεῖν, ἐλαύνειν, ἐπέχειν,
84 ἀναχαιτίζειν, ἅττ' ἂν ἐθελήσῃ μικρὰ καὶ μείζω διατιθέναι; τοιγαροῦν
στιζόμενοι καὶ μαστιγούμενοι καὶ ἀκρωτηριαζόμενοι καὶ ὅσα πρὸ τοῦ
θανάτου χαλεπὰ πάντα ὠμῶς καὶ ἀνηλεῶς ἀθρόα ὑπομένοντες, ἀπαχθέν-
85 τες ἐπὶ πᾶσι θνῄσκουσι. (13.) ταῦτ' ἐστὶ τῆς ἀκαίρου παρρησίας τὰ
ἐπίχειρα, οὐ παρρησίας παρά γε εὖ φρονοῦσι κριταῖς, ἀλλ' εὐηθείας καὶ
φρενοβλαβείας καὶ μελαγχολίας ἀνιάτου γέμοντα. τί λέγεις; χειμῶνά
τις ὁρῶν ἀκμάζοντα καὶ βαρὺ πνεῦμα ἐναντίον καὶ λαίλαπα καταιγίζου-
σαν καὶ κυματούμενον πέλαγος, ἐνορμίζεσθαι δέον, ἐξορμίζεται καὶ ἐξανά-
86 γεται; τίς ἢ κυβερνήτης ἢ ναύκληρος οὕτω ποτὲ ἐμεθύσθη καὶ παρῴ-
νησεν, ⟨ὡς⟩ ὅσων εἶπον κατασκηψάντων ἐθελῆσαι πλεῖν, ἵνα ὑπέραντλος
ἄνωθεν ἐπιχυθείσης τῆς θαλάσσης ἡ ναῦς γενομένη πλωτῆρσιν αὐτοῖς
ἐγκαταποθῇ; τῷ γὰρ βουλομένῳ πλεῖν ἀκινδύνως εὔδιον πνεῦμα οὔριόν

---

3 ποιεῖν coni. Mang. 4 ἡλιακὰς A εὐπραγίαι et δραμοῦσαι coni. Mang. 5. 6 ἐπασπιδήσεται A: ἐπασπισθήσεσθαι coni. Hoesch., ἐπασπιδώσεται Mang., ἐπισπάσεται (sc. σύμμαχον, sic saepius Philo) conicio, ἐπασκηθήσεται coni. Cohn 8 ἄκαιρον Mang. (cf. § 85): ἄπειρον A 10 οὐκ] οὐδὲ coni. Mang. αἰσθανόμενοι scripsi: αἰσθάνονται A, quod servari non potest, nisi γὰρ addas οὐ add. Hoesch. 12 ἑταίρων καὶ Mang.: ἑτέρων A 13 ἐκδίδονται (ἐκδέδονται?) coni. Mang. 14 ἐπόχῳ Mang.: ἐπ' ὤμω A 18 ἐστὶ Mang.: ἐπὶ A 19 ⟨μᾶλλον⟩, ἀλλ' conicio 20 ⟨ἢ⟩ τί conicio 21 τίς Av, sed v. p. 273,1 ἐναντιούμενον conicio 23 ⟨εἴ⟩ τις Mang. 24 ὡς scripsi: ἵνα A, quod transposui post πλεῖν. et aliquid vocis ἵνα restare videtur in corrupteta πλύνειν ἐθελῆσαι scripsi (cf. Mang.:) ἐθελήσῃ A, ἐθελούσῃ v ὅσον A πλεῖν Hoesch.: πλύνειν A, tum καὶ add. Hoesch. ἵνα] v. modo adnotata 25 ⟨ἅμα⟩ πλωτῆρσιν coni. Hoesch. 26 συγκατεπόθη coni. Mang.

τε καὶ λεῖον ἀναμένειν ἐξῆν. τί δέ; ἄρκτον τις ⟨ἢ σῦν ἄγριον ἢ⟩ 87
λέοντα μετὰ συρμοῦ θεασάμενος ἐπιόντα, πραῦναι καὶ τιθασεῦσαι δέον, ἐξαγριαίνει καὶ ἀνερεθίζει, ὅπως θοίναν καὶ εὐωχίαν ὠμοβόροις ἀνηλεεστάτοις εὐτρεπίσῃ ἑαυτόν; εἰ μὴ καὶ φαλαγγίοις καὶ ἀσπίσι 88
ταῖς Αἰγυπτίαις καὶ τοῖς ἄλλοις ὅσα τὸν φθοροποιὸν ἰὸν ⟨ἐπιφέρεται⟩ οὐδενὶ λυσιτελὲς ἀνθίστασθαι, θάνατον ἀπαραίτητον τοῖς ἅπαξ δηχθεῖσιν ἐπάγουσιν· ἀγαπητὸν γὰρ κατεπᾴδοντας καὶ χειροήθη ποιοῦντας μηδὲν ἀπ' αὐτῶν δεινὸν παθεῖν. εἶτ' οὐκ εἰσιν ἄνθρωποί τινες συῶν, φα- 89
λαγγίων, ἀσπίδων ἀγριώτεροι καὶ ἐπιβουλότεροι; ὧν τὸ ἐπίβουλον καὶ δυσμενὲς ἀμήχανον ἑτέρως ἢ τιθασείαις καὶ μειλίγμασι χρωμένους διεκδῦναι. τοιγάρτοι ὁ σοφὸς Ἀβραὰμ τοὺς υἱοὺς τοῦ Χὲτ — ἑρμηνεύονται δὲ ἐξιστάντες — προσκυνήσει (Gen. 23, 7), τῶν καιρῶν τοῦτο δρᾶν ἀναπειθόντων. οὐ γὰρ τιμῶν γε τοὺς ἐκ φύσεως καὶ γένους 90
καὶ ἐθῶν ἐχθροὺς λογισμοῦ, οἳ τὸ τῆς ψυχῆς νόμισμα, παιδείαν, ἐξιστάντες καὶ κατακερματίζοντες οἰκτρῶς ἀναλίσκουσιν, ἐπὶ τὸ προσκυνεῖν ἦλθεν, ἀλλὰ τὸ παρὸν κράτος αὐτῶν καὶ τὴν δυσάλωτον ἰσχὺν δεδιὼς καὶ φυλαττόμενος ἐρεθίζειν, μέγα καὶ ἐχυρὸν κτῆμα καὶ ἀγώνισμα ἀρετῆς,
p. 671 M. σοφῶν ψυχῶν ἄριστον ἐνδιαίτημα, τὸ διπλοῦν σπήλαιον, | ὃ μαχόμενον μὲν καὶ πολεμοῦντα οὐκ ἐνῆν, ὑπερχόμενον δὲ καὶ θεραπεύοντα τῷ λόγῳ, κομιεῖται. τί δέ; οὐχὶ καὶ ἡμεῖς, ὅταν ἐν ἀγορᾷ διατρίβωμεν, 91
εἰώθαμεν ἐξίστασθαι μὲν τοῖς ἄρχουσιν, ἐξίστασθαι δὲ καὶ τοῖς ὑποζυγίοις; ἀλλ' ἀπ' ἐναντίας γνώμης καὶ οὐχὶ τῆς αὐτῆς· τοῖς μὲν γὰρ ἄρχουσιν ἐν τιμῇ, τοῖς δὲ ὑποζυγίοις διὰ φόβον τοῦ μηδὲν ἀπ' αὐτῶν εἰς ἡμᾶς νεωτερισθῆναι. καὶ διδόντων μὲν τῶν καιρῶν ἐπιτιθεμένους 92
τὴν τῶν ἐχθρῶν βίαν καλὸν καταλῦσαι, μὴ ἐπιτρεπόντων δὲ ἀσφαλὲς ἡσυχάσαι, βουλομένοις δέ τιν' ὠφέλειαν εὑρίσκεσθαι παρ' αὐτῶν ἁρμόττον τιθασεῦσαι.

---

1 ἄρκτον Mang.: ἄρκον A   τίς A   1. 2 lacuna 8—9 litt. in A: supplevit Cohn, solum ἢ iam add. Hoesch.   4 ἀνηλεεστάτοις Mang.: ἀνηλεεστάτην A   5 ὅσα Hoesch.: ὅσοι A   ἐπιφέρεται ὀδοῦσιν (hoc subst. carere possumus) supplet Mang., ἔχει suppl. Hoesch.   7 ἐπάγουσιν A (coni. Mang.): ἀπάγουσιν v   13 τοῦτο Mang.: τοῦ A   οὐ Mang.: ὁ A   14. 15 ἐξιστάντες suspectum   17 ἐρεθίζειν Cotelerius: ἐρυθριάζειν A   18 post σπήλαιον add. κομίζεται Mang.   19 οὐ κενὴν A   ὑπερχόμενον Mang.: ὑπερμαχόμενον A   20 κομιεῖται scripsi: κομιεῖσθαι A   24 ⟨οὕτως⟩ καὶ conicio   26 τιν' scripsi: τὴν A

---

17 cf. Thuc. I 22 (vol. II p. 148,4).

93 (14). Διὸ καὶ νῦν ἄξιον ἐπαινεῖν τοὺς μὴ ὑποχωροῦντας τῷ τῆς
κενῆς προστάτῃ δόξης, ἀλλὰ ἀνθισταμένους καὶ λέγοντας· „μὴ βασιλεύων
βασιλεύσεις ἐφ' ἡμῖν" (Gen. 37,8); οὔπω γὰρ ἰσχυκότα ὁρῶσιν αὐτόν,
οὐχ ὡς φλόγα ἡμμένον τε καὶ λάμποντα ἐν ἀφθόνῳ ὕλῃ νεμόμενον,
ἀλλ' ἔθ' ὡς σπινθῆρα ἐντυφόμενον, ὀνειρώττοντα δόξαν, οὐκ ἐναργῶς
94 ἤδη μετιόντα. χρηστὰς γὰρ ἐλπίδας ὑποβάλλουσιν ἑαυτοῖς, ὡσεὶ καὶ μὴ
ἁλῶναι δυνησόμενοι. παρὸ λέγουσι· „μὴ ἐφ' ἡμῖν βασιλεύσεις"; ἴσον
τῷ ζώντων, ὄντων, ἰσχυόντων, ἐμπνεόντων ἡμῶν οἴει δυναστεύσειν;
ἀσθενησάντων μὲν γὰρ ἴσως ἐπικρατήσεις, ἐρρωμένων δὲ ἐν ὑπηκόου
95 μοίρᾳ τετάξῃ. καὶ πέφυκεν οὕτως ἔχειν· ἐπειδὰν μὲν γὰρ ἐν διανοίᾳ
⟨ὁ⟩ ὀρθὸς ἰσχύῃ λόγος, ἡ κενὴ καταλύεται δόξα, ῥώννυται δὲ ἀσθενή-
σαντος. ἕως οὖν ἔτι σφαν ἔχει τὴν ἑαυτῆς δύναμιν ἡ ψυχὴ καὶ μηδὲν
αὐτῆς μέρος ἠκρωτηρίασται, θαρρείτω βάλλειν καὶ τοξεύειν τὸν ἐναντιού-
μενον τῦφον καὶ ἐλευθεροστομείτω φάσκουσα· οὔτε βασιλεύσεις οὔτε
96 κυριεύσεις (ibid.) οὔτε ἡμῶν οὔτε ἐφ' ἡμῶν ἑτέρων· ἀλλά σου τὰς
ἐπανατάσεις καὶ τὰς ἀπειλὰς ἐφόδῳ μιᾷ καταδραμούμεθα σὺν τοῖς δορυ-
φόροις καὶ ὑπασπισταῖς, φρονήσεως ἐγγόνοις· ἐφ' ὧν λέγεται ὅτι „προσέ-
θεντο μισεῖν αὐτὸν ἕνεκα τῶν ἐνυπνίων αὐτοῦ καὶ ἕνεκα τῶν ῥημάτων
97 αὐτοῦ" (ibid.). ἀλλ' οὐ ῥήματα μὲν καὶ ἐνύπνια πάνθ' ὅσα ὁ τῦφος
ἂν εἰδωλοποιῇ, πράγματα δὲ καὶ σαφεῖς ἐνάργειαι τὰ ὅσα ἐπ' ὀρθὸν βίον
καὶ λόγον ἀναφέρεται; καὶ τὰ μὲν μίσους ἅτε κατεψευσμένα, τὰ δὲ φιλίας
98 ἅτε ἀληθείας τῆς ἐπεράστου γέμοντα ἐπάξια. μηδεὶς οὖν ἔτι κατηγορεῖν
ἐπιτολμάτω τῶν τοσούτων τὰς ἀρετὰς ἀνδρῶν ὡς μισανθρώπου καὶ μισα-
δέλφου δεῖγμα ἤθους ἐκφερόντων, ἀλλὰ μαθών, ὅτι οὐκ ἄνθρωπος ὁ νῦν
ἐπικρινόμενός ἐστιν, ἀλλὰ τῶν ἐν ἑκάστου τῇ ψυχῇ τρόπων ὁ δοξομανὴς
καὶ φιλότυφος, ἀποδεχέσθω τοὺς ἄσπονδον ἔχθραν καὶ μῖσος ἀκατάλ-
λακτον πρὸς | αὐτὸν αἱρομένους καὶ μηδέποτε τὸν στυγηθέντα πρὸς ἐκεί- p. 672 M.
99 νων στερξάτω, γνοὺς ἀκριβῶς, ὅτι οἱ τοιοῦτοι δικασταὶ γνώμης οὐκ ἄν
ποτε ἐσφάλησαν ὑγιοῦς, ἀλλὰ μαθόντες καὶ παιδευθέντες ἐξ ἀρχῆς τὸν

---

3 βασιλεύσῃς A ἰσχυκότα Mang.: ἐσχηκότα A 4 οὐδ' conicio τε scripsi: ται A, om. v 5 ἔθ' ὡς Hoesch.: ἔθος A 6 ἄρ' conicio 7 βασιλεύσῃς A 8 τῷ Mang.: τῶν A ὄντων vid. del. aut ὄντων, ζώντων transp. 11 ὁ add. Cohn 12 οὖν Mang.: οὐ A 16 ἐπανατάσεις Mang.: ἐπαναστάσεις A 20 ἐνάργειαι Mang.: ἐνέργειαι A 22 ἀδεκάστου conicio 23 ἐπιτολμάτω τῶν Hoesch.: ἐπὶ τολμοτάτων A τοιούτων coni. Mang. 24 ἐκφαινόντων conicio 25 τῶν A: ὁ ὧν coni. Mang. τρόπων scripsi: τρόπος A 27 αὐτὸν Hoesch.: αὐτοὺς A, τοῦτον conicio αἱρομένους scripsi: ἐρωμένους A, αἱρουμένους Hoesch. 28 τοιοῦτοι Mang.: τοσοῦτοι A

ὄντως βασιλέα, τὸν κύριον, προσκυνεῖν τε καὶ τιμᾶν ἀγανακτοῦσιν, εἴ τις
τὴν θεοῦ τιμὴν νοσφίζεται καὶ τοὺς ἱκέτας αὐτοῦ μετακαλεῖ πρὸς τὴν
ἰδίαν θεραπείαν. (15.) διὸ θαρροῦντες ἐροῦσιν· „μὴ βασιλεύων βασι- 100
λεύσεις ἐφ' ἡμῖν“; ἢ ἀγνοεῖς, ὅτι οὐκ ἐσμεν αὐτόνομοι, ἀλλ' ὑπὸ ἀθα-
νάτου βασιλέως, τοῦ μόνου θεοῦ, βασιλευόμεθα; τί δέ; „κυριεύων κυ-
ριεύσεις ἡμῶν“ (Gen. 37,8); μὴ γὰρ οὐ δεσποζόμεθα καὶ ἔχομέν τε
καὶ ἕξομεν εἰς τὸν ἀεὶ χρόνον τὸν αὐτὸν κύριον; ᾧ δουλεύοντες οὕτω
γεγήθαμεν, ὡς οὐδεὶς ἕτερος ἐπ' ἐλευθερίᾳ· καὶ γάρ ἐστι τὸ δουλεύειν
θεῷ πάντων ἄριστον, ὅσα ἐν γενέσει τετίμηται. εὐξαίμην ἂν οὖν καὶ 101
αὐτὸς δυνηθῆναι τοῖς γνωσθεῖσιν ὑπὸ τούτων ἐμμεῖναι βεβαίως· ὀπτῆρες
γὰρ καὶ κατάσκοποι καὶ ἔφοροι πραγμάτων, οὐ σωμάτων, εἰσὶν ἀκριβο-
δίκαιοι, πάντα νήφοντες τὸν αἰῶνα, ὡς ὑπὸ μηδενὸς ἔτι τῶν εἰωθότων
δελεάζειν ἀπατᾶσθαι. μεθύω δὲ ἄχρι νῦν ἐγὼ καὶ ἀσαφείᾳ πολλῇ 102
κέχρημαι καὶ βάκτρων καὶ τῶν ποδηγετησόντων ὥσπερ οἱ τυφλοὶ δέομαι·
σκηριπτομένῳ γὰρ ἐγγένοιτ' ἂν ἴσως μήτε προσπταίειν μήτε ὀλισθαίνειν.
εἰ δέ τινες ἀνεξετάστους καὶ ἀπερισκέπτους εἰδότες ἑαυτοὺς οὐ σπουδά- 103
ζουσι τοῖς ἐξητακόσιν ἃ χρὴ πάντα ἀκριβῶς καὶ περιεσκεμμένως ἀκο-
λουθεῖν, ἀγνοοῦντες τὴν ὁδὸν ἐπισταμένοις, ἴστωσαν ὅτι δυσαναπορεύτοις
βαράθροις περιπαρέντες οὐδ' ἐπειγόμενοι προελθεῖν ἔτι δυνήσονται.
ἐγὼ δὲ ἐκείνοις, ὅταν μικρὸν ἀνεθῶ τῆς μέθης, οὕτως εἰμὶ ἔνσπονδος, 104
ὡς τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον εἶναι νομίζειν. καὶ νῦν οὐδὲν ἧττον
τὸν ἐνυπνιαστήν, ὅτι γε καὶ ἐκεῖνοι, προβαλοῦμαι καὶ στυγήσω· καὶ
οὐδεὶς εὖ φρονῶν ἐπὶ τούτῳ μέμψαιτ' ἄν με τῷ τὰς πλειόνων γνώμας
τε καὶ ψήφους ἀεὶ νικᾶν. ἐπειδὰν δὲ πρὸς ἀμείνω βίον μεταβάλῃ καὶ 105
μηκέτ' ἐνυπνιάζηται μηδὲ ταῖς κεναῖς τῶν κενοδόξων φαντασίαις ἰλυ-
σπώμενος κακοπαθῇ μηδὲ νύκτα καὶ σκότος καὶ πραγμάτων ἀδήλων
καὶ ἀτεκμάρτων συντυχίας ὀνειροπολῇ, περιαναστὰς δὲ ἐκ τοῦ βαθέος 106
ὕπνου διατελῇ μὲν ἐγρηγορώς, ἐνάργειαν δὲ πρὸ ἀσαφείας καὶ πρὸ ψευ-
δοῦς ὑπολήψεως ἀλήθειαν καὶ πρὸ νυκτὸς ἡμέραν καὶ φῶς πρὸ σκότους

2 ἱκέτας Mang.: οἰκέτας A 3. 4 βασιλεύσῃς A 9 post τετίμηται lacunam statuit Mang. 11 εἰσὶν] ἦσαν coni. Mang. 11. 12 ἀκριβοδίκαιοι scripsi: ἀκριβεῖς, δίκαιοι A 13 ἀσαφία A 15 σκηριπτομένῳ Hoesch.: σκ, lac. 5 litt., μένω A 16. 17 σπουδάζουσι Hoesch.: σπου, lac. 7 litt. A 18 ⟨οἱ⟩ ἀγνοοῦντες ⟨τοῖς⟩ conicio 19 ἐπειγόμενοι scripsi: ἐπιγινόμενοι A, ἐπινηχόμενοι coni. Mang. 20 ἔνσπονδος Mang.: ἔσπονδος A, ἔκσπονδος Hoesch. 23 με τῷ scripsi: μετὰ A, κατὰ coni. Mang., μοι τὸ vel με τοῦ Hoesch. πλειόνων scripsi: πλείω A, πλείους v, τῶν vid. add. 25. 26 ἰλυσπώμενος scripsi (εἰλυσπώμενος v): εἰλησπόμενος A 28. 29 ψεύδους A

ἀποδέχηται καὶ τὴν μὲν γυναῖκα τοῦ Αἰγυπτίου, σώματος ἡδονήν, εἰς
αὐτὴν εἰσελθεῖν καὶ τῆς ὁμιλίας αὐτῆς ἀπολαῦσαι παρακαλοῦσαν ἀπο-
στρέφηται (Gen. 39,7) διὰ πόθον ἐγκρατείας | καὶ ζῆλον εὐσεβείας p. 673 M.
107 ἄλεκτον, ὧν δὲ ἔδοξεν ἀλλοτριωθῆναι συγγενικῶν καὶ πατρῴων ἀγαθῶν
μεταποιῆται πάλιν τὸ ἐπιβάλλον ἀρετῆς ἑαυτῷ μέρος δικαιῶν ἀνα-
κτᾶσθαι καὶ ταῖς κατὰ μικρὸν ἐπανιὼν βελτιώσεσιν ὡς ἐπὶ κορυφῆς
τοῦ ἑαυτοῦ βίου καὶ τέλους ἱδρυθεὶς ἀναφθέγξηται, ὃ παθὼν ἀκριβῶς
ἔμαθεν, ὅτι „τοῦ θεοῦ“ (Gen. 50, 19) ἐστιν, ἀλλ' οὐδενὸς ἔτι τῶν εἰς
108 γένεσιν ἡκόντων αἰσθητοῦ τὸ παράπαν, οἱ μὲν ἀδελφοὶ καταλλακτηρίους
ποιήσονται συμβάσεις, τὸ μῖσος εἰς φιλίαν καὶ τὸ κακόνουν εἰς εὔνοιαν
μεταβαλόντες, ἐγὼ δ' ὁ τούτων ὀπαδὸς — πείθεσθαι γὰρ ὡς δεσπόταις
109 οἰκέτης ἔμαθον — ἐπαινῶν οὐκ ἐπιλείψω τῆς μετανοίας ἐκεῖνον· εἴ γε
καὶ Μωυσῆς ὁ ἱεροφάντης ἀξιέραστον καὶ ἀξιομνημόνευτον οὖσαν αὐτοῦ
τὴν μετάνοιαν ἐκ φθορᾶς ἀνασῴζει διὰ συμβόλου τῶν ὀστέων, ἃ κατο-
ρωρύχθαι μέχρι τοῦ παντὸς οὐκ ᾤετο δεῖν ἐᾶν ⟨ἐν⟩ Αἰγύπτῳ (Exod.
13, 19), παγχάλεπον ἡγούμενος, εἴ τι ἤνθησεν ἡ ψυχὴ καλόν, τοῦτ'
ἐᾶσαι μαρανθῆναι καὶ κατακλυσθὲν ἀφανισθῆναι πλημμύραις, ἃς ὁ τῶν
παθῶν Αἰγύπτιος ποταμός, τὸ σῶμα, διὰ πασῶν τῶν αἰσθήσεων ῥέων
ἐνδελεχῶς ἐκδίδωσιν.

110 (16.) Ἡ μὲν οὖν ἐπὶ τῶν δραγμάτων φανεῖσα ὄψις ἀπὸ γῆς καὶ διά-
κρισις εἴρηται· τὴν δὲ ἑτέραν καιρὸς ἤδη σκοπεῖν, καὶ ὡς ὀνειροκριτικῇ
111 τέχνῃ διαστέλλεται. „εἶδεν“ οὖν φησιν „ἐνύπνιον ἕτερον καὶ διηγήσατο
τῷ πατρὶ καὶ τοῖς ἀδελφοῖς αὐτοῦ καὶ εἶπεν· ὥσπερ ⟨ὁ⟩ ἥλιος καὶ ἡ σελήνη
καὶ ἕνδεκα ἀστέρες προσεκύνουν με. καὶ ἐπετίμησεν αὐτῷ ὁ πατὴρ καὶ
εἶπε· τί τὸ ἐνύπνιον ὃ ἐνυπνιάσθης; ἆρά γε ἐλθόντες ἐλευσόμεθα ἐγὼ καὶ ἡ
μήτηρ σου καὶ οἱ ἀδελφοί σου προσκυνῆσαί σοι ἐπὶ τὴν γῆν; ἐζήλωσαν
δὲ αὐτὸν οἱ ἀδελφοί, ὁ δὲ πατὴρ διετήρησε τὸ ῥῆμα“ (Gen. 37,9—11).
112 φασὶ τοίνυν οἱ μετεωρολογικοί, τὸν ζῳδιακὸν κύκλον μέγιστον ὄντα τῶν
κατ' οὐρανὸν δυοκαίδεκα ζῳδίοις, ἀφ' ὧν καὶ τὴν ἐπωνυμίαν ἔσχε,
κατηστερίσθαι, ἥλιον δὲ καὶ σελήνην ἀεὶ περὶ αὐτὸν εἰλουμένους ἕκαστον

---

2 αὐτὴν Mang.: αὐτὸν A 5 μεταποιῆται Hoesch.: μεταποιῆσαι A ἀρετῆς om. Hoesch. 10 κακόνουν Mang.: κακὸν A 12 ἐπαίνων οὐκ ἐπιλήψω A 13 Μωσῆς A 15 ἐὰν A, ἐν add. Hoesch. 16 πᾶν χαλεπὸν A 20 ἐπὶ scripsi: ἀπὸ A δραγμάτων Mang.: πραγμάτων A γῆς ⟨ληφθεῖσα⟩ conicio (cf. § 6) 21 καὶ secl. Cohn ὀνειροκριτική A 22 διαστέλλεσθαι coni. Mang. 23 ὁ add. Mang. 25 ⟨τοῦτο⟩ ὃ conicio, cf. § 135 29 ζῳδίοις scripsi: ζωδίων A, ζωδίων σημείοις coni. Mang. 30 κατηστερεῖσθαι A

διεξέρχεσθαι τῶν ζῳδίων, οὐκ ἰσοταχεῖς, ἀλλ' ἐν ἀριθμοῖς καὶ χρόνοις
ἀνίσοις, τὸν μὲν ἐν ἡμέραις τριάκοντα, τὴν δὲ δωδεκατημορίῳ τούτων
μάλιστα, ὅπερ ἡμερῶν δυεῖν καὶ ἡμίσους ἐστίν. ἔδοξεν οὖν ὁ τὴν θεό- 113
πεμπτον φαντασίαν ἰδὼν ὑπ' ἀστέρων ἕνδεκα προσκυνεῖσθαι, δωδέκατον
συντάττων ἑαυτὸν εἰς τὴν τοῦ ζῳδιακοῦ συμπλήρωσιν κύκλου. μέμνη- 114
μαι δὲ καὶ πρότερόν τινος ἀκούσας ἀνδρὸς οὐκ ἀμελῶς οὐδὲ ῥᾳθύμως
τῷ μαθήματι προσενεχθέντος, ὅτι οὐκ ἄνθρωποι μόνοι δοξομανοῦσιν,
ἀλλὰ καὶ οἱ ἀστέρες καὶ περὶ πρωτείων ἁμιλλώμενοι δικαιοῦσιν οἱ
p. 674 M. μείζους | ἀεὶ πρὸς τῶν ἐλαττόνων δορυφορεῖσθαι. ταῦτα μὲν οὖν, ὅπως 115
ἂν ἀληθείας ἢ εἰκαιολογίας ἔχῃ, παρετέον τοῖς μετεωροθήραις σκοπεῖν.
λέγομεν δὲ ἡμεῖς, [ὡς] ὅτι ὁ σπουδῆς ἀκρίτου καὶ φιλονεικίας ἀλόγου
καὶ κενῆς δόξης ἐραστής, ἀεὶ φυσώμενος ὑπ' ἀνοίας, οὐ μόνον ἀνθρώ-
πους ὑπερκύπτειν ἀλλὰ καὶ τὴν τῶν ὄντων φύσιν ἀξιοῖ. καὶ νομίζει 116
μὲν ἑαυτοῦ χάριν τὰ πάντα γεγενῆσθαι, ἀναγκαῖον δ' εἶναι δασμὸν
ἕκαστον ὡς βασιλεῖ φέρειν αὐτῷ, γῆν, ὕδωρ, ἀέρα, οὐρανόν· καὶ τοσαύτῃ
τῆς εὐηθείας ὑπερβολῇ χρῆται, ὥστε οὐκ ἰσχύει λογίσασθαι, ὃ κἂν
παῖς ἄφρων ἐννοηθείη, ὅτι τεχνίτης οὐδεὶς ἕνεκα μέρους ποτὲ ὅλον,
ἀλλ' ἕνεκα τοῦ ὅλου μέρος δημιουργεῖ· μέρος δὲ τοῦ παντὸς ἄνθρωπος,
ὥστε γεγονὼς εἰς τὸ συμπλήρωμα τοῦ κόσμου δικαίως ἂν αὐτὸς ἐκείνῳ
συντελοίη. (17.) φλυαρίας δὲ ἄρα τοσαύτης γέμουσί τινες, ὥστε ἀγα- 117
νακτοῦσιν, εἰ μὴ ὁ κόσμος τοῖς βουλήμασιν αὐτῶν ἕποιτο. διὰ τοῦτο
Ξέρξης μὲν ὁ Περσῶν βασιλεύς, βουλόμενος τοὺς ἐχθροὺς καταπλῆξαι,
μεγαλουργίας ἐπίδειξιν ἐποιεῖτο, καινουργῶν τὴν φύσιν· γῆν μὲν γὰρ 118
μετεστοιχείου καὶ θάλατταν, ἀντιδιδοὺς πελάγει μὲν ἤπειρον, ἠπείρῳ
δὲ πέλαγος, τὸν μὲν Ἑλλήσποντον ζευγνὺς γεφύραις, ὄρος δὲ τὸν Ἄθω
ῥηγνὺς εἰς βαθεῖς κόλπους, οἳ πληρούμενοι θαλάττης ὁ νέος καὶ χειρό-
κμητος εὐθὺς πόντος ἦσαν, τὸ παλαιὸν τῆς φύσεως ἐξαλλοιωθείς· τὰ 119

---

1 ἰσοταχεῖς (vel ἰσοταχῶς) Hoesch.: ἰσοταχοῦς A ἐναρίθμοις A 2 δ' ἐν conicio δωδεκάτην μορίω A 5. 6 μέμνημαι Hoesch.: μέμνηται A 10 ἢ corr. ex ἡ A εἰκοτολογίας conicio 11 ὡς seclusi 14 εἶναι] οἷον coni. Mang. 15 αὐτῶ A 16 χρῆσθαι, sed τ s. s. A ἰσχύει A: ἰσχύειν Hoesch. 17 οὐδὲ εἰς A μέρους Hoesch.: μέρος A 19 ὥστε] ὃς δὲ Hoesch. γεγονὼς scripsi: γέγονεν A 20 συντελοίη scripsi: συντελώνη A, συντελῶν ᾖ v, συντελῶν εἴη coni. Cohn 21 αὐτῶν conicio 25 ζευγνὺς γεφύραις Hoesch.: ζευγνύσθαι φυραῖς A 26 οἱ A 26. 27 χειρόκμητος scripsi: χειρότμητος A 27 τὸ παλαιὸν scripsi: τῶ παλαιῶ A, τοῦ παλαιοῦ coni. Mang.

---

21—278,7 cf. Herod. VII 22—24. 33—37. Norden, Kunstprosa p. 385. 386.

δὲ περίγεια, ὡς ἐδόκει, θαυματουργήσας ἀνέβαινε ταῖς τετολμημέναις
ἐπινοίαις συνανάγων ἀσέβειαν ἑαυτῷ καὶ εἰς οὐρανὸν ὁ δύστηνος, ὡς
τὰ ἀκίνητα κινήσων καὶ τὸν θεῖον στρατὸν καθαιρήσων, καί, τὸ λεγό-
120 μενον, ἀφ' ἱερᾶς ἤρχετο· τὸν γὰρ ἄριστον τῶν ἐκεῖ, τὸν ἡγεμόνα
ἡμέρας ἥλιον, ἐτόξευεν, ὥσπερ οὐχ αὐτὸς ἀφανεῖ βέλει φρενοβλαβείας
τιτρωσκόμενος οὐ μόνον διὰ τὸ ἀδυνάτων ἀλλὰ καὶ διὰ τὸ ἀνοσιωτάτων
ἔργων ἐρᾶν, ὧν καὶ θάτερον μεγάλη τῷ ἐγχειροῦντι δύσκλεια ἦν.
121 Γερμανῶν δὲ πολυανθρωποτάτην μοῖραν — ἀμπωτίζει δὲ παρ' αὐτοῖς
ἡ θάλαττα — λόγος ἔχει κατὰ τὰς ἐκεῖ παλιρροίας ἐπιδρομὰς ὠθου-
μένους μετὰ σπουδῆς, ἐπανατεινομένους γυμνὰ τὰ ξίφη, θέοντας ὡς
122 στῖφος πολεμίων τὸ κυματούμενον πέλαγος ὑπαντιάζειν· ⟨οὓς⟩ ἄξιον
μισεῖν μέν, ὅτι ἐναντία ὅπλα δι' ἀθεότητα κατὰ τῶν ἀδουλώτων τῆς
φύσεως αἱρεῖσθαι τολμῶσι μερῶν, χλευάζειν δέ, ὅτι ἀδυνάτοις ἐγχει-
ροῦσιν ὡς δυνατοῖς, νομίζοντες ὡς ζῷον καὶ ὕδωρ κεντεῖσθαι, τιτρώ-
σκεσθαι, κτείνεσθαι δύνασθαι, καὶ πάλιν ἀλγεῖν, δεδιέναι, φόβῳ τῶν
ἐπιόντων ἀποδιδράσκειν καὶ ὅσα ψυχῆς πάθη κατά τε ἡδονὰς καὶ ἀλγη-
123 δόνας ἀναδέχεσθαι. (18.) χθὲς | δ' οὐ πρῴην ἄνδρα τινὰ οἶδα τῶν p. 675 M.
ἡγεμονικῶν, ὅς, ἐπειδὴ τὴν προστασίαν καὶ ἐπιμέλειαν εἶχεν Αἰγύπτου, τὰ
πάτρια κινεῖν ἡμῶν διενοήθη καὶ διαφερόντως τὸν ἁγιώτατον καὶ φρι-
κωδέστατον περὶ τῆς ἑβδόμης ὑπάρχοντα νόμον καταλύειν καὶ ὑπηρετεῖν
ἠνάγκαζεν αὐτῷ καὶ τὰ ἄλλα ποιεῖν παρὰ τὸ καθεστὼς ἔθος, νομίζων
ἀρχὴν ἔσεσθαι καὶ τῆς περὶ τὰ ἄλλα ἐκδιαιτήσεως καὶ τῆς τῶν ὅλων
124 παραβάσεως, εἰ τὸ ἐπὶ τῇ ἑβδόμῃ πάτριον ἀνελεῖν δυνηθείη. καὶ μήθ'
οὓς ἐβιάζετο ὁρῶν εἴκοντας τοῖς ἐπιτάγμασι μήτε τὴν ἄλλην πληθὺν
ἠρεμοῦσαν, ἀλλὰ βαρέως καὶ τραχέως φέρουσαν τὸ πρᾶγμα καὶ ὡς ἐπ'
ἀνδραποδισμῷ καὶ πορθήσει καὶ κατασκαφῇ πατρίδος πενθοῦντάς τε
125 καὶ κατηφοῦντας, ἠξίου λόγῳ διδάσκειν παρανομεῖν, φάσκων· εἰ πολεμίων
ἔφοδος αἰφνίδιον γένοιτο ἢ κατακλυσμοῦ φορὰ τοῦ ποταμοῦ ταῖς πλημ-

---

1 ἐπίγεια conicio 4 τὸν] τὸ conicio 5 οὐχ] εἰ vel καὶ coni. Mang. 8 δὲ A: γε Hoesch. (in mg. A, in ed. γὰρ) ἀμποτίζειν A 9 ἐπιδρομαῖς coni. Mang. 11 οὓς add. Mang. 14 δυνατοῖς Mang.: δυνατὸν A 18 ἐπειδὴ huc transposui: ante τὰ habet A 19 ἁγιώτατον scripsi: ἁγιωδέστατα A, ἁγιωδέστατον Mang. 19. 20 φρικωδέστατον Mang.: φρικωδέστατα A 21 αὐτῷ] ἐν αὐτῇ Markland 26. 27 πενθοῦντες et κατηφοῦντες A

---

8 ss. Arist. Eth. Nicom. III 1 p. 1229 b 27: εἰ μηδὲν φοβοῖτο, μήτε σεισμὸν μήτε τὰ κύματα, καθάπερ φασὶ τοὺς Κελτούς. Strabo VII 2,1: οὐκ εὖ δ' οὐδὲ ὁ φήσας ὅπλα αἱρεσθαι πρὸς τὰς πλημμυρίδας τοὺς Κίμβρους . . .

μύραις παραρρήξαντος τὸ χῶμα ἢ ῥιπὴ πυρὸς ἢ κεραυνία φλὸξ ἢ λιμὸς
ἢ λοιμὸς ἢ σεισμὸς ἢ ὅσα ἄλλα κακὰ χειροποίητα καὶ θεήλατα, μεθ'
ἡσυχίας πάσης οἴκοι διατρίψετε; ἢ μετὰ τοῦ συνήθους σχήματος προ- 126
ελεύσεσθε, τὴν μὲν δεξιὰν εἴσω χεῖρα συναγαγόντες, τὴν δὲ ἑτέραν
ὑπὸ τῆς ἀμπεχόνης παρὰ ταῖς λαγόσι πήξαντες, ἵνα μηδ' ἄκοντές τι
τῶν εἰς τὸ σωθῆναι παράσχησθε; καὶ καθεδεῖσθε ἐν τοῖς συναγωγίοις 127
ὑμῶν, τὸν εἰωθότα θίασον ἀγείροντες καὶ ἀσφαλῶς τὰς ἱερὰς βίβλους
ἀναγινώσκοντες κἂν εἴ τι μὴ τρανὲς εἴη διαπτύσσοντες καὶ τῇ πατρίῳ
φιλοσοφίᾳ διὰ μακρηγορίας ἐνευκαιροῦντές τε καὶ ἐνσχολάζοντες; ἀλλὰ 128
γὰρ ἀποσεισάμενοι πάντα ταῦτα πρὸς τὴν ἑαυτῶν καὶ γονέων καὶ τέκνων
καὶ τῶν ἄλλων οἰκειοτάτων καὶ φιλτάτων σωμάτων, εἰ δὲ δεῖ τἀληθὲς
εἰπεῖν, καὶ κτημάτων καὶ χρημάτων, ὡς μηδὲ ταῦτα ἀφανισθείη, βοή-
θειαν ἀποδύσεσθε. καὶ μὴν οὗτος αὐτὸς ἐγὼ τὰ λεχθέντα, ἔφη, πάντα 129
εἰμί, τυφώς, πόλεμος, κατακλυσμός, κεραυνός, λιμηρὰ καὶ λοιμώδης
νόσος, ὁ τινάττων καὶ κυκῶν τὰ παγίως ἑστῶτα σεισμός, εἱμαρμένης
ἀνάγκης οὐκ ὄνομα, ἀλλ' ἐμφανὴς ἐγγὺς ἑστῶσα δύναμις. τί οὖν τὸν 130
ταῦτα λέγοντα ἢ διανοούμενον αὐτὸ μόνον εἶναι φῶμεν; ἆρ' οὐκ ἐκτό-
πιον; ὑπερωκεάνιον μὲν οὖν ἢ μετακόσμιόν τι καινὸν κακόν, εἴ γε τῷ πάντα
μακαρίῳ ὁ πάντα βαρυδαίμων ἑαυτὸν ἐξομοιοῦν ἐτόλμησεν. ὑπερθεῖτ' ἂν οὗ- 131
p. 676 M. τος ἥλιον καὶ σελήνην καὶ τοὺς ἄλλους ἀστέρας βλασφημεῖν, | ὁπότε τι τῶν
ἐλπισθέντων κατὰ τὰς ἐτησίους ὥρας ἢ μὴ συνόλως ἢ μὴ ῥᾳδίως ἀποβαί-
νοι, φλογμὸν μὲν θέρους, κρυμὸν δὲ [καὶ] χειμῶνος βαρὺν κατασκήπτοντος,
ἔαρος δὲ καὶ μετοπώρου, τοῦ μὲν πρὸς εὐκαρπίαν ἐστειρωμένου, τοῦ
δὲ πρὸς νοσημάτων γενέσεις εὐτοκίᾳ χρωμένου; πάντα μὲν οὖν ἀνα- 132
σείων κάλων ἀχαλίνου στόματος καὶ κακηγόρου γλώττης, ὥσπερ τὸν
εἰωθότα δασμὸν οὐκ ἐνεγκόντας τοὺς ἀστέρας αἰτιάσεται, τιμᾶσθαι μο-
νονοὺ καὶ προσκυνεῖσθαι δικαιῶν ὑπὸ τῶν οὐρανίων τἀπίγεια καὶ περιτ-

3 διατρίψεται A 5 ἑκόντες coni. Markland 6 καθεδεῖσθαι (ε s. s.) A
7 ἀγείροντες Mang.: ἐγείροντες A ἀσφαλῶς Mang.: ἀσφαλεῖς A τὰς Mang.: τε A 8 διαπτύσσοντες Mang.: διαπτύοντες A 11 δεῖ Hoesch.: δὴ A
13 ἀποδύσεσθε scripsi: ἀποδύεσθαι A, ἐπαποδύσεσθε coni. Mang., ἀποδύεσθε v
14 λιμηρὰ Hoesch.: λοιμύρα A 16 τὸν scripsi: ἢν A, ἂν coni. Hoesch., secl. Mang. 18 ⟨καὶ⟩ καινὸν conicio 19 ὑπερθεῖτ' ἂν scripsi: ὑπερθ, lac. 1—2 litt., αν A, ὕπερθεν ἔτ' v, ὑπερέθετ' ἂν Hoesch. 20 prius ἢ Hoesch.: εἰ A 22 φλογμὸν et κρυμὸν alterum in alterius locum transp. Cohn καὶ secl. Mang.
23 πρὸς Mang.: ἦρος A εὐκαρπίαν Hoesch.: ἀκαρπίαν A 24. 25 ἀνασείων Mang.: ἀνασείειν A 25 καλὸν A κακηγόρου Mang.: κατηγόρου A
26 ἀστέρας Mang.: δ' ἑτέρας A 27 δικαιῶν Richter: δικαίου A, δικαιώσας coni. Mang. οὐρανίων Mang.: οὐρανῶν A

τότερον ἑαυτόν, ὅσῳ καὶ τῶν ἄλλων ἄνθρωπος ὢν διενηνοχέναι ζῴων
133 δοκεῖ. (19.) τοιοῦτοι μὲν οἱ κορυφαῖοι τῆς κενῆς ἡμῖν δόξης γράφονται,
τοὺς δὲ χορευτὰς ἐν μέρει κατ' αὐτοὺς ἴδωμεν. οὗτοι μὲν ἐπιβουλεύ-
ουσιν ἀεὶ τοῖς ἀσκηταῖς ἀρετῆς· οὓς ὅταν ἴδωσι σπουδάζοντας τὸν αὐτῶν
βίον ἀληθείᾳ ἀδόλῳ φαιδρύνειν καὶ ὡς πρὸς σεληνιακὸν ἢ τὸ ἀφ' ἡλίου
καθαρὸν φέγγος αὐγάζειν, ἀπατῶντες ἢ βιαζόμενοι κωλύουσιν, εἰς τὸν
ἀσεβῶν ἀνήλιον χῶρον εἰσελαύνοντες, ὃν ἐπέχουσι νὺξ βαθεῖα καὶ σκότος
ἀτελεύτητον καὶ εἰδώλων καὶ φασμάτων καὶ ὀνειράτων ἔθνη μυρία,
134 κἀκεῖ καταδύσαντες προσκυνεῖν ὡς δεσπότας ἀναγκάζουσι. τὸν μὲν γὰρ
φρονήσεως ἀσκητὴν ὑπολαμβάνομεν ἥλιον, ἐπειδήπερ ὁ μὲν τοῖς σώ-
μασιν, ὁ δὲ τοῖς κατὰ ψυχὴν πράγμασιν ἐμπαρέχει φῶς, τὴν δὲ παι-
δείαν, ᾗ κέχρηται, σελήνην — ἐν νυκτὶ γὰρ ἡ ἑκατέρας εἰλικρινεστάτη
καὶ ὠφελιμωτάτη χρῆσίς ἐστιν —, ἀδελφοὺς δὲ τοὺς παιδείας καὶ
ἀσκητικῆς ψυχῆς ⟨ὡς⟩ ἂν ἐγγόνους ἀστείους λόγους, οὓς πάντας ὀρθὴν
ἀτραπὸν εὐθύνοντας τοῦ βίου παλαίσμασι πολυτρόποις καὶ πολυμηχάνοις
αὐχενίζοντες ἐκτραχηλίζειν καὶ καταρράττειν ὑποσκελίζοντες οἱ μηδὲν
135 ὑγιὲς μήτε λέγειν μήτε φρονεῖν ἐγνωκότες ἀξιοῦσι. διὸ καὶ ἐπιτιμᾷ τῷ
τοιούτῳ τιθασῶς ὁ πατήρ, οὐκ Ἰακώβ, ἀλλ' ὁ καὶ τούτου πρεσβύτερος
ὀρθὸς λόγος φάσκων· „τί τὸ ἐνύπνιον τοῦτο ἐνυπνιάσθης“ (Gen. 37, 10);
136 ἀλλ' οὐκ ἐνύπνιον εἶδες; ἢ ὑπέλαβες, ὅτι τὰ φύσει ἐλεύθερα ἀνθρω-
πείων ἀνάγκῃ δοῦλα ἔσται καὶ ὑπήκοα τὰ ἄρχοντα καί, τὸ ἔτι παρα-
δοξότερον, οὐκ ἄλλων ὑπήκοα ἀλλὰ τῶν ἀρχομένων, οὐδ' ἑτέρων
δοῦλα ἀλλὰ τῶν δουλευόντων; εἰ μὴ ἄρα κράτει θεοῦ τοῦ μόνου
πάντα δυνατοῦ, ᾧ καὶ τὰ ἀκίνητα κινεῖν καὶ τὰ φορούμενα θέμις ἱδρύ-
137 σασθαι, μεταβολὴ τῶν καθεστώτων γένοιτο πρὸς τἀναντία. | ἐπεὶ τίνα p. 677 M.
ἕξει λόγον τὸ ὀργίζεσθαι καὶ ἐπιτιμᾶν τῷ τὴν καθ' ὕπνον φαντασίαν
ἰδόντι; μὴ γὰρ ἑκὼν εἶδον αὐτήν; ἐρεῖ, τί μοι τὰ τῶν ἐκ προνοίας
ἠδικηκότων ἐπάγεις ἐγκλήματα; τὸ προσπεσὸν ἔξωθεν καὶ πλῆξάν μου

---

2 καινῆς A γραφέσθων conicio (cf. e. gr. § 205) 3 κατ' αὐτοὺς scripsi: καθ' αὐτοὺς A 4 τοῖς Hoesch.: τῆς A αὐτῶν conicio 6 ἀπατῶντες Mang.: ἀπαντῶντες A 7 καὶ om. v 8 ἔθνη Hoesch.: ἔθη A, εἴδη coni. Mang. 9 καταδύσαντας coni. Mang. δεσπότας ⟨ἑαυτοὺς⟩ conicio 10 ἥλιον] ἥ, tum lacuna A ὁ Mang.: lacuna in A, οἱ Hoesch. 12 ᾗ] ἡ A 14 ὡς add. Mang. 16 ὑποσκελίζοντας A 18 τιθασῶς scripsi: τιθάσω A, ἀτιθάσσῳ v οὐχ A 19 τοῦτο ⟨ὃ⟩ conicio, cf. § 111 20 ἀλλ'] ἆρ' coni. Hoesch., ὄναρ coni. Mang. 20. 21 ἀνθρώπων coni. Mang. 23 κράτει Mang.: κρατεῖν A, τῷ κράτει in appendice coni. Mang. 26 ὀργίζεσθαι Cotelerius: ὀρίζεσθαι A 28 ἐπάγῃς A

τὴν διάνοιαν αἰφνίδιον ἄκοντος διηγησάμην. ἀλλὰ γὰρ οὐκ ἔστι περὶ 138
ὀνείρατος ὁ παρὼν λόγος, ἀλλὰ περὶ πραγμάτων ἐοικότων ἐνυπνίοις· ἃ
τοῖς μὴ λίαν κεκαθαρμένοις μεγάλα καὶ λαμπρὰ καὶ περιμάχητα εἶναι
δοκεῖ, μικρὰ ὄντα καὶ ἀμυδρὰ καὶ χλεύης ἐπάξια παρ' ἀδεκάστοις ἀληθείας βραβευταῖς.

(20.) Ἀρ' οὖν, φησίν, ἐλεύσομαι μὲν ⟨ὁ⟩ ὀρθὸς λόγος, ἐγώ, 139
ἀφίξεται δὲ καὶ ἡ τοῦ φιλομαθοῦς θιάσου [ψυχὴ] μήτηρ ὁμοῦ καὶ
τροφός, ἀρετῶσα παιδεία, συντενοῦσι δὲ καὶ οἱ ἀμφοτέρων ἡμῶν ἔγγονοι
καὶ στάντες ἀντικρὺς οὕτω κατὰ στοῖχον ἐν κόσμῳ τὰς χεῖρας ἐξάραντες
προσευξώμεθα τῦφον πρότερον ἀφέντες; εἶτα καταβαλόντες ἑαυτοὺς 140
εἰς τὸ ἔδαφος ποτνιᾶσθαι καὶ προσκυνεῖν ἐπιχειρήσωμεν; ἀλλὰ μὴ ἐπιλάμψαι ποτὲ τούτοις γινομένοις ἥλιος, ἐπεὶ βαθὺ μὲν σκότος κακοῖς, τηλαυγὲς δὲ φῶς ἀγαθοῖς ἐφαρμόζει. τί δ' ἂν γένοιτο μεῖζον κακὸν ἢ τὸν πλαστὸν καὶ φένακα τῦφον ἀντὶ τῆς ἀπλάστου καὶ ἀψευδοῦς
ἀτυφίας ἐπαινεῖσθαί τε καὶ θαυμάζεσθαι; παγκάλως δὲ προσδιέσταλται 141
τὸ „διετήρησεν ὁ πατὴρ τὸ ῥῆμα“ (Gen. 37,11)· ψυχῆς γὰρ οὐ νεωτέρας οὐδὲ ἀγόνου καὶ ἐστειρωμένης, ἀλλὰ τῷ ὄντι πρεσβυτέρας καὶ γεννᾶν ἐπισταμένης ἔργον ἐστὶ συζῆν εὐλαβείᾳ καὶ μηδενὸς καταφρονεῖν τὸ παράπαν, ἀλλὰ τὸ ἄδραστον καὶ ἀνίκητον τοῦ θεοῦ κράτος κατεπτηχέναι καὶ περιαθρεῖν ἐν κύκλῳ, τί ἄρα ἀποβήσεται τὸ τέλος αὐτῇ.
διὰ τοῦτο καὶ τὴν Μωυσέως ἀδελφὴν — ἐλπὶς δὲ παρ' ἡμῖν τοῖς 142
ἀλληγορικοῖς ὀνομάζεται — φασὶν ἀποσκοπεῖν μακρόθεν (Exod. 2, 4) οἱ χρησμοί, πρὸς τὸ τοῦ βίου δήπου τέλος ἐμβλέπουσαν, ἵνα αἴσιον ἀπαντήσῃ, τοῦ τελεσφόρου καταπέμψαντος αὐτὸ ἄνωθεν ἀπ' οὐρανοῦ.
πολλοὶ γὰρ πολλάκις ἄπλωτα πελάγη διαβαλόντες καὶ μακρὸν πλοῦν 143
οὐρίοις πνεύμασιν ἀκίνδυνοι παραπεμφθέντες ἐν αὐτοῖς λιμέσιν ἐξαίφνης
ἐναυάγησαν, μέλλοντες ἤδη προσορμίζεσθαι. μυρίοι δὲ καὶ βαρεῖς καὶ 144
πολυετεῖς πολέμους ἀνὰ κράτος ἑλόντες καὶ ἄτρωτοι διατελέσαντες, ὡς

4 παρ' ἀδεκάστοις Mang.: παρὰ δὲ ἑκάστοις A 6 ὁ addidi ὀρθὸς Hoesch.: ὀρθῶς A 7 τοῦ] τῆς Mang. θιάσου secl. Mang. ψυχὴ seclusi, ψυχῆς coni. Mang. 8 συντενοῦσι Mang.: συντείνουσι A 9 κατὰ στοῖχον scripsi: κατάστιχον A κατὰ στίχον v 10 προσευξόμεθα Mang. ⟨τὸν⟩ τῦφον conicio ὑφέντες coni. Mang. 11 ἐπιχειρήσομεν Mang. 12 ἐπὶ A 13 φῶς Hoesch.: φωτὸς A 14 πλάστην coni. Mang. 15 προσδιέσταλται Mang.: προδιέσταλται A 19 ἀδιάδραστον coni. Mang. 21 Μωϋσέος A 22 ἀποσκοπεῖν vel κατασκοπεύειν (v. Exod. 2,4) Cohn: ἀποσκοπεύειν A 24 αὐτὸ Mang.: αὐτῷ A 25 ἄπλωτα πελάγη Mang.: πλωτὰ μεγάλα A 25 διαβαλόντες Mang.: διαλαβόντες A 27 μυρίοι Mang.: μυρίους A

μηδ' ἐπιφάνειαν ἄκραν νυχθῆναι, ἀλλ' ὥσπερ ἐκ | πανηγύρεως κοινο- p. 678 M.
δήμου καὶ δημοτελοῦς ἑορτῆς τελεῖν * * * ὁλοκλήροις καὶ παντελέσι, μεθ' ἱλαρᾶς ἐπιστρέψαντες εὐθυμίας ἐν ταῖς ἰδίαις ὑφ' ὧν ἥκιστ' ἐχρῆν ἐπεβουλεύθησαν οἰκίαις, τὸ λεγόμενον τοῦτο, „βόες ἐπὶ φάτνῃ" σφα-
145 γέντες. (21.) ὥσπερ δὴ ταῦτα ἀπροσδόκητοι καὶ ἀτέκμαρτοι συντυχίαι κατασκήπτειν φιλοῦσιν, οὕτω καὶ τὰς περὶ ψυχὴν δυνάμεις ἀντωθοῦσι πρὸς τἀναντία καὶ ἀντιμεταχλίνουσιν, ἣν οἷαί τε ὦσι, καὶ ἀνατρέψαι βιάζονται. τίς γὰρ εἰς τὸν ἀγῶνα τοῦ βίου παρελθὼν ἄπτωτος ἔμεινε;
146 τίς δ' οὐχ ὑπεσκελίσθη; εὐδαίμων δ' ὁ μὴ πολλάκις. τίνι δ' οὐκ ἐφήδρευεν ἡ τύχη, διαπνέουσα καὶ συλλεγομένη ῥώμην, ἵνα συμπλακεῖσα
147 εὐθὺς ἐξαρπάσῃ, πρὶν φθάσαι τὸν ἀντίπαλον κονίσασθαι; οὐκ ἤδη τινὰς ἴσμεν ἐκ παίδων εἰς γῆρας ἀφιγμένους, οἳ μηδεμιᾶς ἐπῄσθοντο ταραχῆς εἴτε δι' εὐμοιρίαν φύσεως εἴτε διὰ τὴν τῶν τρεφόντων καὶ παιδευόντων ἐπιμέλειαν εἴτε καὶ ἀμφότερα, βαθείας δ' εἰρήνης ἀναπλησθέντας τῆς ⟨ἐν⟩ ἑαυτοῖς, ἣ πρὸς ἀλήθειάν ἐστιν εἰρήνη, τῆς κατὰ τὰς πόλεις ἀρχέτυπον, καὶ διὰ τοῦτ' εὐδαίμονας νομισθέντας, ὅτι τὸν ὑπὸ τῶν παθῶν ἀναρριπιζόμενον ἐμφύλιον πόλεμον, ἀργαλεώτατον ὄντα πολέμων, οὐδ' ὄναρ ἐπῄσθοντο, εἶτ' ἐν αὐταῖς τοῦ βίου ταῖς δυσμαῖς ἐξοκείλαντάς τε καὶ ναυαγήσαντας ἢ περὶ γλῶτταν ἄθυρον ἢ περὶ γαστέρα ἄπληστον ἢ
148 περὶ τὴν τῶν ὑπογαστρίων ἀκράτορα λαγνείαν; οἱ μὲν γὰρ τὸν μειρακιώδη τῶν ἀσώτων, ἄτιμον, ἀποκήρυκτον, αἰσχρὸν βίον ἐζήλωσαν „ἐπὶ γήραος οὐδῷ", οἱ δὲ τὸν πανοῦργον καὶ συκοφάντην καὶ ῥᾳδιουργόν, ἀπαρχόμενοι φιλοπραγμοσύνης, ὅτε εἰκὸς ἦν ἤδη καὶ παλαιὰν οὖσαν

1 νυχθῆναι Mang.: μιχθῆναι A 1. 2 καινοδήμου A 2 δημοτελεῖς v ἑορτῆς Mang.: ἑορτὰς A τελεῖν, tum lacuna 10 litt. A: ἐπανελθεῖν (ἐξελθεῖν Cohn) τοῖς σώμασιν conicio, μέλεσιν add. vel ὁλόκληροι καὶ παντελεῖς coni. Mang. 4 οἰκείαις A φάτνῃ Mang.: φάτνης A 5 δὲ Mang. 6 κατασκήπτειν Mang.: κατασκάπτειν A 7 ἣν Unna, Über den Gebrauch der Absichtssätze bei Philo p. 35: ἵν' A οἷοί τε A 9 ὑπεσκελίσθη Flor. Laur.: ὑποσκελισθεὶς A 9. 10 ἐφήδρευσεν coni. Mang. 11 φθάσει A οὐκ ἤδη Hoesch.: οὐκ εἰ δή A, οὐχὶ δή Mang. 12 ἐπῄσθοντο Mang.: ἐπείθοντο A, ἐπειρῶντο coni. Hoesch. 13 εὐμοιρίαν Mang.: εὐμάρειαν A 14 καὶ A: καὶ δι' v 14. 15 τῆς ἐν Mang.: τὴν A 15 αὐτοῖς Mang. 15. 16 ἀρχέτυπον Hoesch.: ἀρχετύπων A 16 εὐδαιμονίας A εὐδαιμονισθέντας coni. Mang. 16. 17 accusativi pro genetivis offendunt 16 ὑπὸ scripsi: ἀπὸ A 18. 19 ἐξοκείλαντάς et ναυαγήσαντας Hoesch.: ἐξωκείλαντες (sic) et ναυαγήσαντες A 19. 20 ter παρὰ coni. Mang.

4 Hom. Od. δ 535. 8. 9 Flor. Laur. No. 17: τίς εἰς—πολλάκις. 19 cf. Theogn. 421 et ἀθυρόγλωττος apud Eur. Or. 903. 21. 22 Hom. Il. X 60 al.

καταλῦσαι. διὸ χρὴ τὸν θεὸν ποτνιᾶσθαι καὶ λιπαρῶς ἱκετεύειν, ὅπως 149
τὸ ἐπίκηρον ἡμῶν γένος μὴ παρέλθῃ, κελεύσῃ δὲ διαιωνίζειν αὐτοῦ
τὸν σωτήριον ἔλεον· χαλεπὸν γὰρ εἰρήνης ἀκράτου γευσαμένους κωλυ-
θῆναι χορεσθῆναι. (22.) ἀλλὰ φέρε, δίψης κουφότερόν ἐστι κακὸν ὁ 150
λιμὸς οὗτος, ἔρωτα καὶ πόθον ἔχων παρηγοροῦντας. ὅταν δὲ ἀφ' ἑτέ-
ρας πηγῆς, ἧς θολερὸν καὶ νοσερὸν τὸ νᾶμα, διὰ τὸν ⟨τοῦ⟩ πιεῖν ἵμερον
ἐμφορεῖσθαι δέῃ, τότε ἀνάγκη γλυκυπίκρου πληρουμένους ἡδονῆς ἐν
ἀβιώτῳ βίῳ διαζῆν, τοῖς βλαβεροῖς ὡς ὠφελίμοις ἐπιτρέχοντας ἀγνοίᾳ
τοῦ συμφέροντος. ἡ δὲ τῶν κακῶν ἀνιαροτάτη φορὰ γίνεται τούτων, 151
ἐπειδὰν αἱ ἄλογοι δυνάμεις τῆς ψυχῆς ἐπιθέμεναι ταῖς τοῦ λογισμοῦ
p. 679 M. κρατήσωσιν. ἕως μὲν γὰρ ἢ βουκόλια | βουκόλοις ἢ ποιμέσι ποίμνια ἢ 152
αἰπόλοις αἰπόλια πειθαρχεῖ, τὰ περὶ τὰς ἀγέλας κατορθοῦται· ἐπειδὰν δὲ
ἀσθενέστεροι τῶν θρεμμάτων οἱ ἐπιστατοῦντες ἀγελάρχαι γίνωνται,
πλημμελεῖται τὰ πάντα καὶ συμβαίνει ἀταξία μὲν ἐκ τάξεως, ἀκοσμία δ'
ἐξ εὐκοσμίας, ταραχὴ δ' ἐξ εὐσταθείας καὶ σύγχυσις ἐκ διακρίσεως, ἅτε
μηδεμιᾶς ἔτι νομίμου καθεστώσης ἐπιστασίας· εἰ γὰρ ἦν, ἤδη καθή-
ρητο. τί οὖν; οὐκ οἰόμεθα καὶ ἐν ἡμῖν αὐτοῖς θρεμμάτων μὲν ἀγέλην 153
εἶναι, παρόσον ἀποτέτμηται ψυχῆς τὸ ἄλογον στῖφος, ἀγελάρχην δὲ τὸν
ἡγεμόνα νοῦν; ἀλλ' ἕως μὲν ἔρρωταί τε καὶ ἱκανὸς ἀγελαρχεῖν ἐστιν,
ἐνδίκως ἅπαντα καὶ συμφερόντως ἐπιτελεῖται. ὅταν δὲ ἀσθένειά τις 154
ἐπιγένηται τῷ βασιλεῖ, συγκάμνειν ἀνάγκη καὶ τὸ ὑπήκοον· καὶ ὅτε
μάλιστα ἠλευθερῶσθαι δοκεῖ, τότε μάλιστα γίνεται ἑτοιμότατον ἆθλον
κείμενον τοῖς βουλομένοις αὐτὸ μόνον κονίσασθαι. πέφυκε γὰρ ἀναρχία
μὲν ἐπίβουλον, ἀρχὴ δ' εἶναι σωτήριον, καὶ μάλισθ' ᾗ νόμος καὶ δίκη
τετίμηται· αὕτη δ' ἐστὶν ἡ σὺν λόγῳ.

(32.) Τὰ μὲν δὴ τῆς κενῆς δόξης ὀνείρατα ὧδε ἠκριβώσθω· 155
τὰ δὲ τῆς γαστριμαργίας εἴδη πόσις τε καὶ βρῶσις, ἀλλὰ τῇ μὲν οὐ
ποικίλων, τῇ δὲ μυρίων ὅσων ἡδυσμάτων καὶ παραρτυμάτων χρεία.
ταῦτα μέντοι δυσὶ φροντισταῖς ἐπανατίθεται, τὰ μὲν τῆς περιέργου πό-
σεως ἀρχιοινοχόῳ, τὰ δὲ τῆς ἀναγκαιοτέρας ἐδωδῆς ἀρχισιτοποιῷ.

---

2 κελεύσει A συνδιαιωνίζειν αὐτῷ coni. Mang. 6 τοῦ add. Mang. 7 πληρουμένους Mang.: πληρουμένης A 9 ἀνιαρωτάτη A 13 γίνονται v 15 σύγχυσις e codice Coll. S. Trin. Mang.: συγχύσεις A 16. 17 καθῄρηται conicio 18 ⟨λόγον⟩ ἐκτέτμηται conicio 19 ἱκανῶς A 20 ἅπαντα Mang.: ἔχοντα A 23. 24 ἀναρχία et ἀρχὴ scripsi: ἀναρχίαν et ἀρχὴν A 25 αὕτη scripsi; αὐτὴ A 27 τῇ Mang.: τῆς A 28 ποικίλων Mang.: ποικίλα A τῇ Mang.: τῆς A 29 φαντασταῖς coni. Mang. 30 ἀναγκαιοτέρας scripsi: ἀνθηροτέρας A

156 σφόδρα δ' ἐξητασμένως μιᾷ νυκτὶ φαντασιούμενοι τοὺς ὀνείρους εἰσά-
γονται· πρὸς γὰρ τὴν αὐτὴν χρείαν σπεύδουσιν ἀμφότεροι, τροφὴν οὐχ
ἁπλῆν, ἀλλὰ τὴν μεθ' ἡδονῆς καὶ τέρψεως εὐτρεπιζόμενοι. καὶ ἑκά-
157 τερος μὲν περὶ τροφῆς ἥμισυ πονεῖται, ἀμφότεροι δὲ περὶ πᾶσαν. ἔστι
δὲ καὶ θάτερον μέρος ὁλκὸν θατέρου· καὶ γὰρ οἱ φαγόντες εὐθὺς ὀρέ-
γονται ποτοῦ καὶ αὐτίκα ἐδωδῆς οἱ πιόντες· ὥστε οὐχ ἥκιστα καὶ διὰ
158 τοῦτο χρόνον τὸν αὐτὸν τῆς φαντασίας ἀμφοτέροις ἀναγεγράφθαι. ὁ
μὲν οὖν ἀρχιοινοχόος οἰνοφλυγίαν, ὁ δὲ ἀρχισιτοποιὸς λαιμαργίαν ἔλαχε.
φαντασιοῦται δὲ ἑκάτερος τὰ οἰκεῖα, ὁ μὲν οἶνον καὶ τὸ γεννητικὸν
οἴνου φυτόν, ἄμπελον, ὁ δ' ἐπὶ κανῶν διακειμένους ἐκκεκαθαρμένους
159 ἄρτους καὶ κανηφοροῦντα ἑαυτόν (Gen. 40, 16. 17). ἁρμόττον δὲ ἂν
εἴη πρότερον τὸ πρότερον ἐξετάζειν ὄναρ, ἔστι δὲ τοιόνδε· „ἐν τῷ
ὕπνῳ μου ἦν ἄμπελος ἐναντίον μου· ἐν δὲ τῇ ἀμπέλῳ τρεῖς πυθμένες
καὶ αὐτὴ θάλλουσα ἀνενηνοχυῖα βλαστούς· πέπειροι βότρυες σταφυλῆς.
καὶ τὸ ποτήριον Φαραὼ ἐν τῇ χειρί μου· | καὶ ἔλαβον τὴν σταφυλὴν p. 680 M.
καὶ ἐξέθλιψα αὐτὴν εἰς τὸ ποτήριον, καὶ ἔδωκα τὸ ποτήριον εἰς τὰς
160 χεῖρας Φαραώ“ (Gen. 40, 9—11). θαυμασίως γε προανεφθέγξατο καὶ
ἀψευδῶς ἔχει τὸ „ἐν τῷ ὕπνῳ μου.“ τῷ γὰρ ὄντι ὁ μὴ τὴν δι'
οἴνου μέθην μᾶλλον ἢ τὴν δι' ἀφροσύνης ἐπιτηδεύων, ὀρθότητι καὶ
ἐγρηγόρσει δυσχεραίνων, ὥσπερ οἱ κοιμώμενοι καταβέβληται καὶ παρεῖται
καὶ καταμέμυκε τὰ τῆς ψυχῆς ὄμματα, οὐδὲν οὔθ' ὁρᾶν οὔτ' ἀκούειν
161 τῶν θέας καὶ ἀκοῆς ἀξίων οἷός τε ὤν· ἡττημένος δὲ τυφλὴν καὶ ἀχει-
ραγώγητον, οὐχ ὁδόν, ἀλλ' ἀνοδίαν τοῦ βίου διεξέρχεται, βάτοις καὶ
τριβόλοις περιπειρόμενος, ἔστι δ' ὅτε καὶ κατὰ κρημνῶν κυλιόμενος καὶ
ἄλλοις ἐπιφερόμενος, ὡς ἐκείνους τε καὶ ἑαυτὸν οἰκτρῶς διαφθείρειν.
162 ὁ δὲ βαθὺς καὶ διωλύγιος ὕπνος, ᾧ πᾶς κατέχεται φαῦλος, τὰς μὲν
ἀληθεῖς καταλήψεις ἀφαιρεῖται, ψευδῶν δὲ εἰδώλων καὶ ἀβεβαίων φαν-
τασμάτων ἀναπίμπλησι τὴν διάνοιαν, τὰ ὑπαίτια ⟨ὡς⟩ ἐπαινετὰ ἀνα-
πείθων ἀποδέχεσθαι. καὶ γὰρ νυνὶ λύπην ὡς χαρὰν ὀνειροπολεῖ καὶ
οὐκ αἰσθάνεται, ὅτι τὸ ἀφροσύνης καὶ τοῦ παραπαίειν * * * φυτόν,
163 ἄμπελον, ὁρᾷ. „ἦν“ γάρ φησιν „ἄμπελος ἐναντίον μου“ (Gen. 40, 9),

---

10 κανῶν Mang.: κανὸν A, κανοῦ Hoesch. 14 post βλαστοὺς add. καὶ Hoesch. 18 ἔχει fort. del. vel lin. 17 γε ⟨ὃ⟩ scrib. τὸ Hoesch.: τῶ A prius τῷ per errorem om. Mang. μὴ secl. Hoesch. 19 δι' ἀφροσύνης Hoesch.: διὰ σωφροσύνης A ὀρθιότητι coni. Mang. 20 παρίεται coni. Mang. 22 δὲ ⟨ὕπνου⟩ conicio vel πεπηρωμένος δὲ 24 περιπηρόμενος A 28 ὡς add. Hoesch. 30 lacuna 9—10 litt. A, αἴτιον vel γεννητικὸν suppl. Mang., fort. παραίτιον suppl. (v. De plant. § 27)

τὸ ποθούμενον τῷ ποθοῦντι, κακία κακῷ· ἣν καθ' ἑαυτῶν λελήθαμεν
οἱ ἀνόητοι γεωργοῦντες, ἧς τὸν καρπὸν ἐσθίομέν τε καὶ πίνομεν εἰς
ἑκάτερον τροφῆς κατατάττοντες εἶδος, ἧς ὡς ἔοικεν οὐκ ἐφ' ἡμισείᾳ
τῇ βλάβῃ ἀλλ' ἀρτίῳ καὶ ὁλοκλήρῳ καὶ παντελεῖ μεταποιούμεθα.
(24.) Προσήκει δὲ μὴ ἀγνοεῖν, ὅτι τὸ ἀμπέλιον μέθυσμα τοὺς 164
χρησομένους ἅπαντας οὐχ ὁμοίως, ἀλλὰ πολλάκις ἐναντίως διατίθησιν,
ὡς τοὺς μὲν ἀμείνους, τοὺς δὲ χείρους ἑαυτῶν ἐξετάζεσθαι. τῶν μὲν 165
γὰρ τὸ σύννουν καὶ σκυθρωπὸν ἐπανῆκε καὶ τὰς φροντίδας ἐχάλασεν
ὀργάς τε καὶ λύπας ἐπράυνε τά τε ἤθη πρὸς τὸ ἐπιεικὲς ἐπαιδαγώγησε καὶ
τὰς ψυχὰς ἑαυταῖς ἵλεως ἐποίησε· τῶν δὲ ἔμπαλιν τοὺς θυμοὺς ἐπή-
λειψε καὶ τὰς ὀδύνας ἐπέσφιγξε καὶ τοὺς ἔρωτας ἐκίνησε καὶ τὰς ἀγροι-
κίας ἀνήγειρεν, ἄκλειστον στόμα καὶ γλῶτταν ἀχαλίνωτον καὶ αἰσθήσεις
ἀθύρους καὶ λελυττηκότα πάθη κἀξηγριωμένον καὶ ἐπτοημένον πρὸς
πάντα νοῦν ἀποτελοῦν· ὡς δοκεῖν τὴν μὲν τῶν προτέρων κατάστασιν 166
ἢ τῇ κατὰ τὸν ἀέρα νηνέμῳ αἰθρίᾳ ἢ τῇ κατὰ θάλατταν ἀκύμονι
γαλήνῃ ἢ τῇ κατὰ τὰς πόλεις εἰρηνικωτάτῃ εὐσταθείᾳ ἐοικέναι, τὴν δὲ
τῶν ὑστέρων ἢ βιαίῳ καὶ συντόνῳ πνεύματι ἢ χειμαίνοντι καὶ κυμα-
τουμένῳ πελάγει ἢ στάσει, ἀσπόνδου καὶ ἀκηρύκτου πολέμου δυσωνυ-
p. 681 M. μωτέρᾳ ταραχῇ. δυεῖν γοῦν | συμποσίων τὸ μὲν πέπλησται γέλωτος, παι- 167
διᾶς, ἐπαγγελλομένων, ἀγαθὰ ἐλπιζόντων, χαριζομένων, εὐθυμίας, εὐφη-
μίας, ἱλαρότητος, εὐφροσύνης, ἀδείας· τὸ δὲ συννοίας, κατηφείας, προσκρουσ- 168
μάτων, λοιδοριῶν, τραυμάτων, βριμουμένων, ὑποβλεπομένων, ὑλακτούν-
των, ἀγχόντων, καταπαγκρατιαζόντων, ἀκρωτηριαζόντων ὦτα καὶ ῥῖνας
καὶ ἅπερ ἂν τύχῃ τοῦ σώματος ⟨μέρη καὶ μέλη⟩, τὴν [τοῦ] παντὸς τοῦ
βίου μέθην καὶ παροινίαν ἐν ἀνιέρῳ ἀγῶνι μετὰ αἰσχρουργίας τῆς πάσης
ἐπιδεικνυμένων. (25.) ἀκόλουθον οὖν ⟨ἂν⟩ εἴη λογίζεσθαι, ὅτι καὶ 169
ἄμπελος δυεῖν σύμβολον πραγμάτων ἐστίν, ἀνοίας τε καὶ εὐφροσύνης.
ἑκάτερον δέ, καίτοι μηνυόμενον ἐκ πολλῶν, ἵνα μὴ μακρηγορῶμεν, δι'

---

1 τοῦ ποθοῦντος conicio κακοῦ conicio 3 ἧς scripsi: ἣν A οὐκ ἐφ' ἡμισείᾳ Hoesch.: οἱ ἐφημησείας A 4 τῇ βλάβῃ scripsi: τῆς βλάβης A ἀρτίῳ καὶ ὁλοκλήρῳ καὶ παντελεῖ scripsi: ἀρτίου καὶ ὁλοκλήρου καὶ παντελῶς (παντελοῦς Mang.) A 5 ἀμπέλινον conicio 6 χρησαμένους conicio 11 ὀδύνας Hoesch.: ὠδίνας A, ἡδονὰς coni. Mang. 11. 12 ἀγερωχίας coni. Mang. 13 πρὸς] περὶ coni. Mang. 14 νοῦν Mang.: οὖν A 18. 19 δυσωνυμωτέρᾳ (hoc iam Mang.) ταραχῇ scripsi: δυσωνύμω ταραχῆ A 19 δυοῖν v πέπλησθαι A 19. 20 παιδιᾶς Mang.: παιδείας A 20 ἐπαγαλλομένων coni. Mang. χαριεντιζομένων Mang. 24 lacuna 10—12 litt. A, μέρη καὶ μέλη supplevi τοῦ seclusi 26 ἂν addidi καὶ Hoesch.: κἂν A, καὶ ἡ coni. Mang. 27 δυοῖν v συννοίας coni. Mang. 28 καίτοι Mang.: καὶ τὸ A

170 ὀλίγων ἐπιδείξομεν. ἡνίκα ἡμᾶς διὰ τῆς τῶν παθῶν καὶ ἀδικημάτων
ἐρήμης ὁδοῦ, φιλοσοφίας, ἀγαγὼν καὶ ὥσπερ ἔμπορος ἀναβιβάσας τὸν
ὀρθὸν λόγον ἔστησεν ἐπὶ σκοπῆς καὶ ἐκέλευε περιαθρεῖν τὴν ἅπασαν
ἀρετῆς χώραν, εἴτε εὔγειος καὶ βαθεῖα καὶ χλοηφόρος καὶ καρποτόκος
ἐστὶ καὶ ἀγαθὴ μὲν καὶ τὰ σπειρόμενα μαθήματα συναυξῆσαι, ἀγαθὴ
δὲ τὰ φυτευόμενα καὶ δενδρούμενα δόγματα στελεχῶσαι, εἴτε καὶ τοὐ-
ναντίον, καὶ περὶ τῶν ὡσανεὶ πόλεων πράξεων, εἰ ⟨εὐερκέσταται⟩ καὶ
ὀχυρώταται ἢ γυμναὶ καὶ ἀπημφιασμέναι οἷα κύκλων τὸ βέβαιον, καὶ
περὶ οἰκητόρων, εἴ πρός τε πλῆθος καὶ πρὸς ἀλκὴν ἐπιδεδώκασιν ἢ δι'
171 ἀσθένειαν ὀλιγανδροῦσιν ἢ δι' ὀλιγανδρίαν ἀσθενοῦσιν, τότε οὐ δυνη-
θέντες ὅλον τὸ σοφίας στέλεχος βαστάσαι κληματίδα μίαν καὶ βότρυν
σταφυλῆς τεμόντες ἤραμεν χαρᾶς σαφέστατον δεῖγμα, κουφότατον ἄχθος,
βλάστημα καὶ καρπὸν ὁμοῦ καλοκἀγαθίας ἐπιδεικνύμενοι τοῖς διάνοιαν
ὀξυδορκοῦσι τὴν εὐκληματοῦσαν καὶ βοτρυηφόρον ἄμπελον (cf.
172 Num. 13). (26.) ταύτην, ἧς μοῖράν τινα λαβεῖν ἐδυνήθημεν,
εὐσκόπως ἐξομοιοῦσιν εὐφροσύνῃ. μαρτυρεῖ δέ μοί τις τῶν
πάλαι προφητῶν, ὃς ἐπιθειάσας εἶπεν· „ἀμπελὼν κυρίου παντο-
173 κράτορος οἶκος τοῦ Ἰσραήλ" (Ies. 5, 7). ὁ μὲν Ἰσραὴλ ἐστι νοῦς θεω-
ρητικὸς θεοῦ τε καὶ κόσμου — καὶ γὰρ ἑρμηνεύεται θεὸν ὁρῶν —,
οἶκος δὲ διανοίας ὅλη ψυχή. αὕτη δ' ἐστὶν ἀμπελὼν ἱερώτατος, τὸ
174 θεῖον βλάστημα καρποφορῶν, ἀρετήν. οὕτω μέντοι τὸ φρονεῖν εὖ, τὸ
εὐφροσύνης ἔτυμον, μέγα καὶ λαμπρόν, ὥστε φησὶ Μωυσῆς καὶ θεὸν
αὐτῷ μὴ ἀπαξιῶσαι χρῆσθαι, καὶ τότε μάλιστα, ὁπότε τὸ ἀνθρώπων
| γένος ἐκτρέποιτο μὲν ἁμαρτήματα, ἐπικλίνοι δὲ καὶ ἐπιστρέφοι πρὸς p. 682 M.
δικαιοσύνην, ἑκουσίῳ γνώμῃ φύσεως νόμοις καὶ θεσμοῖς ἑπόμενον.

---

1 ἐπιδείξωμεν conicio 2 ante ἀγαγὼν add. τις Mang. ἔμπορος] ἔφορον coni. Mang., εἰς ὄρος conicio (v. Num. 13,18) 3 σκοπιᾶς coni. Mang. ἐκέλευσε v 5 ἐστὶ Cohn: ἐπεὶ A, pro ἐπεὶ καὶ coniciebam καὶ πίων (cf. Num. 13,21) prius ἀγαθὴ scripsi: ἀπαθεῖ A, ἀπειθεῖ Hoesch., ἡ βαθεῖα Mang. alt. καὶ vid. secl. vel ante τὰ φυτευόμενα transp. ἀγαθῇ A 6 δὲ] τὰ δὲ Mang. 7 εἰ Hoesch.: ἢ A lacuna 10—12 litt. A, εὐερκέσταται supplevi 8 ὀχυρόταται A γυμνὰ Hoesch. ἀπημφιασμέναι Mang.: ἀπημφιεσμένα A οἷα κυκλῶν A: κύκλων (secl. οἷα) Mang., οἷα ⟨τειχῶν⟩ κύκλον conicio 12 τεμόντες scripsi: γέμοντες A, κόπτοντες v ἤραμεν Mang.: ἦραν μετὰ A 13 δι' ἄνοιαν A 15 ταύτην Mang.: ταύτης A ἠδυνήθημεν v, δυνηθείημεν coni. Mang. 16 εὐσκόπως Cotelerius: εὐσκόποις A 20 αὕτη scripsi: αὐτῇ A, αὐτὴ v 22 ἔτυμον Cotelerius: ἕτοιμον A, ἐφόδιον coni. Mang. φησὶ Hoesch.: φασὶ A Μωσῆς A 24 ἁμαρτήματα scripsi: ἁμαρτημάτων A ἐπιστρέφοι scripsi: ἐπιτρέποι A, ἐπιρρέποι coni. Mang.

„ἐπιστρέψει“ γάρ φησι „κύριος ὁ θεός σου εὐφρανθῆναι ἐπὶ σὲ εἰς 175
ἀγαθά, καθότι ηὐφράνθη ἐπὶ τοῖς πατράσι σου, ἐὰν εἰσακούσῃς τῆς
φωνῆς αὐτοῦ, φυλάσσειν πάσας τὰς ἐντολὰς καὶ τὰ δικαιώματα καὶ τὰς
κρίσεις τὰς γεγραμμένας ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου“ (Deut. 30,
9. 10). τίς ἂν δύναιτο μᾶλλον ἀρετῆς ἵμερον ἢ καλοκἀγαθίας ζῆλον 176
ἐμφῦσαι; βούλει, φησίν, ὦ διάνοια, εὐφραίνεσθαι θεόν; εὐφράνθητι
αὐτὴ καὶ ἀνάλωμα μὲν μὴ εἰσενέγκῃς μηδέν — τίνος γὰρ τῶν σῶν
χρεῖός ἐστιν; —, ἀλλ' ἔμπαλιν ὅσα σοι δίδωσιν ἀγαθὰ χαίρουσα δέξαι.
διδοὺς γάρ, ὅταν ἄξιοι χάριτος ὦσιν οἱ λαμβάνοντες, εὐφραίνεται· εἰ 177
μὴ νομίζεις, ὅτι οἱ μὲν ὑπαιτίως ζῶντες παραπικραίνειν καὶ παροργίζειν
ἐνδίκως λέγοιντ' ἂν θεόν, οἱ δ' ἐπαινετῶς οὐχὶ εὐφραίνειν. ἀλλὰ πα- 178
τέρας μὲν καὶ μητέρας, τοὺς θνητοὺς γονεῖς, οὐδὲν οὕτως ὡς τέκνων
εὐφραίνουσιν ἀρεταί, μυρίων ὅσων ἐνδεεῖς ὄντας· τὸν δὲ τῶν ὅλων γεν-
νητὴν καὶ μηδενὸς ἐνδεᾶ τὸ παράπαν οὐχ ἡ καλοκἀγαθία τῶν λεγο-
μένων; μαθοῦσα οὖν, ὦ διάνοια, ἡλίκον ⟨κακὸν⟩ μέν ἐστιν ὀργὴ θεοῦ, 179
ἡλίκον δὲ ἀγαθὸν εὐφροσύνη θεοῦ, μηδὲν μὲν τῶν ὀργῆς ἀξίων ἐπ'
ὀλέθρῳ κίνει τῷ σεαυτῆς, μόνα δὲ δι' ὧν εὐφρανεῖς θεὸν ἐπιτήδευε.
ταῦτα δὲ εὑρήσεις οὐ μακρὰς καὶ ἀτριβεῖς διεξιὼν ὁδοὺς ἢ ἄπλωτα 180
πελάγη περαιούμενος ἢ ἐπὶ τοὺς γῆς καὶ θαλάττης ἀπνευστὶ συντείνων
ὅρους· οὐ γὰρ πορρωτάτω διῴκισται καὶ τῆς οἰκουμένης ἔξω πεφυγά-
δευται, ἀλλ', ᾗ φησι Μωυσῆς (Deut. 30, 12—14), ἐγγὺς οὑτωσὶ
τἀγαθὸν παρίδρυταί σοι καὶ συμπέφυκε, τρισὶ τοῖς ἀναγκαιοτάτοις μέρεσιν
ἡρμοσμένον, καρδίᾳ, στόματι, χερσί, τὸ δ' ἐστὶ διανοίᾳ, λόγῳ, πράξεσιν,
ἐπειδὴ τὰ καλὰ καὶ φρονεῖν καὶ λέγειν καὶ ποιεῖν ἀναγκαῖον, συμπλη-
ρούμενον ἔκ τε εὐβουλίας καὶ εὐπραξίας καὶ εὐλογίας.

(27.) Λέγωμεν οὖν τῷ θάτερον εἶδος γαστριμαργίας, πολυποσίαν, 181
ἐπιτηδεύοντι ἀρχιοινοχόῳ· τί κακοπαθεῖς, ὦ ἀνόητε; δοκεῖς μὲν γὰρ τὰ
ἀγωγὰ πρὸς εὐφροσύνην εὐτρεπίζεσθαι, τὸ δ' ἀληθὲς ἀφροσύνης καὶ
ἀκολασίας ἐξάπτεις φλόγα, πολλὴν αὐτῇ καὶ ἄφθονον ἐπιφέρων ὕλην.

---

4 τῷ] τῇ v βιβλίῳ scripsi ex LXX: βίβλω A 5 τί δ' ἂν vel τί ἂν ⟨οὖν⟩ conicio 7 αὐτὴ] ἀρετῇ coni. Mang. ἀνάθημα coni. Mang. 9 εἰ A: ἢ coni. Hoesch. 10 παροργίζων A 11 λέγοιτ' A οὐχὶ] οὐ καὶ coni. Mang. 13 ἐνδεεῖς Hoesch.: οὐδὲ εἷς A 14 οὐχ ἡ] οὐχὶ conicio 14. 15 γεννωμένων coni. Mang., γενομένων conicio 15 κακὸν add. Mang. 17 κίνει τῷ Mang.: κινείτω A 21 ᾗ] ἡ A Μωσῆς A ἐγγὺς οὑτωσὶ] ἐγγυτάτω conicio 23 τὸ Hoesch.: τί A 24. 25 συμπληρούμενον Mang.: συμπληρούμενα A 26 λέγωμεν scripsi: λέγω μὲν A, λέγοιμ' ἂν coni. Mang. τῷ Mang.: τὸ A 28 εὐφροσύνην Hoesch.: εὐφροσύνης A

182 ἀλλ', ἴσως ἂν εἴποι, μή με προπετῶς αἰτιῶ, πρίν με σκέψασθαι. οἰνο-
χοεῖν ἐτάχθην, οὐ μὴν δὴ σωφροσύνην καὶ εὐσέβειαν καὶ τὰς ἄλλας
ἀρετὰς ἐνεσκευασμένῳ, ἀλλ' ἀνδρὶ λαιμάργῳ καὶ ἀκρατεῖ | καὶ ἀδίκῳ p. 683 M.
καὶ ἐπὶ ἀσεβείᾳ μέγα φρονοῦντι, ὃς ἐτόλμησέ ποτε εἰπεῖν· „οὐκ οἶδα
τὸν κύριον" (Exod. 5,2)· ὡς εἰκότως ἐγὼ τὰ ἐκείνῳ δι' ἡδονῆς ἐπιτε-
183 τήδευκα. μὴ θαυμάσῃς δέ, ὅτι τοῖς ἐναντίοις ὁ θεὸς καὶ ὁ ἀντίθεος
νοῦς εὐφραίνεται, Φαραώ. τίς οὖν οἰνοχόος θεοῦ; ὁ σπονδοφόρος, ὁ
μέγας ὄντως ἀρχιερεύς, ὃς τὰς τῶν ἀεννάων χαρίτων λαβὼν προπόσεις
ἀντεκτίνει, πλῆρες ὅλον τὸ σπονδεῖον ἀκράτου μεθύσματος ἐπιχέων,
ἑαυτόν. ὁρᾷς οἰνοχόων διαφορὰς τοῖς θεραπευομένοις ἀναλογούσας.
184 διὰ τοῦτο ἐγὼ μὲν ὁ τοῦ Φαραὼ κατὰ τὰς ἀνέσεις ἐπιτεινομένου τὸν
σκληραύχενα καὶ πάντων ἀκράτορα λογισμὸν εὐνοῦχός εἰμι (Gen. 40,1. 2),
τὰ γεννητικὰ τῆς ψυχῆς ἐκτετμημένος, μετανάστης μὲν τῆς ἀνδρωνί-
τιδος, φυγὰς δὲ καὶ τῆς γυναικωνίτιδος, οὔτ' ἄρρεν οὔτε θῆλυ, οὔτε
προέσθαι οὔθ' ὑποδέξασθαι σπορὰν δυνάμενος, ἀμφίβολος, οὐδέτερος,
ἀνθρωπείου παράκομμα νομίσματος, ἄμοιρος ἀθανασίας, ἣ τέκνων ἢ
ἐγγόνων διαδοχαῖς εἰς ἀεὶ ζωπυρεῖται, συλλόγου καὶ ἐκκλησίας ἱερᾶς
ἀπεσχοινισμένος· θλαδίαν γὰρ καὶ ἀποκεκομμένον ἄντικρυς διείρηται μὴ
185 εἰσιέναι (Deut. 23, 1). (28.) ὁ δὲ ἀρχιερεὺς ἄμωμός ἐστιν, ὁλόκληρος,
ἀνὴρ παρθένου (Lev. 21, 17. 13), ⟨τὸ⟩ παραδοξότατον, οὐδέποτε γυναι-
κουμένης, ἀλλ' ἔμπαλιν τὰ γυναικεῖα κατὰ τὴν πρὸς τὸν ἄνδρα ὁμιλίαν
ἐκλιπούσης (Gen. 18, 11), καὶ οὐκ ἀνὴρ μόνον οὗτος, ἀμιάντους καὶ
186 παρθένους γνώμας σπείρειν ἱκανός, ἀλλὰ καὶ πατὴρ λόγων ἱερῶν· ὧν
οἱ μὲν ἐπίσκοποι καὶ ἔφοροι τῶν τῆς φύσεως πραγμάτων, Ἐλεάζαρ καὶ
Ἰθάμαρ (Exod. 28, 1), οἱ δὲ λειτουργοὶ θεοῦ, τὴν οὐράνιον φλόγα ἀνα-
καίειν καὶ ζωπυρεῖν ἐπειγόμενοι· τρίβοντες γὰρ ἀεὶ τοὺς περὶ ὁσιότητος
λόγους καθάπερ ἐκ πυρείων τὸ θεοειδέστατον εὐσεβείας γένος ποιοῦσιν
187 ἐκλάμπειν. ὁ δὲ τούτων ὑφηγητὴς ὁμοῦ καὶ πατὴρ οὐχ ἡ τυχοῦσα
μοῖρα τῆς ἱερᾶς ἐκκλησίας ἐστίν, ἀλλ' οὐ χωρὶς σύγκλητος οὐκ ἂν
ἀθροισθείη ποτὲ τῶν τῆς ψυχῆς μερῶν βουλὴ τὸ παράπαν, ὁ πρόεδρος,

---

2 μὲν conicio 3 λαιμάργῳ Mang.: μάργω A 5 ὥστ' conicio 7 γοῦν conicio 9 ἀντεκτείνει A 10 ἑαυτοῦ conicio 11 ⟨τοῦ⟩ κατὰ conicio 12 εἰμι Hoesch.: εἰ μὴ A 13. 14 τῆς ἀνδρωνίτιδος ὢν (hoc omisi) Mang.: τῶν ἀνθρωνιτίδων A 16 ἣ] ἡ A ἢ A: καὶ conicio 17 εἰς ἀεὶ Mang.: ταῖς ἀεὶ A, αἷς ἀεὶ coni. Hoesch. 18 διήρηται A 19 ἄμωμός scripsi: ἀλώμενός A 20 τὸ add. Mang. 25 οὐράνιον scripsi: οὐρανίαν A 27 πυρίων A γένος A: φέγγος Mang. 29 οὐ χωρὶς Cotelerius: οὐ χωρεῖ A

ὁ πρύτανις, ὁ δημιουργός, ὁ καὶ χωρὶς ἄλλων μόνος ἐφ' ἑαυτοῦ σκοπεῖν
τε καὶ πράττειν ἕκαστα ἱκανός. οὗτος σὺν ἄλλοις μὲν ἐξεταζόμενος 188
ὀλίγος, πολὺς δέ, ὅταν μονωθῇ, γίνεται, δικαστήριον ⟨ὅλον⟩, ὅλον βου-
λευτήριον, ὅλος δῆμος, ὅλος ὄχλος, σύμπαν ἀνθρώπων γένος, μᾶλλον
δέ, εἰ τἀληθὲς εἰπεῖν δεῖ, μεθόριός τις θεοῦ ⟨καὶ ἀνθρώπου⟩ φύσις, τοῦ
μὲν ἐλάττων, ἀνθρώπου δὲ κρείττων. „ὅταν“ γάρ φησιν „εἰσίῃ εἰς 189
p. 684 M. | τὰ ἅγια τῶν ἁγίων ὁ ἀρχιερεύς, ἄνθρωπος οὐκ ἔσται“ (Lev. 16, 17). τίς
οὖν, εἰ μὴ ἄνθρωπος; ἆρά γε θεός; οὐκ ἂν εἴποιμι — τὸν γὰρ τοῦ
ὀνόματος τοῦδε κλῆρον ὁ ἀρχιπροφήτης ἔλαχε Μωυσῆς ἔτι ὢν ἐν
Αἰγύπτῳ, προσρηθεὶς Φαραὼ θεὸς (Exod. 7, 1) — οὔτε ἄνθρωπος,
ἀλλ' ἑκατέρων τῶν ἄκρων, ὡς ἂν βάσεως καὶ κεφαλῆς, ἐφαπτόμενος.
(29.) τὸ μὲν οὖν ἕτερον εἶδος ἀμπέλου, ὅπερ εὐφροσύνη κεκλήρωται, 190
καὶ τὸ ἐξ αὐτῆς μέθυσμα, ἡ ἄκρατος εὐβουλία, καὶ ὁ ἀρυσάμενος οἰνο-
χόος ἐκ τοῦ θείου κρατῆρος, ὃν αὐτὸς ὁ θεὸς ἀρετῶν πεπλήρωκεν ἐπὶ
χείλη, δεδήλωται. τὸ δὲ ἀνοίας καὶ λύπης καὶ παροινίας ἤδη μὲν 191
τρόπῳ τινὶ τύπῳ δὲ ἕτερον ἐκτυποῦται διὰ τῶν ἑτέρωθι λεχθέντων ἐν
ᾠδῇ τῇ μείζονι· „ἐκ γὰρ ἀμπέλου“ φησί „Σοδόμων ἡ ἄμπελος αὐτῶν,
καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόρρας· ἡ σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς,
βότρυς πικρίας αὐτοῖς· θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς
ἀσπίδων ἀνίατος“ (Deut. 32, 32. 33). ὁρᾷς ὅσα τὸ ἀφροσύνης μέθυσμα 192
ἐργάζεται, τὸ πικρόν, τὸ κακόηθες, τὸ ἀκρόχολον, τὸ περίθυμον, τὸ ἀτίθα-
σον, τὸ δηκτικόν, τὸ ἐπίβουλον. ἐμφαντικώτατα δὲ ἀφροσύνης ἔρνος ἐν Σοδό-
μοις φησὶν εἶναι — τύφλωσις δὲ ἢ στείρωσις ἑρμηνεύεται Σόδομα —,
ἐπειδὴ τυφλὸν καὶ ἄγονον καλῶν ἀφροσύνη, ὑφ' ἧς ἀναπεισθέντες τινὲς
μετρεῖν καὶ σταθμᾶσθαι καὶ ἀριθμεῖν πάντα καθ' αὑτοὺς ἠξίωσαν·

---

1 ἱερουργός coni. Mang., δήμαρχος coni. Cohn μόνος Mang.: μόνον A 3 ὀλίγος Mang.: ὁ λόγος A prius ὅλον addidi (ὅλον δικ. coni. Mang.) 5 καὶ ἀνθρώπου add. Mang. τοῦ] θεοῦ conicio 9 τοῦ δὲ A Μωσῆς A 10 οὔτε ⟨οὖν θεὸς οὔτε⟩ (v. § 230) aut ἀλλ' οὐδὲ ἄνθρωπος, ἑκατέρων conicio, οὐκέτι Mang. 12 πρότερον conicio εὐφροσύνῃ Hoesch. 15 συννοίας coni. Mang. εἶδος, ⟨γένει⟩ μὲν ⟨ἓν⟩ vel παροινίας ἰδιοτρόπῳ τινὶ τύπῳ διερμηνεύεται διὰ e. gr. conicio 16 ἑτέρῳ coni. Hoesch. ἑτέρωθι scripsi: ἑτέρων A 17 ὦ δὴ A 19 αὐτοῖς Hoesch.: αὐτῆς A 22 ἐμφατικώτατα v δὲ] καὶ per errorem Mang. ἔρνος Mang.: ἔρανος A 25 καθ' αὑτοὺς Mang.: κατ' αὐτοὺς A

---

7 sqq. cf. ad. p. 20,6 17 sqq. cf. Ambros. De Noe 19,69 p. 463 Sch. (de ebr. § 222. 223).

193 Γομόρρα ⟨γὰρ⟩ μεταληφθέν ἐστι μέτρον. Μωυσῆς δὲ στάθμην καὶ
μέτρον καὶ ἀριθμὸν τῶν ὅλων ὑπέλαβεν εἶναι τὸν θεόν, ἀλλ' οὐ τὸν
ἀνθρώπινον νοῦν. δηλοῖ δὲ διὰ τούτων φάσκων· „οὐκ ἔσται ἐν μαρσίππῳ σου στάθμιον καὶ στάθμιον, μέγα ἢ μικρόν· οὐκ ἔσται ἐν τῇ
οἰκίᾳ σου ⟨μέτρον καὶ μέτρον⟩, μέγα ἢ μικρόν· στάθμιον ἀληθινὸν καὶ
194 δίκαιον ἔσται σοι“ (Deut. 25, 13—15). ἀληθὲς δὲ καὶ δίκαιον μέτρον
τὸ τὸν μόνον δίκαιον θεὸν ὑπολαβεῖν πάντα μετρεῖν καὶ σταθμᾶσθαι καὶ ἀριθμοῖς καὶ πέρασι καὶ ὅροις τὴν τῶν ὅλων περιγράψαι φύσιν, ἄδικον δὲ καὶ ψευδὲς τὸ νομίσαι κατὰ τὸν ἀνθρώπινον νοῦν ταῦτα συμβαίνειν.

195 Ὁ δὲ εὐνοῦχος ἅμα καὶ ἀρχιοινοχόος τοῦ Φαραὼ τὸ ἀφροσύνης
γεννητικὸν φυτόν, ἄμπελον, φαντασιωθεὶς προσαναζωγραφεῖ τρεῖς πυθμένας, ἵνα τὰς ἐν τῷ διαμαρτάνειν κατὰ τοὺς τρεῖς χρόνους ἐσχατιὰς
196 παρεμφήνῃ· πυθμὴν γὰρ τὸ ἔσχατον. (30.) | ἐπειδὰν οὖν ἀφροσύνη p. 685 M.
πᾶσαν ψυχὴν ἐπισκιάσῃ καὶ κατασχῇ καὶ μηδὲν αὐτῆς ἄφετον μηδὲ ἐλεύθερον μέρος ἐάσῃ, οὐ μόνον ὅσα τῶν ἁμαρτημάτων ἰάσιμα δρᾶν
197 ἀναγκάζει, ἀλλὰ καὶ ὅσα ἀνίατα. τὰ μὲν οὖν θεραπείαν ἐνδεχόμενα
ῥᾷστα καὶ πρῶτα γράφεται, τὰ δὲ ἀθεράπευτα παγχάλεπα καὶ ὕστατα,
198 πυθμέσιν ἀναλογοῦντα. καὶ καθάπερ, οἶμαι, ἡ φρόνησις ἄρχεται μὲν
ἀπὸ τῶν ἐλαττόνων ὠφελεῖν, λήγει δὲ εἰς τὰς ὑπερβολὰς τῶν κατορθωμάτων, τὸν αὐτὸν τρόπον καὶ ἡ ἀφροσύνη καταβιάζουσα τὴν ψυχὴν ἄνωθεν καὶ κατ' ὀλίγον ἀφιστᾶσα παιδείας μακρὰν ὀρθοῦ λόγου διοικίζει
199 καὶ μέχρι τῶν ἐσχατιῶν καθαιρεῖ. τὸ δ' ὄναρ ἐδήλου μετὰ τοὺς
πυθμένας ἀνθοῦσαν καὶ βλαστάνουσαν καὶ καρποφοροῦσαν τὴν ἄμπελον — „αὐτὴ“ γάρ φησι „θάλλουσα ἀνενηνοχυῖα βλαστούς· πέπειροι βότρυες σταφυλῆς“ (Gen. 40, 10) —, ἣν εἴθε ἀκαρπίᾳ χρῆσθαι καὶ μηδέποτε
200 χλοηφορῆσαι καὶ πάντα μεμαράνθαι τὸν αἰῶνα. τί γὰρ ἂν εἴη μεῖζον
κακὸν [ἢ] θαλλούσης καὶ εὐφορούσης ἀφροσύνης; ἀλλὰ καὶ „τὸ ποτήριον Φαραώ“, ἡ δεξαμενὴ τῆς ἀνοίας καὶ παροινίας καὶ τῆς παρὰ

---

1 γὰρ addidi  Μωσῆς A  3. 4 μαρσίπω A  4 ἢ Hoesch.: καὶ A  5 μέτρον καὶ μέτρον add. Hoesch., cf. Addenda  9 ψευδὲς scripsi: ψεῦδος A  11 εὐνοῦχος Hoesch.: εὔνους A  13 ἐσχατιὰς Mang. (cf. § 198): ἐσχάτας A  15 πᾶσαν ex Cantabr. Coll. S. Trin. Mang.: πᾶσα A  16 ἴασημα A  20 ὠφελειῶν conicio  21 καταβιάζουσαν Hoesch.  23 καθαιρεῖ Mang.: καθαίρει A, καθείργει coni. Mang.  μετὰ] κατὰ coni. Mang.  25 πέπειροι Hoesch.: περὶ ἣν A  26 ἣν scripsi: ἦν A, ἦσαν v  εἴθε corruptum: εὐκτέον vel κρεῖττον e. gr. conicio, εἰκὸς Cohn, εἴωθεν ἄφρων Mang.  28 ἢ seclusi  εὐφορούσης Mang.: ἐμφορούσης A

πάντα τὸν βίον ἀκαύστου μέθης, „ἐν τῇ χειρί μου“ (Gen. 40, 11),
φησίν, ἐστίν, ἴσον τῷ ἐν ταῖς ἐμαῖς ἐγχειρήσεσι καὶ ἐπιβολαῖς καὶ
δυνάμεσιν· οὐ γὰρ ἄνευ γε τῶν ἐμῶν ἐπινοιῶν εὐοδήσει τὸ πάθος ἐξ
ἑαυτοῦ. ὥσπερ γὰρ ἐν μὲν ταῖς τοῦ ἡνιόχου χερσὶ τὰς ἡνίας εἶναι 201
προσῆκεν, ἐν δὲ ταῖς τοῦ κυβερνήτου τοὺς οἴακας — μόνως γὰρ οὕτως
κατορθοῦται δρόμος μὲν ἅρματι, σκάφει δὲ πλοῦς —, οὕτως ἐν τῇ
χειρὶ καὶ δυνάμει τοῦ θάτερον εἶδος τῆς γαστριμαργίας τεχνιτεύοντος,
οἰνοφλυγίαν, ἡ τοῦ ἀκρατοῦς ἐστιν ἐκπλήρωσις. ἀλλὰ τί παθὼν ὑπέ- 202
μεινεν αὐχεῖν ἐπ' ἀρνήσεως μᾶλλον ἢ ὁμολογίας ἐπαξίῳ πράγματι; ἢ
οὐκ ἄμεινον ἦν μὴ οὐχ ὁμολογεῖν διδάσκαλον ἀκρασίας εἶναι, ἀλλὰ τῷ
ἀκρατεῖ τὰ ὑπεκκαύματα τοῦ πάθους ἐπαναθεῖναι ὡς εὑρετῇ καὶ αὐ-
τουργῷ τεθρυμμένου καὶ κατεαγότος αἰσχίστου βίου; τοιοῦτον δ' ἐστίν· 203
ἀφροσύνη σεμνύνεται ἐφ' οἷς εἰκὸς ἐγκαλύπτεσθαι· νυνὶ μὲν οὐ μόνον
ἐπὶ τῷ τὴν δεξαμενὴν τῆς ἀκράτορος ψυχῆς, τὸ ποτήριον, περιφέρειν
ἐν ταῖς χερσὶ καὶ ἐπιδείκνυσθαι πᾶσιν ἀγάλλεται, ἀλλὰ καὶ ἐπὶ τῷ τὴν
σταφυλὴν εἰς αὐτὸ ἐκθλίβειν· τὸ δ' ἐστὶ τὸ ἐκπληρωτικὸν τοῦ πάθους
δημιουργεῖν καὶ κεκρυμμένον εἰς φῶς ἄγειν. ὡς γὰρ τὰ βρέφη γλιχό- 204
μενα τροφῆς, ὁπότε μέλλοι σπᾶν τοῦ γάλακτος, ἐκθλίβει καὶ πιέζει
τὸν μαστὸν τῆς τρεφούσης, οὕτω τὴν πηγήν, ἀφ' ἧς τὸ οἰνοφλυγίας
p. 686 M. ὄμβρεῖ | κακόν, ὁ δημιουργὸς τῆς ἀκρασίας πιέζει κραταιῶς, ἵνα ταῖς
ἐκθλιβομέναις λιβάσιν ἡδίστῃ τροφῇ χρῷτο.

(31.) Τοιοῦτος μὲν ἡμῖν ὁ βεβακχευμένος ἀκράτῳ, παροίνιον καὶ 205
παράληρον κακὸν καὶ ἀνίατον, γραφέσθω· τὸν δὲ συγγενῆ τούτου γά-
στρωνα καὶ αὐτὸν ὄντα, πολυφαγίας καὶ λαιμαργίας ἑταῖρον, τὰ περὶ
ἐδωδὴν ἀκρατῶς τεχνιτεύοντα, πάλιν ἐπισκεπτέον. καίτοι οὐ πολλῆς 206
δεῖ πρὸς τὴν θήραν αὐτοῦ φροντίδος· ἔστι γὰρ ἐκμαγεῖον ἐμφερέστατον
αὐτοῦ τῆς εἰκόνος ὁ φανεὶς ὄνειρος. ἀκριβώσαντες ⟨οὖν⟩ αὐτὸν ἐκεῖνον
ὥσπερ ἔμφασιν ἐν κατόπτρῳ θεασόμεθα. „ᾤμην“ γάρ φησι „τρία 207

---

2 ἐγχειρίσεσι A   3 εὐοδώσει coni. Mang.   5 μόνον coni. Mang.
7 τῆς Hoesch.: τὰς A   8 ἢ A   ἀκρατοῦς Mang.: ἀκράτου A   ἐκπλή-
ρωσις Hoesch.: ἡ πλήρωσις A   11 ἀκρατεῖ A: ἀκράτῳ Mang.   ἐπαναθεῖναι
scripsi: ἐπανατεῖναι A   11. 12 αὐτουργῷ Mang.: αὐτογεωργοῦ A, αὐτογεωργῷ v
12 ⟨καὶ⟩ αἰσχίστου coni. Mang.   τὸ δὲ τοιοῦτόν ἐστιν conicio   13 μέντοι
conicio   15 ἀγάλλεται Mang.: ἀγγέλλεται A   16 αὐτὸ (vel τοῦτο) Mang.:
ταυτὸ A   17 ⟨τὸ⟩ κεκρυμμένον conicio   21 ἡδίστῃ Mang.: ἡδιαστῇ A,
ἥδιστα τῇ Hoesch.   23 καὶ om. Hoesch.   23. 24 γάστρωνα Hoesch.:
γάστρων A, fort. γάστριν leg.   27 οὖν add. Mang. (vel ὄνειρος ⟨ὥστε⟩ conicio)
τοῦτον conicio   28 θεασόμεθα Mang.: θεασώμεθα A

κανᾶ χονδριτῶν αἴρειν ἐπὶ τῆς κεφαλῆς μου“ (Gen. 40, 16). κεφαλὴν
μὲν τοίνυν ἀλληγοροῦντές φαμεν εἶναι ψυχῆς τὸν ἡγεμόνα νοῦν, ἐπικεῖ-
σθαι δὲ τούτῳ πάντα· καὶ γὰρ ἐξεφώνησέ ποτε ἐπ’ αὐτοῦ· „ἐπ’ ἐμὲ
208 ἐγένετο ταῦτα πάντα“ (Gen. 42, 36). στειλάμενος οὖν πομπὴν ὧν
ἐτεχνίτευσε κατὰ γαστρὸς τῆς ταλαίνης ἐπιδείκνυται, καὶ κανηφορῶν ὁ
ἀνόητος οὐκ αἰδεῖται τοσούτῳ βαρυνόμενος τριττῷ κανῶν ἄχθει, τοῦτο
209 δ’ ἐστὶ τρισὶ χρόνου μέρεσι. τὴν γὰρ ἡδονὴν οἱ θιασῶταί φασιν αὐ-
τῆς ἔκ τε μνήμης τῶν παρεληλυθότων τερπνῶν καὶ ἐξ ἀπολαύσεως
210 τῶν ἐνεστηκότων καὶ ἐξ ἐλπίδος τῶν μελλόντων συνεστάναι· ὥστε τὰ
τρία κανᾶ τοῖς τρισὶ τοῦ χρόνου μέρεσιν ἐξομοιοῦσθαι, τὰ δ’ ἐπὶ τῶν
κανῶν πέμματα τοῖς ἑκάστῳ τῶν μερῶν ἐφαρμόζουσι, παρεληλυθότων
μνήμαις, ἐνεστηκότων μετουσίαις, μελλόντων προσδοκίαις, τὸν δὲ βαστά-
ζοντα ταῦτα πάντα τῷ φιληδόνῳ, ὃς οὐκ ἀφ’ ἑνὸς γένους ἀκρασίας,
ἀλλ’ ἀπὸ πάντων σχεδὸν εἰδῶν καὶ γενῶν τῆς ἀκολασίας ἄσπονδον καὶ
211 φιλίων ἀλῶν ἐπιδεᾶ τράπεζαν ἐκπεπλήρωκεν. ἧς ἀπολαύει μόνος
ὥσπερ ἐν δημοθοινίᾳ ὁ βασιλεὺς Φαραώ, σπορὰν καὶ σκέδασιν καὶ
φθορὰν ἐγκρατείας ἐπιτετηδευκώς· ἑρμηνεύεται γὰρ σκεδασμός. ἔστι
δὲ τὸ ὑπέρογκον καὶ βασιλικὸν αὐτῷ οὐκ ἐφ’ οἷς εἰκὸς σωφροσύνης
ἀγαθοῖς ἀγάλλεσθαι, ἀλλ’ ἐν οἷς ἀπεικὸς βδελυρίας ἐπιτηδεύμασι σεμ-
νύνεσθαι, πρὸς ἀπληστίαν καὶ λαιμαργότητα καὶ τὸ ἁβροδίαιτον ἐξοκεί-
212 λαντι. τοιγάρτοι τὰ πτηνά, τὸ δ’ ἐστὶν αἱ ἐπιποτώμεναι ἔξωθεν ἀτέκ-
μαρτοι συντυχίαι, πάντα πυρὸς τρόπον ἐπιδραμοῦνται καὶ ἀναφλέξουσι
καὶ τῇ παμφάγῳ δυνάμει καταναλώσουσιν (Gen. 40, 17), ὡς μηδὲ
λείψανον γοῦν ὑπολείπεσθαι πρὸς ἀπόλαυσιν τῷ κανηφοροῦντι, ὃς
ἤλπισε τὰς εὑρέσεις καὶ τὰς ἐπινοίας αὐτοῦ μέχρι παντὸς αἰῶνος οἴσειν
213 ἀναφαιρέτους ἐν | βεβαίῳ. χάρις δὲ τῷ νικηφόρῳ θεῷ, ὃς ἀτελεῖς p. 687 M.
τὰς εἰς ἄκρον πεποιημένας σπουδὰς τοῦ φιλοπαθοῦς ἐργάζεται, πτηνὰς
φύσεις ἐπιπέμπων ἀοράτως πρὸς ἀναίρεσιν καὶ φθορὰν αὐτῶν. περι-
συληθεὶς οὖν ὁ νοῦς ὧν ἐδημιούργησεν, ὥσπερ τὸν αὐχένα ἀποτμηθεὶς

---

1 καναχονδριτῶν A  3 ἐπ’ αὐτοῦ scripsi: ἐπὶ τὸν A, περὶ τοῦδε Hoesch., ἐπὶ τοῦδε vel ἐπὶ τούτου Mang.  6 κανῶν Hoesch.: κακὸν A  12 προσδοκίας A  15 ἀπολαύειν A  16 διασπορὰν Hoesch.  18 ἐφ’ οἷς εἰκὸς scripsi: ἐπὶ τοῖς εἰκόσι A  19 ἐν] ἐφ’ conicio  20 λαιμαργίαν conicio  20. 21 ἐξοκείλαντι Hoesch.: ἐξωκείλοντι A  25 αὐτοῦ Mang. (vel μέχρι τοῦ transp.): τοῦ A  27 πεπονημένας coni. Mang.  28. 29 περισυληθεὶς scripsi: περισυλληφθεὶς A, παρασυληθεὶς Mang.

---

7 cf. Epicurea fr. 435 sqq. 429.

ἀκέφαλος καὶ νεκρὸς ἀνευρεθήσεται, προσηλωμένος ὥσπερ οἱ ἀνασκολο-
πισθέντες τῷ ξύλῳ τῆς ἀπόρου καὶ πενιχρᾶς ἀπαιδευσίας. ἕως μὲν 214
γὰρ μηδὲν λυμαίνεται τῶν ἐξαπιναίως εἰωθότων ἀπροοράτως ἐπιφοιτᾶν,
εὐοδεῖν δοκοῦσιν αἱ πρὸς ἀπόλαυσιν ἡδονῆς τέχναι· κατασκηψάντων δ'
ἐκ τοῦ ἀφανοῦς ἀνατρέπονται, καὶ ὁ δημιουργὸς αὐταῖς συνδιαφθεί-
ρεται.

(32.) Τὰ μὲν οὖν τῶν διῃρημένων τὸ γεύσεως ἐργαστήριον ἐν 215
ἑκατέρῳ τροφῆς εἴδει, πόσεώς τε καὶ βρώσεως οὐχὶ τῆς ἀναγκαίας
ἀλλὰ περιττῆς καὶ ἀκράτορος, ὀνείρατα δεδήλωται· τὰ δὲ ⟨τοῦ⟩ τού-
των καὶ τῶν ἄλλων, ὅσαι ψυχῆς δυνάμεις, βασιλεύειν δοκοῦντος, ὄνομα
Φαραώ, κατὰ τὸ ἀκόλουθον αὐτίκα διερευνητέον. „ἐν γὰρ τῷ ὕπνῳ 216
μου“ φησίν „ᾤμην ἑστάναι παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ· καὶ ὥσπερ
ἐκ τοῦ ποταμοῦ ἀνέβαινον βόες ἑπτά, ἐκλεκταὶ ταῖς σαρξὶ καὶ καλαὶ
τῷ εἴδει, καὶ ἐνέμοντο ἐν τῷ ἄχει. καὶ ἰδοὺ ἕτεραι ἑπτὰ βόες ἀνέ-
βαινον ὀπίσω αὐτῶν ἐκ τοῦ ποταμοῦ, πονηραὶ καὶ αἰσχραὶ τῷ εἴδει
καὶ λεπταὶ ταῖς σαρξίν, ἃς οὐκ εἶδον τοιαύτας ἐν ὅλῃ τῇ Αἰγύπτῳ
αἰσχροτέρας. καὶ κατέφαγον αἱ βόες αἱ λεπταὶ καὶ αἰσχραὶ τὰς ἑπτὰ 217
βόας τὰς πρώτας τὰς καλὰς καὶ ἐκλεκτάς, καὶ εἰσῆλθον εἰς τὰς κοιλίας
αὐτῶν· ⟨καὶ οὐ διάδηλοι ἐγένοντο ὅτι εἰσῆλθον εἰς τὰς κοιλίας αὐτῶν⟩,
καὶ αἱ ὄψεις αὐτῶν αἰσχραί, καθὰ καὶ τὴν ἀρχήν [εἶπον]. ἐξεγερθεὶς 218
δὲ ἐκοιμήθην, καὶ εἶδον πάλιν ἐν τῷ ὕπνῳ μου, καὶ ὡς ἑπτὰ στάχυες
ἀνέβαινον ἐν πυθμένι ἑνί, πλήρεις καὶ καλοί· ἄλλοι δὲ ἑπτὰ στάχυες
λεπτοὶ καὶ ἀνεμόφθοροι ἀνεφύοντο ἐχόμενοι· καὶ κατέπιον οἱ ἑπτὰ
στάχυες τοὺς καλοὺς καὶ τοὺς πλήρεις“ (Gen. 41, 17—24). ὁρᾷς μὲν 219
δὴ ⟨τὸ⟩ προοίμιον τοῦ φιλαύτου, ὃς κινητὸς καὶ στρεπτὸς καὶ μετα-
βλητὸς ὢν κατά τε σῶμα καὶ ψυχήν φησιν· „ᾤμην ἑστάναι,“ καὶ οὐκ
ἐλογίσατο, ὅτι μόνῳ θεῷ τὸ ἀκλινὲς καὶ πάγιόν ἐστιν οἰκεῖον καὶ εἴ
τις αὐτῷ φίλος. τῆς μὲν ἀκλινοῦς περὶ αὐτὸν δυνάμεως σαφεστάτη 220

---

2 τῷ scripsi (vel σταυρῷ τῷ conicio): αὐτῶ A, αὖ τῷ Mang. 3 ἐξαπιναίων conicio 9 τοῦ addidi 10 ὄνομα] ὀνείρατα Hoesch. 13 ἑπτὰ βόες conicio 14 ἄχει] ἕλει male Hoesch. 16 ἃς] οἵας conicio ex LXX 17 αἱ ⟨ἑπτὰ⟩ βόες conicio ex LXX 19 lacunam ex LXX supplevi 20 εἶπον seclusi 21 ὥσπερ ex LXX conicio 23 ἐχόμενοι ⟨αὐτῶν⟩ ex LXX supplet Mang. 24 στάχυες ⟨οἱ λεπτοὶ καὶ ἀνεμόφθοροι τοὺς ἑπτὰ στάχυας⟩ ex LXX vid. suppl. 25 τὸ addidi 28 μὲν ⟨γὰρ⟩ vel ⟨οὖν⟩ conicio

---

26 sqq. cf. Orig. comment. in Gen. p. 44 ὁ ἐπὶ τοῖς ῥευστοῖς καὶ ἀβεβαίοις πεποιθὼς ᾤετο ἑστάναι . . . Aristobulum apud. Eus. Praep. ev. VIII 10 § 9—12.

πίστις ὅδε ὁ κόσμος, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχων — ὁπότε
δὲ ὁ κόσμος ἀρρεπής, ὁ δημιουργὸς πῶς οὐ βέβαιος; —, εἶτα μέντοι
221 καὶ οἱ ἀψευδέστατοι μάρτυρες ἱεροὶ χρησμοί· λέγεται γὰρ ἐκ προσώ-
που τοῦ θεοῦ· „ὧδε ἐγὼ ἕστηκα ἐκεῖ πρὸ τοῦ σὲ ἐπὶ τῆς πέτρας ἐν
Χωρήβ" (Exod. 17, 6), ἴσον τῷ | οὗτος ἐγὼ ὁ ἐμφανὴς καὶ ἐνταῦθα p. 688 M.
ὢν ἐκεῖ τέ εἰμι καὶ πανταχοῦ, πεπληρωκὼς τὰ πάντα, ἑστὼς ἐν
ὁμοίῳ καὶ μένων, ἄτρεπτος ὤν, πρὶν ἢ σὲ ἤ τι τῶν ὄντων εἰς γένεσιν
ἐλθεῖν, ἐπὶ τῆς ἀκροτάτης καὶ πρεσβυτάτης ἱδρυμένος δυνάμεως ἀρχῆς,
ἀφ' ἧς ἡ τῶν ὄντων γένεσις ὤμβρησε καὶ τὸ σοφίας ἐπλήμμυρε νᾶμα.
222 ἐγὼ γάρ εἰμι „ὁ ἐξαγαγὼν ἐκ πέτρας ἀκροτόμου πηγὴν ὕδατος"
(Deut. 8, 15) ἐν ἑτέροις εἴρηται. μαρτυρεῖ δὲ καὶ Μωυσῆς περὶ τοῦ
μὴ τρέπεσθαι τὸ θεῖον φάσκων· „εἶδον τὸν τόπον οὗ εἱστήκει ὁ θεὸς
τοῦ Ἰσραήλ" (Exod. 24, 10), τὸ μὴ μεταβάλλειν διὰ τῆς στάσεως καὶ
223 ἱδρύσεως αἰνιττόμενος. (33.) ἀλλὰ γὰρ τοσαύτη περὶ τὸ θεῖόν ἐστιν
ὑπερβολὴ τοῦ βεβαίου, ὥστε καὶ ταῖς ἐπιλελεγμέναις φύσεσιν ἐχυρότη-
τος, ὡς ἀρίστου κτήματος, μεταδίδωσιν. αὐτίκα γέ τοι τὴν πλήρη
χαρίτων διαθήκην ἑαυτοῦ — νόμος δ' ἐστὶ καὶ λόγος τῶν ὄντων ὁ
πρεσβύτατος — ὡς ἂν ἐπὶ βάσεως τῆς τοῦ δικαίου ψυχῆς ἄγαλμα
θεοειδὲς ἱδρύσεσθαι παγίως φησίν, ἐπειδὰν λέγῃ τῷ Νῶε· „στήσω τὴν
224 διαθήκην μου πρὸς σέ" (Gen. 9, 11). παρεμφαίνει δὲ καὶ δύο ἕτερα,
ἓν μὲν ὅτι τὸ δίκαιον ἀδιαφορεῖ διαθήκης θεοῦ, ἕτερον δὲ ὅτι οἱ μὲν
ἄλλοι χαρίζονται τὰ διαφέροντα τῶν λαμβανόντων, ὁ δὲ θεὸς οὐ μόνον
ταῦτα, ἀλλὰ αὐτοὺς ἐκείνους ἑαυτοῖς· ἐμὲ γὰρ ἐμοὶ δεδώρηται καὶ
ἕκαστον τῶν ὄντων ἑαυτῷ· τὸ γὰρ „στήσω τὴν διαθήκην μου πρὸς
225 σὲ" ἴσον ἐστὶ τῷ „σοὶ δωρήσομαι." σπουδάζουσι δὲ καὶ πάντες οἱ
θεοφιλεῖς τὸν φιλοπραγμοσύνης χειμῶνα ἀποδιδράσκοντες, ἐν ᾧ σάλος
καὶ κλύδων ἀεὶ κυκᾶται, τοῖς τῆς ἀρετῆς εὐδίοις καὶ ναυλοχωτάτοις
226 ἐνορμίζεσθαι λιμέσιν. οὐχ ὁρᾷς, οἷα περὶ Ἀβραὰμ λέγεται τοῦ σοφοῦ,
ὡς ἐστιν „ἑστὼς ἐνώπιον κυρίου" (Gen. 18, 22); πότε γὰρ εἰκὸς δύνα-
σθαι στῆναι διάνοιαν μηκέθ' ὡς ἐπὶ τρυτάνης ταλαντεύουσαν ἢ ὅτε

---

1 ὁ δὲ A 4 ἕστηκα scripsi: ἕστη καὶ (sed. ι eras.) A, ἕστηκα καὶ v ἐκεῖ scripsi: ἐκεῖσε A 4. 5 ἐν Χωρὴβ ex LXX scripsi: ἐγχωρεῖν A 5 οὗτος scripsi: οὕτως A 7 ὢν A ἤ τι Mang.: ἐπὶ A 8 ἱδρυμένος Mang.: ὁρώμενος A 9 ἐπλημμύρει conicio 11 Μωσῆς A 13 μεταβάλλον coni. Mang. 16 γέ scripsi: δέ A 18 ὡσὰν A ἐπιβάσεως A 19 ἱδρύσεσθαι Mang.: ἱδρύσασθαι A 25 σοὶ ⟨σὲ⟩ coni. Mang. 26 πολυπραγμοσύνης coni. Mang. 29 ὥς coni. Mang.: ὅς A ποτὲ A εἰκὸς ⟨μᾶλλον⟩ coni. Mang.

ἀντικρύς ἐστι θεοῦ, ὁρῶσά τε καὶ ὁρωμένη; διχόθεν γὰρ αὐτῇ τὸ 227
ἀρρεπές, ἐκ μὲν τοῦ ὁρᾶν τὸν ἀσύγκριτον, ὅτι ὑπὸ τῶν ὁμοίων πρα-
γμάτων οὐκ ἀνθέλκεται, ἐκ δὲ τοῦ ὁρᾶσθαι, ὅτι ἣν ἀξίαν ἔκρινεν εἰς
ὄψιν ὁ ἡγεμὼν τὴν ἑαυτοῦ ⟨ἐλθεῖν, τῷ⟩ ἀρίστῳ μόνῳ προσεκλήρωσεν,
αὐτῷ. καὶ Μωυσεῖ μέντοι θεοπρόπιον ἐχρήσθη τοιόνδε· „σὺ αὐτοῦ
στῆθι μετ' ἐμοῦ“ (Deut. 5, 31), δι' οὗ τὰ λεχθέντα ἄμφω παρίστα-
ται, τό τε μὴ κλίνεσθαι τὸν ἀστεῖον καὶ ἡ τοῦ ὄντος περὶ πάντα
βεβαιότης. (34.) καὶ γὰρ τῷ ὄντι τὸ τῷ θεῷ συνεγγίζον οἰκειοῦται 228
κατὰ τὸ ἄτρεπτον αὐτοστατοῦν, καὶ ἠρεμήσας ὁ νοῦς, ἡλίκον ἐστὶν
p. 689 M. ἀγαθὸν ἠρεμία, σαφῶς ἔγνω καὶ θαυμάσας αὐτῆς | τὸ κάλλος ὑπέλαβεν,
ὅτι ἢ θεῷ μόνῳ προσκεκλήρωται ἢ τῇ μεταξὺ φύσει θνητοῦ καὶ ἀθανά-
του γένους. φησὶ γοῦν· „κἀγὼ εἱστήκειν ἀνὰ μέσον κυρίου καὶ ὑμῶν“ 229
(Deut. 5, 5), οὐχὶ τοῦτο δηλῶν, ὅτι ἐπὶ τῶν ἑαυτοῦ ποδῶν ἠρή-
ρειστο, ἀλλ' ἐκεῖνο βουλόμενος ἐμφῆναι, ὅτι ἡ τοῦ σοφοῦ διάνοια χει-
μώνων μὲν καὶ πολέμων ἀπαλλαγεῖσα, νηνέμῳ δὲ γαλήνῃ καὶ βαθείᾳ
εἰρήνῃ χρωμένη κρείττων μέν ἐστιν ἀνθρώπου, θεοῦ δὲ ἐλάττων. ὁ 230
μὲν γὰρ ἀγελαῖος ἀνθρώπειος νοῦς σείεται καὶ κυκᾶται πρὸς τῶν ἐπι-
τυχόντων, ὁ δ' ἅτε μακάριος καὶ εὐδαίμων ἀμέτοχος κακῶν· μεθόριος
δὲ ὁ ἀστεῖος, ὡς κυρίως εἰπεῖν μήτε θεὸν αὐτὸν εἶναι μήτε ἄνθρωπον,
ἀλλὰ τῶν ἄκρων ἐφαπτόμενον, ἀνθρωπότητι μὲν θνητοῦ γένους, ἀρετῇ
δὲ ἀφθάρτου. τούτῳ παραπλήσιόν ἐστι καὶ τὸ χρησθὲν λόγιον ἐπὶ τοῦ 231
μεγάλου ἱερέως· „ὅταν“ γάρ φησιν „εἰσίῃ εἰς τὰ ἅγια τῶν ἁγίων,
ἄνθρωπος οὐκ ἔσται, ἕως ἂν ἐξέλθῃ“ (Lev. 16, 17); εἰ δὲ μὴ γίνεται
τότε ἄνθρωπος, δῆλον ὅτι οὐδὲ θεός, ἀλλὰ λειτουργὸς θεοῦ, κατὰ μὲν
τὸ θνητὸν γενέσει, κατὰ δὲ τὸ ἀθάνατον οἰκειούμενος τῷ ἀγενήτῳ.
τὴν δὲ μέσην τάξιν εἴληχεν, ἕως ἂν ἐξέλθῃ πάλιν εἰς τὰ τοῦ σώματος 232
καὶ τῆς σαρκὸς οἰκεῖα. καὶ πέφυκεν οὕτως ἔχειν· ὅταν μὲν ἐξ ἔρωτος
θείου κατασχεθεὶς ὁ νοῦς, συντείνας ἑαυτὸν ἄχρι τῶν ἀδύτων, ὁρμῇ

---

1 διχόθεν Markland: δειχθέν A 2 ἀνομοίων coni. Mang. 3 οὐκέτ' conicio 4 ἑαυτοῦ Mang. (Hoesch. in mg. A): ἑαυτῶ A ἐλθεῖν τῷ addidi 5 αὐτῶ A Μωσεῖ A 9 αὐτοστατοῦν] αὐτῷ τῷ ἑστῶτι conicio 12 ἡμῶν Hoesch. 13. 14 ἐρήρειστο v 16 κρείττω A 17 σείεται Mang.: ἵεται A, οἴεται Hoesch. 18 ἅτε (sic) A: αὖ τε v καὶ A: τε καὶ Mang. 24 δῆλον δ' ὅτι οὐδὲ θεός, τί ἄλλο ἢ λειτουργὸς θ. gr. conicio; θεοῦ, ⟨δῆλον ὅτι μεθόριος ἀνθρώπου καὶ θεοῦ⟩ coni. Cohn (δ' ὅτι antea) 25 ἀγεννήτω A 26 εἴληχεν, ἕως Mang.: εἰληχέναι ὡς A

---

22 sqq. cf. ad. p. 289,7

καὶ σπουδῇ πάσῃ χρώμενος προέρχηται, θεοφορούμενος ἐπιλέληστται
μὲν τῶν ἄλλων, ἐπιλέληστται δὲ καὶ ἑαυτοῦ, μόνου ⟨δὲ⟩ μέμνηται καὶ
ἐξήρτηται τοῦ δορυφορουμένου καὶ θεραπευομένου, ᾧ τὰς ἱερὰς καὶ
233 ἀναφεῖς καθαγιάζων ἀρετὰς ἐκθυμιᾷ. ἐπειδὰν δὲ στῇ ⟨τὸ⟩ ἐνθουσιῶ-
δες καὶ ὁ πολὺς ἵμερος χαλάσῃ, παλινδρομήσας ἀπὸ τῶν θείων ἄνθρω-
πος γίνεται, τοῖς ἀνθρωπίνοις ἐντυχών, ἅπερ ἐν τοῖς προπυλαίοις ἐφή-
234 δρευεν, ἵνα αὐτὸ μόνον ἐκκύψαντα ἔνδοθεν ἐξαρπάσῃ. (35.) τὸν μὲν
οὖν τέλειον οὔτε θεὸν οὔτε ἄνθρωπον ἀναγράφει Μωυσῆς, ἀλλ', ὡς ἔφην,
μεθόριον τῆς ἀγενήτου καὶ φθαρτῆς φύσεως· τὸν δὲ προκόπτοντα πάλιν
ἐν τῇ μεταξὺ χώρᾳ ζώντων καὶ τεθνηκότων τάττει, ζῶντας μὲν καλῶν
τοὺς συμβιοῦντας φρονήσει, τεθνηκότας δὲ τοὺς ἀφροσύνῃ χαίροντας.
235 λέγεται γὰρ ἐπὶ Ἀαρὼν ὅτι „ἔστη ἀνὰ μέσον τῶν τεθνηκότων ⟨καὶ
τῶν ζώντων⟩, καὶ ἐκόπασεν ἡ θραῦσις" (Num. 16, 48). ὁ γὰρ προ-
κόπτων οὔτε ἐν τοῖς τεθνηκόσι τὸν ἀρετῆς βίον ἐξετάζεται, πόθον καὶ
ζῆλον ἔχων τοῦ καλοῦ, οὔτε ἐν τοῖς | μετὰ τῆς ἄκρας καὶ τελείας p. 690 M.
ζῶσιν εὐδαιμονίας — ἔτι γὰρ πρὸς τὸ πέρας ἐνδεῖ —, ἀλλ' ἑκατέρων
236 ἐφάπτεται. διὸ καὶ κυρίως ἐπιλέγεται τὸ „ἐκόπασεν ἡ θραῦσις", ἀλλ'
οὐκ ἐπαύσατο· παύεται μὲν γὰρ ἐπὶ τῶν τελείων τὰ περιθραύοντα καὶ
κατακλῶντα καὶ καταγνύντα τὴν ψυχήν, μειοῦται δὲ ἐπὶ τῶν προκοπτόν-
των ὡς ἂν αὐτὸ μόνον ἀνακοπτόμενα καὶ στελλόμενα.
237 (36.) Τῆς οὖν στάσεως καὶ ἱδρύσεως καὶ τῆς ἐν ταὐτῷ κατὰ
τὸ ἀμετάβλητον καὶ ἄτρεπτον εἰς ἀεὶ μονῆς πρῶτον μὲν ὑπαρχούσης
περὶ τὸ ὄν, ἔπειτα δὲ περὶ τὸν τοῦ ὄντος λόγον, ὃν διαθήκην ἐκάλεσε,
τρίτον δὲ περὶ τὸν σοφὸν καὶ τέταρτον περὶ τὸν προκόπτοντα, τί παθὼν
ὁ φαῦλος καὶ πάσαις ἀραῖς ἔνοχος νοῦς ᾠήθη μόνος ἵστασθαι δύνα-
σθαι, φορούμενος ὥσπερ ἐν κατακλυσμῷ καὶ κατασυρόμενος ταῖς τῶν
ἐπιρρεόντων διὰ τοῦ νεκροφορουμένου σώματος δίναις ἐπαλλήλοις;
238 „ᾤμην" γάρ φησιν „ἑστάναι ἐπὶ τὸ χεῖλος τοῦ ποταμοῦ" (Gen. 41, 17).

---

4 εὐαγεῖς vel ἐναγεῖς coni. Mang. καθαγίζων coni. Mang. ἐκθύμια A τὸ add. Mang. 4. 5 ἐνθουσιώδης coni. Hoesch. 6 προπυλέοις A 7 αὐτὸ Hoesch.: αὐτῶ A 8 Μωσῆς A ἔφην Mang.: ἔφη A 9 ἀγεννήτου A 12. 13 καὶ τῶν ζώντων ex LXX add. Hoesch. 16 γάρ ⟨τι⟩ coni. Mang. ἑκατέρων ⟨τῶν ἄκρων⟩ coni. Mang. (cf. § 189) 20 ὡσὰν A αὐτὸ Hoesch.: αὐτῶ A 22 εἰσαεὶ A μόνης A 27 δίναις Hoesch.: δειναῖς A 28 ἐπὶ] παρὰ conicio, cf. § 216. 261

---

9—11 cf. ad. p. 46,8.

λόγον δὲ συμβολικῶς ποταμὸν εἶναί φαμεν, ἐπειδὴ ἑκάτερος ἔξω τε
φέρεται καὶ ῥέων συντόνῳ χρῆται τῷ τάχει καὶ τοτὲ μὲν εὐφορεῖ
πλημμύραις ὁ μὲν ὕδατος, ὁ δὲ ῥημάτων καὶ ὀνομάτων, τοτὲ δὲ ἀφο-
ρεῖ χαλώμενος καὶ συνίζων· καὶ ὠφελοῦσι μέντοι ὁ μὲν ἄρδων τὰς ἀρού- 239
ρας, ὁ δὲ τὰς τῶν φιληκόων ψυχάς, καὶ ἔστιν ὅτε βλάπτουσι χυμήναντες,
ὁ μὲν τὴν ὅμορον γῆν ἐπικλύσας, ὁ δὲ ἀναχυχήσας καὶ συγχέας τὸν τῶν
οὐ προσεχόντων λογισμόν. οὗτος μὲν εἰκάζεται ποταμῷ. διττὴ 240
δὲ λόγου φύσις, ἡ μὲν ἀμείνων, ἡ δὲ χείρων, ἀμείνων μὲν ἡ ὠφε-
λοῦσα, χείρων δὲ κατὰ τὸ ἀναγκαῖον ἡ βλάπτουσα. παραδείγματα δὲ 241
ἑκατέρας τοῖς δυναμένοις ὁρᾶν ἀνέθηκε Μωϋσῆς ἀριδηλότατα· „ποτα-
μὸς“ γάρ φησι „πορεύεται ἐξ Ἐδὲμ ποτίζειν τὸν παράδεισον· ἐκεῖθεν
ἀφορίζεται εἰς τέσσαρας ἀρχάς“ (Gen. 2, 10). καλεῖ δὲ τὴν μὲν τοῦ 242
ὄντος σοφίαν Ἐδέμ, ἧς ἑρμηνεία τρυφή, διότι, οἶμαι, ἐντρύφημα καὶ
θεοῦ σοφία καὶ σοφίας θεός, ἐπεὶ καὶ ἐν ὕμνοις ᾄδεται· „κατατρύφησον
τοῦ κυρίου“ (Psalm. 36, 4). κάτεισι δὲ ὥσπερ ἀπὸ πηγῆς τῆς σοφίας
ποταμοῦ τρόπον ὁ θεῖος λόγος, ἵνα ἄρδῃ καὶ ποτίζῃ τὰ ὀλύμπια καὶ
οὐράνια φιλαρέτων ψυχῶν βλαστήματα καὶ φυτά, ὡσανεὶ παράδεισον.
ὁ δὲ ἱερὸς οὗτος λόγος ἀφορίζεται εἰς τέσσαρας ἀρχάς, λέγω δὲ εἰς 243
τὰς τέσσαρας ἀρετὰς σχίζεται, ὧν ἑκάστη βασιλίς ἐστι· τὸ γὰρ ἀφο-
ρίζεσθαι εἰς ἀρχὰς οὐ τοπικοῖς ὅροις, ἀλλὰ βασιλείᾳ ἔοικεν, ἵν' ἐπιδείξας
p. 691 M. τὰς ἀρετὰς εὐθὺς ἀποφήνῃ | καὶ τὸν χρώμενον αὐταῖς σοφὸν βασιλέα,
κεχειροτονημένον οὐ πρὸς ἀνθρώπων, ἀλλ' ὑπὸ τῆς ἀψευδοῦς καὶ ἀδεκάστου
καὶ μόνης ἐλευθέρας φύσεως. λέγουσι γὰρ τῷ Ἀβραὰμ οἱ κατιδόντες αὐτοῦ 244
τὸ ἀστεῖον· „βασιλεὺς παρὰ θεοῦ εἶ σὺ ἐν ἡμῖν“ (Gen. 23, 6), δόγμα
τιθέμενοι τοῖς περὶ φιλοσοφίαν διατρίβουσιν, ὅτι μόνος ὁ σοφὸς ἄρχων
καὶ βασιλεὺς καὶ ἡ ἀρετὴ ἀνυπεύθυνος ἀρχή τε καὶ βασιλεία.
(37.) τοῦτον τὸν λόγον εἰκάσας ποταμῷ τις τῶν ἑταίρων Μωυσέως 245
ἐν ὕμνοις εἶπεν· „ὁ ποταμὸς τοῦ θεοῦ ἐπληρώθη ὑδάτων“ (Psalm. 64,
10). καί⟨τοι⟩ τινὰ τῶν ἐπὶ γῆς ῥεόντων ἄλογον κυριολογεῖσθαι· ἀλλ',
ὡς ἔοικε, πλήρη τοῦ σοφίας νάματος τὸν θεῖον λόγον διασυνίστησι,

---

2 συντόνῳ Mang.: εὐτόνῳ A τότε A, ποτὲ coni. Hoesch. εὐφορεῖ Mang.: ἐμφορεῖ A 3 τοτὲ scripsi: ὅτε A, ποτὲ coni. Hoesch. 7 οὕτως coni. et post εἰκάζεται add. λόγος Mang. 9 κατὰ τοὐναντίον conicio 10 ἑκατέρας ex Cantabr. S. Trin. Mang.: ἑκατέροις A, ἑκατέρου coni. Hoesch. 11 ἐκπορεύεται ex LXX conicio 20 τοπικοῖς ὅροις Hoesch.: τοπικοὺς ὅρους A ἵν'] ἵν' ὅρους per errorem, ut vid., Mang. 21 τὰς] τις coni. Mang. 23 μονῆς A 27 ἑτέρων Μωυσέος A 29 τοι addidi

μηδὲν ἔρημον καὶ κενὸν ἑαυτοῦ μέρος ἔχοντα, ⟨μᾶλλον⟩ δέ, ὡς εἶπέ τις,
ὅλον δι' ὅλων ἀναχεόμενον καὶ αἰρόμενον εἰς ὕψος διὰ τὴν συνεχῆ καὶ
246 ἐπάλληλον τῆς ἀεννάου πηγῆς ἐκείνης φοράν. ἔστι δὲ καὶ ἕτερον ᾆσμα
τοιοῦτον· „τὸ ὅρμημα τοῦ ποταμοῦ εὐφραίνει τὴν πόλιν τοῦ θεοῦ“ (Psalm.
45, 5). ποίαν πόλιν; ἡ γὰρ νῦν οὖσα ἱερὰ πόλις, ἐν ᾗ καὶ ἅγιος νεώς ἐστι,
μακρὰν ὥσπερ θαλάττης καὶ ποταμῶν συνῴκισται· ὡς δῆλον εἶναι, ὅτι τοῦ
247 προφανοῦς ἕτερόν τι βούλεται δι' ὑπονοιῶν παραστῆσαι. τῷ γὰρ ὄντι τοῦ
θείου λόγου ῥύμη * * * καὶ συνεχῶς μεθ' ὁρμῆς ἐν τάξει φερομένη
248 πάντα διὰ πάντων ἀναχεῖ τε καὶ εὐφραίνει. πόλιν γὰρ θεοῦ καθ' ἕνα μὲν
τρόπον τὸν κόσμον καλεῖ, ὃς ὅλον τὸν κρατῆρα τοῦ θείου πόματος
δεξάμενος ⟨ἠκρατί⟩σατο καὶ γανωθεὶς ἀναφαιρέτου καὶ ἀσβέστου τῆς
εἰς ἅπαντα τὸν [ἐπὶ τὸν] αἰῶνα εὐφροσύνης ἐπέλαχε, καθ' ἕτερον
δὲ τὴν ψυχὴν τοῦ σοφοῦ, ᾗ λέγεται καὶ ἐμπεριπατεῖν ὁ θεὸς ὡς ἐν
πόλει· „περιπατήσω“ γάρ φησιν „ἐν ὑμῖν, καὶ ἔσομαι [ἐν] ὑμῶν
249 θεός“ (Lev. 26, 12). καὶ ψυχῇ δ' εὐδαίμονι τὸ ἱερώτατον ἔκπωμα
προτεινούσῃ τὸν ἑαυτῆς λογισμὸν τίς ἐπιχεῖ τοὺς ἱεροὺς κυάθους τῆς
πρὸς ἀλήθειαν εὐφροσύνης, ὅτι μὴ ⟨ὁ⟩ οἰνοχόος τοῦ θεοῦ καὶ συμπο-
σίαρχος λόγος, οὐ διαφέρων τοῦ πόματος, ἀλλ' αὐτὸς ἄκρατος ὤν, τὸ
γάνωμα, τὸ ἥδυσμα, ἡ ἀνάχυσις, ἡ εὐθυμία, τὸ χαρᾶς, τὸ εὐφροσύνης
ἀμβρόσιον, ἵνα καὶ αὐτοὶ ποιητικοῖς ὀνόμασι χρησώμεθα, φάρμακον;
250 (38.) ἡ δὲ θεοῦ πόλις ὑπὸ Ἑβραίων Ἱερουσαλὴμ καλεῖται, ἧς μετα-
ληφθὲν τοὔνομα ὅρασίς ἐστιν εἰρήνης. ὥστε μὴ ζήτει τὴν τοῦ | ὄντος p. 692 M.
πόλιν ἐν κλίμασι γῆς — οὐ γὰρ ἐκ ξύλων ἢ λίθων δεδημιούργηται —,
ἀλλ' ἐν ψυχῇ ἀπολέμῳ καὶ ὀξυδορκούσῃ ⟨τέλος⟩ προτεθειμένῃ τὸν [δὲ]
251 θεωρητικὸν καὶ εἰρηναῖον βίον. ἐπεὶ καὶ τίνα σεμνότερον καὶ ἁγιώτερον
εὕροι τις ἂν οἶκον ἐν τοῖς οὖσι θεῷ ἢ φιλοθεάμονα διάνοιαν, πάνθ'
252 ὁρᾶν ἐπειγομένην καὶ μηδὲ ὄναρ στάσεως ἢ ταραχῆς ἐφιεμένην; ὑπηχεῖ

---

1 μᾶλλον Hoesch.: lacuna in A ὡς ἂν εἴποι τις coni. Mang. 6 διῴκισται coni. Mang. 8 ῥύμη Mang.: ῥύμην A ῥύμη συνεχὴς μεθ' ὁρμῆς καὶ τάξεως φερομένη coni. Mang. λ et lacuna 6—8 litt. in A: ἐπαλλήλως vel ἀπαύστως e. gr. addo μεθ' ὁρμῆς ἐν scripsi: μεθορμίσαι A 9 ἀναχεῖ τε Mang.: ἀναχεῖται A γὰρ] δὲ Mang. 10 πόματος Hoesch.: πόταμος (sic) A 11 lacuna 3—4 litt., tum σατο A: ἠκρατίσατο vel ἐνεφορήσατο conicio, ἠρύσατο coni. Hoesch. 12 ἐπὶ τὸν del. Hoesch. 13 καὶ et ἐν fort. secl. 14 ὑμῶν scripsi: ἐν ὑμῖν A, sed cf. LXX et p. 202,16 16 προτεινούσῃ Hoesch.: προτείνουσι A 18. 19 ἄκρατον ὢν τὸ γάνωμα coni. Mang. 22 ὄντως A 23 κλήμασι A 24 ὀξυδορκούσῃ scripsi: ὀξυδορκοῦσι A lacuna 5—6 litt. A: τέλος (vel ἓν τέλος) supplevi δὲ cum Cantabr. S. Trin. secl. Mang. 25 ἀξιώτερον vel ἀξιοπρεπέστερον coni. Mang. 27 ἐφιεμένην] ἐπῃσθημένην coni. Mang. ὑπήχει A

δέ μοι πάλιν τὸ εἰωθὸς ἀφανῶς ἐνομιλεῖν πνεῦμα ἀόρατον καί φησιν·
ὦ οὗτος, ἔοικας ἀνεπιστήμων εἶναι καὶ μεγάλου καὶ περιμαχήτου πράγ-
ματος, ὅπερ ἀφθόνως — πολλὰ γὰρ καὶ ἄλλα εὐκαίρως ὑφηγησάμην
— ἀναδιδάξω. ἴσθι δή, ⟨ὦ⟩ γενναῖε, ὅτι θεὸς μόνος ἡ ἀψευδεστάτη 253
καὶ πρὸς ἀλήθειάν ἐστιν εἰρήνη, ἡ δὲ γενητὴ καὶ φθαρτὴ οὐσία πᾶσα
συνεχὴς πόλεμος. καὶ γὰρ ὁ μὲν θεὸς ἑκούσιον, ἀνάγκη δὲ ἡ οὐσία·
ὃς ἂν οὖν ἰσχύσῃ πόλεμον μὲν καὶ ἀνάγκην καὶ γένεσιν καὶ φθορὰν
καταλιπεῖν, αὐτομολῆσαι δὲ πρὸς τὸ ἀγένητον, πρὸς τὸ ἄφθαρτον, πρὸς
τὸ ἑκούσιον, πρὸς εἰρήνην, λέγοιτ' ἂν ἐνδίκως ἐνδιαίτημα καὶ πόλις
εἶναι θεοῦ. μηδὲν οὖν διαφερέτω σοι ἢ ὅρασιν εἰρήνης ἢ ὅρασιν θεοῦ 254
τὸ αὐτὸ ὑποκείμενον ὀνομάζειν, ὅτι δὲ τῶν πολυωνύμων τοῦ ὄντος
δυνάμεων οὐ θιασώτης μόνον, ἀλλὰ καὶ ἔξαρχός ἐστιν εἰρήνης.
(39.) καὶ Ἀβραὰμ μέντοι τῷ σοφῷ δώσειν φησὶ κλῆρον γῆς „ἀπὸ 255
τοῦ ποταμοῦ ⟨Αἰγύπτου ἕως τοῦ ποταμοῦ⟩ τοῦ μεγάλου Εὐφράτου"
(Gen. 15, 18), οὐ χώρας ἀποτομὴν μᾶλλον ἢ τὴν περὶ αὐτοὺς ἡμᾶς
ἀμείνω μοῖραν. Αἰγύπτου μὲν γὰρ ἀπεικάζεται ποταμῷ τὸ ἡμέτερον
σῶμα καὶ τὰ ἐν αὐτῷ καὶ δι' αὐτοῦ ἐγγινόμενα πάθη, τῷ δὲ
Εὐφράτῃ ⟨ψυχὴ⟩ καὶ τὰ φίλα ταύτῃ. δόγμα δὴ τίθεται βιω- 256
φελέστατον καὶ συνεκτικώτατον, ὅτι ὁ σπουδαῖος κλῆρον ἔλαχε ψυχὴν
καὶ τὰς ψυχῆς ἀρετάς, ὥσπερ ὁ φαῦλος ἔμπαλιν σῶμα καὶ τὰς σώμα-
τος καὶ διὰ σώματος κακίας. τὸ δὲ ἀπὸ δύο δηλοῖ, ἓν μὲν τὸ σὺν 257
ἐκείνῳ ἀφ' οὗ λέγεται, ἕτερον δὲ ⟨τὸ⟩ χωρὶς αὐτοῦ. ὅταν μὲν γὰρ
λέγωμεν ἀπὸ πρωίας ἄχρις ἑσπέρας ⟨ὥρας⟩ εἶναι δώδεκα καὶ ἀπὸ
νεομηνίας ἄχρι τριακάδος ἡμέρας τριάκοντα, συγκατατάττομεν τήν τε
p. 693 M. πρώτην ὥραν καὶ τὴν νεομηνίαν· ὅταν δέ τις ἀπὸ τῆς πόλεως φῇ |
τὸν ἀγρὸν ἀπέχειν σταδίους τρεῖς ἢ τέτταρας, δίχα τῆς πόλεως δήπου
φησίν. ὥστε καὶ νῦν τὸ „ἀπὸ τοῦ ποταμοῦ Αἰγύπτου" νομιστέον τὸ 258

3 εὐκαίρως Mang.: ἀκαίρως A 4 ὦ addidi 5 γεννητὴ A πᾶσα] οὐ D 8 ἀγέννητον A 9 ἂν per errorem om. Mang. 11 ὅτι δὲ A: ὅτι καὶ coni. Hoesch., ὅτι δὴ Mang., διότι conicio 12 θιασῶτις et εἰρήνη conicio (εἰρήνη iam Mang.) 14 Αἰγύπτου — ποταμοῦ add. Hoesch. 15 οὐ χώρας Hoesch.: οὐχ ὁρᾶς A 16 ἀμείνω] μηνύων coni. Mang. 17 αὐτοῦ Cohn (cf. lin. 21): αὐτὸ A 18 ψυχὴ addidi, ἡ ψυχὴ add. Hoesch. 21 ἀπὸ δύο Mang. (nisi quod δύο post δηλοῖ ponit, ἀπὸ iam Benzelius): αὐτὸ A τὸ Mang.: τῶ A 22 τὸ addidi 23 ὥρας add. Hoesch. 24 συγκατάττομεν A 26 prius τὸ] τῷ coni. Mang.

4—6 $D^{K}$ fol. $116^{r}$ ἐκ τοῦ περὶ τῶν ὀνείρων: μόνος ὅδε ἡ — πόλεμος.

χωρὶς ἐκείνου παραλαμβάνεσθαι· βούλεται γὰρ διοικίσας ἡμᾶς τῶν
σωματικῶν, ἅπερ ἐν ῥύσει καὶ φθορᾷ φθειρομένῃ καὶ φθειρούσῃ θεω-
ρεῖται, κλῆρον ψυχῆς λαβεῖν μετὰ τῶν ἀφθάρτων καὶ ἀφθαρσίας ἀξίων
259 ἀρετῶν. οὕτω μέντοι τὸ εἰκάσθαι ποταμῷ λόγον ἐπαινετὸν ἰχνηλα-
τοῦντες εὑρήκαμεν. ὁ δὲ ψεκτὸς αὐτὸς ἄρα ἦν ὁ Αἰγύπτιος ποταμός,
ἀνάγωγός τις καὶ ἀμαθής, ὡς ἔπος εἰπεῖν, ἄψυχος λόγος· οὗ χάριν καὶ
εἰς αἷμα μεταβάλλει (Exod. 7, 20), τρέφειν οὐ δυνάμενος — ὁ γὰρ
ἀπαιδευσίας λόγος οὐ πότιμος — καὶ εὐτοκεῖ μέντοι βατράχοις (Exod.
8, 6) ἀναίμοις καὶ ἀψύχοις, καινὸν καὶ τραχὺν ἦχον, ἄλγημα ἀκοῆς,
260 ἀπηχοῦσι. λέγεται δέ, ὅτι καὶ οἱ ἐν αὐτῷ πάντες ἰχθύες ἐφθάρησαν
(Exod. 7, 21), οἳ συμβολικῶς εἰσι τὰ νοήματα· ταῦτα γὰρ ἐννήχεται
καὶ ἐγγίνεται ὡς ἐν ποταμῷ τῷ λόγῳ, ζῴοις ἐοικότα καὶ ψυχοῦντα
αὐτόν· ἐν δὲ ἀπαιδεύτῳ λόγῳ τέθνηκε τὰ ἐνθυμήματα· συνετὸν γὰρ
οὐδὲν ἔστιν εὑρεῖν, ἀλλὰ κολῳῶν τινας ἀκόσμους καὶ ἀμετροεπεῖς, ὡς
εἶπέ τις, φωνάς.
261 (40.) Περὶ μὲν δὴ τούτων ἅλις. ἐπεὶ δὲ οὐ μόνον στάσιν καὶ
ποταμόν, ἀλλὰ καὶ χείλη ποταμοῦ φαντασιωθῆναι ὁμολογεῖ φάσκων·
„ᾤμην ἑστάναι παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ“ (Gen. 41, 17), ἀναγκαῖον
262 ἂν εἴη καὶ περὶ χείλους τὰ καίρια ὑπομνῆσαι. φαίνεται τοίνυν ἕνεκα
δυεῖν τῶν ἀναγκαιοτάτων ἡ φύσις χείλη ζῴοις καὶ μάλιστα ἀνθρώποις
ἁρμόσασθαι· ἑνὸς μὲν ἡσυχίας — ἔρυμα γὰρ ταῦτα καὶ φραγμὸς ὀχυ-
ρώτατος φωνῆς —, ἑτέρου δὲ ἑρμηνείας· διὰ γὰρ τούτων τὸ τῶν λόγων
νᾶμα φέρεται· συναχθέντων μὲν γὰρ ἐπέχεται, φέρεσθαι δ' ἀμήχανον
263 μὴ διαστάντων. ἐκ δὲ τούτου γυμνάζει καὶ συγκροτεῖ πρὸς ἄμφω, τὸ
λέγειν καὶ ἡσυχάζειν, ἑκατέρου τὸν ἁρμόττοντα καιρὸν παραφυλάττον-
τας. οἷον ἀκοῆς ἄξιόν τι λέγεται; πρόσεχε μηδὲν ἐναντιούμενος ἐν
ἡσυχίᾳ κατὰ τὸ Μωυσέως παράγγελμα, τὸ „σιώπα καὶ ἄκουε“ (Deut.
264 27, 9). τῶν γὰρ εἰς τὰς ἐριστικὰς γνωσιμαχίας ἀφικνουμένων οὐδ' ἂν

---

1 διοικήσας A, διοικισθέντας conicio  2 φορᾷ coni. Mang.  φθειρούσῃ Hoesch.: φθείρουσα A  3 ἀξιῶν A  4. 5 ἰχνηλατοῦντες Hoesch.: ὀχληλατοῦντες A  6 ⟨καὶ⟩ ὡς conicio  ⟨καὶ⟩ ἄψυχος coni. Mang.  9 ἀνέμοις A  11 ἐννήχεται scripsi: ἐνηχεῖται A, ἐννηχεῖται Mang.  12 ἐγγίνεται Hoesch.: ἐγγε-νεῖται A  14 κολῳῶν Hoesch.: κωλύων A  19 χειλῶν coni. Mang.  ὑπομνῆσαι Mang.: ὑπονοῆσαι A  20 δυοῖν v  21. 22 ὀχυρότατος A  23 νᾶμα φέρεται Mang.: ἀναφέρεται A  25 καὶ ⟨τὸ⟩ conicio  27 Μωσέως A

---

14 Hom. Il. B 212.

εἰς κυρίως οὔτε λέγειν οὔτ' ἀκούειν νομισθείη, τῷ δὲ μέλλοντι πρὸς
ἀλήθειαν * * * ὠφέλιμον. πάλιν ὅταν ἴδῃς ἐν τοῖς τοῦ βίου πολέ- 265
μοις καὶ κακοῖς τὴν ἵλεω τοῦ θεοῦ χεῖρα καὶ δύναμιν ὑπερέχουσαν
p. 694 M. καὶ προασπίζουσαν, ἠρέμησον· οὐ γὰρ δεῖται | συμμαχίας ὁ βοηθὸς
οὗτος. ἔστι δὲ καὶ τούτου δεῖγμα τὸ ἐν ταῖς ἱεραῖς ἀναγραφαῖς κατα-
κείμενον, τὸ „κύριος πολεμήσει ὑπὲρ ὑμῶν, καὶ ὑμεῖς σιγήσεσθε"
(Exod. 14, 14). ἐάν γε μὴν ἴδῃς τὰ γνήσια ἔγγονα καὶ πρωτότοκα 266
Αἰγύπτου φθειρόμενα (Exod. 11, 5), τὸ ἐπιθυμεῖν, τὸ ἥδεσθαι, τὸ λυ-
πεῖσθαι, τὸ φοβεῖσθαι, τὸ ἀδικεῖν, τὸ ἀφραίνειν, τὸ ἀκολασταίνειν καὶ
ὅσα τούτων ἀδελφὰ καὶ συγγενῆ, καταπλαγεὶς ἡσύχαζε, τὸ φοβερὸν τοῦ
θεοῦ κράτος ὑποπτήξας. „οὐ γὰρ γρύξει" φησί „κύων τῇ γλώσσῃ, 267
οὐδ' ἀπ' ἀνθρώπου ἕως κτήνους" (ibid. 7), ἴσον τῷ οὔτε τὴν κυνώδη
γλῶσσαν ὑλακτοῦσάν τε καὶ κράζουσαν οὔτε τὸν ἐν ἡμῖν ἄνθρωπον,
ἡγεμόνα νοῦν, οὔτε τὸ κτηνῶδες θρέμμα, τὴν αἴσθησιν, προσήκει
γαυριᾶν, ὅταν ἀναιρεθέντος τοῦ παρ' ἡμᾶς ὅλον ἔξωθεν τὸ συμμαχικὸν
αὐτοκέλευστον ὑπερασπιοῦν ἥκῃ. (41.) πολλοὶ δὲ συμβαίνουσι καιροὶ 268
μὴ ἐφαρμόζοντες ἡσυχίᾳ, τὰς δὲ καταλογάδην ῥήσεις ἐπιζητοῦντες·
ὧν πάλιν ἰδεῖν ἔστιν ἀνακείμενα ὑπομνήματα. πῶς; ἀγαθοῦ τις γέγονεν
ἀπροσδόκητος μετουσία; καλὸν οὖν εὐχαριστῆσαι καὶ τὸν ἐπιπέμψαντα
ὑμνῆσαι. τί οὖν τὸ ἀγαθόν; τέθνηκε τὸ ἐπιτιθέμενον ἡμῖν πάθος καὶ 269
πρηνὲς ἄταφον ἔρριπται; μὴ μέλλωμεν οὖν, ἀλλὰ ⟨χορὸν⟩ στησάμενοι τὴν
ἱεροπρεπεστάτην ᾄδωμεν ᾠδήν, παρακελευόμενοι λέγειν πᾶσιν· „ᾄσωμεν
τῷ κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς
θάλασσαν" (Exod. 15, 1). ἀλλὰ γὰρ ἡ μὲν τοῦ πάθους φθορὰ καὶ 270
μετανάστασις ἀγαθόν, ἀλλ' οὐ τέλειον ἀγαθόν· ἡ δὲ σοφίας εὕρεσις
ὑπερβάλλον καλόν· ἧς εὑρεθείσης ἅπας ὁ λεὼς οὐ καθ' ἓν μέρος
μουσικῆς, ἀλλὰ κατὰ πάσας αὐτῆς τὰς ἁρμονίας καὶ μελῳδίας ᾄσεται.
„τότε" γάρ φησιν „ᾖσεν Ἰσραὴλ τὸ ᾆσμα τοῦτο ἐπὶ τοῦ φρέατος" 271

---

2 lacuna 16—18 litt. A: ἀκούειν τὸ ἡσυχάζειν e gr. suppleo (cf. Quis rer. div. her. § 14) 3 ὑπερμαχοῦσαν bene coni. Mag. (cf. § 280) 4 ὑπερασπίζουσαν coni. Mang. 5 δεῖγμα τὸ scripsi: δείγματα A 5. 6 κατακείμενον A: κατακείμενα οἷον Hoesch., κείμενον conicio 7 γε scripsi: τε A 9 ἀφραίνειν Mang.: εὐφραίνειν A 11 γρυξῇ A φησί Mang.: φασί A 12 τὸ A 13 κράζουσαν scripsi: ἀράζουσαν A, γρύζουσαν coni. Mang. 15 ὅλου coni. Mang. 17 vulgo ante τὰς punctum ponebant; ideo Mang. lin. 18 post ὑπομνήματα lacunam statuit 20 ὑμνῆσαι τὸ ἀγαθόν. οἷον τέθνηκε coni. Mang. 21 οὖν scripsi: ὑμῖν A, ἡμεῖς Hoesch., ὑμνεῖν coni. Cohn χορὸν add. Mang. 24 φθορὰ Mang.: φορὰ A

(Num. 21, 17), λέγω δὲ ἐπὶ τῆς πάλαι μὲν κεχωσμένης, ἀναζητηθεί-
σης δὲ αὖθις καὶ ἐπὶ πᾶσιν ἀνευρημένης βαθείας τὴν φύσιν ἐπιστήμης,
272 ᾗ νόμος τὰς τῶν φιλοθεαμόνων ἄρδειν λογικὰς ἐν ψυχαῖς ἀρούρας. τί
δέ; ὅταν συγκομίσωμεν τὸν γνήσιον διανοίας καρπόν, οὐ παραγγέλλει
ἡμῖν ὁ ἱερὸς λόγος ὥσπερ ἐν καρτάλῳ (Deut. 26, 2. 4) τῷ λογισμῷ
τὰς ἀπαρχὰς τῆς εὐφορίας ὧν ἤνθησεν, ὧν ἐβλάστησεν, ὧν ἐκαρποφό-
ρησεν ἡ ψυχὴ καλῶν, ἐπιδεικνυμένους ἄντικρυς οὕτω ῥητορεύειν, τὰ
εἰς τὸν τελεσφόρον θεὸν ἐγκώμια λέγοντας· „ἐξεκάθηρα τὰ ἅγια ἀπὸ
τῆς οἰκίας μου“ (ibid. 13) καὶ ἐταμιευσάμην | ἐν τῷ τοῦ θεοῦ οἴκῳ, p. 695 M.
ταμίας καὶ φύλακας αὐτῶν ἐπιστήσας τοὺς ἀριστίνδην ἐπιλελεγμένους
273 πρὸς τὴν ἱερὰν νεωκορίαν. οὗτοι δέ εἰσι Λευῖται καὶ προσήλυτοι καὶ
ὀρφανοὶ καὶ χῆραι (ibid.)· οἱ μὲν ἱκέται, οἱ δὲ μετανάσται καὶ πρόσ-
φυγες, οἱ δὲ ἀπωρφανισμένοι καὶ κεχηρευκότες γενέσεως, θεὸν δὲ τὸν
τῆς ψυχῆς θεραπευτρίδος ἄνδρα καὶ πατέρα γνήσιον ἐπιγεγραμμένοι.
274 (42.) τοῦτον μὲν δὴ τὸν τρόπον καὶ λέγειν καὶ ἡσυχάζειν ἐμπρεπέστα-
τον. τὸ δὲ ἐναντίον μεμελετήκασιν οἱ φαῦλοι· καὶ γὰρ ἡσυχίας ἐπι-
λήπτου καὶ ἑρμηνείας ὑπαιτίου ζηλωταὶ γεγόνασιν, ἑκάτερον ἐπ' ὀλέθρῳ
275 ἑαυτῶν τε καὶ ἑτέρων συγκροτοῦντες. τὸ δὲ πλέον ἐστὶν αὐτοῖς τῆς
ἀσκήσεως ἐν τῷ λέγειν ἃ μὴ δεῖ· τὸ γὰρ στόμα διανοίξαντες καὶ
ἐάσαντες ἀχαλίνωτον, καθάπερ ῥεῦμα ἀκατάσχετον, φέρεσθαι τὸν ἀκρι-
τόμυθον, ᾗ φασιν οἱ ποιηταί, λόγον ἴᾱσι, μυρία τῶν ἀλυσιτελῶν
276 προσεπισύροντα. τοιγαροῦν οἱ μὲν ἐπὶ συνηγορίαν ἡδονῆς καὶ ἐπιθυμίας
καὶ πάσης πλεοναζούσης ὁρμῆς ἐτράποντο, ἄλογον πάθος ἐπιτειχίζοντες
ἡγεμόνι λογισμῷ, ⟨ἔτι δὲ⟩ καὶ ταῖς ἐριστικαῖς φιλονεικίαις ⟨ἐπ⟩αποδυσά-
μενοι συνεπλάκησαν, ἐλπίσαντες τὸ ὁρατικὸν πηρῶσαι γένος καὶ
κατὰ κρημνῶν καὶ βαράθρων, ἐξ ὧν οὐδ' ἂν ἔτι γένοιτο διαναστῆναι,
277 δυνήσεσθαι ῥῖψαι. ἔνιοι δὲ οὐ μόνον ἀντιπάλους ἑαυτοὺς τῆς ἀνθρωπίνης
ἀπέφηναν ἀρετῆς, ἀλλὰ καὶ τῆς θείας· ἐπὶ τοσοῦτον ἀπονοίας ἤλασαν.
τοῦ μὲν οὖν φιλοπαθοῦς ἔξαρχος ἀναγράφεται θιάσου τῆς Αἰγυπτίας

---

3 ᾗ Mang.: ἣν A, ἧς Hoesch. ἐμψύχους coni. Mang. 5 καρτάλῳ scripsi: καρτάλλῳ A 8 λέγοντας Hoesch.: λέγοντες A 10 φυλακὰς A 12 ἱκέται Hoesch.: οἰκέται A 14 θεραπευτρίδος ψυχῆς conicio 18 ⟨τῷ⟩ ἑαυτῶν conicio 21 ἡ A ἴᾱσι scripsi: ἐῶσι A 24 lacuna 5—6 litt. A: ἔτι δὲ supplevi 24. 25 ἐπαποδυσάμενοι Mang.: ἀποδυσάμενοι A 25 πηρῶσαι Mang. (et iam Cotelerius): πληρῶσαι A 26 βαράθρων Mang.: βάθρων A

---

20. 21 Hom. Il. B 246.

χώρας ὁ βασιλεύς, Φαραώ· λέγεται γὰρ τῷ προφήτῃ· „ἰδοὺ αὐτὸς
ἐκπορεύεται ἐπὶ τὸ ὕδωρ, καὶ στήσῃ συναντῶν αὐτῷ παρὰ τὸ χεῖλος
τοῦ ποταμοῦ“ (Exod. 7, 15). τοῦ μὲν γὰρ ἴδιον ἐπὶ τὴν φορὰν καὶ 278
ἀνάχυσιν ἀεὶ τοῦ ἀλόγου πάθους ἐξιέναι· τοῦ δὲ σοφοῦ πολλῷ ῥέοντι τοῖς
ὑπὲρ ἡδονῆς καὶ ἐπιθυμίας λόγοις ὑπαντιάσαι οὐ τοῖς ποσίν, ἀλλὰ τῇ
γνώμῃ, βεβαίως καὶ ἀκλινῶς, ἐπὶ τοῦ ποταμίου χείλους, τοῦτο δέ
ἐστιν ἐπὶ τοῦ στόματος καὶ τῆς γλώττης, ἅπερ ἦν ὄργανα λόγου·
παγίως γὰρ ἐπιβὰς αὐτοῖς δυνήσεται τὰς συνηγορούσας τῷ πάθει
πιθανότητας ἀνατρέψαι καὶ καταβαλεῖν. ὁ δὲ τοῦ ὁρατικοῦ γένους 279
ἐχθρὸς ὁ τοῦ Φαραὼ λαός ἐστιν, ὃς ἐπιτιθέμενος καὶ διώκων καὶ δου-
λούμενος ἀρετὴν οὐκ ἐπαύσατο, ἕως κακὰς ὧν διέθηκε τὰς ἀμοιβὰς
εὕρατο, πελάγει τῶν ἀδικημάτων καὶ τρικυμίαις, ἃς τὸ λυ⟨ττῶν πάθος⟩
p. 696 M. ἀνήγειρε, καταποντωθείς, | ὡς ὑπερβάλλουσαν θέαν καὶ νίκην ἀναντα-
γώνιστον καὶ χαρὰν ἐλπίδος μείζονα τὸν καιρὸν ἐνεγκεῖν ἐκεῖνον. διὸ 280
λέγεται· „εἶδεν Ἰσραὴλ τοὺς Αἰγυπτίους τεθνηκότας παρὰ τὸ χεῖλος
τῆς θαλάσσης“ (Exod. 14, 30). μεγάλη γε ἡ ὑπέρμαχος χείρ, ἀναγ-
κάζουσα παρὰ στόματι καὶ χείλεσι καὶ λόγῳ πίπτειν τοὺς τὰ ὄργανα
ταῦτα κατὰ τῆς ἀληθείας ἀκονησαμένους, ἵνα μὴ ὀθνείοις ἀλλὰ ἰδίοις
ὅπλοις οἱ καθ᾽ ἑτέρων ἀναλαβόντες αὐτὰ θνήσκωσι. τρία δ᾽ εὐαγγελί- 281
ζεται τῇ ψυχῇ τὰ κάλλιστα, ἓν μὲν ἀπώλειαν Αἰγυπτιακῶν παθῶν,
ἕτερον δὲ τὸ μὴ παρ᾽ ἑτέρῳ χωρίῳ, ⟨ἀλλὰ⟩ τῆς ἁλμυρᾶς καὶ πικρᾶς
πηγῆς, ὡς ἂν θαλάττης, χείλεσι, δι᾽ ὧν ὁ πολέμιος ἀρετῆς σοφιστὴς
λόγος ἐξεκέχυτο, τελευταῖον δὲ τὴν θέαν τοῦ πτώματος. μηδὲν γὰρ 282
ἀόρατον εἴη καλόν, ἀλλὰ πρὸς * * * καὶ λαμπρὸν ἥλιον ἄγοιτο· καὶ
γὰρ τοὐναντίον εἰς βαθὺ σκότος καὶ * * * ἄξιον τὸ κακόν. καὶ τοῦτο
μὲν μηδ᾽ ἐκ τύχης ἰδεῖν ποτε γένοιτο, τὸ δὲ ἀγαθὸν μείζοσιν ὀφθαλ-
μοῖς ἀεὶ περιαθροῖτο. τί δὲ οὕτως ἀγαθόν, ὡς ζῆσαι τὰ καλὰ καὶ
ἀποθανεῖν τὰ φαῦλα; (43.) τρεῖς τοίνυν ἦσαν οἱ τὴν τῶν λόγων 283
δεινότητα μέχρις οὐρανοῦ τείναντες. οὗτοι μελέτην κατὰ τῆς φύσεως,

---

2 παρὰ] ἐπὶ conicio ex LXX (cf. lin. 6 et De confus. lingu. § 29)    5 ἅπερ A λόγος A    9 πιθανότητος A    10 ἐπιτιθέμενος Mang.: ἐπιθέμενος A    12 εὕρατο (ἐκομίσατο coniciebam, ἐτίσατο coni. Mang., ἔτισε Hoesch.) πελάγει Cohn: ἐστρατοπελάγει A    12 λυ, tum lacuna 4—5 litt. A: λυττῶν πάθος supplevi, λυσσῶδες τῆς ψυχῆς Hoesch., ἄλογον πάθος Mang.    21 ἑτέρῳ χωρίῳ ἢ (ἀλλὰ scripsi) Mang.: ἑτέρων χωρίων A    22 πηγῆς] ψυχῆς conicio    23 ἐξεκέχυτο scripsi: ἐξέχυτο A    24 lacuna 8—10 litt. A: τὸ φῶς suppl. Hoesch., ἄσκιον φῶς conicio    25 lacuna 6—8 litt. A: νυκτὸς suppl. Hoesch., νύκτα fort. suppl. et αἰώνιον pro ἄξιον leg., νύκτα ἀκτέον coni. Mang., νύκτα πεσεῖν Cohn    26 ἰδεῖν Cotelerius: δεῖν A

μᾶλλον δὲ κατὰ τῆς ἑαυτῶν ψυχῆς ἐμελέτησαν φάσκοντες, μόνον εἶναι
τὸ αἰσθητὸν καὶ ὁρώμενον τοῦτο, οὔτε γενόμενόν ποτε οὔτ' αὖθις
φθαρησόμενον, ἀγένητον δὲ καὶ ἄφθαρτον, ἀνεπιτρόπευτον, ἀκυβέρνητον,
284 ἀπροστασίαστον. εἶτ' ἐπ' ἄλλοις ἄλλα συνθέντες ἐπιχειρήματα, δόγμα
ἀδόκιμον οἰκοδομοῦντες εἰς ὕψος οἷα πύργον ἐξῆραν. λέγεται γὰρ ὅτι
„ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν“ (Gen. 11, 1), συμφωνία τῶν τῆς ψυχῆς
μερῶν πάντων ἀσύμφωνος ἐπὶ τῷ κινῆσαι τὸ συνεκτικώτατον ἐν τοῖς
285 οὖσιν, ἀρχήν. τοιγαροῦν ἐλπίσαντας αὐτοὺς εἰς οὐρανὸν ταῖς ἐπινοίαις
ἀναδραμεῖσθαι ἐπὶ καθαιρέσει τῆς αἰωνίου βασιλείας ἡ μεγάλη καὶ
ἀκαθαίρετος καταβάλλει χείρ, καὶ τὸ οἰκοδομηθὲν δόγμα συνανατρέψασα.
286 κέκληται δὲ ὁ τόπος „σύγχυσις“, οἰκεῖον ὄνομα τῷ καινουργηθέντι
τολμήματι. τί γὰρ ἀναρχίας συγχυτικώτερον; οὐκ οἰκίαι μὲν ἀνηγε-
μόνευτοι προσκρουσμάτων γέμουσι καὶ ταραχῆς; ἀβασίλευτοι δ' ἐαθεῖ-
287 σαι πόλεις ὑπὸ ὀχλοκρατίας, ἐναντίου καὶ μεγίστου, φθείρονται; καὶ
χῶραι δὲ καὶ ἔθνη καὶ κλίματα γῆς, ὧν ἀρχαὶ κατελύθησαν, οὐ παλαιὰς
288 καὶ μεγάλας εὐδαιμονίας ἀπέβαλον; καὶ τί δεῖ | τὰ ἀνθρώπινα λέγεσθαι; p. 697 M.
οὐδὲ γὰρ αἱ ἄλλαι τῶν ζῴων ἀγέλαι, πτηνῶν, χερσαίων, ἐνύδρων,
ἄνευ τινὸς ἀγελάρχου συνεστᾶσιν, ἀλλὰ ποθοῦσι καὶ περιέπουσιν αἰεὶ
τὸν οἰκεῖον ἡγεμόνα, ὡς μόνον ἀγαθῶν αἴτιον, οὗ κατὰ τὴν ἀπουσίαν
289 σκεδάννυνται καὶ διαφθείρονται. εἶτ' οἰόμεθα τοῖς μὲν περιγείοις, ἃ
βραχυτάτη μοῖρα τοῦ παντός ἐστιν, ἀρχὴν μὲν ἀγαθῶν, ἀναρχίαν δὲ
κακῶν εἶναι αἰτίαν, τὸν δὲ κόσμον οὐ διὰ τὴν τοῦ βασιλεύοντος θεοῦ
290 προήγησιν εὐδαιμονίας τῆς ἄκρας πεπληρῶσθαι; δίκην οὖν ἁρμόττουσαν οἷς
ἐτίθεντο διδόασι· φύραντες γὰρ τὸ ἱερὸν περὶ * * * ἀναρχίας φυρόμενοι
ἐπεῖδον, συγχυθέντες οὐ συγχέαντες. ἕως δὲ οὔπω τιμωρίαν δεδώκασιν,
ὑπὸ φρενοβλαβείας φυσώμενοι τὴν μὲν τῶν ὅλων ἀρχὴν ἀνοσίοις λόγοις
καθαιροῦσιν, αὐτοὺς δὲ ἄρχοντας καὶ βασιλέας ἀναγράφουσι, τὸ ἀκα-
θαίρετον τοῦ θεοῦ κράτος γενέσει τῇ ἀδιαστάτως ἀπολλυμένῃ καὶ
291 φθειρομένῃ περιάπτοντες. (44.) ἐπιτραγῳδοῦντες γοῦν καὶ ἐπικομπά-
ζοντες εἰώθασιν οἱ καταγέλαστοι λέγειν ταῦτα· ἡμεῖς οἱ ἡγεμόνες,

---

3 ἀγέννητον A δὲ] τε coni. Cohn 10 καὶ secl. Mang. 14 ἀπὸ per errorem Mang. ὀχλοκρασίας A ὀχλοκρατίας τῆς αἰτίας κακῶν μεγίστων conicio (cf. lin. 21. 22) post μεγίστου lacunam statuit et κακοῦ suppl. Mang. 15 κλήματα A 16 καταλέγεσθαι conicio 20 εἰτ' A 23 προστασίαν conicio 23. 24 οἷς ἐπετίθεντο vel οἷς διετίθεσαν conicio 24 ἱερὸν ⟨δόγμα⟩ παρὰ ἀναρχίας coni. Mang. post περὶ lacunam statuo φυρόμενοι „ex Vat.“ Mang.: φυρόμενον A 27 καθαίρουσιν αὐτοὺς A 28 ἀδιαστάτως scripsi: ἀκαταστάτως A 29. 30 ἐπικομπάζοντες Mang.: ἐπιστομίζοντες A

ἡμεῖς οἱ δυναστεύοντες· ἐφ' ἡμῖν ὁρμεῖ τὰ πάντα· ἀγαθῶν καὶ τῶν
ἐναντίων τίνες αἴτιοι ⟨ὅτι μὴ⟩ ἡμεῖς; τὸ ⟨εὖ καὶ⟩ κακῶς ἐργάσασθαι
τίσιν ὅτι μὴ ἡμῖν ἀψευδέστατα ἀνάκειται; φλυαροῦσι δὲ ἄλλως οἱ
δυνάμεως ἀοράτου τὰ πάντα φάσκοντες ἐξῆφθαι, ἣν πρυτανεύειν τῶν
κατὰ τὸν κόσμον ἀνθρωπείων τε καὶ θείων νομίζουσι. τοιαῦτα κατα- 292
λαζονευσάμενοι, ἐὰν μὲν ὥσπερ ἐκ μέθης νήψαντες ἐν ἑαυτοῖς γένων-
ται καὶ τῆς παροινίας, ἣν παρῴνησαν, εἰς αἴσθησιν ἐλθόντες αἰδεσθῶσι
καὶ κακίσωσιν ἑαυτοὺς ἐφ' οἷς ὑπ' ἀγνώμονος γνώμης ἐξαμαρ-
τάνειν προήχθησαν, ἀκολακεύτῳ καὶ ἀδεκάστῳ χρησάμενοι συμβούλῳ
μετανοίᾳ, τὴν ἵλεω τοῦ ὄντος δύναμιν ἐξευμενισάμενοι παλινῳ-
δίαις ἀντὶ βεβήλων ἱεραῖς, ἀμνηστίαν εὑρήσονται παντελῆ. ἐὰν δὲ 293
ἀφηνιασταὶ καὶ σκληραύχενες μέχρι τοῦ παντὸς γενόμενοι σκιρτῶσιν, ὡς
αὐτόνομοι καὶ ἐλεύθεροι καὶ ἑτέρων ἡγεμόνες ὄντες, ἀπαραιτήτῳ ἀνάγκῃ
καὶ ἀμειλίκτῳ τὴν ἑαυτῶν ἐν ἅπασι μικροῖς τε καὶ μεγάλοις οὐδένειαν
αἰσθήσονται. ὁ γὰρ ἐπιβεβηκὼς ἡνίοχος ὡς ἅρματι πτηνῷ τῷδε τῷ 294
p. 698 M. | κόσμῳ χαλινὸν ἐμβαλὼν καὶ τὸ κεχαλασμένον τῶν ἡνιῶν ὀπίσω βίᾳ
τείνας καὶ τοὺς κημοὺς ἐπισφίγξας, μάστιξι καὶ κέντροις ἀναμνήσει τῆς
δεσποτικῆς ἐξουσίας, ἧς ἐπελάθοντο διὰ τὸ χρηστὸν καὶ ἥμερον τοῦ
κρατοῦντος ὥσπερ οἱ κακοὶ δοῦλοι. τὸ γὰρ τῶν δεσποτῶν ἐπιεικὲς εἰς 295
ἀναρχίαν ἐκτρέποντες ἐπιμορφάζουσι τὸ ἀδέσποτον, μέχρις ἂν τὴν
ῥοώδη τε καὶ πολλὴν αὐτῶν νόσον, ἀντὶ φαρμάκων τὰς τιμωρίας προσ-
φέρων, ὁ κεκτημένος ἐπισχῇ. διὸ λέγεται· „ψυχὴ ἄνομος ἡ διαστέλ- 296
λουσα τοῖς χείλεσι κακοποιῆσαι ἢ καλῶς ποιῆσαι· εἶθ' ὕστερον ἐξαγορεύ-
σει τὴν ἁμαρτίαν ἑαυτῆς" (Lev. 5, 4). τί φῄς, ὦ γέμουσα ἀλαζονείας;
οἶδας γάρ, τί ἐστι τὸ πρὸς ἀλήθειαν ἀγαθὸν ἢ καλὸν ἢ δίκαιον ἢ ὅσιον
ἢ τίνα τίσιν ἐφαρμόττει; ἡ τούτων ἐπιστήμη τε καὶ δύναμις ἀνάκειται 297

---

1 ὁρμεῖ Mang.: ὁρμᾷ A 2 τινὲς A lacuna 5—6 litt. A: ὅτι μὴ suppl. Mang., τούτων Hoesch. lacuna 4—5 litt. A: εὖ καὶ supplevi (εὖ ἢ Hoesch.) 7 παροινίας ἣν παρῴνησαν ex „Vat." et Cantabr. S. Trin. Mang.: παρανοίας ἣν παρη-νόμησαν A 8 κακίσωσιν scripsi: κακιῶσιν A ἑαυτοῖς A 9 προήχθησαν Mang.: προσήχθησαν A 10 μετανοίᾳ Mang.: μετανοίας A 11 βεβήλων ⟨λόγων⟩ coni. Mang. ἀμνηστείαν A 17 κημοὺς Mang.: κόσμους A μαστίξει A 19 εἰς A: ὡς Hoesch. 20 ἐκτρέποντος A 21 ἑρπη-νώδη coni. Mang. 23 κακοποιῆσαι Hoesch. καλῶς ποιῆσαι ex LXX scripsi: κακῶς ποιῆσαι A, κακοποιῆσαι Hoesch. 23. 24 ἐξαγορεῦσαι coni. Mang. 25 κακὸν v 26 τινὰ τισὶν A

---

15 cf. Platonis Phaedrum p. 246 E.

μόνῳ θεῷ, καὶ εἴ τις αὐτῷ φίλος. μάρτυς δὲ καὶ χρησμός, ἐν ᾧ
λέγεται· „ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω· πατάξω κἀγὼ ἰάσομαι“
298 (Deut. 32, 39). ἀλλὰ γὰρ οὐδὲ ἐπιπόλαιον ἔσχεν ἡ δοκησίσοφος ψυχὴ
τὴν τῶν ὑπὲρ ἑαυτὴν ὀνείρωξιν, ἀλλ' οὕτως ἡ δυστυχὴς ἐξηνεμώθη,
ὡς καὶ ἐνώμοτον γενέσθαι περὶ τοῦ βεβαίως καὶ παγίως ταῦθ' ἑστάναι,
299 ἃ ψευδῶς ὑπέλαβεν. ἐὰν οὖν τὸ παλμῶδες καὶ παφλάζον τοῦ νοσή-
ματος ἄρξηται χαλᾶν, τὰ τῆς ὑγείας ἐμπυρεύματα κατ' ὀλίγον ἐκζω-
πυρούμενα βιάσεται τὸ μὲν πρῶτον ἐξαγορεῦσαι τὸ ἁμάρτημα, τὸ δ'
ἐστὶ κακίσαι ἑαυτήν, εἶτα πρὸς βωμοῖς ἱκέτιν γενέσθαι, ποτνιωμένην
λιταῖς καὶ εὐχαῖς καὶ θυσίαις, ⟨αἷς⟩ ἀμνηστίας μόναις ἐπιλαχεῖν ἔστιν.
300 (45.) Ἑξῆς δ' ἄν τις εἰκότως ἐπαπορήσειε, τί δή ποτε τὸν
ἐν Αἰγύπτῳ ποταμὸν μόνον ἀνέγραψεν ἔχοντα χείλη, τὸν δ' Εὐφράτην
ἤ τινα τῶν ἄλλων ἱερῶν ποταμῶν οὐκέτι. ὅπου μὲν γάρ φησι· „στήσῃ
συναντῶν αὐτῷ παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ“ (Exod. 7, 15) * * *.
301 καίτοι τινὲς ἴσως ἐπιχλευάζοντες ἐροῦσι, μὴ δεῖν τὰ τοιαῦτα εἰς τὰς
ζητήσεις εἰσάγειν· γλισχρολογίαν γὰρ μᾶλλον ἢ ὠφέλειάν τινα ἐμφαίνειν.
ἐγὼ δὲ τὰ τοιαῦτα ἡδυσμάτων τρόπον παρηρτύσθαι ταῖς ἱεραῖς ἀνα-
γραφαῖς βελτιώσεως ἕνεκα τῶν ἐντυγχανόντων ὑπολαμβάνω· καὶ οὐδε-
μίαν τῶν ζητούντων καταγνωστέον εὑρεσιλογίαν, ἀλλ' εἰ μὴ ζητοῖεν,
302 ἔμπαλιν ἀργίαν. οὐδὲ γὰρ περὶ ποταμῶν ἐστιν ἱστορίας ἡ παροῦσα
σπουδή, περὶ δὲ βίων | τῶν εἰκαζομένων ποταμίοις ῥεύμασιν, ἐναντιου- p. 699 M.
μένων ἀλλήλοις. ὁ μὲν γὰρ τοῦ σπουδαίου βίος ἐν ἔργοις, ἐν λόγοις
δὲ ὁ τοῦ φαύλου θεωρεῖται. λόγος δὲ γλώττῃ καὶ στόματι καὶ χείλεσι
καὶ τοῖς * * *.

5 ἐνώμοτον Cotelerius: ἐνομότερον A 6 ἃ ψευδῶς Cotelerius: ἀψευδῶς A 10 αἷς addidi ἀμνηστίαις A μόνης v ἔτι coni. Mang. 11 ἐξ ἧς A 14 παρὰ] cf. ad p. 303,2 lacunam statui, sequebatur ὅπου δέ, tum alii S. S. loci 20 ἱστορία conicio 23 λόγοι coni. Mang. χείλεσι Mang.: χείλη A, χείλει Hoesch. 24 adnotat A τὸ τέλος λείπει. sequuntur in A tres lineae vacuae (fol. 456v), tum duo folia vacua numeris carentia.

# PHILONIS OPERA

# PHILONIS ALEXANDRINI

# OPERA QVAE SVPERSVNT

EDIDERVNT

LEOPOLDVS COHN ET PAVLVS WENDLAND

VOL. IV

CONTINENS DE ABRAHAMO
DE IOSEPHO
DE VITA MOSIS LIB. I
DE VITA MOSIS LIB. II
DE DECALOGO

BEROLINI

TYPIS ET IMPENSIS GEORGII REIMERI

MCMII

# PHILONIS ALEXANDRINI

## OPERA QVAE SVPERSVNT

VOL. IV

EDIDIT

LEOPOLDVS COHN

BEROLINI

TYPIS ET IMPENSIS GEORGII REIMERI

MCMII

# PROLEGOMENA

Praeter codices MAFGHP(L) in Prolegomenis voluminis primi descriptos in hoc volumine quarto codices adhibiti sunt CVOBEKZ, de quibus deinceps nobis dicendum est.

Atque C quidem nobis est codex Parisinus graecus 435 (olim Regius 2551) bibliothecae nationalis, membranaceus, formae maximae, foliorum 175, saeculo XI exaratus, quo continentur haec scripta Philonis: De codice C

1. Φίλωνος βίος σοφοῦ τοῦ κατὰ διδασκαλίαν τελειωθέντος ἢ νόμων ἀγράφων· ὅ ἐστι περὶ ἀβραάμ.
2. Φίλωνος βίος πολιτικοῦ ὅπερ ἐστὶ περὶ ἰωσήφ.
3. Φίλωνος περὶ τοῦ βίου μωσέως α' (*De vita Mosis* lib. I). explicit his verbis: τὰ μὲν δὴ κατὰ τὴν βασιλείαν πεπραγμένα αὐτῷ μεμόνηται: — (p. 199,16 huius editionis); quae sequuntur verba λεκτέον — βασιλείᾳ altera manu (c. saec. XIII) suppleta sunt in margine.
4. περὶ φιλανθρωπίας.
5. περὶ μετανοίας.
6. περὶ εὐγενείας. huius opusculi particula tantum descripta est. incipit: Οἶμαι τὴν εὐγένειαν. explicit: ὅστις ἂν καλῶν καὶ ἀγαθῶν γένηται γονέων: — (II 438,44—439,24 Mang.).
7. sequuntur excerpta tria e libro II *de vita Mosis* sine titulis:
   a) Μωϋσέως ἀναβάντος — λαχόντας ἱερωσύνην (p. 237,17—240,14 h. ed.).
   b) Τῷ πρώτῳ μηνὶ περὶ ιδ' ἡμέραν — πανταχόσε διαπεμψαμένης (p. 252,11—254,15).
   c) Ὅθεν εἰκότως — ἐσχατιὰ τῶν ἔργων ἐστίν (p. 255,17—257,2). adiunguntur haec verba, quae ἐκ τοῦ περὶ Φλάκκου λόγου deprompta esse librarius in margine adnotavit: Οἷς ἰσχὺς οὐ

πρόσεστι τῶν τὰς φύσεις τυραννικῶν, πανουργίαις τὰς ἐπιβουλὰς κατορθοῦσιν (*adv. Flacc.* p. 517,9—11 Mang.)· τῷ μὲν ἀγνοίᾳ τοῦ κρείττονος διαμαρτάνοντι συγγνώμη δίδοται· ὁ δ' ἐξ ἐπιστήμης ἀδικῶν ἀπολογίαν οὐκ ἔχει προεαλωκὼς ἐν τῷ τοῦ συνειδότος δικαστηρίῳ: (ibid. p. 518,27—30).

8. Φίλωνος ἀρετῶν α' ὅ ἐστι τῆς αὐτοῦ πρεσβείας πρὸς Γάϊον.
9. Φίλωνος ἱκέται ἢ περὶ ἀρετῶν δ' (*De vita contemplativa*). abrumpitur fol. 173ᵛ uno folio abscisso verbis προὐξένησεν οἰκειότατον (p. 486,10 Mang.).

scriptus est codex manu nitidissima, sed indocta. η et ι (vel ει) saepissime confunduntur: ut —ησ in clausula vocabulorum pro —ισ, in infinitivis —ην pro —ειν exaratum est. talia in apparatu critico singillatim non adnotavi. compendia scripturae fere nulla sunt exceptis eis quae antiquitus in usu communi fuerunt: θσ, ἄνοσ, οὐνόσ, sim. iota ἀνεκφώνητον plerumque omissum est, paucis locis adscriptum (ut μετῳκίσατο p. 11,23). ν paragogicum multis locis ante consonantem quoque principio scriptum fuit, sed postea erasum est. scripturae specimen extat in fronte libri *Philo about the contemplative life by Fred. C. Conybeare, Oxford 1895*. codicem iam a Turnebo et Mangeio adhibitum ipse denuo contuli Parisiis.

De codice V — V est codex Vindobonensis supplementi graeci 50, membranaceus, formae quadratae, foliorum 108, saeculo XII scriptus. fuit olim Joannis Alexandri Brassicani iureconsulti, tum bibliothecae Windhagianae, unde in bibliothecam Caesaream translatus est. insunt haec scripta:

1. Φίλωνος περὶ τοῦ βίου μωϋσέως: λόγος α'.
2. λόγος δεύτερος.
3. περὶ ἱερωσύνης: λόγος γ' (*De vita Mosis lib. III*).
4. Φίλωνος περὶ ἀρετῶν· ἤτοι ἀνδρείας καὶ εὐσεβείας καὶ φιλανθρωπίας καὶ μετανοίας (*De fortitudine*). in margine correctoris manu haec adnotata sunt: ὁ λόγος οὗτος ἀνακεφαλαίωσιν περιέχει τῶν ὄπισθεν εἰρημένων περὶ μωσέως ἤγουν βίου αὐτοῦ καὶ ἀρετῆς καὶ τῶν ἐκ θεοῦ πορισθέντων αὐτῷ χαρισμάτων.
5. Βίος πολιτικοῦ· ὅπερ ἐστὶ περὶ ἰωσήφ.

codex elegantissime scriptus, sed ab homine docto quodam saeculi XIII ab initio ad finem correctus vel potius pessime corruptus est. is enim

(cuius manum in apparatu critico nota V² significavi) sicubi verba scriptoris non percipiebat vel non apte dicta esse arbitrabatur, litteris nonnullis vel erasis vel mutatis vel additis vel superscriptis quavis fere pagina pristinam scripturam ita delevit, ut quid antea scriptum fuerit saepe dignosci nequeat; atque cum ingenio suo mediocri nimis indulgeret, coniecturis suis sententiam scriptoris permultis locis impudentissime pervertit ac pessumdedit. exemplis quibusdam rem illustrare liceat. p. 61,11 ὁ γὰρ τὴν ποιμενικὴν ἄκρος ἄριστος ἂν εἴη καὶ βασιλεύς V¹: ἄκρος in ἄριστος „correxit“ V², ut nunc legatur ἄριστος ἄριστος. 66,6 εἰ ἐπὶ γῆς ἐτάφης τῆς σῆς recte V¹: τῆς ὁσίας pro τῆς σῆς tentavit V². 68,12 προξένων (pro πράξεων) ἰδιότησι V¹: litteris προ erasis absurdum ξένων reposuit V². 77,21 in versu Euripidis in codicibus Philoneis quidem varie corrupto V² coniecit γῆς κύκλον ἴδῃς ἠρμένον πρὸς αἰθέρα, postquam librarii V¹ scripturam prorsus abolevit. 78,16 χρηστὸν μὲν οὐδὲν ἀλλ' οὐδ' ἐκ τύχης ὁρῶντες recte V¹ (ut videtur): ἀλλ' οὐδ' εὐμενὲς maluit scribere V². 93,19 καὶ οἷς ἂν προστάγμασιν εἰρηκότες V¹: haec verba sane corrupta temere V² corrigere conatus est, cum scriberet καὶ οἷς ἂν ὦσι πράγμασι προστετηκότες. 99,17 pro ἐξαιρέτους (sic V¹ ut videtur) V² cum ἐξαρκέσαι scriberet, tautologiam inculcavit repetens id quod scriptor verbis αἳ γένοιντ' ἂν ἱκαναί dixit. 119,9 mancam codicis scripturam διὰ φθόνον ἴσως οὐκ ὀλίγοις τῶν διατεταγμένων (V¹) corrector ita explevit, ut vocis ὀλίγοισ littera σ erasa et verbis δὲ καὶ διὰ τὴν in fine versus additis sententiam redderet διὰ φθόνον ἴσως· οὐκ ὀλίγοι δὲ καὶ διὰ τὴν τῶν διατεταγμένων . . . ἐναντίωσιν. 143,7 μηδεμιᾶς ἐνορωμένης ἐναυγοῦς λιβάδος V¹, ubi ἐναυγοῦς (post ἐνορωμένης) leviter corruptum est pro διαυγοῦς: quod cum nesciret quid sibi vellet, ἐναυγοῦς in ἐν αὐτοῖς temere correxit V². 170,15 καὶ πρὸς ἀπόγνωσιν ἤδη τραπομένων σωτηρίας λαβόμενος Μωυσῆς τὰ κατ' Αἴγυπτον ἐπετέλεσε σημεῖα V¹, ubi inter Μωυσῆς et τὰ verba τὴν ἱερὰν βακτηρίαν ἐκείνην, δι' ἧς omissa sunt: V² voce σωτηρίας in βακτηρίας mutata sententiam restituisse sibi visus est. 214,16 genuinam codicis scripturam κατὰ πρόθεσιν V² „correxit“ in κατ' ἐπιφροσύνην θείαν. 219,11 τῇ δὲ ἀνακάμπτει (αἴσθησις) πρὸς νοῦν ὑπηρέτις οὖσα φύσεως νόμοις αὐτοῦ V¹ recte: corrector cum haec verba male intellegeret, coniectura sua ναὶ μὴν καὶ (pro νόμοις) textum inquinavit. paucis locis ubi textus levi corruptela infectus facile sanari potuit, corrector verum vidit ac manum

scriptoris restituit: velut 86,12 προερχομένου pro περιερχομένου. 88,12 τῶν ante ἐκτός addidit. 90,13 fortasse recte ποιότησιν addidit; potest etiam vocabulo καὶ interposito locus emendari: χυλῶν ⟨καὶ⟩ ἀτμῶν ἰδιότησι. 99,4 ἐπὶ δυσμένειαν pro ἐπὶ δυσμενείᾳ. 132,24 προσδοκηθέντα pro προσδοκήσαντα. 219,18 εἷς δὲ καὶ ἥμισυς pro πέντε δὲ καὶ ἥμισυ. 241,2 ᾗ pro οἷς (idem Turnebus quoque emendavit). codicem bis liberalissime huc transmissum contuli.

A codice V pendent sex codices Philonei, duo saeculi XIV, quattuor saeculi XVI:

codex Venetus app. class. XI 31,
codex Laurentianus X 23,
codex Vindobonensis historicus graecus 81,
codex Leidensis suppl. gr. 105,
codex Leeuwardensis 40,
codex Monacensis gr. 19.

qui libri omnes e codice quodam fluxerunt, cuius librarius codicem V iam correctum adhibuit, id quod inde apparet, quod omnibus locis ubi V correctoris manum expertus est eorum codicum scriptura cum V² convenit. atque duo quidem libri qui primi nominati sunt omnino eadem quae V scripta Philonea eodem ordine exhibent. est autem codex Venetus app. class. XI 31, bombycinus, formae quadratae, foliorum 304, saeculo XIV litteris minutissimis multisque compendiis scriptus. in folio praefixo haec rubro scripta sunt a librario: ἡ βίβλος ἥδε μαρκιανοῦ λοισθίου: περιέχει δὲ Φίλωνα· ἐκκλησιαστικὴν κατ' ἐκλογὴν χρονιαίαν ἀκολουθίαν· καὶ ἐρωτήματα γραμματικῆς τέχνης μετὰ τῆς αὐτῶν κλίσεως· προσέτι δὲ καὶ ἕτερα διάφορα διὰ μέσου τινά: μαρκιανοῦ μονοτρόπου δρακονταρίου: — (idem nomen legitur fol. 272ᵛ: τέλος σὺν θεῷ τῆς κλίσεως τῶν ἐρωτημάτων: — μαρκιανοῦ δρακονταρίου μονοτρόπου: —). postea codicem Gaspari Contarini fuisse altera notitia narrat: *Questo codice era de Card^e. Gasparo Contarini nei risguardi al principio:* Βιβλίον τοῦτο τοῦ Γασπάρος Κονταρίνου. anno 1817 Morellio curante codex in bibliothecam Marcianam translatus est. fol. 1ʳ—80ʳ continentur haec scripta Philonis:

De codice Veneto app. cl. XI 31

1. Φίλωνος περὶ τοῦ βίου μωϋσέος λόγος α'.
2. λόγος δεύτερος.
3. περὶ ἱερωσύνης λόγος γ'.

4. Φίλωνος περὶ ἀρετῶν ἤτοι ἀνδρείας καὶ εὐσεβείας καὶ φιλανθρωπίας καὶ μετανοίας. in margine eadem adnotatio quae in V (v. supra).

5. βίος πολιτικοῦ ὅπέρ ἐστι περὶ ἰωσήφ.

Eorum codicum qui a V pendent unum in adnotatione critica memoravimus Laurentianum X 23 (O), de quo iám dixit Wendland in Prolegomenis voluminis tertii p. I—III. est codex, ut ea quae necessaria sunt breviter repetam, membranaceus, saeculo XIV scriptus, continet foliis 1—87ʳ quinque libros Philonis eosdem eodem ordine eisdemque titulis ac V et Venetus app. cl. XI 31, fol. 87ᵛ—116 librum περὶ τοῦ τίς ὁ τῶν θείων πραγμάτων κληρονόμος. in hoc ultimo libro codicem O (quoad prima manu exaratus est i. e. fol. 87ᵛ—95) textum praebere cum classe codicis A congruentem, in quinque libris prioribus ab hac plane discrepare iam monuit Wendland. duobus igitur exemplaribus in transcribendo librarius usus est, uno quod e V fluxerat in libris *de vita Mosis*, *de fortitudine*, de *Iosepho*, altero in libro *quis rerum divinarum heres sit*. sed cum codex Venetus app. cl. XI 31 ab initio ad finem cum V (et V²) omnino consentiat, exemplar illud quod librario codicis O praesto fuit non iam integrum videtur fuisse. nam in fine libri *de Iosepho* inde a fol. 78ᵛ non cum V consentit O, sed ad textum codicis A proxime accedit. hoc igitur loco (*de Iosepho* § 170 p. 97,16 ἕνεκα τῆς πρὸς τὸν ἀδελφὸν ἐπιβουλῆς) librarius ad alterum exemplum videtur transitum fecisse, quo etiam in libro *quis rerum divinarum heres sit* transcribendo usus est. quae res quamquam nullo indicio codicis O notatur, in dubium vocari non potest. nam cum semper in adnotatione critica consensum VO notatum reperias, inde ab hoc loco usque ad finem libri *de Iosepho* consensus AO cernitur: cf. 97,17. 98,1. 4. 6. 9. 10. 13 etc. codicem O contulit Wendland. de ceteris codicibus a codice V pendentibus infra dicendum erit. De codice O

Alterum genus codicum est BE(K). ac littera B quidem in hoc volumine significatur codex Venetus graecus 42, membranaceus, formae quadratae, foliorum 142, saeculo XII diligentissime scriptus. fuit olim cardinalis Bessarionis, ut fol. 1ʳ adnotatum est: *philonis quedam oraciones; liber b. Car̄ Tusculani;* φίλωνος λόγοι: —κτῆμα βησσαρίωνος χαρδηνάλεως τοῦ τῶν τούσκλων. insunt sex libri Philonis: De codice B

1. Φίλωνος περὶ τοῦ βίου μωσέως.

2. Φίλωνος περὶ τοῦ βίου μωσέως. γ'.
3. Φίλωνος περὶ τοῦ βίου μωσέως. λόγος β'.
4. περὶ ἀρετῶν· ἤτοι περὶ ἀνδρείας καὶ εὐσεβείας καὶ φιλανθρωπίας καὶ μετανοίας: περὶ ἀνδρείας: *(De fortitudine)*.
5. βίος τοῦ πολιτικοῦ· ὅπέρ ἐστι περὶ ἰωσήφ.
6. τοῦ αὐτοῦ βίος κατὰ διδασκαλίαν τελειωθέντος· ἢ νόμος ἀγράφων *(De Abrahamo)*.

compendiis codex fere caret exceptis communibus illis θσ, θυ, χσ, χυ, πρσ, πνσ et similibus. iota mutum saepe adscriptum est: ἐκείνωι, ἀπήιεσαν, τῶι, οἰκτρῶι, τῆι ἡμέραι, ἀφήιρηνται, σῶιον, ἐκδεδιηιτημένος, θεσπίζηι, ἐπ' ἀχαριστίαι etc. librarii errores quidam correcti sunt ab ipso ut videtur, non altera manu. codicem a me primum adhibitum contuli Venetiis. codicis B apographum est codex Barberinus V 52, chartaceus, saec. XV, quo continentur Ὠριγένους ἐκ τῶν εἰς τὸ κατὰ ματθαῖον εὐαγγέλιον ἐξηγητικῶν τόμος δέκατος, deinde sex scripta Philonis eadem quae in B. *de vita Mosis* librum I contulit Wendland, unde apparuit codicem descriptum esse e codice B et correctum e codice quodam classis V, fortasse ex Veneto app. cl. XI 31. cum codice B cohaeret etiam codex miscellaneus Vallicellianus F 9, qui fol. 290ᵛ—294ᵛ initium tantum libri *de Abrahamo* usque ad p. 6,8 προβεβλῆσθαι exhibet.

De codice E E nobis est codex Oxoniensis collegii Lincolniensis 34, membranaceus, formae maximae, foliorum 280, saec. XI—XII duabus manibus scriptus. constat e duabus partibus, quarum priore (fol. 1—140) a Cosma quodam exarata Θεοδωρίτου περὶ προνοίας δεκάλογος continetur, posteriore (fol. 141—280) sex libri Philonis:

1. Φίλωνος περὶ τοῦ βίου μωσέως.
2. Φίλωνος περὶ τοῦ βίου μωσέως· γ'.
3. Φίλωνος περὶ τοῦ βίου μωσέως λόγος β'.
4. περὶ ἀρετῶν· ἤτοι περὶ ἀνδρίας καὶ εὐσεβείας καὶ φιλανθρωπίας καὶ μετανοίας: —περὶ ἀνδρίας.
5. βίος τοῦ πολιτικοῦ· ὅπέρ ἐστι περὶ ἰωσήφ.
6. τοῦ αὐτοῦ βίος κατὰ διδασκαλίαν τελειωθέντος, ἢ νόμος ἀγράφων. in fine unum folium interiit, codex abrumpitur verbis γνῶσις εὐσεβείας, κλῆρος (*De Abrah.* § 268 p. 58,20).

codex diligentissime scriptus est, compendia raro adhibita sunt, velut

θσ̄, χσ̄, ὀυνοσ̄, ἄνοσ̄, πρ̄ὶ τ̑ ὅλ̑ (πατρὶ τῶν ὅλων), πασ̆ (πάσας), ὄντ̊ (ὄντος), σρ̄ί̆ (σωτηρίας) et similia. iota mutum omissum est in libris *de Iosepho* et *de Abrahamo*, ubique fere adscriptum in libris *de vita Mosis* et *de fortitudine:* velut συμβούλωι, ἐπιπόνωι, ἑαυτῶι, εἰρήνηι, ψυχῆι, κωμωιδίας, παππώιας, ζώιοις, ἀνήιρηκεν. ν paragogicum multis locis principio scriptum fuit, sed semper fere erasum. codex iam a Mangeio adhibitus a me collatus est Oxonii.

Codices BE fere gemelli sunt atque ex eodem exemplari videntur transcripti esse: id iam inde efficitur, quod uterque *de vita Mosis* libros III et II qui feruntur ordine inverso tradit. quamquam vero consensus est maximus, utriusque tamen lectiones in apparatum criticum recipiendas esse duxi cum propter parem dignitatem tum quia suas uterque habet proprietates et corruptelas, ut interdum quid in archetypo scriptum fuerit nisi utroque collato non possit cognosci. velut p. 2,15 παρὰ διδασκάλους E, παρὰ διδασκάλων B praebet: videtur in archetypo clausula (fortasse abbreviata) non satis dilucide scripta fuisse, ut alter librarius διδασκάλους alter διδασκάλων legere sibi videretur. 8,9 τάξεις B: πράξεις recte E. 16,14 ἐλευθέροις B: ἐλευθέραις recte E. 21,13 ὁρατὸν corr. B: ἀόρατον E. 23,12 συμβολικῶς recte B: συμβουλικῶς E. 25,3 κακίαν recte B: κακία E.

Hoc loco revertendum est ad quattuor codices illos, quos praeter Venetum app. cl. XI 31 et codicem O a codice V pendere supra diximus. codex Vindobonensis hist. gr. 81 (cum codice 80 a bibliopego colligatus), chartaceus, formae quartae, foliorum 194, saec. XV exeunte vel XVI ineunte manu Arsenii (Monembasiae archiepiscopi) scriptus, continet haec scripta Philonis:

De Vindob. hist. gr. 81 Leidensi suppl. gr. 105 Leeuwardensi 40 Monacensi gr. 19

1. Φίλωνος περὶ τοῦ βίου μωϋσέος: λόγος α'.
2. λόγος δεύτερος.
3. περὶ ἱερωσύνης, λόγος γ'. inter fol. 106 et 107 quaternio videtur intercidisse, quo facto finis libri III *de vita Mosis*, totum opusculum *de fortitudine*, et initium libri *de Iosepho* periisse indicanda sunt. desinit fol. 106ᵛ verbis τοιοῦτος μὲν ὁ βίος, τοιαύτη δὲ καὶ ἡ τελευτὴ τοῦ βασιλέως καὶ νομοθέτου (*de vita Mosis* II § 292 p. 268,18), incipit fol. 107ʳ verbis τοῖς ἀδελφοῖς ἀνέφερεν (*de Iosepho* § 8 p. 63,1).

4. *De Iosepho.*

5. Φίλωνος βίος κατὰ διδασκαλείαν τελειωθέντος ἢ νόμος ἀγράφων.

codex Leidensis suppl. gr. 105 (olim Claromontanus 198, tum Meermannianus 375), chartaceus, formae quartae, foliorum 115, saec. XVI (cf. Geel, Catal. libr. mss. qui inde ab anno 1741 bibliothecae Lugduno-Batavae accesserunt p. 30), continet haec:

1. Φίλωνος περὶ τοῦ βίου μωϋσέος: λόγος α'.
2. λόγος δεύτερος.
3. περὶ ἱερωσύνης: λόγος γ'.
4. Φίλωνος περὶ ἀρετῶν· ἤτοι ἀνδρείας καὶ εὐσεβείας καὶ φιλανθρωπίας καὶ μετανοίας *(De fortitudine).* in margine idem scholion quod in V.
5. βίος πολιτικοῦ, ὅπερ ἐστὶ περὶ ἰωσήφ.
6. Φίλωνος βίος κατὰ διδασκαλείαν τελειωθέντος ἢ νόμος ἀγράφων.

codex Leeuwardensis 40 (bibliothecae provincialis Frisiae), olim Pelicerianus 136, deinde Claromontanus 199, tum Meermannianus 376, ex venditione Meermanniana emptus a Iacobo Amersfoordt et ab eius vidua bibliothecae Leeuwardensi donatus, chartaceus, formae maximae, foliorum 281, saec. XVI, constat e duabus partibus, quarum prior (fol. 1—146) duodecim libros Philonis continet, quorum textus ad classem H pertinet: cf. quae dixi in Prolegomenis voluminis primi p. XV; altera parte (fol. 147—281) haec descripta sunt:

1. Φίλωνος περὶ τοῦ βίου μωϋσέως λόγος α'.
2. λόγος δεύτερος.
3. περὶ ἱερωσύνης. λόγος γ'.
4. βίος πολιτικοῦ ὅπέρ ἐστι περὶ ἰωσήφ.
5. Φίλωνος περὶ ἀρετῶν ἤτοι ἀνδρείας καὶ εὐσεβείας καὶ φιλανθρωπίας καὶ μετανοίας. in margine idem scholion quod in V.
6. Φίλωνος βίος κατὰ διδασκαλείαν τελειωθέντος· ἢ νόμος ἀγράφων. desinit fol. 274ʳ supra. sequitur fol. 276ʳ iterum
7. Φίλωνος περὶ ἀρετῶν ἤτοι ἀνδρείας καὶ εὐσεβείας καὶ φιλανθρωπίας καὶ μετανοίας.

codex Monacensis graecus 19, chartaceus, formae maximae, foliorum 496, saec. XVI, foliis 378—496 continet haec Philonea:

1. Φίλωνος περὶ τοῦ βίου μωϋσέως· λόγος α'.

2. λόγος δεύτερος.
3. περὶ ἱερωσύνης, λόγος γ'.
4. Φίλωνος περὶ ἀρετῶν· ἤτοι ἀνδρείας καὶ εὐσεβείας καὶ φιλανθρωπίας καὶ μετανοίας.
5. βίος πολιτικοῦ ὅπέρ ἐστι περὶ ἰωσήφ.
6. Φίλωνος βίος κατὰ διδασκαλίαν τελειωθέντος· ἢ νόμος ἀγράφων.

hi codices quattuor nihil valent ad textum Philonis recensendum vel emendandum: in quinque prioribus libris *de vita Mosis*, *de fortitudine*, *de Iosepho*, omnino pendent, ut iam dixi, a correcto codice V et ex apographo eius codicis descripti sunt; in libro *de Abrahamo*, qui liber in codice V eiusque apographis deest, plane consentiunt cum textu codicum BE et e codice B vel apographo eius videntur esse transcripti.

Ad codices BE proxime accedit codex Laurentianus conv. soppr. 59 (K), chartaceus, formae octavae, foliorum 212, saeculo XIV exaratus. continet fol. 26—212 scripta Philonea, quorum de parte posteriore (fol. 187—212) dixi in Prolegomenis voluminis primi p. XXVII sq., in parte priore (fol. 26—184) haec extant: De codice K

1. λόγος δεύτερος (*de vita Mosis* qui fertur liber II). sequitur fol. 33r linea vacua relicta sine titulo (a rubricatore supplendo)
2. *de vita Mosis* qui fertur liber III.
3. Φίλωνος περὶ τοῦ βίου μωϋσέως λόγος α'.
4. βίος τοῦ πολιτικοῦ ὅπέρ ἐστι περὶ ἰωσήφ.
5. τοῦ αὐτοῦ βίος τοῦ [σοφοῦ] κατὰ διδασκαλίαν τελειωθέντος ἢ νόμος [ων] ἀγράφων: ὅ ἐστι περὶ ἀβραάμ (verba σοφοῦ et ὅ ἐστι περὶ ἀβραάμ addita sunt postea).
6. Φίλωνος περὶ ἀρετῶν ἤτοι περὶ ἀνδρείας καὶ εὐσεβείας καὶ φιλανθρωπίας καὶ μετανοίας: περὶ ἀνδρείας (*De fortitudine*). in margine idem scholion quod in V. desinit fol. 184v his verbis: πίστις δὲ τῆς ἐκ θεοῦ συμμαχίας τό τε ὑπ' ὀλίγων πολλὰς (II p. 383,16 Mang.). post fol. 184 duo folia interciderunt (185. 186), quibus finis opusculi *de fortitudine* et initium *legum allegoriarum* libri primi abrepta sunt.

forma textus ac dignitas huius codicis in singulis libris diversa est. in 1 et 2 i. e. in libro *de vita Mosis* II plane consentit K cum codicibus VO,

etiam eis locis ubi V correctus est, unde efficitur codicem K in hac parte vel ex ipso V iam correcto vel ex apographo eius descriptum esse. in libro primo *de vita Mosis* (3) singularem textus formam (una cum Z) praebet K. librorum *de Iosepho*, *de Abrahamo*, *de fortitudine* (4. 5. 6) textus artiore necessitudine coniunctus est cum codicibus BE. sed in libris *de vita Mosis* primo et *de Iosepho* et *de fortitudine* correctoris manus occurrit (in apparatu critico nota $K^2$ significata), quae dubito an non diversa sit a librarii manu, eiusdem certe aetatis fuit. fol. $150^r$ quod primi versus sex a librario vacui relicti a correctore postea perscripti sunt (*de Abrah.* § 69 p. 17,2—8 (περι)έχουσιν — πεποιηκότι), correctoris manum diversam fuisse demonstrare videtur. sunt autem quae probent librarium et correctorem eundem fuisse. nam is qui textum eorum librorum corrigere conatus est, aliquo codice usus est cum classe codicum VO conspirante. iam vero cum librarius ipse *de vita Mosis* librum II e codice eius generis transcripserit, eum qui codice eiusdem classis in corrigendis aliis libris usus est a librario non diversum fuisse consentaneum videtur. atque uno loco quidem hoc certo concludendum mihi videtur: nempe cum corrector correctiones ex altero exemplari depromptas superscribere soleat, *de Iosepho* § 27 p. 67,7 pro καίνωσιν, quod in primario fonte sine dubio extabat, coniecturam in $V^2$ traditam κακῶν librarius in textum recepit ac de suo ἵν' ᾗ videtur addidisse. itaque, si recte se habent quae exposui, librarius codicis K in ea de qua agitur parte duobus exemplaribus usus est, uno cum classe codicum BE cognato in eis libris transcribendis, quos numeris 3—6 supra notavi, altero quod e codice V fluxerat in textu perscribendo libri II *de vita Mosis* et in corrigendis libris *de vita Mosis* I, *de Iosepho*, *de fortitudine*. primarium igitur exemplar *de vita Mosis* librum II continuisse non videtur, in altero exemplo quippe a codice V pendente liber *de Abrahamo* (in quo codex K correctionibus caret) non extabat. ceterum locis nonnullis librarius ipse ubi scribens erraverat superscripta vera

σαντος ας
lectione errorem suum correxit: velut p. 22,5 λιμνάζοντος. 49,13 ὕλης.
ῆ σεως γρ. τὴν πόλιν
49,16 ἐραστὴν. 97,20 τοῖς ἀξίοις κολάζεσθαι. 107,25 εἰς αἴγυπτον.
γεγονό η ὕφαινον
110,20 φύντες. 118,11 ἐργασαμένω. 120,7 συνεισέφαινον. 121,5 ἀρχη-

γέτης ... εν ... ον ... γρ. ὑπειπὼν ... ἔθει
γενέτης. 122,11 πάθει. 126,21 βίοτον. 139,18 ὑπὸ τῶν. 142,2 ἔθνει.
προέρχεσθαι
179,12 πορεύεσθαι. codicem ante me non adhibitum contuli Florentiae.

Textus codicis K, quem maxime cognatum esse codicibus BE dixi, longius ab his distat in libro primo *de vita Mosis*. atque in hoc uno libro socios habet tres codices: Mazarinaeum, Coislinianum 384, Laurentianum XI 13, ex quibus unius Mazarinaei utpote antiquissimi scripturae diversitatem in adnotationem criticam recipiendam esse duxi, reliquos duos omisi, quoniam nihil eos novi praebere intellexi. continet autem codex Coislinianus 384, bombycinus saec. XIV, inter alia fol. 212—236 unum Philoneum *de vita Mosis* librum primum, cuius collationem Francisco Cumont debeo. codex Laurentianus XI 13, quem ipse inspexi, chartaceus saec. XIV, fol. 2ʳ—33ʳ tradit eundem librum. denique codex Mazarinaeus 1310(Z) in bibliotheca quae *Mazarine* vocatur Parisiis asservatus, bombycinus, formae octavae, foliorum 34, saec. XIII, nihil nisi Philonis *de vita Mosis* librum primum exhibet sine titulo, praefixo solo nomine φίλωνος paene evanido. cf. H. Omont, *Inventaire sommaire des mss. gr. de la bibl. nat.* III p. 349. hunc codicem in usum meum olim contulit S. Reiter. ordo foliorum codicis Z nunc valde turbatus est. comprehendit codex tres quaterniones (α′ β′ γ′) et unum quinionem (δεκάφυλλον), qui hoc ordine succedunt: quaternio I = fol. 1—8; quaternio II = fol. 10—17; quaternio III = fol. 9 et 27—33; quinio = fol. 26. 18—25. 34. textus omnino consentit cum codice K, nisi quod locis nonnullis socors librarius menda commisit, quibus K et Coislinianus (et Laur. XI 13) carent: ut p. 122,6 τροφῆς ἡμετέρου primum per errorem scripsit pro ἡμέρου (sic K Coisl.), deinde correxit ἡμετέρας. 124,9 τὴν post τῶν omittit. 125,13 παρ' Αἰγυπτίων παρελάμβανε pro ἀνελάμβανε. 125,15 διαφερόντως pro διαφέρονται. 129,1 ὑπ' ἄλλοις pro ἐπ' ἄλλοις. 132,20 ταῖς προτέραις ἠκούσαις pro πρότερον. 136,11 ὁμοθύμους pro ὠμοθύμους.

De codice Z

Atque haec quidem hactenus de novis subsidiis, quibus in textu librorum huius voluminis constituendo et emendando usus sum. nunc pauca dicenda sunt de aliis tribus codicibus, quorum lectiones in apparatu critico non esse enotandas existimavi. primus est codex bibliothecae

De codice Urbinate 125

Vaticanae Urbinas graecus 125, bombycinus, formae quartae, foliorum 309, saeculi XIII—XIV; continet fol. 214—229ᵛ et fol. 230—277 scripta Philonea haec:

1. Φίλωνος περὶ τῶν ἀναφερομένων ἐν εἴδει νόμων εἰς δύο γένη τῶν δέκα λογίων, τὸ ἕκτον καὶ τὸ ἕβδομον, τὸ κατά τε μοιχῶν καὶ παντὸς ἀκολάστου καὶ τὸ κατὰ ἀνδροφόνων καὶ πάσης βίας (*De specialibus legibus* lib. III). sequitur (fol. 229ᵛ med.) ἀριστείδου ῥήτορος ἐκ τοῦ ἀπελλᾶ γενεθλιακοῦ.
2. Φίλωνος περὶ μωϋσέος λόγος πρῶτος.
3. περὶ τῆς τοῦ μωϋσέος νομοθετικῆς λόγος δεύτερος (*De vita Mosis* qui fertur lib. II).
4. περὶ τῆς τοῦ μωϋσέος ἱερωσύνης λόγος τρίτος (*De vita Mosis* qui fertur lib. III).
5. περὶ ἀρετῶν ἤτοι ἀνδρείας καὶ εὐσεβείας καὶ φιλανθρωπίας καὶ μετανοίας (*De fortitudine*). in fine subscriptio haec: τέλος τοῦ περὶ ἀρετῶν ἤτοι ἀνδρείας καὶ εὐσεβείας καὶ φιλανθρωπίας καὶ μετανοίας. adiungitur idem scholion quod in initio habet V.

praeterea fol. 306ᵛ et fol. 308ᵛ excerpta quaedem ex aliis libris Philonis leguntur: cf. vol. I p. LIX. librarius codicis Urbinatis duo vel etiam tria diversa exemplaria ad manum videtur habuisse. textus enim *de vita Mosis* libri primi congruit fere cum classe codicum BE(MA), sed aliquot locis vel superscriptas vel in margine correctiones exhibet, quae partim ad codices HP partim ad classem VO pertinent. in libro II *de vita Mosis* codex eandem fere textus formam praebet quam classis FGHP, sed interdum rursus secundum classem VO correctus est. ceterum sua vitia habet neque ad textum Philonis emendandum quicquam valet.

De codice Veneto 41

Alter codex ex apparatu critico huius voluminis exclusus est Venetus graecus 41 (chart. saec. XIV), quem in Prolegomenis voluminis primi p. X sq. ad codicum familiam A pertinere dixi. is tamen in libris *de Iosepho* et *de vita Mosis* diversam ab A praebet recensionem. exhibet eos libros in initio codex his titulis:

1. Φίλωνος ἰουδαίου βίος πολιτικὸς ὅπερ ἐστὶ περὶ τοῦ ἰωσήφ.
2. τοῦ αὐτοῦ περὶ τοῦ βίου μωσέως (lib. I)
3. τοῦ αὐτοῦ φίλωνος ἰουδαίου περὶ τοῦ βίου καὶ αὖθις μωσέως (lib. II).
4. τοῦ αὐτοῦ φίλωνος ἰουδαίου περὶ τοῦ βίου μωσέως (lib. III).

textus libri *de Iosepho*, quamquam titulus idem est atque in A, non tamen per omnia cum codice A consentit, sed in multis ad textum codicis K proxime accedit. at librarium ipsum duobus exemplaribus usum esse verisimile non est, videtur potius codex ab eo adhibitus iam mixtus fuisse. in libro I *de vita Mosis* plane congruit cum codicibus KZ, in libro II eiusdem operis proxime accedit ad codices BEM. ceterum praeter corruptelas ex archetypo transcriptas codex multa vitia praebet ab ipso librario commissa.

Tertius hoc loco nominandus est codex bibliothecae Vaticanae Palatinus graecus 152, chartaceus, saec. XIV (cf. Stevenson, Codd. mss. Palat. gr. p. 82), quem cum Laurentiano LXIX 11 et Veneto 41 artissime coniunctum esse in Prolegomenis vol. I p. XXX dixi. is secundo loco fol. 39ʳ—69ʳ *de vita Mosis* librum III (non I, ut errore ductus ibi scripseram) hoc titulo tradit: τοῦ αὐτοῦ Φίλωνος ἰουδαίου περὶ τοῦ βίου μωσέως. in hoc libro non minus quam in ceteris omnino consentit cum Veneto 41, textus igitur idem est quem codices BEM praebent, vitia ad unum omnia eadem quae in Veneto 41. De Palatino 152

Haec hactenus de codicibus in hoc volumine adhibitis. iam de pretio et dignitate singulorum codicum vel generum ac de necessitudine, quam inter se habent et cum aliis codicibus, nonnulla dicenda sunt. quod in Prolegomenis vol I p. XLI statui, nullum extare codicem vel genus codicum ceteris omnibus ita praeferendum, ut recensio Philonis eo niti possit, id et libris in voluminibus II et III editis comprobatum est et de hoc volumine valet. duodecim vel tredecim codicum, quibus in his libris recensendis usus sum, suam quisque habet praestantiam, sua quisque vitia. atque C quidem, cum vetustate ceteros codices superet, non tamen textus integritate ac bonitate omnibus praestat. aliquot locis sane quidem unus omnium genuinam vel optimam scripturam nobis suppeditavit: ut p. 16,7 ἐλχθέντες C: ἐλεγχθέντες ceteri. 31,4 ἀπαυχενίζουσι τὸν τῆς φύσεως νόμον C: ἀπ. τῶν τῆς φύσεως νόμων ceteri. 34,11 ἐπτόηται C: πεπόνηται ceteri. 41,11 συγκαταφλεχθῆναι C: συναναφλεχθῆναι ceteri. 54,13 ἐκ τῆς οἰκείας C: ἐκ τῆς οἰκίας ceteri. 55,20 καινουμένην C: κινουμένην ceteri. 66,13 ὀλιγοχρόνιος C: ὀλιγοχρονιώτατος ceteri. 78,18 ἐξ ἀθλητικῆς ἄσκησιν C: ἐξ ἀσκητικῆς ἄσκησιν ceteri. 88,9 οὐ κάλλος C: οὐ om. ceteri. 104,1. 2 ζῇ καὶ ὑγιαίνει C: De codicum dignitate

ζῇ καὶ om. ceteri. sed multis locis textum praebet valde corruptum vel inutilibus coniecturis tentatum: ut 4,3 σήψεων pro σητῶν. 10,13 ἀνερχόμεναι pro ἀναχεόμεναι. 11,14 γενεᾶς pro νέας. 12,4 ἐπινοησάντων pro ἐπιποθησάντων. 14,12 κατάστασιν pro στάσιν et αὐτῆς pro ἀνάντεις. 15,14 ἰδιωμένων pro ἡνωμένων. 15,18 κακοπραγίας ὧν pro κακοπραγιῶν. 22,14 παρακρατεῖται pro παρ' ἀκρατεῖ τε. 37,7 ἐπὶ τὴν ἀφανεστάτην διάνοιαν pro ἐπὶ τὰ φανέντα τὴν διάνοιαν. 42,15 post lacunam maiorem ad sententiarum conexum restituendum C addidit verba οἱ δὲ φόβῳ τῷ ἀπ' ἀνθρώπων et verba tradita οὐδὲ φόβος τις ἦν ἀπ' ἀνθρώπων mutavit in οὗτος δὲ οὔτε φόβῳ τῷ ἀπ' ἀνθρώπων. in libro *de Abrahamo* cum C plerumque consentiunt codices FG, in libris *de Iosepho* et *de vita Mosis* codex V tam prope ad eum accedit, ut ad idem archetypum uterque pertinere videatur. cuius archetypi textus non magni faciendus est, si quidem plerumque corruptam scripturam vel cum aliis vel soli codices CV(O) exhibent: cf. e. gr. 64,7 μετὰ τὴν om. 77,2 κατὰ τοῦ δήμου πᾶν pro καὶ τὰ τοῦ δήμου πάντα. 83,23 φαντασίας om. 85,2 ἐλλογισθέντος pro συλλογισθέντος. 118,11 ἀφώνοις pro ἀσυμφώνοις. 169,12 προμηθεία pro πρὸ μιᾶς. pauca sunt exempla genuinae lectionis in CVO solis servatae: 68,2 ἀγονίαν. 78,11 ἐκεῖ. 105,22 κατασχεθέντα. 167,22 ἀσχέτοις. aliquot locis collocatio verborum in his codicibus tradita (inprimis propter hiatum) praeferenda videtur: 82,8 τῇ χώρᾳ συμβαίνειν. 91,4 τὸ ἀσύμφορον, τὸ βλαβερόν. 96,1 ὁμομήτριος ἀδελφός. 156,19 οἷα κριτὴς ἀγαθὸς ἐνίκα. 157,12 κατορθούντων πάλιν. vidimus codicem C, ubi a ceteris codicibus omnibus discrepat, nonnumquam bonam tradere lectionem, saepius corruptam. idem de codice V dicendum est; is enim ubi differt a codice C, egregias scripturas aliquot vel solus servavit: ut 72,11 κοσμίαν. 76,12 δεσποτῶν τε χαλεπῶν καὶ δεσποινῶν. 83,13 εἰσάγουσιν αὐτόν. 115,3 ἐπιθέσεις. 140,1 αὐτός. 145,15 οὐδενός ἐστι χρεῖος. 157,13 πολυχρηματία. 165,14 τοῦ ἔθνους. saepius vero lectiones praebet omnino neglegendas: cf. 62,1 δημαγωγίας pro στρατηγίας. 62,11. 12 γενόμενα pro στεγόμενα. 65,4 προσεπιβάλλοντες pro προσυπερβάλλοντες. 68,1 τἀναντία pro τὰ ἀναίτια. 80,8 πάσης ἀδημονίας pro ἄσης καὶ ἀδημονίας. 81,21 εὐωχούσης pro εὐωχουμένης. 88,12 ῥεύματος ἐνστάντος pro ῥ. ἐνστάσει. 90,4 φαντάσμασι pro φάσμασι. 91,10 ῥοῦν pro νοῦν. 95,11 ἀνευρομένους pro αἱρούμενοι (αἱρουμένους). 97,3 πάντων pro παρὰ τῶν. 122,4 κατηγορούντων αὐτῶν pro κατηγόρουν αὐτῶν. 123,10 αὐτῇ pro εὐθύς.

135,6 καμίνου pro πηγῆς. 140,5 διαφέροντι pro διαφεύγοντι. 143,19 πάντες pro παθόντες. 149,16 πονηρὸν pro πηρόν. 151,13 θρεμμάτων ἀγέλαι pro θ. ἰδέαι. 170,15 λαβόμενος pro λαβών. 184,1 ἐκφυγεῖν pro ἐφ' ὑγιεῖ. 198,8 προνενοηκότων pro προενῳκηκότων.

Multo melioris notae classis est codicum BEK. ac libri quidem *de Abrahamo* textus in eis codicibus traditus longe optimus iudicandus est, quod verum esse ex apparatu critico primo conspectu facile intellegi potest. est sane ubi falsa vel corrupta in iis quoque legantur: ut 2,15 διδασκάλους (διδασκάλων). 3,10 προσειπών. 3,16 δ. 6,8 τὸ μὴ προβεβλῆσθαι. 8,10 εἰσιν pro φησιν. 9,7 προνοίας pro προνομίας. 14,10 ἐπ' ἄκραν εὐδαιμονίαν pro ἐπ' ἄκρον εὐδαιμονίας. 14,12 ἐχέσθω vel ἐχέτω pro εὐχέσθω. 14,19 ἐραστῆς pro ἀρετῆς. 15,19 ἀλγεινῶν pro ἀλγηδόνων. 21,23 θεῖον (BK) pro σῷον. 31,16 ἤρθησαν (ἤριαν) pro ἠρήμωντο. 38,1 τοῖς σαρκὸς φίλοις pro τοῖς σαρκὸς πάθεσιν. 38,21 φιλοσοφίᾳ pro φιλοστοργίᾳ. 51,16 ἱερεύεται pro ἱέρευε. sed ea valde superantur numero lectionum optimarum, quae sine dubio pro genuinis habendae sunt: cf. inprimis 2,7 ὅμοιον. 2,18 ηὐνομήθησαν. 16,16 ἀκμαζούσης. 18,12 πάλιν. 19,13 ἀναβλέψασα. 24,17 τιτρώσκει. 27,15 ἀποδόσεως. 28,10 τύχῃ καθαρθεῖσα. 32,5 τῆς ὀρεινῆς ἡ δενδροφόρος. 37,3 ἀκοήν. 40,4 ἴσθι. 43,11 πράγματος. 43,19 ἐνταῦθα ἱσταμένης. 44,10. 11 ἐμέλισε . . . κατὰ μέλη. 56,23 ἂν ἄχθοιτο. non prorsus eandem praestantiam codicum BE textus ostendit in libro *de Iosepho*, quamquam nonnullis locis una cum codicibus K et M genuina verba scriptoris tradit: ut 61,11 κατωρθωκώς. 62,13 ἀκάκοις τοῖς ἤθεσι. 66,7 ἀποθνήσκοντι. 91,14 τῶν κατ' αὐτὸν ὁμοίων. 93,3 ἧττον. 102,17 ἐνδείᾳ πιεσθείς, ἀνιάτῳ νόσῳ. 109,1 νέος ἐστίν. saepius vero memoriam exhibet deteriorem. idem fere dicendum est de textu librorum *de vita Mosis* in BE tradito. et in primo quidem libro codices BE maxime conspirant cum codicibus MA, ad quos saepe proxime accedunt codices KZ. quibus sex codicibus multa sunt communia menda scripturae, pauca exempla egregiae memoriae: ut 161,8 ἀντικρύ. 168,2 εἴ τι. 195,2 σφετερίσασθαι. in altero libro codices BEM(A) soli nonnunquam verba scriptoris integra servaverunt: cf. 201, 18. 19 λογισμῷ — εὕροι. 206,15. 16 τρίτος μὲν ἦν ἀπ' Ἀλεξάνδρου τοῦ τὴν Αἴγυπτον παραλαβόντος. 209,19 σεμνυνοῦντες. 209,22 κατακλινέντες. 234,21 ἧς. 257,8 ἀποδώσεις. sed plerumque textus corruptus eorum cedere debet memoriae codicum aliorum.

Codex K per magnam partem huius voluminis optimus omnium codicum iudicandus est. in libris *de Abrahamo* et *de Iosepho* textus eius non solum ceteros verum etiam codices BE, quibus maxime cognatus est, praestantia longe superat. quamquam ne ipse quidem corruptelis omnino liber est: cf. 1,13 συντέτακται. 7,1 ἡ πρὸς ὑγείαν om. 8,3 πραγμάτων (πραγματειῶν recte BE). 11,22 πρῶτον. 13,15 ψυχικῇ. 20,2 τῷ ἀρχαίῳ ὀνόματι. 20,10 λεγομένου (γεγωνοῦ recte BE). 21,12 δυσαποσπασθέντων. 21,13 ἀπαιτηθείς. 22,7 σπερμάτων pro πνευμάτων. 24,9 πράγμασιν pro παραγγέλμασιν. 35,13 ἀκροτάτην (ἀκρότητι recte BE). 43,6 κἂν δυσκλείας (ἄνευ δυσκολίας recte BE). 51,14 καιροφυλακήσεως. 51,15 δεδειπνημένοις (δεδειπνοποιημένοις recte BE). 52,20 συγγίνονται pro συνίστανται. 62,1 μαστιγίας pro στρατηγίας. 68,21 πλήθους pro πειθοῦς. 77,12 θεραπεύσω. 78,1 πάνυ τῶν pro πάντων. 92,6 παραπαίειν pro περιπταίειν. 99,18 σρίαν (σωτηρίαν) pro σιτωνίαν. 104,22 δεσπότην pro συμπότην. non tamen ex eodem atque codices BE, quibuscum maxime consentit, sed ex multo meliore et integriore exemplari codicem K transcriptum esse permultis locis probatur, quibus BE vitiosam exhibent scripturam, K memoriam exhibet genuinam. cf. 1,8. 2,1. 2,2. 2,20. 3,4. 3,9. 3,13. 3,16. 3,19. 4,1. 4,4. 4,23. 5,8. 5,12. 5,16. 6,21. 22. 7,19. 7,22. 8,13. 9,12. 13. 9,21. 10,1. 11,2. 11,23. 13,2. 14,9. 16,18. 16,21. 17,2. 18,2. 18,5. 19,6. 19,9. 19,15. 16. 20,4. 20,15. 22,5 (ἐπιτήδεια pro πεδία BE). 25,7. 25,9. 25,11. 25,20. 21. 26,15. 27,15. 31,9. 37,4. 37,8. 39,1. 50,12. 52,24. 53,10. 53,19. 54,2. 56,9. 57,11. 58,12. 13. 70,21. 74,25. 76,22. 80,23. 84,17. 85,2. 91,22. 93,15. 93,19. 94,18. 101,17. 109,19. 112,24. atque iis quidem locis, cum codices BE corruptam praebeant lectionem vel verba omittant, codex K cum ceteris codicibus faciens integra verba scriptoris tradit. sed saepe solus unice veram scripturam nobis suppeditat: ut in libro *de Abrahamo* p. 8,20 ἐκνενικηκότα (id quod Mangey pro εὖ νενικηκότα recte coniecerat). 17,8 ταύτῃ τοι τῇ δόξῃ (ubi τοι pro τις idem Mangey coniecerat). 20,11 ἐπιλέκτου (scribebatur ἐπιλεγομένου). 21,20 τῶν περὶ ψυχὴν ἀγαθῶν. 24,24 εἰς χειρῶν ἅμιλλαν, sicut Mangey (ex coniectura ut videtur) pro εἰς χείρονα ἅ. scripserat. optimum vero textus Philonei testem se praebet in libro *de Iosepho*, cuius memoria permultis locis, qui corrupti vel lacunosi leguntur in ceteris codicibus omnibus, illius codicis scripturis mirifice redintegratur atque illustratur:

63,12 συνδιαιτήσεως (coniecerat Mangey). 68,12 πράξεων (hoc quoque coniecerat Mangey). 71,6 ὁμογνωμονοῦντες pro ὁμογνωμονοῦσι. 72,6 addit verba πρὸς ἅπαντα, quae omittunt ceteri. 72,13 τὴν σὴν ψυχήν, ubi σὴν omittunt ceteri. 73,13 συντείνει pro συνᾴδει, quod hoc loco sensu caret. 74,5. 6 δοκῶν ἐπιτηδεύειν, ubi δοκῶν omittunt ceteri, vulgo scribebatur cum H ἐπιτηδεύει δ'. 75,1 ᾧ συνοικῶ pro ὡς συνοίκω (verum prope divinavit Mangey, sed voluit ᾧ συνοικεῖς). 75,7 διαβολὰς δ' ἐρανιῶ, quam ad scripturam proxime accedunt VO διαβολὰς ἐρανίζω, alii praebent διαβολὰς δ' ἐνίων, alii δ' ἐρανιῶ omittunt. 75,10 addit οἰκειότατον, quod omittunt ceteri (ubi Mangey vocem aliquam, forsan οἰκεῖον vel ἴδιον, deesse recte adnotavit). 75,11 καὶ δρᾶν τὰ πρὸς ἀρέσκειαν: ceteri varie corrupti, ἄραντα C (i. e. ΑΡΑΝΤΑ pro ΔΡΑΝΤΑ), ἔρωτα BEM, ἅπαντα VO, ἅπαντα τὰ ceteri; δρᾶν τὰ scribendum esse iam viderat Mangey. 76,2 ἀλλ' οὐκ ἐγὼ δοῦλος, εὐπατρίδης δ' εἴ καί τις ἄλλος pro ἀλλ' οὖν ἐγὼ δοῦλος, εὐπατρίδης εἴ καί τις ἄλλος. 76,8 οὐ τὴν κατ' ἐμέ pro οὐδὲν κατ' ἐμοῦ. 78,16 ἀλλ' οὐδ' ἐκ τύχης. 78,21 ἀπρόσιτος οἴκτῳ γίνεται, χρηστῷ πάθει, ubi pro γίνεται ceteri praebent ἐνί. 81,8. 9 ὀκνῶ τε γάρ, εἴ καί τις ἄλλος, εἶναι κακῶν ἄγγελος συναλγῶ τε, ubi ceteri varias corruptelas passi sunt. 87,1 μόνον ἐντυφέσθω τι καλοκἀγαθίας ἐμπύρευμα: pro vocabulo proprie Philoneo ἐντυφέσθω ceteri praebent ἕν τι ὑφιστάσθω vel ἕν τι ὑφεστάτω. 87,17. 18 τῶν παρ' ἡμῖν ἐγρηγορότων pro ἐπὶ τῶν παρεγρηγορότων. 87,23 ἀλλὰ ποῦ (quod coniecerat Mangey) pro ἀλλ' οὐ. 88,3 γήρᾳ δ' ἕπεται τελευτή pro γῆρας δ' ἐπὶ τελευτῇ. 90,12 addit ἀκούσμασι post θεάμασι, quae vocabula semper coniuncta apud Philonem leguntur. 91,8 addit γάρ. 91,22 ἀκηράτοις pro ἀκράτοις vel ἀκρίτοις. 92,5 εὐθυτενῶς pro εὐθυγενῶς vel εὐθυγενές. 99,16. 17 προσεπιδαψιλεύεσθαι pro προσδαψιλεύεσθαι. 102,10 ἔπεισαν, id quod sententia loci necessario postulat: pro ЄΠЄΙϹΑΝ plerique codices εἴτε κἂν vel κἂν exhibent i. e. ЄΙΤЄΚΑΝ, AO ἤνεγκαν, scribebatur cum C ἔλεγον. 102,13 ὠνησομένους pro ἡνωμένους, quod eo loco absurdum est. 105,10 addit εἰς. 107,5 τῶν τρόπων μεταβολῇ pro τῶν λοιπῶν, ubi scribebatur quod male coniecerat corrector H² τὸ λοιπόν. 109,5 addit ἔτι τὴν σήν post εἰς ὄψιν ἐλθεῖν. 110,6 ὁ τῶν τοσούτων πατὴρ ἱκετῶν ἁπάντων pro καὶ τῶν, ubi scripturam ἱκετῶν veram esse demonstratur verbis quae sequuntur ἱκέται γάρ ἐσμεν. 111,10 addit ἐκπώματος. 112,14 addit πρώτην. 112,21 addit περιττεῦσαι, sine quo sententiam

mutilam esse apparet. 113,10 addit μή. 116,10 addit οἰκίαν μίαν. quod ad librum I *de vita Mosis* attinet, codicem K longius etiam discedere a codicibus BE et singularem textus formam una cum codice Z habere supra diximus. memoria eius libri in KZ tradita non parvi aestimanda est, si quidem saepe cum codicum FGHP memoria, quae optima declaranda est, maxime consentit, ubi ceteri codices falsa tradunt. nonnullis etiam locis KZ soli verba scriptoris genuina tradere videntur: cf. 119,8. 9 καὶ ἐν οὐκ ὀλίγοις. 122,18 ἀεὶ pro δή. 128,4 πρὸς ἱκέταις. 133,3 πρότερον. 139,7 addunt γε. 148,11 σφοδρυνόμενος (cf. *de plant.* § 171 vol. II 168,4) pro σφοδρούμενος, quae forma verbi alibi nusquam legitur. 172,16 ἐπελαφρίζοιντο pro ἐπελαφρίζοντο vel ἐπηλαφρίζοντο. 174,17 τὰ μὲν σπαρέντα τελεσφορεῖται γένη, αἱ δὲ τῶν δένδρων φύσεις, ubi pro γένη αἱ ceteri γενέσεως praebent. 197,11 ἕνεκα τῶν ὅλων τὰ μέρη pro ἕνεκα τῶν ἄλλων τὰ περί. saepius vero vel cum BEMA memoriam corruptam sequuntur vel propria vitia exhibent. denique in libro II *de vita Mosis* codex K, ut iam dixi, plane congruit cum VO, nullius igitur ibi pretii est.

Pauca de reliquis codicibus adiungenda sunt. codicis M auctoritas in vitis patriarcharum non tanta est quanta in aliis libris Philonis (cf. vol. I p. XXXIII. XXXIX). in textu libri *de Abrahamo*, in quo codicum BEK auctoritatem praevalere vidimus, M non minus quam alii codices memoriam sequitur deteriorem. in libro *de Iosepho* propius accedit ad codices BE, quibuscum tam egregiae scripturae documenta quam vitia pleraqae habet communia. cum eisdem omnino coniunctus est in libris *de vita Mosis* aliquanto plus valet ad textum libri *de decalogo* constituendum et emendandum, ubi saepe vel solus vel accedente versione Armenia scripturam egregiam suppeditat: cf. 269,16 πρὸς ἀπάτην. ἐν πόλεσιν οὖν pro vulgata πρὸς ἀπάτην ἐν πόλεσιν· οὗ. 271,9 addit ἀλλὰ καί. 272,7 μηκέτι θαυμάζωσιν, εἰ λόγια θεοῦ συμβέβηκεν εἶναι τοὺς νόμους, ubi vulgata scriptura graviter depravata est μηκέτι θαυμάζωσι Νεῖλον μηδ' εἰ συμβέβηκεν εἶναι θεοῦ τοὺς νόμους. 272,18 ὡς ἐπιτηδειότατον ἱεροφάντην pro ἱεροφαντεῖν. 274,20 addit κόσμον. 275,16 σχεδόν τι pro σχέδην. 276,15 ἀρχῆς pro ἠχῆς. 278,7 μητέρα, ubi ceteri vel μορφήν vel γραφήν absurde praebent. 279,8 ῥυέντος pro φυέντος. 282,2 αὐτοκρατῆ θεόν pro αὐτοκρατές (om. θεόν). 282,23 τὸ ἴσον ἀποδιδόντες pro

τῶν ἴσων μεταδιδόντες. 284,7 δημιουργοὶ μεγάλα ἔβλαψαν pro καὶ δημιουργία μεγάλα ἔβλαψεν: cf. Wendland *Philos Schrift über die Vorsehung* p. 91. 286,11 καιρῷ σπορᾶς pro καὶ τὰς σποράς. 287,3 ἐκθνήσκουσι pro ἐξησθενήκασι. 289,16 ἀγνοῶν pro ἀγνοεῖς. 294,9 μὴ ἀγνοείτωσαν pro μὴ ἀγνοούμενα ἴστωσαν. 295,5 κύνες οἰκουροί pro κύνες οἴκου.

Codex A, quem plerumque eandem quam M sequi memoriam constat, in libris *de Iosepho* et *de vita Mosis* haud raro discrepat ab eo et ad alios codices propius accedit. ac textus libri *de Iosepho* quidem in A traditus singularem quasi locum obtinet. multo saepius enim cum classe codicum FGHP quam cum M et BE congruit. multis autem locis ab omnibus discedens proprias habet lectiones et maxime verborum collocationes a ceteris diversas. verum discrepantiae illae non plane spernendae sunt, si quidem in quibusdam verba scriptoris genuina videntur esse tradita: ut 64,11 πρόφασιν ὡς pro προφάσει ὡς, quod propter hiatum reiciendum est. 66,22 εἰκῇ pro ἐκεῖ, quod sensu caret. 67,6 εἰσπεμφθῆναι pro ἐκπεμφθῆναι. 70,19 οὐδ' ἑταίρᾳ ζῆν ἔξεστιν, ubi necessarium illud ζῆν in ceteris omnibus deest. 81,13 ἐπὶ δὲ τῶν θείων ἀποφθεγμάτων καὶ ὁσιώτατον, ubi θείων sine dubio rectius se habet quam vulgata scriptura ὁσίων. 104,11 addit παριδεῖν, quod omittunt ceteri. 105,10 μηδεμιᾶς ἄξια σπουδῆς pro μηδενός. 107,18 στοῖχον pro στίχον. 118,13 δι' ἣν pro δι' ὧν vel διό. aliquot etiam locis cum optimo codice K in bonis scripturis consentit: 62,1 προάγων pro vulgata προαγωγή. 64,16 μή ποθ'. 93,19 προστάττωσιν, ubi FGHP πράττωσι, reliqui προστάγμασιν praebent. 95,2 μυρία τινῶν πονηθέντων. in libro I *de vita Mosis* codicis A memoria fere eadem est quae codicum BEM, sed haud raro propria praebet. atque est ubi vel solus vel cum uno alterove codice (K, F, G) coniunctus lectione sua nonnihil ad textum emendandum confert: cf. 133,20 προγυμνασία AG pro προγύμνασμα. 134,17 προστασίᾳ pro προθυμίᾳ. 136,13 καυστόν AG pro καυστικόν. 168,21 ἔστη AF pro ἐστί. 194,12 ὡς μηδ' εἰ pro ὡς εἰ μηδέ. in libro II *de vita Mosis* et maxime in libro qui vulgo fertur tertio multo saepius codex A concinit cum familia codicum FGHP quam cum BEM. atque eius quoque libri locis nonnullis vel solus vel cum codice F coniunctus genuinam scripturam servavit: cf. 217,3 ἐκεῖνον. 217,11 τῶν AF pro τήν et εἰ pro εἰς. 217,12 ἤδη AF pro ἣν δή. 219,16 δή pro δέ. 222,1 κέδρος AF pro

κέδρου. 222,10 κατὰ τὰς πλευράς. 224,9 τὰ λοιπά. 228,16 ὄχημα AF pro σχῆμα. 232,20 μετεωριζούσης AF pro νεωτεριζούσης. 236,5 addit αὐτόν τε. 237,1. 2 ἐπιβατικοῦ pro ἐπιβατικούς. 238,21 διαλλακτής pro διαιτητής. 246,15 addit ὦ ἄνθρωπε. 247,7 δι' ὧν pro δι' ἅς. 248,11 οὐδὲ pro οὔτε. 256,17 ἐξουθενημένοις pro vulgata ἠμελημένοις. 259,4 οἱ μὲν AF pro οἶμαι. 265,2 addit εὑρών. 265,22. 23 τοῦ κρατίστου καὶ δημωφελεστάτου, τῆς τάξεως pro τῆς τοῦ κρατίστου καὶ δημωφελεστάτου τάξεως. 268,4 βουλευμάτων pro βουλημάτων. 268,5 κλήρου διανομήν pro διαμονήν.

Codices FGHP plerumque ita inter se consentiunt, ut unam classem efficiant, nisi quod in textu libri *de Abrahamo* FG saepe ab HP discedunt et cum codice C congruunt. optimae notae classis eorum codicum est in libris *de vita Mosis*, ut dubium esse non possit, quin textus eorum auctoritate plerumque sit constituendus. sed quamvis consensus late pateat, singuli tamen codices suas quisque virtutes habent itemque corruptelas. ut G solus textus formam genuinam servavit his locis: 138,4 μετεστοιχειοῦτο pro vulgata scriptura ἀνεστοιχειοῦτο. 140,6 προγονικῷ pro προγονικῶν. 154,9 καίτοι γε ἐν ταῖς αὐταῖς. 208,6 τέταται. codices HP, qui ubicunque a FG discrepant lectionem depravatam exhibere solent, aliquot tamen locis unice veram scripturam tradunt: 121,17 ἔνιοι διηρεύνων. 123,13 γυναίῳ τῶν Ἑβραϊκῶν. 136,1 addit H τις ante τιτρώσκειν, quod ceteri omnes omittunt. 136,4 αὐγήν pro αὐτήν. 228,8 ἐπιδείκνυται. codex P in libro *de decalogo* ad classem codicis A pertinet, non ad H: cf. vol. I p. XVII. codex F in libro II *de vita Mosis* saepius, ubi depravata est memoria codicum GHP, ab iis discrepat et eadem tradit quae codex A, quem in eo libro ad classem FGHP proxime accedere dixi: cf. 209,19. 214,4. 217,11. 12. 222,1. 2. 224,10. 228,16. 230,3. 20. 232,20. 239,23. 240,21. 241,15. 246,8. 247,19. 251,3. 251,12. 13. 255,1. 256,15. 257,20. 259,4. 263,4. 268,1. 3. nonnullis etiam locis unius codicis F auctoritate textus emendari potest: 206,9 ἐπὶ καιρῶν. 207,15 ἀντεφεστιῶντες. 209,6 ἐν γεωμετρίᾳ καὶ διαλεκτικῇ. 209,10 τοῦδε. 211,12 addit ἦν. 211,17 addit ὡς. 214,14 τοῦ θεοῦ φύσιν ἵλεω pro φύσιν τοῦ θεοῦ ἵλεω, quae collocatio verborum propter hiatum ferri nequit. 222,22 τούτοις item vulgatae scripturae τούτῳ propter hiatum praeferendum. 245,7 πρῶτος, ὅς. 253,16. 17 ὁ ἔλεος. 264,19 ἐξαλλάττεται (quod sagaciter coniecit Mangey) pro ἐξάλλεται. 265,4 ἀττέτω. 265,10 ἐνεγράφησαν.

Praeter libros manuscriptos in hoc volumine adhibita est versio Armenia, quae inter alia scripta Philonea continet *Patriarcharum librum* i. e. *de Abrahamo* et librum *de decalogo*. cf. vol. I p. LII sq. comparationem cum textu graeco instituit et lectiones versionis F. C. Conybeare amicus mihi benignissime commodavit. in utroque libro, quamvis multa interpres vel male intellexerit vel in vertendo praetermiserit, plerumque tamen versionem meliorem prae se ferre memoriam ex apparatu critico satis apparet. etenim versio libri *de Abrahamo*, ubicunque codices inter se discrepant, ad textum optimorum codicum BEK proxime accedit, ut lectionum ab iis traditarum probitas auctoritate interpretis Armenii saepe confirmetur. cf. 2,7 ὅμοιον. 2,18 ἠδυνομήθησαν. 19,13 ἀναβλέψασα. 20,10 γεγωνοῦ. 20,16 πολλά. 21,24 ἀφορίας. 22,21 ἐφ' ἡδονήν. 23,7 ὀλίγων. 24,17 τιτρώσκει. 28,10 τύχῃ καθαρθεῖσα. 32,16 μνημεῖον. 34,10 γαστριμαργότατα. 36,2 χρόνου καὶ βίου. 36,17 πελαγῶν. 37,8 πάθος. 41,9 πρὸς πολυετίαν ἴσως. 43,11 πράγματος. 47,14 ἐπικυδεστέραν οὖσαν. 48,10 δύο δ' οἱ νυνί. 54,16 καιρόν. 56,23 ἂν ἄχθοιτο. est etiam ubi textus in codicibus depravatus ex Armeniae versionis genuina memoria emendetur: 11,20 ψυχῆς. 14,22 γραμμάτων. 15,20 τοὺς σὺν αἰσθήσει. 41,3 προσέσθαι. 41,8 πυρὰν νήσαντας. similiter res se habet in libro *de decalogo*; ubicunque enim codex M meliorem quam ceteri codices lectionem praebet, plerumque socium habet integritatis interpretem Armenium. cf. 272,7. 273,9. 10. 276,15. 277,1. 278,7. 279,8. 16. 281,4. 20. 282,2. 8. 283,4. 8. 13. 286,11. 15. 22. 287,3. 290,2. 295,5. nec desunt loci quibus versio Armenia genuinam scripturam servavit, cum codices omnes corruptelam passi sint: cf. 276,19 προϋπαντῶσα. 283,5 κακήγορον. 289,8 ἐπεί. 293,10 προστάττεται. 294,17 ἔχοντες. 297,2 φιληδονίαν. 297,20 καὶ τόν. 298,21 ἁγιώτερον. 299,15 τἀληθὲς ἔργον. 300,11 τούτοις. 300,18 κυρίους. 301,3 ἐπιθυμεῖν. 304,23 προκαλούμενοι. 306,11 παρακαταθηκῶν. 306,22 ἐνδεχομένων. 307,9 φόβῳ.

De versione Armenia

Excerpta Philonea in hoc volumine adhibita sunt quae extant in codicibus Neapolitano II C 32 (N), Laurentiano LVII 12, Laurentiano VI 4, Vindobonensi hist. gr. 67. codex N, de quo cf. vol. I p. LVIII et vol. II p. II sqq., undecim excerpta continet, octo e libro II *de vita Mosis* p. 207,1—5 συνόλως — τῶν βασιλέων. 225,17 — 226,4 εἰ μὲν —

De excerptis in codicibus traditis

κόσμῳ, 230,7—231,22 σχῆμα — κόσμος εἶναι, 241,12—13 τὸ μεταπείθειν — ἀργαλέον εἰδώς, 242,19—243,5 ὅτι πόνῳ — ἐνδιαιτᾶσθαι, 249,6—23 εἶτα — εὐδαιμονίας, 256,1—257,2 ὁ δὲ ποιητὴς — ἀναγκαίαν, 263,4—8 ἐφ' οἷς — τὴν ἀλήθειαν, tria e libro *de decalogo* p. 293,8—296,19 παραγγέλλει — πεντάδι, 299,6—301,2 τρίτον — ἀπειπεῖν, 301,3—303,8 τελευταῖον — τούτων. sicut in ceteris excerptis N plane cum codice F conspirat, ut solus nihil ad textum constituendum vel emendandum conferat. e libris *de Abrahamo*, *de Iosepho*, *de vita Mosis* libro primo compilator nihil excerpsit.

Flor. Laur. i. e. florilegium viginti quinque Philonis sententiarum codice Laurentiano LVII 12 traditum, de quo cf. vol. I p. LXIX, ultimo loco excerptum praebet e libro *de Abrahamo* p. 34,18—35,14 τὴν ὅρασιν ὁ θεὸς — οὐκ ἐχούσης. codex quo usus est excerptor melioris notae videtur fuisse, cum lectiones eius omnes fere cum textu codicum BEK congruant.

Codex Laurentianus VI 4, membranaceus, saec. XIV, quo continentur LXIII capita expositionum sacrorum praeceptorum e Scripturis sacris et patribus ecclesiasticis collectarum (cf. Bandini, Catal. codd. gr. bibl. Laur. I p. 92 sqq.) fol. 73ʳ excerptum e Philonis *de vita Mosis* libro primo praebet p. 194,22—195,10 ἐπαινέσας — γεγενῆσθαι.

Codex Vindobonensis hist. gr. 67, membranaceus, saec. XII, vitiosissime scriptus, fol. 56ʳ—60ʳ excerpta continet e Philonis libro *de decalogo* et ex libris *de specialibus legibus*. sunt autem ex libro *de decalogo* descripta haec: 1. p. 269,11—270,5 Φίλωνος ἰουδαίου: αἱ πολλαὶ τῶν πόλεων — ἐκπιεζόμενοι. 2. p. 271,6—9 τοῦτον τὸν τρόπον — τοῦ πάθους. 3. p. 295,5—296,15 κύνες οἴκου — ἐν τῷ ζῳοπλαστεῖν. excerptor maxime cum codice F consentit, sed ipse verba tradita scriptoris hic illic immutavit. ceterum codex vitiosis scripturis scatet, ut ἀνοσιουργϊμάτων, κεκηβδήλευται, ἐξαπηναῖος, ἀρχαγγέλους (pro ἀγελάρχους).

De catenis In catena in Octateuchum, cuius auctorem esse Procopium sophistam Gazaeum arbitror, cum multa fragmenta Philonis *Quaestionum et Solutionum* tum excerpta e libris *de vita Mosis* Philonis nomine notata leguntur novem, sex in catena in Exodum, tria in catena in Numeros: 1. p. 130,3—(12) 17 τὸν ἀναιρεθέντα Αἰγύπτιον — ὑπανεχώρησεν. 2. p. 141, 6—13 ἐκ πολλοῦ τοῦ περιόντος — δρᾶν εὐμαρές. 3. p. 141,17—20 ὅτι

δὴ τοῦ θεοῦ — οὐκ ἐπαίδευσεν. 4. p. 142,1. 2 δέκα ἐπάγονται — τέλειος ἀριθμός. 5. p. 147,11—20 τῆς Αἰγύπτου — διετήρουν τὴν χάλαζαν. 6. p. 153,2—154,7 μετὰ τὴν τῶν πρωτοτόκων — ὑπερέχοντος τοῦ δικαίου. 7. p. 251,4—7 ἀποφαίνεται ὁ θεὸς — τελεώτατον παρανόμημα. 8. p. 255, 4—18 ὡς οὐ θηρώμεναι — ἀναφέρει θεῷ. 9. p. 256,1—257,9 ὁ δὲ ποιητὴς τῶν ὅλων — τῶν χαριζομένων. quae excerpta alicuius momenti esse iure expectaveris, quoniam catena initio saeculi VI composita libros manuscriptos Philonis vetustate longe superat. ac re vera textus Philonei memoriam ostendunt plerumque optimam: cf. inprimis p. 141, 19. 20 ἐσμοῦ, αἷς. neque tamen magna sunt utilitate, cum per omnia fere memoriam eandem exhibeant quam codices FGHP, quos optimae notae vidimus esse in libris *de vita Mosis*. constat catenam permultis codicibus esse traditam: cf. quae dixi in *Jahrbüch. f. protest. Theologie* XVIII (1892) p. 475 sqq. ipse excerpta Philonea omnia e codice pereleganter scripto Parisino gr. 129 saec. XIII descripsi (cf. H. Lietzmann, *Catenen* p. 37), contuli vel passim inspexi codices Laurentianum gr. Nr. 44 Acquisti saec. XI (cf. *Studi italiani di filol. class.* I p. 212), Venetum gr. 534 saec. XI, Turicensem C 11 saec. XIII, Burneianum 34 saec. XV. praeter codices Catenam Lipsiensem i. e. catenam in Octateuchum a Nicephoro Graeco Lipsiae anno 1772 in lucem editam adhibui. vitia singulorum codicum in adnotatione critica neglexi.

Singularem in catenis locum obtinet codex Barberinus IV 56 saec. XII (cf. Wendland, *Aristeae epist.* p. X), qui multa et pretiosissima excerpta maioris ambitus ex libris *de vita Mosis* continet, quae Wendland enotavit. cf. quae adnotavi ad p. 124,7. 156,6. 189,17. 191,14. 192,16. 200,9. 202,6. 204,6. 22. 205,11. 206,1. 210,11. 213,13. 215,12. 241,20. 246,4. 247,6. 254,18. 256,1. exemplar quo usus est compilator optimae notae fuisse apparet, si quidem excerpta Barberina tantum non ubique textus Philonei formam ostendunt genuinam nec solum plane cum classe codicum optimorum FGHP conspirant, ubicunque eorum memoriae fides habenda est, verum etiam interdum cum aliis codicibus, sicubi contra codicum FGHP auctoritatem textus constituendus videtur: ut p. 156,19 Barberinus rectam quam exhibent codices CVO collocationem verborum confirmat οἷα κριτὴς ἀγαθὸς ἐνίκα, cum altera ἐνίκα οἷα κριτὴς ἀγαθός propter gravem hiatum reicienda videatur. 157,13 πολυχρηματίᾳ quod VO

et Barberinus praebent aptius sine dubio dictum est quam φιλοχρηματίᾳ. aliquot locis una cum codice F solo vel AF solis veram scripturam Barberinus tradidit: cf. p. 206,9. 11. 207,15. 209,6. 10. 211,12. 17. 245,7. 246,8. 255,1. 256,15. 257,20.

E codice Laurentiano V 14 saec. XII, quo continetur catena in Psalmos (cf. Bandini, Catal. codd. gr. bibl. Laur. I p. 34 sqq.), excerptum Philoneum Wendland enotavit e libro primo *de vita Mosis* petitum p. 173,7—177,10, quod ad textum emendandum vix quicquam confert.

Nicetas episcopus Serranus e Philonis narratione de LXX interpretibus in catena quam in Psalmos composuit pauca excerpsit: cf. adnot. ad p. 207,6. 208,20. Aristeae epist. ed. Wendland p. 158. idem in catenam suam in Evangelium Lucae conscriptam cum alia tum sex excerpta e Philonis libro *de decalogo* recepit, quae Wendland ex codice Vaticano graeco 1611 saec. XII notavit (cf. vol. II p. XV sqq.): 1. p. 294, 7—18 οἱ οὖν γονέων ἀλογοῦντες — ἐθελήσουσιν. 2. p. 295,13—296,18 τῶν γὰρ πελαργῶν — ἐφιλοσόφησεν. 3. p. 297,1—298,14 μέγιστον ἀδικημάτων — ἀνεγράφη. 4. p. 298,15—21 δεύτερον δὲ πρόσταγμα — σεσυληκώς. 5. p. 299,6—18 τρίτον δέ ἐστι παράγγελμα — συναυξανόμενα. 6. p. 299,19—301,2 κλέπτειν τοίνυν ἀπειπὼν — ψευδῆ μαρτυρίαν ἀπειπεῖν. quae excerpta non parvi momenti sunt ad genuina verba Philonis restituenda. optimo codice Nicetam usum esse vel inde apparet, quod ubique fere cum codice M et versione Armenia omnino consentit, aliquot locis cum codice F, ubi is vera tradit.

De florilegiis In Ioannis Damasceni Sacris Parallelis et in gnomologiis quae ab eis pendent pauca leguntur excerpta ex fine libri *de Abrahamo* et ex libro *de Iosepho,* complura e reliquis libris in hoc volumine editis. quod in prioribus voluminibus diximus et satis comprobavimus, excerptorum D memoriam esse optimam et auctoritate sua multum conferre ad lectiones codicum meliorum confirmandas vel genuinum textum Philonis restituendum, hoc loco repetere vix opus est. in his igitur libris D plerumque conspirantem videmus vel cum BEK *(de Abrahamo)* vel cum AFGHP *(de Iosepho, de vita Mosis)* vel cum M *(de decalogo).* p. 290,18. 19 pro codicum scriptura χρησαμένους $D^{R}$ rectam praebet καταχρησαμένους, quae versione Armenia confirmatur. quamquam non negandum est nonnunquam excerpta vitiis infecta esse neglegentia

librariorum ortis. titulus quoque libri eius ex quo verba excerpta sunt interdum falsus indicatur, ut *de vita Mosis II* p. 206,8 Φίλωνος ἐκ τῆς τῶν νόμων ἀλληγορίας, p. 215,13 τοῦ αὐτοῦ περὶ κοσμοποιίας. ad Damasceni codices in Prolegomenis voluminis primi p. LXV sq. enumeratos in hoc volumine accessit codex Hierosolymitanus 15 ($D^H$), cuius fragmenta Philonea Papadopulos-Kerameus edidit: cf. vol. II p. XII. in fragmento quod $D^H$ fol. 227ᵛ exhibet verba Philonis *de decalogo* § 41 – 43 neglegentissime discerpta et decurtata sunt.

Ad scriptores qui Philonis operibus usi sunt in hoc volumine accedit Flavius Iosephus. qui cum Philonem nusquam nominatim laudet (excepto uno loco *Ant. Iud.* XVIII 8,1: cf. vol. I p. LXXXXV), tacite multas sententias et expositiones eius in usum suum convertit. iam quae de laudibus legumlatoris Hebraeorum et de ratione eius ab aliis diversa in prooemio *Antiquitatum Iudaicarum* exponit sine dubio partim Philoni accepta refert, inprimis verba quae ad initium libri *de opificio mundi* (vol. I p. 1) adnotare debebam haec: (§ 19) ἰστέον οὖν, ὅτι πάντων ἐκεῖνος ἀναγκαιότατον ἡγήσατο τῷ καὶ τὸν ἑαυτοῦ μέλλοντι βίον οἰκονομήσειν καλῶς καὶ τοῖς ἄλλοις νομοθετεῖν θεοῦ πρῶτον φύσιν κατανοῆσαι καὶ τῶν ἔργων τῶν ἐκείνου θεατὴν τῷ νῷ γενόμενον οὕτως παράδειγμα τὸ πάντων ἄριστον μιμεῖσθαι καθ' ὅσον οἷόν τε καὶ πειρᾶσθαι κατακολουθεῖν. . . . (§ 21) τοῦτο δὴ παιδεῦσαι βουληθεὶς Μωυσῆς τὸ παίδευμα τοὺς ἑαυτοῦ πολίτας τῆς τῶν νόμων οὐκ ἀπὸ συμβολαίων καὶ τῶν πρὸς ἀλλήλους δικαίων ἤρξατο τοῖς ἄλλοις παραπλησίως, ἀλλ' ἐπὶ τὸν θεὸν καὶ τὴν τοῦ κόσμου κατασκευὴν τὰς γνώμας αὐτῶν ἀναγαγὼν καὶ πείσας, ὅτι τῶν ἐπὶ γῆς ἔργων τοῦ θεοῦ κάλλιστόν ἐσμεν ἄνθρωποι, ὅτε πρὸς τὴν εὐσέβειαν ἔσχεν ὑπακούοντας, ῥᾳδίως ἤδη περὶ πάντων ἔπειθεν. (§ 22) οἱ μὲν γὰρ ἄλλοι νομοθέται τοῖς μύθοις ἐξακολουθήσαντες τῶν ἀνθρωπίνων ἁμαρτημάτων εἰς τοὺς θεοὺς τῷ λόγῳ τὴν αἰσχύνην μετέθεσαν καὶ πολλὴν ὑποτίμησιν τοῖς πονηροῖς ἔδωκαν· (§ 23) ὁ δ' ἡμέτερος νομοθέτης ἀκραιφνῆ τὴν ἀρετὴν ἔχοντα τὸν θεὸν ἀποφήνας ᾠήθη δεῖν τοὺς ἀνθρώπους ἐκείνης πειρᾶσθαι μεταλαμβάνειν καὶ τοὺς μὴ ταῦτα φρονοῦντας μηδὲ μὴν πιστεύοντας ἀπαραιτήτως ἐκόλασε. (§ 24) πρὸς ταύτην οὖν τὴν ὑπόθεσιν ποιεῖσθαι τὴν ἐξέτασιν τοὺς ἀναγνωσομένους παρακαλῶ· φανεῖται γὰρ σκοπουμένοις οὕτως οὐδὲν οὔτ' ἄλογον αὐτοῖς οὔτε πρὸς τὴν μεγαλειότητα τοῦ θεοῦ καὶ τὴν φιλανθρωπίαν ἀνάρμοστον· πάντα γὰρ τῇ τῶν ὅλων φύσει σύμφωνον ἔχει τὴν διάθεσιν, τὰ μὲν αἰνιττομένου

De Philonis apud scriptores usu

τοῦ νομοθέτου δεξιῶς, τὰ δ' ἀλληγοροῦντος μετὰ σεμνότητος, ὅσα δ' ἐξ εὐθείας λέγεσθαι συνέφερε, ταῦτα ῥητῶς ἐμφανίζοντος. sed maxime Philonis libros *de vita Mosis* a Iosepho lectos esse loci nonnulli demonstrant, quibus vel res a Mose gestas similiter atque ille narrat vel sententias eius et allegoricas explicationes supellectilis sacrae adhibuit. cf. adnotata ad p. 123,17. 155,11. 165,4 (ubi codicum scriptura in suspicionem a Mangeio vocata Iosephi loco confirmatur). 170,10. 203,14. 204,23. 221,1. 224,13. 228,18. 248,2 (ubi Iosephus legem quandam Mosaicam perinde ac Philo interpretatur). textus Philonis e Iosephi locis nullum fere fructum percipit, quoniam is non verba sed sententias tantum nostri scriptoris adhibuit.

Clemens Alexandrinus Philonis libros *de vita Mosis* bis expresse laudavit (cf. vol. I p. LXXXXV sq. et infra p. 124,7. 125,5), multis locis tacite compilavit. inprimis quae *Stromatum* lib. I cap. 23 de origine et educatione Mosis et de Hebraeorum exodo narrat, fere omnia ex Philonis libro I *de vita Mosis* ad verbum transcripsit. cf. quae adnotavi ad p. 119,4. 120,9. 121,4. 122,14. 125,5. 133,19. 153,4. 155,7. 159,7. 13. tum quas *Stromatum* lib. V cap. 6 profert allegoricas interpretationes partium sancti tabernaculi et reliquae supellectilis sacrae magnam partem ex Philonis libro II *de vita Mosis* excerpsit. cf. adnot. ad p. 221,1. 223,14. 224,10. 13. 225,8. 227,18. 228,18. Clementis testimonia, quae quidem Philonis sententias verbo tenus reddunt, utilissima sunt, si quidem vel codicum meliorum scripturas confirmant vel ad textum emendandum nonnihil conferunt. cf. p. 122,15. 133,20. 153,5. 225,6. 9. Clementis (et Iosephi) auctoritatem secutus p. 123,18 μῶυ scripsi pro vulgata lectione μῶς. p. 155,7 codicum lacunam e Clemente explere possumus.

Origenes raro sententias librorum huius voluminis in usum suum convertit: cf. adnot. ad p. 9,4. 25,16. 142,7. 221,1.

Ab Eusebio in *Praeparatione Evangelica* unus locus libri *de Abrahamo* adhibitus est: cf. adnot. ad p. 5,1. 7,6.

Isidorus Pelusiota unum Philonis locum e libro I *de vita Mosis* (de visione Mosis) laudavit: cf. adnot. ad p. 135,3, unum e libro *de Iosepho* tacite exscripsit: cf. adnot. ad p. 98,16.

Ioannes Lydus in libro *de mensibus* duos locos e Philonis libris *de vita Mosis* transcripsit: cf. adnot. ad p. 120,9. 206,15.

In Chronicon Paschale ex Philonis libro II *de vita Mosis* locus de institutione Paschatis transiit: cf. adnot. ad p 252,1.

Ambrosius his libris Philonis non videtur usus esse. tres tantum locos attuli, qui ad sententias Philonis alludere videntur, ad p. 16,21. 39,6. 124,7.

Procopius sophista Gazaeus ut in catena sic in commentariis quos scripsit in Octateuchum, quorum unum gravissimum fontem Philonis *Quaestiones et Solutiones* fuisse Wendland demonstravit (*Neu entdeckte Fragmente Philos* p. 29 sqq.), praeter eas libris *de vita Mosis* usus est. ac primum quidem partem praefationis suae conscripsit adhibitis eis quae Philo *de vita Mosis* lib. II § 46—53 exposuit de ratione, quam Moses in dispositione librorum Pentateuchi secutus sit: cf. adnot. ad p. 210,14—212,17. deinde locos nonnullos, quos in catenam receptos videmus, in commentariis quoque usurpavit: cf. adnot. ad p. 130,3. 141, 10. 142,1. 153,2. differentia autem ea est, ut in catena ipsa verba Philonis transcripta sint, in commentariis a Procopio plerumque suis verbis reddita vel etiam abbreviata vel amplificata vel in alium ordinem redacta. tum vero locos alios in commentariis adhibuit, quos in catena vulgata frustra quaerimus: cf. adnot. ad p. 144,20. 155,14. 223,1. 224,6. 246,15. denique unum libri *de Iosepho* locum adhibuit: cf. adnot. ad p. 98,16. commentariorum in Octateuchum (vel potius Heptateuchum) textus graeci parva pars adhuc edita est (ab A. Mai Class. Auct. t. VI = Migne Patrol. gr. t. 87,1 p. 1—365), integri servati sunt in codice Monacensi gr. 358 saec. XI (olim Augustano), ex quo multa Nicephorus in editione Catenae Lipsiensis et Wendland l. l. protulerunt. plerisque locis verba graeca e codice Monacensi vel a Nicephoro vel a Wendlandio enotata afferre licuit; quorum ubi testimonia deficiunt, versionem latinam laudare necesse fuit. ad textum Philonis constituendum excerpta commentariorum, quoad ipsa verba scriptoris tradunt, eandem praebere utilitatem quam excerpta catenae consentaneum est; nec mirandum quod Procopius, ubicunque lectiones codicum Philoneorum inter se discrepant, ad codicum FGHP memoriam proxime accedit. cf. e. gr. p. 142,11 κοινήν et ἑβδόμην. 154,1 ἐθέλουσιν et ἐν ἑκατέρῳ. 155,17 καὶ εἰ δή. neglegentem in excerpendo Procopium deprehendimus Comment. in Exod. 27,1 (Migne p. 640), ubi duos Philonis locos male composuit et vocabula θυσιαστήριον (= βωμός) et θυμιατήριον confudit:

Philo *de vita Mosis* II § 94 ... κιβωτός, λυχνία, τράπεζα, θυμιατήριον, βωμός. ὁ μὲν οὖν βωμὸς ἱδρύετο ἐν ὑπαίθρῳ, τῶν εἰσόδων τῆς σκηνῆς ἀντικρύ, ἀφεστὼς τοσοῦτον ὅσον ἱκανὸν λειτουργοῖς εἶναι διάστημα πρὸς τὰς καθ' ἑκάστην ἡμέραν ἐπιτελουμένας θυσίας. § 101 ἐν δὲ τῷ μεθορίῳ τῶν τεσσάρων καὶ πέντε κιόνων, ὅπερ ἐστὶ κυρίως εἰπεῖν πρόναον εἰργόμενον δυσὶν ὑφάσμασι, τῷ μὲν ἔνδον ὃ καλεῖται καταπέτασμα, τῷ δ' ἐκτὸς ὃ προσαγορεύεται κάλυμμα, τὰ λοιπὰ τρία σκεύη τῶν προειρημένων ἱδρύετο· μέσον μὲν τὸ θυμιατήριον, ... (102) τὴν δὲ λυχνίαν ἐν τοῖς νοτίοις ... (104) ἡ δὲ τράπεζα τίθεται πρὸς τοῖς βορείοις ...

Procopius θυσιαστήριον δέ, φασί, καλεῖ τὸν ἐν ὑπαίθρῳ βωμόν, τῶν εἰσόδων τῆς σκηνῆς ἄντικρυς, ἀφεστῶτα τοσοῦτον ὅσον ἱκανὸν λειτουργοῖς εἶναι διάστημα πρὸς τὰς καθ' ἑκάστην ἡμέραν ἐπιτελουμένας θυσίας. ἦν δὲ ἐν μεθορίῳ τῶν δ' καὶ ε' κιόνων, περὶ ὧν ἐρεῖ, ὅπερ ἐστὶν εἰπεῖν κυρίως πρόναον εἰργόμενον δυσὶν ὑφάσμασι, τῷ μὲν ἔνδον, ὃ καλεῖται καταπέτασμα, τῷ δὲ ἐκτός, ὃ προσαγορεύεται κάλυμμα, ἔνθα ἦν καὶ τὸ θυσιαστήριον (leg. θυμιατήριον) καὶ ἡ λυχνία καὶ ἡ τράπεζα.

Haec hactenus de libris manuscriptis et excerptis ad textum constituendum in usum vocatis. restat ut singulis libris in hoc volumine editis pauca praemittam.

DE ABRAHAMO. codices BEKCFGMAHP. accedit versio Armenia. titulus in codicibus traditur βίος σοφοῦ τοῦ κατὰ διδασκαλίαν τελειωθέντος ἢ νόμων ἀγράφων, ὅ ἐστι περὶ Ἀβραάμ, ab Eusebio Hist. eccl. II 18,4 ⟨περὶ⟩ βίου σοφοῦ τοῦ κατὰ δικαιοσύνην (leg. διδασκαλίαν) τελειωθέντος ἢ νόμων ἀγράφων. post νόμων ἀγράφων libri numerum τὸ πρῶτον addidi, quem intercidisse vel ut supervacaneum omissum esse consentaneum videtur, cum secundarius titulus (περὶ) νόμων ἀγράφων post interitum librorum *de Isaaco* et *de Iacobo* in hoc libro tantummodo servatus esset. in Sacris Parallelis excerpta ex hoc libro breviter laudantur ἐκ τοῦ περὶ βίου σοφοῦ: cf. adnot. ad p. 59,13. 14. codices plerumque in duas partes discedunt ita, ut BEK (cum versione Armenia) meliorem, ceteri deteriorem ostendant memoriam; passim CFG singulares praebent lectiones et plerasque corruptas. Mangey cum primus codicem Lincolniensem (E)

adhiberet, vulgatam scripturam locis quibusdam emendare potuit. neque tamen qua erat in tractandis libris manuscriptis incuria plane copiam bonarum lectionum exhausit. multo plures emendationes vel lectiones verum attingentes equidem cum e codicibus BE elicui tum e codice K, quem primus in usum vocavi. — post librum *de Abrahamo* interierunt vitae patriarcharum Isaaci et Iacobi, quas a se conscriptas esse Philo testatur ipse initio libri *de Iosepho,* quem quartum librum de vitis patriarcharum fuisse dicit: ... τρεῖς δὲ καὶ σοφῶν οἱ πρεσβύτατοι κατὰ Μωυσῆν ἐπώνυμοι τούτων· ὧν τοὺς βίους ἀναγεγραφώς, τόν τε ἐκ διδασκαλίας καὶ τὸν αὐτομαθῆ καὶ τὸν ἀσκητικόν, τέταρτον κατὰ τὸ ἑξῆς ἀναγράψω τὸν πολιτικόν. non iam supererant aetate Eusebii, quippe qui eas ignoret.

DE IOSEPHO. codices BEKMCVOAFGHP. titulum codices exhibent βίος πολιτικοῦ (vel πολιτικὸς) ὅπερ ἐστὶ περὶ ἰωσήφ. ab Eusebio Hist. eccl. II 18,6 breviter laudatur ὁ πολιτικός. in Sacris Parallelis, ubi duo tantum excerpta ex hoc libro recepta sunt, alterum laudatur ἐκ τοῦ εἰς τὸν Ἰωσήφ: cf. adnot. ad p. 79,2. codicum memoriae tres fere partes discerni possunt: 1. BEKM. 2. CVO. 3. AFGHP. quarum nullius quidem auctoritas omnino neglegenda est, sed praevalet memoria codicum AFGHP. singularem vero locum tribuere necesse est in classe BEKM codici K, in classe AFGHP codici A, quorum memoriae praestantia quanta sit in hoc libro supra demonstravimus p. XVI sq. XIX.

Librum *de Iosepho* secundum consilium scriptoris statim sequi debebat liber *de decalogo*: cf. *Einteilung u. Chronol. d. Schriften Philos* (Philol. Suppl. VII) p. 409 sq. sed quoniam nobis propositum est, quatenus fieri potest, ordinem librorum a Mangeio institutum retinere, inter duos libros illos cum Mangeio libros *de vita Mosis* interiecimus.

DE VITA MOSIS LIBER I. codices BEMAKZCVOFGHP. titulum in codicibus traditum περὶ τοῦ βίου Μωυσέως (λόγος πρῶτος) confirmat Clemens Alexandrinus Strom. I 23 p. 413 P. ... ᾗ φησι Φίλων ἐν τῷ Μωυσέως βίῳ. eundem testatur Ioannes Damascenus in Sacris Parallelis, ubi multa fragmenta laudantur Φίλωνος ἐκ τοῦ περὶ Μωυσέως βίου: cf. adnot. ad p. 124,6. 128,3. 133,14. 134,12. 145,12. 158,18. 175,15. 187,13. 188,5. in Eusebii tabula librorum Philoneorum (Hist. eccl. II 18) libri *de vita Mosis* non commemorantur fortasse culpa librariorum omissi. memoria codicum in quattuor classes dividitur: 1. BEMA. 2. KZ. 3. CVO.

4. FGHP. textus codicum KZ maxime cum textu classis BEMA cognatus est, sed multis locis ab eo discedit et classem FGHP attingit. longe optimam huius libri memoriam classis FGHP servavit, quae insuper testimoniis excerptorum apud scriptores et in catenis traditorum saepe confirmatur. codicis F vetusta manus fol. 15[r] incipit a verbis ξένας οὖν εὐεργεσίας ἐκαινοτόμει § 199 p. 168,1, ea quae praecedunt fol. 3—14 a Iacobo Diassorino suppleta sunt ex editione principe: cf. vol. I p. XXV. *Satura Viadrina* (Vratisl. 1896) p. 110 sqq. in priore igitur parte huius libri meliorem memoriam efficiunt tres codices GHP.

DE VITA MOSIS LIBER II. codices BEMVOKAFGHP. operis *de vita Mosis* tres libros distinguunt codices et editiones omnes; nempe librum II in duos libros (§ 1—65 et § 66—292) discissum praebent. equidem libris secundo et tertio in unum coactis divisionem genuinam restitui. etenim duos *de vita Mosis* libros a se conscriptos esse ipse Philo testatur *de humanitate* II p. 383,11 Mang. τὰ μὲν οὖν ἐκ πρώτης ἡλικίας ἄχρι γήρως . . . πεπραγμένα αὐτῷ δεδήλωται πρότερον ἐν δυσὶ συντάξεσιν, ἃς ἀνέγραψα περὶ τοῦ βίου Μωυσέως, ubi unus codex C ἐν τρισὶ συντάξεσιν praebet, quem iniuria Mangey secutus est. cf. Wendland Hermae vol. XXXI p. 440. deinde duas fuisse συντάξεις *de vita Mosis* elucet e verbis quibus liber II incipit: ἡ μὲν προτέρα σύνταξίς ἐστι περὶ γενέσεως τῆς Μωυσέως καὶ τροφῆς, ἔτι δὲ παιδείας καὶ ἀρχῆς, . . . ἣν δὲ νυνὶ συντάττομεν, περὶ τῶν ἑπομένων καὶ ἀκολούθων. in altera autem συντάξει tres partes (seu virtutes Mosis) se tractare velle Philo dicit § 2: ἡ μὲν πραγματεύεται περὶ νομοθεσίαν, ἡ δὲ περὶ ἀρχιερωσύνην, ἡ δὲ τελευταία περὶ προφητείαν. ac prima parte absoluta simul hanc et argumentum libri I comprehendens ad ἀρχιερωσύνην transit his verbis § 66: δύο μὲν ἤδη μέρη τοῦ βίου Μωυσέως διεξεληλύθαμεν, τό τε περὶ βασιλείας καὶ νομοθετικῆς· τρίτον δὲ προσαποδοτέον τὸ περὶ ἱερωσύνης, denique ad προφητείαν his verbis § 187: . . . διειλεγμένος περὶ τῶν πρώτων τριῶν καὶ ἐπιδεδειχὼς Μωυσῆν ἄριστον βασιλέα καὶ νομοθέτην καὶ ἀρχιερέα τὸ τελευταῖον ἔρχομαι δηλώσων, ὅτι καὶ προφήτης γέγονε δοκιμώτατος. accedit testimonium gravissimum catenae Barberini IV 56, in qua non modo excerpta ex initio libri II (cf. adnot. ad p. 200,9. 202,6) sed etiam e libro III qui vulgo fertur petita ἐκ τοῦ περὶ τοῦ Μωυσέως βίου λόγου δευτέρου laudantur: cf. adnot. ad p. 241,20. 254,18; et excerptum illud quod a § 65 usque

ad § 71 pertinet (cf. adnot. ad. p. 215,12) i. e. finem libri II et partem libri III qui vulgo feruntur comprehendit, totum aperte tamquam ex uno libro II petitum significatur. videntur autem verba illa § 66 δύο μὲν ἤδη μέρη κτλ. ab auctore archetypi codicum male intellecta ansam dedisse ad librum II dissecandum et novum librum eo loco incipiendum. tituli quoque speciales inventi sunt et in codicibus quibusdam traditi περὶ νομοθετικῆς (lib. II) et περὶ ἱερωσύνης (lib. III), cum plerique codices titulos exhibeant περὶ τοῦ βίου Μωυσέως λόγος δεύτερος et περὶ τοῦ βίου Μωυσέως λόγος τρίτος. ceterum inter § 65 et § 66 lacunam statuendam esse cognovit Massebieau (*Le classement des oeuvres de Philon* p. 47). nam cum § 46 legis Mosaicae sive Pentateuchi duas partes distinguendas esse Philo dixerit, unam historicam alteram legalem qua praecepta et interdicta contineantur, et de utraque deinceps se expositurum pollicitus sit, pars quidem historica §§ 47—65 tractatur, desideratur autem expositio altera de praeceptis et interdictis; quae, postquam ex uno libro duo facti sunt libri, sub finem prioris videtur intercidisse. cf. *Einteil. u. Chronol. d. Schriften Philos* p. 415 sq. — codices in tres partes discedunt: 1. BEM. 2. VOK. 3. AFGHP. meliorem textus formam in universum exhibent (A)FGHP, ceteri deteriorem. in codice K is liber non ex eodem exemplo quo ceteri descriptus est, sed a memoria codicis V omnino pendet. codex A in priore parte (§ 1—65) ut in libro I fere consentit cum classe BEM, in posteriore (§ 66 sqq.) multo saepius cum classe FGHP, ut plerumque lectio codicum BEMVOK opposita sit lectioni codicum AFGHP; haud raro codices A et F vel coniuncti vel soli genuinam scripturam tradunt.

DE DECALOGO. codices MAPFGH. accedit versio Armenia. titulum libri subscriptionem codicis G secutus restitui περὶ τῶν δέκα λόγων οἳ κεφάλαια νόμων εἰσίν pro vulgato codicum FH et editionum περὶ τῶν δέκα λογίων ἃ κεφάλαια νόμων εἰσίν. codex M praebet περὶ νόμων ἰδέας (cf. § 1 . . . τῶν ἀναγραφέντων νόμων τὰς ἰδέας ἀκριβώσω), codices AP εἰς τὴν δεκάλογον Μωσέως; similiter Ioannes Damascenus in Sacris Parallelis laudat Φίλωνος ἐκ τοῦ εἰς τὸν (vel τὴν) δεκάλογον: cf. adnot ad p. 280,20. 287,22. 290,8. 13. 15. 299,17. 300,1. Eusebius Hist. eccl. II 18,5 breviter laudat περὶ τῶν δέκα λογίων. meliorem quam ceteri codices memoriam codex M prae se fert, qui, quamvis multis vitiis infectus sit, saepissime

tamen vel cum versione Armenia coniunctus vel solus genuinam scripturam suppeditavit. quod ad ceteros codices attinet, eandem memoriam sequuntur AP et FGH. codices AP soli textum genuinum raro servarunt: cf. 271,21 ἐν. 290,15 οἶδα γὰρ οἶδα. 291,22 ἡμέραις. 303,16 ἐνομοθετεῖτο. saepius codici F veram scripturam debemus: cf. 277,11 ἐνί, ὅτε. 290,5 τι. 291,10 τὴν κοσμοποιίαν. 292,19 τῆς ἀμερίστου. 298,8 ὑποικουρημένων. 298,16 ἄνθρωπον. 303,19 ἀργαλεωτάτας. 304,14 ἀνθρώπῳ. — Ioannes Christophorson Anglus in fine versionis suae latinae quattuor librorum Philoneorum (cf. vol. I p. LXXX) cum varias lectiones e codicibus enotatas tum coniecturas quasdam protulit, quarum tres dignas existimavi quae in textum reciperentur: p. 281,12 μυθογράφοι. 292,3 ἑξαήμερον. 294,19 ἀνθρώπους.

Sero mihi nuntius allatus est, in bibliotheca Vaticana palimpsestum extare, quo cum alia scripta Philonis continentur tum liber *de decalogo*; de quo fusius alio loco disserendum erit.

Scribebam Vratislaviae
m. Martio a. MDCCCCII.

L. Cohn.

# ADDENDA ET CORRIGENDA

p. 25,16 adnot. cf. Caten. in Genes. 18,7 Ἀδήλου: πάντα σπουδαίως ἐν τῷ οἴκῳ τοῦ σοφοῦ γίνεται. *Procop. Gaz. Comment. in Genes. 18,6* (Migne t. 87,1 Col. 365) πάντα σύντομα ἐν τῷ οἴκῳ τοῦ σπουδαίου γίνεται· γέγραπται γὰρ περὶ μὲν αὐτοῦ· „καὶ ἔσπευσεν Ἀβραὰμ ἐπὶ τὴν σκηνήν". καὶ πάλιν· „εἰς τὰς βόας ἔδραμεν αὐτός". πρὸς δὲ τὴν γυναῖκά φησι· „σπεῦσον". καὶ περὶ τοῦ παιδὸς εἴρηται ὅτι „ἐτάχυνε τοῦ ποιῆσαι αὐτό", δηλονότι τὸ μοσχάριον. *Comment. in Genes. 12,5* (ibid. Col. 321) „καὶ τὰς ψυχὰς δὲ ἃς ἐκτήσαντο" τοὺς ὁμοτρόπους νοητέον οἰκέτας· οὐδεὶς γὰρ κατὰ τὸ εἰρημένον βραδὺς ἐν οἰκίᾳ σοφοῦ.

78,21 corr. χρηστῷ.

86,13 corr. δ'.

104,20 adnot. corr. καὶ V².

134,15 corr. ὠφέλειαν.

141,1 corr. γίνεται.

149,13 sqq. cf. Schol. codicis Laur. IV 13 in Gregor. Naz. or. XLII 2 (ed. Puntoni in E. Piccolomini, *Studi di filologia greca* I p. 211): τῆς ἐννάτης τῶν Αἰγυπτίων πληγῆς: ψηλαφητὸν δὲ σκότος ἐκεῖνο ἐλέγετο ἐκ τοῦ ψηλαφητῶς ἐκ τόπου εἰς τόπον κινεῖσθαι τοὺς Αἰγυπτίους, μήτε ἡλίου ἐν ἡμέραις τρισὶ φαίνοντος μήτε τῶν ἀστέρων καὶ τῆς σελήνης ἐν νυξίν· ἀλλὰ καὶ τὸ διακονικὸν παρ' ἡμῖν τοῦτο πῦρ καὶ μεθ' ὕλης φαῖνον τῷ τοῦ ἀέρος ζόφῳ καὶ τῇ πυκνότητι ἀπεσβέννυτο τὰ τοῦ φωτὸς μὴ ἐνεργοῦν, εἰ μὴ μόνον τῆς καύσεως, ὡς ἐν τῷ βίῳ τοῦ Μωυσέως Φίλων ὁ τῶν Ἑβραίων σοφώτατος ἱστορεῖ. (notitiam huius testimonii H. Useneri benignitati debeo).

170,17 adnot. corr. ὕδωρ.

183,18 corr. γεγονὼς καί.

190,2 corr. τά.

211,18 corr. ἀπαγορεύσεσιν.

# INDEX SIGLORVM

C = Parisinus gr. 435
V = Vindobonensis suppl. gr. 50
O = Laurentianus X 23
B = Venetus gr. 42
E = Oxoniensis Lincolniensis 34
K = Laurentianus conv. soppr. 59
Z = Mazarinaeus 1310
M = Laurentianus X 20
A = Monacensis gr. 459
F = Laurentianus LXXXV 10
G = Vaticano-Palatinus gr. 248
H = Venetus gr. 40
P = Petropolitanus XX Aa 1
L = Parisinus gr. 433

N = Neapolitanus II C 32 (excerpta)
D = Sacra Parallela
  $D^C$ = Coislinianus 276
  $D^K$ = Vaticanus gr. 1553
  $D^P$ = Parisinus gr. 923
  $D^M$ = Venetus gr. 138
  $D^H$ = Hierosolymitanus 15
  $D^R$ = Rupefucaldinus (Berolinensis Phill. 1450)
  $D^L$ = Laurentianus VIII 22
  $D^V$ = Vaticanus gr. 1236
Arm = versio Armenia
Cat. = Catena
Turn. = Turnebus
Mang. = Mangey
v = lectio vulgata

# ΦΙΛΩΝΟΣ

## ΒΙΟΣ ΣΟΦΟΥ ΤΟΥ ΚΑΤΑ ΔΙΔΑΣΚΑΛΙΑΝ ΤΕΛΕΙΩΘΕΝΤΟΣ Η ΝΟΜΩΝ ΑΓΡΑΦΩΝ ⟨ΤΟ ΠΡΩΤΟΝ⟩ Ο ΕΣΤΙ ΠΕΡΙ ΑΒΡΑΑΜ

---

II p. 1 M. (1.) Τῶν ἱερῶν νόμων ἐν πέντε βίβλοις ἀναγραφέντων ἡ πρώτη 1
καλεῖται καὶ ἐπιγράφεται Γένεσις ἀπὸ τῆς τοῦ κόσμου γενέσεως, ἣν ἐν
ἀρχῇ περιέχει, λαβοῦσα τὴν πρόσρησιν, καίτοι μυρίων ἄλλων ἐμφερο-
μένων πραγμάτων, ὅσα κατ' εἰρήνην ἢ πόλεμον ἢ φορὰς καὶ ἀφορίας
ἢ λιμὸν καὶ εὐθηνίαν ἢ τὰς μεγίστας τῶν ἐπὶ γῆς φθορὰς διὰ πυρὸς
καὶ ὕδατος ἢ τοὐναντίον γενέσεις καὶ εὐτροφίας ζῴων καὶ φυτῶν κατὰ
τὴν ἀέρος καὶ τῶν ἐτησίων ὡρῶν εὐκρασίαν καὶ ἀνδρῶν τῶν μὲν ἀρετῇ
τῶν δὲ κακίᾳ συμβιωσάντων· ἀλλ' ἐπεὶ τούτων τὰ μέν ἐστι τοῦ κόσμου 2
μέρη, τὰ δὲ παθήματα, τελειότατον δὲ καὶ πληρέστατον ὁ κόσμος, αὐτῷ
τὴν ὅλην βίβλον ἀνέθηκεν. ὃν μὲν οὖν τρόπον ἡ κοσμοποιία διατέτακται,
p. 2 M. διὰ τῆς προτέρας συντάξεως, ὡς οἷόν τε | ἦν, ἠκριβώσαμεν. ἐπεὶ δὲ 3

---

1—3 Φίλωνος βίος σοφοῦ τοῦ κατὰ διδασκαλίαν τελειωθέντος ἢ νόμων ἀγράφων· ὅ ἐστι περὶ ἀβραάμ C, βίος σοφοῦ τοῦ κατὰ διδασκαλίαν τελειωθέντος νόμοις ἀγράφων, ὅς ἐστι περὶ ἀβραάμ G, τοῦ αὐτοῦ βίος σοφοῦ τοῦ κατὰ διδασκαλίαν τελειωθέντος ἢ νόμων, ὅς ἐστι περὶ ἀβραάμ F, τοῦ αὐτοῦ βίος κατὰ διδασκαλίαν τελειωθέντος ἢ νόμος ἀγράφων BE, τοῦ αὐτοῦ βίος (σοφοῦ ss.) τοῦ κατὰ διδασκαλίαν τελειωθέντος ἢ νόμος (ων ss.) ἀγράφων (ὅ ἐστι περὶ ἀβραάμ add. postea) K, βίος σοφοῦ τοῦ κατὰ διδασκαλίαν τελειωθέντος ἢ νόμων ἀγράφων MA, περὶ βίου σοφοῦ ἢ νόμων ἀγράφων HP 3 τὸ πρῶτον addidi 5. 6 ἣν—περιέχει om. Arm 7 καὶ ἀφορίας BEK Arm: ἢ ἀφορίας ceteri 8 ἢ λιμὸν καὶ εὐθηνίαν om. Arm φθορὰς] φθορᾶς A, φορὰς BE 8. 9 δι' ὕδατος καὶ πυρὸς transp. Arm 10 τῶν pr.] τὴν H (Turn.) ἀνδρῶν BEK: τῶν ἀνδρῶν ceteri 11 ἐπεὶ BEK: ἐπειδὴ ceteri τοῦ om. K 12 μαθήματα FG 13 συντέτακται K

τοὺς νόμους κατὰ τὸ ἑξῆς ⟨καὶ⟩ ἀκόλουθον ἀναγκαῖον διερευνᾶσθαι, τῶν
ἐπὶ μέρους καὶ ὡς ἂν εἰκόνων ὑπέρθεσιν ποιησάμενοι τοὺς καθολικωτέρους
4 καὶ ὡς ἂν ἀρχετύπους προτέρους διερευνήσωμεν. οὗτοι δέ εἰσιν ἀνδρῶν
οἱ ἀνεπιλήπτως καὶ καλῶς βιώσαντες, ὧν τὰς ἀρετὰς ἐν ταῖς ἱερωτάταις
ἐστηλιτεῦσθαι γραφαῖς συμβέβηκεν, οὐ πρὸς τὸν ἐκείνων ἔπαινον αὐτὸ
μόνον, ἀλλὰ καὶ ὑπὲρ τοῦ τοὺς ἐντυγχάνοντας προτρέψασθαι καὶ ἐπὶ τὸν
5 ὅμοιον ζῆλον ἀγαγεῖν. οἱ γὰρ ἔμψυχοι καὶ λογικοὶ νόμοι ἄνδρες ἐκεῖνοι
γεγόνασιν, οὓς δυοῖν χάριν ἐσέμνυνεν· ἑνὸς μὲν βουλόμενος ἐπιδεῖξαι,
ὅτι τὰ τεθειμένα διατάγματα τῆς φύσεως οὐκ ἀπᾴδει, δευτέρου δὲ ὅτι
οὐ πολὺς πόνος τοῖς ἐθέλουσι κατὰ τοὺς κειμένους νόμους ζῆν, ὁπότε
καὶ ἀγράφῳ τῇ νομοθεσίᾳ, πρίν τι τὴν ἀρχὴν ἀναγραφῆναι τῶν ἐν μέρει,
ῥᾳδίως καὶ εὐπετῶς ἐχρήσαντο οἱ πρῶτοι· ὡς δεόντως ἄν τινα φάναι,
τοὺς τεθέντας νόμους μηδὲν ἀλλ' ἢ ὑπομνήματα εἶναι βίου τῶν παλαιῶν,
6 ἀρχαιολογοῦντας ἔργα καὶ λόγους, οἷς ἐχρήσαντο. ἐκεῖνοι γὰρ οὔτε
γνώριμοι καὶ φοιτηταὶ γενόμενοί τινων οὔτε παρὰ διδασκάλοις ἃ χρὴ
πράττειν καὶ λέγειν ἀναδιδαχθέντες, αὐτήκοοι δὲ καὶ αὐτομαθεῖς, ἀκολουθίαν φύσεως ἀσπασάμενοι, τὴν φύσιν αὐτήν, ὅπερ ἐστὶ πρὸς ἀλήθειαν, πρεσβύτατον θεσμὸν εἶναι ὑπολαβόντες ἅπαντα τὸν βίον ηὐνομήθησαν, ὑπαίτιον μὲν οὐδὲν γνώμαις ἑκουσίοις ἐργασάμενοι, περὶ δὲ τῶν ἐκ τύχης ποτνιώμενοι τὸν θεὸν καὶ λιταῖς καὶ ἱκεσίαις ἐξευμενιζόμενοι πρὸς ὁλοκλήρου μετουσίαν ζωῆς δι' ἀμφοτέρων κατορθουμένης τῶν τε ἐκ προνοίας καὶ τῶν ἄνευ ἑκουσίου γνώμης.

---

1 κατὰ τὸ ἑξῆς om. BE καὶ ἀκόλουθον scripsi: κατακόλουθον BE, ἀκόλουθον ceteri ἀναγκαῖον ἦν K Arm, ἦν (om. ἀναγκαῖον) BE 2 ἐπὶ μέρη F καὶ ὡς ἂν om. C ὡς ἂν εἰκόνων] ὡσανεὶ κοινῶν BEMAP[2] εἰκόνων] ἐκείνων C 3 καὶ om. C διερευνήσωμεν codd.: διερευνήσομεν Mang. 5 οὐχ ὑπὲρ τὸν ἐκείνων ἔπαινον G, οὐχ ὑπὲρ τὸν (corr. ex τοῦ) τὸν ἐκείνων ἔπαινον F, οὐχ ὑπὲρ τοῦ ἐκείνων ἐπαίνου C ἐκεῖνον EP 7 ὅμοιον BEK Arm: τῶν ὁμοίων ceteri 8 μὲν] γὰρ P, μὲν ὅτι in ras. H (Turn.) δεῖξαι L (Turn.) 9 τεθειμένα BEKM: τιθέμενα ceteri τῶν τῆς φύσεως coni. Mang. δὲ om. A διότι BE 10 ἐθέλουσι BEK: θέλουσι ceteri 11 τι] τε BE 12 τινα] τις C, τι FG 13 τιθέντας Mang. μηδὲν om. A ἀλλ' ἢ coni. Wendl. τοῦ βίου K 15 διδασκάλους E, διδασκάλων BK 18 πρεσβύτατον CFG Arm: νόμιμον, πρεσβύτατον K, πρεσβύτατον νόμιμον ceteri ἅπαντα τὸν βίον ηὐνομήθησαν om. CFG, ηὐνομήθησαν om. in lac. A 18. 19 ηὐνομήθησαν BEK Arm: ἐνομοθέτησαν MHP 19 δὲ om. E 20 καὶ λιταῖς om. BE καὶ ταῖς ἱκεσίαις BE 22 ἄνευ] ἐξ Arm

---

7 ἔμψυχοι νόμοι] v. Hirzel, Ἄγραφος νόμος p. 17. 51ss.

(2.) Ἐπειδὴ τοίνυν ἀρχὴ μετουσίας ἀγαθῶν ἐστιν ἐλπὶς καὶ ταύτην οἷα λεωφόρον ὁδὸν ἡ φιλάρετος ἀνατέμνει καὶ ἀνοίγει ψυχὴ σπουδάζουσα τυχεῖν τοῦ πρὸς ἀλήθειαν καλοῦ, τὸν πρῶτον ἐλπίδος ἐραστὴν προσεῖπεν „ἄνθρωπον“ τὸ κοινὸν τοῦ γένους ὄνομα κατ' ἐξαίρετον χάριν δωρησάμενος αὐτῷ· Χαλδαῖοι γὰρ τὸν ἄνθρωπον Ἐνὼς καλοῦσιν, ὡς μόνου πρὸς ἀλήθειαν ὄντος ἀνθρώπου τοῦ τὰ ἀγαθὰ προσδοκῶντος καὶ ἐλπίσι χρησταῖς ἐφιδρυμένου· ἐξ οὗ δῆλον, ὅτι τὸν δύσελπιν οὐκ ἄνθρωπον ἀλλ' ἀνθρωποειδὲς ἡγεῖται θηρίον τὸ οἰκειότατον ἀνθρωπίνης ψυχῆς, ἐλπίδα, ἀφῃρημένον. ὅθεν καὶ παγκάλως ὑμνῆσαι βουλόμενος τὸν εὔελπιν προειπών, ὅτι οὗτος ἤλπισεν ἐπὶ τὸν τῶν ὅλων πατέρα καὶ
p. 3 M. ποιητήν (cf. Gen. 4, 26), ἐπιλέγει· „αὕτη ἡ βίβλος | γενέσεως ἀνθρώπων“ (Gen. 5, 1), καίτοι πατέρων καὶ πάππων ἤδη γεγονότων· ἀλλὰ τοὺς μὲν ἀρχηγέτας τοῦ μικτοῦ γένους ὑπέλαβεν εἶναι, τουτονὶ δὲ τοῦ καθαρωτάτου καὶ διηθημένου, ὅπερ ὄντως ἐστὶ λογικόν. καθάπερ γὰρ ποιητὴς Ὅμηρος, μυρίων ποιητῶν ὄντων, κατ' ἐξοχὴν λέγεται, καὶ τὸ μέλαν ᾧ γράφομεν, καίτοι παντὸς ὃ μὴ λευκόν ἐστι μέλανος ὄντος, καὶ ἄρχων Ἀθήνησιν ὁ ἐπώνυμος καὶ τῶν ἐννέα ἀρχόντων ἄριστος, ἀφ' οὗ οἱ χρόνοι καταριθμοῦνται, τὸν αὐτὸν τρόπον καὶ τὸν ἐλπίδι χρώμενον „ἄνθρωπον“ κατ' ἐξοχὴν ὠνόμασε τὰ πλήθη τῶν ἄλλων ἀφησυχάσας ὡς οὐκ ἀξίων

7 (line 1) · 8 (line 5) · 9 (line 9) · 10 (line 14)

2 ἀνατέμνει] ἀναφαίνει CF ἀνατέμνει καὶ om. Arm 4 post ἐραστὴν add. ἐνὼς M ἄνθρωπον om. BE 6 τἀγαθὰ F 7 δῆλον ὅτι CBEK: δηλονότι ceteri οὐκ BE Arm: οὐδ' ceteri 8 τοῦ οἰκειοτάτου P 9 ψυχῆς om. BE καὶ om. Arm 10 εὐέλπιστον BE προσειπὼν BEK οὗτος ἤλπισεν ἐπικαλεῖσθαι· αὕτη ἡ βίβλος γενέσεως ἀνθρώπων C adnot. in marg. 13 καθαριωτέρου BE 14 διειθισμένου A ὄντως] οὗτος A λογικῶν BE ὁ ποιητὴς MAHP 15 ποιητῶν ὄντων BEK: ὄντων ποιητῶν ceteri κατ' ἐξοχὴν om. G 15. 16 καὶ μέλαν τὸ ᾧ conicio 16 ᾧ] ὃ BEK, ὧ ὃ P πάντως BEMA μέλαν ὄντως BEMA 16—18 καὶ ἄρχων — καταριθμοῦνται om. Arm 17 ὁ ἄριστος BEKF 19 ὠνόμασεν CE ἐφυσηχάσας (ά superscr.) (sic) C, ἐφησυχάσας MAH ἀξίους BE

3 sqq. *Euseb. Pr. Ev. VII 8,5* ... παρ' ὃ καὶ πρῶτος ἀληθὴς ἄνθρωπος χρηματίσαι παρ' Ἑβραίοις ἀναγέγραπται· κέκληται δ' οὖν (γοῦν?) Ἐνώς, ὅπερ ἐστὶν ἀληθὴς ἄνθρωπος, εὐθυβόλῳ προσωνυμίᾳ. οὐδὲ γὰρ ἄλλον φασὶν ἀληθῆ προσήκειν ἡγεῖσθαι καὶ ὀνομάζειν ἄνθρωπον ἢ τὸν θεοῦ γνώσεως καὶ εὐσεβείας ἐπήβολον, τὸν ἀληθῶς γνωστικὸν ὁμοῦ καὶ εὐσεβῆ, (6) ὅτι δὴ τοὺς μὴ τοιούτους, θρεμμάτων κατ' οὐδὲν ἀλόγων διαφέροντας, οἷα ἐπὶ γαστέρα καὶ ἡδονὴν πρηνεῖς καταβεβλημένους, θῆρας μᾶλλον ἢ ἀνθρώπους ἡ Ἑβραίων ἀποκαλεῖν διδάσκει γραφὴ κυριολεκτεῖν εἰθισμένη τὰς προσηγορίας .... (11) τοιόσδε μὲν οὖν ὁ παρ' Ἑβραίοις εἰσῆκται πρῶτος καὶ ἀληθὴς ἄνθρωπος ... ὁ θεοφιλῶν πρώτιστος, ὃς ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου τοῦ θεοῦ.

11 τῆς αὐτῆς προσρήσεως ἐπιλαχεῖν. εὖ μέντοι καὶ τὴν βίβλον γενέσεως
τοῦ πρὸς ἀλήθειαν ἀνθρώπου προσεῖπεν, οὐκ ἀπὸ σκοποῦ, διότι γραφῆς
καὶ μνήμης ἄξιος ὁ εὔελπις, οὐ τῆς ἐν χαρτιδίοις ὑπὸ σητῶν δια-
φθαρησομένοις, ἀλλὰ τῆς ἐν ἀθανάτῳ τῇ φύσει, παρ' ᾗ τὰς σπουδαίας
12 πράξεις ἀναγράπτους εἶναι συμβέβηκεν. εἰ μέντοι καταριθμήσειέ τις
ἀπὸ τοῦ πρώτου καὶ γηγενοῦς, τὸν ὑπὸ μὲν Χαλδαίων Ἐνὼς Ἑλλάδι
13 δὲ διαλέκτῳ προσαγορευόμενον „ἄνθρωπον" εὑρήσει τέταρτον. ἐν ἀριθ-
μοῖς δὲ ἡ τετρὰς τετίμηται παρά τε τοῖς ἄλλοις φιλοσόφοις, ὅσοι τὰς
ἀσωμάτους οὐσίας καὶ νοητὰς ἠσπάσαντο, καὶ μάλιστα παρὰ Μωυσεῖ τῷ
πανσόφῳ, ὃς σεμνύνων τὸν τέταρτον ἀριθμόν φησιν, ὅτι „ἅγιός ἐστι
καὶ αἰνετός" (Lev. 19, 24)· δι' ἃς δ' αἰτίας ἐλέχθη, διὰ τῆς προτέρας
14 συντάξεως εἴρηται. ἅγιος δὲ καὶ ἐπαινετὸς ὁ εὔελπις, ὡς τοὐναντίον
ἄναγνος καὶ ψεκτὸς ὁ δύσελπις, φόβῳ πρὸς ἅπαντα συμβούλῳ κακῷ
χρώμενος· οὐδὲν γὰρ οὕτως ἐχθρὸν ἄλλο ἄλλῳ φασίν, ὡς ἐλπίδα φόβῳ
καὶ φόβον ἐλπίδι· καὶ μήποτ' εἰκότως· προσδοκία μὲν γὰρ ἑκάτερον,
ἀλλ' ἡ μὲν ἀγαθῶν, ἡ δ' ἔμπαλιν κακῶν, ἀκατάλλακτοι δ' αἱ φύσεις
15 τούτων καὶ ἀσύμβατοι. (3.) τοσαῦτα μὲν ἀπόχρη περὶ ἐλπίδος εἰπεῖν,
ἣν ἐπὶ θύραις οἷα πυλωρὸν ἡ φύσις ἱδρύσατο βασιλίδων τῶν ἔνδον
16 ἀρετῶν, αἷς οὐκ ἔστιν ἐντυχεῖν μὴ ταύτην προθεραπεύσαντας. πολλὰ
μὲν οὖν οἱ νομοθέται, πολλὰ δὲ οἱ πανταχοῦ νόμοι πραγματεύονται
περὶ τοῦ τὰς ψυχὰς τῶν ἐλευθέρων ἐλπίδων χρηστῶν ἀναπλῆσαι· ὁ δ'
ἄνευ παραινέσεως δίχα τοῦ κελευσθῆναι γενόμενος εὔελπις ἀγράφῳ μὲν
νόμῳ δὲ πάλιν αὐτομαθεῖ τὴν ἀρετὴν ταύτην πεπαίδευται, ὃν ἡ φύσις
ἔθηκε.
17 Δευτέραν δ' ἔλαχε τάξιν μετὰ τὴν ἐλπίδα ἡ ἐπὶ τοῖς ἁμαρτα-

---

1 ἐπὶ ante γενέσεως add. BE 2 ἀνθρώπου om. F 3 τῆς] τοῖς F χαρτηδίοις A post χαρτιδίοις add. τοῖς H²L(v) σητῶν] σήψεων CFG (Turn.) 3. 4 διαφθαρησομένοις K (ης supra), διαφθαρησομένης C (Arm?) 4 τῆς] τοῖς BE τῇ om. AK ᾗ] ἧς A 5 ἀναγράπτους] ἀνεξαλείπτους Arm post μέντοι add. καὶ AH 6 τὸν] καὶ F . μὲν ὑπὸ transp. HP 8—9 παρὰ—οὐσίας om. F 8 τε om. HP¹, ss. P² 9 καὶ νοητὰς οὐσίας transp. K (fort. recte) μωσῇ G, μωσεῖ ceteri 11 δὲ BEK ἐλέχθη cum seqq. coniungit et εἴρηται om. Arm (fort. recte) 12 ὁ εὔελπις om. BE 13 ἄναγνος BEK: ἐναγής ceteri 14 ἄλλῳ] ἄλλως BEM, ἀλλ' ὡς A 15 καὶ alt. om. H¹P¹, ss. H²P² 16 ἡ δ'] ἧδ' MAH, ὁ δ' Mang. δ' αἱ] δὲ CF¹G 17 καὶ] αἱ CF¹ 19 προθεραπεύσαντας CBEK: προθεραπεύοντας ceteri 20 οὖν om. A 23 πεπαίδευται, ὃν ] πεπαιδευτέον BE 24 ἔθηκεν B 25 δὲ BEK ἔλαχε BEK Arm: ἔχει ceteri

νομένοις μετάνοια καὶ βελτίωσις· ὅθεν ἑξῆς ἀναγράφει τὸν ἀπὸ χείρο-
νος βίου πρὸς τὸν ἀμείνω μεταβαλόντα, ὃς καλεῖται παρὰ μὲν Ἑβραίοις
Ἐνώχ, ὡς δ᾽ ἂν Ἕλληνες εἴποιεν „κεχαρισμένος“, ἐφ᾽ οὗ καὶ ταυτὶ
p. 4 M. λέλεκται, ὡς ἄρα | „εὐηρέστησεν Ἐνὼχ τῷ θεῷ καὶ οὐχ ηὑρίσκετο, ὅτι
μετέθηκεν αὐτὸν ὁ θεός“ (Gen. 5, 24). ἡ γὰρ μετάθεσις τροπὴν 18
ἐμφαίνει καὶ μεταβολήν· πρὸς δὲ τὸ βέλτιον ἡ μεταβολή, διότι προμη-
θείᾳ γίνεται θεοῦ· πᾶν γὰρ τὸ σὺν θεῷ καλὸν καὶ συμφέρον πάντως,
ἐπεὶ καὶ τὸ ἄνευ θείας ἐπιφροσύνης ἀλυσιτελές. εὖ δ᾽ εἴρηται τὸ „οὐχ 19
ηὑρίσκετο“ ἐπὶ τοῦ μετατεθειμένου, τῷ τὸν ἀρχαῖον καὶ ἐπίληπτον
ἀπαληλίφθαι βίον καὶ ἠφανίσθαι καὶ μηκέθ᾽ εὑρίσκεσθαι, καθάπερ εἰ
μηδὲ τὴν ἀρχὴν ἐγένετο, ἢ τῷ τὸν μετατιθέμενον καὶ ἐν τῇ βελτίονι
ταχθέντα τάξει δυσεύρετον εἶναι φύσει· πολύχουν μὲν γὰρ ἡ κακία, διὸ
καὶ πολλοῖς γνώριμον, σπάνιον δ᾽ ἡ ἀρετή, ὡς μηδ᾽ ὑπ᾽ ὀλίγων κατα-
λαμβάνεσθαι. καὶ ἄλλως ὁ μὲν φαῦλος ἀγορὰν καὶ θέατρα καὶ δικαστήρια 20
βουλευτήριά τε καὶ ἐκκλησίας καὶ πάντα σύλλογον καὶ θίασον ἀνθρώπων
ἅτε φιλοπραγμοσύνῃ συζῶν μετατρέχει, τὴν μὲν γλῶτταν ἀνιεὶς πρὸς
ἄμετρον καὶ ἀπέραντον καὶ ἄκριτον διήγησιν, συγχέων ἅπαντα καὶ φύρων,
ἀληθέσι ψευδῆ καὶ ῥητοῖς ἄρρητα καὶ ἴδια κοινοῖς καὶ ἱεροῖς βέβηλα

---

2 τὸν om. BE ἀμείνω BEK: ἀμείνονα ceteri μεταβαλόντα CBEK: μεταβάλλοντα ceteri 3 εἴποιε H¹P ἀφ᾽ οὗ H (Turn.) 4 Ἐνὼχ om. Arm εὑρίσκετο K, εὑ- ex ηὑ- corr. B 8 εὖ] ὃ BE εἴρητο C τὸ] καὶ BE, τὸ καὶ Arm 9 εὑρίσκετο BEK ante τῷ add. ἢ BE τῷ] τὸ F τὸν τῶν ἀρχαίων A καὶ om. Mang. 10 ἀπαληλίφθαι K, ἀπαληλεῖφθαι BE: ἀπηλεῖφθαι ceteri βίον καὶ ἠφανίσθαι BEK: καὶ ἠφανίσθαι βίον transp. ceteri, καὶ ἠφανίσθαι om. Arm μηκέθ᾽ BEK: μηκέτι ceteri 11 μετατιθέμενον BEK: μετατεθειμένον ceteri 12 φύσει] φύσιν H, τάξει BE 13 δὲ BEK ὑπ᾽] ἀπ᾽ F 15 ἀνθρώπων καὶ θίασον transp. HP 16 τὴν μὲν γλῶτταν] τῇ μὲν τὰ ὦτα BE 17 ἀμέτρων καὶ ἀπεράντων BE Arm καὶ ἄκριτον (ἀκρίτων BE) διήγησιν BEK: διήγησιν καὶ ἄκριτον transp. ceteri, καὶ ἄκριτον om. Arm post συγχέων add. γὰρ CFGA ἅπαντα BEK: πάντα ceteri 18 καὶ ἴδια—βέβηλα om. Arm

---

1 sqq. *Euseb. Pr. Ev. VII 8,13* ἀλλὰ γὰρ μετὰ τὸν εἰρημένον (Ἐνὼς) ἄλλος „εὐηρέστησε τῷ κυρίῳ καὶ οὐχ ηὑρίσκετο“, ὥς φησι Μωυσῆς, „διότι μετέθηκεν αὐτὸν ὁ θεὸς“ δι᾽ ἄκραν ἀρετῆς τελείωσιν· δυσεύρετος γὰρ ὅ γε σοφὸς ἀληθῶς. (14) οὗτος δ᾽ ἂν εἴη ὁ ἐν θεῷ τέλειος, ὁ τῆς τῶν πολλῶν διατριβῆς μετατεθειμένος. ὁ γὰρ μὴ τοιοῦτος ἀγορὰς καὶ δικαστήρια καπηλείας τε καὶ ἐμπορίας καὶ τὸν πολὺν ὄχλον μεταδιώκων, ὠθούμενός τε καὶ ὠθῶν, μέσος ἐν αὐτῷ κακίας βυθῷ καταπίνεται· ὁ δ᾽ ὑπὸ θεοῦ ληφθεὶς καὶ τῶν τῇδε ἐκεῖσε μετατεθειμένος ἀφανὴς μὲν καὶ ἀνεύρετος ἀνθρώποις, θεῷ δὲ φίλος γεγονὼς ὑπὸ θεοῦ εὕρηται. (15) τοῦτον Ἐνὼχ Ἑβραίοις ὀνομάζειν φίλον· χάριν δὲ θεοῦ σημαίνοι ἂν τοὔνομα.

καὶ σπουδαίοις γελοῖα ἀναμιγνύς, διὰ τὸ μὴ πεπαιδεῦσθαι τὸ ἐν καιρῷ
κάλλιστον, ἡσυχίαν, τὰ δὲ ὦτα ἐπουρίσας ἕνεκα πολυπράγμονος περιερ-
21 γίας· τὰ γὰρ ἑτέρων εἴτε ἀγαθὰ εἴτ' αὖ κακὰ γλίχεται μανθάνειν, ὡς
αὐτίκα τοῖς μὲν φθονεῖν, ἐφ' οἷς δὲ ἥδεσθαι· βάσκανον γὰρ καὶ μισόκαλον
22 καὶ φιλοπόνηρον ὁ φαῦλος φύσει. (4.) ὁ δ' ἀστεῖος ἔμπαλιν ἀπράγ-
μονος ζηλωτὴς βίου γεγονὼς ὑποχωρεῖ καὶ μόνωσιν ἀγαπᾷ, λανθάνειν
τοὺς πολλοὺς ἀξιῶν, οὐ διὰ μισανθρωπίαν — φιλάνθρωπος γάρ, εἴ καί
τις ἄλλος —, ἀλλὰ διὰ τὸ προβεβλῆσθαι κακίαν, ἣν ὁ πολὺς ὄχλος
ἀσπάζεται, χαίρων μὲν ἐφ' οἷς στένειν ἄξιον, λυπούμενος δὲ ἐφ' οἷς γεγη-
23 θέναι καλόν. ὧν ἕνεκα συγκλεισάμενος οἴκοι τὰ πολλὰ καταμένει μό-
λις τὰς κλισιάδας ὑπερβαίνων ἢ διὰ τοὺς ἐπιφοιτῶντας συνεχέστερον
ἔξω πόλεως προελθὼν ἐν μοναγρίᾳ ποιεῖται τὰς διατριβὰς ἥδιον συμ-
βιωταῖς χρώμενος τοῖς ἅπαντος τοῦ γένους ἀνθρώπων ἀρίστοις, ὧν τὰ
μὲν σώματα διέλυσεν ὁ χρόνος, τὰς δ' ἀρετὰς αἱ ἀπολειφθεῖσαι γραφαὶ
ζωπυροῦσι διά τε ποιημάτων καὶ τῶν καταλογάδην συγγραμμάτων, οἷς
24 ἡ ψυχὴ πέφυκε βελτιοῦσθαι. διὰ τοῦτο εἶπεν ὅτι ὁ μετατεθεὶς „οὐχ
εὑρίσκετο" δυσεύρετος καὶ δυσθήρατος ὤν. μεθορμίζεται οὖν εἰς παιδείαν
ἐξ ἀμαθίας καὶ ἐξ ἀφροσύνης εἰς φρόνησιν ἔκ τε δειλίας εἰς | ἀνδρείαν p. 5 M.
καὶ ἐξ ἀσεβείας εἰς εὐσέβειαν, καὶ πάλιν ἐκ μὲν φιληδονίας εἰς ἐγκράτειαν,
ἐκ δὲ φιλοδοξίας εἰς ἀτυφίαν· ὧν τίς ἢ πλοῦτος ἐπάξιος ἢ βασιλείας καὶ
25 δυναστείας κτῆσις ὠφελιμωτέρα; εἰ γὰρ χρὴ τἀληθὲς εἰπεῖν, ὁ μὴ
τυφλὸς ἀλλ' ὀξὺ βλέπων πλοῦτος ἡ τῶν ἀρετῶν ἐστι περιουσία, ἣν εὐθὺς
γνήσιον καὶ εὔνομον παρὰ τὰς νόθους καὶ ψευδωνύμους ἀρχὰς ὑποληπτέον
26 ἡγεμονίαν ἐνδίκως ἅπαντα πρυτανεύουσαν. οὐ δεῖ δὲ ἀγνοεῖν, ὅτι τὰ
δευτερεῖα φέρεται μετάνοια τελειότητος, ὥσπερ καὶ ἀνόσου σώματος

---

1 τὸ alt.] τε CGP[1], τὴν AP[2]F  2 δ' BEK, γὰρ Arm  ἐπουρίσας scripsi: ἐπουριάσας BE, ἐπουρίας A, εὐπορίας CFGM, ἐπορθιάσας εὐπορίας HP(v), ἐπορίας (sic) ἐπορθιάσας K, ἄφρουρα (sic) Arm  post ἕνεκα add. καὶ H[2](v), om. ceteri  2. 3 περιεργασίας L (Turn.)  3 post περιεργίας add. ἐπορθιάσας M Arm  γὰρ om. CFG Arm, eras. H  εἴτ' M  εἴτ' αὖ BEK Arm: εἴτε (om. αὖ) ceteri  6 μόνῳ συναγαπᾷ A  8 τὸ μὴ προβεβλῆσθαι BEK  9 δ' BEK  11 κλησιάδας CG  12 ἐν ναγρία (sic) B, ἐν μοναγρίῳ C(v)  ἥδιον] ἴδιον A  12. 13 συμβιωτῆς C  13 τοῦ] τοῖς E  ἀνθρώπων om. BE  ἀρίστοις, ὧν] ἄριστος ὧν FG  15 διά—συγγραμμάτων om. Arm  κατὰ λογάδην MH  16 τοῦτο BEK: τοῦτ' ceteri  17 εὑρίσκετο C Arm: εὑρίσκεται ceteri  μεθαρμόζεται GK  18 ἀμαθείας FG  εἴς τε ἀνδρείαν ἐκ δειλίας Arm  ἀνδρίαν EFG  19. 20 καὶ pr.—ἀτυφίαν] „et ab omni malitia in omnem virtutem" Arm  20 ἢ pr.] ὁ F, om. BE Arm  20. 21 ἢ βασιλείας—ὠφελιμωτέρα om. Arm  21 χρὴ om. BE  22 ἣν] τὴν BE  22—24 ἣν—πρυτανεύουσαν om. Arm  23 εὔνομον] εὔγνωμον F  τὰς] τοὺς A  24 ἅπαντας BE  25 ἀνόσου] νοσώδους Arm

ἡ πρὸς ὑγείαν ἐξ ἀσθενείας μεταβολή. τὸ μὲν οὖν διηνεκὲς καὶ τέλειον ἐν ἀρεταῖς ἐγγυτάτω θείας ἵσταται δυνάμεως, ἡ δ' ἀπό τινος χρόνου βελτίωσις ἴδιον ἀγαθὸν εὐφυοῦς ψυχῆς ἐστι μὴ τοῖς παιδικοῖς ἐπιμενούσης ἀλλ' ἁδροτέροις καὶ ἀνδρὸς ὄντως φρονήμασιν ἐπιζητούσης εὔδιον κατάστασιν [ψυχῆς] καὶ τῇ φαντασίᾳ τῶν καλῶν ἐπιτρεχούσης.

(5.) Ὅθεν εἰκότως τῷ μετανενοηκότι τάττει κατὰ τὸ ἑξῆς τὸν 27
θεοφιλῆ καὶ φιλάρετον, ὃς Ἑβραίων μὲν τῇ γλώττῃ καλεῖται Νῶε, τῇ δὲ Ἑλλήνων „ἀνάπαυσις“ ἢ „δίκαιος“, οἰκειόταται προσρήσεις σοφῷ· ἐμφανῶς μὲν ὁ δίκαιος, ἄμεινον γὰρ οὐδὲν δικαιοσύνης, τῆς ἐν ἀρεταῖς ἡγεμονίδος, ἣ καθάπερ ἐν χορῷ καλλιστεύουσα πρεσβεύει· ἡ δ' ἀνάπαυσις, ἐπεὶ καὶ τοὐναντίον τὴν παρὰ φύσιν κίνησιν ταραχῶν καὶ θορύβων στάσεών τε καὶ πολέμων αἰτίαν εἶναι συμβέβηκεν, ἣν μετίασιν οἱ φαῦλοι, ἠρεμαῖον δὲ καὶ ἡσυχάζοντα καὶ σταθερὸν ἔτι δὲ καὶ εἰρηνικὸν βίον οἱ καλοκἀγαθίαν τετιμηκότες. ἑπόμενος δ' αὐτὸς αὑτῷ καὶ τὴν ἑβδόμην, 28
ἣν Ἑβραῖοι σάββατα καλοῦσιν, ἀνάπαυσιν ὀνομάζει, οὐχ, ὡς οἴονταί τινες, ὅτι δι' ἓξ ἡμερῶν τῶν συνήθων ἔργων ἀπείχετο τὸ πλῆθος, ἀλλ' ὅτι τῷ ὄντι ὁ ἕβδομος ἀριθμὸς ἔν τε τῷ κόσμῳ καὶ ἐν ἡμῖν αὐτοῖς ἀεὶ ἀστασίαστος καὶ ἀπόλεμος καὶ ἀφιλόνεικος καὶ εἰρηνικώτατος ἁπάντων ἀριθμῶν ἐστι. μάρτυρες δὲ τοῦ λεχθέντος αἱ ἐν ἡμῖν δυνάμεις· 29
αἱ μὲν γὰρ ἓξ τὸν ἄπαυστον καὶ συνεχῆ πόλεμον ἐν γῇ καὶ θαλάττῃ συγκροτοῦσιν, αἵ τε πέντε αἰσθήσεις καὶ ὁ προφορικὸς λόγος, αἱ μὲν πόθῳ τῶν αἰσθητῶν, ὧν ἐὰν μὴ τυγχάνωσιν, ἀνιῶνται, ὁ δ' ἀχαλίνῳ στόματι μυρία τῶν ἡσυχαστέων ἐκλαλῶν· ἡ δ' ἑβδόμη δύναμις ἡ περὶ 30
τὸν ἡγεμόνα νοῦν, ὃς ὅταν ἐπικυδέστερος γένηται τῶν ἓξ καὶ δυνατωτέρᾳ

---

1 ἡ πρὸς ὑγείαν om. K  καὶ ἐξ HP, καὶ rursus del. H  καὶ om. BE  2 τῆς θείας Arm  3 ἀγαθὸν om. Arm.  4 ἀλλὰ CFMA  ἀδροτέροις HP, ἀνδρωτέροις A  ἀνδρὸς] ἀνδρείοις coni. Mang.  5 ψυχῆς seclusi („redundat ut videtur“ Mang.)  6 τὸ om. Turn.  7 τῇ γλώττῃ BEKArm: τῇ om. ceteri  8 δ' K  9 ὁ om. F  10 ἣ A  11 pr. καὶ om. GK Arm  ταράχων MG  12 αἰτίαν om. F  13 σταθηρὸν M  ἔτι—εἰρηνικὸν om. Arm  ἔτι δὲ καὶ BEK: ἔτι δ' ceteri  14 αὐτῷ GH[2]: αὑτῷ ceteri  15 σάββατον HP  ὀνομάζειν H[1]P  17 ἔν τε CBEK: τε om. ceteri  18 ἀεὶ BEK: om. ceteri  καὶ ἀφιλόνεικος BEK: ἀφιλονεικότατός τε ceteri  19 μάρτυς BE  20 θαλάσσῃ BEH  22 ἐὰν om. Arm  ἀνιῶνται] κινοῦνται BE, ἀγωνίζονται Arm  23 τῶν ἡσυχαστέον M, ὧν ἡσυχαστέον CFG  δὲ F  24 ὃς om. BECFG Arm  post ὅταν add. ἡ BE  ἐπικυδέστερον AFG  καὶ om. BE Arm  δυνατωτέρα BEK: δυνατωτάτῃ ceteri

---

6 *Euseb. Pr. Ev. VII 8,16* τρίτος μετὰ τούτους πάλιν ἄλλος ἄνθρωπος δίκαιος πεφηνὼς ὁ Νῶε ἐν τῇ γενεᾷ αὐτοῦ μεμαρτύρηται.

ῥώμῃ καταχρατήσας ἀναχωρήσῃ, μόνωσιν ἀσπασάμενος καὶ ταῖς ἑαυτοῦ
πρὸς ἑαυτὸν ⟨χαίρων⟩ ὁμιλίαις ὡς ἀπροσδεὴς ὢν ἑτέρου καὶ αὐταρ-
κέστατος ἑαυτῷ, τηνικαῦτα φροντίδων καὶ πραγματειῶν | ἀπαλλαγεὶς τῶν p. 6 M.
31 ἐν τῷ θνητῷ γένει βίον εὔδιον καὶ γαληνὸν ἀσπάζεται. (6.) οὕτως δ'
ἀποσεμνύνει τὸν φιλάρετον, ὥστε καὶ γενεαλογῶν αὐτὸν οὐ, καθάπερ ἔθος
ἐπὶ τῶν ἄλλων, πάππων ἢ προπάππων ἢ προγόνων ποιεῖται κατάλογον,
ὅσοι πρὸς ἀνδρῶν ἢ πρὸς γυναικῶν εἰσιν, ἀλλά τινων ἀρετῶν, μόνον
οὐχὶ βοῶν ἄντικρυς, ὅτι οἰκία καὶ συγγένεια καὶ πατρὶς οὐδεμία ἐστὶν
ἑτέρα σοφῷ ὅτι μὴ ἀρεταὶ καὶ αἱ κατ' ἀρετὰς πράξεις· „αὗται“ γάρ
φησιν „αἱ γενέσεις Νῶε· Νῶε ἄνθρωπος δίκαιος, τέλειος ἐν τῇ γενεᾷ
32 αὐτοῦ, τῷ θεῷ εὐηρέστησεν“ (Gen. 6, 9). οὐ δεῖ δὲ ἀγνοεῖν, ὅτι νῦν
„ἄνθρωπον“ οὐ κοινῷ τύπῳ τὸ λογικὸν θνητὸν ζῷον καλεῖ, τὸν μέντοι
κατ' ἐξοχήν, ὃς ἐπαληθεύει τοὔνομα τὰ ἀτίθασα καὶ λελυττηκότα πάθη
33 καὶ τὰς θηριωδεστάτας κακίας τῆς ψυχῆς ἀπεληλακώς. σημεῖον δέ· μετὰ
τὸν „ἄνθρωπον“ ἐπιλέγει τὸν „δίκαιον“ εἰπὼν „ἄνθρωπος δίκαιος“, ὡς
ἀδίκου μὲν οὐδενὸς ὄντος ἀνθρώπου (κυριώτερον δ' εἰπεῖν ἀνθρωπομόρφου
34 θηρίου), μόνου δὲ ὃς ἂν ζηλωτὴς ᾖ δικαιοσύνης. φησὶ δ' αὐτὸν καὶ
„τέλειον“ γεγονέναι διὰ τούτου παριστάς, ὡς οὐ μίαν ἀρετὴν ἀλλὰ πάσας
ἐκτήσατο καὶ κτησάμενος ἑκάστῃ κατὰ τὸ ἐπιβάλλον χρώμενος διετέλεσεν.
35 ἐπιστεφανῶν δ' αὐτὸν ὡς ἀγωνιστὴν ἐκνενικηκότα κηρύγματι λαμπροτάτῳ
προσεπικοσμεῖ φάσκων, ὅτι „τῷ θεῷ εὐηρέστησεν“· οὗ τί γένοιτ' ἂν ἐν
τῇ φύσει κρεῖττον; τίς καλοκἀγαθίας ἐναργέστερος ἔλεγχος; εἰ γὰρ οἱ
δυσαρεστήσαντες τῷ θεῷ κακοδαίμονες, οἷς εὐαρεστῆσαι συνέβη πάντως

1 κρατήσας CFG  ἢ ἀναχωρήσῃ BE, ἀναχωρήσει A, ἀναχωρεῖ Arm  2 ἑαυτὸν] αὐτὸν C  χαίρων add. Mang. (vel scribendum τὰς—ὁμιλίας)  3 πραγματειῶν B, πραγματιῶν E: πραγμάτων ceteri  τῶν] τὸν G  4 τῷ om. FG  γαληνὸν scripsi: γαλήνιον codd.  οὕτως BEK: οὕτω ceteri  7 πρὸς alt. om. BE  ἀλλὰ τίνων; MAFHP, τινων om. Arm  9 ἑτέρω H¹P  κατὰ M  πράξεις] τάξεις B  10 φησιν] εἰσιν BEK  Νῶε alt. om. CFG Arm  καὶ τέλειος Arm, τέλειος om. G  11 νῦν om. F  12 καὶ θνητὸν Arm  τὸν] τὸ BEAF¹HP  13 ὃς] ὃ BE  ἀτίθασσα MFK  15 τὸν alt.] τὸ coni. Mang.  τὸν δίκαιον εἰπὼν ἄνθρωπος om. Arm  16 ἀδίκου] δικαίου CFG  post ὄντος distinguunt et ἀνθρώπου cum seqq. coniungunt CFG  16. 17 κυριώτερον—θηρίου om. CFG (fort. recte)  17 δὲ μόνου CFG  δ' BE  ὃς] ὡς AH¹P, ὃς om. BE  ᾖ] ἢ ABE  18 παριστᾶ A  19 ἐκέκτητο G  20 δ' om. BE  ἐκνενικηκότα K (coni. Mang.): εὖ νενικηκότα ceteri  21 τί CFG: τίς corr. ex τί K, τίς ceteri  22 κρεῖττον corr. in κρείττων K: om. BE, κρείττων ceteri  τίς κ. ἐναργέστερος Mang.: τῆς κ. ἐναργέστατος codd. Arm  23 τῶ θεῶ BEK: τῷ om. ceteri  συνέβη BEK: συμβέβηκε ceteri

εὐδαίμονες. (7.) οὐκ ἀπὸ σκοποῦ μέντοι ταῖς τοσαύταις ἀρεταῖς 36
ὑμνήσας τὸν ἄνθρωπον ἐπεῖπεν, ὅτι „τέλειος ἦν ἐν τῇ γενεᾷ αὐτοῦ“
(Gen. 6, 9), δηλῶν ὅτι οὐ καθάπαξ ἀλλὰ κατὰ σύγκρισιν τῶν κατ᾽ ἐκεῖνον
τὸν χρόνον γεγονότων ἀγαθὸς ἦν. ἤδη γὰρ οὐκ εἰς μακρὰν ἐπιμνη- 37
σθήσεται σοφῶν ἑτέρων, οἳ τὴν ἀρετὴν ἀνανταγώνιστον ἔσχον, οὐ πονηροῖς
ἀντεξετασθέντες οὐδ᾽ ὅτι βελτίους ἐγένοντο τῶν κατ᾽ αὐτοὺς ἀποδοχῆς
καὶ προνομίας ἀξιωθέντες, ἀλλ᾽ ὅτι φύσιν εὔμοιρον κτησάμενοι διετήρησαν
αὐτὴν ἀδιάστροφον, οὐ φυγόντες μοχθηρὰ ἐπιτηδεύματα, ἀλλ᾽ οὐδὲ τὴν
ἀρχὴν αὐτοῖς περιπεσόντες, προηγουμένως δὲ καλῶν ἔργων καὶ λόγων
ἀσκηταὶ γενόμενοι τὸν βίον ἐπεκόσμουν. θαυμασιώτατοι μὲν οὖν ἄνδρες 38
ἐκεῖνοι γεγόνασιν, οἳ ταῖς ὁρμαῖς ἐλευθέραις καὶ εὐγενέσιν ἐχρήσαντο,
μὴ κατὰ μίμησιν ἢ ἐναντίωσιν ἑτέρων, ἀλλ᾽ αὐτὸ τὸ καλὸν καὶ τὸ
δίκαιον ἀποδεξάμενοι, θαυμάσιος δὲ καὶ ὁ τῆς καθ᾽ αὐτὸν γενεᾶς διενη-
νοχὼς καὶ μηδενὶ συνενεχθεὶς ὧν ἐζήλωσαν οἱ πολλοί· δευτερείων μὲν
οὗτος ἐφίξεται, τὰ δὲ πρῶτα τῶν ἄθλων ἐκείνοις ἀναδώσει ἡ φύσις.
p. 7 M. τὰ μέντοι δευτερεῖα καὶ αὐτὰ μεγάλα· τί | δ᾽ οὐχὶ μέγα καὶ περι- 39
μάχητον ὧν ὀρέγει καὶ δωρεῖται θεός; σαφεστάτη δὲ πίστις αἱ τῶν
χαρίτων ὑπερβολαί, ὧν οὗτος ἔτυχεν. ἐπεὶ γὰρ ἀδικημάτων φορὰν 40
ἤνεγκεν ὁ χρόνος ἐκεῖνος καὶ πᾶσα χώρα καὶ ἔθνος καὶ πόλις καὶ οἰκία
καὶ ἕκαστος ἰδίᾳ πονηρῶν ἐπιτηδευμάτων ἀνεπέπληστο, πάντων ἑκουσίως
καὶ ἐκ προνοίας ὡς ἐν ἀγῶνι περὶ τῶν ἐν τῷ διαμαρτάνειν πρωτείων

1 μέντοι om. Arm τοιαύταις F 2 ἦν om. BEK αὐτοῦ codd.: αὑτοῦ v 3 καθάπαξ codd.: καθάπαν voluit Mang. 4 γεγονότων om. Arm 5 οἳ] ἡ A ἀνταγώνιστον H[1]P 7 προνομίας] προνοίας BEK ἀλλὰ A 8 μοχθηρὰ ἐπιτηδεύματα BEK Arm: ἐπιτηδεύματα μοχθηρά ceteri οὐ περιπεσόντες εἰς μοχθηρὰ ἐπιτηδεύματα Arm 8. 9 ἀλλ᾽—περιπεσόντες om. Arm 9 καλῶν] ὅλων Arm 10 θαυμασιώτατοι BEK: θαυμαστότατοι ceteri ἄνδρες K: οἱ ἄνδρες BE Arm, ἄνθρωποι ceteri 11 καὶ εὐγενέσιν om. Arm 12. 13 καὶ αὐτοδίκαιον ἀσπαζόμενοι BE 13 θαυμάσιος BEK: θαυμαστὸς ceteri καθ᾽ ἑαυτὸν F, καταυτὸν C 16 αὐτὰ BEK: ταῦτα ceteri 18 ἐπειδὴ F γὰρ om. Arm ἀδικημάτων BEK Arm: ἀδικημάτων καὶ ἀσεβημάτων ceteri 19 ὁ χρόνος ἐκεῖνος BEK Arm: ἐκεῖνος ὁ χρόνος ceteri καὶ πόλις καὶ ἔθνος transp. BEK 19. 20 καὶ οἰκία καὶ ἕκαστος ἰδίᾳ om. Arm 20 ἀνεπέπληστο BE, ἀναπέπληστο K: ἐπέπληστο ceteri πάντως F 21 προνοίας] παροινίας BE post ὡς add. γὰρ BE

4 *Origenes Homil. in Num. IX 1 t. X p. 77* (*Lommatzsch*): Sed et ex iis quae legimus singuli quique iustorum magis ex comparatione ceterorum clari videntur habiti apud Deum. denique de Noe scriptum est, quod esset iustus et perfectus in generatione sua; in quo ostenditur, quod non ex integro perfectus, sed in generatione sua perfectus fuerit et ad comparationem ceterorum iustus pronuntiatus sit.

ἁμιλλωμένων — μετὰ σπουδῆς γὰρ ἁπάσης ἐφιλονείκουν, ἑκάστου τὸν πλη-
σίον μεγέθει κακίας ὑπερβαλεῖν ἐπειγομένου καὶ μηδὲν παραλείποντος τῶν
41 πρὸς ἐπίληπτον καὶ ἐπάρατον βίον —· (8.) ἐφ' οἷς ὁ θεὸς εἰκότως
δυσχεράνας, εἰ τὸ ζῷον τὸ ἄριστον εἶναι δοκοῦν καὶ συγγενείας ἀξιωθὲν
τῆς πρὸς αὐτὸν ἕνεκα τῆς ἐν τῷ λόγῳ κοινωνίας, δέον ἀρετὴν ἐπιτηδεύειν,
ἐζήλωσε κακίαν καὶ τὰ εἴδη πάντα κακίας, δίκην ὁρίζει τὴν προσήκουσαν,
ἀφανίσαι τοὺς τότε ὄντας κατακλυσμῷ διανοηθείς, οὐ μόνον τοὺς ἐν τῇ
πεδιάδι καὶ τοῖς χθαμαλωτέροις ἀλλὰ καὶ τοὺς ἐν τοῖς ὑψηλοτάτοις
42 ὄρεσι κατοικοῦντας. ἡ μὲν γὰρ μεγάλη θάλαττα μετέωρος ὡς οὐδέπω
πρότερον ἀρθεῖσα διὰ τῶν στομάτων ἀθρόᾳ ῥύμῃ τοῖς καθ' ἡμᾶς εἰσ-
ερρύη πελάγεσι, τὰ δὲ πλημμύραντα νήσους καὶ ἠπείρους ἐπέκλυσε,
πηγῶν δ' ἀενάων καὶ ποταμῶν αὐθιγενῶν τε καὶ χειμάρρων ἐπάλληλοι
φοραὶ συνῆπτον ἀλλήλαις ἀναχεόμεναι καὶ πρὸς ὕψος ἐπαιρόμεναι
43 ἐπέβαινον. οὐ μὴν οὐδὲ ὁ ἀὴρ ἠρέμει· πάντα γὰρ τὸν οὐρανὸν βαθὺ
καὶ συνεχὲς νέφος ἐπεῖχε καὶ πνεύματα ἦν ἐξαίσια πάταγοί τε βροντῶν
καὶ ἐπιλάμψεις ἀστραπῶν καὶ κεραυνῶν φοραί, καταρρηγνυμένων ὄμβρων
ἀπαύστων, ὡς νομίσαι τὰ μέρη τοῦ παντὸς εἰς μίαν φύσιν τὴν ὕδατος
ἀναστοιχειούμενα σπεύδειν, ἕως τοῦ μὲν ἄνωθεν καταράττοντος τοῦ δὲ
κάτωθεν ἐπανιόντος μετάρσια ἤρθη τὰ ῥεῖθρα, οἷς οὐ μόνον ἡ πεδιὰς
καὶ ὅση χθαμαλὴ κατακλυσθεῖσα ἠφανίσθη, ἀλλὰ καὶ τῶν ὑψηλοτάτων
44 ὀρῶν αἱ κορυφαί. πάντα γὰρ τὰ μέρη τῆς γῆς ἔδυ καθ' ὕδατος, ὡς
πᾶσαν καθηρπάσθαι καὶ τὸν κόσμον ἀκρωτηριασθέντα μεγάλῳ τμήματι
τὸν παντελῆ καὶ ὁλόκληρον, ὃ μήτε εἰπεῖν μήτε νοῆσαι θέμις, λελω-

---

1 ἁμιλλώμενοι BE, ἁμιλλωμένων om. Arm  γὰρ KMAHP: om. ceteri  ante ἐφιλονείκουν add. ὅτω F, οὕτως G, ἐφιλονείκουν om. C  ἕκαστοι $H^2$  2 μεγέθει κακίας BEK Arm: κακίας μεγέθει ceteri  ἐπειγόμενοι $H^2$  2. 3 καὶ—βίον om. Arm  2 παραλιπόντος BE  τῶν] τὸν F  4 εἰ corr. ex εἰς BE  ζῴων Arm  τὸ alt. om. BEF  6 post ἐζήλωσε add. δὲ HP  καὶ—κακίας om. Arm  εἴδη] ἤδη A  7 ἀφανίσαι BEK: ἀφανίζειν ceteri  οὐ μόνον BEK Arm: οὐ μόνον δὲ ceteri  8 καὶ τοῖς χθαμαλωτέροις om. Arm  ὑψηλοτάτοις om. Arm  9 γὰρ om. BE  θάλασσα BEK  9. 10 ὡς οὐδέπω πρότερον om. Arm  9 ὡς corr. ex ὧν E, ὧν B  οὔπω BE  11 πλημμύροντα CFG  καὶ om. BE  12 δ' BEK Arm: τ' CMAHP, τε G, τῶν F  ἀενάων CEG: ἀεννάων ceteri  ποταμῶν αὐθιγενῶν BEK Arm: αὐθιγενῶν ποταμῶν ceteri  τε BEK: om. ceteri  13 ἀλλήλαις BE: ἀλλήλοις ceteri  ἀνερχόμεναι CFG  14 ante βαθὺ add. καὶ MAGHP  15 καὶ prius ss. $H^2P^2$  τε BEK: δὲ ceteri  16 ἐπιλείψεις ἄστρων BE  17 τὴν] τοῦ $KH^1P$  18 ἕως] ὡς CFG  καταρράττοντος CABEK  post δὲ add. καὶ BE  20 καὶ ὅση χθαμαλὴ om. Arm  21. 22 ὡς ὅλην ἀνηρπάσθαι BE  22. 23 μεγάλῳ—θέμις om. Arm  22 μεγάλα τμήματα coni. Mang.  23 μήτ' BEK  νομῆσαι P

βῆσθαι δοκεῖν. ἀλλὰ γὰρ καὶ ὁ ἀήρ, ἔξω μέρους βραχέος τοῦ κατὰ σε-
λήνην, ἅπας ἀνήλωτο νικηθεὶς ὑπὸ τῆς τοῦ ὕδατος φορᾶς καὶ βίας, ὅπερ
ἀνὰ κράτος τὴν ἐκείνου χώραν ἐπέσχε. τότε δὴ τότε εὐθὺς ἐφθείρετο 45
ὅσα σπαρτὰ καὶ δένδρα — φθείρει γὰρ ὡς ἔνδεια καὶ πλῆθος ἄμετρον —,
ἔθνησκον δ' αἱ μυρίαι τῶν ζῴων ἀγέλαι ἡμέρων ὁμοῦ καὶ ἀγρίων· ἦν
γὰρ εἰκός, τοῦ κρατίστου γένους ἀνθρώπων ἀφανιζομένου, μηδὲν ὑπολει-
φθῆναι τῶν χειρόνων, ἐπεὶ καὶ πρὸς τὰς ἐκείνου χρείας ἐγένετο δοῦλα
p. 8 M. τρόπον τινὰ δεσποτικαῖς προστάξεσιν ὑπηρετήσοντα. τοσούτων | δὴ καὶ 46
τηλικούτων ἐπιρραξάντων κακῶν, ἅπερ ἐκεῖνος ὁ καιρὸς ὤμβρησε —
πάντα γὰρ τὰ τοῦ κόσμου μέρη, δίχα τῶν κατὰ τὸν οὐρανόν, ἐκινήθη
παρὰ φύσιν, ὡς ἂν βαρεῖαν καὶ θανατώδη νόσον νοσήσαντα —, μόνος
δὲ εἷς οἶκος ὁ τοῦ λεχθέντος ἀνδρὸς δικαίου καὶ θεοφιλοῦς διασῴζεται
δύο λαβόντος τὰς ἀνωτάτω δωρεάς, μίαν μέν, ἣν εἶπον, τὸ μὴ πᾶσι
τούτοις συναπολέσθαι, ἑτέραν δὲ τὸ πάλιν ἀρχηγέτην αὐτὸν ὑπάρξαι νέας
ἀνθρώπων σπορᾶς· ἠξίωσε γὰρ αὐτὸν ὁ θεὸς καὶ τέλος τοῦ γένους ἡμῶν
καὶ ἀρχὴν γενέσθαι, τέλος μὲν τῶν πρὸ τοῦ κατακλυσμοῦ, τῶν δὲ μετὰ
τὸν κατακλυσμὸν ἀρχήν.

(9.) Τοιοῦτος μὲν ὁ τῶν καθ' αὑτὸν ἄριστος, τοιαῦτα δὲ καὶ τὰ 47
τεθειμένα ἆθλα αὐτῷ, ὁποῖα δεδήλωκεν ὁ ἱερὸς λόγος. τῶν δ' εἰρη-
μένων τριῶν εἴτε ἀνδρῶν εἴτε ψυχῆς τρόπων ἐναρμόνιος ἡ τάξις· ὁ μὲν
γὰρ τέλειος ὁλόκληρος ἐξ ἀρχῆς, ὁ δὲ μετατεθειμένος ἡμίεργος, τοῦ βίου
τὸν μὲν πρότερον χρόνον ἀναθεὶς κακίᾳ, τὸν δ' ὕστερον ἀρετῇ, πρὸς ἣν
μετανέστη καὶ μετῳκίσατο, ὁ δὲ ἐλπίζων, ὡς αὐτὸ δηλοῖ τοὔνομα,

---

2 ἅπασαν ἤλω (sic) BE ἀνήλωται F, ἠλλοιώθη Arm νικηθεὶς] τῷ νενικῆσθαι BK, τῷ νικῆσθαι E φορᾶς καὶ βίας BEK: βίας καὶ φορᾶς ceteri, φορᾶς καὶ om. Arm 3 τότε δὴ τότε BEK: alt. τότε om. ceteri 5 δὲ BEK 8 πράξεσιν FG ὑπηρετήσοντα CBEH²: ὑπηρετήσαντα ceteri 9 ἐπηρραξάντων E; καταρραξάντων coni. Mang. 10 κατὰ τὸν οὐρανὸν BEK Arm: κατ' οὐρανόν ceteri 12 δὲ om. Arm ὁ om. BE 13 μέν om. BE 13. 14 πᾶσι τούτοις] πᾶσιν οὗτος A 14 ἀρχηγέτην αὐτὸν BEK: αὐτὸν ἀρχηγέτην ceteri ὑπάρξειν KH² νέας] γενεᾶς CFGA, τοῦ γένους τῆς νέας BE 15 τοῦ γένους ἡμῶν BEK Arm: ἡμῶν τοῦ γένους ceteri 18 καθ' αὑτῶν G 19 τιθέμενα CFG 19. 20 τῶν— τάξις om. CFG 20 εἴτε ἀνδρῶν om. HP¹ (Turn.), add. mg. P² ψυχῆς scripsi (sic Arm ut vid.): ψυχῶν codd. ante τρόπων add. εἴτε H² (Turn.) τρόπων corr. ex τρόπον K, τρόπον BE 21 ὁλόκληρον F μετατιθέμενος CFG ἡμιεργὸς M τοῦ βίου om. C, post χρόνον (22) transp. Arm 22 πρῶτον K ἀναθεὶς BEK: ἀνατιθεὶς ceteri δὲ BEK 23 μετωικήσατο M, μετωκήσατο BAFP δ' BEK τοὔνομα om. BE

ἐλλιπής, ἐφιέμενος μὲν ἀεὶ τοῦ καλοῦ, μήπω δ' ἐφικέσθαι τούτου
δεδυνημένος, ἀλλ' ἐοικὼς τοῖς πλέουσιν, οἳ σπεύδοντες εἰς λιμένας κα-
ταίρειν θαλαττεύουσιν ἐνορμίσασθαι μὴ δυνάμενοι.
48 (10.) Ἡ μὲν οὖν προτέρα τριὰς τῶν ἀρετὴν ἐπιποθησάντων δε-
δήλωται. μείζων δέ ἐστιν ἡ ἑτέρα, περὶ ἧς νυνὶ λεκτέον. ἐκείνη μὲν
γὰρ τοῖς ἐν ἡλικίᾳ παιδικῇ μαθήμασιν ἔοικεν, αὕτη δὲ τοῖς ἀνδρῶν
ἀθλητικῶν γυμνάσμασιν ἐπὶ τοὺς ἱεροὺς ὄντως ἀλειφομένων ἀγῶνας, οἳ
σωμασκίας καταφρονοῦντες τὴν ἐν τῇ ψυχῇ κατασκευάζουσιν εὐεξίαν
49 ἐφιέμενοι τῆς κατὰ τῶν ἀντιπάλων παθῶν νίκης. οἷς μὲν οὖν διενήνοχεν
ἕκαστος ἐφ' ἓν καὶ τὸ αὐτὸ τέλος ἐπειγόμενος, αὖθις ἀκριβέστερον
ἐροῦμεν· ἃ δὲ χρὴ περὶ τῶν τριῶν συλλήβδην προειπεῖν, ἀναγκαῖον
50 μὴ παρασιωπῆσαι. τούτους τοίνυν συμβέβηκε μιᾶς οἰκίας καὶ ἑνὸς
γένους εἶναι — ὁ γὰρ τελευταῖος υἱὸς μέν ἐστι τοῦ μέσου, υἱωνὸς δὲ τοῦ
πρώτου — καὶ πάντας φιλοθέους ὁμοῦ καὶ θεοφιλεῖς, ἀγαπήσαντας τὸν
ἀληθῆ θεὸν καὶ ἀνταγαπηθέντας πρὸς αὐτοῦ, ὃς ἠξίωσε, καθάπερ δη-
λοῦσιν οἱ χρησμοί, διὰ τὰς ὑπερβολὰς τῶν ἀρετῶν αἷς συνεβίουν
51 κοινωνῆσαι τῆς προσρήσεως αὐτοῦ. τὸ γὰρ ἴδιον ὄνομα τοῖς ἐκείνων
ἐναρμοσάμενος ἥνωσε, τὴν ἐκ τῶν τριῶν σύνθετον κλῆσιν ἐπιφημίσας
ἑαυτῷ· „τοῦτο γάρ μου“ φησίν „ὄνομά ἐστιν αἰώνιον, θεὸς Ἀβραὰμ
καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ“ (cf. Exod. 3,15) — ἀντὶ τοῦ | καθάπαξ p. 9 M.
τὸ πρός τι· καὶ μήποτ' εἰκότως· ὀνόματος γὰρ ὁ θεὸς οὐ δεῖται, μὴ
δεόμενος δ' ὅμως ἐχαρίζετο τῷ γένει τῶν ἀνθρώπων κλῆσιν οἰκείαν,
ἵν' ἔχοντες καταφυγὴν πρὸς ἱκεσίας καὶ λιτὰς μὴ ἀμοιρῶσιν ἐλπίδος
52 χρηστῆς. (11.) ταῦτα μὲν οὖν ἐπ' ἀνδρῶν ὁσίων εἰρῆσθαι δοκεῖ,

1 ἐλλειπής BECGM μὲν om. CFG μήπω BEK: οὔπω ceteri τούτου om. Arm 2 λιμένας BEK: λιμένα ceteri 2. 3 κατέρρειν A καταίρειν θαλαττεύουσιν om. Arm 3 ante θαλαττεύουσιν add. ἔτι MAHP θαλαττεύουσιν BEK: ἐνθαλαττεύουσιν ceteri 4 ἐπινοησάντων CFG, ἐπιπονησάντων coni. Mang. 4. 5 ἐκδεδήλωται K 5 δ' F ἡ ἑτέρα BE Arm: ἡ om. ceteri 6 παιδικοῖς CFGA 7 ἀθλητῶν C 8 σῶμα σκιᾶς M, σώματος σκιὰν A 9 τῶν] τὴν F οὖν om. CFG post οὖν add. καὶ KH¹P, del. H² 10 τέλος] γένος F 11 προειπεῖν CFH²: προσειπεῖν ceteri 12 τούτοις CFGMA 14 πάντα FG φιλοθέους] θεοφιλοὺς C, θεοφιλοῦς FG ante ὁμοῦ add. καὶ G θεοφιλῶς F ἀγαπήσαντος in ras. F 16 αἷς corr. ex οἷς B, οἷς E 17 ⟨αὐτοὺς⟩ κοινωνῆσαι (vel κοινωνῆσαι τῆς ⟨ἑαυτοῦ⟩ προσρήσεως αὐτούς) conicio αὐτοῦ BEK: αὐτούς G Arm, αὐτῆς A, αὐτοῖς ceteri (probat Wendl.) 18 ἁρμοσάμενος BE 19 αὐτῶ BEK 20 καὶ utrumque om. BE καθάπαξ] ἅπαξ CFG, καθ' ἅπαν Mang. 21 τὸ] τὰ Arm 22 τῷ om. F 23 ἵν' BEK: ἵνα ceteri ἱκεσίαν G ἄμοιροι ὦσιν BEK 24 post οὖν add. ὡς Arm ἐπ' ἀνδρῶν om. BE ὁσίων] vel delendum vel scribendum τριῶν censuit Mang.

μηνύματα δ' ἐστὶ φύσεως ἀδηλοτέρας καὶ πολὺ βελτίονος τῆς ἐν αἰσθητοῖς.
τρόπους γὰρ ψυχῆς ἔοικεν ὁ ἱερὸς διερευνᾶσθαι λόγος, ἀστείους ἅπαντας,
τὸν μὲν ἐκ διδασκαλίας, τὸν δ' ἐκ φύσεως, τὸν δ' ἐξ ἀσκήσεως ἐφιέ-
μενον τοῦ καλοῦ. ὁ μὲν γὰρ πρῶτος, ἐπίκλησιν Ἀβραάμ, σύμβολον
διδασκαλικῆς ἀρετῆς ἐστιν, ὁ δὲ μέσος, Ἰσαάκ, φυσικῆς, ὁ δὲ τρίτος,
Ἰακώβ, ἀσκητικῆς. ἀλλὰ γὰρ οὐκ ἀγνοητέον, ὅτι μετεποιεῖτο τῶν 53
τριῶν ἕκαστος δυνάμεων, ὠνομάσθη δὲ ἀπὸ τῆς πλεοναζούσης κατ'
ἐπικράτειαν· οὔτε γὰρ διδασκαλίαν ἄνευ φύσεως ἢ ἀσκήσεως τελειωθῆναι
δυνατὸν οὔτε φύσις ἐπὶ πέρας ἐστὶν ἐλθεῖν ἱκανὴ δίχα τοῦ μαθεῖν καὶ
ἀσκῆσαι οὔτε ἄσκησις, εἰ μὴ προθεμελιωθείη φύσει τε καὶ διδασκαλίᾳ.
προσηκόντως οὖν καὶ τὴν τῶν τριῶν λόγῳ μὲν ἀνδρῶν ἔργῳ δ' ὡς εἶ- 54
πον ἀρετῶν οἰκειότητα συνῆψε, φύσεως, μαθήσεως, ἀσκήσεως, ἃς ἑτέρῳ
ὀνόματι Χάριτας ἰσαρίθμους ἄνθρωποι καλοῦσιν, ἢ τῷ κεχαρίσθαι τὸν
θεὸν τῷ ἡμετέρῳ γένει τὰς τρεῖς δυνάμεις πρὸς τελειότητα τοῦ βίου ἢ
παρόσον αὗται δεδώρηνται ψυχῇ λογικῇ ἑαυτάς, δώρημα τέλειον καὶ
κάλλιστον, ἵνα καὶ τὸ αἰώνιον ὄνομα τὸ δηλούμενον ἐν τοῖς χρησμοῖς
ἐπὶ τριῶν μὴ ἐπ' ἀνθρώπων μᾶλλον ἢ τῶν εἰρημένων δυνάμεων
λέγηται. ἀνθρώπων μὲν γὰρ φθαρτὴ φύσις, ἄφθαρτος δ' ἡ τῶν ἀρετῶν· 55
εὐλογώτερον δὲ ἐπιφημίζεσθαι τὸ ἀίδιον ἀφθάρτοις πρὸ θνητῶν, ἐπεὶ
συγγενὲς μὲν ἀιδιότητος ἀφθαρσία, ἐχθρὸν δὲ θάνατος. (12.) χρὴ 56
μέντοι μηδ' ἐκεῖνο ἀγνοεῖν, ὅτι τὸν μὲν πρῶτον ἄνθρωπον τὸν γηγενῆ
πατέρα τῶν ἄχρι τοῦ κατακλυσμοῦ φύντων εἰσήγαγε, τὸν δὲ μόνον ἐκ
τῆς τοσαύτης φθορᾶς ὑπολειφθέντα πανοίκιον ἕνεκα δικαιοσύνης καὶ τῆς
ἄλλης καλοκἀγαθίας τοῦ νεάσοντος αὖθις καινοῦ γένους ἀνθρώπων, τὴν
δὲ περίσεμνον τριάδα καὶ περιμάχητον ἑνὸς εἴδους ἐπιλεγομένου „βασίλειον

---

1 δ' om. BE    ante φύσεως add. καὶ BE    2 ὁ ἱερὸς λόγος ἀστεῖος διερευνᾶσθαι ἅπαντας BE    διερμηνεύεσθαι coni. Mang.    3 δ' pr.] δὲ BE    6 ἀσκητῆς coni. Mang.    7 ἕκαστος om. CFG    ὠνομάσθαι F    δ' BEK    9 φύσιν CFM    ἱκανὴν CM, ἱκανὸν F    10 ἄσκησιν C    ante φύσει add. καὶ F    12 οἰκειοτάτη G    φύσεως, μαθήσεως, ἀσκήσεως Wendl.: φύσις, μάθησις, ἄσκησις codd.; φύσιν, μάθησιν, ἄσκησιν Mang.    14 τοῦ βίου BEK: τοῦ om. ceteri    15 αὐτὰ δεδώρηται FG    ψυχικῇ (sic) K    τέλειον καὶ BEK: om. ceteri    17 ἐπὶ τριῶν μὴ ἐπ'] μὴ ἐπὶ τριῶν C(v)    ἐπ' fort. delendum    17. 18 δυνάμεων λέγηται BEK: λέγηται δυνάμεων ceteri    19 δ' BEK, om. Arm    τὸ ἀίδιον Mang.: τὸν ἀίδιον codd.    20 συγγενὴς H    ἀιδιότητος BEK: ἀιδιότης ceteri (v)    ἀφθαρσίᾳ v    21 τὸν alt. om. BE    22 τοῦ om. BE    23 πανοίκιον scripsi: πανοίκειον BEHP, πανοικεί· ὃν CG, πανοικί· ὃν MAF, πανοικὶ K; πανοικὶ Νῶε voluit Mang.    24 νεάσαντος BEP    ⟨καὶ⟩ καινοῦ coni. Mang. (cf. § 252)

καὶ ἱεράτευμα καὶ ἔθνος ἅγιον“ (Exod. 19, 6) οἱ χρησμοὶ καλοῦσι.
57 μηνύει δὲ τοὔνομα τὴν δύναμιν αὐτοῦ· προσονομάζεται γὰρ Ἑβραίων
γλώττῃ τὸ ἔθνος Ἰσραήλ, ὅπερ ἑρμηνευθέν ἐστιν „ὁρῶν θεόν.“ ὅρασις
δ' ἡ μὲν δι' ὀφθαλμῶν ἐν ἁπάσαις καλλιστεύει ταῖς αἰσθήσεσιν, ἐπεὶ
καὶ διὰ μόνης καταλαμβάνεται τὰ κάλλιστα τῶν ὄντων, ἥλιος καὶ σελήνη
καὶ ὁ σύμπας οὐρανός τε καὶ κόσμος, ἡ δὲ διὰ τοῦ τῆς ψυχῆς ἡγε-
μονικοῦ προφέρει τὰς ἄλλας ὅσαι περὶ αὐτὸ δυνάμεις· αὕτη | δέ ἐστι p. 10 M.
58 φρόνησις ὄψις οὖσα διανοίας. ὅτῳ δὲ μὴ μόνον ἐξεγένετο τἄλλα ὅσα
ἐν τῇ φύσει δι' ἐπιστήμης καταλαμβάνειν, ἀλλὰ καὶ τὸν πατέρα καὶ
ποιητὴν τῶν συμπάντων ὁρᾶν, ἐπ' ἄκρον εὐδαιμονίας ἴστω προεληλυθώς·
οὐδὲν γὰρ ἀνωτέρω θεοῦ, πρὸς ὃν εἴ τις τὸ τῆς ψυχῆς ὄμμα τείνας
59 ἔφθακε, μονὴν εὐχέσθω καὶ στάσιν. αἱ μὲν γὰρ ἀνάντεις ὁδοὶ καματηραὶ
καὶ βραδεῖαι, ἡ δὲ κατὰ πρανοῦς φορά, συρμὸν ἔχουσα τὸ πλέον ἢ
κάθοδον, ταχεῖα καὶ ῥᾴστη. πολλὰ δὲ τὰ κάτω βιαζόμενα, ὧν οὐδὲν
ὄφελος, ὅταν ἐκ τῶν αὐτοῦ δυνάμεων ἀνακρεμάσας τὴν ψυχὴν ὁ θεὸς
ὁλκῇ δυνατωτέρᾳ πρὸς ἑαυτὸν ἐπισπάσηται.
60 (13.) Ταῦτα μὲν οὖν κοινῇ περὶ τῶν τριῶν ἀναγκαίως προειρήσθω.
λεκτέον δ' ἑξῆς, ἐν οἷς ἕκαστος ἰδίᾳ προήνεγκεν, ἀπὸ τοῦ πρώτου τὴν ἀρχὴν
λαβόντας. ἐκεῖνος τοίνυν εὐσεβείας, ἀρετῆς τῆς ἀνωτάτω καὶ μεγίστης,
ζηλωτὴς γενόμενος ἐσπούδασεν ἕπεσθαι θεῷ καὶ καταπειθὴς εἶναι τοῖς
προσταττομένοις ὑπ' αὐτοῦ, προστάξεις ὑπολαμβάνων οὐ τὰς διὰ φωνῆς
καὶ γραμμάτων μηνυομένας αὐτὸ μόνον, ἀλλὰ καὶ τὰς διὰ τῆς φύσεως

1 καὶ pr. om. H(v) 3 ἑρμηνευθέν ἐστιν K, ἑρμηνευθὲν (om. ἐστιν) BE: ἑρμηνεύεται ceteri 4 δὲ BEK ἡ μὲν] ἡμῖν CFG 5 καταλαμβάνεσθαι A 6 σύμπας ὁ οὐρανός transp. K 7 ὅσαι BEK: ἃς αἱ CFG, ὅσαι αἱ MAHP αὐτὸ KMAHP: αὐτὸν BE, αὐτὰ CFG, αὐτὴν voluit Mang. δ' ἐστὶ BEKF 8 δ' H ἐξεγένετο μὴ μόνον transp. HP(v) ἐξ$^{\omega}$εγένετο (sic) A τἄλλα EK, τἄλλα B: τὰ ἄλλα ceteri 9 ἐν τῇ φύσει om. BE 10 ἐπ' ἄκρων A ἐπ' ἄκραν εὐδαιμονίαν BEK ἴσθω A 11 τῆς om. E ὄμμα τείνας BEK Arm: τείνας ὄμμα ceteri 12 πέφθακε MA ἐχέσθω BEM, ἐχέτω AK στάσιν] κατάστασιν CFGM ἀνάντεις] αὐτῆς C ὁδοὶ om. Arm 13 φορά om. Arm 14 καθ' ὁδὸν FG 15 αὐτοῦ scripsi: αὐτῶν K, αὐτοῦ ceteri (v) δυνάμεων corr. ex δυναμένων C ἀνακράσας L (Turn.) 16 ἑαυτὸν BEK: αὑτὸν M, αὐτὸν ceteri ἐπισπάσηται BEK: ἐπισπάσαιτο ceteri (v) 17 οὖν BEK: om. ceteri εἰρήσθω F 18 προήνεγκεν] διήνεγκεν BEK τὴν ἀρχὴν om. CFG 19 λαβόντος C ante ἀρετῆς add. καὶ C (Turn.) ἀρετῆς] ἐραστὴς BEKHP 22 γραμμάτων Arm (coni. Mang.): πραγμάτων codd. αὐτὸ Arm (coni. Mang.): αὐτῷ codd.

8 cf. ad vol. II 66,9

τρανοτέροις σημείοις δηλουμένας, ἃς ἡ ἀληθεστάτη τῶν αἰσθήσεων πρὸ
ἀκοῆς τῆς ἀπίστου καὶ ἀβεβαίου καταλαμβάνει. θεώμενος γάρ τις τὴν 61
ἐν τῇ φύσει τάξιν καὶ τὴν παντὸς λόγου κρείττονα πολιτείαν, ᾗ χρῆται
ὁ κόσμος, ἀναδιδάσκεται, φθεγγομένου μηδενός, εὔνομον καὶ εἰρηνικὸν
βίον ἐπιτηδεύειν εἰς τὴν τῶν καλῶν ἐξομοίωσιν ἀποβλέποντα. ἐναργέσ-
ταται δὲ τῆς εὐσεβείας ἀποδείξεις εἰσίν, ἃς περιέχουσιν αἱ ἱεραὶ γραφαί·
πρώτην δὲ λεκτέον, ἣ καὶ πρώτη τέτακται. (14.) λογίῳ πληχθεὶς περὶ 62
τοῦ πατρίδα καὶ συγγένειαν καὶ πατρῷον οἶκον καταλιπεῖν καὶ μεταναστῆναι,
καθάπερ ἀπὸ τῆς ξένης εἰς τὴν οἰκείαν ἐπανιὼν ἀλλ' οὐκ ἀπὸ τῆς οἰκείας
εἰς τὴν ξένην μέλλων ἀπαίρειν, ἐπέσπευδε συντείνων, νομίζων ἰσότιμον εἶναι
τῷ τελειῶσαι τὸ ταχέως τὸ προσταχθὲν ἀνύσαι. καίτοι τίνα ἕτερον εἰκὸς 63
οὕτως ἀκλινῆ καὶ ἄτρεπτον γενέσθαι, ὡς μὴ φίλτροις ὑπαχθῆναι καὶ ὑπεν-
δοῦναι συγγενῶν καὶ πατρίδος, ὧν ὁ πόθος ἑκάστῳ τρόπον τινὰ συγγεγέ-
νηται καὶ συνηύξηται καὶ μᾶλλον ἢ οὐχ ἧττον τῶν ἡνωμένων μερῶν συμπέ-
φυκε; μάρτυρες δὲ οἱ νομοθέται τὴν δευτερεύουσαν θανάτου τιμωρίαν κατὰ 64
τῶν ἐπὶ τοῖς μεγίστοις ἑαλωκότων ὁρίσαντες φυγήν, οὐ δευτερεύουσαν,
ὥς γ' ἐμοὶ δοκεῖ, παρ' ἀληθείᾳ δικαζούσῃ, πολὺ δὲ ἀργαλεωτέραν, εἴ γε
πέρας μὲν κακοπραγιῶν ὁ θάνατος, ἀρχὴ δ', οὐ πέρας, ἡ φυγὴ καινοτέρων
συμφορῶν, ἀνθ' ἑνὸς τοῦ χωρὶς ἀλγηδόνων μυρίους ἐπάγουσα θανάτους
p. 11 M. τοὺς σὺν αἰσθήσει. | κατ' ἐμπορίαν ἔνιοι πόθῳ χρηματισμοῦ πλέοντες ἢ 65
κατὰ πρεσβείαν ἢ κατὰ θέαν τῶν ἐπὶ τῆς ἀλλοδαπῆς δι' ἔρωτα παιδείας,
ὁλκοὺς ἔχοντες δυνάμεις τῆς ἔξω μονῆς οἱ μὲν τὰς ἐπικερδείας, οἱ δὲ τὸ τὴν

---

1 ἡ om. BE 4 ἀναδιδάσκεται] ἅμα διδάσκεται HP (Turn.) ἔννομον A 6 ἱεραὶ BEK Arm: om. ceteri 7 ἢ] ἡ M πληχθεὶς] πεισθεὶς Arm (coni. Mang.) 8 καὶ μεταναστῆναι om. F μεταστῆναι G 9 οἰκίαν[εί] K 10 ἐπέσπευδε BEK: ἔσπευδε ceteri 11 τῷ] τὸ F εἰκὸς] εἰκότως H¹P 12 ante ἀκλινῆ add. καὶ sed rursus del. H φίλτρῳ BEK ὑπαχθῆναι τὲ καὶ BEK 12. 13 ἐνδοῦναι BE 13 ὧν] ὃν F τρόπον corr. ex τρόπων F συγγεγέννηται BEAP² 14 οὐχ om. Arm ἧττον] εἰς A ἡνωμένων] ἰδιωμένων CFGA μελῶν Arm 15 δ' BEK 16 ὁρίζοντες BEK οὐ δευτερεύουσαν om. H¹, add. mg. H² 17 ὥς γέ μοι BEKMA παρ' CBEK: παρὰ ceteri παρὰ τοῖς ἀληθείᾳ δικάζουσι Arm δ' BEK 18 κακοπραγίας ὧν CFG, κακοπραγίας ὧν A δ'] δὲ F, τε CG οὐ πέρας om. CFG (fort. recte) 19 ἀνθ' ἑνὸς om. F τοῦ om. M τοῦ χωρὶς ἀλγηδόνων om. C ἀλγεινῶν BEK post ἀλγηδόνων add. ἡδονῶν FG 20 τοὺς σὺν αἰσθήσει Arm: οὓς συναισθήσει BE, οὐ σὺν αἰσθήσει KFGMAH¹P, σὺν αἰσθήσει (οὐ eras.) H²L(v), ἐν συναισθήσει C πόθου CF¹GA 21 δι' ἔρωτα BE: ἢ δι' ἔρωτα ceteri 22 ἐπικερδίας BECFG

πόλιν ἐπὶ καιρῶν ἐν τοῖς ἀναγκαιοτάτοις καὶ μεγίστοις ὀνῆσαι, οἱ δὲ
ἱστορίαν ὧν πρότερον ἠγνόουν τέρψιν ἅμα καὶ ὠφέλειαν τῇ ψυχῇ παρα-
σκευάζουσαν — τυφλοὶ γὰρ παρ' ὀξὺ βλέποντας ἀναποδήμητοι παρ' ἐκδεδη-
μηκότας —, ὅμως ἐπείγονται τὸ πατρῷον ἔδαφος ἰδεῖν καὶ προσκυνῆσαι
καὶ συνήθεις ἀσπάσασθαι συγγενῶν τε καὶ φίλων ἡδίστης καὶ ποθεινο-
τάτης ὄψεως ἀπολαῦσαι καὶ πολλάκις τὰς πράξεις, ὧν ἕνεκα ἐξεδήμησαν,
μηκυνομένας ὁρῶντες κατέλιπον ἱμέρῳ τῶν προσηκόντων ἑλχθέντες
66 βιαιοτάτῳ. μετ' ὀλίγων δὲ οὗτος ἢ καὶ μόνος ἅμα τῷ κελευσθῆναι
μετανίστατο καὶ τῇ ψυχῇ πρὸ τοῦ σώματος τὴν ἀποικίαν ἐστέλλετο, τὸν
67 ἐπὶ τοῖς θνητοῖς ἵμερον παρευημεροῦντος ἔρωτος οὐρανίου. οὐδενὸς
οὖν φροντίσας, οὐ φυλετῶν, οὐ δημοτῶν, οὐ συμφοιτητῶν, οὐχ ἑταίρων,
οὐ τῶν ἀφ' αἵματος ὅσοι πρὸς πατρὸς ἢ μητρὸς ἦσαν, οὐ πατρίδος, οὐκ
ἀρχαίων ἐθῶν, οὐ συντροφίας, οὐ συνδιαιτήσεως, ὧν ἕκαστον ἀγωγόν τε
καὶ δυσαπόσπαστον ὁλκὸν ἔχον δύναμιν, ἐλευθέραις καὶ ἀφέτοις ὁρμαῖς
ᾗ τάχιστα μετανίσταται, τὸ μὲν πρῶτον ἀπὸ τῆς Χαλδαίων γῆς, εὐ-
δαίμονος χώρας καὶ κατ' ἐκεῖνον ἀκμαζούσης τὸν χρόνον, εἰς τὴν
Χαρραίων γῆν (Gen. 12, 5), ἔπειτα οὐ μακρὰν ὕστερον καὶ ἀπὸ ταύτης
εἰς ἕτερον τόπον, περὶ οὗ λέξομεν ἐκεῖνο πρότερον εἰπόντες.
68 (15.) Αἱ δηλωθεῖσαι ἀποικίαι τῷ μὲν ῥητῷ τῆς γραφῆς ὑπ' ἀνδρὸς
σοφοῦ γεγόνασι, κατὰ δὲ τοὺς ἐν ἀλληγορίᾳ νόμους ὑπὸ φιλαρέτου ψυχῆς
69 τὸν ἀληθῆ ζητούσης θεόν. Χαλδαῖοι γὰρ ἐν τοῖς μάλιστα διαπονήσαντες

1 καὶ μεγίστοις om. Arm ὀνῆσαι] οἰκῆσαι M, κατανοῆσαι CFG δ' BE 2 ὧν] ἣν A 3 παρ' ὀξὺ βλέποντας BEF: παροξὺ βλέποντας G, παρ' ὀξὺ βλέποντες A, παροξὺ βλέποντες C, παρ' ὀξυβλεποῦντας KMP, πρὸς ὀξυβλεποῦντας H, πρὸς ὀξὺ βλέποντας v ἀναποδήμητοι παρ' ἐκδεδημηκότας om. CFG ἀποδήμητοι BE παρ' ἐκδεδημηκότας KM: παρεκδεδημηκότας BEP, παρεκδεδυκότας A, πρὸς ἐκδεδημηκότας H(v) 4 ἠπείγοντο G ante τὸ add. καὶ CFA πατρῷον] πρῶτον P καὶ προσκυνῆσαι om. Arm 5 ἡδίστης καὶ om. Arm 6 τὰς om. BEK 7 ἑλχθέντες C Arm: ἐλεχθέντες F, ἐλεγχθέντες ceteri 8 βεβαιοτάτω H (Turn.) ὀλίγον (alt. o in ras.) B ἢ καὶ] ἧκε BE 11 οὖν] γοῦν BE οὐ φυλετῶν] ὀφειλετῶν A οὐχ ἑταίρων om. H ἑτέρων A Arm 12 ὅσοι—ἦσαν om. Arm πρὸς om. C πατρίδος] πατρός CFG 12. 13 οὐκ ἀρχαίων ἐθῶν om. Arm 13 οὐ συνδιαιτήσεως om. Arm 14 ⟨καὶ⟩ ὁλκὸν coni. Mang. ἔχων A post ἔχον ss. καὶ B (Richt.) ἐλευθέραις E: ἐλευθέροις ceteri (v) 15 ἡ H, ἢ BMA τάχιστον K μὲν om. CFG 16 ἀκμαζούσης BEK Arm: ἁρμοζούσης ceteri 17 Χαρραίων γῆν] Μεσοποταμίαν Arm γῆν om. BE ἔπειτ' BEK ἔπειτα—ὕστερον om. Arm 18 τόπον—εἰπόντες om. BE 19 Αἱ] αἱ δὲ BE ῥητῷ BEK: ῥήματι ceteri 20 κατὰ δὲ ἀλληγορίαν νόμων Arm ἐν ἀλληγορίᾳ BEK: ἀλληγορίας ceteri 21 ἐν τοῖς] ἑαυτοῖς G διαποιήσαντες BE (alt. ι corr. ex ν E)

21 sqq. *Ambros. De Abraham II 3,9* .... unde liquet eo referendum quia, quamdiu

ἀστρονομίαν καὶ πάντα ταῖς κινήσεσι τῶν ἀστέρων ἀναθέντες ὑπέλαβον
οἰκονομεῖσθαι τὰ ἐν κόσμῳ δυνάμεσιν, ἃς περιέχουσιν ἀριθμοὶ καὶ ἀριθ-
μῶν ἀναλογίαι, ⟨καὶ⟩ τὴν ὁρατὴν οὐσίαν ἐσέμνυνον τῆς ἀοράτου καὶ νοητῆς
οὐ λαβόντες ἔννοιαν, ἀλλὰ τὴν ἐν ἐκείνοις τάξιν διερευνώμενοι κατά τε τὰς
ἡλίου καὶ σελήνης καὶ τῶν ἄλλων πλανήτων καὶ ἀπλανῶν περιόδους καὶ
κατὰ τὰς τῶν ἐτησίων ὡρῶν μεταβολὰς καὶ κατὰ τὴν τῶν οὐρανίων
πρὸς τὰ ἐπίγεια συμπάθειαν τὸν κόσμον αὐτὸν ὑπέλαβον εἶναι θεόν, οὐχ
εὐαγῶς τὸ γενόμενον ἐξομοιώσαντες τῷ πεποιηκότι. ταύτῃ τοι τῇ δόξῃ 70
συντραφεὶς καὶ χαλδαΐσας μακρόν τινα χρόνον, ὥσπερ ἐκ βαθέος
p. 12 M. ὕπνου | διοίξας τὸ τῆς ψυχῆς ὄμμα καὶ καθαρὰν αὐγὴν ἀντὶ σκότους
βαθέος βλέπειν ἀρξάμενος ἠκολούθησε τῷ φέγγει καὶ κατεῖδεν, ὃ μὴ
πρότερον ἐθεάσατο, τοῦ κόσμου τινὰ ἡνίοχον καὶ κυβερνήτην ἐφεστῶτα
καὶ σωτηρίως εὐθύνοντα τὸ οἰκεῖον ἔργον, ἐπιμέλειάν τε καὶ προστασίαν
καὶ τῶν ἐν αὐτῷ μερῶν ὅσα θείας ἐπάξια φροντίδος ποιούμενον. ὅπως 71
οὖν βεβαιώσηται τὴν φανεῖσαν ὄψιν ἐν τῇ διανοίᾳ παγιώτερον, αὖθίς
φησιν ὁ ἱερὸς λόγος αὐτῷ· „τὰ μεγάλα, ὦ οὗτος, ὑποτυπώσει βραχυτέρων

---

1 καὶ τὰ πάντα F, καὶ πάντα om. G    ὑπέλαβον CFGK: οἷς ὑπέλαβον BE, αἷς ὑπέλαβον ceteri    2—8 ἀριθμοὶ — πεποιηκότι in K ab alt. manu suppleta    2. 3 ἃς — ἀναλογίαι om. Arm    2 ὥσπερ ἔχουσιν BE    3 καὶ addidi    ἐσέμνυνον CFGK: ἐσέμνυναν ceteri    5 σελήνης καὶ ἡλίου transp. BE Arm    quart. καὶ BEM: ἢ ceteri    6 κατὰ] καὶ F    τὰς om. $H^{1}P^{1}$    ὁρῶν C    τῶν om. G    7 συμ_θει· (sic) C    8 ἐξομοιώσαντες codd. (Turn.): ἐφομοιώσαντες Mang.    τῷ om. $H^{1}P$    τοι K (coni. Mang.): τις ceteri    δόξει G    10 διανοίξας CA(v), διανοίας FG    12 τινὰ om. $H^{1}P$    13. 14 ἐπιμέλειαν — ποιούμενον om. Arm    14 ante καὶ add. αὐτοῦ vel τοῦ παντὸς Mang.    post ὅπως add. δ' H(v)    15 γοῦν coni. Mang.    βεβαιώσηται codd.: βεβαιώσῃ v    15. 16 αὖθίς φησιν BE: αὖ φησιν KAHP, φησιν CFGM    16 ὁ ἱερὸς λόγος αὐτῷ BEK: αὐτῷ ὁ ἱερὸς λόγος ceteri

---

Chaldaeus fuit, hoc est non solum in regione, sed etiam in opinione Chaldaeorum, non poterat deum videre, quem intra mundum quaerebat. Chaldaei enim mundum superiorem deum dicunt, ut etiam ... stellarum cursu ferri adserunt ea quae terrena sunt et quodam coerceri vinculo. unde et deos stellas appellaverunt, eo quod eas dominatum quendam habere supernum credant, quia quaedam stellis ad terrena compassio est. ... ergo quamdiu mens Chaldaicis erroribus flectitur, non videt deum, quem in his quaerit quae videntur, non in his quae non videntur. ... unde nec Abraham primum videbat. quomodo autem poterat videre eum, supra quem alterum esse arbitrabatur? ubi vero ad aliam demigravit non regionem, sed veram religionem paratam humilitati — hoc enim significat Chanaan —, tunc deum videre coepit et eum cognoscere esse deum, cuius invisibili virtute advertit omnia regi et gubernari. hoc ergo scriptura docet, quia Abraham stellarum observatione demigrans deum vidit.

πολλάκις γνωρίζεται, πρὸς ἃ τις ἀπιδὼν ηὔξησε τὴν φαντασίαν ἀπεριγράφοις
μεγέθεσι. παραπεμψάμενος οὖν τούς τε κατ' οὐρανὸν περιπολοῦντας καὶ
τὴν Χαλδαϊκὴν ἐπιστήμην μετανάστηθι πρὸς ὀλίγον χρόνον ἀπὸ τῆς
μεγίστης πόλεως, τοῦδε τοῦ κόσμου, πρὸς βραχυτέραν, δι' ἧς δυνήσῃ μᾶλλον
72 καταλαβεῖν τὸν ἔφορον τοῦ παντός.“ διὰ τοῦτο τὴν πρώτην ἀποικίαν
ἀπὸ τῆς Χαλδαίων γῆς εἰς τὴν Χαρραίων λέγεται ποιήσασθαι. (16.)
Χαρρὰν δὲ Ἑλληνιστὶ „τρῶγλαι“ λέγονται, κατὰ σύμβολον αἱ τῶν ἡμετέ-
ρων αἰσθήσεων χῶραι, δι' ὧν ὥσπερ ὀπῶν ἑκάστη διακύπτειν πέφυκε πρὸς
73 τὴν τῶν οἰκείων ἀντίληψιν. ἀλλὰ τί τούτων, εἴποι τις ἄν, ὄφελος ἦν, εἰ
μὴ νοῦς ἀόρατος καθάπερ θαυματοποιὸς ἔνδοθεν ὑπήχει ταῖς ἑαυτοῦ
δυνάμεσιν, ἃς τοτὲ μὲν ἀνιεὶς καὶ ἐπιχαλῶν τοτὲ δὲ ἀντισπῶν καὶ ἀνθέλκων
βίᾳ κίνησιν ἐμμελῆ καὶ πάλιν ἡσυχίαν ἐμπαρεῖχε τοῖς θαυμασίοις;
τοῦτο ἔχων παρὰ σεαυτῷ τὸ παράδειγμα ῥᾳδίως οὐ σφόδρα ποθεῖς λαβεῖν
74 τὴν ἐπιστήμην κατανοήσεις. οὐ γὰρ ἐν σοὶ μὲν νοῦς ἐστιν ἡγεμὼν
ἐπιτεταγμένος, ᾧ καὶ τοῦ σώματος ἅπασα κοινωνία πειθαρχεῖ καὶ ἑκάστη
τῶν αἰσθήσεων ἕπεται, ὁ δὲ κόσμος, τὸ κάλλιστον καὶ μέγιστον καὶ
τελεώτατον ἔργον, οὗ πάντα τὰ ἄλλα συμβέβηκεν εἶναι μέρη, βασιλέως
ἀμοιρεῖ τοῦ συνέχοντος καὶ ἐνδίκως ἐπιτροπεύοντος. εἰ δ' ἀόρατος
75 ὁ βασιλεύς, μὴ θαυμάσῃς· οὐδὲ γὰρ ὁ ἐν σοὶ νοῦς ὁρατός. ταῦτά τις
ἐπιλογιζόμενος καὶ οὐ πόρρωθεν ἀλλ' ἐγγύθεν ἀναδιδασκόμενος ἔκ τε
ἑαυτοῦ καὶ τῶν περὶ αὐτὸν εἴσεται σαφῶς, ὅτι ὁ κόσμος οὐκ ἔστιν ὁ
πρῶτος θεός, ἀλλ' ἔργον τοῦ πρώτου θεοῦ καὶ τοῦ συμπάντων πατρός,
ὃς ἀειδὴς ὢν πάντα φαίνει μικρῶν τε αὖ καὶ μεγάλων διαδεικνὺς τὰς

1 ηὔξησε] ἦγξε CFG (Turn.) 2 παραπεμψάμενος] ἱλασάμενος BE περιπολοῦντας ἀστέρας Arm 3 χρόνον om. Turn. 4 δι' ἧς δυνήσῃ BEK Arm: δυνήσῃ γὰρ ceteri (v) 5 post παντός add. ὅτι μὴ σεαυτοῦ BE 6 τὴν τῶν χαρραίων A ποιεῖσθαι HP(v) 7 χαρρὰ F δ' BEK 8 διακύπτειν πέφυκε BEK: πέφυκε διακύπτειν ceteri 9 ἦν om. MHP(v) 10 ἀοράτως coni. Mang. θαυμαστοποιὸς G, θαυματοποιοὺς A ἔνδον BEK ὑπηχεῖ B, ὑφηχεῖ C, ὑφήχει G, ἠπείχει F 11 δ' BEK 12 πάλιν BEK Arm: πολλὴν ceteri (v); κατὰ πολλὴν coni. Mang. ἐμπαρεῖχε τοῖς θαυμασίοις BEK: ἐμπαρείχετο τοῖς θαύμασι ceteri τοῖς θαυμασίοις om. Arm 13 τὸ om. BEF 14 κατανοήσῃς C οὐ] εἰ A μὲν] γε BA ὁ νοῦς CFG(v) 15 ᾧ] οὗ F 16 καὶ μέγιστον om. BK Arm 17 τελεώτατον BEK: τελειότατον ceteri οὗ—μέρη om. Arm τὰ ἄλλα πάντα transp. F 18 συνέχοντος Mang.: συνέξοντος codd. ἐπιτροπεύσαντος BE, ἐπιτροπεύσοντος KHP ἀοράτως C 19 ὁ βασιλεύς BEK Arm: om. ceteri (v) μὴ—ὁρατός om. CFG 20 ἀλλ' ἐγγύθεν om. BE 21 ἑαυτοῦ BE: αὑτοῦ MH$^2$, τῶν ἑαυτοῦ K, αὐτοῦ CFH$^1$P, αὖ (sic) G, αὐτὰς A αὐτὸν codd. εἴσεται] εἰ ἔσται G 23 ἀϊδὴς BE αὖ om. K δεικνὺς CFGMA

φύσεις. σώματος γὰρ ὀφθαλμοῖς οὐκ ἠξίωσε καταλαμβάνεσθαι, τάχα μὲν 76
ἐπειδὴ θνητὸν ἀιδίου ψαύειν οὐχ ὅσιον ἦν, τάχα δὲ καὶ δι' ἀσθένειαν τῆς
ἡμετέρας ὄψεως· οὐ γὰρ ἂν ἐχώρησε τὰς ἀπὸ τοῦ ὄντος ἐκχεομένας αὐ-
p. 13 M. γάς, ὁπότε οὐδὲ ταῖς ἀφ' ἡλίου προσβλέπειν ἀκτῖσιν οἷα τέ ἐστι. (17.) |
τεκμήριον δὲ ἐναργέστατον τῆς ἀποικίας, ἣν ἀπ' ἀστρονομίας καὶ τῆς 77
χαλδαϊζούσης δόξης ἡ διάνοια ἐστείλατο· λέγεται γὰρ εὐθὺς ἅμα τῇ
μεταναστάσει τοῦ σοφοῦ· „ὤφθη δὲ ὁ θεὸς τῷ Ἀβραάμ" (Gen. 12, 7)·
ᾧ δῆλον ὅτι πρότερον οὐκ ἦν ἐμφανής, ὅτε χαλδαΐζων τῇ τῶν ἀστέρων
χορείᾳ προσεῖχεν ἔξω τοῦ κόσμου καὶ τῆς αἰσθητῆς οὐσίας εὐάρμοστον
καὶ νοητὴν φύσιν οὐδεμίαν ἁπλῶς καταλαμβάνων. ἐπεὶ δὲ μετεχώ- 78
ρησε καὶ μεθωρμίσατο, κατὰ τἀναγκαῖον ἔγνω τὸν κόσμον ὑπήκοον ἀλλ'
οὐκ αὐτοκράτορα, οὐ πρυτανεύοντα ἀλλὰ πρυτανευόμενον ὑπ' αἰτίου τοῦ
πεποιηκότος, ὅπερ ἡ διάνοια τότε πρῶτον ἀναβλέψασα εἶδε. πολλὴ γὰρ 79
αὐτῆς πρότερον ἀχλὺς ὑπὸ τῶν αἰσθητῶν κατεκέχυτο, ἣν ἐνθέρμοις καὶ
διαπύροις δόγμασιν ἀνασκεδάσασα μόλις ἴσχυσεν ὡς ἐν αἰθρίᾳ καθαρᾷ τοῦ
πάλαι κρυπτομένου καὶ ἀειδοῦς φαντασίαν λαβεῖν· ὃς ἕνεκα φιλανθρωπίας
ἀφικνουμένην τὴν ψυχὴν ὡς ἑαυτὸν οὐκ ἀπεστράφη, προϋπαντήσας δὲ
τὴν ἑαυτοῦ φύσιν ἔδειξε, καθ' ὅσον οἷόν τε ἦν ἰδεῖν τὸν βλέποντα. διὸ 80
λέγεται, οὐχ ὅτι ὁ σοφὸς εἶδε θεόν, ἀλλ' ὅτι „ὁ θεὸς ὤφθη" τῷ σοφῷ·
καὶ γὰρ ἦν ἀδύνατον καταλαβεῖν τινα δι' αὐτοῦ τὸ πρὸς ἀλήθειαν ὄν,
μὴ παραφήναντος ἐκείνου ἑαυτὸν καὶ ἐπιδείξαντος. (18.) μαρτυρεῖ δὲ 81

---

1 ὀφθαλμοὺς G 3 ἐκχεομένας BEK Arm: χεομένας ceteri 4 ὁπόταν A οἷα KM: οἷα ceteri (v) 5 δὲ om. BEK ἐναργέστατον τῆς ἀποικίας BEK Arm: τῆς ἀποικίας ἐναργέστατον ceteri ἣν] ἦν AG ἀστρονομικῆς Arm 6 ἡ διάνοια] ἡ διανοίας BE 6. 7 εὐθὺς ἅμα τῇ μεταναστάσει BEK Arm: εὐθὺς
8
post μεταναστάσει transp. ceteri 7 μεταστάσει FG 8 ὧι B, ὁ (pro ᾧ) Arm δῆλον ὅτι CBEK: δηλονότι ceteri ἦν om. Arm. ἄστρων BEK 9 πορεία $CMAH^2P^2$ 9. 10 ἔξω—καταλαμβάνων om. Arm 9 ἀνάρμοστον BE 10. 11 μετεχώρησε καὶ μεθωρμίσατο BEK Arm: μεθωρμ. καὶ μετεχ. ceteri 11 μεθωρμήσατο BEAP κατ' ἀναγκαῖον $MH^1P$ 12 οὐ πρυτανεύοντα ἀλλὰ om. BEK Arm (fort. recte) 13 ἀναβλέψασα BEK Arm (coni. Mang.): ἀντιβλέψασα ceteri πολὺ F 14 αὐτῇ A ἐνθέρμοις MAHP: ἐν θερμοῖς ceteri 15 διαπόροις P 15. 16 ἀνασκεδάσασα—κρυπτομένου] ἀνασκεπτομένου (cet. om.) BE 16 ἀϊδοῦς BE ἕνεκα BEK: ἕνεκεν ceteri 17 ἀφικνουμένου τῆς ψυχῆς F ἑαυτὸν BEK: αὑτὸν M, αὐτὸν ceteri 18 αὐτοῦ F τ' $MH^2$ ἦν om. BK 18. 19 τὸν—θεόν om. A 19 ὅτι οὐχ transp. K ὤφθη ὁ θεὸς transp. BK 20 δι' om. CFG αὑτοῦ EKH: αὐτοῦ ceteri ὄν] ἀγαθόν Arm 21 ἑαυτὸν codd: ἑαυτὸ v ἐπιδείξαντος BEK: παραδείξαντος ceteri; προφήναντος et προδείξαντος coni. Mang.

τοῖς εἰρημένοις καὶ ἡ τοῦ ὀνόματος ὑπαλλαγὴ καὶ μετάθεσις. ἐκαλεῖτο
γὰρ Ἄβραμ τὸ ἀρχαῖον ὄνομα, προσερρήθη δ' ὕστερον Ἀβραάμ, φωνῇ μὲν
ἑνὸς στοιχείου τοῦ ἄλφα διπλασιασθέντος, δυνάμει δὲ μεγάλου πράγματος
82 καὶ δόγματος ἐνδειξαμένου τὴν μεταβολήν. Ἄβραμ μὲν γὰρ ἑρμηνευθέν
ἐστι „πατὴρ μετέωρος“, Ἀβραὰμ δὲ „πατὴρ ἐκλεκτὸς ἠχοῦς“, τὸ
μὲν πρότερον ἐμφαῖνον τὸν ἀστρολογικὸν καὶ μετεωρολογικὸν ἐπικαλούμενον,
οὕτως τῶν Χαλδαϊκῶν δογμάτων ἐπιμελούμενον, ὡς ἂν τις πατὴρ ἐγγόνων
83 ἐπιμεληθείη, τὸ δ' ὕστερον τὸν σοφόν. διὰ μὲν γὰρ τῆς ἠχοῦς τὸν
προφορικὸν λόγον αἰνίττεται, διὰ τοῦ πατρὸς δὲ τὸν ἡγεμόνα νοῦν — πατὴρ
γὰρ ὁ ἐνδιάθετος φύσει τοῦ γεγωνοῦ πρεσβύτερός γε ὢν καὶ τὰ λεκτέα
ὑποσπείρων —, διὰ δὲ τοῦ ἐπιλέκτου τὸν ἀστεῖον· εἰκαῖος μὲν γὰρ καὶ
πεφυρμένος ὁ φαῦλος τρόπος, ἐκλεκτὸς δὲ ὁ ἀγαθός, ἐπικριθεὶς ἐξ ἁπάντων
84 ἀριστίνδην. τῷ μὲν οὖν μετεωρολογικῷ μεῖζον οὐδὲν τοῦ κόσμου τὸ
παράπαν εἶναι δοκεῖ, ᾧ καὶ τὰς τῶν γινομένων αἰτίας ἀνατίθησιν· ὁ δὲ
σοφὸς ἀκριβεστέροις ὄμμασιν ἰδών τι τελειότερον νοητὸν ἄρχον τε καὶ
ἡγεμονεῦον, ὑφ' οὗ τἆλλα | δεσπόζεται καὶ κυβερνᾶται, πολλὰ κατεμέμψατο p. 14 M.
τῆς προτέρας ζωῆς ἑαυτὸν ὡς τυφλὸν βίον διεξεληλυθότα, σκηριπτόμενον
85 ἐπὶ τοῖς αἰσθητοῖς, ἀβεβαίῳ καὶ ἀνιδρύτῳ φύσει πράγματι. δευτέραν δ'
ἀποικίαν στέλλεται λογίῳ πάλιν πεισθεὶς ὁ ἀστεῖος οὐκέτ' ἐκ πόλεως
εἰς πόλιν, ἀλλ' εἰς χώραν ἐρήμην (Gen. 12, 9), ἐν ᾗ πλαζόμενος διετέλει
86 μὴ δυσαρεστῶν τῇ πλάνῃ καὶ τῷ δι' αὐτὴν ἀνιδρύτῳ. καίτοι τίς ἕτερος
οὐκ ἂν ἠχθέσθη μὴ μόνον τῆς οἰκείας ἀπανιστάμενος, ἀλλὰ καὶ ἐξ

1 τοῖς δρωμένοις K 2 ἄβραμ MA: ἅβραμ ceteri, ἀβρὰμ v τῷ ἀρχαίῳ ὀνόματι K προσερήθη EK δὲ BEK 3 ἄλφα om. A 3. 4 πράγματος καὶ om. Arm 4 καὶ δόγματος om. BE ἐνδεξαμένου BE μὲν om. K 4. 5 ἐστιν ἑρμηνευθὲν transp. HP 5 ἦχους FG 6 καὶ μετεωρολογικὸν om. FG ἐπικαλούμενον om. Arm 7 οὗτως BE, οὗτω Ξ K: οὕτω ceteri χαλδαϊκῶν BEK: χαλδαίων ceteri δογμάτων om. H[1]P ἐπιμελόμενον CMHP(v), ἐπιμελομένου G τις om. Arm 9 διὰ τοῦ πατρὸς δὲ BEK: διὰ δὲ τοῦ πατρὸς ceteri 10 ὁ ἐνδιάθετος om. Arm φύσει] πέφυκε Arm γεγωνοῦ E Arm, γεγονοῦ B: λεγομένου ceteri πρεσβύτερος — καὶ om. Arm γε BE: τε ceteri (Turn.), om. Mang. 11 ἐπιλέκτου K (ἐκλεκτοῦ Arm): ἐπιλελεγμένου AP, ἐπιλεγομένου ceteri; ἐξειλεγμένου coni. Mang. γὰρ om. BE 13 τοῦ BEK: om. ceteri 14 παράπαν] πᾶν CFGA καὶ om. G 15 ἀκριβέστερον BE τι Arm: ὅτι BEK, τὸ ceteri (v) 16 ἀφ' οὗ BEK τἆλλα EK, τἄλλα B: τὰ ἄλλα ceteri σπουδάζεται F πολλὰ BEK Arm: πολλάκι C, πολλάκις ceteri (v) 17 βίου BK σκ μενον A, lac. expl. man. rec. 18 φύσιν C, φύσεως A 19 στέλλεται BEK Arm: πάλιν στέλλεται (ut πάλιν bis legatur) ceteri οὐκέτ' BEK: οὐκέτι ceteri 21 τῇ om. F 22 οὐκ om. CG ἠχέσθη A μὴ BEK: οὐ ceteri οἰκίας BCFGM post καὶ eras. τὸν HP

ἁπάσης πόλεως ἐλαυνόμενος εἰς δυσβάτους καὶ δυσπορεύτους ἀνοδίας; τίς δ' οὐκ ἂν μετατραπόμενος ἐπαλινδρόμησεν οἴκαδε, βραχέα μὲν φροντίσας τῶν μελλουσῶν ἐλπίδων, τὴν δὲ παροῦσαν ἀπορίαν σπεύδων ἐκφυγεῖν, εὐήθειαν ὑπολαβὼν ἀδήλων χάριν ἀγαθῶν ὁμολογούμενα αἱρεῖσθαι κακά; μόνος δ' οὑτοσὶ τοὐναντίον πεπονθέναι φαίνεται, βίον 87 ἥδιστον νομίζων τὸν ἄνευ συνδιαιτήσεως τῆς τῶν πολλῶν. καὶ πέφυκεν οὕτως ἔχειν· οἱ γὰρ ζητοῦντες καὶ ἐπιποθοῦντες θεὸν ἀνευρεῖν τὴν φίλην αὐτῷ μόνωσιν ἀγαπῶσι, κατ' αὐτὸ τοῦτο σπεύδοντες πρῶτον ἐξομοιοῦσθαι τῇ μακαρίᾳ καὶ εὐδαίμονι φύσει. ἑκατέραν οὖν ἀπόδοσιν πεποιημένοι, 88 τήν τε ῥητὴν ὡς ἐπ' ἀνδρὸς καὶ τὴν δι' ὑπονοιῶν ὡς ἐπὶ ψυχῆς, ἀξιέραστον καὶ τὸν ἄνδρα καὶ τὸν νοῦν ἀπεφήναμεν, τὸν μὲν πεισθέντα λογίοις ἐκ δυσαποσπάστων ἀφελκυσθέντα, τὸν δὲ νοῦν, ὅτι οὐ μέχρι παντὸς ἀπατηθεὶς ἐπὶ τῆς αἰσθητῆς οὐσίας ἔστη τὸν ὁρατὸν κόσμον ὑπολαβὼν μέγιστον καὶ πρῶτον εἶναι θεόν, ἀλλὰ ἀναδραμὼν τῷ λογισμῷ φύσιν ἑτέραν ἀμείνω τῆς ὁρατῆς νοητὴν ἐθεάσατο καὶ τὸν ἀμφοῖν ποιητὴν ὁμοῦ καὶ ἡγεμόνα.

(19.) Ταῦτα τοῦ θεοφιλοῦς τὰ προτέλεια, οἷς ἕπονται πράξεις οὐκ 89 εὐκαταφρόνητοι. τὸ δὲ μέγεθος αὐτῶν οὐ παντί τῳ δῆλον, ἀλλὰ μόνον τοῖς γευσαμένοις ἀρετῆς, οἳ τὰ θαυμαζόμενα παρὰ τοῖς πολλοῖς εἰώθασι χλευάζειν ἕνεκα μεγέθους τῶν περὶ ψυχὴν ἀγαθῶν. ἀποδεξάμενος οὖν 90 ὁ θεὸς τὴν εἰρημένην πρᾶξιν αὐτίκα τὸν ἀστεῖον ἀμείβεται μεγάλῃ δωρεᾷ, τὸν γάμον αὐτῷ κινδυνεύσαντα πρὸς δυνατοῦ καὶ ἀκρατοῦς ἀνδρὸς ἐπιβουλευθῆναι διατηρήσας ἄψαυστόν τε καὶ σῷον. ἡ δ' αἰτία τῆς ἐπιθέσεως 91 ἀρχὴν ἔλαβε τοιάνδε. καρπῶν ἀφορίας ἐπὶ συχνὸν χρόνον γενομένης,

2 μετατραπόμενος BEK: μετατρεπόμενος ceteri οἴκαδε] ἀποστελλόμενος H 4 ἀγαθῶν om. C 5 οὑτοσὶ BEK: οὗτος ceteri τοὐναντίον codd: τοῦτο Arm 6 συνδιαιτήσεως τῆς τῶν πολλῶν BEK: τῆς τ. π. συνδ. ceteri 7 εὑρεῖν CFG; ἀνευρεῖν fort. secludendum 8 καθ' αὐτὸ BE σπεύδοντες πρῶτον BEK Arm: πρῶτον σπεύδοντες ceteri 10 ἐπ' BEKH[2] Arm: ὑπ' ceteri 11 καὶ τὸν ἄνδρα om. K 12 δυσαποσπασθέντων K τὸν] τὸ C 13 ἀπαιτηθεὶς K ὁρατὸν CF[2]MH[2], ὁρατὸν corr. ex ἀόρατον B: ἀόρατον ceteri 13. 14 τὸν— θεόν om. Arm 14 ἀλλ' KHP 15 ἐθεᾶτο BEK ποιητὴν ὁμοῦ BEK Arm: ὁμοῦ ποιητὴν ceteri 17 τοῦ] τοὺσ (sed σ eras.) C 17. 18 οὐκεκαταφρόνητοι (sic) C 18 παντί τω BEK: τῳ om. ceteri πάντη FG 19 οἳ τὰ] οἷα CFG παρὰ om. H (Turn.) 20 περὶ ψυχὴν K: περὶ ψυχῆς BE, τῆς ψυχῆς (om. περὶ) ceteri 21 ὁ θεὸς om. BE μεγάλῃ om. Arm 22 ἀκρατοῦς] αὐτοκράτορος male coni. Mang. 23 σῷον] θεῖον BK 24 καρπὸν A ἀφορίας BEK Arm (coni. Mang.): ἀπορίας ceteri

24 sqq. Gen. 12,10 sqq.

τοτὲ μὲν διὰ πολλὴν καὶ ἄμετρον ἐπομβρίαν τοτὲ δὲ δι' αὐχμὸν καὶ ζάλην,
αἱ κατὰ Συρίαν πόλεις συνεχεῖ λιμῷ πιεσθεῖσαι κεναὶ τῶν οἰκητόρων ἦσαν,
ἄλλων ἀλλαχόσε σκιδναμένων κατὰ ζήτησιν τροφῆς καὶ πορισμὸν τῶν αναγ-
92 καίων. πυθόμενος οὖν Ἀβραὰμ ἄφθονον εὐθηνίαν καὶ εὐετηρίαν ἐν Αἰ-
γύπτῳ, τοῦ μὲν ποταμοῦ ταῖς πλημμύραις λιμνάσαντος ἐν καιρῷ τὰ πεδία,
τῶν δὲ τὸν σπόρον εὔσταχυν ἐνεγκόντων καὶ ἀναθρεψαμένων | εὐκρασίαις p. 15 M.
93 πνευμάτων, ἀπαίρει πᾶσαν τὴν οἰκίαν ἐπαγόμενος. ἦν δ' αὐτῷ γυνὴ
τήν τε ψυχὴν ἀρίστη καὶ τὸ σῶμα τῶν καθ' αὑτὴν περικαλλεστάτη·
ταύτην ἰδόντες τῶν Αἰγυπτίων οἱ ἐν τέλει καὶ τῆς εὐμορφίας ἀγάμενοι
94 — λανθάνει γὰρ τοὺς ἐν ἐξοχαῖς οὐδέν — μηνύουσι τῷ βασιλεῖ. με-
ταπεμψάμενος δὲ τὴν ἄνθρωπον καὶ θεασάμενος ἐκπρεπεστάτην ὄψιν,
βραχὺ φροντίσας αἰδοῦς καὶ νόμων τῶν ἐπὶ τιμῇ ξένων ὁρισθέντων,
ἐνδοὺς ἀκρασίᾳ διενοεῖτο λόγῳ μὲν αὐτὴν ἀγαγέσθαι πρὸς γάμον, τὸ δ'
95 ἀληθὲς αἰσχύνειν. ἡ δ' ἅτε ἐν ἀλλοτρίᾳ γῇ παρ' ἀκρατεῖ τε καὶ ὠμοθύμῳ
δυνάστῃ τοῦ βοηθήσοντος ἀποροῦσα — οὐδὲ γὰρ ὁ ἀνὴρ ἔσθενεν ἀρήγειν
τὸν ἐπικρεμάμενον ἐκ τῶν δυνατωτέρων φόβον δεδιώς — ἐπὶ τὴν τελευ-
96 ταίαν ἅμ' ἐκείνῳ καταφεύγει συμμαχίαν τὴν ἐκ θεοῦ. λαβὼν δὲ τῶν
ξένων οἶκτον ὁ εὐμενὴς καὶ ἵλεως καὶ ὑπέρμαχος τῶν ἀδικουμένων
ἀλγηδόνας δυσκαρτερήτους καὶ χαλεπὰς τιμωρίας ἐπάγει τῷ βασιλεῖ,
παντοίων κακῶν ἀναπλήσας αὐτοῦ σῶμα καὶ ψυχὴν δυσιάτων, ὡς τὰς
μὲν ἐφ' ἡδονὴν ἀγούσας ὀρέξεις ἁπάσας ἐκκεκόφθαι, τὰς δ' ἐναντίας
παρεισεληλυθέναι φροντίδας περὶ ἀπαλλαγῆς ἀνηνύτων βασάνων, ὑφ' ὧν

---

η ϊ
2 λιμῷ πιεσθεῖσαι BEK Arm: πιεσθεῖσαι λιμῷ (λογισμῷ A) ceteri 4 εὐθένειαν B, εὐθένειαν E, εὐσθένειαν K 4. 5 καὶ εὐετηρίαν ἐν αἰγύπτω BEK Arm: ἐν αἰγύπτω καὶ εὐετηρίαν transp. ceteri 5 ταῖς πλημμύραις ante λιμνάσαντος BEK Arm.: ταῖς πλημμύραις post πεδία transp. ceteri πλημμυρίαις G λιμνάσαντος (λιμνά- σαντος ζοντος K) ἐν καιρῷ BEK Arm: ἐν καιρῷ λιμνάσαντος ceteri πεδία] ἐπιτήδεια BE 7 πνευμάτων] σπερμάτων K 8 τῶν καθ' αὑτὴν om. Arm καταυτὴν C, κατ' αὐτὴν FG 9 τῶν αἰγυπτίων BEK Arm: τῶν om. ceteri 10 post μηνύουσι add. δὴ Π(v), δὲ (rursus del.) P 11 εὐπρεπεστάτην BK post ὄψιν add. αὐτῆς Arm 12 ὁρισθέντων ἢ καὶ ὁρισθέντα A 14 αἰσχύνειν BEFG: αἰσχυνεῖν ceteri ἣ M δὲ BEK ἅτ' E παρακρατεῖται CGA ὁμοθύμω A 15 ἔστενεν A 16 δυνατοτέρων BE, ἀδυνατωτέρων $H^1P^1$ 17 ἅμ' BEK: ἅμα ceteri 18 ἀδικουμένων BEK Arm: ἅμα post ἀδικ. add. ceteri 19 ἀλγηδόνας] ὀδύνας C, ἡδονὰς $F^1G$, ὀδίνας $F^2$ 20 κακῶν παντοίων transp. HP σῶμα BEK: τὸ σῶμα ceteri τὴν ψυχὴν CHP δυσίατον FG 21 ἐφ' ἡδονὴν BEK Arm: ἐφ' ἡδονὰς ceteri; ἐφηδυνούσας coni. Mang.

γυμναζόμενος μεθ' ἡμέραν καὶ νύκτωρ ἐξετραχηλίζετο. παρεπέλαυσε δὲ 97
τῆς τιμωρίας καὶ σύμπας ὁ οἶκος αὐτῷ, μηδενὸς ἐπὶ τῇ παρανομίᾳ
δυσχεράναντος, ἀλλὰ πάντων ἕνεκα τοῦ συναινεῖν μόνον οὐ συγχειρουργη-
σάντων τὸ ἀδίκημα. τοῦτον τὸν τρόπον ἡ μὲν ἁγνεία τῆς γυναικὸς 98
διασῴζεται, τοῦ δὲ ἀνδρὸς τὴν καλοκἀγαθίαν καὶ εὐσέβειαν ὁ θεὸς ἠξίωσεν
ἐπιδείξασθαι γέρας αὐτῷ μέγιστον παρασχών, ἀσινῆ καὶ ἀνύβριστον ὅσον
οὔπω κινδυνεύσαντα διαφθαρῆναι τὸν γάμον, ὃς οὐκ ἔμελλεν ὀλίγων
ἀριθμὸν υἱῶν ἢ θυγατέρων γεννᾶν, ἀλλ' ὅλον ἔθνος καὶ ἐθνῶν τὸ
θεοφιλέστατον, ὃ μοι δοκεῖ τὴν ὑπὲρ παντὸς ἀνθρώπων γένους ἱερωσύνην
καὶ προφητείαν λαχεῖν.

(20.) Ἤκουσα μέντοι καὶ φυσικῶν ἀνδρῶν οὐκ ἀπὸ σκοποῦ τὰ 99
περὶ τὸν τόπον ἀλληγορούντων, οἳ τὸν μὲν ἄνδρα συμβολικῶς ἔφασκον
σπουδαῖον εἶναι νοῦν ἐκ τῆς περὶ τοὔνομα ἑρμηνευθείσης δυνάμεως
τεκμαιρόμενοι τρόπον ἀστεῖον ἐν ψυχῇ, τὴν δὲ τούτου γυναῖκα ἀρετήν,
ἧς τοὔνομά ἐστι Χαλδαϊστὶ μὲν Σάρρα, Ἑλληνιστὶ δὲ „ἄρχουσα“, διὰ
τὸ μηδὲν ἀρετῆς ἀρχικώτερον εἶναι καὶ ἡγεμονικώτερον. γάμος δέ, ὃν 100
μὲν ἁρμόζεται ἡδονή, σωμάτων κοινωνίαν ἔλαχεν, ὃν δὲ σοφία, λογισμῶν
καθάρσεως ἐφιεμένων καὶ τελείων ἀρετῶν. ἐναντιώτατοι δὲ ἀλλήλοις
εἰσὶν οἱ λεχθέντες γάμοι. κατὰ μὲν γὰρ τὸν τῶν σωμάτων σπείρει μὲν 101
p. 16 M. τὸ ἄρρεν, γονὴν δ' ὑποδέχεται τὸ θῆλυ, κατὰ δὲ τὴν | ἐν ψυχαῖς σύνοδον
ἔμπαλιν ἡ μὲν ἀρετὴ τάξιν γυναικὸς ἔχειν δοκοῦσα σπείρειν πέφυκε βουλὰς
ἀγαθὰς καὶ λόγους σπουδαίους καὶ βιωφελεστάτων εἰσηγήσεις δογμάτων,
ὁ δὲ λογισμὸς εἰς τὴν ἀνδρὸς χώραν τάττεσθαι νομισθεὶς τὰς ἱεροπρεπεῖς
καὶ θείας ὑποδέχεται σποράς· ἢ μήποτε τὸ λεχθὲν ἔψευσται δι' ἀπάτην

---

1 μεθ' ἡμέρας A   καὶ νύκτωρ om. A   νύκτας C   παρεπέλαυσε BKMA, παρεπέλευσε E: παραπήλαυσε ceteri   2 καὶ σύμπας BEK: καὶ om. ceteri   συμπάσας C   ὁ οἶκος αὐτῷ BEK Arm: αὐτῷ ὁ οἶκος ceteri; αὐτοῦ coni. Mang.   προνομίᾳ F   3 αἰνεῖν CFG   οὐχὶ BE   4 ἁγνία M   5 διασῴζεται BEK Arm: διεσῴζετο ceteri   δ' BEK   καὶ εὐσέβειαν ὁ θεὸς BEK Arm: ὁ θεὸς καὶ εὐσέβειαν transp. ceteri   6 ἐπιδείξασθαι BEK: ἐπιδείκνυσθαι ceteri   ἀνύβριστον] ἀκίνδυνον F   7 οὔπω BEK: οὐδέπω ceteri   διαφθαρῆναι τὸν γάμον BEK Arm: τὸν γάμον διαφθαρῆναι transp. ceteri   γάμον ⟨τηρήσας⟩ coni. Wendl. coll. 21,23   ὃς om. Turn.   ὀλίγων BEK Arm: om. ceteri   9 παντὸς BEK: ἅπαντος ceteri   τὴν ἱερωσύνην P   11 post καὶ add. ἀπὸ P   12 τόπον] τύπον H²L (Turn.)   συμβουλικῶς E   16 εἶναι καὶ ἡγεμονικώτερον om. CFG   ὃν] ὧν A   17 ἡδονῇ A   ἔλαβεν Arm   ὃν] ὧν A   18 ἐναντιότατοι EKF   δ' BEK   20 γονὴν δ' ὑποδέχεται BEK Arm: γονήν, ὑποδέχεται δὲ ceteri   21 ἔχειν γυναικὸς transp. HP   συμβουλὰς BK   22 καὶ λόγους σπουδαίους om. Arm   23 ἀνδρῶν K   24 καὶ θείας om. Arm   ἢ] ἡ BP

ὀνομάτων, ἐπειδήπερ ὁ μὲν νοῦς ἄρρενος ἡ δ' ἀρετὴ θήλεος μετέχει
102 χαρακτῆρος ἐν φωναῖς. εἰ δέ τις τὰς ἐπισκιαζούσας κλήσεις ἀπαμφιάσας
γυμνὰ τὰ πράγματα βουληθείη καθαρῶς ἰδεῖν, εἴσεται διότι ἄρρεν μέν ἐστιν
ἡ ἀρετὴ φύσει, παρόσον κινεῖ καὶ διατίθησι καὶ καλὰς ἐννοίας καλῶν πρά-
ξεων καὶ λόγων ὑπηχεῖ, θῆλυ δὲ ὁ λογισμὸς κινούμενος καὶ παιδευόμενος
καὶ ὠφελούμενος καὶ συνόλως ἐν τῷ πάσχειν ἐξεταζόμενος, καὶ τὸ πάθος
103 αὐτῷ τοῦτο μόνον ἐστὶ σωτήριον. (21.) ἅπαντες μὲν οὖν καὶ οἱ φαυλό-
τατοι τῷ λόγῳ τιμῶσι καὶ θαυμάζουσιν ἀρετὴν ὅσα τῷ δοκεῖν, χρῶνται
δ' αὐτῆς τοῖς παραγγέλμασιν οἱ ἀστεῖοι μόνοι. διὸ καὶ ὁ τῆς Αἰγύπτου
βασιλεύς, ὅπερ ἐστὶ συμβολικῶς νοῦς φιλοσώματος, καθυποκρινόμενος
ὡς ἐν θεάτρῳ προσποίητον ἐπιμορφάζει κοινωνίαν, πρὸς ἐγκράτειαν ὁ
ἀκρατὴς καὶ πρὸς σωφροσύνην ὁ ἀκόλαστος καὶ πρὸς δικαιοσύνην ὁ ἄδικος,
καὶ καλεῖ τὴν ἀρετὴν ὡς ἑαυτὸν τῆς παρὰ τοῖς πολλοῖς εὐφημίας γλιχό-
104 μενος. ὅπερ κατιδὼν ὁ ἔφορος — μόνῳ γὰρ ἔξεστι θεῷ ψυχὴν ἰδεῖν
— ἐμίσησε καὶ προὐβάλετο καὶ βασάνοις ἤλεγξεν ἀργαλεωτάταις ἦθος
κατεψευσμένον. αἱ δὲ βάσανοι διὰ τίνων ὀργάνων; ἢ πάντως διὰ τῶν
τῆς ἀρετῆς μερῶν, ἅπερ ἐπεισιόντα χαλεπῶς αἰκίζεται καὶ τιτρώσκει;
βάσανος μὲν γάρ ἐστιν ἀπληστίας ὀλιγοδεΐα, βάσανος δὲ λαγνείας ἐγ-
κράτεια· στρεβλοῦται δὲ καὶ ὁ φιλόδοξος ἀτυφίας εὐημερούσης καὶ ὁ
105 ἄδικος δικαιοσύνης ἐπαινουμένης. μίαν γὰρ ἀμήχανον ψυχὴν κατοικεῖν
δύο τὰς ἐχθρὰς φύσεις, κακίαν καὶ ἀρετήν· οὗ χάριν, ἐπειδὰν συνενεχθῶ-
σιν, ἀσύμβατοι καὶ ἀκατάλλακτοι στάσεις καὶ πόλεμοι συγκροτοῦνται,
καίτοι τῆς ἀρετῆς εἰρηνικωτάτην φύσιν ἐχούσης, ᾗ φασιν ἐπιμελὲς εἶναι,
ὅταν εἰς χειρῶν ἅμιλλαν ἰέναι μέλλῃ, τῆς ἰδίας δυνάμεως ἀποπειρᾶσθαι

---

1 ἐπειδήπερ BEK: ἐπείπερ ceteri 2 τι F ἐπισκευαζούσας CG ἀπαμφιάσας H: ἀναπαμφιάσας A, ἀπαμφιέσας (ε corr. ex α) E, ἀπαμφιέσας BKP, ἐναπαμφιέσας CFGM 3 διότι] ὅτι vel δὴ ὅτι conicio 4. 5 καὶ καλὰς—ὑπηχεῖ om. Arm 5 ὑφηχεῖ E, ὑφηγεῖται (γεῖται in ras.) B δὲ BEK: δ' ceteri καὶ παιδευόμενος om. Arm 7 αὐτῶ τοῦτο μόνον ἐστὶ BEK, τοῦτο αὐτῷ μόνον ἐστὶ Arm: ἐστὶν post πάθος (6) transp. ceteri 9 αὐτῆς] αὐτοῖς AH[1]P πράγμασιν K 10 συμβουλικῶς E νοῦς φιλοσώματος BEK Arm: ὁ νοῦς ὁ φιλοσώματος ceteri καθυποκρινάμενος C 11 ἐπιμορφάζειν K 12 ἀκροατὴς H[1]P[1] 13 καὶ om. K 14 θεῶ BEK: τῶ θεῶ ceteri 15 ἐμίσησε BEK: ἐμίσησέ τε ceteri ἀπεβάλετο BE, ἀπεβάλλετο K 16 διά τινων MA ἢ codd.: ἡ v 17 ἐπεξιόντα coni. Mang. τιτρώσκει BEK Arm: πικρῶς ceteri 18 ὀλιγοδέειά BEMP, ὀλιγόδεια v 19 δὲ om. BE 20 μίαν . . . ψυχὴν ABE Arm: μιᾶ . . . ψυχῇ ceteri 21 φύσει CFG 21. 22 συναχθῶσιν K 23 ᾗ] ἢ A 24 ὅταν BEK: ἐπὰν ceteri χειρῶν K (Mang.): χεῖρον BE, χείρονα ceteri ἅμιλλα BE τὰς ἰδίας δυνάμεις BE

πρότερον, ἵν', εἰ μὲν ἰσχύοι καταγωνίσασθαι, συνιστῆται, εἰ δ' ἀσθε-
νεστέρᾳ χρῷτο τῇ δυνάμει, μηδὲ συγκαταβῆναι τὴν ἀρχὴν εἰς τὸν ἀγῶνα
θαρρήσῃ· κακίαν μὲν γὰρ ἡττᾶσθαι οὐκ αἰσχρόν, ᾗ συγγενὲς ἀδοξία, 106
ἀρετὴν δὲ ὄνειδος, ᾗ πάντων οἰκειότατον εὔκλεια, δι' ἣν πέφυκε νικᾶν ἢ
διατηρεῖν αὐτὴν ἀήττητον.

(22.) Τὸ μὲν οὖν Αἰγυπτίων ἄξενον καὶ ἀκόλαστον εἴρηται. τοῦ δὲ 107
τοιαῦτα πεπονθότος ἄξιον θαυμάσαι τὴν φιλανθρωπίαν, ὃς μεσημβρίας
p. 17 M. | θεασάμενος τρεῖς ὡς ἄνδρας ὁδοιποροῦντας — οἱ δὲ θειοτέρας ὄντες
φύσεως ἐλελήθεσαν — προσδραμὼν ἱκέτευε λιπαρῶς μὴ παρελθεῖν αὐτοῦ
τὴν σκηνήν, ἀλλ' ὡς πρέπον εἰσεληλυθότας ξενίων μετασχεῖν· οἱ δ' οὐκ
ἐκ τῶν λεγομένων μᾶλλον ἢ τῆς διανοίας εἰδότες ἀληθεύοντα μηδὲν ἐν-
δοιάσαντες ἐπινεύουσι. πληρωθεὶς δὲ τὴν ψυχὴν χαρᾶς πάντ' ἐσπούδαζεν 108
εἰς τὸ ἀνυπέρθετον τῆς ὑποδοχῆς καὶ τῇ μὲν γυναικί φησι „σπεῦσον
καὶ τρία μέτρα ποίησον ἐγκρυφιῶν,“ αὐτὸς δὲ εἰς τὰ βουκόλια συντείνας,
ἁπαλὸν καὶ εὔσαρκον ἀγαγὼν μόσχον, οἰκέτῃ παραδίδωσιν. ὁ δὲ καταθύσας 109
σκευάζει τάχιστα· βραδὺς γὰρ οὐδεὶς πρὸς φιλανθρωπίαν ἐν οἴκῳ σοφοῦ,
ἀλλὰ καὶ γυναῖκες καὶ ἄνδρες καὶ δοῦλοι καὶ ἐλεύθεροι προθυμότατοι
πρὸς τὰς τῶν ξενιζομένων ὑπηρεσίας. ἑστιαθέντες δ' οὐ τοῖς εὐτρεπισθεῖσι 110
μᾶλλον ἢ τῇ τοῦ ξενοδόχου γνώμῃ καὶ πολλῇ τινι καὶ ἀπεράντῳ φιλοτιμίᾳ
παρέχουσιν ἆθλον ἐλπίδος μεῖζον αὐτῷ, υἱοῦ γνησίου γένεσιν εἰς νέωτα
βεβαιωθησομένην ὑποσχόμενοι δι' ἑνὸς τοῦ τῶν τριῶν ἀρίστου — λέγειν

---

1 ἵνα BEK ἰσχύει AK συνίστηται MFG, συνίσταται CA εἰ alt.] ἢ A δὲ BE 2 χρῶντο A μηδὲν P 3 θαρρήσει F, θαρσήσῃ K, θαρσῆσαι BE κακίαν BK: κακία ceteri (κακίᾳ v) ᾗ] ἢ A 4 ἀρετὴν BEK: ἀρετῇ ceteri (v) δ' BEK ᾗ] ἢ A εὔκλειαν A πέφυκε νικᾶν BEK: πέφυκεν ἢ νικᾶν ceteri 5 αὐτὴν F: αὐτὴν αὐτὴν P, αὐτὴν αὐτὴν H[1], αὐτὴ αὐτὴν H[2](v), αὐτὴν ceteri 7 θαυμάσασθαι L (Turn.) ante μεσημβρίας add. τῷ καιρῷ A μεσημβρίαν BE 8 ὄντας E 9 ἐλελήθεσαν BEK: ἐλελήθεισαν CFGMP, ἐληλύθεισαν AH προσλαβὼν BE αὐτοῦ codd. (v) 10 εἰσεληλυθότας BEK: εἰσελθόντας ceteri οἳ BM 11 εἰδότες] ἰδόντες BE 12 πάντες C ἐσπούδαζεν BEK: ἔσπευδεν ceteri 13 ὑποδοχῆς BEK: ἀποδοχῆς ceteri 14 ἐγκρυφίων codd. (v) δ' BEK
17 καὶ δοῦλοι καὶ ἐλεύθεροι BEK Arm: καὶ ἐλεύθεροι καὶ δοῦλοι transp. ceteri
18 δ' om. A οὐ τοῖς] οὕτως C 19 καὶ πολλῇ—φιλοτιμίᾳ om. Arm καὶ alt. om. K 20 ἐλπίδος om. BE υἱοῦ τοῦ γνησίου H(v) ἐς K
21 τὸ βεβαιωθησόμενον BE, βεβαιωθησομένην om. Arm. ὑποσχομένου (om. δι') Arm τοῦ et ἀρίστου om. Arm τοῦ τῶν] τούτων A

---

7 sqq. Gen. 18,1 sqq. 16 *Origenes Homil. in Genes. IV 1 (t. VIII p. 163 Lomm.)* „Puer, inquit, festinavit facere eum.“ ipse currit, uxor festinat, puer accelerat: nullus piger est in domo sapientis.

γὰρ ἐν ταὐτῷ πάντας ἀθρόους ἦν ἀφιλόσοφον, ἑνὶ δὲ λέγοντι τοὺς ἄλλους
111 συνεπινεύειν ἐμπρεπὲς —. ἀλλὰ γὰρ οὐδ' ὑπισχνουμένοις ἕνεκα τοῦ περὶ
τὸ πρᾶγμα ἀπίστου βεβαίως προσεῖχον· ἤδη γὰρ ὑπερήλικες γεγονότες
112 διὰ μακρὸν γῆρας ἀπεγνώκεσαν παιδὸς σποράν. ἀκούσασαν οὖν τὴν
γυναῖκα ἐν ἀρχῇ φησι γελάσαι καὶ μετὰ ταῦτα, εἰπόντων „μὴ ἀδυνατεῖ
παρὰ τῷ θεῷ πᾶν ῥῆμα;“ καταιδεσθεῖσαν ἠρνῆσθαι τὸν γέλωτα· πάντα
γὰρ ᾔδει θεῷ δυνατὰ σχεδὸν ἐξ ἔτι σπαργάνων τουτὶ τὸ δόγμα προμαθοῦσα.
113 τότε μοι δοκεῖ πρῶτον οὐκέθ' ὁμοίαν τῶν ὁρωμένων λαβεῖν φαντασίαν,
ἀλλὰ σεμνοτέραν ἢ προφητῶν ἢ ἀγγέλων μεταβαλόντων ἀπὸ πνευματικῆς
114 καὶ ψυχοειδοῦς οὐσίας εἰς ἀνθρωπόμορφον ἰδέαν. (23.) τὸ μὲν οὖν
φιλόξενον τοῦ ἀνδρὸς εἴρηται, πάρεργον ὂν ἀρετῆς μείζονος· ἡ δ' ἀρετὴ
θεοσέβεια, περὶ ἧς καὶ πρότερον εἴπομεν, ἧς δεῖγμα σαφέστατον τὰ νῦν
115 λεχθέντα ἐστὶν ὡς ἐπὶ ξένων ἀνδρῶν. εἰ δ' εὐδαίμονα καὶ μακάριον
οἶκον ὑπέλαβον εἶναί τινες, ἐν ᾧ συνέβη καταχθῆναι καὶ ἐνδιατρῖψαι
σοφούς, οὐκ ἂν ἀξιώσαντας ἀλλ' οὐδ' ὅσον διακῦψαι μόνον, εἴ τι πάθος
ἐνεώρων ταῖς ψυχαῖς τῶν ἔνδον ὄντων ἀνίατον, ἐγὼ δὲ οὐκ οἶδα, τίνα
ὑπερβολὴν εὐδαιμονίας καὶ μακαριότητος εἶναι φῶ περὶ τὴν οἰκίαν, ἐν
ᾗ καταχθῆναι καὶ ξενίων λαχεῖν ὑπέμειναν ἄγγελοι πρὸς ἀνθρώπους,
ἱεραὶ καὶ θεῖαι φύσεις, ὑποδιάκονοι καὶ ὕπαρχοι τοῦ πρώτου θεοῦ,
| δι' ὧν οἷα πρεσβευτῶν ὅσα ἂν θελήσῃ τῷ γένει ἡμῶν προθεσπίσαι p. 18 M.
116 διαγγέλλει. πῶς γὰρ ἂν τὴν ἀρχὴν εἰσελθεῖν ὑπέμειναν, εἰ μὴ καθάπερ
νεὼς εὖ συντεταγμένον πλήρωμα τοὺς ἔνδον ἅπαντας ᾔδεσαν ἑνὶ πειθαρ-

---

1 ταὐτῷ BEK: τῷ αὐτῷ ceteri 2 ἐμπρεπὲς BEMA: εὐπρεπὲς ceteri οὐδ' codd.: οὐχ Turn. Mang. ὑπισχνουμένους HP, ὑπισχνουμένης A 4 ἀπεγνώκεσαν BEK: ἀπέγνωσαν ceteri παίδων coni. Mang. οὖν BEK: γοῦν ceteri 4. 5 τὴν γυναῖκα ἐν ἀρχῇ BEK: ἐν ἀρχῇ τὴν γυναῖκα transp. ceteri 5 γελάσαι φησὶ transp. K φησὶ BEK: φασὶ ceteri ταῦτ' CFGMA 6 τῷ θεῷ BEK: θεῷ MAH², θεοῦ CFGH¹P πᾶν ῥῆμα BEK: πᾶν om. ceteri ἠρνῆσθαι K, ἠρνεῖσθαι BE: ἀρνήσασθαι ceteri 8 πρῶτον om. Arm ὁμοίαν CBEK: ὅμοιον ceteri, ὁμοίως Arm 9 προφητῶν BEK: προφητῶν τινων ceteri μεταβαλλόντων MFG(v) 10 ἰδέαν] οὐσίαν P 11 ὂν] ἦν A ἀρετῆς μείζονος BEK Arm: μείζονος ἀρετῆς ceteri 12 εἴπομεν] εἴρηται BEK ἧς] εἰς F σαφέστερον BE 13 εἰ δ'] ἧς BE, εἰς Arm 13. 14 μακάριον οἶκον BEK Arm: οἶκον post τινες transp. ceteri 14 καταταχθῆναι A, καταχθῆναι om. CFG διατρῖψαι CFG 15 ἀξιώσαντας] ἀνακύψαντας BE οὐδ' BEK: οὐδὲ ceteri 16 ἐνεώρων BEK: ἑώρων ceteri ὄντων BEK Arm: om. ceteri post ἀνίατον add. ὃν BE δ' BEK 17 φῶ] ἐφ' ᾧ BE 18 καταταχθῆναι A ἀγγέλων K ἀνθρώπων C 20 ἡμῶν om. BE 21 διαστέλλει CFG ἂν om. BEK 22 συντεταγμένης Arm τοὺς] τῆς C πάντας HP

χοῦντας κελεύσματι τῷ τοῦ προεστηκότος ὡσανεὶ κυβερνήτου; πῶς δ'
ἂν ἑστιωμένων καὶ ξενιζομένων παρέσχον ὑπόληψιν, εἰ μὴ τὸν ἑστιάτορα
συγγενῆ καὶ ὁμόδουλον ἡγοῦντο τῷ αὐτῶν προσπεφευγότα δεσπότῃ;
νομιστέον μέντοι καὶ κατὰ τὴν εἴσοδον αὐτῶν ἔτι μᾶλλον ἐπιδοῦναι πάντα
τὰ μέρη τῆς οἰκίας πρὸς τὸ βέλτιον αὔρᾳ τινὶ τελειοτάτης ἀρετῆς ἐπιπνευ-
σθέντα. τὸ δὲ συμπόσιον οἷον εἰκὸς γενέσθαι, τὴν ἐν εὐωχίαις ἀφέλειαν 117
ἐπιδεικνυμένων πρὸς τὸν ἑστιάτορα τῶν ἑστιωμένων καὶ γυμνοῖς ἤθεσι
προσαγορευόντων καὶ ὁμιλίας τὰς ἁρμοττούσας τῷ καιρῷ ποιουμένων.
τεράστιον δὲ καὶ τὸ μὴ πίνοντας πινόντων καὶ τὸ μὴ ἐσθίοντας ἐσθιόντων 118
παρέχειν φαντασίαν. ἀλλὰ ταυτί γε ὡς ἀκόλουθα· τὸ δὲ πρῶτον ἐκεῖνο
τερατωδέστατον, ἀσωμάτους ὄντας [τοῦδε σώματος] εἰς ἰδέαν ἀνθρώπων
μεμορφῶσθαι χάριτι τῇ πρὸς τὸν ἀστεῖον· τίνος γὰρ ἕνεκα ταῦτα ἐθαυ-
ματουργεῖτο ἢ τοῦ παρασχεῖν αἴσθησιν τῷ σοφῷ διὰ τρανοτέρας ὄψεως,
ὅτι οὐ λέληθε τὸν πατέρα τοιοῦτος ὤν;

(24.) Τὰ μὲν οὖν τῆς ῥητῆς ἀποδόσεως ὡδὶ λελέχθω· τῆς δὲ 119
δι' ὑπονοιῶν ἀρκτέον. σύμβολα τὰ ἐν φωναῖς τῶν διανοίᾳ μόνῃ κατα-
λαμβανομένων ἐστίν· ἐπειδὰν οὖν ἡ ψυχὴ καθάπερ ἐν μεσημβρίᾳ θεῷ
περιλαμφθῇ καὶ ὅλη δι' ὅλων νοητοῦ φωτὸς ἀναπλησθεῖσα ταῖς ἐν κύκλῳ
κεχυμέναις αὐγαῖς ἄσκιος γένηται, τριττὴν φαντασίαν ἑνὸς ὑποκειμένου
καταλαμβάνει, τοῦ μὲν ὡς ὄντος, τῶν δ' ἄλλων δυοῖν ὡς ἂν ἀπαυγαζο-
μένων ἀπὸ τούτου σκιῶν· ὁποῖόν τι συμβαίνει καὶ τοῖς ἐν αἰσθητῷ
φωτὶ διατρίβουσιν· ἢ γὰρ ἑστώτων ἢ κινουμένων διτταὶ σκιαὶ πολλάκις
συνεμπίπτουσι. μὴ μέντοι νομισάτω τις ἐπὶ θεοῦ τὰς σκιὰς κυριολογεῖ- 120

3 αὐτῶν CBEK: αὐτῷ ceteri (Mang.) προσπεφευγότα BEK Arm: προσπεφευγέντα (sic) M, προσπεφευγέναι AP, προσπεφυκέναι CFGH(v) 4 καὶ om. F 5 τὸ om. P 6 ἐν om. BEG ὠφέλειαν CFGHP 9 τὸ pr.] τῷ A
ϊ ό
πίνοντας CFGK Arm: πεινῶντας MAHP, om. BE πινόντων CFGK Arm: πεινώντων B, πεινώντων ceteri τὸ μὴ BEK Arm: τὸ om. ceteri 10 ταυτί BEK: ταῦτά ceteri 11 τερατωδέστερον A τοῦδε E Arm, τοῦ δὲ B: τούσδε CKM, τοὺς δὲ AFG, τούτους HP(v) τοῦδε σώματος seclusi 12 τῆς BE ἕνεκεν BK, ἕνεκε E 13 ἢ om. BE 15 ἀποδόσεως BEK Arm: ὑποθέσεως ceteri ὡδὶ] ὡς δεῖ BE; ὧδε Mang. λελέχθω BE Arm: λέλεκται ceteri 16 διανοίᾳ BEK: ἐν διανοίᾳ ceteri μόνοι A 17 ἡ ψυχὴ BEK Arm: ἡ om. ceteri 18 περιλειφθῇ P 18. 19 ταῖς . . . κεχυμέναις αὐγαῖς H²(v): τὰς . . . κεχυμένας αὐγὰς ceteri Arm; τὰς . . . κεχυμένας αὐγὰς ⟨ἀναλαβοῦσα⟩ conicio vel τὰς . . . κεχυμένας αὐγὰς ἀσκίους δέχηται (αὐγὰς ἀσπάσηται Wendl.) 19 ἄσκιος γένηται om. Arm 20 τῶν δ' ἄλλων BEK: τοῖν δ' ἄλλοιν ceteri 21 τῶν σκιῶν ABK ὁποῖον] ὅμοιον BE 22 ἑστώτων] ἔστω τῶν MA διτταῖς καὶ CG post σκιαὶ add. καὶ A 23 συνεμπίπτουσι BEK: συμπίπτουσι ceteri

σθαι· κατάχρησις ὀνόματός ἐστι μόνον πρὸς ἐναργεστέραν ἔμφασιν τοῦ
121 δηλουμένου πράγματος, ἐπεὶ τό γε ἀληθὲς οὐχ ὧδε ἔχει· ἀλλ' ἔστιν,
ὡς ἄν τις ἐγγύτατα τῆς ἀληθείας ἱστάμενος εἴποι, πατὴρ μὲν τῶν ὅλων
ὁ μέσος, ὃς ἐν ταῖς | ἱεραῖς γραφαῖς κυρίῳ ὀνόματι καλεῖται ὁ ὤν, αἱ p. 19 M.
δὲ παρ' ἑκάτερα αἱ πρεσβύταται καὶ ἐγγυτάτω τοῦ ὄντος δυνάμεις, ἡ μὲν
ποιητική, ἡ δ' αὖ βασιλική· προσαγορεύεται δὲ ἡ μὲν ποιητικὴ θεός,
ταύτῃ γὰρ ἔθηκέ τε καὶ διεκόσμησε τὸ πᾶν, ἡ δὲ βασιλικὴ κύριος, θέμις
122 γὰρ ἄρχειν καὶ κρατεῖν τὸ πεποιηκὸς τοῦ γενομένου. δορυφορούμενος οὖν
ὁ μέσος ὑφ' ἑκατέρας τῶν δυνάμεων παρέχει τῇ ὁρατικῇ διανοίᾳ τοτὲ
μὲν ἑνὸς τοτὲ δὲ τριῶν φαντασίαν, ἑνὸς μὲν ὅταν ἄκρως τύχῃ καθαρθεῖσα
καὶ μὴ μόνον τὰ πλήθη τῶν ἀριθμῶν ἀλλὰ καὶ τὴν γείτονα μονάδος
δυάδα ὑπερβᾶσα πρὸς τὴν ἀμιγῆ καὶ ἀσύμπλοκον καὶ καθ' αὑτὴν οὐδενὸς
ἐπιδεᾶ τὸ παράπαν ἰδέαν ἐπείγηται, τριῶν δὲ ὅταν μήπω τὰς μεγάλας
τελεσθεῖσα τελετὰς ἔτι ἐν ταῖς βραχυτέραις ὀργιάζηται καὶ μὴ δύνηται
τὸ ὂν ἄνευ ἑτέρου τινὸς ἐξ αὐτοῦ μόνου καταλαβεῖν, ἀλλὰ διὰ τῶν
123 δρωμένων, ἢ κτίζον ἢ ἄρχον. δεύτερος μὲν οὖν, ὥς φασι, πλοῦς οὗτος,
μετέχει δ' οὐδὲν ἧττον δόξης θεοφιλοῦς· ὁ δὲ πρότερος τρόπος οὐ
μετέχει, ἀλλ' αὐτός ἐστι θεοφιλὴς δόξα, μᾶλλον δὲ καὶ δόξης πρεσβυτέρα
καὶ παντὸς τιμιωτέρα τοῦ δοκεῖν ἀλήθεια. γνωριμώτερον δὲ τὸ δηλού-
124 μενον παραστατέον. (25.) τρεῖς εἰσιν ἠθῶν ἀνθρωπίνων τάξεις, ὧν ἑκάστη
διακεκλήρωται μίαν τῶν εἰρημένων φαντασιῶν, ἡ μὲν ἀρίστη τὴν μέσην
τοῦ ὄντως ὄντος, ἡ δὲ μετ' ἐκείνην τὴν ἐπὶ δεξιά, τὴν εὐεργέτιν, ᾗ
θεὸς ὄνομα, ἡ δὲ τρίτη τὴν ἐπὶ θάτερα, τὴν ἀρχικήν, ᾗ καλεῖται κύριος.

---

1 ἐστὶ μόνον BEK: αὐτὸ (αὐτῷ A) μόνον ἐστὶ ceteri ἐστὶν αὐτὸ μόνον ὀνόματος Arm ἐνεργεστέραν BEK 2 πράγματος] γράμματος Arm ὧδε K, ὧδ' BE: οὕτως ceteri 3 ἐγγύτατα τῆς ἀληθείας BEK Arm: τῆς ἀληθείας ἐγγύτατα transp. ceteri εἴποιεν BE 4 ὃς om. Arm αἱ] οἱ Mang. 5 αἱ πρεσβύταται BEK Arm: αἱ om. ceteri ἐγγυτάτω BEK: ἐγγύταται ceteri ἡ μὲν BEK Arm: ὧν ἡ μὲν ceteri 6 δ' αὖ] δὲ (om. αὖ) HP βασιλική· προσαγορεύεται δὲ BEK Arm: βασιλικὴ προσαγορεύεται (ὀνομάζεται F)· καὶ ceteri θεός] κύριος A 7 αὕτη BEK τε om. BEK διεκόσμη (i. e. διεκόσμει) C κύριος] θεός G 8 γοῦν BEK 9 παρεῖχε BEK 9. 10 τοτὲ] ποτὲ (bis) K, τὸ (bis) CFG 10 τύχῃ καθαρθεῖσα BEK Arm: καθαρθεῖσα ψυχὴ (ἡ ψυχὴ H²) ceteri 13 ἰδέαν om. CFG ἐπείγεται AK 14 ἔτι om. K 15 ante ἐξ add. ἢ BEMAP² 16 δρωμένων] ὁρωμένων coni. Mang.: cf. § 188 18 ἐστι θεοφιλὴς BEK Arm: ἐστιν ἡ θεοφιλὴς ceteri μᾶλλον δὲ καὶ MAK: μᾶλλον δὴ καὶ BE Arm, μᾶλλον δὲ HP, ἢ δὴ C, εἰ δὴ F, εἴδη G 19 τοῦ] τῷ K 20 ἠθῶν om. CFG ἀνθρώπων CFG, ἀνθρωπίνων om. A 21 μιᾶ CFGM 22 ὄντος ὄντως transp. CABE δεξιᾶ MF ᾗ] ἡ A 23 ὁ θεὸς BEK

τὰ μὲν οὖν ἄριστα τῶν ἠθῶν τὸν καθ' αὑτὸν ἄνευ τινὸς ὄντα θεραπεύει 125
πρὸς μηδενὸς ἑτέρου μεθελκόμενα, τῷ τετάσθαι μοναδικῶς πρὸς τὴν
ἑνὸς τιμήν· τῶν δ' ἄλλων τὰ μὲν διὰ τῆς εὐεργέτιδος συνίσταται καὶ
γνωρίζεται δυνάμεως τῷ πατρί, τὰ δὲ διὰ τῆς βασιλικῆς. ὃ δὲ λέγω, 126
τοιοῦτόν ἐστιν. ἄνθρωποι μὲν ἐπειδὰν αἴσθωνται κατὰ πρόφασιν ἑταιρείας
προσιόντας αὐτοῖς τινας ἐπὶ θήρᾳ πλεονεξιῶν, ὑποβλέπονταί τε καὶ ἀπο-
στρέφονται τὴν προσποίητον κολακείαν καὶ τιθασείαν αὐτῶν δεδιότες ὡς
σφόδρα ἐπιζήμιον· ὁ δὲ θεὸς ἅτε βλάβην οὐκ ἐπιδεχόμενος ἅπαντας 127
τοὺς καθ' ἡντινοῦν ἰδέαν προαιρουμένους τιμᾶν αὐτὸν ἄσμενος προσ-
καλεῖται, μηδένα σκορακίζειν ἀξιῶν τὸ παράπαν, ἀλλὰ μόνον οὐκ ἄντικρυς
τοῖς ἀκοὰς ἔχουσιν ἐν τῇ ψυχῇ θεσπίζει τάδε· „τὰ μὲν πρῶτα τῶν 128
ἄθλων κείσεται τοῖς ἐμὲ θεραπεύουσι δι' ἐμὲ αὐτόν, τὰ δὲ δεύτερα τοῖς
δι' ἑαυτούς, ἢ τυχεῖν ἀγαθῶν ἐλπίζουσιν ἢ τιμωριῶν ἀπαλλαγὴν εὑρήσε-
σθαι προσδοκῶσι· καὶ γὰρ εἰ ἔμμισθος ἡ τῶνδε θεραπεία καὶ μὴ ἀδέκα-
στος, ἀλλ' οὐδὲν ἧττον ἐντὸς εἱλεῖται θείων περιβόλων καὶ οὐκ ἔξω
p. 20 M. πλάζεται. τὰ δὲ ἆθλα τοῖς | μὲν ἐμὲ τιμῶσι δι' ἐμὲ κείσεται φίλια, 129
τοῖς δὲ διὰ τὰς χρείας φίλια μὲν οὔ, τὸ δὲ μὴ ἀλλοτρίοις νομίζεσθαι·
δέχομαι γὰρ καὶ τὸν τῆς εὐεργέτιδός μου δυνάμεως βουλόμενον μεταλαχεῖν
εἰς μετουσίαν ἀγαθῶν καὶ τὸν φόβῳ τὴν ἡγεμονικὴν καὶ δεσποτικὴν
ἱλασκόμενον ἐξουσίαν εἰς ἀποτροπὴν κολάσεως· οὐ γὰρ ἀγνοῶ, διότι
πρὸς τῷ χείρους μὴ γίγνεσθαι καὶ βελτίους ἔσονται τῷ συνεχεῖ τῆς
θεραπείας εἰλικρινῆ καὶ καθαρὰν εὐσέβειαν ἀσκήσαντες. εἰ γὰρ καὶ 130

---

1 τὸν BEKH[2] Arm: τῶν ceteri    κατ' αὐτὸν CFMAP    ὄντα om. FG
4 δὲ alt. om. H[1]P    5 ἑταιρίας CFG.    6 προσιέντας BE    6. 7 ὑπο-στρέφονται F    7 προσποιητὴν MA    τιθασίαν ABE, τιθασσείαν KF, ἀτιθασείαν G    ὡς om. BE    8 ἐνδεχόμενος BE    9 ἡντιναοῦν BEKAG
ἰδέαν] αἰτίαν coni. Mang.    9. 10 προσκαλεῖται C Arm: προκαλεῖται ceteri
10 μονονοὺ A, μονονοὺ καὶ K    11 τοῖς] τὰς BE    θεσπίζει ἐν τῇ ψυχῇ transp. BEK    τάδε om. Arm    12 ἐμαυτόν BE    δὲ om. BE
13 ἑαυτοὺς BEK: αὐτοὺς H[2], αὐτοῦ C, αὐτοὺς ceteri    ἢ τυχεῖν BEK Arm: ἢ om. ceteri    ἀγαθῶν om. BE    13. 14 εὑρήσεσθαι BEK: εὑρέσθαι CFG, εὕρασθαι MA, εὑρεῖν HP    14 εἰ ἔμμισθος] ἔσται μισθὸς CFGA    ἡ] ᾗ Mang.
τῶνδε] τούτων BEK    14. 15 καὶ μὴ ἀδέκαστος BEK Arm: καὶ μηδὲν ἀδέκαστον MAHP, κἂν μηδὲν ἀδέκαστον C, καὶ μηδένα δ' ἕκαστον FG    16 δ' BEK
μὲν BEK: om. ceteri    16. 17 φιλία (bis) CFABEK    17 οὔ] οὐδαμοῦ K
τὸ] τῷ BE    ἀλλοτρίοις (ἀλλοτριοῖς C) codd.: ἀλλοτρίους v    18 βουλόμενος A
μετασχεῖν CFG    19 φόβον A    20 διότι] ὅτι CFG (fort. recte)    21 τῷ] τὸ ABEF    μὴ] μου P    γίνεσθαι AP, γενέσθαι BEK    22 ἀσκήσαντες] κτησάμενοι Arm    εἰ γὰρ καὶ] καὶ γὰρ A

μάλιστα οἱ τρόποι διαφέρουσιν, ἀφ' ὧν ποιοῦνται τὰς πρὸς τὴν ἀρέσκειαν
ὁρμάς, οὐκ αἰτιατέον, ὅτι σκοπὸς εἷς καὶ τέλος ἕν ἐστιν αὐτοῖς, τὸ
131 θεραπεύειν ἐμέ.“ ὅτι δ' ἡ τριττὴ φαντασία δυνάμει ἑνός ἐστιν ὑποκει-
μένου, φανερὸν οὐ μόνον ἐκ τῆς ἐν ἀλληγορίᾳ θεωρίας, ἀλλὰ καὶ τῆς
ῥητῆς γραφῆς τάδε περιεχούσης· ἡνίκα μὲν γὰρ ὁ σοφὸς ἱκετεύει τοὺς
ἐοικότας ὁδοιπόροις τρεῖς ξενισθῆναι παρ' αὐτῷ, διαλέγεται τούτοις οὐχ
ὡς τρισίν, ἀλλ' ὡς ἑνί, καί φησι· „κύριε, εἰ ἄρα εὗρον χάριν παρὰ
σοί, μὴ παρέλθῃς τὸν παῖδά σου“ (Gen. 18, 3)· τὸ γὰρ „κύριε“ καὶ
τὸ „παρὰ σοὶ“ καὶ τὸ „μὴ παρέλθῃς“ καὶ ὅσα τοιαῦτα πρὸς ἕνα
132 πέφυκεν ἀλλ' οὐ πρὸς πλείους λέγεσθαι· ἡνίκα δὲ ξενιζόμενοι φιλο-
φρονοῦνται τὸν ξενοδόχον, πάλιν εἷς ὑπισχνεῖται ὡς μόνος αὐτὸς παρὼν
γνησίου παιδὸς σπορὰν διὰ τῶνδε· „ἐπανιὼν ἥξω πρὸς σὲ κατὰ τὸν
καιρὸν τοῦτον εἰς νέωτα, καὶ ἕξει υἱὸν Σάρρα ἡ γυνή σου“ (Gen. 18, 10).
133 (26.) Φανερώτατα μέντοι καὶ διαπονητότατα μηνύει διὰ τῶν ἑξῆς
τὸ δηλούμενον. ἡ Σοδομιτῶν χώρα, μοῖρα τῆς Χανανίτιδος γῆς, ἣν
ὕστερον ὠνόμασαν Συρίαν Παλαιστίνην, ἀδικημάτων μυρίων ὅσων γεμι-
σθεῖσα καὶ μάλιστα τῶν ἐκ γαστριμαργίας καὶ λαγνείας ὅσα τε μεγέθη
καὶ πλήθη τῶν ἄλλων ἡδονῶν ἐπιτειχίσασα ἤδη παρὰ τῷ δικαστῇ τῶν
134 ὅλων κατέγνωστο. αἴτιον δὲ τῆς περὶ τὸ ἀκολασταίνειν ἀμετρίας
ἐγένετο τοῖς οἰκήτορσιν ἡ τῶν χορηγιῶν ἐπάλληλος ἀφθονία· βαθύγειος

1 ὑφ' BEK   ποιῶνται BE   τὰς om. F   τὴν BEK: om. ceteri   2 τέλος ἔνεστιν A   3 δ' ἡ] δὴ G   δύναμις Arm   δυνάμει suspectum; cf. 27,19
6 ὁδοιπόρους BEK   τρεῖς BEK: τρισὶ ceteri   αὐτῶ codd. (v)   7 εἰ ἄρα BEK Arm: ἄρα om. ceteri   8. 9 τὸ γὰρ — παρέλθῃς om. Arm   8 κύριος CG
9 ἓν H²P   10 λέγεσθαι] πλέκεσθαι M   11 τὸν ξενοδόχον BEK Arm: τὸν μὲν ξενοδόχον MAFGH, τὸ μὲν ξενοδόχον CP; τῷ μὲν ξενοδότῳ (sic) Turn.   εἷς] οἷς A
12 σπορὰς CFG   ἐπανιὼν om. BE   13 ἐς K   εἰς νέωτα] εἰς ὥρας Arm καὶ ἔσται υἱὸς Σάρρᾳ τῇ γυναικί σου Arm   14 διαπονητότατα MGH(v), ἀδιαπονητότατα AP (prob. Mang.), ἀδιαπόνητα BEK, διαπορώξτατα (ω corr. ex η) F, om. in lac. C, καὶ διαπ. om. Arm; ἀδιαπορητότατα conicio   μηνύει BEK: μηνύεται ceteri
15 μοῖρα om. CFG   χαναναιώτιδος BE   post γῆς add. ἣν BEK
16 συρίαν BE: σύροι ceteri; Συρίας coni. Mang.   ὅσων om. BEKF Arm
17 ἐν γαστριμαργίαις καὶ λαγνείαις C, ἐν etiam G   17. 18 μεγέθει καὶ πλήθει KG
18 ἐπιτειχίσας G, ἐπιτυχίσασα (η supra ι) F

15 sqq. *Clem. Alex. Paedag. III 8 p. 280 P.* οἱ Σοδομῖται ὑπὸ πολλῆς τρυφῆς ἐξοκείλαντες εἰς ἀσέλγειαν, μοιχεύοντες μὲν ἀδεῶς, περὶ τὰ παιδικὰ ἐκμανῶς ἐπτοημένοι, ἐπεῖδεν αὐτοὺς ὁ παντεπόπτης λόγος . . . καταφλεγῆναι προσέταξε τὰ Σόδομα . . . γέγονεν τοίνυν ἡ Σοδομιτῶν δικαία τιμωρία τῆς εὐλογίστου τοῖς ἀνθρώποις σωτηρίας εἰκών.

γὰρ καὶ εὔυδρος οὖσα ἡ χώρα παντοίων ἀνὰ πᾶν ἔτος εὐφορίᾳ καρπῶν
ἐχρῆτο· „μεγίστη δ' ἀρχὴ κακῶν“ ὥς εἶπέ τις οὐκ ἀπὸ σκοποῦ „τὰ λίαν
ἀγαθά.“ ὧν ἀδυνατοῦντες φέρειν τὸν κόρον ὥσπερ τὰ θρέμματα 135
σκιρτῶντες ἀπαυχενίζουσι τὸν τῆς φύσεως νόμον, ἄκρατον πολὺν καὶ
ὀψοφαγίας καὶ ὀχείας ἐκθέσμους μεταδιώκοντες· οὐ γὰρ μόνον θη-
λυμανοῦντες ἀλλοτρίους γάμους διέφθειρον, ἀλλὰ καὶ ἄνδρες ὄντες
ἄρρεσιν ἐπιβαίνοντες, τὴν κοινὴν πρὸς τοὺς πάσχοντας οἱ δρῶντες φύσιν
οὐκ αἰδούμενοι, παιδοσποροῦντες ἠλέγχοντο μὲν ἀτελῆ γονὴν σπείροντες,
ὁ δ' ἔλεγχος πρὸς οὐδὲν ἦν ὄφελος, ὑπὸ βιαιοτέρας νικωμένων ἐπι-
p. 21 M. θυμίας. εἶτ' ἐκ τοῦ κατ' | ὀλίγον ἐθίζοντες τὰ γυναικῶν ὑπομένειν 136
τοὺς ἄνδρας γεννηθέντας θήλειαν κατεσκεύασαν αὐτοῖς νόσον, κακὸν
δύσμαχον, οὐ μόνον τὰ σώματα μαλακότητι καὶ θρύψει γυναικοῦντες,
ἀλλὰ καὶ τὰς ψυχὰς ἀγεννεστέρας ἀπεργαζόμενοι, καὶ τό γε ἐπ'
αὐτοὺς ἧκον μέρος τὸ σύμπαν ἀνθρώπων γένος διέφθειρον· εἰ γοῦν
Ἕλληνες ὁμοῦ καὶ βάρβαροι συμφωνήσαντες ἐζήλωσαν τὰς τοιαύτας
ὁμιλίας, ἠρήμωντο ἂν ἑξῆς αἱ πόλεις ὥσπερ λοιμώδει νόσῳ κενωθεῖσαι.
(27.) λαβὼν δὲ ὁ θεὸς οἶκτον ἅτε σωτὴρ καὶ φιλάνθρωπος τὰς μὲν 137
κατὰ φύσιν ἀνδρῶν καὶ γυναικῶν συνόδους γινομένας ἕνεκα παίδων
σπορᾶς ηὔξησεν ὡς ἔνι μάλιστα, τὰς δ' ἐκφύλους καὶ ἐκθέσμους δια-
μισήσας ἔσβεσε καὶ τοὺς ὀργῶντας ἐπὶ ταύτας προβαλόμενος οὐχὶ τὰς
ἐν ἔθει καινουργήσας δ' ἐκτόπους καὶ παρηλλαγμένας τιμωρίας ἐτιμωρήσατο.

1 εὔυδρος EMHP: ἄυδρος A, ἔνυδρος BKCFG εὐφορία καρπῶν BEK: καρπῶν εὐφορία ceteri 2 εἶπεν ἂν F 4 τὸν τ. φ. νόμον C: τῶν τ. φ. νόμων ceteri 5 ὀψοφαγείας HP 6 ὄντες om. Arm 9 ἦν om. BE βεβαιοτέρας BE νικώμενος coni. Mang. 10 ἐθίζοντας K; ἐθίζειν coni. Mang. 11 γεννηθέντας om. BEK (fort. recte) κατεσκεύασαν BEK Arm: κατεσκεύαζον ceteri αὐτοῖς H[2](v) κακῶν BEAHP 12 οὐ μόνον BEK Arm: οὐ μόνον γὰρ ceteri γυναικοῦντος M 13 ἀγεννεστέρας BEK: ἀγεννεστάτας CMP, ἀγενεστάτας AFH, ἀγεννεστάτως G ἀπεργασάμενοι H καὶ alt. BEK Arm: om. ceteri γε BEKM: γ' ceteri 13. 14 ἐπ' αὐτοὺς scripsi: ἐφ' αὑτοῖς BE Arm, ἐφ' ἑαυτοῖς K, ἐπ' αὐτοῖς ceteri 14 γένος ἀνθρώπων transp. H εἰ] οἱ A οὖν BEK 16 ἠρήμωντο] ἤρθησαν K, ἤριαν (sic) BE ἂν om. K λοιμώδη EF, λιμώδει KP 17 οἶκτον δὲ λαβὼν ὁ θεὸς Arm 18. 19 ἕνεκα παίδων σπορᾶς om. BEK (fort. recte), σπορᾶς om. Arm 19 ὡς ἔνι μάλιστα om. Arm καὶ om. C ἀθέσμους BEK 20 ἐπὶ ταῦτα BEHP(v) προβαλόμενος CM: προβαλλόμενος ceteri τὰς KH[2]: ταῖς ceteri (v) 21 καινουργήσας] καινουργίαις CFG(v) δὲ M ἐκτόπους BEKAH: ἐκτόποις ceteri (v) παρηλλαγμένας τιμωρίας BEKH: —αις—αις ceteri (v) ἐτιμωρήσατο BEK: ἐπετιμωρήσατο ceteri

2 Menand. frg. 724 Kock: ἀρχὴ μεγίστη τῶν ἐν ἀνθρώποις κακῶν,
ὠγαθέ, τὰ λίαν ἀγαθά.

138 κελεύει γὰρ ἐξαίφνης τὸν ἀέρα νεφωθέντα πολὺν ὄμβρον οὐχ ὕδατος
ἀλλὰ πυρὸς ὕειν· ἀθρόας δὲ νιφούσης ἀδιαστάτῳ καὶ ἀπαύστῳ ῥύμῃ
φλογός, ἐκαίοντο μὲν ἀγροὶ καὶ λειμῶνες καὶ λάσια ἄλση καὶ ἕλη
δασύτατα καὶ δρυμοὶ βαθεῖς, ἐκαίετο δ' ἡ πεδιὰς καὶ ὁ τοῦ σίτου καὶ
τῶν ἄλλων σπαρτῶν ἅπας καρπός, ἐκαίετο δὲ καὶ τῆς ὀρεινῆς ἡ δεν-
139 δροφόρος, στελεχῶν ῥίζαις αὐταῖς ἐμπιπραμένων· ἐπαύλεις δὲ καὶ οἰκίαι
καὶ τείχη καὶ ὅσα ἐν οἰκοδομαῖς ἰδιωτικὰ καὶ δημόσια πάντα συγκατε-
πίμπραντο καὶ ἡμέρᾳ μιᾷ αἱ μὲν εὐανδροῦσαι πόλεις τάφος τῶν οἰκητόρων
ἐγεγένηντο, αἱ δ' ἐκ λίθων καὶ ξύλων κατασκευαὶ τέφρα καὶ λεπτὴ κό-
140 νις. ἐπεὶ δὲ τὰ ἐν φανερῷ καὶ ὑπὲρ γῆς ἅπαντα κατανάλωσεν ἡ φλόξ,
ἤδη καὶ τὴν γῆν αὐτὴν ἔκαιε κατωτάτω διαδῦσα καὶ τὴν ἐνυπάρχουσαν
ζωτικὴν δύναμιν ἔφθειρεν εἰς ἀγονίαν παντελῆ, ὑπὲρ τοῦ μηδ' αὖθίς
ποτε καρπὸν ἐνεγκεῖν ἢ χλοηφορῆσαι τὸ παράπαν δυνηθῆναι· καὶ μέχρι
νῦν καίεται, τὸ γὰρ κεραύνιον πῦρ ἥκιστα σβεννύμενον ἢ νέμεται ἢ
141 ἐντύφεται. πίστις δὲ σαφεστάτη τὰ ὁρώμενα· τοῦ γὰρ συμβεβηκότος
πάθους μνημεῖόν ἐστιν ὅ τε ἀναδιδόμενος ἀεὶ καπνὸς καὶ ὃ μεταλλεύουσι

2 νηφούσης ABE, νειφούσης FHP ἀδιαστάτως καὶ ἀπαύστως C ῥύμης C 3 φλογὸς BEKHP: πυρὸς CFGMA 4 καὶ δρυμοὶ BEK: δρυμοί τε ceteri δ' ἡ] δὴ HP 5 ante τῶν add. ὁ BEKA δὲ] δὴ BEK τῆς ὀρεινῆς ἡ δενδροφόρος BEK: ὁ τῆς ὀρεινῆς δενδροφόρος ceteri (v) 6 στελέχων MHP, στελέγχων F αὐτῶν K 7 καὶ ὅσα — δημόσια om. Arm ἰδιωτικαῖς καὶ δημοσίαις F 7. 8 συγκατεπίμπραντο A, συγκατεπίπραντο BEK: συγκατεπίμπρατο ceteri 9 κατασκευασταὶ H 10 κατηνάλωσεν C 11 ἔκαιεν αὐτὴν transp. K καὶ alt. ante κατωτάτω transp. BEK Arm ἐνυπάρχουσαν om. Arm 12 ἀγονία παντελεῖ (om. εἰς) CFG ἀγωνίαν M παντελῶς K 13 δυνηθῆναι om. Arm 14 πῦρ om. CFG σβέννυται G, σβέννυται μόνον CF, σβέννυται μὲν HP ἢ pr. et ἢ ἐντύφεται om. Arm 15 τοῦ] ταῦτα CFG 16 μνημεῖον BEK Arm: σημεῖον ceteri post ἐστι repet. τὰ ὁρώμενα BEK ἀεὶ om. Arm

1 sqq. Gen. 19,24 11 sqq. *Ioseph. Ant. Iud. I 194* ὑπὸ δὴ τοῦτον τὸν καιρὸν οἱ Σοδομῖται πλήθει καὶ μεγέθει χρημάτων ὑπερφρονοῦντες εἴς τε ἀνθρώπους ἦσαν ὑβρισταὶ καὶ πρὸς τὸ θεῖον ἀσεβεῖς . . . (195) χαλεπήνας οὖν ἐπὶ τούτοις ὁ θεὸς ἔγνω τιμωρήσασθαι τῆς ὑπερηφανίας αὐτοὺς καὶ τήν τε πόλιν αὐτὴν κατασκάψασθαι καὶ τὴν χώραν οὕτως ἀφανίσαι, ὡς μήτε φυτὸν ἔτι μήτε καρπὸν ἕτερον ἐξ αὐτῆς ἀναδοθῆναι. 14 sqq. *Sap. Salom. 10,6* αὕτη δίκαιον ἐξαπολλυμένων ἀσεβῶν ἐρρύσατο φυγόντα καταβάσιον πῦρ πενταπόλεως· (7) ἧς ἔτι μαρτύριον τῆς πονηρίας καπνιζομένη καθέστηκε χέρσος καὶ ἀτελέσιν ὥραις καρποφοροῦντα φυτά. *Ioseph. Bell. Iud. IV 483* γειτνιᾷ δ' ἡ Σοδομῖτις αὐτῇ (scil. τῇ Ἀσφαλτίτιδι λίμνῃ), πάλαι μὲν εὐδαίμων γῆ καρπῶν θ' ἕνεκα καὶ τῆς κατὰ πόλεις περιουσίας, νῦν δὲ κεκαυμένη πᾶσα. (484) φασὶ δ' ὡς δι' ἀσέβειαν οἰκητόρων κεραυνοῖς κατεφλέγη· ἔστι γοῦν ἔτι λείψανα τοῦ θείου πυρὸς καὶ πέντε μὲν πόλεων ἰδεῖν σκιάς, ἔτι δὲ κἀν τοῖς καρποῖς σποδιὰν ἀναγεννωμένην, οἳ χρόαν μὲν ἔχουσι τοῖς ἐδωδίμοις ὁμοίαν, δρεψαμένων δὲ χερσὶν εἰς καπνὸν ἀναλύονται καὶ τέφραν.

θεῖον· τῆς δὲ περὶ τὴν χώραν παλαιᾶς εὐδαιμονίας ἐναργέστατον ὑπο-
λείπεται δεῖγμα πόλις μία τῶν ὁμόρων καὶ ἡ ἐν κύκλῳ γῆ, πολυάν-
θρωπος μὲν ἡ πόλις, εὔχορτος δὲ καὶ εὔσταχυς καὶ συνόλως καρποφόρος
ἡ γῆ, πρὸς ἔλεγχον δίκης γνώμῃ θείᾳ δικασθείσης. (28.) ἀλλὰ γὰρ 142
οὐχ ἕνεκα τοῦ δηλῶσαί με τὰς μεγαλουργηθείσας συμφορὰς καινὰς ταῦτα
διεξῆλθον, ἀλλ' ἐκεῖνο βουλόμενος παραστῆσαι, ὅτι τῶν τριῶν ὡς ἀνδρῶν
p. 22 M. ἐπιφανέντων τῷ σοφῷ δύο μόνους εἰς τὴν | ἀφανισθεῖσαν χώραν τὰ
λόγιά φησιν ἐλθεῖν ἐπ' ὀλέθρῳ τῶν οἰκητόρων, τοῦ τρίτου μὴ δικαιώσαντος
ἥκειν· ὅς κατά γε τὴν ἐμὴν ἔννοιαν ἦν ὁ πρὸς ἀλήθειαν ὤν, ἁρμόττον 143
ὑπολαβὼν εἶναι τὰ μὲν ἀγαθὰ παρὼν δι' αὑτοῦ χαρίζεσθαι, μόναις δ'
ἐπιτρέπειν ταῖς δυνάμεσι καθ' ὑπηρεσίαν τὰ ἐναντία χειρουργεῖν, ἵνα
μόνων ἀγαθῶν αἴτιος, κακοῦ δὲ μηδενὸς προηγουμένως νομίζηται. τοῦτό 144
μοι δοκοῦσι καὶ τῶν βασιλέων οἱ μιμούμενοι τὴν θείαν φύσιν πράττειν,
τὰς μὲν χάριτας δι' ἑαυτῶν προτείνοντες, τὰς δὲ τιμωρίας δι' ἑτέρων
βεβαιοῦντες. ἀλλ' ἐπειδὴ τῶν δυεῖν δυνάμεων ἡ μὲν εὐεργέτις ἐστίν, 145
ἡ δὲ κολαστήριος, ἑκατέρα κατὰ τὸ εἰκὸς ἐπιφαίνεται τῇ Σοδομιτῶν γῇ,
διότι τῶν ἀρίστων ἐν αὐτῇ πέντε πόλεων τέτταρες μὲν ἔμελλον ἐμπί-
πρασθαι, μία δὲ ἀπαθὴς παντὸς κακοῦ σῶος ὑπολείπεσθαι· ἐχρῆν γὰρ
διὰ μὲν τῆς κολαστηρίου γίνεσθαι τὴν φθοράν, σῴζεσθαι δὲ διὰ τῆς
εὐεργέτιδος. ἀλλ' ἐπειδὴ καὶ τὸ σῳζόμενον μέρος οὐχ ὁλοκλήρους καὶ 146
παντελεῖς εἶχεν ἀρετάς, δυνάμει μὲν τοῦ ὄντος εὐεργετεῖτο, προηγου-
μένως δὲ τῆς ἐκείνου φαντασίας ἀνάξιον ἐνομίσθη τυχεῖν.
(29.) Ἡ μὲν οὖν ἐν φανερῷ καὶ πρὸς τοὺς πολλοὺς ἀπόδοσις ἥδ' 147

---

1 δ' BEK ἐπὶ τὴν χώραν BE, ἐπὶ τῇ χώρᾳ K, τῆς χώρας Arm 1. 2 ὑπολεί-πεται BEK: ὑπολέλειπται ceteri 2 τῶν ὁμόρων BEK (τῶν ὁμοίων Arm): om. ceteri ἡ om. BE 3 μὲν BEKH$^2$: om. ceteri 4 θείᾳ om. C δικασθεῖσα CFG 5 κενὰς A, κοινὰς CBE ταῦτα BEK: ταυτὶ ceteri 8 φασιν KHP ἐλθεῖν ἐπ' ὀλέθρῳ BEK Arm: ἐπ' ὀλέθρῳ ἐλθεῖν ceteri 9 ὅς κατά γε BEK: ὅς γε κατὰ ceteri ἦν om. C ἁρμόττον post ἦν transp. BE ἁρμόττων A 10 ὑπέλαβεν CG, ὑπελάμβανεν F παρὼν BEK (παριὼν Arm): om. ceteri αὐτοῦ F$^1$HP, ἑαυτοῦ F$^2$: αὑτοῦ ceteri 10. 11 μόναις δ' ἐπιτρέπειν ταῖς δυνάμεσι καθυπηρεσίαν τὰ ἐναντία χειρουργεῖν C: μ. δ' ἐ. τ. δ. καθ' ὑπ. τῶν δυνάμεων τὰ ἐναντία χειρουργεῖν FGMAHP, μ. δ' ἐ. τ. δ. κ. ὑ. τῶν χειρουργεῖν δυναμένων τὰ ἐναντία K, τὰ δ' ἐναντία καθ' ὑπηρεσίαν τῶν δυνάμεων χειρουργεῖν BE, τὰ δ' ἐναντία καθ' ὑπηρεσίαν ταῖς δυνάμεσι μόναις ἐπιτρέπειν χειρουργεῖν Arm 12 μόνον BE αἰτίας G δὲ BEKF$^2$H$^2$: om. ceteri προηγουμένου C 15 δυοῖν FHP 17 πέντε om. F Arm τέσσαρες BEK 17. 18 ἐμπίμπρασθαι Mang. 18 δ' BEK post ἀπαθὴς add. καὶ H$^2$(v) σῶος om. Arm χρῆν BE
ἤδ'
19 τὴν om. F ˙21 εὐηργετεῖτο AFGK 23 αὕτη K

ἐστίν· ἡ δ' ἐν ἀποκρύφῳ καὶ πρὸς ὀλίγους, ὅσοι τρόπους ψυχῆς ἐρευνῶσιν ἀλλ' οὐ σωμάτων μορφάς, αὐτίκα λεχθήσεται. συμβολικῶς ἡ πεντάπολις αἱ ἐν ἡμῖν πέντε αἰσθήσεις εἰσί, τὰ τῶν ἡδονῶν ὄργανα,
148 δι' ὧν ἅπασαι μικραί τε αὖ καὶ μεγάλαι τελεσιουργοῦνται. ἢ γὰρ ὁρῶντες χρωμάτων καὶ σχημάτων ποικιλίας ἔν τε ἀψύχοις καὶ ψυχὴν ἔχουσιν ἡδόμεθα ἢ φωνῶν ἐμμελεστάτων ἀκούοντες ἢ κατὰ γεῦσιν ἐν τοῖς περὶ ἐδωδὴν καὶ πόσιν ἢ κατ' ὄσφρησιν ἐν εὐωδίαις ἀτμῶν ἢ ἐν μαλακοῖς καὶ
149 θερμοῖς ἔτι δὲ λείοις κατὰ τὴν ἁφήν. ζῳωδέσταται μὲν οὖν καὶ ἀνδραποδωδέσταται τῶν πέντε τρεῖς εἰσιν αἰσθήσεις, γεῦσις, ὄσφρησις, ἁφή, περὶ ἃς τῶν θρεμμάτων καὶ τῶν θηρίων τὰ γαστριμαργότατα καὶ συνουσιαστικώτατα μάλιστα ἐπτόηται· δι' ὅλης γὰρ ἡμέρας καὶ νυκτὸς ἢ
150 τροφῶν ἀπλήστως ἐμφορεῖται ἢ πρὸς τὰς ὀχείας ὁρμᾷ. δύο δ' εἰσὶν ἐμφιλόσοφοι καὶ ἡγεμονίδες, ἀκοὴ καὶ ὅρασις· βραδύτερα δέ πως καὶ θηλύτερα ὦτα ὀφθαλμῶν ἐπὶ τὰ ὁρατὰ φθανόντων ὑπὸ εὐτολμίας καὶ οὐκ ἀναμενόντων, ἄχρις ἂν ἐκεῖνα κινήσῃ, προϋπαντιαζόντων δὲ καὶ ἀντικινῆσαι γλιχομένων. ἀκοὴ μὲν οὖν, διότι βραδεῖα καὶ θηλυτέρα, δευτερεύουσαν τάξιν τετάχθω, | προνομία δ' ἔστω τις ἐξαίρετος ὁράσει· p. 23 M.
ταύτην γὰρ ὁ θεὸς βασιλίδα τῶν ἄλλων ἀπέφηνεν ἐπάνω θεὶς ἁπασῶν καὶ ὥσπερ ἐπ' ἀκροπόλεως ἱδρυσάμενος οἰκειοτάτην ἀπειργάσατο ψυχῇ.

1 ψυχῶν $H^{2}$(v) 2 συμβολικῶς om. BEK, cum λεχθήσεται coniungit Arm 3 πέντε om. Arm 4 μικραί—μεγάλαι om. Arm τε αὖ BEK: αὖ om. ceteri ἢ] ὁ G 5 χρημάτων AFGHP τ' BEK 6 ἐντελεστάτων C 8 ἔτι δὲ λείοις BEKA: ἔτι τε λείοις $F^{2}HP^{2}$, ἔτι τελείοις $MF^{1}GP^{1}$, ἔν τε λείοις C ζωοδέσταται BE μὲν—ἀνδραποδωδέσταται om. G, μὲν—πέντε om. F οὖν om. BE δ 8. 9 ἀντραποδωδέσταται E, ἀντραποδωδέσταται B, ἀνδραπωδέσταται AP 9 τῶν πέντε om. BEK 10 τῶν θηρίων BEK: τῶν om. ceteri γαστριμαργότατα BEK Arm: γαστριμαργοῦντα ceteri (v) 11 ἐπτόηται C: πεπόνηται ceteri (et Arm) 12 εὐπορεῖται $H^{1}$P τὰς ὀχείας BEK: τὰς om. ceteri ὀργᾷ coni. Mang. δ δὲ BEK 13 αἱ φιλόσοφοι HP ἡγεμόνες BEK βραχύτερα C, βραχύτερα F πως om. BEK 14 ὑπὸ] ἀπὸ A 15 μέχρις HP(v) κινήσει A 16 οὖν om. BE διότι corr. ex ὅτι K 17 τάξιν τετάχθω BEK Arm: ἐχέτω τάξιν ceteri; τετάχθω τάξιν coni. Mang. 18 ταύτην] τούτων G ἄλλων] ὅλων K ἀναπέφηνεν F 18. 19 ἐπάνω—καὶ om. Flor. Laur. τιθεὶς HP πασῶν P, ἁπάντων BE 19 ἐπ'] ἐξ F ἱδρυσάμενος, τεκμήριον οἰκειότατον ψυχῆς· συμμεταβάλλει γὰρ ταῖς Flor. Laur. ψυχήν AF

18—35,14 Flor. Laur. Nr. 25: τὴν ὅρασιν ὁ θεὸς—ἐχούσης.

τεκμηριώσαιτο δ' ἄν τις ἐκ τοῦ συμμεταβάλλειν ταῖς ἐκείνης τροπαῖς· 151
λύπης μὲν γὰρ ἐγγινομένης, ὀφθαλμοὶ συννοίας γέμουσι καὶ κατηφείας,
χαρᾶς δ' ἔμπαλιν, ὑπομειδιῶσι καὶ γεγήθασι, φόβου δὲ κρατήσαντος,
ταραχώδους γέμουσιν ἀταξίας, κινήσεις καὶ παλμοὺς καὶ περιστροφὰς
ἀτάκτους ἐνδεχόμενοι· εἰ δ' ὀργὴ κατάσχοι, τραχυτέρα πως καὶ ὕφαι- 152
μος ἡ ὄψις, καὶ ἐν μὲν τῷ λογίζεσθαι καὶ φροντίζειν τινὸς ἠρεμεῖ καὶ
ἐκνένευκε, μόνον οὐ συνεκτείνουσα τῇ διανοίᾳ ἑαυτήν, ἐν δὲ ταῖς ανα-
ψύξεσι καὶ ἀνέσεσι συνανίεται καὶ χαλᾶται· καὶ προσιόντι μὲν φίλῳ 153
προευαγγελίζεται τὸ τῆς εὐνοίας πάθος εὐδίῳ καὶ γαληνῷ βλέμματι, εἰ
δ' ἐχθρὸς τύχοι, τὸ δυσάρεστον τῆς ψυχῆς πάθος προμηνύει· καὶ θρασύ-
τητι μὲν προπηδῶσι καὶ προεκτρέχουσιν ὀφθαλμοί, αἰδοῖ δὲ πρᾴως
ἠρεμοῦσι· [καὶ] ὡς συνελόντι φράσαι ψυχῆς εἰκόνα δεδημιουργῆσθαι
τὴν ὅρασιν ἀκρότητι τέχνης εὖ μεμιμημένης ἐναργὲς ἐμφαίνουσαν
εἴδωλον οἷα διὰ κατόπτρου τὴν φύσιν ὁρατὴν ἐξ αὑτῆς οὐκ ἐχούσης.
ἀλλὰ γὰρ οὐ ταύτῃ μόνον τὰς ἄλλας αἰσθήσεις ὑπερβάλλει τὸ κάλλος 154
ὀφθαλμῶν, ἀλλὰ καὶ διότι τῶν ἄλλων ἐν ταῖς ἐγρηγόρσεσι — τὴν γὰρ
καθ' ὕπνον ἀπραξίαν οὐ παραληπτέον — ἐπιλείπουσιν αἱ χρήσεις·
ὁπότε γὰρ μὴ κινήσειέ τι τῶν ἐκτός, ἡσυχάζουσιν, αἱ δὲ τῶν ὀφθαλ-
μῶν ἀναπεπταμένων ἐνέργειαι συνεχεῖς καὶ ἀδιάστατοι μηδέποτε πληρου-
μένων εἰσὶ καὶ ταύτῃ παριστάντων, ἣν ἔχουσι πρὸς ψυχὴν συγγένειαν.
ἀλλ' ἐκείνη μὲν ἀεικίνητος οὖσα μεθ' ἡμέραν καὶ νύκτωρ διανίσταται, 155

---

1 δὲ BEK ἄν om. BEK συμμεταβαλεῖν H(v) ῥοπαῖς K 2 ἐγγενομένης BE Flor. 4 κινήσεις BEKH² Flor.: καὶ κινήσεις ceteri παραστροφὰς (om. ἀτάκτους) Flor. 5 ἐνδεικνύμενοι coni. Mang. ὄργιον Flor.
ζεσθαι
6 λογίζειν K τινὸς BEK Flor.: om. ceteri 7 ἐννένευκε K 9 προευαγγελίζεται BEKMH² Flor.: προσευαγγελίζεται ceteri τῆς om. BEK εὐδίω⁝ (σ eras.) C βλέμματι] θελήματι H 9. 10 εἰ δ' ἐχθρὸς τύχοι om. CFG 10 post τύχοι (post βλέμματι) add. καὶ πάλιν CFGMA, πάλιν HP, omisi cum BEK Arm Flor. 10. 11 προπηδῶσι μὲν θρασύτητι Flor. 11 πρᾴως] πράξεως F 12 καὶ seclusi (om. Arm Flor.) ὡς συνελόντι BE Arm Flor.: ὡς om. ceteri δεδημιουργεῖσθαι CF¹E 13 ἀκρότητι BEMA Flor.: ἀκροτάτην ceteri 14 ὁρᾶν Flor. αὐτῆς CFH²: αὑτῆς ceteri οὐκ om. BEMA Arm Flor. οὐκ ἐχούσης] παρεχούσης F in ras. 15 ὑποβάλλει CFGMP 16 post ἐγρηγόρσεσι add. διαφέρει Arm 17 παραλειπτέον H¹P post ἐπιλείπουσι add. γὰρ BEMHP Arm 18 γὰρ] γοῦν F μὴ BEK: οὐ ceteri κινήσει ἔτι A, κινήσειε ἔτι F 18. 19 ἀναπεπταμένων ὀφθαλμῶν transp. H 19 μηδέπω A 19. 20 πεπληρουμένων (sic) G 20 ταυτὶ BE παραστάντων H¹P, παρ' ἡ πάντων (sic) FG, π et lac. 10 litt. C ψυχῆς M 21 μένει ἀκίνητος A, μὲν ἀκίνητος CFG

τοῖς δ' ἅτε σαρκὸς πλεῖστον μετέχουσιν αὐτάρκης ἐδόθη δωρεά, μέρος
ἥμισυ τοῦ παντὸς χρόνου καὶ βίου διατελεῖν ἐνεργοῦντας τὰς ἁρμοτ-
156 τούσας ἐνεργείας. (30.) ὃ δ' ἐστὶν ἀναγκαιότατον τῆς ἀπὸ τῶν ὀμμά-
των ὠφελείας, ἤδη λεκτέον. μόνῃ γὰρ ὁράσει τῶν αἰσθήσεων ὁ θεὸς
ἀνέτειλε φῶς, ὃ καὶ τῶν ὄντων ἐστὶ κάλλιστον καὶ πρῶτον ἐν ἱεραῖς
157 βίβλοις ὠνομάσθη καλόν (Gen. 1, 4). διττὴ δὲ φωτὸς φύσις· τὸ μὲν
γὰρ ἀπὸ τοῦ χρειώδους πυρός, φθαρτοῦ φθαρτόν, ἐκλάμπει σβέσιν ἐνδεχό-
μενον, τὸ δὲ ἄσβεστον καὶ ἀδιάφθορόν ἐστιν, ἄνωθεν ἀπὸ τοῦ οὐρανοῦ
πρὸς ἡμᾶς φερόμενον, ὥσπερ ἀπ' ἀενάων πηγῶν ἑκάστου τῶν ἀστέρων
αὐγὰς ἐκχέοντος· ἑκατέρῳ δ' ἡ ὄψις ἐνομιλεῖ καὶ δι' ἀμφοτέρων
158 προσβάλλει τοῖς ὁρατοῖς εἰς ἀκριβεστάτην ἀντίληψιν. ἔτι τοίνυν ἐπιχει-
ρῶμεν ὀφθαλμοὺς λόγοις ἐγκωμιάζειν, τοῦ θεοῦ τοὺς ἀληθεῖς ἐπαίνους
αὐτῶν | στηλιτεύσαντος ἐν οὐρανῷ, τοὺς ἀστέρας; ἡλίου γὰρ αὐγαὶ καὶ p. 24 M.
σελήνης καὶ τῶν ἄλλων πλανήτων καὶ ἀπλανῶν τοῦ χάριν γεγόνασιν
159 ὅτι μὴ τῆς ὀφθαλμῶν ἐνεργείας εἰς τὴν τοῦ ὁρᾶν ὑπηρεσίαν; διὸ καὶ
προσχρώμενοι τῇ πασῶν ἀρίστῃ δωρεᾷ φωτὶ καταθεῶνται τὰ ἐν κόσμῳ,
γῆν, φυτά, ζῷα, καρπούς, πελαγῶν ἀναχύσεις, ποταμοὺς αὐθιγενεῖς τε
καὶ χειμάρρους πηγῶν τε διαφοράς, ὧν αἱ μὲν ψυχρὸν αἱ δὲ θερμὸν
νᾶμα προχέουσι, πάντων τῶν κατὰ τὸν ἀέρα συνισταμένων τὰς φύσεις —
ἀμύθητοι δέ εἰσιν ἰδέαι καὶ ἀπερίληπτοι λόγῳ —, καὶ ἐπὶ πᾶσι τὸν
οὐρανόν, ὃς ἀληθείᾳ κόσμος ἐν κόσμῳ δεδημιούργηται, καὶ τὰ κατ'
οὐρανὸν κάλλη καὶ θεῖα ἀγάλματα. τίς οὖν τῶν ἄλλων αἰσθήσεων
160 ἐπαυχήσει διαβῆναί ποτε τοσοῦτον; (31.) ἀλλ' ἐάσαντες τὰς ἐπὶ ταῖς

2 χρόνου καὶ βίου BEK Arm: βίου χρόνου (om. καὶ) ceteri  τελεῖν BEK  ἐνεργοῦντας BEK: ἐνεργοῦσι ceteri  5 πρῶτον om. Arm  7 χρειώδους] στοιχειώδους coni. Mang.  ἐκλάμπον MA  7. 8 δεχόμενον F  8 δ' BEK  καὶ ἀδιάφθορόν ἐστιν BEK Arm: καὶ ἄφθαρτόν ἐστιν CGMA, καὶ ἄφθαρτον (om. ἐστιν) F, ἐστι καὶ ἄφθαρτον HP  ἀπὸ τοῦ οὐρανοῦ BEK: ἀπ' οὐρανοῦ ceteri  9 ἀενάων C: ἀεννάων ceteri  10 ἐκχέοντος] ἔχοντος CFG  ἑκατέρου CFG  δ' ἡ] δὴ BE, om. CFG  ἐνομιλεῖ BEK: ὁμιλεῖ ceteri  11. 12 ἐπιχειρῶμεν BEK Arm: ἐπιχειροῦμεν ceteri; τί δὲ νῦν (ἐπιχειροῦμεν) coni. Mang.  12 λόγοις BEK Arm: λόγῳ ceteri  τοῦ θεοῦ om. Arm  13 τῶν ἀστέρων Arm  15 τῆς] τοὺς C  ὀφθαλμῶν CABEK: τῶν ὀφθαλμῶν ceteri  τοῦ om. BE  16 φωτὶ om. CFG  17 πελαγῶν (ἀναχύσεις) BEK Arm: πελάγη(, ἀναχύσεις) ceteri  ἀνασχίσεις MF[1]GHP[1]  17. 18 ποταμοὺς αὐθιγενεῖς τε καὶ χειμάρρους BEK Arm: ποταμῶν αὐθιγενῶν τε καὶ χειμάρρων ceteri  19 νάματα C, ἅμα A, νᾶμα om. Arm  τῶν om. BE  τὸν ἀέρα C: τὸν om. ceteri  20. 21 τοῦ οὐρανοῦ BE  23 ὑπαυχήσει BE  διαβῆναι] ἐπιβῆναι coni. Mang.  τὰς CFG: om. ceteri  ἐπὶ om. HP[1]

φάτναις τὸ σύμφυτον ἡμῖν θρέμμα πιαινούσας, τὴν ἐπιθυμίαν, ἐξετάσωμεν τὴν λόγου μεταποιουμένην ἀκοήν· ἧς ὁ σύντονος καὶ τελειότατος δρόμος ἵσταται κατὰ ἀέρα τὸν περίγειον, ὅταν βίᾳ πνευμάτων καὶ κτύποι
βροντῶν συρμὸν πολὺν καὶ χαλεπὸν πάταγον ἐξηχῶσιν. ὀφθαλμοὶ δὲ 161
ἀπὸ γῆς ἐν ἀκαρεῖ φθάνουσιν εἰς οὐρανὸν καὶ τὰ πέρατα τοῦ παντός, ἐπ' ἀνατολὰς ὁμοῦ καὶ δύσεις ἄρκτον τε καὶ μεσημβρίαν, ⟨καὶ⟩ ἀφικνούμενοι πρὸς τὸ θεωρεῖν ἕλκουσιν ἐπὶ τὰ φανέντα τὴν διάνοιαν. ἡ δὲ τὸ 162
παραπλήσιον ἐνδεξαμένη πάθος οὐκ ἠρεμεῖ, ἀλλ' ἅτε ἀκοίμητος καὶ ἀεικίνητος οὖσα, παρὰ τῆς ὄψεως τοῦ δύνασθαι τὰ νοητὰ θεωρεῖν τὰς ἀφορμὰς λαβοῦσα, εἰς σκέψιν ἦλθε, πότερον τὰ φανέντα ταῦτ' ἐστὶν ἀγένητα ἢ γενέσεως ἔλαβεν ἀρχὴν καὶ πότερον ἄπειρα ἢ πεπερασμένα καὶ πότερον εἷς ἢ πλείονές εἰσι κόσμοι καὶ πότερον τὰ τέτταρα στοιχεῖα τῶν ἁπάντων ἐστὶν ἢ φύσιν ἐξαίρετον οὐρανὸς καὶ τὰ ἐν αὐτῷ κεκλήρωται θειοτέρας καὶ οὐχὶ τοῖς ἄλλοις τῆς αὐτῆς οὐσίας ἐπιλαχόντα·
εἰ δὲ δὴ καὶ γέγονεν ὁ κόσμος, ὑπὸ τίνος γέγονε καὶ τίς ὁ δημιουργὸς 163
κατ' οὐσίαν ἢ ποιότητα καὶ τί διανοηθεὶς ἐποίει καὶ τί νῦν πράττει καὶ τίς αὐτῷ διαγωγὴ καὶ βίος καὶ ὅσα ἄλλα περιττὸς νοῦς φρονήσει
συμβιῶν εἴωθε διερευνᾶσθαι. ταῦτα δὲ καὶ τὰ τοιαῦτα ἀνάκειται τῷ 164
φιλοσοφεῖν· ἐξ οὗ δῆλόν ἐστιν, ὅτι σοφία καὶ φιλοσοφία τὴν ἀρχὴν ἀπ' οὐδενὸς εἴληφεν ἑτέρου τῶν ἐν ἡμῖν ἢ τῆς ἡγεμονίδος τῶν αἰσθήσεων ὁράσεως, ἣν καὶ μόνην ἐκ τῆς σωματικῆς χώρας διέσωσεν ὁ θεὸς τὰς

---

1 φάτναις] φαντασίαις Arm  τὸ σύμφυτον] ἀπὸ συμφύτων FG, ἀπὸ τῶν συμφύτων C
ῶν
ἡμῖν K  θρέμμα] θρεμμάτων C, σῶμα BEK  πιαινούσας CFG: πιαῖνον ceteri  τὴν ἐπιθυμίαν om. F  2 τὴν λόγου om. K  λόγω A, τοῦ ὅλου BE  τὴν τοῦ ὅλου μεταποιουμένην ἀρετὴν mg. A  ἀκοήν BEK: ἀρετήν ceteri; αἴσθησιν coni. Mang.  ἢ CAHP  3 βίαι H²(v)  4 συρμὸν] συριγμὸν Arm  χαλεπὸν om. CFG  ἐξηχῶσιν] ἐμποιοῦσιν BE  δ' BEK  5 γῆς] τῆς G  ἐνακαρεὶ CFMHP, ἐνακαρὶ G  φθάνωσιν Turn.  6 καὶ add. Arm: om. codd.  7 πρὸς τὸ BEK Arm: πρὸς τῷ ceteri  ἐπὶ τὴν ἀφανεστάτην διάνοιαν CFG  8 ἐνδειξαμένη BE  πάθος BEKA Arm: δέος ceteri; εἶδος coni. Mang.  8. 9 ἀκοίμητος καὶ ἀεικίνητος BEMF: ἀκοίμητος καὶ ἀκίνητος CGAK, ἀεικίνητος καὶ ἀκοίμητος HP, καὶ ἀεικίνητος om. Arm  9 τὰ νοηθέντα F, τῶν νοητῶν BE  9. 10 τὰς ἀφορμὰς λαβοῦσα K Arm: λαβοῦσα om. BE, λαβοῦσα τὰς ἀφορμάς ceteri  10 σκῆψιν CFG  11 ἀγέννητα AKGHP  ἔλαχεν K  12 πλείονες
οἷς οις
BEK: πλείους ceteri  τέσσαρα BEKP  14 τῆς ἄλλης A, τῆς ἄλλης K  οὐσίας om. Arm  ἐπιλαχών H²  16 πράττει BEK: πράσσει ceteri  17 τίς BEK: τίς ἐστιν ceteri  νοῦς] βιοὺς F  19 σοφία om. Arm  20 εἴληφεν BEK: ἔλαβεν ceteri  post ἢ add. ὅτι BE

τέσσαρας φθείρας, ὅτι αἱ μὲν σαρκὶ καὶ τοῖς σαρκὸς πάθεσιν ἐδούλευ-
σαν, ἡ δὲ ἴσχυσεν ἀνατεῖναι τὸν αὐχένα καὶ βλέψαι καὶ | τέρψεις ἑτέρας p. 25 M.
ἀνευρεῖν πολὺ βελτίους τῶν σωματικῶν ἡδονῶν ἐκ τῆς περὶ τὸν
165 κόσμον θεωρίας καὶ τῶν ἐν αὐτῷ. μίαν οὖν ὥσπερ ἐκ πενταπόλεως
τῶν πέντε αἰσθήσεων τὴν ὅρασιν ἐξαιρέτου γέρως τυχεῖν ἁρμόττον ἦν
καὶ φθειρομένων τῶν ἄλλων διαμένειν, ὅτι οὐ περὶ τὰ θνητὰ εἱλεῖται
μόνον ὡς ἐκεῖναι, μετανίστασθαι δὲ πρὸς τὰς ἀφθάρτους φύσεις ἀξιοῖ
166 χαίρουσα τῇ θέᾳ τούτων. διὸ καὶ παγκάλως „μικράν“ τε καὶ „οὐ
μικράν“ (cf. Gen. 19, 20) τὴν πόλιν ταύτην οἱ χρησμοὶ διασυνιστᾶσιν
αἰνιττόμενοι τὴν ὅρασιν· μικρὰ μὲν γὰρ λέγεται εἶναι, διότι βραχὺ
μέρος τῶν ἐν ἡμῖν ἐστι, μεγάλη δέ, διότι μεγάλων ἐφίεται τὸν σύμ-
παντα οὐρανὸν καὶ κόσμον γλιχομένη καταθεάσασθαι.
167 (32.) Περὶ μὲν οὖν τῆς ἐπιφανείσης ὄψεως καὶ τῶν ἀοιδίμων καὶ
παγκάλων ξενίων, ἐν οἷς δοχῶν ἑστιᾶν ὁ ξενοδόχος εἱστιᾶτο, καθ' ὅσον
ἐφικτὸν ἦν, ἀκριβοῦσιν ἡμῖν τὰ περὶ τὸν τόπον δεδήλωται. μεγίστην
δὲ πρᾶξιν ἀξίαν ἀκοῆς οὐχ ἡσυχαστέον· ὀλίγου γὰρ δέω φάναι πάσας
168 ὅσαι θεοφιλεῖς ὑπερβάλλει. λεκτέον δὲ τὰ καίρια περὶ αὐτῆς. υἱὸς ἐκ
τῆς γαμετῆς γίνεται τῷ σοφῷ γνήσιος, ἀγαπητὸς καὶ μόνος, τό τε σῶμα
κάλλιστος καὶ τὴν ψυχὴν ἄριστος· ἤδη γὰρ τελειοτέρας τῆς ἡλικίας ἐξέ-
φαινεν ἀρετάς, ὡς τὸν πατέρα μὴ πάθει μόνον εὐνοίας φυσικῆς ἀλλὰ
καὶ γνώμῃ καθάπερ ἠθῶν δικαστὴν ἰσχυρᾷ τινι κεχρῆσθαι φιλοστοργίᾳ.
169 διακειμένῳ δ' οὕτως ἐξαπιναίως θεσπίζεται λόγιον οὔποτ' ἐλπισθέν,

οἷς
1 σαρκὶ] σαρκικαὶ BEK τῆς K, τῆς F πάθεσιν] φίλοις BEK ἐδουλώθησαν G
2 δ' BEK ἀναβλέψαι Arm (fort. recte) ἑτέρας om. HP 4 τῶν] τὰ coni. Wendl.
5 πέντε] ἑπτὰ Turn., om. Arm ἁρμόττον ἦν om. HP[1], add. mg. P[2] 6 δια-
μένειν (ει in ras.) B, διαμένων E εἰλεῖται EMFH 7 μόνον] μόνως H[2] (Turn.)
8 post χαίρουσα add. τούτοις καὶ BEK τούτων θέα transp. K διὸ καὶ BEK Arm:
καὶ om. ceteri 9 διασυνιστῶσιν HP, διανίστασιν BE, παριστῶσιν K 10 μικρὰν
μὲν λέγεσθαι (om. γὰρ) BEK 11 μεγάλην BEK διότι] ὅτι HP(v), om. BEK
post μεγάλων add. γὰρ BEK 12 καταθεάσασθαι BEK: θεάσασθαι ceteri
13 οὖν CBEK: om. ceteri 14 ἑστιᾶν] ἐστιν F εἱστιᾶτο KHP: ἑστιᾶτο ceteri
καθόσον codd. 15 ἡμῖν om. BE 16 γὰρ om. CFG Arm δέω φάναι om. BE
19. 20 ἐξέφενεν H[1], ἐξέφανεν A 20 τὰς ἀρετὰς K ὡς] ὧν BE παθεῖν
G, ποθεῖν BE, πόθον παθεῖν Arm μὴ post ποθεῖν transp. BE ἐξ εὐνοίας BE Arm
στοργία
21 γνώμῃ Mang.: γνώμης codd. φιλοσοφία C, φιλοσοφία BEK 22 δια-
κειμένων CA οὔποτ' BEK: οὔποτε ceteri

17 sqq. Gen. cap. 22

σφαγιάσαι τὸν υἱὸν ἐπί τινος ὑψηλοτάτου κολωνοῦ πορρωτάτω πόλεως
ἀποστάντα τριῶν ὁδὸν ἡμερῶν. ὁ δὲ καίτοι ἀλέκτῳ πόθῳ τοῦ παιδὸς 170
ἐκκρεμάμενος οὔτε τὴν χρόαν μετέβαλεν οὔτε τὴν ψυχὴν ἐγνάμφθη,
γνώμῃ δ' ἀνενδότῳ καὶ ἀρρεπεῖ διέμεινεν ἀκλινής, οἷος καὶ πρόσθεν ἦν·
ἔρωτι δὲ θείῳ δεδαμασμένος ἀνὰ κράτος ἐνίκα πάντα ὅσα συγγενείας
ὀνόματα καὶ φίλτρα καὶ μηδενὶ τῶν ἔνδον ἐξειπὼν τὸ λόγιον, ἐκ πολυαν-
θρώπου θεραπείας οἰκετῶν δύο μόνους τοὺς πρεσβυτάτους καὶ μάλιστα
φιλοδεσπότους παραλαβών, ὡς ἕνεκά τινος ἱερουργίας τῶν ἐν ἔθει
τέταρτος ἐξῄει σὺν τῷ παιδί. τὸν δὲ προσταχθέντα χῶρον ὥσπερ ἀπὸ 171
σκοπιᾶς ἰδὼν ἐκ μακροῦ τοῖς μὲν θεράπουσι κελεύει καταμένειν, τῷ δὲ
παιδὶ πῦρ καὶ ξύλα δίδωσι κομίζειν, αὐτὸ δικαιώσας τὸ ἱερεῖον τὰ πρὸς
τὴν θυσίαν ἐπηχθίσθαι, κουφότατον βάρος· οὐδὲν γὰρ εὐσεβείας ἀπο-
νώτερον. βαδίζοντες δ' ἰσοταχῶς οὐ τοῖς σώμασι μᾶλλον ἢ ταῖς 172
p. 26 M. διανοίαις ὁδὸν τὴν ἐπίτομον, ἧς ὁσιότης τὸ τέλος, ἐπὶ τὸν | προστα-
χθέντα τόπον ἀφικνοῦνται. κἄπειθ' ὁ μὲν πατὴρ συνεκόμιζε λίθους, 173
ἵνα δείμαιτο βωμόν, ὁ δὲ υἱὸς τὰ μὲν ἄλλα ὁρῶν ὅσα πρὸς ἱερουργίαν
εὐτρεπῆ, ζῷον δὲ μηδέν, ἀπιδὼν εἰς τὸν πατέρα „ἰδοὺ τὸ πῦρ“ ἔφη
„καὶ τὰ ξύλα, πάτερ, ποῦ τὸ ἱερεῖον“; ἕτερος μὲν οὖν ἃ δρᾶν ἔμελλεν 174
εἰδὼς καὶ τῇ ψυχῇ συσκιάζων ὑπὸ τοῦ λεχθέντος κἂν συνεχύθη καὶ
δακρύων πληρωθεὶς ἔμφασιν τοῦ γενησομένου παρέσχεν ἐκ τῆς περι-
παθήσεως ἡσυχάζων. ὁ δ' οὐδεμίαν ἐνδεξάμενος τροπὴν οὔτε κατὰ 175

---

1 σφαγιάσαι] ἐναγίσαι F  κολοφωνίου BE  πορρωτάτου A  2 ὁδῶν F  πόθω ἀλέκτω transp. HP  3 ἐγνάμφθη CFG: ἠγνάμφθη A, ἐκνάμφθη BE, ἐκάμφθη MKHP(v)  4 δὲ BEK  ἀνενδοιάστω BEK  διέμενεν HP  ἀκλινής] ἀρρεπής K  πρόσθεν ἦν] πρότερον K, πρότερος BE  5 δὲ BEKH²: om. ceteri  post κράτος add. δ' C, δς Arm  6 καὶ alt. om. BE  τὸ λόγιον ἐξειπὼν transp. K  7 μόνους BEK: om. ceteri  9 τέταρτος] *tertius* Ambros.  10 σκοπιῆς BEK  θεραπεύουσι BEKAG  κάτω καταμένειν Arm  11 δίδωσιν ἐπιφέρειν BEK  δικαιώσας] δίκαιον νομίσας BEKMA  ἱερὸν FGH¹P  12 τὴν om. H  ἐπηχθῆσθαι C, ἐπηχθεῖσθαι BE, ἐπειχθῆσθαι A  13 δ' ἰσοταχῶς M: δ' ἴσοι ταχέως CFGHP, διό σοι ταχέως A, διὸ ταχέως Arm, εἰς ὃ τάχος BE, οὖν ὡς τάχος K  14 ἢ C, καὶ ἢ FG  τὸ om. CFG Arm  15 κἄπειθ' BEK Arm: καὶ ceteri  16 δείμοιτο C, δειμαίνῃ FG, ἐπὶ τῷ δεῖμαι (pro ἵνα δείμαιτο) A  τὸν βωμὸν AFG  δ' BEK  ὁρῶν post ἱερουργίαν transp. H(v)  εἰς 17 πρὸς K  18 ἃ] ἂν G  19 κἂν] καὶ F  21 ἡσυχάζων post ὁ δ' transp. BEK  ἐνδεξάμενος BE: ἐνδειξάμενος ceteri (v)

---

6 *Ambros. De Abrah. I 8,68* senex Abraham et dives pecoris atque abundans servitiorum non quaesivit comitatus sui agmina: ipse quoque ligna concidit et obsequia maiora viribus suis non intermisit . . . et cum duobus ipse tertius proficiscitur hostiam suam ducens et die tertio ad locum sacrificii venit.

τὸ σῶμα οὔτε κατὰ τὴν διάνοιαν σταθερῷ μὲν τῷ βλέμματι σταθερῷ
δὲ τῷ λογισμῷ φησι πρὸς τὴν πεῦσιν ἀποκρινόμενος· „ὦ τέκνον, ὁ θεὸς
ὄψεται ἱερεῖον ἑαυτῷ καὶ ἐν ἐρημίᾳ πολλῇ, δι' ἣν ἴσως ἀπογινώσκεις
εὑρεθήσεσθαι· πάντα δ' ἴσθι θεῷ δυνατὰ καὶ ὅσα ἐν ἀμηχάνῳ καὶ ἀπόρῳ
176 κεῖται παρ' ἀνθρώποις“. καὶ ταῦθ' ἅμα λέγων ᾗ τάχιστα τὸν υἱὸν
ἐξαρπάσας ἐπιτίθησι τῷ βωμῷ καὶ σπασάμενος τῇ δεξιᾷ τὸ ξίφος
ἐπέφερεν ὡς ἀναιρήσων· φθάνει δ' ὁ σωτὴρ θεὸς ἀπ' ἀέρος φωνῇ
μεσολαβήσας τὸ ἔργον, ᾗ προσέταττεν ἀνέχειν καὶ μὴ ψαῦσαι τοῦ παιδός,
ὀνομαστὶ καλέσας δὶς τὸν πατέρα, ἵν' ἐπιστρέψας καὶ ἀντισπάσας διακω-
177 λύσῃ τὴν σφαγὴν ἐργάσασθαι. (33.) καὶ ὁ μὲν διασῴζεται, τὸ δῶρον
ἀντιχαρισαμένου τοῦ θεοῦ καὶ τὸν φέροντα ἐν οἷς εὐσεβεῖτο ἀντιτιμή-
σαντος· τῷ δ' ἤδη καὶ ἡ πρᾶξις, εἰ καὶ μὴ τὸ τέλος ἐπηκολούθησεν,
ὁλόκληρος καὶ παντελὴς οὐ μόνον ἐν ταῖς ἱεραῖς βίβλοις ἀλλὰ καὶ ἐν
178 ταῖς τῶν ἀναγινωσκόντων διανοίαις ἀνάγραπτος ἐστηλίτευται. ἀλλὰ τοῖς
φιλαπεχθήμοσι καὶ πάντα διαβάλλουσιν, οἳ ψόγον πρὸ ἐπαίνου τιμᾶν
ἐθίζονται, τὸ πραχθὲν ἔργον οὐ δοκεῖ μέγα καὶ θαυμαστόν, ὡς ἡμεῖς
179 ὑπολαμβάνομεν εἶναι. πολλοὺς γὰρ καὶ ἄλλους φασὶ τῶν πάνυ φιλοικείων
καὶ φιλοτέκνων ἐπιδοῦναι τοὺς ἑαυτῶν παῖδας, τοὺς μὲν ὑπὲρ πατρίδων
σφαγιασθησομένους, λυτήρια ἢ πολέμων ἢ αὐχμῶν ἢ ἐπομβρίας ἢ
νοσημάτων λοιμικῶν γενησομένους, τοὺς δ' ὑπὲρ νενομισμένης εὐσεβείας,
180 εἰ καὶ μὴ πρὸς ἀλήθειαν οὔσης· Ἑλλήνων μέν γε τοὺς δοκιμωτάτους,
οὐκ ἰδιώτας μόνον ἀλλὰ καὶ βασιλεῖς, ὀλίγα φροντίσαντας ὧν ἐγέν-
νησαν διὰ τῆς τούτων ἀναιρέσεως δυνάμεις στρατευμάτων μεγάλας καὶ

---

1 τὸ om. C σταθερῷ—βλέμματι om. CFG μὲν] μέντοι $H^2$(v) alt. σταθερῷ BEKCFG Arm: σταθερωτέρῳ MAHP(v) 2 δὲ τῷ BK$H^2$, τῷ (om. δὲ) E: μέντοι ceteri φησι om. H(v) post τέκνον add. ἔφη $H^2$(v) 3 αὐτῷ F καὶ εἰ ἐρημία πολλή $H^2$ (Turn.) 4 εὑρεθήσεται C (fort. recte) ἴσθι BEK Arm: εἰσὶ ceteri 5 παρ' BEK: παρὰ ceteri ἡ ABEP, ἢ M, ᾗ om. CFG 6 ἐξαρτήσας coni. Mang. 7 ἀπ' BEMA Arm: ἐπ' K, ἐν ceteri (Turn. Mang.) 8 ᾗ FHP: ἡ CBEKM, ἢ AG ἀνέχειν] ἄρχειν K μὴ BEK: μηδὲ ceteri 9 ἵν' BEK: ἵνα ceteri ἐπιστρέψασα καὶ ἀντισπάσασα BE 10 ἐργάσασθαι om. Arm 11 εὐσεβεῖ τὸ A 12 τῷ] τὸ A ἤδη καὶ BEK: om. ceteri ἡ πρᾶξις] εἰ πράξεις A πρᾶξις] χάρις mg. C εἰ μὴ καὶ transp. K 14 τῶν om. F post ἀναγινωσκόντων add. ἀναγκαιοτάτων G ἀνάγραπτος] ἀνεξάλειπτος Arm 15 οἷς ψόγοι C$H^2$ (Turn.), οἳ ψόγοι FG, ψόγον om. $H^1$P 16 πραχθὲν BEK$H^2$: προσταχθὲν ceteri δοκεῖ BEK: δόξει ceteri 16. 17 ὡς—εἶναι om. Arm 17 φήσουσι Arm (coni. Mang.) 18 ἑαυτῶν BEK: αὐτῶν ceteri 19 λυτήρια] λύτρα coni. Mang. 20 δὲ BEK 22 βασιλεῖς om. F φροντίσαντες $H^1$P

πολυανθρώπους ἐν μὲν τῇ συμμαχίᾳ τεταγμένας διασῶσαι, ἐν δὲ τῇ
μερίδι τῶν ἐχθρῶν αὐτοβοεὶ διαφθεῖραι· βαρβαρικὰ δὲ ἔθνη μέχρι 181
πολλοῦ παιδοκτονίαν ὡς ὅσιον ἔργον καὶ θεοφιλὲς προσέσθαι, ὧν μεμνῆ-
σθαι τοῦ ἄγους καὶ τὸν ἱερώτατον Μωυσῆν· αἰτιώμενος γὰρ αὐτοὺς
τοῦ μιάσματος φάσκει, ὅτι „τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας κατα-
p. 27 M. καίουσι τοῖς θεοῖς αὐτῶν“ (Deut. 12, 31)· Ἰνδῶν δὲ | τοὺς γυμνο- 182
σοφιστὰς ἄχρι νῦν, ἐπειδὰν ἄρχηται καταλαμβάνειν ἡ μακρὰ καὶ ἀνίατος
νόσος, τὸ γῆρας, πρὶν βεβαίως κρατηθῆναι, πυρὰν νήσαντας ἑαυτοὺς
ἐμπιπράναι, δυναμένους ἔτι πρὸς πολυετίαν ἴσως ἀντισχεῖν· ἤδη δὲ καὶ
γύναια προαποθανόντων ἀνδρῶν ὁρμῆσαι γεγηθότα πρὸς τὴν αὐτὴν
πυρὰν καὶ ζῶντα τοῖς ἐκείνων σώμασιν ὑπομεῖναι συγκαταφλεχθῆναι·
ταῦτα μὲν εἰκότως ἄν τις τῆς εὐτολμίας θαυμάσειεν ἐκ πολλοῦ τοῦ 183
περιόντος καταφρονητικῶς ἔχοντα θανάτου καὶ ὡς ἐπ' ἀθανασίαν
αὐτὸν ἱέμενα καὶ ἀπνευστὶ θέοντα· (34.) τὸν δὲ τί προσῆκεν ἐπαινεῖν
ὡς ἐγχειρητὴν κεκαινουργημένης πράξεως, ἣν καὶ ἰδιῶται καὶ βασιλεῖς
καὶ ὅλα ἔθνη δρῶσιν ἐν καιροῖς; ἐγὼ δὲ πρὸς τὴν τούτων βασκανίαν 184
καὶ πικρίαν ἐκεῖνα λέξω· τῶν καταθυόντων παῖδας οἱ μὲν ἔθει τοῦτο
δρῶσιν, ὥσπερ ἐνίους ἔφασκον τῶν βαρβάρων, οἱ δὲ δι' ἀβουλήτους
καὶ μεγάλας ὑποθέσεις πόλεών τε καὶ χωρῶν ἑτέρως κατορθοῦσθαι μὴ
δυναμένων, ὧν οἱ μὲν ἀνάγκῃ τοὺς αὑτῶν ἐπιδιδόασιν ὑπὸ δυνατωτέρων
βιασθέντες, οἱ δὲ δόξης καὶ τιμῆς ἐφιέμενοι καὶ εὐκλείας μὲν τῆς

---

1 τεταγμένας BE: τεταγμένους KHP, τεταγμένη ceteri  2 αὐτοβοὶ E  δ' BEK
3 παιδοκτονεῖν F  ὅσιον] θεῖον BEK  προσέσθαι v (Arm): προέσθαι codd.
ὧν] ὡς Arm  4 τοῦ ἄγους BEKHP: τοῦ μύσους C, τοὺς αὐτοὺς AFG, om. M
μωσῆν BEK, μωσέα ceteri  5 μιάσματος] μύσους coni. Mang.  φάσκειν K
υἱοὺς αὐτῶν BEK: αὐτῶν om. ceteri  τὰς om. BEK  6 Ἰνδῶν] ἰδὼν CA
7 νῦν BEK: τοῦ νῦν ceteri  ἡ] ἢ A  μακρὰ] μιαρὰ coni. Mang.
8 πυρὰν νήσαντας scripsi (sic Arm): πυρὰν ἀνήσαντας K, πυρὰ νήσαντας corr. ex πῦρ ἀνήσαντας B, πῦρ ἀνήσαντας E, πῦρ ἅψαντες C, πῦρ ἅψαντας ceteri (v)  ἑαυτοὺς BEK: αὑτοὺς H², αὐτοὺς ceteri  9 ἐμπιμπράναι CM  πρὸς πολυετίαν ἴσως BEK Arm: πρὸς πολὺ ἴσον H¹P, πρὸς πολὺ ἴσως ceteri (Turn. Mang.)  10 προάποθανάτων (sic) E  11 συγκαταφλεχθῆναι C: συναναφλεχθῆναι ceteri  12 τῆς εὐτολμίας θαυμάσειεν BEK: θαυμάσειε τῆς εὐτολμίας ceteri  14 αὐτὸν] αὐτὴν FH (Turn. Mang.), om. Arm  ἱέμενα H²: ἱέμενα KM, ἱέμενον (α suprascr.) F, ἱέμενον C, ἱέμενον ceteri  δὲ τί H²: δέ τι M, δ' ἔτι ceteri  15 ἐγχειρητὴν] ἐγχειρεῖ τῆς MF, ἐγχειριτῆς A, ἐγχειρεῖν τῆς BE Arm  17 πικρίαν] φιλοπονηρίαν coni. Mang.
18 ἔφασκον BEK Arm: om. F, φασὶ ceteri  τῶν βαρβάρων BEK: τῶν om. ceteri
διαβουλήτους MA  19 πόλεων BEKH²: πολέμων ceteri  χορῶν A
20 ὧν om. CFG  αὑτῶν B: αὐτῶν ceteri  ὑποδιδόασιν A  21 post βιασθέντες add. Turn. Mang. οἱ δὲ φόβῳ τῷ ἀπ' ἀνθρώπων (e C: cf. ad 42,15)
21—42,15 οἱ δὲ—καὶ μὴν om. CFG  21 τιμῆς] ἀτιμίας H¹P

185 ἐν τῷ παρόντι, εὐφημίας δὲ τῆς εἰς ὕστερον. οἱ μὲν οὖν ἔθει σφαγιά-
ζοντες οὐδὲν ὡς ἔοικε μέγα δρῶσιν· ἐγχρονίζον γὰρ ἔθος ἐξισοῦται
φύσει πολλάκις, ὡς καὶ τὰ δυσυπομόνητα καὶ δυσκαρτέρητα ῥᾳδίως
186 ἐπελαφρίζειν, τὰς ὑπερβολὰς τῶν φοβερῶν ἐξευμαρίζον. τῶν δ' ἕνεκα
δέους ἐπιδιδόντων ἔπαινος οὐδείς· ὁ γὰρ ἔπαινος ἐν ἑκουσίοις κατορθώ-
μασι γράφεται, τὰ δ' ἀβούλητα ἑτέροις ἀνάκειται πράγμασιν, ἢ καιροῖς
187 ἢ τύχαις ἢ ταῖς ἀπ' ἀνθρώπων ἀνάγκαις. εἰ δέ τις δόξης ὀρεγόμενος
υἱὸν ἢ θυγατέρα προΐεται, ψέγοιτ' ἂν ἐνδίκως μᾶλλον ἢ ἐπαινοῖτο,
θανάτῳ τῶν φιλτάτων ὠνούμενος τιμήν, ἣν καὶ κεκτημένος ὤφειλεν
188 ὑπὲρ σωτηρίας τῶν τέκνων ἀπορρίπτειν. ἐρευνητέον οὖν, εἰ ὑπό τινος
τῶν λεχθέντων ἡττηθεὶς ἐκεῖνος ἔμελλε σφαγιάζειν τὸν υἱόν, ἔθους ἢ
τιμῆς ἢ δέους. ἔθος μὲν οὖν τὸ ἐπὶ παιδοκτονίᾳ Βαβυλὼν καὶ Μεσο-
ποταμία καὶ τὸ Χαλδαίων ἔθνος οὐ παραδέχεται, ἐν οἷς ἐτράφη καὶ
ἐπεβίωσε τὸν πλείονα χρόνον, ὡς τῇ συνεχείᾳ τῶν δρωμένων ἀμβλυτέ-
189 ραις ταῖς τῶν δεινῶν φαντασίαις κεκρατῆσθαι δοκεῖν. καὶ μὴν οὐδὲ
φόβος τις ἦν ἀπ' ἀνθρώπων — οὐδὲ γὰρ τὸ χρησθὲν αὐτῷ μόνῳ λόγιον
ᾔδει τις —, οὐδέ τις συμφορὰ κοινὴ κατειλήφεν, ἧς ἔδει τὴν θεραπείαν
190 ἀναιρέσει γενέσθαι τοῦ δοκιμωτάτου παιδός. ἀλλὰ θηρώμενος | ἔπαινον p. 28 M.
τῶν πολλῶν ἐπὶ τὴν πρᾶξιν ὥρμησε; καὶ τίς ἔπαινος ἐν ἐρημίᾳ, μηδενὸς
τοῦ μέλλοντος ἐπευφημήσειν παρόντος, ἀλλὰ καὶ τῶν δυεῖν οἰκετῶν
μακρὰν ἐπίτηδες ἀπολειφθέντων, ἵνα μὴ ἐγκαλλωπίζεσθαι καὶ ἐνεπιδείκνυ-
191 σθαι δοκῇ μάρτυρας ἐπαγόμενος ὧν εὐσέβει; (35.) στόμασιν οὖν
ἀχαλίνοις καὶ κακηγόροις θύρας ἐπιθέντες μετριαζέτωσαν τὸν ἐν αὐτοῖς

1 εἰς τὸ παρὸν A   εἰς om. AHP (Turn. Mang.)   3 καὶ δυσκαρτέρητα om. Arm   4 ἐξευμαρίζον Mang: ἐξευμαριζόντων codd. (ἐξευμενιζόντων K), ἐξευμαρίζεσθαι Arm; ⟨καὶ⟩ τὰς ὑπ. τῶν φοβ. ἐξευμαρίζειν conicio   5 δέος A   δ] οὐ K   ἀκουσίοις K   7 ἀπ' ἀνθρώπων] ἀπ'. om. BEKA, ἁπάντων H (Turn. Mang.)   8 μᾶλλον om. A   9 θανάτου ME (fort. recte)   καὶ om. KL(v)   10 σωτηρίας τῶν τέκνων BEKA: τῆς τέκνων σωτηρίας M, τῆς τῶν τέκνων σωτηρίας HP   ἐρεύνησον ABE   εἰ om. A   13 ἔθνος] ἔθος H[1]P   14 ἐπεβίωσε BKA, ἐβεβίωσε E: ἐβίωσε ceteri   ὡς] ἐν K   δρωμένων] δρωμένων coni. Mang.; cf. 28,16   15 κεκρατῆσθαι] κεχρῆσθαι coni. Mang. (sic Arm)   15. 16 οὐδὲ—ἀνθρώπων] οἱ δὲ φόβω τῶ ἀπ' ἀνθρώπων. οὗτος δὲ οὔτε φόβω τῶ ἀπ' ἀνθρώπων C   16 ἦν om. FG   οὐδὲ γὰρ] οὔτε CFG   αὐτῶν G   μόνως λόγιον HP, ὁμολόγιον FG   17 ἤδη F[1]   κοινὴ κατείληφεν BEK: κατεῖχε κοινή ceteri   ἦν FG   18 τοῦ BEK Arm: om. ceteri   ἔπαινον BEK: τὸν παρὰ add. ceteri   19 ἐπὶ τὴν πρᾶξιν ὥρμησε BEK Arm: ὥρμησεν ἐπὶ τὴν πρᾶξιν transp. ceteri   ἐν ἐρημίᾳ BEK Arm: ἐπ' ἐρημίᾳ ceteri   20 ἐπευφημίσειν F[1]H   δυοῖν CBKHP   21 ἀπολειφθέντων BEK Arm: ὑπολειφθέντων ceteri   καὶ ἐνεπιδείκνυσθαι om. BEK   ἐπιδείκνυσθαι F   22 εὐσέβει BEK: εὐσεβεῖ ceteri   23 ἀχαλίνοις] καὶ χαλινοῖς G; καὶ ἀχαλίνοις Mang.   ἐν BEK: ἐπ' ceteri   αὐτοῖς codd.

μισόκαλον φθόνον καὶ ἀρετὰς ἀνδρῶν εὖ βεβιωκότων μὴ σινέσθωσαν,
ἃς ἁρμόττον ἦν εὐφημίᾳ συνεπικοσμεῖν. ὅτι δὲ τῷ ὄντι ἐπαινετὴ καὶ
ἀξιέραστος ἡ πρᾶξις, ἐκ πολλῶν εὐμαρὲς ἰδεῖν. πρῶτον μὲν τοίνυν τὸ 192
πείθεσθαι θεῷ παρὰ πᾶσι τοῖς εὖ φρονοῦσι σεμνὸν καὶ περιμάχητον
εἶναι νομιζόμενον ἐν τοῖς μάλιστα ἐπετήδευεν, ὡς μηδενὸς πώποτε τῶν
προστεταγμένων ἀλογῆσαι, ἄνευ δυσκολίας καὶ ἀηδίας, κἂν πόνων τε
καὶ ἀλγηδόνων μεστὸν ᾖ· παρὸ καὶ τὸ χρησθὲν ἐπὶ τῷ υἱῷ γενναιότατα
καὶ στερρότατα ἤνεγκεν. ἔπειτ' οὐκ ὄντος ἔθους ἐν τῇ χώρᾳ, καθάπερ 193
ἴσως παρ' ἐνίοις ἐστίν, ἀνθρωποθυτεῖν, ὃ τῇ συνεχείᾳ τὰς τῶν δεινῶν
φαντασίας εἴωθεν ἐκλύειν, αὐτὸς ἔμελλε πρῶτος ἄρχεσθαι καινοτάτου
καὶ παρηλλαγμένου πράγματος, ὃ μοι δοκεῖ μηδεὶς ἂν ὑπομεῖναι, καὶ
εἰ σιδήρου τὴν ψυχὴν ἢ ἀδάμαντος κατεσκεύαστο· „φύσει“ γὰρ ὡς
εἶπέ τις „ἔργον μάχεσθαι.“ γνήσιόν τε υἱὸν πεποιημένος μόνον τοῦτον 194
εὐθὺς εἶχε καὶ τὸ πάθος ἐπ' αὐτῷ τῆς εὐνοίας γνήσιον, ὑπερβάλλον
τοὺς σώφρονας ἔρωτας καὶ τὰς φιλίας, ὅσαι δι' ὀνόματος γεγόνασι.
προσῆν δέ τι καὶ βιαστικώτατον φίλτρον, τὸ μὴ καθ' ἡλικίαν ἀλλ' ἐν 195
γήρᾳ γεγεννηκέναι τὸν παῖδα· τοῖς γὰρ ὀψιγόνοις ἐπιμεμήνασί πως οἱ
τοκεῖς, ἢ τῷ μακρὸν ἐπιποθῆσαι χρόνον τὴν γένεσιν αὐτῶν ἢ τῷ μηκέθ'
ἑτέρους ἐλπίζειν ἔσεσθαι, τῆς φύσεως ἐνταῦθα ἱσταμένης ὡς ἐπὶ τελευταῖον
καὶ ὕστατον ὅρον. ἐκ πολυπαιδίας μὲν οὖν ἕνα προέσθαι θεῷ καθάπερ 196
ἀπαρχήν τινα τέκνων παράδοξον οὐδέν, ἔχοντα τὰς ἐπὶ τοῖς ζῶσιν ἡδονὰς

---

1 ἀνδρῶν ἀρετὰς transp. BK  σινέσθωσαν om. in lac. C, συνέσθωσαν K, γινέσθωσαν G  2 εὐφημίᾳ BEK Arm: εὐφημίαις CFGMA, εὐφημεῖν HP  5 νομιζόμενον BEK Arm: νομίζομεν ὃν G, νομίζομεν ὃ ceteri  ἐπετήδευσεν A  ὡς om. Arm  πώποτε τῶν BEK Arm: τῶν πώποτε ceteri  6 ἀλογῆσαι BEK Arm: ἀμελῆσαι ceteri  ἄνευ δυσκολίας καὶ ἀηδίας BE Arm: κἂν δυσκλείας καὶ ἀηδίας K, κἂν ἀηδίας καὶ δυσκλείας ceteri (v)  κἂν] καὶ FHP  τε om. HP  7 ᾖ scripsi: εἴη codd.  παρὸ K, παρ' ὃ BE: ὅθεν ceteri, om. Arm  τῷ χρησθέντι H  8 στερρότατ' ἀνήνεγκεν FG  ἔπειτα HP, ἐπεί τοι C, ἐπὶ τοῦ FG  9 παρὰ ἐνίοις KHP, σπανίοις BE  ἀνθρωποκτονεῖν P  τὴν συνέχειαν CFG  τὰς] τῆς C  11 πράγματος BEK Arm: παραδείγματος ceteri  12 ἐπεσκεύαστο CFG  φύσιν CFG  12. 13 γὰρ—μάχεσθαι om. in lac. C  12 γὰρ] ἄρ' FG  ὡς om. BE  13 ἔργον om. F  πεποιημένος] κεκτημένος Arm  14 εὐθὺς] ἴσως coni. Mang.  15 σωφροσύνας B, σώφρο_νας E  ὅσαι] αἳ BE  16 δ' ἔτι A  τὸ] τῶ BE  17 γεγενηκέναι MF, γεγενημέναι A  παῖδα] υἱόν K  ἐπιμεμήνασι corr. ex ἐπιμείνασι C, ἐπιμείνασι AG  18 τοκεῖς BEK: τοκῆες ceteri (v)  18. 19 μὴ καθ' ἑτέρους CAG, μὴ καὶ (in ras.) ἑτέρους F  19 ἐλπίσειν CM, ἐλπίσιν AF  ἔσεσθαι] εἰσαῦθις coni. Mang.  ἐνταῦθα ἱσταμένης BEK: ἐν τούτω πεπαυμένης ceteri  19. 20 ἐπὶ τελευταίου καὶ ὑστάτου ὅρου conicio  20 ἕνα προέσθαι] ἐναποθέσθαι CFG  21 τοῖς ζῶσιν om. M

οὐ μικρὰ παραμύθια καὶ μειλίγματα τῆς ἐπὶ τῷ σφαγιασθέντι λύπης·
ὃν δὲ μόνον τις ἔσχεν ἀγαπητὸν διδοὺς λόγου παντὸς μεῖζον ἔργον
διαπράττεται, μηδὲν οἰκειότητι χαριζόμενος, ἀλλ' ὅλῃ τῇ ῥοπῇ πρὸς τὸ
197 θεοφιλὲς ταλαντεύων. ἐκεῖνο μὲν δὴ ἐξαίρετον καὶ μόνῳ σχεδόν τι
τούτῳ πεπραγμένον· οἱ μὲν γὰρ ἄλλοι, κἂν ὑπὲρ σωτηρίας πατρίδων
ἢ στρατευμάτων ἐπιδιδῶσι σφαγιασθησομένους τοὺς ἑαυτῶν, ἢ οἴκοι κατα-
μένουσιν ἢ μακρὰν ἀφίστανται τῶν βωμῶν ἤ, κἂν παρατυγχάνωσι, τὰς
ὄψεις ἀποστρέφονται θεάσασθαι μὴ ὑπομένοντες, ἄλλων ἀναιρούντων·
198 ὁ δ' ὥσπερ ἱερεὺς | αὐτὸς κατήρχετο τῆς ἱερουργίας, ἐφ' υἱῷ τὰ πάντα p. 29 M.
ἀρίστῳ φιλοστοργότατος πατήρ· ἐμέλισε δ' ἂν ἴσως καὶ νόμῳ τῶν
ὁλοκαυτωμάτων (cf. Lev. 1, 6 al.) κατὰ μέλη τὸν υἱὸν ἱερουργῶν.
οὕτως οὐ τὸ μέν τι μέρος ἀπέκλινε πρὸς τὸν παῖδα, τὸ δέ τι πρὸς
εὐσέβειαν, ἀλλ' ὅλην τὴν ψυχὴν δι' ὅλων ὁσιότητι προσεκλήρωσεν ὀλίγα
199 φροντίσας συγγενικοῦ αἵματος. τί δὴ τῶν εἰρημένων πρὸς ἑτέρους
κοινόν; τί δ' οὐκ ἐξαίρετον καὶ παντὸς λόγου κρεῖττον; ὡς τόν γε μὴ
φύσει βάσκανον καὶ φιλοπόνηρον καταπλαγῆναι καὶ θαυμάσαι τῆς περιττῆς
ἄγαν εὐσεβείας, οὐχ ἅπαντα ὅσα εἶπον ἀθρόα εἰς νοῦν βαλλόμενον, ἀλλὰ
κἂν ἕν τι τῶν πάντων· ἱκανὴ γὰρ καὶ ἡ ἑνὸς φαντασία τύπῳ τινὶ βραχεῖ
— βραχὺ δ' οὐδὲν ἔργον σοφοῦ — μέγεθος ψυχῆς καὶ ὕψος ἐμφῆναι.
200 (36.) Ἀλλὰ γὰρ οὐκ ἐπὶ τῆς ῥητῆς καὶ φανερᾶς ἀποδόσεως
ἵσταται τὰ λεχθέντα, φύσιν δὲ τοῖς πολλοῖς ἀδηλοτέραν ἔοικε παρεμ-
φαίνειν, ἣν οἱ τὰ νοητὰ πρὸ τῶν αἰσθητῶν ἀποδεχόμενοι καὶ ὁρᾶν
201 δυνάμενοι γνωρίζουσιν. ἔστι δὲ τοιάδε· ὁ μελλήσας σφαγιάζεσθαι

---

1 οὐ om. C, eras. F, τοῦ G  μειλίγματα om. M, μὴ λεῖμμα CF¹G  2 εἶχεν CFG  λόγου παντὸς K: ὃ παντὸς (om. λόγου) BE, παντὸς λόγου ceteri  3 οἰκειότατον KH  ὅλη τῇ ῥοπῇ MAGHP (ὅλῃ ῥοπῇ v): ὅλην τὴν ῥοπὴν CFBEK  4 ταλαντεῦον CFMA  ἐκείνω MHP(v)  μὲν δὴ] δὴ om. BE, μέντοι K  μόνον A (ον superscr.)  τι om. Mang.  5 τοῦτο MAHP(v)  πεπραγμένω K  6 ἢ BEK: καὶ ceteri  ἢ στρατευμάτων om. HP  ἐπιδιδόασι BE  ἑαυτῶν BEK: αὐτῶν ceteri  7 παρατυγχάνωσι BEK: παρατύχωσι ceteri  8 ἀποστρέψονται H  10 φιλοστοργώτατος A  ἐμέλισε BEK: ἐμέλησε MA, ἐμέλλησε ceteri (v)  νόμων AFG  11 κατὰ μέλη BEK: διανέμων κατὰ μέλη ceteri (v)  ἱερουργῶν BEK: ἱερουργεῖν ceteri (v)  12 μέν τι] μέντοι AH  δ' ἔτι A  13 ὅλην τὴν ψυχὴν BEK Arm: ὅλη τῇ ψυχῇ ceteri  ὁσιώτατα H  προσκεκλήρωκεν K  post ὀλίγα add. γὰρ FG, eras. C  15 μὴ] μὴν BE (ν in ras. E)  17 βαλόμενον CK  18 κἂν] καὶ HP  ἕν τι] ἔτι G, ἕν τινι H¹P  19 ψυχῇ A, ψυχὴ CF  ἐμφαίνειν C, ἐμφαίνει FG  20 ἀποδόσεως Mang. (cf. 27,15): ὑποθέσεως codd. Arm  21. 22 παραφαίνειν BEK  23 γνωρίσουσιν coni. Mang.  μελήσας AF, μέλλων K

καλεῖται Χαλδαϊστὶ μὲν Ἰσαάκ, Ἑλληνιστὶ δὲ μεταληφθέντος τοῦ ὀνό-
ματος „γέλως“· γέλως δ᾽ οὐχ ὁ κατὰ παιδιὰν ἐγγινόμενος σώματι
παραλαμβάνεται τὰ νῦν, ἀλλ᾽ ἡ κατὰ διάνοιαν εὐπάθεια καὶ χαρά. ταύτην 202
ὁ σοφὸς ἱερουργεῖν λέγεται δεόντως θεῷ διὰ συμβόλου παριστάς, ὅτι
τὸ χαίρειν μόνῳ θεῷ οἰκειότατόν ἐστιν· ἐπίλυπον μὲν γὰρ τὸ ἀνθρώπινον
γένος καὶ περιδεές, ἢ παρόντων κακῶν ἢ προσδοκωμένων, ὡς ἢ ἐπὶ
τοῖς ἐν χερσὶν ἀβουλήτοις ἀνιᾶσθαι ἢ ἐπὶ τοῖς μέλλουσι ταραχῇ καὶ
φόβῳ κραδαίνεσθαι· ἄλυπος δὲ καὶ ἄφοβος καὶ παντὸς πάθους
ἀμέτοχος ἡ τοῦ θεοῦ φύσις εὐδαιμονίας καὶ μακαριότητος παντελοῦς
μόνη μετέχουσα. τῷ δὴ τὴν ἀληθῆ ταύτην ὁμολογίαν ὡμολογηκότι 203
τρόπῳ χρηστὸς ὢν καὶ φιλάνθρωπος ὁ θεός, φθόνον ἐληλακὼς ἀφ᾽
ἑαυτοῦ, προσηκόντως ἀντιχαρίζεται τὸ δῶρον, καθ᾽ ὅσον ἔχει δυνάμεως
ὁ ληψόμενος, καὶ μόνον οὐ ταῦτα θεσπίζει λέγων· „τὸ μὲν τῆς χαρᾶς 204
γένος καὶ τὸ χαίρειν ὅτι οὐκ ἔστιν ἑτέρου πλὴν ἐμοῦ τοῦ πατρὸς τῶν
ὅλων κτῆμα, σαφῶς οἶδα, κεκτημένος δ᾽ ὅμως οὐ φθονῶ τοῖς ἀξίοις
χρῆσθαι· ἄξιος δὲ τίς ἂν εἴη, πλὴν εἴ τις ἐμοὶ καὶ τοῖς ἐμοῖς βουλή-
μασιν ἕποιτο; τούτῳ γὰρ ἥκιστα μὲν ἀνιᾶσθαι ἥκιστα δὲ φοβεῖσθαι
συμβήσεται πορευομένῳ ταύτην τὴν ὁδόν, ᾗ πάθεσι μὲν καὶ κακίαις
ἐστὶν ἄβατος, εὐπαθείαις δὲ καὶ ἀρεταῖς ἐμπεριπατεῖται.“ μηδεὶς δ᾽ 205
ὑπολαβέτω τὴν ἄκρατον καὶ ἀμιγῆ λύπης χαρὰν ἀπ᾽ οὐρανοῦ καταβαίνειν
p. 30 M. ἐπὶ τὴν γῆν, ἀλλὰ | κέκραται ἐξ ἀμφοῖν, περιττεύοντος τοῦ κρείττονος·
ὅνπερ τρόπον καὶ τὸ φῶς ἐν οὐρανῷ μὲν ἄκρατον καὶ ἀμιγὲς σκότους
ἐστίν, ἐν δὲ τοῖς ὑπὸ σελήνην ἀέρι ζοφερῷ κεκραμένον φαίνεται. ταύτης 206
ἕνεκα τῆς αἰτίας δοκεῖ μοι καὶ πρότερον γελάσασα ἡ ἀρετῆς ἐπώνυμος

---

1 μὲν om. CFGMA μεταληφθέντος τοῦ ὀνόματος om. Arm. 2 δὲ HP ἐγγιγνόμενος CFGMA 3 καταλαμβάνεται CA τανῦν (vel τὰ νῦν) codd.: νῦν $\overset{\pi}{\nu}$ εὐστάθεια K, εὐστάθεια BE 4 συμβούλου G 5 τὸ pr.] τῷ F ἀνθρώπινον BEK: ἀνθρώπων CGMA, τῶν ἀνθρώπων FHP 6 ἢ pr. om. CFG 7 ἐν χερσὶν om. CFG post ἀβουλήτοις add. χωρεῖν C 8. 9 παντὸς πάθους ἀμέτοχος BEK Arm: ἀμέτοχος παντὸς πάθους transp. ceteri 10 μόνη om. Arm post ὁμολογίαν add. ἔχειν ABE 11. 12 ἀπ᾽ αὐτοῦ BEK 12 καθόσον codd. 13 μόνον οὐ BE, μονονοὺ K: μόνον οὐχὶ ceteri 16 χρῆσθαι om. Arm 17 τοῦτον F ἀνίεσθαι CF[1] 18 ᾗ] καὶ F κακίαις] μαλακίαις FG, μαλακείαις C 21 τὴν om. BE ἀλλὰ κέκραται scripsi: ἀλλ᾽ ἐγκέκραται KHP, ἀλλὰ κράματος CFGA, ἀλλὰ κρέμαται BE, ἀλλ᾽ ἐκκρέμαται M; κρᾶμά τι coni. Mang. κρείττονος] χείρονος voluit Mang. 23 ζοφερῷ om. BE κεκραμμένον HP φαίνει CF 24 καὶ πρότερον γελάσασα BEK: γελάσασα καὶ πρότερον transp. ceteri ἡ (τῆς add. K) ἀρετῆς ἐπώνυμος codd.: ἀρετῆς ἡ ἐπώνυμος Mang. ἀρετῆς] ἀρχῆς vel ἀρχούσης ἀρετῆς coni. Mang.

Σάρρα πρὸς τὸν πυνθανόμενον ἀρνήσασθαι τὸν γέλωτα (Gen. 18, 15),
καταδείσασα μή ποτε ἄρα τὸ χαίρειν οὐδενὸς ὂν γενητοῦ, μόνου δὲ
τοῦ θεοῦ, σφετερίζηται· διόπερ θαρσύνων αὐτὴν ὁ ἱερὸς λόγος φησί·
207 μηδὲν εὐλαβηθῇς, ὄντως ἐγέλασας καὶ μέτεστί σοι χαρᾶς. οὐ γὰρ
εἴασεν ὁ πατὴρ τῶν ἀνθρώπων τὸ γένος λύπαις καὶ ὀδύναις καὶ ἄχθεσιν
ἀνιάτοις ἐμφέρεσθαι, παρέμιξε δὲ καὶ τῆς ἀμείνονος φύσεως, εὐδιάσαι
καὶ γαληνιάσαι ποτὲ τὴν ψυχὴν δικαιώσας· τὴν δὲ τῶν σοφῶν καὶ
τὸν πλείω χρόνον τοῦ βίου γήθειν καὶ εὐφραίνεσθαι τοῖς τοῦ κόσμου
θεωρήμασιν ἐβουλήθη.
208 (37.) Τοσαῦτα μὲν περὶ τῆς τοῦ ἀνδρὸς εὐσεβείας, εἰ καὶ πολλῶν
ἄλλων ἐστὶν ἀφθονία, λελέχθω. διερευνητέον δὲ καὶ τὴν πρὸς ἀνθρώπους
αὐτοῦ δεξιότητα· τῆς γὰρ αὐτῆς φύσεώς ἐστιν εὐσεβῆ τε εἶναι καὶ
φιλάνθρωπον, καὶ περὶ τὸν αὐτὸν ἑκάτερον, ὁσιότης μὲν πρὸς θεόν,
δικαιοσύνη δὲ πρὸς ἀνθρώπους, θεωρεῖται. πάντα μὲν οὖν τὰ πεπραγ-
μένα μακρὸν ἂν εἴη διεξιέναι, δυεῖν δὲ ἢ τριῶν οὐκ ἄτοπον ἐπιμνησθῆναι.
209 πολυάργυρος καὶ πολύχρυσος ἐν τοῖς μάλιστα ὢν καὶ θρεμμάτων πολυ-
ζῴους ἔχων ἀγέλας καὶ τῶν ἐγχωρίων καὶ αὐτοχθόνων τοῖς ἱκανὰ
κεκτημένοις ἐν τῷ περιουσιάζειν ἁμιλλώμενος καὶ πλουσιώτερος γεγονὼς
ἢ κατὰ μέτοικον ὑπ' οὐδενὸς ἐμέμφθη τῶν ὑποδεξαμένων, ἀλλ' ὑπὸ
210 πάντων τῶν εἰς πεῖραν ἐλθόντων ἐπαινούμενος διετέλεσεν. εἰ δὲ καί
τις, οἷα φιλεῖ πολλάκις, ἐκ θεραπόντων καὶ τῶν συνδιατριβόντων ἅμιλλα
καὶ διαφορὰ πρὸς ἑτέρους ἐγένετο, ταύτην ἐπειρᾶτο διαλύειν ἡσυχῇ
βαρυτέρῳ ἤθει τὰ φιλόνεικα καὶ ταραχώδη καὶ στασιαστικὰ πάντα
211 προβεβλημένος καὶ τῆς ψυχῆς ἀπεληλακώς. καὶ θαυμαστὸν οὐδέν, εἰ
πρὸς τοὺς ἀλλοτρίους τοιοῦτος ἦν, οἳ βαρυτέρᾳ καὶ δυνατωτέρᾳ χειρὶ
συμφωνήσαντες ἠμύναντο ἂν ἄρχοντα χειρῶν ἀδίκων, ὁπότε καὶ πρὸς

---

2 καταδύσασα F[1] ὃν A γεννητοῦ KAHP 3 σφετερίζηται H[2]: σφετερίζεται ceteri αὐτοῖς C φασὶ A 4 μηδὲν] μὴ Arm εὐλαβηθεὶς A 5 τῶν ἀνθρώπων τὸ γένος BEK: τὸ ἀνθρώπων γένος ceteri ὠδίναις G 5. 6 ἄχεσιν ἀκράτοις coni Mang. 6 ἐμφύρεσθαι coni. Mang. 7 καὶ γαληνιάσαι ποτὲ BEK: ποτὲ καὶ γαληνιάσαι transp. ceteri τὴν alt.] εἰς CFG 8 πλείονα HP γηθεῖν conicio 10 εἰ om. G 11 ἄλλων om. P ἄφθονα G, ἀφθονία om. in lac. C λεγέσθω F 12 βεβαιότητα F αὐτῆς] αὐτοῦ K 13 τῶν αὐτῶν (ῶ ex ὸ corr.) A; τὸ αὐτὸ coni. Mang. (sic Arm) ἑκάτερα P 15 μακρὰν H[1] δυοῖν KHP δ' CFGMA 16 πολύχρυσος καὶ πολυάργυρος transp. HP 17 ἔχων ἀγέλας BEK Arm: ἀγέλας ἔχων ceteri 19 ὑπ' οὐδενὸς CKH[2]: ὑπ' om. ceteri 20 τῶν om. BEFG 23 βαρυτέρῳ] πρᾳοτέρῳ coni. Mang. (πρᾳότητι τὰ βαρύτερα Arm) πάντ' C 24 ἀποβεβλημένος C, ἀποπροβεβλημένος H[1]P (προ eras. H[2]), προαποβεβλημένος BEK εἰ] ἢ A 25 οἳ] ἢ A 26 ἀνάρχοντα MA

τοὺς γένει μὲν οἰκείους, γνώμῃ δ' ἠλλοτριωμένους, ἐρήμους καὶ μόνους
καὶ πολλῷ καταδεέστερα κεκτημένους ἐμετρίαζεν, ἐλαττούμενος ἑκὼν ἐν
οἷς πλεονεκτεῖν ἐδύνατο. ἦν γὰρ ἀδελφιδοῦς αὐτῷ, τῆς πατρίδος ὅτε μετα- 212
νίστατο, συνεξεληλυθώς, ἀβέβαιος, ὑπαμφίβολος, ἀντιρρέπων ὧδε κἀκεῖσε,
p. 31 M. τοτὲ μὲν προσσαίνων | φιλικοῖς ἀσπάσμασι, τοτὲ δὲ ἀφηνιάζων καὶ ἀπαυ-
χενίζων διὰ τὴν τῶν τρόπων ἀνωμαλίαν. ὅθεν καὶ τὸ οἰκετικὸν αὐτῷ δύσερι 213
καὶ ταραχῶδες ἦν σωφρονιστὴν οὐκ ἔχον καὶ μάλιστα τὸ ποιμενικὸν
μακρὰν τοῦ δεσπότου διεζευγμένον· ἀπελευθεριάζοντες γοῦν ὑπ' αὐθαδείας
ἀεὶ διεφέροντο τοῖς προεστηκόσι τῶν θρεμμάτων τοῦ σοφοῦ τὰ πολλὰ
εἴκουσι διὰ τὴν τοῦ δεσπότου πραϋπάθειαν· ὑφ' οὗ πρὸς ἀπόνοιαν ἐπιδόντες
καὶ θράσος ἀναίσχυντον ὤργων, μηνιῶντες ἤδη καὶ τὸ ἀκατάλλακτον ἐν αὐ-
τοῖς ζωπυροῦντες, ἕως ἀπηνάγκασαν τοὺς ἀδικουμένους εἰς ἄμυναν ὁρμῆσαι.
μάχης δὲ ἐμβριθεστάτης γενομένης, ἀκούσας ὁ ἀστεῖος τὴν ἀντεφόρμησιν, 214
εἰδὼς ἐπικυδεστέραν οὖσαν τὴν αὑτοῦ μερίδα πλήθει τε καὶ δυνάμει, τὴν
διαφορὰν οὐκ εἴασεν ἄχρι νίκης ἐλθεῖν, ὑπὲρ τοῦ μὴ ἀνιᾶσαι τὸν ἀδελ-
φιδοῦν ἐφ' ἥττῃ τῶν ἰδίων, ἀλλ' ἐν μεθορίῳ στὰς συμβατηρίοις λόγοις τοὺς
διαφερομένους κατήλλαξεν, οὐ πρὸς τὸ παρὸν μόνον ἀλλὰ καὶ τὸν μέλλοντα
χρόνον. εἰδὼς γὰρ ὅτι συνοικοῦντες μὲν καὶ ἐν ταὐτῷ διαιτώμενοι 215
γνωσιμαχοῦντες φιλονεικήσουσι στάσεις ἀεὶ καὶ πολέμους κατ' ἀλλήλων
ἐγείροντες, ἵνα μὴ τοῦτο γένοιτο, συμφέρον ὑπέλαβεν εἶναι παραιτήσασθαι
τὸ ὁμοδίαιτον καὶ τὴν οἴκησιν διαζεῦξαι· καὶ μεταπεμψάμενος τὸν ἀδελ-
φιδοῦν αἵρεσιν αὐτῷ δίδωσι τῆς ἀμείνονος χώρας, ἄσμενος ὁμολογῶν
ἣν ἂν ἐπιλέξηται μερίδα λήψεσθαι· κερδανεῖν γὰρ κέρδος μέγιστον, τὴν

1 ἀλλοτριουμένους BE post ἐρήμους add. δὲ HP(v) 2 πολλῶν KP ἐκμετριάζειν FG 2. 3 ἐν οἷς] ἐνίοις οἷς F, ἐνίοις εἰς G 3 ἠδύνατο E ὅτε BEK Arm: ὁπότε ceteri 4 ἀντιρέπων MG ὧδε BEK: τῇδε ceteri 5 τοτὲ BEK: καὶ τοτὲ ceteri προσαίνων BEK, προσήνων A, πρός τινων FG, προσπίπτων C 6 ἀνομαλίαν CFG (Mang.) αὐτοῦ BE 7 φροντιστὴν CFG 8 ante μακρὰν add. καὶ C ὑπὸ BE 10 εἴκουσι] οἰκοῦσι A πραότητα BEK (fort. recte) ἀφ' οὗ conicio ἐπιδιδόντες CFG(v) 11 ὤργουν G μηνιόντες G 11. 12 αὐτοῖς codd. 12 ἐπηνάγκασαν conicio 13 δ' BEK ἐμβριθεστάτης BEK: ἐμβριθεστέρας ceteri 14 ἐπικυδεστέραν οὖσαν BEK Arm: om. et eorum loco post δυνάμει add. ὑπερέχουσαν ceteri (v) αὑτοῦ H: αὐτοῦ ceteri 15 διαφορὰν] φθορὰν G μὴ om. A 16 ἰδίων] δούλων Arm ἀλλ' ὡς Arm συμβατηρίοις λόγοις BEK Arm: λόγοις συμβατηρίοις ceteri 17. 18 τὸν χρόνον τὸν μέλλοντα H 18 διαιτῶνται F 20 ἵν' οὖν C γένηται BK 21 οἴκησιν] συνοίκησιν Arm; οἰκείωσιν coni. Mang. 22 χώρας] χαρᾶς P 23 τὴν BEK: om. ceteri

3 sqq. Gen. 13,5—11

216 εἰρήνην. καίτοι τίς ἂν ἕτερος ἀσθενεστέρῳ παραχωρήσειεν οὑτινοσοῦν
ἰσχυρότερος ὤν; τίς δὲ νικᾶν δυνάμενος βούλοιτ' ἂν ἡττᾶσθαι, μὴ
συγχρώμενος τῷ δύνασθαι; μόνος δὲ οὗτος τὸ ἄριστον οὐκ ἐν ῥώμῃ
καὶ πλεονεξίᾳ τιθέμενος ἀλλ' ἐν ἀστασιάστῳ βίῳ καὶ τό γε ἐπ' αὐτὸν
ἧκον μέρος ἡσυχάζοντι πάντων ἔδοξεν εἶναι θαυμασιώτατος.
217 (38.) Ἐπειδὴ τοίνυν ὡς ἐπ' ἀνθρώπου ἡ λέξις ἐγκωμιαστικὴ
λέλεκται, μηνύονται δὲ καὶ τρόποι ψυχῆς κατὰ τοὺς ἀπὸ τῶν ῥητῶν
ἐπὶ τὰ νοητὰ μετιόντας, ἁρμόττον ἂν εἴη καὶ τούτους ἀνερευνῆσαι.
218 μυρίοι μὲν οὖν εἰσιν ἀπὸ μυρίων ἀφορμῶν κατὰ παντοδαπὰς ἰδέας πραγ-
μάτων συνιστάμενοι, δύο δ' οἱ νυνὶ μέλλοντες ἐπικρίνεσθαι τρόποι, ὧν
ὁ μὲν πρεσβύτερος, ὁ δὲ νεώτερος, πρεσβύτερος μὲν ὁ τὰ πρῶτα καὶ
ἡγεμονικὰ τῇ φύσει τιμῶν, νεώτερος δὲ ὁ τὰ ὑπήκοα καὶ ἐν ἐσχατιαῖς
219 ἐξεταζόμενα. πρεσβύτερα μὲν οὖν καὶ ἡγεμονικὰ φρόνησις καὶ σωφροσύνη
καὶ δικαιοσύνη καὶ ἀνδρεία καὶ πᾶν ὅ τι περὶ ἀρετὴν | καὶ αἱ κατ' p. 32 M.
ἀρετὴν πράξεις· νεώτερα δὲ πλοῦτος καὶ δόξα καὶ ἀρχὴ καὶ εὐγένεια,
οὐχ ἡ ἀληθής, ἀλλ' ἣν οἱ πολλοὶ νομίζουσι, καὶ ὅσα ἄλλα τὴν τρίτην
μετὰ τὰ ψυχικὰ καὶ σωματικὰ τάξιν εἴληχεν, ἥτις εὐθύς ἐστι καὶ
220 τελευταία. τούτων οὖν τῶν τρόπων ἑκάτερος ἔχει καθάπερ τινὰς
ποίμνας καὶ ἀγέλας, ὁ μὲν τῶν ἐκτὸς ὀρεγόμενος ἄργυρον, χρυσόν, ἐσθῆ-
τας, πάντα ὅσα τοῦ πλουτεῖν ὗλαι καὶ παρασκευαί, καὶ πάλιν ὅπλα, μηχανή-
ματα, τριήρεις, ἱππικὴν καὶ πεζικὴν καὶ ναυτικὴν δύναμιν, τὰς πρὸς ἡγε-
μονίαν ἀφορμάς, ἐξ ὧν περιγίνεται τὸ βεβαίως κρατεῖν, ὁ δὲ καλοκἀγαθίας
ἐραστὴς τὰ καθ' ἑκάστην ἀρετὴν δόγματα καὶ τὰ σοφίας αὐτῆς θεωρή-

---

1 ἂν om. CFG ἀσθενέστερος F 2 ἰσχυρότερος ὢν BEK: ὢν ἰσχυρότερος ceteri δυνάμενος] βουλόμενος BE μὴ om. F, μὴ—δύνασθαι (3) om. BK 3 δ' BEK 4 τό γε ἐπ' αὐτὸν BEK: τὸ ἐφ' αὐτὸν ceteri 4. 5 τὸ—μέρος om. Arm 5 ἡσυχάζοντος FG θαυμασιώτερος C 7 λέγεται in textu, λέλεκται mg. B κατὰ τοὺς om. Arm τοὺς] τὴν K 8 καὶ om. Arm ἐρευνῆσαι BEK 9 μὲν οὖν om. Arm ὑπὸ BEK 10 δ' οἱ νυνὶ BEK Arm: τοίνυν ceteri ἐπικρίνεσθαι μέλλοντες transp. F 11—13 ὁ μὲν πρεσβ.—ἐξεταζόμενα om. Arm 11 alt. μὲν BEK: μέν ἐστιν H(v), μὲν οὖν ἐστιν ceteri 12 ἐσχάτοις C 13 ἐξεταζόμενα] ταττόμενα coni. Mang. coll. § 273 μὲν om. A ἡγεμονικὰ BEK: ἡγεμονικώτερα ceteri 14 ἀνδρία (ει supra) BEG, ἀνδρία A αἱ om. CFG; τὰς coni. Mang. 15 πρᾶξις CFG νεώτερα CGMP: νεώτερον BEK, νεώτερος AFH δόξα καὶ ἀρχὴ BEK Arm: ἀρχὴ καὶ δόξα ceteri 16 καὶ οὐχ AG ἄλλα om. BEK 17 καὶ pr.] τὰ F ἥτις—τελευταία (18) om. Arm εὐθὺς] ὑστέρα coni. Mang. 19 ποιμένας CFGA ἀγέλας] ἀπάτας FG, οἰκέτας in ras. C post ὁ μὲν add. γὰρ BEK ἀργύριον MAFG χρυσίον A 19. 20 ἄργυρον, χρυσόν, ἐσθῆτας, πάντα BEK Arm: ἄργυρον καὶ χρυσὸν καὶ πάντα (om. ἐσθῆτας) ceteri 20 παρασκευασταί A ὅπλα] οἱ τὰ CFGA 21 καὶ ναυτικὴν om. K 23 τὰ pr. om. BE σοφίας BEK: κατὰ σοφίαν ceteri (Arm) αὐτῆς om. Arm

ματα. προστάται δὲ καὶ ἐπιμεληταὶ τούτων ἑκατέρων εἰσί τινες οἷα 221
θρεμμάτων ποιμένες, τῶν μὲν ἐκτὸς οἱ φιλοχρήματοι καὶ φιλόδοξοι καὶ
στρατηγιῶντες καὶ ὅσοι τὴν ἐπὶ τοῖς πλήθεσι δυναστείαν ἀγαπῶσι, τῶν
δὲ περὶ ψυχὴν ὅσοι φιλόκαλοι καὶ φιλάρετοι, μὴ τὰ νόθα πρὸ τῶν
γνησίων ἀλλὰ τὰ γνήσια πρὸ τῶν νόθων ἀγαθὰ αἱρούμενοι. γίνεται 222
οὖν φυσική τις αὐτοῖς ἡ διαμάχη μηδὲν ἐγνωκόσι τῶν αὐτῶν, ἀλλ' ἀπᾴ-
δουσι καὶ διαφερομένοις ἀεὶ περὶ πράγματος συνεκτικωτάτου τῶν ἐν βίῳ,
τοῦτο δ' ἐστὶν ἡ κρίσις τῶν πρὸς ἀλήθειαν ἀγαθῶν. ἄχρι μὲν οὖν 223
τινος ἐπολεμεῖτο ἡ ψυχὴ καὶ τὴν στάσιν ταύτην ἐχώρει μήπω κεκαθαρ-
μένη παντελῶς, ἀλλ' ἔτι τῶν παθῶν καὶ νοσημάτων παρευημερούντων
τοὺς ὑγιαίνοντας λόγους· ἀφ' οὗ δὲ ἤρξατο δυνατωτέρα γίνεσθαι καὶ
ῥώμῃ κραταιοτέρᾳ τὸν ἐπιτειχισμὸν τῶν ἐναντίων δοξῶν καθαιρεῖν,
πτερυξαμένη καὶ φρονήματος ὑποπλησθεῖσα τὸν τὰς ἐκτὸς ὕλας τεθαυ-
μακότα τρόπον ἐν αὐτῇ διατειχίζει καὶ διαζεύγνυσι καὶ ὡς ἀνθρώπῳ
διαλεγομένη φησίν· ἀμήχανον ὁμοδίαιτον εἶναί σε καὶ ὁμόσπονδον 224
ἐραστῇ σοφίας καὶ ἀρετῆς, ἴθι δὴ καὶ μετοικισάμενος μακρὰν ἀπο-
ζεύχθητι, μηδεμίαν ἔχων κοινωνίαν, ἀλλὰ μηδὲ σχεῖν δυνάμενος· ὅσα
γὰρ ὑπολαμβάνεις εἶναι δεξιά, ταῦτ' οἴεται ἐκεῖνος εὐώνυμα, καὶ ὅσα
τοὐναντίον σκαιά, ταῦτα παρ' ἐκείνῳ νενόμισται δεξιά.
(39.) Οὐ τοίνυν εἰρηνικὸς καὶ φιλοδίκαιος αὐτὸ μόνον ἦν ὁ ἀστεῖος, 225
ἀλλὰ καὶ ἀνδρεῖος καὶ πολεμικός· οὐχ ἕνεκα τοῦ πολεμεῖν — οὐ γὰρ
δύσερις ἦν καὶ φιλόνεικος —, ἀλλ' ὑπὲρ βεβαίου τῆς πρὸς τὸ μέλλον εἰρήνης,
p. 33 M. ἣν οἱ ἀντίπαλοι καθῄρουν. | σαφεστάτη δὲ πίστις τὰ πραχθέντα. τὴν 226

1 προστάται δὲ καὶ ἐπιμεληταὶ om. BEK (fort. recte) 3 ἀγαπῶντες FH 5 ἀλλὰ—νόθων om. F 6 γοῦν BEK αὐτοῖς om. BE ἡ διαμάχη] ἰδία μάχη A μὴ διεγνωκόσι $H^2$ (Turn.) τὰ αὐτῶν $H^2$ (τὰ αὐτῶν Turn.) 6. 7 ἀλλ' ἀπᾴδουσι] ἀλλὰ σπουδάζουσι CFGA 7 διαφθειρομένοις $F^1$ ἀεὶ] αὐτοῖς BE περὶ] διὰ CFG 8 τοῦτο δ' ἐστὶν om. FG τοῦτο—κρίσις] ὃ κρίσις ἐστὶν C ἡ om. F 9 σύστασιν HP 11 post λόγους add. ἐταράττετο CFGA δ' BEK 12 ῥώμῃ] γνώμη BEK καθαίρειν MAFG
ας
13 ὕλης K 14 αὐτῇ codd. διαζεύγνυσι BEK: διαζευγνύει ceteri
η
15 φασίν A σε] τε G 16 ἐραστῇ $BEH^2$ Arm: ἐραστὴν K, ἐραστὴν $F^2$, ἐραστὴς $F^1G$, ἐρᾷς τῆς $CMAH^1P$ δὴ] δὲ $F^1G$ μετοικησάμενος P 18 ὑπολαμβάνῃς C ταῦτ'—δεξιά (19) om. F ταῦτα HP οἴετ' C, οἴεται om. in lac. A, ἐκεῖνος οἴεται transp. P 19 σκαιά BEK: ἀριστερά ceteri ἐκείνων A 20 αὐτῷ $H^2$ (Turn.), ἑαυτῷ BE ὁ om. F 21 ante πολεμικὸς add. ἐνταῦθα ἦν BE, οὗπερ ἐχρῆν Arm ἕνεκεν BE 22 ἣν Mang: ὧν HP, om. ceteri

πρὸς ἀνατολὰς μοῖραν τῆς οἰκουμένης τέτταρες μεγάλοι βασιλεῖς εἰλήχεσαν, οἷς ὑπήκουεν ἔθνη τὰ ἑῷα, τά τε ἐκτὸς καὶ ἐντὸς Εὐφράτου. τὰ μὲν οὖν ἄλλα διέμενεν ἀστασίαστα πειθαρχοῦντα τοῖς τῶν βασιλέων ἐπιτάγμασι καὶ τοὺς ἐτησίους δασμοὺς ἀπροφασίστως εἰσφέροντα· μόνη δὲ ἡ Σοδομιτῶν χώρα, πρὶν καταφλεχθῆναι, παραλύειν ἤρξατο τὴν
227 εἰρήνην ἀπόστασιν ἐκ πολλοῦ διανοουμένη. πάνυ γὰρ οὔσης εὐδαίμονος πέντε βασιλεῖς ἐπεκράτουν τάς τε πόλεις καὶ τὴν γῆν δασάμενοι πολλὴν μὲν οὐκ οὖσαν, εὔσταχυν δὲ καὶ εὔδενδρον καὶ καρπῶν περίπλεων· ὃ γὰρ ταῖς ἄλλαις τὸ μέγεθος, τοῦθ' ἡ ἀρετὴ Σοδόμοις παρέσχεν, ὅθεν καὶ
228 πλείους ἐραστὰς ἔσχεν ἡγεμόνας τὸ κάλλος αὐτῆς καταπλαγέντας. οὗτοι τὸν ἄλλον χρόνον τοὺς ἐπιταχθέντας φόρους ἀπεδίδοσαν τοῖς ἐκλογεῦσι τῶν χρημάτων, τοὺς δυνατωτέρους ὧν ἦσαν ὕπαρχοι τιμῶντες ἅμα καὶ δεδιότες· ἐπεὶ δὲ ἐκορέσθησαν ἀγαθῶν καί, ὅπερ φιλεῖ, κόρος ὕβριν ἐγέννησε, πλέον τῆς δυνάμεως φρονήσαντες ἀπαυχενίζουσι τὸ πρῶτον, εἶθ' οἷα κακοὶ δοῦλοι δεσπόταις τοῖς ἑαυτῶν ἐπιτίθενται στάσει πιστεύσαντες
229 ἢ ῥώμῃ. οἱ δὲ τῆς ἑαυτῶν εὐγενείας ὑπομνησθέντες καὶ φραξάμενοι δυνατωτέρᾳ χειρὶ μάλα καταφρονητικῶς ᾔεσαν ὡς αὐτοβοεὶ περιεσόμενοι καὶ συμπλακέντες τοὺς μὲν εὐθὺς εἰς φυγὴν ἀνεσκέδασαν, τοὺς δὲ ἐπιστροφάδην κτείνοντες ἡβηδὸν διαφθείρουσιν, αἰχμαλώτων δὲ πολὺν ὄχλον ἀγαγόντες μετὰ τῆς ἄλλης λείας διενέμοντο· προσαπάγουσι μέντοι καὶ τοῦ σοφοῦ τὸν ἀδελφιδοῦν εἰς μίαν τῆς πενταπόλεως οὐκ ἐκ πολλοῦ
230 μετῳκηκότα. (40.) τοῦτο μηνυθὲν ὑπό τινος τῶν ἐκ τῆς τροπῆς διασωθέντων χαλεπῶς αὐτὸν ἠνίασε καὶ οὐκέτ' ἠρέμει διὰ τοῦτο συγκεχυ-

1 ἀνατολὰς CABE: ἀνατολαῖς ceteri τέσσαρες BEK 2 τὰ ἑῷα BEK: τά τε ἑῷα ceteri τ' K ἐντὸς καὶ ἐκτὸς transp. FGH 4 ἐκφέροντα F 5 δ' BEK παραλύειν] παρέλκειν CFG 8 ἔνδενδρον HP καὶ καρπῶν CFBEK Arm: καὶ om. ceteri περίπλεων C²EK: περίπλεῳ ceteri 9 παρέσχεν BEK: παρεῖχεν ceteri 10 ἔσχεν BEK: εἶχεν ceteri ἔσχεν ἐράστὰς transp. K 11 τῶν ἄλλων χρόνων ABE 12 ὕπαρχοι τιμῶντες] ὑπερτιμῶντες BE 13 δ' BEK 14 ἐγέννησαν CFG πλέον BEK: πλείω ceteri 15 τοῖς om. CFG, τοῖς ἑαυτῶν om. Arm 16 οἱ δὲ] οἱ δ' ἐναντίοι BEK αὐτῶν CFGMA 17 ἐπῄεσαν Arm αὐτοβοῖ E 18 εἰς σφαγὴν P ἐσκέδασαν F δ' BEK 19 κτείνοντες BEK: κτείναντες ceteri αἰχμαλώτων BEK: αἰχμάλωτον ceteri 20 ἀγαγόντες BEK: ἀναγαγόντες ceteri; ἀπαγαγόντες coni. Mang. διανέμονται F, δι' ἧς ἐνέμοντο BE προσάγουσι BE 21 τὸν ἀδελφιδοῦν τοῦ σοφοῦ transp. BEK τῆς πόλεως F 22 τῶν om. Arm τῆς om. CFG ῥοπῆς A 23 διασωθέντος CGMA Arm, διασωθέντος (superscr. των) H οὐκέτι HP οὐκ ἐνηρέμει CG, οὐκ ἠρέμει F διὰ τοῦτο om. Arm 23. 51,1 συγκεχυμένως A

1 sqq. Gen. cap. 14

μένος καὶ ζῶντα πενθῶν τὸ ἀργαλεώτερον ἢ εἰ τεθνεῶτα ἐπύθετο·
τέλος μὲν γάρ, ὡς αὐτό που δηλοῖ τοὔνομα, τῶν κατὰ τὸν βίον ἁπάντων
καὶ μάλιστα κακῶν ᾔδει τὴν τελευτήν, μυρία δὲ τῶν ἀβουλήτων ἐφε-
δρεύοντα τοῖς ζῶσι. διώκειν δ' εὐτρεπιζόμενος ἐπὶ τῷ ῥύσασθαι τὸν 231
ἀδελφιδοῦν ἠπόρει συμμάχων, ἅτε ξένος ὢν καὶ μέτοικος καὶ μηδενὸς
τολμῶντος ἀμάχοις δυνάμεσι τοσούτων βασιλέων καὶ ἄρτι νενικηκότων
ἐναντιοῦσθαι. καινοτάτην δ' ἐξεῦρε συμμαχίαν — πόρος γὰρ ἐν ἀπόροις, 232
ὅταν δικαίων καὶ φιλανθρώπων ἔργων ἐφιῆταί τις, εὑρίσκεται —·
συναγαγὼν γὰρ τοὺς οἰκέτας καὶ τοῖς ἀργυρωνήτοις προστάξας οἴκοι
καταμένειν — ἔδεισε γὰρ ἐξ αὐτῶν αὐτομολίαν — τοὺς οἰκότριβας κατα-
λέγει καὶ διανείμας εἰς ἑκατονταρχίας τρισὶν ἐπῄει τάξεσιν, οὐ ταύταις
πεποιθώς — πολλοστὴ γὰρ ἦν μοῖρα τῶν παρὰ τοῖς βασιλεῦσιν —, ἀλλὰ
p. 34 M. τῷ ὑπερμάχῳ καὶ προαγωνιστῇ τοῦ | δικαίου θεῷ. συντείνων οὖν 233
ἔσπευδε μηδὲν τάχους ἀνιείς, ἕως καιροφυλακήσας νυκτὸς ἐπιπίπτει
τοῖς πολεμίοις δεδειπνοποιημένοις ἤδη καὶ πρὸς ὕπνον μέλλουσι τρέπεσθαι·
καὶ τοὺς μὲν ἐν εὐναῖς ἱέρευε, τοὺς δ' ἀντιταχθέντας ἄρδην ἀνῄρει,
πάντων δ' ἐρρωμένως ἐπεκράτει τῷ θαρραλέῳ τῆς ψυχῆς μᾶλλον ἢ
ταῖς παρασκευαῖς. καὶ οὐ πρότερον ἀνῆκεν, ἕως τὴν μὲν ἀντίπαλον 234
στρατιὰν βασιλεῦσιν αὐτοῖς ἡβηδὸν ἀνελὼν πρὸ τοῦ στρατοπέδου κατε-
στόρεσε, τὸν δὲ ἀδελφιδοῦν ἀνήγαγε μετὰ λαμπρᾶς καὶ ἐπιφανεστάτης
νίκης ἅπασαν τὴν ἵππον καὶ τὴν τῶν ἄλλων πληθὺν ὑποζυγίων καὶ
λείαν ἀφθονωτάτην προσπαραλαβών. ὃν θεασάμενος ὁ μέγας ἱερεὺς τοῦ 235

1 τὸ] τὸν P; τὸ om. Arm  ἀργαλεώτατον BEKHP  εἰ om. A  4 τῶ CKHP: τὸ ceteri  5 post ἠπόρει add. τε BEK  7 ἐν ἀπόροις BEK Arm: καὶ ἐν ἀπόροις ceteri  8 ἐφίεται FGHP, ἐφί$^{η}$εται K, ἐφίηται ceteri  9 ξυναγαγὼν K  11 διανείμας ἑκατοντάρχας (om. εἰς) P  τρισὶν ἐπιτάξεσιν BE  13 τῶν δικαίων Arm  14 ἐπέσπευδε CGMA  τάχος A  καιροφυλακήσεως (sic) K  15 δεδειπνοποιημένοις BE: δεδειπνημένοις ceteri  μέλλουσι τρέπεσθαι] τετραμμένοις Arm  16 ἱερεύεται BEK  17 τῷ om. G  19 πρὸ om. M  20 δ' BE  ἀνήγαγε BEK Arm: ἀνῆγε ceteri  21 ἵππων K, ἱππικὴν BE  22 παραλαβὼν HP  ἱερεὺς BEK Arm: ἀρχιερεὺς ceteri

13 sqq. *cf. Ioseph. Ant. Iud. I 176* Ἀβράμῳ δὲ ἀκούσαντι τὴν συμφορὰν αὐτῶν φόβος τε ἅμα περὶ Λώτου τοῦ συγγενοῦς εἰσῆλθε καὶ οἶκτος περὶ τῶν Σοδομιτῶν φίλων ὄντων καὶ γειτνιώντων. (177) καὶ βοηθεῖν αὐτοῖς δοκιμάσας οὐκ ἀνέμεινεν, ἀλλ' ἐπειχθεὶς καὶ κατὰ πέμπτην ἐπιπεσὼν νύκτα ... καὶ φθάσας, πρὶν ἐν ὅπλοις γενέσθαι, τοὺς μὲν ἐν ταῖς κοίταις ὄντας ἀπέκτεινε μηδ' ἐπίνοιαν τῆς συμφορᾶς ἔχοντας, οἱ δὲ μήπω πρὸς ὕπνον τετραμμένοι μάχεσθαι δ' ὑπὸ μέθης ἀδύνατοι ἔφυγον. Ἄβραμος δὲ διώκων εἵπετο ... ἐπιδείξας ὅτι τὸ νικᾶν οὐκ ἐν τῷ πλήθει καὶ τῇ πολυχειρίᾳ κεῖσθαι συμβέβηκεν, ἀλλὰ προθυμία τῶν μαχομένων καὶ τὸ γενναῖον κρατεῖ παντὸς ἀριθμοῦ ...

μεγίστου θεοῦ ἐπανιόντα καὶ τροπαιοφοροῦντα σῷον μετὰ σῴου τῆς ἰδίας δυνάμεως — οὐδένα γὰρ τῶν συνόντων ἀπέβαλε —, καταπλαγεὶς τὸ μέγεθος τῆς πράξεως καὶ ὅπερ εἰκὸς ἐννοηθείς, ὡς οὐκ ἄνευ θείας ἐπιφροσύνης καὶ συμμαχίας κατωρθώθη, τὰς χεῖρας ἀνατείνας εἰς τὸν οὐρανὸν εὐχαῖς αὐτὸν γεραίρει καὶ ἐπινίκια ἔθυε καὶ πάντας τοὺς συναραμένους τῷ ἀγῶνι λαμπρῶς εἱστία, γεγηθὼς καὶ συνηδόμενος ὡς ἐπ' οἰκείῳ κατορθώματι· καὶ ἦν τῷ ὄντι οἰκεῖον αὐτῷ· „κοινὰ“ γὰρ κατὰ τὴν παροιμίαν „τὰ φίλων“, πολὺ δὲ πλέον τὰ τῶν ἀγαθῶν, οἷς ἓν τέλος εὐαρεστεῖν θεῷ.

236 (41.) Ταῦτα μὲν οὖν αἱ ῥηταὶ γραφαὶ περιέχουσιν. ἀσώματα δὲ ὅσοι καὶ γυμνὰ θεωρεῖν τὰ πράγματα δύνανται, οἱ ψυχῇ μᾶλλον ἢ σώματι ζῶντες, φήσουσι τῶν ἐννέα βασιλέων τοὺς μὲν τέτταρας εἶναι τὰς ἐν ἡμῖν τῶν τεττάρων παθῶν δυνάμεις, ἡδονῆς, ἐπιθυμίας, φόβου, λύπης, τοὺς δὲ πέντε τὰς ἰσαρίθμους αἰσθήσεις, ὅρασιν, ἀκοήν, γεῦσιν,
237 ὄσφρησιν, ἁφήν. τρόπον γάρ τινα βασιλεύουσι καὶ ἄρχουσιν ἡμῶν ἀνημμέναι τὸ κράτος, ἀλλ' οὐχ ὁμοίως· ὑπήκοοι γὰρ αἱ πέντε τῶν τεττάρων εἰσὶ καὶ φόρους αὐταῖς καὶ δασμοὺς ἀναγκαίους φέρουσιν ὑπὸ
238 φύσεως ὁρισθέντας. ἐξ ὧν γὰρ ἂν ἴδωμεν ἢ ἀκούσωμεν ἢ ὀσφρανθῶμεν ἢ γευσώμεθα ἢ ἁψώμεθα, λῦπαι καὶ ἡδοναὶ καὶ φόβοι καὶ ἐπιθυμίαι συνίστανται, μηδενὸς τῶν παθῶν καθ' αὑτὸ σθένοντος, εἰ μὴ ἐχορηγεῖτο
239 ταῖς διὰ τῶν αἰσθήσεων παρασκευαῖς. αὗται γὰρ ἐκείνων δυνάμεις εἰσίν, ἢ διὰ χρωμάτων καὶ σχημάτων ἢ διὰ φωνῆς τῆς ἐν τῷ λέγειν ἢ ἀκούειν ἢ διὰ χυλῶν ἢ δι' ἀτμῶν ἢ τῶν ἐν ἁπτοῖς, ἃ μαλακὰ καὶ σκληρὰ ἢ τραχέα | καὶ λεῖα ἢ θερμὰ καὶ ψυχρά· ταῦτα γὰρ πάντα p. 35 M.

1 σῴου] σώας H 4 κατορθώθη FH[1], κατορθωθείη BEK τὸν BEK: om. ceteri 5 ἐπινίκια BEK: τὰ ἐπινίκια ceteri 6 εἱστία] εἴη F συνηδόμενος] γηθόμενος F ὡς om. F ἐπὶ K, ἐπὶ τῷ F 7 οἰκειοτάτῳ BEK ante κοινὰ add. postea εἰ B 8 τὰ pr. om. F[1]HP τῶν φίλων AFHP δὲ om. BEK πλέονα C, πλείονα FG ἓν τέλος Mang.: ἐντελὲς codd., ἐπιμελὲς Arm 10 δ' BEK 11 θεωρεῖν τὰ πράγματα BEK: τὰ πράγματα θεωρεῖν transp. ceteri οἱ om. Arm 12 σώματι ζῶντες] ὄμμασιν ὁρῶντες coni. Mang. τοὺς μὲν om. BEK τέσσαρας AFGHP 13 τεσσάρων G, τεττάρων om. BEK 14 τοὺς] τὰς BEK 14. 15 γεῦσιν, ὄσφρησιν BEK Arm: ὄσφρησιν, γεῦσιν ceteri 15 ἁφήν BEK: καὶ ἁφὴν ceteri ἡμῖν BE 17 τεσσάρων BEK αὐταῖς] αὖθις CFG ἀναγκαίους MAF Arm: ἀναγκαίως CGHP, om. BEK 18 ὁρισθέντας om. BEK 19 ἢ ἁψώμεθα ἢ γευσώμεθα transp. H 20 συγγίνονται K 21 δι' αὐτῶν A 23 χυλῶν] χυμῶν Mang. δι' ἀτμῶν BEK Arm: δι' om. ceteri ἢ τῶν BEK: ἢ om. ceteri τῶν om. F τῶν ἐν ἁπτοῖς om. Arm ἁπλοῖς BEK ἃ] διὰ Arm 24 λεῖα ἢ] ἀειδῆ BE ταῦτα γὰρ πάντα BEK: πάντα γὰρ ταῦτα transp. ceteri

διὰ τῶν αἰσθήσεων ἑκάστῳ τῶν παθῶν χορηγεῖται. καὶ μέχρι μὲν οἱ 240 λεχθέντες ἀποδίδονται φόροι, μένει τοῖς βασιλεῦσιν ἡ ὁμαιχμία, ὅταν δὲ μηκέθ' ὁμοίως συντελῶνται, στάσεις εὐθὺς καὶ πόλεμοι συνίστανται· τοῦτο δὲ συμβαίνειν ἔοικεν, ὅταν ἀφικνῆται τὸ ἐπώδυνον γῆρας, ἐν ᾧ τῶν μὲν παθῶν ἀσθενέστερον οὐδὲν γίνεται, τάχα δὲ καὶ τῆς παλαιᾶς δυνάμεως κραταιότερον, ἀμυδραὶ δὲ ὄψεις καὶ ὦτα δυσήκοα καὶ ἑκάστη τῶν ἄλλων αἰσθήσεων ἀμβλυτέρα, μηκέθ' ὁμοίως ἕκαστα ἀκριβοῦν καὶ δικάζειν δυναμένη μηδ' ἴσα τῷ πλήθει ὑποτελεῖν· εἰκότως οὖν ἐξασθενήσασαι πάντα τρόπον καὶ κλιθεῖσαι δι' αὐτῶν ὑπὸ τῶν ἀντιπάλων παθῶν ῥᾳδίως ἀνατρέπονται. φυσικώτατα δὲ ἐκεῖνο εἴρηται, ὅτι τῶν 241 πέντε βασιλέων δύο μὲν εἰς φρέατα ἐμπίπτουσι, τρεῖς δὲ πρὸς φυγὴν ὥρμησαν (Gen. 14, 10)· ἁφὴ μὲν γὰρ καὶ γεῦσις ἄχρι τῶν τοῦ σώματος βαθυτάτων ἀφικνοῦνται σπλάγχνοις παραπέμπουσαι τὰ οἰκεῖα πρὸς διοίκησιν, ὀφθαλμοὶ δὲ καὶ ὦτα καὶ ὄσφρησις ἔξω τὰ πολλὰ βαίνουσαι ἀποδιδράσκουσι τὴν δουλείαν τοῦ σώματος. οἷς ἅπασιν ἐφεδρεύων ὁ 242 ἀστεῖος, ἐπειδὴ κατεῖδε τὰ σύμμαχα καὶ φίλα πρὸ μικροῦ νοσοῦντα καὶ πόλεμον ἀντ' εἰρήνης ταῖς ἐννέα βασιλείαις γενόμενον, πρὸς τὰς πέντε τῶν τεττάρων περὶ κράτους ἀρχῆς ἁμιλλωμένων, ἐξαπιναίως καιροφυλακήσας ἐπιτίθεται, φιλοτιμούμενος δημοκρατίαν, τὴν ἀρίστην τῶν πολιτειῶν, ἀντὶ τυραννίδων καὶ δυναστειῶν ἐν τῇ ψυχῇ καταστήσασθαι καὶ τὸ ἔννομον καὶ τὸ δίκαιον ἀντὶ παρανομίας καὶ ἀδικίας, αἳ τέως ἐπεκράτουν. ἔστι δ' οὐ πλάσμα μύθου τὸ λεχθέν, ἀλλὰ πρᾶγμα τῶν ἀψευδεστάτων 243 ἐν ἡμῖν αὐτοῖς θεωρούμενον· πολλάκις μὲν γὰρ ὁμόνοιαν τὴν πρὸς τὰ

---

2 πόροι FG 3 συντελοῦνται H¹P; ἴσα τελῶνται coni. Mang. 4 ἀφίκηται BE γέρας H¹P 6 δὲ BEK: δέ τε HP² (Mang.), τε ceteri 7 ἀμβλυωτέρα MAG ἕκαστα ἀκριβοῦν BEK: ἀκριβοῦν ἕκαστα ceteri 7. 8 καὶ δικάζειν om. Arm 8 δικάζειν BEKP mg. H: εἰκάζειν ceteri μηδ' ἴσα] μηδ' εἰς ἃ CG, μηδεὶς ἃ F τῷ πλήθει] αὐτῶ πλήθη A; τῷ πάθει vel τοῖς πάθεσι coni. Mang. ὑποτελεῖν] ὑπετίθετο CFGA 8. 9 συνεξασθενήσασαι BE Arm, συνεξασθενήσασα K 9 κλιθεῖσα K, κλεισθεῖσαι CFGA αὐτῶν H: αὐτῶν ceteri ὑπὸ BE Arm: καὶ ὑπὸ ceteri 10 ἀνατρέπονται ῥαδίως transp. C, ῥᾳδίως om. Arm φυσικώταται BE (sed ι eras. B) τῶν—τρεῖς (11) om. BE 11 φρέατα KHP: τὰ φρέατα ceteri δὲ] δὴ BE 13 παρεμπεσοῦσαι CFG 14 βαίνουσιν HP, μένουσαι F 15 post ἀποδιδράσκουσι add. δὲ HP 16 τὸν σύμμαχον καὶ φίλον P νοσοῦντα] οὐχ ὁμονοοῦντα coni. Mang. 17 ἀντ' BEK: ἀντὶ ceteri 18 τεσσάρων BEK 19 φιλοτιμούμενος om. F τὴν—δυναστειῶν (20) om. BE 20 ἐν τῇ ψυχῇ post φιλοτιμούμενος (19) transp. K καταστήσασθαι post πολιτειῶν (19) transp. K 21 εὔνομον BE καὶ pr. om. G τὸ om. BK αἳ τέως ἐπεκράτουν] ὡς ἐπικρατοῦν FG, ἐπικρατοῦν C 22 πραγμάτων ἀψευδέστατον BE Arm 23 τὴν om. CA

πάθη διατηροῦσιν αἱ αἰσθήσεις χορηγοῦσαι τὰ αἰσθητὰ αὐτοῖς, πολλάκις
δὲ καὶ στασιάζουσι μηκέτ' ἀξιοῦσαι τὰ ἴσα τελεῖν ἢ μὴ δυνάμεναι διὰ
τὸ παρεῖναι τὸν σωφρονιστὴν λόγον· ὃς ἐπειδὰν ἀναλάβῃ τὴν αὑτοῦ
πανοπλίαν, τὰς ἀρετὰς καὶ τὰ τούτων δόγματα καὶ θεωρήματα, δύναμιν
ἀνανταγώνιστον, ἐρρωμενέστατα κρατεῖ· φθαρτὰ γὰρ ἀφθάρτῳ συνοικεῖν
244 οὐ θέμις. αἱ μὲν οὖν ἐννέα δυναστεῖαι τεττάρων παθῶν καὶ πέντε
αἰσθήσεων φθαρταί τε καὶ φθορᾶς αἴτιαι, ὁ δ' ὁρμητηρίῳ χρώμενος
ταῖς ἀρεταῖς λόγος ἱερὸς καὶ θεῖος ὄντως, ἐν ἀριθμῷ ταττόμενος δεκάδι
τῇ παντελείᾳ, πρὸς ἅμιλλαν ἐλθών, ἐρρωμενεστέρᾳ δυνάμει τῇ κατὰ θεὸν
χρώμενος ἀνὰ κράτος νικᾷ τὰς εἰρημένας δυναστείας.
245 (42.) | Χρόνῳ δ' ὕστερον αὐτῷ τελευτᾷ ἡ γυνὴ θυμηρεστάτη καὶ p. 36 M.
τὰ πάντα ἀρίστη, μυρία δείγματα τῆς φιλανδρίας ἐνεγκαμένη, τὴν σὺν
αὐτῷ τῶν συγγενῶν ἀπόλειψιν, τὴν ἐκ τῆς οἰκείας ἀνενδοίαστον μετά-
στασιν, τὰς ἐπὶ τῆς ἀλλοδαπῆς συνεχεῖς καὶ ἐπαλλήλους πλάνας, τὰς
246 κατὰ λιμὸν ἐνδείας, τὰς ἐν πολέμοις συστρατείας. ἀεὶ γὰρ καὶ πανταχοῦ
παρῆν οὐδένα τόπον ἢ καιρὸν ἀπολείπουσα, κοινωνὸς ὄντως βίου καὶ
τῶν κατὰ τὸν βίον πραγμάτων, ἐξ ἴσου δικαιοῦσα μετέχειν ἀγαθῶν
ὁμοῦ καὶ κακῶν· οὐ γὰρ ὥσπερ ἔνιαι τὰς μὲν κακοπραγίας ἀπεδίδρασκε,
ταῖς δ' εὐτυχίαις ἐφήδρευεν, ἀλλὰ τὸν ἐν ἀμφοτέραις κλῆρον ὡς ἐπι-
βάλλοντα καὶ ἁρμόττοντα γαμετῇ μετὰ προθυμίας πάσης ἀνεδέχετο.
247 (43.) πολλὰ δὲ ἔχων ἐγκώμια τῆς ἀνθρώπου διεξιέναι, ἑνὸς ὑπομνησθήσο-
μαι, ὃ γενήσεται καὶ τῶν ἄλλων σαφεστάτη πίστις. ἄγονος γὰρ οὖσα

---

2 μηκέτ' K: μηκέτι ceteri μὴ καταξιοῦσαι BE τὰ ἴσα om. BEK τελεῖα C 3 σοφιστὴν C ὃς om. BE αὑτοῦ H²: om. F, αὐτοῦ ceteri 4 ante τὰς add. καὶ CFGM καὶ τὰ om. CFG 5 ἀνταγώνιστον P 6 τεσσάρων BEK 7 φθορᾶς BEK: διαφθορᾶς ceteri αἰτίαι E 8 ἱερὸς λόγος transp. HP Arm 9 ἐρρωμενέστατα CFG 11 δὲ BEK αὐτῷ om. BE, τελευτᾷ αὐτοῦ K Arm 12 τὰ πάντα BEK: πάντα ceteri φιλανδρείας HP 13 αὐτῷ] ἀνδρὶ Arm ἀπόληψιν A οἰκείας C: οἰκίας ceteri 13. 14 μετανάστασιν coni. Mang. 14 πλάνους P 15 ἐν ἐνδείᾳ BE τὰς—συστρατείας om. Arm πολέμῳ K συστρατιάς BE, στρατείας P πανταχῇ P 16 καιρὸν CBEK Arm: κλῆρον ceteri (v) ἀπολείπουσα CBEK: ἀπολιποῦσα ceteri ante βίου add. καὶ BEK 18 καὶ om. C ὡς BE τὰς—ἀπεδίδρασκε om. CFG 19 δ' om. CFG εὐωχίαις BE ἐφίδρυεν BE, εὐήδρευεν P τὸν] τῶν A ἀμφοτέροις BEK 20 τῆς πάσης BE 21 δ' K 21. 22 ὑπομνησθήσομαι BEK: ἐπιμνησθήσομαι ceteri 22 καὶ BEK Arm: om. ceteri

---

22 sqq. Gen. cap. 16

καὶ στεῖρα, δείσασα μὴ κατὰ τὸ παντελὲς ἔρημος γενεᾶς ὁ θεοφιλὴς οἶκος
ἀπολειφθῇ, προσελθοῦσα τῷ ἀνδρί φησι τάδε· „πολὺν μὲν ἤδη χρόνον 248
συμβιοῦμεν ἀλλήλοις εὐαρεστοῦντες, οὗ δὲ χάριν καὶ αὐτοὶ συνεληλύθαμεν
καὶ ἡ φύσις τὴν ἀνδρὸς καὶ γυναικὸς ἡρμόσατο κοινωνίαν, τέκνων γένεσις
οὐκ ἔστιν, ἀλλ' οὐδ' εἰσαῦθις ἐξ ἐμοῦ γε ὑπερήλικος ἤδη γεγονυίας
ἐλπίζεται. μὴ δὴ παραπόλαυε τῆς ἐμῆς ἀγονίας μηδ' ἕνεκα τῆς πρὸς 249
ἐμὲ εὐνοίας αὐτὸς δυνάμενος εἶναι πατὴρ κεκώλυσο· ζηλοτυπία γὰρ
οὐκ ἂν γένοιτό μοι πρὸς ἑτέραν, ἣν οὐ δι' ἐπιθυμίαν ἄλογον ἄξῃ, νόμον
δὲ φύσεως ἐκπιμπλὰς ἀναγκαῖον. οὗ χάριν οὐχ ὑπερθήσομαι νυμφοστο- 250
λεῖν ὡς τὸ ἐνδέον ἐμοὶ μέλλουσαν ἐκπληροῦν· καὶ εἴ γε ἀπαντήσειαν
αἱ περὶ σπορᾶς τέκνων εὐχαί, σὰ μὲν ἔσται τὰ γεννώμενα γνήσια, θέσει
δὲ πάντως ἐμά. πρὸς δὲ τὸ ἀνύποπτον τῆς ζηλοτυπίας ἐμήν, εἰ βούλει, 251
θεράπαιναν ἀγαγοῦ, τὸ μὲν σῶμα δούλην, ἐλευθέραν δὲ καὶ εὐγενῆ τὴν
διάνοιαν, ἧς ἐκ πολλῶν χρόνων πεῖραν ἔλαβον καὶ βάσανον, ἀφ' ἧς
ἡμέρας τὸ πρῶτον εἰς τὴν ἐμὴν οἰκίαν ἤχθη, γένος μὲν Αἰγυπτίαν, τὴν
δὲ προαίρεσιν Ἑβραίαν. ἔστι μὲν ἡμῖν οὐσία πολλὴ καὶ ἄφθονος πλοῦτος, 252
οὐχ ὡς μετοίκοις — ἤδη γὰρ τῶν αὐτοχθόνων τοὺς ἐν εὐτυχίαις λαμ-
πραῖς ὑπερβάλλομεν —, κληρονόμος δ' οὐδεὶς ἀποδέδεικται καὶ διάδοχος,
καίτοι γε εἶναι δυνάμενος, ἂν ταῖς ἐμαῖς παραινέσεσι πεισθῇς.“ ὁ δὲ 253
θαυμάσας τῆς γυναικὸς ἔτι μᾶλλον τὴν ἀεὶ καινουμένην φιλανδρίαν καὶ
νεάζουσαν καὶ τὸ περὶ τοῦ μέλλοντος ἐξεταστικὸν καὶ προμηθὲς ἄγεται
p. 37 M. τὴν ὑπ' αὐτῆς δοκιμασθεῖσαν ἄχρι τοῦ παιδοποιήσασθαι, | ὡς δ' οἱ
σαφέστατα διηγούμενοί φασιν, ἄχρι τοῦ μόνον ἐγκύμονα γενέσθαι· γενο-
μένης δ' οὐκ εἰς μακράν, ἀποσχέσθαι διά τε φυσικὴν ἐγκράτειαν καὶ
τὴν τιμήν, ἣν ἀπένεμε τῇ γαμετῇ. γίνεται μὲν οὖν υἱὸς ἐκ τῆς 254

---

2 ἀπολειφθείη K ἤδη om. K 3 ἀλλήλοις (ἀλλήλους BE) εὐαρεστοῦντες BEK: εὐαρεστοῦντες ἀλλήλοις ceteri 4 τὴν ex τῆς corr. C 5 οὐδ' BEK: οὐδὲ ceteri γε om. A post γε add. καὶ G 6 παραπόλαβε P 8 ἄξῃ] ἕξη F[1], ἕξεις F[2], ἥξη G νόμου F[1]G 9 ἐκπιμπλὰς CFM, ἐκπιπλὰς G: ἐμπιπλὰς ceteri 10 ἐν ἐμοὶ BE Arm ἀπαντηθεῖεν BE 11 γενόμενα BEK 12 τὸ om. BEK βούλῃ E 13 ἀγαγοῦ BE: ἀγάγου ceteri 14 ἐκ πολλῶν χρόνων BEK Arm: πολλῷ χρόνῳ ceteri 15 ἤχθη BEK: εἰσήχθη ceteri γένος BEK: γένει ceteri 17 γὰρ BEK: post γὰρ add. καὶ ceteri 18 δ' CBEK: δὲ ceteri 19 γε BEK: om. ceteri ἂν BEK: ἐὰν ceteri 20 καινουμένην C: κινουμένην ceteri φιλανδρείαν HP 20. 21 καὶ νεάζουσαν om. Arm 21 τὸ om. E ἐξεταστικὸν] εἰκαστικὸν coni. Mang. τε καὶ C 22 παιδοποιήσεσθαι Mang. 23 σαφέστατα BEK: τὰ σαφέστατα ceteri; ἀσφαλέστατα vel ἀληθέστατα coni. Mang. 23. 24 γενομένης δ'] καὶ γενομένης BEK 25 τὴν om. BE ἀπένεμε BEKF: ἀπένειμε ceteri ante γίνεται add. καὶ K

θεραπαινίδος εὐθὺς τότε, γίνεται δὲ καὶ μακροῖς χρόνοις ὕστερον γνήσιος
ἀπεγνωκόσι τὴν ἐξ ἀλλήλων γένεσιν, ἆθλον καλοκἀγαθίας ἐλπίδος πάσης
τελειότερον τοῦ φιλοδώρου θεοῦ παρασχόντος.
255 (44.) Τοσαῦτα μὲν ἀπόχρη δείγματα περὶ τῆς γυναικὸς εἰρῆσθαι,
πλείω δ' ἐστὶν ἐγκώμια τοῦ σοφοῦ, ὧν ὀλίγῳ πρότερον ἔνια διεξῆλθον·
λέξω δὲ καὶ τὸ περὶ τὴν τελευτὴν τῆς γυναικὸς οὐκ ἄξιον ἔργον ἡσυχασθῆ-
256 ναι. τοιαύτην γὰρ ἀποβαλὼν κοινωνὸν τοῦ σύμπαντος βίου, οἵαν ἔδειξεν
ὁ λόγος καὶ μηνύουσιν οἱ χρησμοί, τῆς λύπης ἐπαποδυομένης ἤδη καὶ
κατὰ τῆς ψυχῆς κονιομένης ὥσπερ ἀθλητὴς ἐπεκράτησε ῥώσας καὶ
θαρσύνας εὖ μάλα τὸν ἀντίπαλον φύσει τῶν παθῶν λογισμόν, ᾧ συμ-
βούλῳ παρὰ πάντα τὸν βίον χρώμενος τότε διαφερόντως ἠξίωσε πείθεσθαι
257 τὰ βέλτιστα παραινοῦντι καὶ συμφέροντα. ἦν δὲ ταυτί· μήτε πλέον
τοῦ μετρίου σφαδᾴζειν ὡς ἐπὶ καινοτάτῃ καὶ ἀγενήτῳ συμφορᾷ μήτε
ἀπαθείᾳ καθάπερ μηδενὸς ὀδυνηροῦ συμβεβηκότος χρῆσθαι, τὸ δὲ μέσον
πρὸ τῶν ἄκρων ἑλόμενον μετριοπαθεῖν πειρᾶσθαι, τῇ μὲν φύσει τὸ
οἰκεῖον χρέος ἀπολαβούσῃ μὴ δυσχεραίνοντα, τὸ δὲ συμβεβηκὸς ἡσυχῇ
258 καὶ πρᾴως ἐπελαφρίζοντα. μαρτυρίαι δὲ τούτων ἐν ταῖς ἱεραῖς βίβλοις
κατάκεινται, ἃς οὐ θέμις ψευδομαρτυριῶν ἁλῶναι, μηνύουσαι ὅτι βραχέα
τῷ σώματι ἐπιδακρύσας θᾶττον ἀπανέστη τοῦ νεκροῦ, τὸ πενθεῖν ἐπὶ
πλέον, ὡς ἔοικεν, ἀλλότριον ἡγησάμενος σοφίας, ὑφ' ἧς ἀνεδιδάχθη τὸν
θάνατον νομίζειν μὴ σβέσιν ψυχῆς, ἀλλὰ χωρισμὸν καὶ διάζευξιν ἀπὸ
σώματος, ὅθεν ἦλθεν ἀπιούσης· ἦλθε δέ, ὡς ἐν τῇ κοσμοποιίᾳ
259 δεδήλωται, παρὰ θεοῦ. καθάπερ δὲ οὐδεὶς ἂν ἄχθοιτο τῶν μετρίων
χρέος ἢ παρακαταθήκην ἀποτίνων τῷ προεμένῳ, τὸν αὐτὸν τρόπον

1 θεραπαινίδος BEK: θεραπαίνης ceteri δὲ om. C 2 ἀπογνώσει A 3 τελειότερον om. BE 6 δὲ] δὴ H (v) τὸ] τὰ BEK 8 καὶ alt. om. H¹P 9 κονιομένης MHP: κονιουμένης ceteri ἐπεκράτησεν ἐρρώσας BE 10. 11 συμβόλω G 11 πείθεσθαι om. HP 12 βέλτια (sic) HP ἦν — μετρίου (13) om. in lac. F μήτε] μηδὲν CG πλέον CBEK: πλεῖον MAG, πλείω HP 13 ἀγεννήτω AF, ἀγεν^ν^ήτω K μήτ' BEK 14 ἀπαθῆ F 15 πειρᾶσθαι BEK: πειραθῆναι ceteri τὴν ἐν φύσει F 16 χρέως C, χρέος om. BEK ἀπολαβοῦσαν G δυσχεράναντα BEK 17 πραέως BE μαρτυρία^αι^ K, μαρτύρια CFG 18 κατάκειται CFG, κατάκεινται om. BE μαρτυριῶν BE μηνύουσαι BEK Arm: αἳ μηνύουσιν ceteri 19 τὸ] τοῦ G 21 σβέσιν] σύνεσιν P 22 ὅθεν δ' ἦλθεν BE δ' BEKF 23 δ' BEK, δὲ om. H¹P ἂν ἄχθοιτο BEK Arm: ἀνάσχοιτο ceteri 24 χρέος BEK Arm: ἢ χρέος ceteri ἀποτείνων AP, ἀποτιννύων CFG προεπομένω G

7 sqq. Gen. cap. 23 22 *de opificio mundi § 135*

οὐδὲ τῆς φύσεως ἀπολαμβανούσης τὰ οἰκεῖα χαλεπαίνειν ᾤετο δεῖν, ἀλλὰ τοῖς ἀναγκαίοις ἀσμενίζειν. ὡς δ' ἧκον οἱ ἐν τέλει τῶν κατὰ τὴν χώραν 260 συναλγήσοντες, ἰδόντες οὐδὲν τῶν ἐν ἔθει παρ' αὐτοῖς γινομένων ἐπὶ τοῖς πενθοῦσιν, οὐκ ὀλόφυρσιν, οὐ θρῆνον, οὐ κοπετόν, οὐκ ἀνδρῶν, οὐ γυναικῶν, ἀλλὰ τῆς συμπάσης οἰκίας εὐσταθῆ καὶ νηφάλιον κατήφειαν, ἐθαύμαζον οὐ μετρίως καὶ τὸν ἄλλον βίον προκαταπεπληγμένοι τοῦ ἀνδρός. εἶτ' οὐ στέγοντες ἐν ἑαυτοῖς τὰ τῆς ἀρετῆς αὐτοῦ μεγέθη καὶ κάλλη — 261
p. 38 M. πάντα γὰρ ἦν ἐξαίρετα — προσελθόντες ἐξεφώνησαν | „βασιλεὺς παρὰ θεοῦ εἶ σὺ ἐν ἡμῖν" (Gen. 23, 6), ἀληθέστατα λέγοντες· αἱ μὲν γὰρ ἄλλαι βασιλεῖαι πρὸς ἀνθρώπων καθίστανται, πολέμοις καὶ στρατείαις καὶ κακοῖς ἀμυθήτοις, ἅπερ ἀντεπιφέρουσιν ἀλληλοκτονοῦντες οἱ δυναστειῶν ἐφιέμενοι, πεζὰς καὶ ἱππικὰς καὶ ναυτικὰς δυνάμεις ἐπιτειχίζοντες· τὴν δὲ τοῦ σοφοῦ βασιλείαν ὀρέγει θεός, ἣν παραλαβὼν ὁ σπουδαῖος οὐδενὶ μὲν αἴτιος γίνεται κακοῦ, πᾶσι δὲ τοῖς ὑπηκόοις ἀγαθῶν κτήσεως ὁμοῦ καὶ χρήσεως, εἰρήνην καὶ εὐνομίαν καταγγέλλων.

(45.) Ἔστι δὲ καὶ ἀνάγραπτος ἔπαινος αὐτῷ χρησμοῖς μαρτυρη- 262 θείς, οὓς Μωυσῆς ἐθεσπίσθη, δι' οὗ μηνύεται ὅτι „ἐπίστευσε τῷ θεῷ" (Gen. 15, 6), ὅπερ λεχθῆναι μὲν βραχύτατόν ἐστιν, ἔργῳ δὲ βεβαιωθῆναι μέγιστον. τίνι γὰρ ἄλλῳ πιστευτέον; ἆρά γε ἡγεμονίαις ἢ δόξαις καὶ 263 τιμαῖς ἢ περιουσίᾳ πλούτου καὶ εὐγενείᾳ ἢ ὑγείᾳ καὶ εὐαισθησίᾳ ἢ ῥώμῃ καὶ κάλλει σώματος; ἀλλὰ ἀρχὴ μὲν πᾶσα σφαλερὸν μυρίους ἔχουσα τοὺς λοχῶντας ἐφέδρους· εἰ δέ που καὶ βεβαιωθείη, μετὰ μυρίων ὅσων κακῶν, ἃ δρῶσι καὶ πάσχουσιν οἱ ἐν ταῖς ἡγεμονίαις, βεβαιοῦται. δόξαι 264 δὲ καὶ τιμαὶ κτῆμα σφαλερώτατον, ἐν ἀκρίτοις ἤθεσι καὶ πτηνοῖς λόγοις ἀνεξετάστων ἀνθρώπων σαλεῦον· κἂν εἰ παραμένοι, γνήσιον ἀγαθὸν ἔχειν

2 ἐνασμενίζειν coni. Mang. 3 συναλγήσαντες A 4 πενθοῦσιν] ἀποθανοῦσιν coni. Mang.; πένθεσιν conicio post γυναικῶν add. οὐ τέκνων Arm 5 εὐσταθῆ] εὐσταλῆ B, ἡσυχῇ CFG 6 τὸν ἄλλον βίον BEK Arm: βίον post ἀνδρός transp. ceteri καταπεπληγμένοι P 7 εἶτ'] εἶτε A, ἔτι τε CG, ἔτι F αὐτῆς K μεγέθει καὶ κάλλει A 8 βασιλεῦ G 10 πολεμίοις BEK στρατιαῖς BE 11 ἀπέραντα ἐπιφέρουσιν BE; ἅπαν (pro ἅπερ) HP 14 οὐδενὶ] ἐνὶ FG 15 ὁμοῦ καὶ χρήσεως om. Arm καὶ εὐνομίαν om. P 16 ἀνάγραπτος] ἀνεξάλειπτος Arm αὐτοῦ L (Turn.), ἐπ' αὐτῷ BK 17 οὓς] ὡς BE 18 ὅπερ] ὅθεν CFG 18. 19 μέγιστον βεβαιωθῆναι transp. K 19 γε om. F
ἢ
ἢ] καὶ K, ἢ καὶ F 21 κάλλη F ἀλλὰ BEKA: ἀλλ' MHP, ἅμα CFG μὲν] δὲ F 22 λαχόντας A πως CFG βεβαιωθῇ EK, βεβαιωθεῖεν CFG 23 ἃ] ὧν BE, om. K οἱ] αἱ MA, om. HP βεβαιοῦται BEKA: βεβαιοῦνται ceteri 24 δὲ om. CFG 25 κἂν] καὶ C γνησίως BE ἔχειν] εἶναι Arm

265 οὐ πέφυκε. πλοῦτοι δὲ καὶ εὐγένειαι προσορίζονται μὲν καὶ τοῖς
φαυλοτάτοις· εἰ δὲ καὶ μόνοις σπουδαίοις, ἐγκώμια προγόνων καὶ τύχης
266 ἀλλ' οὐ τῶν ἐχόντων εἰσίν. ἀλλ' οὐδ' ἐπὶ τοῖς περὶ τὸ σῶμα μέγα
φρονεῖν ἄξιον, ἐν οἷς τὰ ἄλογα ζῷα πλεονεκτεῖ· τίς γὰρ ἀνθρώπων
ἰσχυρότερος ἢ ῥωμαλεώτερος ταύρου μὲν ἐν ἡμέροις, ἐν δ' ἀγρίοις
λέοντος; τίς δ' ὀξυωπέστερος ἱέρακος ἢ ἀετοῦ; τίς δὲ περὶ ἀκοὴν
εὐτυχὴς οὕτως, ὡς τῶν ζῴων τὸ νωθέστατον, ὄνος; τίς δὲ περὶ τὰς
ὀσφρήσεις κυνὸς ἀκριβέστερος, ὅν φασιν οἱ κυνηγετικοὶ ῥινηλατοῦντα
τοῖς μακρὰν πτώμασιν εὐσκόπως ἐπιτρέχειν οὐ προϊδόμενον; ὅπερ γὰρ
267 ὄψις ἑτέροις, τοῦτο μυκτῆρες κυσὶ θηρευτικοῖς καὶ ἰχνευτικοῖς. ὑγιεινό-
τατά γε μὴν καὶ ὡς ἔνι μάλιστα ἄνοσα πλεῖστα τῶν ἀλόγων ζῴων
ἐστίν. ἐν δὲ τῷ περὶ κάλλους ἀγῶνι καὶ τῶν ἀψύχων ἔνιά μοι δοκεῖ
νικᾶν δύνασθαι τὰς ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν εὐμορφίας καὶ ὑπερβάλλειν,
ἀγάλματα καὶ ξόανα καὶ ζωγραφήματα καὶ συνόλως ὅσα γραφικῆς ἔργα
καὶ πλαστικῆς ἐν ἑκατέρᾳ τέχνῃ κατορθούμενα, περὶ ἃ σπουδάζουσιν
Ἕλληνες ὁμοῦ καὶ βάρβαροι πρὸς κόσμον τῶν πόλεων ἐν τοῖς ἐπιφανε-
268 στάτοις χωρίοις ἀνατιθέντες. (46.) μόνον οὖν ἀψευδὲς | καὶ βέβαιον p. 39 M.
ἀγαθὸν ἡ πρὸς θεὸν πίστις, παρηγόρημα βίου, πλήρωμα χρηστῶν
ἐλπίδων, ἀφορία μὲν κακῶν, ἀγαθῶν δὲ φορά, κακοδαιμονίας ἀπόγνωσις,
γνῶσις εὐσεβείας, κλῆρος εὐδαιμονίας, ψυχῆς ἐν ἅπασι βελτίωσις ἐπερη-
ρεισμένης καὶ ἐφιδρυμένης τῷ πάντων αἰτίῳ καὶ δυναμένῳ μὲν πάντα,

---

1 πλοῦτος K προσορίζονται scripsi: προσορμίζονται codd., γίνονται Arm
3 οὐδὲ CFG, om. Arm ἐπὶ om. CFG Arm 4 ἐν οἷς] εἶναι A
τὰ ἄλογα BEK: τἄλλα ceteri, τἄλλα ἄλογα Arm πλεονεκτεῖ BEK: πλέον ἔχει
ceteri 5 ἐν δ' ἀγρίοις BEK: ἀγρίοις δὲ (om. ἐν) ceteri 6 δὲ BEK
αἰετοῦ K 7 εὐτυχὴς] εὔστοχος coni. Mang. οὗτος A νοθέστατον EF[1]
8 ὀσφρήσεις] αἰσθήσεις BE ἀκριβέστατος BEK 9 μακροῖς K πτώμασιν]
σώμασιν coni. Mang. εὐκόπως E, εὐκόλως BK προϊδόμενον E: προειδό-
μενον K, ει ex ϊ corr. B, προειδόμενον ceteri 10 μυκτῆραις A θηρευτικοῖς
BEK Arm: κυνηγετικοῖς καὶ θηρευτικοῖς ceteri 11 γε μὴν] γέμειν A, γε om. K
ἄνοσα] ἂν ὅσα A, om. Arm πλεῖστά τε F τῶν om. F ζῴων om. BEK
(fort. recte) 12 ἔνια] ἔνθα F 12. 13 δοκεῖ νικᾶν] δοκεῖν κἂν A, δοκεῖν
ἱκανὰ BE 13 καὶ ὑπερβάλλειν BEK: om. ceteri 14 καὶ ξόανα om. Arm
15 ἐν om. A τέχνῃ om. CFG 16 ὁμοῦ post βάρβαροι transp. K ante
πρὸς add. καὶ K πρὸς κόσμον] προκοσμήματα coni. Mang. τῶν] τὸν K
17 ἀνατίθενται BEK 18 post ἀγαθὸν add. πίστις HP τὸν θεὸν MAHP
19 φορᾶ A κακοδαιμόνων P 20 γνῶσις εὐσεβείας BEKM: εὐσεβείας γνῶσις
HP, γνῶσις om. CFGA Arm κλῆρος: desinit E κλῆρος εὐδαιμονίας BKMA:
κλῆρος, εὐδαιμονία CFG Arm, εὐδαιμονίας κλῆρος HP ψυχῆς om. HP
20. 21 ἐπερηρεισμένη CG 21 καὶ ἐφιδρυμένης BK: om. ceteri τῶν F

βουλομένῳ δὲ τὰ ἄριστα. καθάπερ γὰρ οἱ μὲν δι ὀλισθηρᾶς ὁδοῦ βα- 269
δίζοντες ὑποσκελίζονται καὶ πίπτουσιν, οἱ δὲ διὰ ξηρᾶς καὶ λεωφόρου
ἀπταίστῳ χρῶνται πορείᾳ, οὕτως οἱ διὰ τῶν σωματικῶν μὲν καὶ τῶν
ἐκτὸς τὴν ψυχὴν ἄγοντες οὐδὲν ἀλλ' ἢ πίπτειν αὐτὴν ἐθίζουσιν —
ὀλισθηρὰ γὰρ ταῦτά γε καὶ πάντων ἀβεβαιότατα —, οἱ δὲ διὰ τῶν
κατὰ τὰς ἀρετὰς θεωρημάτων ἐπὶ θεὸν σπεύδοντες ἀσφαλῆ καὶ ἀκρά-
δαντον ὁδὸν εὐθύνουσιν, ὡς ἀψευδέστατα φάναι, ὅτι ὁ μὲν ἐκείνοις
πεπιστευκὼς ἀπιστεῖ θεῷ, ὁ δ' ἀπιστῶν ἐκείνοις πεπίστευκε θεῷ.
ἀλλ' οὐ μόνον τὴν πρὸς τὸ ὂν πίστιν αὐτῷ μαρτυροῦσιν οἱ χρησμοί, 270
τὴν βασιλίδα τῶν ἀρετῶν, ἀλλὰ καὶ πρῶτον αὐτὸν ἀπεφήναντο „πρεσ-
βύτερον" (Gen. 24, 1), τῶν πρὸ αὐτοῦ τριπλάσια καὶ πολλαπλάσια ἔτη
βιωσάντων, ὧν οὐδένα παρειλήφαμεν ἀξιωθέντα ταύτης τῆς προσρήσεως.
καὶ μήποτ' εἰκότως· ὁ γὰρ ἀληθείᾳ πρεσβύτερος οὐκ ἐν μήκει χρόνων 271
ἀλλ' ἐν ἐπαινετῷ καὶ τελείῳ βίῳ θεωρεῖται. τοὺς μὲν οὖν αἰῶνα πολὺν
τρίψαντας ἐν τῇ μετὰ σώματος ζωῇ δίχα καλοκἀγαθίας πολυχρονίους
παῖδας λεκτέον, μαθήματα πολιᾶς ἄξια μηδέποτε παιδευθέντας, τὸν δὲ
φρονήσεως καὶ σοφίας καὶ τῆς πρὸς θεὸν πίστεως ἐρασθέντα λέγοι τις
ἂν ἐνδίκως εἶναι πρεσβύτερον, παρωνυμοῦντα τῷ πρώτῳ. τῷ γὰρ ὄντι 272
πρῶτος ὁ σοφὸς τοῦ ἀνθρώπων γένους, ὡς κυβερνήτης μὲν ἐν νηί, ἄρχων
δ' ἐν πόλει, στρατηγὸς δ' ἐν πολέμῳ, καὶ ψυχὴ μὲν ἐν σώματι, νοῦς δ'

---

1 μὲν om. BK 1. 2 βαδίζοντες ὁδοῦ transp. H 2 τε καὶ B οἱ δὲ— τὴν (4) om. F 3 ἀπταίστωσ (sed σ eras.) C σωματικῶν μὲν BK: μὲν post οἱ transp. ceteri 4 ἄλλ' P 5 ἀβεβαίωτα A 7 ἰθύνουσιν K 9 πίστει A 10 ἀπεφήναντο BK: ἀπέφηναν ceteri 11 τριπλάσια καὶ πολλαπλάσια BK: τριπλασίονα καὶ πολλαπλασίονα (τετραπλασίονα F) ceteri 13 μήποτ' BK: μήποτε ceteri χρόνων BKD$^{V}$: χρόνου ceteri 14 ἐπαίνῳ CFG καὶ τελείῳ BKD Arm: om. ceteri βίου CFG οὖν BKD: om. ceteri 16 πολιᾶς] πολιτείας CFG 17 καὶ τῆς BK Arm: καὶ om. ceteri ἐρασθέντα post σοφίας transp. D λέγει A, φήσει K, λόγοις φήσει B 19 ὁ et τοῦ om. B, τοῦ om. D$^{V}$ 20 δὲ (bis) D ἐν ante σώματι om. CFG

---

13—16 D$^{P}$ fol. 105$^{r}$ D$^{M}$ fol. 105$^{r}$ (Φίλωνος) D$^{V}$ p. 404 Φίλωνος ἐκ τοῦ περὶ βίου σοφοῦ Mel. Aug. fol. 123$^{r}$ Φίλωνος: ὁ ἀληθείᾳ πρεσβύτερος—παιδευθέντας. 13—14 D$^{R}$ fol. 131$^{r}$ (Φίλωνος ἐκ τοῦ βιοσόφου) Flor. Par. Nr. 24 Max. Ecl. cap. 41 Anton. Mel. II 17 Col. 1056 Φίλωνος: ὁ ἀληθείᾳ πρεσβύτερος—θεωρεῖται. 14—16 D$^{P}$ fol. 36$^{v}$ Φίλωνος ἐκ τοῦ περὶ βίου σοφοῦ D$^{R_1}$ l. c. τοῦ αὐτοῦ D$^{R_2}$ fol. 221$^{r}$ D$^{L}$ fol. 104$^{r}$ Φίλωνος (ἐκ τοῦ add. D$^{L}$) περὶ βίου σοφῶν Ant. Mel. II 18 Col. 1057 Φίλωνος: τοὺς αἰῶνα (χρόνον D$^{P}$ D$^{R}$) πολὺν τρίψαντας—παιδευθέντας. 16—18 D$^{R}$ fol. 131$^{r}$ τὸν γὰρ φρονήσεως—ἐνδίκως ὄντα πρεσβύτερον. 18—60,1 D$^{V}$ p. 693 Φίλωνος: τῷ ὄντι—οὐρανῷ.

273 ἐν ψυχῇ, καὶ πάλιν οὐρανὸς μὲν ἐν κόσμῳ, θεὸς δ' ἐν οὐρανῷ. ὅς
τῆς πρὸς αὐτὸν πίστεως ἀγάμενος τὸν ἄνδρα πίστιν ἀντιδίδωσιν αὐτῷ,
τὴν δι' ὅρκου βεβαίωσιν ὧν ὑπέσχετο δωρεῶν, οὐκέτι μόνον ὡς ἀνθρώπῳ
θεός, ἀλλὰ καὶ ὡς φίλος γνωρίμῳ διαλεγόμενος· φησὶ γὰρ „κατ'
ἐμαυτοῦ ὤμοσα“ (Gen. 22, 16), παρ' ᾧ ὁ λόγος ὅρκος ἐστίν, ἕνεκα
τοῦ τὴν διάνοιαν ἀκλινῶς καὶ παγίως ἔτι μᾶλλον ἢ πρότερον ἐρηρεῖ-
274 σθαι. πρεσβύτερος μὲν οὖν καὶ πρῶτος ἔστι τε καὶ λεγέσθω ὁ ἀστεῖος,
νεώτερος δὲ καὶ ἔσχατος πᾶς ἄφρων, τὰ νεωτεροποιὰ καὶ ἐν ἐσχατιαῖς
275 ταττόμενα μετιών. ταῦτα | μὲν οὖν ἐπὶ τοσοῦτον εἰρήσθω. τῷ δὲ p. 40 M.
πλήθει καὶ μεγέθει τῶν ἐπαίνων ἐπιτιθεὶς ὥσπερ τινὰ κεφαλὴν τοῦ
σοφοῦ φησιν, ὅτι τὸν θεῖον νόμον καὶ τὰ θεῖα προστάγματα πάντα
ἐποίησεν ὁ ἀνὴρ οὗτος (Gen. 26, 5), οὐ γράμμασιν ἀναδιδαχθείς, ἀλλ'
ἀγράφῳ τῇ φύσει σπουδάσας ὑγιαινούσαις καὶ ἀνόσοις ὁρμαῖς ἐπακολου-
θῆσαι· περὶ δὲ ὧν ὁ θεὸς ὁμολογεῖ, τί προσῆκεν ἀνθρώπους ἢ βεβαιό-
276 τατα πιστεύειν; τοιοῦτος ὁ βίος τοῦ πρώτου καὶ ἀρχηγέτου τοῦ ἔθνους
ἐστίν, ὡς μὲν ἔνιοι φήσουσι, νόμιμος, ὡς δ' ὁ παρ' ἐμοῦ λόγος ἔδειξε,
νόμος αὐτὸς ὢν καὶ θεσμὸς ἄγραφος.

---

1 οὐρανὸς] ἄνος (i. e. ἄνθρωπος) FG μὲν om. BK ὅς] ὁ δὲ Arm 3 βεβαίωσιν] περὶ βεβαιώσεως B οὐκέτι] οὐκ ἔστι G; οὐκ αὐτὸ coni. Mang. 4 φίλω CFGA 5 ὠμοσάμενος H[1], corr. H[2] ὅρκος om. CFG 6. 7 ἐνηρεῖσθαι F[1]G 7 καὶ πρῶτος om. D[V] ἔστι τε BKD[V]: ἔστω ceteri; ἔστι τε καὶ om. Arm 8 τὰ νεωτεροποιίας B 9 τοσούτων A, τοσούτω B 9. 10 τῷ δὲ πλήθει BKMH: τῷ πλήθει δὲ C, δὲ om. AFGP 10 ἐπιθεὶς CFG κεφαλὴν] κολοφῶνα coni. Mang. 10. 11 τοῦ σοφοῦ om. K (fort. recte) 11 προστάγματα πάντα BK: πάντα post οὗτος (12) transp. ceteri 13 post σπουδάσας add. δὲ F 14 ὁμολογεῖ θεὸς (om. ὁ) transp. K 14. 15 βεβαιώτατα C, βεβαιότητα G 15. 16 τοῦ γένους (ἔθνους scripsi) ἐστίν BK: ἐστὶ τοῦ ἔθνους transp. ceteri 16 δὲ BK
Subscr. Φίλωνος βίος σοφοῦ τοῦ κατὰ διδασκαλίαν τελειωθέντος ἢ περὶ νόμων ἀγράφων· ὅ ἐστι περὶ ἀβραάμ C, Φίλωνος βίος σοφοῦ τοῦ κατὰ διδασκαλίαν τελειωθέντος ἢ νόμων ἀγράφων G Arm, Φίλωνος βίος σοφοῦ τοῦ κατὰ διδασκαλίαν τελειωθέντος H

---

7—9 pergit D[V]: πρεσβύτερος—μετιών. 8. 9 D[R] fol. 74[r] τοῦ αὐτοῦ: τῷ ὄντι νέος καὶ ἔσχατος πᾶς ἄφρων—μετιών.

## ΦΙΛΩΝΟΣ

## ΒΙΟΣ ΠΟΛΙΤΙΚΟΥ ΟΠΕΡ ΕΣΤΙ ΠΕΡΙ ΙΩΣΗΦ

II p. 41 M. (1.) Τρεῖς μέν εἰσιν ἰδέαι, δι' ὧν τὸ ἄριστον τέλος, μάθησις, 1
φύσις, ἄσκησις, τρεῖς δὲ καὶ σοφῶν οἱ πρεσβύτατοι κατὰ Μωυσῆν ἐπώ-
νυμοι τούτων· ὧν τοὺς βίους ἀναγεγραφώς, τόν τε ἐκ διδασκαλίας καὶ
τὸν αὐτομαθῆ καὶ τὸν ἀσκητικόν, τέταρτον κατὰ τὸ ἑξῆς ἀναγράψω τὸν
πολιτικόν, οὗ πάλιν ἐπώνυμον ἕνα τῶν φυλάρχων διασυνίστησιν ἐκ πρώτης
ἡλικίας συγκροτηθέντα. ἤρξατο μέντοι συγκροτεῖσθαι περὶ ἔτη γεγονὼς 2
ἑπτακαίδεκα τοῖς κατὰ ποιμενικὴν θεωρήμασιν, ἃ συνᾴδει τοῖς περὶ
πόλιν· ὅθεν οἶμαι καὶ τὸ ποιητικὸν γένος „ποιμένας λαῶν" τοὺς βασι-
λεῖς εἴωθεν ὀνομάζειν· ὁ γὰρ τὴν ποιμενικὴν κατωρθωκὼς ἄριστος
ἂν εἴη καὶ βασιλεύς, τῆς καλλίστης ζῴων ἀγέλης, ἀνθρώπων, τὴν ἐπι-
μέλειαν ἐν ταῖς ἐλάττονος σπουδῆς ἀξίαις ἀναδιδαχθείς· καὶ καθάπερ 3
τῷ μέλλοντι πολεμαρχεῖν καὶ στρατηγεῖν ἀναγκαιότατον αἱ περὶ τὰ κυνη-
p. 42 M. γέσια μελέται, τὸν | αὐτὸν τρόπον καὶ οἷς ἐλπὶς ἐπιτροπεῦσαι πόλεως

1. 2 Φίλωνος βίος πολιτικοῦ ὅπερ ἐστὶ περὶ ἰωσήφ C, βίος πολιτικοῦ ὅπερ ἐστὶ περὶ ἰωσήφ VOGHP, βίος τοῦ πολιτικοῦ ὅπερ ἐστὶ περὶ ἰωσήφ BEKM, φίλωνος ἰουδαίου βίος πολιτικὸς ὅπερ ἐστὶ περὶ τοῦ ἰωσήφ A, τοῦ αὐτοῦ βίος πολιτικὸς ὅπερ ἐστὶ περὶ ἰωσήφ F 3 τὸ om. G 4 μωσῆν A 5 τε CVO: τ' ceteri 7 φυλαρχῶν H διανίστησιν BEKMO, συνίστησιν F 9 ἑπτὰ καὶ δέκα F ante pr. τοῖς add. δι' ὧν H¹P ποιμαντικὴν M 10 ποιητικὸν] ποιητῶν F 11 κατωρθωκὼς BEK¹M: ἄριστος V²K²O, ἄκρος ceteri 12 καὶ om. A ἀγέλης] ἄλλης G ἀνθρώπων om. O 13 καὶ om. A 14 ἀναγκαιότατον BKM: ἀναγκαιόταται ceteri 15 καὶ om. F

8 sqq. Gen. 37,2 sqq. 10 Hom. Il. A 263 al.

οἰκειότατον ποιμενικὴ προάγων τις οὖσα ἐπιστασίας καὶ στρατηγίας.
4 ἐνορῶν οὖν ὁ πατὴρ αὐτῷ φρόνημα εὐγενὲς καὶ μεῖζον ἢ κατ' ἰδιώτην
ἐθαύμαζε καὶ περιεῖπε καὶ τῶν ἄλλων υἱῶν μᾶλλον ἔστεργεν, ἐπειδὴ
ὀψίγονος ἦν, ὅπερ οὐδενὸς ἧττον ἀγωγόν ἐστιν εἰς εὔνοιαν· καὶ ἅτε φι-
λόκαλος ὢν ἐζωπύρει τὴν τοῦ παιδὸς φύσιν ἐξαιρέτοις καὶ περιτταῖς ἐπι-
5 μελείαις, ἵνα μὴ ἐντύφηται μόνον, ἀλλὰ καὶ θᾶττον ἐκλάμψῃ. (2.) φθόνος
δὲ ὁ ἀεὶ ταῖς μεγάλαις εὐπραγίαις ἀντίπαλος καὶ τότε πᾶσι τοῖς μέρεσιν
οἰκίαν κατορθοῦσαν ἐπιθέμενος διέστησε καθ' ἑνὸς πολλοὺς ἀδελφοὺς
ἀλείψας, οἳ τῇ πρὸς ἐκεῖνον εὐνοίᾳ τοῦ πατρὸς ἰσόρροπον δύσνοιαν ἐπε-
δείκνυντο μισοῦντες ὅσον ἐστέργετο· τὸ δὲ μῖσος οὐκ ἐξελάλουν, ἀλλ'
ἐν ἑαυτοῖς ἐταμίευον, ὅθεν εἰκότως ἀργαλεώτερον ἐφύετο· τὰ γὰρ στεγό-
6 μενα πάθη μὴ διαπνέοντα τοῖς ἐπισχοῦσι λόγοις βαρύτερα. χρώμενος
οὖν ἀκάκοις τοῖς ἤθεσι καὶ τὴν ὑποικουροῦσαν ἔχθραν ἐκ τῶν ἀδελφῶν οὐ
συνιείς, ὄναρ ἰδὼν αἴσιον, ὡς δὴ εὔνοις διηγεῖται· „ἔδοξα“ γάρ φησιν
„ἀμήτου καιρὸν ἐφεστάναι καὶ πάντας ἡμᾶς ἀφικομένους εἰς τὸ πεδίον
ἐπὶ τὴν τοῦ καρποῦ συλλογὴν δρέπανα λαβόντας θερίζειν, αἰφνίδιον δὲ
τὸ μὲν ἐμὸν δράγμα ὑπανίστασθαι καὶ μετεωρισθὲν ὀρθοῦσθαι, τὰ δὲ
ὑμέτερα ὥσπερ ἀπὸ συνθήματος ἐπιδραμόντα τεθηπέναι καὶ μετὰ τιμῆς
7 τῆς πάσης προσκυνεῖν“. οἱ δὲ εἰς σύνεσιν ἀκριβεῖς καὶ δεινοὶ διὰ συμ-
βόλων ἰχνηλατῆσαι πρᾶγμ' ἀδηλούμενον εἰκόσι στοχασμοῖς „μὴ νομίζεις“
ἔφασαν „ἔσεσθαι βασιλεὺς ἡμῶν καὶ κύριος; ταῦτα γὰρ διὰ τῆς κατε-
ψευσμένης φαντασίας ὑπαινίττῃ.“ τὸ δὲ μῖσος ἔτι μᾶλλον ἐζωπυρεῖτο
8 προσλαμβάνον ἀεί τινα καινὴν πρόφασιν εἰς συναύξησιν. ὁ δὲ οὐδὲν
ὑπιδόμενος ὀλίγαις ὕστερον ἡμέραις ὄναρ ἰδὼν ἕτερον καταπληκτικώτερον

---

1 οἰκειοτάτη A προάγων AK: προαγωγή ceteri ἐπιστασίας καὶ στρατηγίας om. BEM, ἐπιστασίας καὶ om. CVOK στρατηγίας] μαστιγίας K, δημαγωγίας VO 2 ἐφορῶν A αὐτῷ ante ὁ πατὴρ transp. G καὶ μεῖζον om. HP κατὰ CVO 4 ἦν om. F καὶ om. F 6 μόνον] μᾶλλον F θᾶττον] μᾶλλον A (Mang.) 9. 10 ἐπιδείκνυντο (sic) M 11 ἑαυτοῖς CAG: αὑτοῖς BEVOH², αὐτοῖς ceteri 11. 12 στεγόμενα] γενόμενα V¹K², γεννώμενα V²O 12 ἐπίσχουσι K, ἐπιτυχοῦσι A, ἀπιστοῦσι FGHP λόγων V²O βαρύτερον F¹ 13 ἀκάκοις τοῖς BEM: ἀκάκοις (om. τοῖς) K, ἀκακώτοις ceteri οἰκουροῦσαν HP 14 εὔνοις] ἄνοις (i. e. ἀνθρώποις) A ἔδοξα—συλλογὴν (16) om. F ἔδοξε BM 15 ἀμητοῦ BEM 16 δρέπανον F post δρέπανα add. δὲ H² δὲ] μὲν H 17 μὲν om. MH ἐμοῦ Turn. δράμα (γ eras.) E, δράμα F ἐπανίστασθαι A (Mang.) δ' MAFK, δὲ ss. B, om. E 18 ἀπὸ] ἐπὶ VOK² τε καὶ VO 19 τῆς om. VO εἰς] ὡς VO 20 πρᾶγμ' ἀδηλούμενον H: πρᾶγμα δηλούμενον ceteri εἰκόσι στοχασμοῖς om. HP νομίζῃς F, νομίσῃς A 21 καὶ om. BEM 23 προσλαμβάνων H, προλαμβάνον P, λαμβάνον F, προσλαμβανόμενον M 24 ὑπειδόμενος codd.

τοῦ προτέρου τοῖς ἀδελφοῖς ἀνέφερεν· ᾤετο γὰρ ἥλιον καὶ σελήνην καὶ
ἕνδεκα ἀστέρας ἥκοντας προσκυνεῖν αὐτόν, ὡς τὸν πατέρα θαυμάσαντα
τὸ γεγονὸς ἐναποθέσθαι τῇ διανοίᾳ ταμιεύοντα καὶ σκοπούμενον τὸ ἐσό-
μενον. ἐμβριθῶς δ' ἐνουθέτει τὸν παῖδα κατὰ δέος τοῦ μή τι διαμαρτεῖν 9
καί φησιν· „ἆρα δυνησόμεθα ἐγὼ καὶ ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ προσ-
κυνῆσαί σε; — διὰ μὲν γὰρ ἡλίου τὸν πατέρα, διὰ δὲ σελήνης τὴν
p. 43 M. μητέρα, διὰ δὲ τῶν ἕνδεκα ἀστέρων τοὺς | ἕνδεκα ἀδελφοὺς ὑποσημαίνειν
ἔοικας —· ὃ μηδὲ εἰς νοῦν ποτε ἔλθοι τὸν σόν, ὦ παῖ, λαθοῦσα δὲ
καὶ ἡ μνήμη τῶν φανέντων ὑπεξέλθοι· τὸ γὰρ τὴν ἐπὶ τοῖς οἰκείοις
ἐλπίζειν καὶ καραδοκεῖν ἡγεμονίαν ἀπευκτὸν ἄγαν παρ' ἐμοὶ κριτῇ, νομίζω
δὲ καὶ παρὰ πᾶσιν, ὅσοις ἰσότητος μέλει καὶ συγγενικῶν δικαίων.“ εὐλα- 10
βηθεὶς δ' ὁ πατήρ, μή τις ἐκ τῆς συνδιαιτήσεως ἐπιγένηται ταραχὴ
καὶ στάσις τοῖς ἀδελφοῖς μνησικακοῦσιν ὑπὲρ τῶν ὀνειράτων τῷ θεασα-
μένῳ, τοὺς μὲν ἐκπέμπει ποιμανοῦντας, τὸν δὲ οἴκοι παρεφύλαττεν ἄχρι
καιροῦ τοῦ προσήκοντος, εἰδὼς ὅτι τῶν τῆς ψυχῆς παθῶν καὶ νοσημάτων
λέγεται εἶναι χρόνος ἰατρός, ἱκανὸς καὶ πένθος ἀνελεῖν καὶ θυμὸν σβέσαι
καὶ φόβον θεραπεῦσαι· πάντα γὰρ ἐξευμαρίζει καὶ ὅσα κατὰ τὴν φύσιν
δυσίατα. ὡς δ' ἐτόπασε μηδὲν ἔτι ταῖς διανοίαις αὐτῶν ἔχθος ὑποικου- 11
ροῦν, ἐκπέμπει τὸν υἱὸν ἅμα μὲν τοὺς ἀδελφοὺς ἀσπασόμενον, ἅμα δὲ
καὶ δηλώσοντα, πῶς ἔχουσιν αὐτοί τε καὶ αἱ τῶν θρεμμάτων ἀγέλαι.
(3.) ταύτην τὴν ὁδὸν ἀρχὴν συνέβη γενέσθαι μεγάλων κακῶν τε αὖ καὶ 12
ἀγαθῶν παρ' ἐλπίδας ἑκατέρων. ὁ μὲν γὰρ ταῖς ἐπισκήψεσι πειθαρχῶν
τοῦ πατρὸς ᾔει πρὸς τοὺς ἀδελφούς, οἱ δὲ μακρόθεν ἀφικνούμενον ἰδόντες
ἄλλος ἄλλῳ διελάλουν οὐδὲν εὔφημον, ὁπότε οὐδ' ὀνομαστὶ προσαγορεύειν
ἠξίουν αὐτόν, ἀλλ' ὀνειροπλῆγα καὶ „ἐνυπνιαστὴν“ καὶ τοιαῦτα ἐπεφήμιζον

1 τοῦ om. P    προτέρου mg. H, ἑτέρου in textu H    ἀνέφηνεν H
2 αὐτόν codd. (v)    4 δὲ C    τι om. HP    5 καί φησιν om. O
post ἀδελφοί add. σου A    7 ἕνδεκα alt. om. CAFGHP    8 μηδ' AVO, μὴ F
ποτε om. A    λαθοῦσα] ἐλαθεῖσα vel λυθεῖσα coni. Mang.    9 καὶ om. FG
ἐπεξέλθοι H    τὴν om. VOF    10 ἄγαν] ἅπαν F    11 ὅσοις] οἷς BEK
ελ
ἰσότητος corr. ex ἰσότης B, ἰσότης CEHP    μέλλει BMV¹, μέλλει K    12 δὲ
CVO    τις] πως A    συνδιαιτήσεως K (coni. Mang.): συναντήσεως ceteri
γένηται VO    14 δ' E    15 παθῶν καὶ om. VO    16 εἶναι om. F
ἱκανὸς om. F    καὶ ante πένθος om. A    17 τὴν om. M    18 δὲ CAVO
διανοίαις om. A    ἄχθος FHP    18. 19 ἐποικουροῦν O    21 ὁδὸν om. P
τε om. M    21. 22 τε κακῶν καὶ ἀγαθῶν αὖ transp. A    22 πειθαρχῶν
ταῖς ἐπισκήψεσι transp. A (Mang.)    ἐπισκέψεσι BEMF¹    23 ἥκει F
24 ἄλλος] ἄλλως H    διελαλοῦνθ' G    ὁπότ' A    οὐδὲ CVO
25 ἀλλὰ C    τὰ ante τοιαῦτα add. MAFH²    τοιαῦτ' AK

καὶ ἐπὶ τοσοῦτον προῆγον ὀργῆς, ὥστε καὶ τὸν ἐπ' αὐτῷ φόνον οὐ πάντες
ἀλλ' οἱ πλείους ἐβούλευον καὶ ὑπὲρ τοῦ μὴ καταφωραθῆναι ῥιπτεῖν
ἀνελόντες ἐγνώκεσαν εἰς ὄρυγμα γῆς βαθύτατον· πολλαὶ δέ εἰσι περὶ τὸν
13 τόπον ὕδατος ὀμβρίου δεξαμεναί. καὶ μικροῦ τὸ μέγιστον ἄγος, ἀδελ-
φοκτονίαν, εἰργάσαντο, εἰ μὴ παρηγορίαις τοῦ πρεσβυτάτου μόλις ἐπεί-
σθησαν, ὃς παρῄνει μὴ ἐφάψασθαι τοῦ μιάσματος, ἀλλ' αὐτὸ μόνον εἰς
ἓν τῶν ὀρυγμάτων ῥῖψαι, διανοούμενός τι σωτήριον, ἵνα λαβὼν μετὰ τὴν
14 ἀναχώρησιν ἀπαθῆ παντὸς κακοῦ παραπέμψῃ τῷ πατρί. συναινεσάντων
δέ, ὁ μὲν προσιὼν ἠσπάζετο, οἱ δὲ ὡς πολέμιον συλλαβόντες ἀπαμπί-
σχουσι τὴν ἐσθῆτα καὶ τὸν μὲν καθιμῶσιν εἰς βαθεῖς βόθρους, τὴν δ'
ἐρίφου αἵματι φοινίξαντες διαπέμπονται τῷ πατρὶ πρόφασιν ὡς ὑπὸ θηρίων
15 δαπανηθέντος. (4.) ἐκείνῃ δὲ τῇ ἡμέρᾳ κατά τινα συντυχίαν ἔμποροί
τινες ὡδοιπόρουν τῶν ἔθος ἐχόντων ἀπ' Ἀραβίας εἰς Αἴγυπτον κομίζειν
φόρτον· οἷς ἀνελκύσαντες τὸν ἀδελφὸν πιπράσκουσιν, ἡγησαμένου τὴν
γνώμην τοῦ καθ' ἡλικίαν τετάρτου· καὶ γὰρ οὗτός μοι δοκῶ δείσας,
μή ποθ' ὑπὸ τῶν ὀργὴν ἀμείλικτον ἐπ' αὐτῷ ζωπυρούντων δολοφονηθῇ,
συνεβούλευσεν ἀποδόσθαι δουλείαν ὑπαλλαττόμενος | θανάτου, κουφότερον p. 44 M.
16 κακὸν μείζονος. ὁ δὲ πρεσβύτατος — οὐ γὰρ παρῆν πιπρασκομένου —
διακύψας καὶ μὴ κατιδών, ὃν ἀπολελοίπει πρὸ μικροῦ, ἐβόα καὶ ἐκεκρά-
γει καὶ τὰς ἐσθῆτας περιρρηξάμενος ἄνω καὶ κάτω καθάπερ ἐμμανὴς
ἐφέρετο τὰς χεῖρας κροτῶν καὶ τὰς τρίχας τίλλων, „τί πέπονθε;“ λέγων·
17 „εἴπατε, ζῇ ἢ τέθνηκεν; εἰ μὲν οὐκ ἔστι, δείξατέ μοι τὸν νεκρόν, ἵν'
ἐπιδακρύσας τῷ πτώματι λωφήσω τῆς συμφορᾶς· ἰδὼν κείμενον παρη-
γορηθήσομαι. τί καὶ νεκρῷ μνησικακοῦμεν; πρὸς τοὺς ἐκποδὼν φθόνος
οὐδεὶς φύεται. εἰ δὲ ζῇ, ποῖ γῆς ἀπελήλυθε; φυλάττεται παρὰ τίσιν;

1 προῆγον] προήχθησαν vel προῄεσαν coni. Mang. ἐπ'] ἐν F 2 ἀλλὰ C
α γ β δ
ἐπεβούλευον A 2. 3 καταφ. ῥίπτειν ἀνελόντες ἐγνώκεσαν V, κ. ἀνελόντες ῥίπτειν ἐ. O 2 ῥίπτειν CVO 3 ἀνελόντας A ἐγνώκασιν F τῆς γῆς VO 4 ἄγος VO 5 παρηγορίαις H πρεσβυτέρου A, πρεσβύτου BEM 6 ἀλλὰ C αὐτὸν BMH 7 μετὰ τὴν om. CVO 9 δ' (bis) BEKM 9. 10 ante ἀπαμπίσχουσι add. ἅπασαν AFGHP 10 δὲ CVO 11 διαπέμπουσι A (fort. recte) πρόφασιν A: προφάσει ceteri 13 ὁδοιπόρουν A 14 εἰσηγησαμένου coni. Mang. 14. 15 τῆς γνώμης $V^2K^2O$ 15 δοκεῖ VO 16 μή ποθ' AG, μήποτε K: μήθ' F, μὴ ceteri ὑπ' αὐτῶν K 18 οὐ] ὁ $F^1$ οὐδὲ γὰρ ἦν A 20 τὴν ἐσθῆτα C καθὰ A ἐκμανὴς G 21 ἐφαίνετο H τὼ χεῖρε A καὶ om. F 23 πτώματι H, σώματι FL(v) λοφήσω C 24 καὶ om. O ἐκ ποδῶν CVOKF 25 ἀπελήλυθε om. A ante παρὰ add. καὶ A

οὐ γὰρ δὴ κἀγὼ καθάπερ ἐκεῖνος ἐν ὑποψίαις εἰμί, ὡς ἀπιστεῖσθαι.“
εἰπόντων δ' ὅτι πέπραται καὶ τὴν τιμὴν ἐπιδεικνυμένων, „καλὴν ἐμπορίαν“ 18
εἶπεν „ἐστείλασθε· τὰ κέρδη διανειμώμεθα· τοῖς ἀνδραποδισταῖς περὶ
κακίας ἄθλων ἁμιλλησάμενοι στεφανηφορῶμεν, προσυπερβάλλοντες αὐτοὺς
ὠμότητι σεμνυνώμεθα· κατὰ ἀλλοτρίων ἐκεῖνοι συντίθενται, κατὰ δ'
οἰκειοτάτων καὶ φιλτάτων ἡμεῖς. κεκαινούργηται μέγα ὄνειδος, περιβό- 19
ητος αἰσχύνη. μνημεῖα καλοκἀγαθίας οἱ πατέρες ἡμῶν πανταχοῦ τῆς
οἰκουμένης ἀπέλιπον, ἀπολείψομεν καὶ ἡμεῖς ἀπιστίας καὶ μισανθρωπίας
ἀθεραπεύτους διαβολάς· φθάνουσι γὰρ αἱ τῶν μεγαλουργηθέντων φῆμαι
πανταχόσε, τῶν μὲν ἐπαινετῶν θαυμαζόμεναι, τῶν δ' ὑπαιτίων ψόγου
καὶ κατηγορίας τυγχάνουσαι. τίνα ἄρα τρόπον ὁ πατὴρ ἡμῶν τὴν περὶ 20
τῶν συμβεβηκότων ἀκοὴν δέξεται; τρισμακαρίῳ καὶ τρισευδαίμονι τὸν
καθ' ἡμᾶς βίον ἀβίωτον παρέσχησθε. τὸν πραθέντα τῆς δουλείας ἢ
τοὺς πεπρακότας τῆς ὠμότητος οἰκτιεῖται; πολὺ μᾶλλον εὖ οἶδα ἡμᾶς,
ἐπεὶ καὶ τοῦ ἀδικεῖσθαι τὸ ἀδικεῖν χαλεπώτερον· τὸ μὲν γὰρ δυσὶ
βοηθεῖται τοῖς μεγίστοις, ἐλέῳ καὶ ἐλπίδι, τὸ δ' οὐδετέρου μετέχον ἅπασιν
ἡττᾶται τοῖς κριταῖς. ἀλλὰ τί ταῦτα θρηνῶν ἀπηχῶ; βέλτιον ἡσυχάζειν, 21
μὴ καὶ αὐτὸς παραπολαύσω τινὸς ἀπευκτοῦ· τραχύτατοι γὰρ ⟨ἐστε⟩ εἰς ὀργὴν
καὶ ἀπαραίτητοι καὶ πνεῖ λαμπρὸς ἔτι ὁ ἐν ἑκάστῳ θυμός.“ (5.) ὡς 22
δ' ἤκουσεν ὁ πατὴρ οὐ τἀληθές, ὅτι πέπραται ὁ υἱὸς αὐτοῦ, τὸ δὲ
ψεῦδος, ὅτι τέθνηκε καὶ ὡς ὑπὸ θηρίων ἐξανάλωται, πληχθεὶς τὰ μὲν ὦτα
διὰ τῶν λεγομένων, τοὺς δ' ὀφθαλμοὺς διὰ τοῦ φανέντος — ὁ γὰρ χιτὼν
p. 45 M. αὐτοῦ κατεσχισμένος | καὶ κατῃκισμένος καὶ πολλῷ αἵματι πεφοινιγμένος

---

2 δὲ VO πέπραφται (sic) K, πέπρα[illegible]ται E 2. 3 καλὴν εἶπεν ἐμπορίαν transp. VO 3 ἐστείλασθε εἶπε transp. M διανειμώμεθα codd.: διανεμώμεθα v 4 ἁμιλλησόμενοι coni. Mang. στεφανηφοροῦμεν KHP προσυποβάλλοντες M, προσεπιβάλλοντες VO 5 ὠμότητι] ἀμουσότητα F σεμνυνόμεθα CH$^2$ κατ' AVO τῶν ἀλλοτρίων P 6 μέγας H καὶ add. ante περιβόητος K 7. 8 πανταχοῦ τῆς οἰκουμένης ante οἱ πατέρες ἡμῶν transp. A 8 ἀπέλειπον HP ἀπολείψωμεν VOK καὶ pr. om. F μισανθρωπίας καὶ ἀπιστίας transp. A 9 ἀθεραπεύτου HP φῆμαι] μνῆμαι HP 10 πανταχοῦ HP, πανταχοῦ K (χόσε supra) 11 τίν' A περὶ om. A 12. 13 τὸ καθ' ὑμᾶς coni. Mang. 13 παράσχησθε K, παρεσχῆσθαι BEMV$^1$, παρέσχεσθε A (Mang.), παρέσχετε V$^2$O 14 οἰκτιεῖ τις A 16 οὐδ' ἑτέρου FHP ⟨παρ'⟩ ἅπασιν conicio 18 ταχύτατοι FP ἐστε addidi εἰς ὀργὴν BKM: εἰς om. ceteri 19 καὶ πνεῖ] καπνεῖ E λαμπρῶς BEFH$^2$; λάβρως coni. Mang. 20 δὲ C post πατὴρ add. αὐτοῦ VOK$^2$ 21 ἐξανήλωται CK 22 τῶν φανέντων A 23 αὐτοῦ codd.: αὐτῷ Mang. κατῃκισμένος καὶ κατεσχισμένος transp. BEKM, καὶ κατῃκισμένος om. C

ἐκεκόμιστο —, συγχυθεὶς ὑπὸ τῆς περιπαθήσεως ἀχανὴς ἐπὶ πλεῖστον
χρόνον ἔκειτο, μηδ' ὅσον τὴν κεφαλὴν ἐπᾶραι δυνάμενος, θλιβούσης καὶ
23 ἐκτραχηλιζούσης τῆς συμφορᾶς. εἶθ' ὥσπερ τινὰ πηγὴν δακρύων ἐξαίφνης
ἀνιεὶς μετ' οἰμωγῆς πικρᾶς παρειὰς καὶ γένεια καὶ στέρνα κατένιπτε
καὶ τὰς περὶ αὑτὸν ἐσθῆτας ἅμα τοιαῦτ' ἐπιλέγων· „οὐχ ὁ θάνατός
με λυπεῖ, τέκνον, ἀλλ' ὁ τούτου τρόπος· εἰ ἐπὶ γῆς ἐτάφης τῆς σῆς,
παρηγορούμην, ἐθεράπευσα, ἐνοσήλευσα πρότερον, ἀποθνῄσκοντι τελευ-
ταίων ἀσπασμῶν ἐκοινώνησα, τοὺς ὀφθαλμοὺς συνέκλεισα, ἐπεδάκρυσα
κειμένῳ τῷ νεκρῷ, πολυτελῶς ἐκήδευσα, τῶν νομιζομένων οὐδὲν παρέ-
24 λιπον. ἀλλ' εἰ καὶ ἐπὶ τῆς ξένης, εἶπον ἄν· τὸ οἰκεῖον ὄφλημα τῆς
φύσεως ἀπολαβούσης, ὦ οὗτος, μὴ κατήφει· πρὸς ζῶντας αἱ πατρίδες,
ἀποθανόντων δὲ πᾶσα γῆ τάφος· ὠκύμορος οὐδεὶς ἢ πάντες ἄνθρωποι,
25 καὶ γὰρ ὁ μακροβιώτατος ὀλιγοχρόνιος ἀντεξεταζόμενος αἰῶνι. εἰ δὲ
δὴ καὶ βιαίως καὶ ἐξ ἐπιβουλῆς ἔδει θνῄσκειν, ἦν ἄν μοι κουφότερον
κακόν, ὑπ' ἀνθρώπων ἀναιρεθέντος, οἳ κτείναντες νεκρὸν ἂν ἠλέησαν,
ὡς ἐπαμήσασθαι κόνιν καὶ τὸ σῶμα συγκρύψαι· εἰ δὲ καὶ πάντων ἐγε-
γένηντο ὠμότατοι, τί πλέον εἶχον ἢ ῥίψαντες ἄταφον ἀπαλλάττεσθαι;
τῶν δ' ἐν ὁδῷ παριόντων ἴσως τις ἐπιστὰς καὶ θεασάμενος, οἶκτον τῆς
κοινῆς λαβὼν φύσεως, ἐπιμελείας καὶ ταφῆς ἠξίωσε. νυνὶ δ', ὡς λόγος,
ἀτιθάσοις καὶ σαρκοβόροις θηρσὶν εὐωχία καὶ θοίνη γέγονας γευσαμένοις
26 καὶ ἑστιαθεῖσι τῶν ἐμῶν σπλάγχνων. ἀθλητής εἰμι τῶν ἀβουλή-
των, εἰκῇ γεγύμνασμαι πολλαῖς κακοπαθείαις, ἀλώμενος, ξενιτεύων,
θητεύων, ἀναγκαζόμενος, ἄχρι καὶ ψυχῆς ἐπιβουλευόμενος ὑφ' ὧν
ἥκιστ' ἐχρῆν· καὶ πολλὰ μὲν εἶδον, πολλὰ δ' ἤκουσα, μυρία δ' αὐτὸς

1 ἐπὶ om. G 3 ἐκτραχηλιζούσης AFGHP: τραχηλιζομένης ceteri 4 στέρνα καὶ γένεια transp. A κατένειφε AFGHP 5 αὑτὸν CAVOH²: αὐτὸν ceteri 6 τούτου eras. V, om. BEKMO τρόπος Markland: τάφος codd. post εἰ add. γὰρ V²K²O τῆς σῆς] τῆς ὁσίας V²K²O, τῇ ταφῇ BEM, τῆς σῆς, τῇ ταφῇ K¹, σῆς in ὁσίας corr. et τῇ ταφῇ del. K² 7 post ἐθεράπευσα add. ἂν Mang. ἐνοσίλευσα C, νοσηλευθέντα V²O ἀποθνήσκοντι BEKM: ἀποθνήσκοντα ceteri (v) 8 ἀσπασμῶν BEKMVO: ἀσπασμάτων ceteri ἐπεδάκρυσα] ἐπεκάλυψα F 9 νενομισμένων V²K²O 9. 10 παρέλειπον HP, παρέλειψα F 10 τῆς pr. om. A 11 πρὸς— τάφος (12) om. O ζῶνθ' A; ζώντων coni. Mang. πατρίδας (ες superscr.) K 12 ἀποθανόντος AHP ὠκύμορος οὐδεὶς ἢ CVOBEKM: ὠκύμοροι δ' εἰσὶ AFGHP(v) 13 ὀλιγοχρόνιος C: ὀλιγοχρονιώτατος ceteri 14 δὴ] δεῖ F μοι om. A 15 οἱ K 17 ἄταφα F 18 ἐν ὁδῷ AFGHP: ἄλλων ceteri (Mang.) 19 ταφῆς] κατηφείας A 20 ἀτιθάσσοις AFGVO καὶ θοίνη om. P 21 τῶν ἀβουλήτων εἰμί transp. G 22 εἰκῇ A: ἐκεῖθεν V²K²O, om. F, ἐκεῖ ceteri ἀλώμενος MOGH¹, ἀλόμενος F 22. 23 θητεύων, ξενιτεύων transp. A 24 ἥκιστ' ἐχρῆν corr. ex ἥκιστα χρῆν C

ἔπαθον τῶν ἀνηκέστων, ἐφ' οἷς παιδευθεὶς μετριοπαθεῖν οὐκ ἐγνάμφθην· ἀλλ' οὐδὲν τοῦ συμβεβηκότος ἀφορητότερον, ὅ μου τὴν ῥώμην τῆς ψυχῆς ἀνατέτροφε καὶ καθῄρηκε. τί γὰρ μεῖζον ἢ οἰκτρότερον πένθος; ἡ μὲν 27
ἐσθὴς τοῦ παιδὸς διακεκόμισταί μοι τῷ πατρί, τοῦ δὲ οὐ μέρος, οὐ μέλος, οὐ βραχὺ λείψανον· ἀλλ' ὁ μὲν ὅλος δι' ὅλων δεδαπάνηται μηδὲ ταφῆς δυνηθεὶς μεταλαχεῖν, ἡ δ' οὐδ' ἂν εἰσπεμφθῆναί μοι δοκεῖ τὸ παράπαν, εἰ μὴ πρὸς ἀνίας ὑπόμνησιν καὶ ὧν ὑπέμεινε καίνωσιν, εἰς ἀλήστους καὶ συνεχεῖς ἐμοὶ συμφοράς." καὶ ὁ μὲν τοιαῦτ' ἀπωδύρετο. οἱ δ'
p. 46 M. ἔμποροι | πιπράσκουσι τὸν παῖδα ἐν Αἰγύπτῳ τῶν εὐνούχων τινὶ τοῦ βασιλέως, ὅς ἐστιν ἀρχιμάγειρος.

(6.) Ἄξιον μέντοι μετὰ τὴν ῥητὴν διήγησιν καὶ τὰ ἐν ὑπονοίαις 28
προσαποδοῦναι· σχεδὸν γὰρ τὰ πάντα ἢ τὰ πλεῖστα τῆς νομοθεσίας ἀλληγορεῖται. ὁ τοίνυν ἐπικρινόμενος τρόπος παρὰ μὲν Ἑβραίοις Ἰωσὴφ καλεῖται, παρὰ δ' Ἕλλησι „κυρίου πρόσθεσις", εὐθυβολώτατον ⟨ὄνομα⟩ καὶ τῷ δηλουμένῳ πράγματι οἰκειότατον· προσθήκη γάρ ἐστι τῆς τὸ κῦρος ἁπάντων ἀνημμένης φύσεως ἡ κατὰ δήμους πολιτεία. ἡ μὲν γὰρ μεγα- 29
λόπολις ὅδε ὁ κόσμος ἐστὶ καὶ μιᾷ χρῆται πολιτείᾳ καὶ νόμῳ ἑνί· λόγος δέ ἐστι φύσεως προστακτικὸς μὲν ὧν πρακτέον, ἀπαγορευτικὸς δὲ ὧν οὐ ποιητέον· αἱ δὲ κατὰ τόπους αὗται πόλεις ἀπερίγραφοί τέ εἰσιν ἀριθμῷ καὶ πολιτείαις χρῶνται διαφερούσαις καὶ νόμοις οὐχὶ τοῖς αὐτοῖς, ἄλλα γὰρ παρ' ἄλλοις ἔθη καὶ νόμιμα παρεξευρημένα καὶ προστεθειμένα. αἴτιον δὲ τὸ ἄμικτον καὶ ἀκοινώνητον οὐ μόνον Ἑλλήνων πρὸς βαρβάρους 30
ἢ βαρβάρων πρὸς Ἕλληνας, ἀλλὰ καὶ τὸ ἑκατέρου γένους ἰδίᾳ πρὸς τὸ

---

1 μετριοφρονεῖν (παθεῖν) K  2 ὅ μου C²MGO: ὃ μοῦ F, ὁμου B, ὁμοῦ ceteri  3 ἀνατέτροφε CBEKM: ἀνατέτραφε ceteri  καὶ om. BEM  4 alt. τοῦ] τῶ HP, τῶν V¹  5 ὅλως G  μηδὲν O  6 δυνηθεὶς corr. ex δυνηθῆς F  λαχεῖν A  ἠδ' A  οὐδ' ἂν] οὐδὲν P  εἰσπεμφθῆναι A: ἐκπεμφθῆναι ceteri  οὐδενὸς ἕνεκα πεμφθῆναί coni. Wendl.  δοκῆ G  τὸ παράπαν om. A  7 καὶ om. F  ὑπεμένησε O  καίνωσιν BE(V¹ ut vid.): καίνωσιν (ε) M, κένωσιν (καίνισιν) C, καίνισιν AFGHP, κακῶν V²O, κακῶν, ἵν' ἡ K  ἀλλήλους (ς) (sic) K  8 τοιαῦτα M, τοιαῦτα δ' B  ἐπωδύρετο A  9 ἐν αἰγύπτω τὸν παῖδα transp. CVO  10 ὅστις VO  12 τὰ pr. om. A  ἢ] καὶ HP  14 δὲ CVO  κυρίου fort. delendum censuit Mang.  ὄνομα addidi  15 δηλωμένω M  πράγματι F (coni. Mang.): γράμματι ceteri  ἐστι AFGHP: ἐπὶ ceteri  16 φύσιν C  17 ὁ om. M  μία F  18 ἐστι om. A  προτρεπτικὸς V²O  τῶν πρακτέων V²O  ἀπαλλακτικὸς A  19 οὐ] μὴ A  21 ἤθη A  παρεξηυρημένα C  23 ἑκάτερον HP  γένους VO, γένους (ος) K: μέρους A, γένος ceteri

ὁμόφυλον· εἶθ' ὡς ἔοικε τὰ ἀναίτια αἰτιώμενοι, καιροὺς ἀβουλήτους,
ἀγονίαν καρπῶν, τὸ λυπρόγεων, τὴν θέσιν ὅτι παράλιος ἢ μεσόγειος ἢ
κατὰ νῆσον ἢ κατὰ ἤπειρον ἢ ὅσα τούτοις ὁμοιότροπα, τἀληθὲς ἡσυχά-
ζουσιν· ἔστι δ' ἡ πλεονεξία καὶ ἡ πρὸς ἀλλήλους ἀπιστία, δι' ἃς οὐκ
ἀρκεσθέντες τοῖς τῆς φύσεως θεσμοῖς τὰ δόξαντα συμφέρειν κοινῇ τοῖς
31 ὁμογνώμοσιν ὁμίλοις ταῦτα νόμους ἐπεφήμισαν. ὥστε εἰκότως προσθῆκαι
μᾶλλον αἱ κατὰ μέρος πολιτεῖαι μιᾶς τῆς κατὰ τὴν φύσιν· προσθῆκαι
μὲν γὰρ οἱ κατὰ πόλεις νόμοι τοῦ τῆς φύσεως ὀρθοῦ λόγου, προσθήκη
32 δέ ἐστι πολιτικὸς ἀνὴρ τοῦ βιοῦντος κατὰ φύσιν. (7.) οὐκ ἀπὸ σκοποῦ
μέντοι καὶ χιτῶνα ποικίλον ἀναλαμβάνειν λέγεται (Gen. 37, 3)· ποικίλον
γὰρ πολιτεία καὶ πολύτροπον, μυρίας ὅσας ἐνδεχομένη μεταβολάς, προσ-
ώποις, πράγμασιν, αἰτίαις, πράξεων ἰδιότησι, καιρῶν καὶ τόπων διαφοραῖς.
33 ὥσπερ γὰρ κυβερνήτης ταῖς τῶν πνευμάτων μεταβολαῖς συμμεταβάλλει
τὰς πρὸς εὔπλοιαν βοηθείας, εὐθύνων τὸ σκάφος οὐχ ἑνὶ τρόπῳ, καὶ
ἰατρὸς οὐ μιᾷ χρῆται θεραπείᾳ πρὸς ἅπαντας τοὺς κάμνοντας, ἀλλ' οὐδὲ
πρὸς ἕνα, τοῦ πάθους μὴ ἐπιμένοντος, ἀλλ' ἐπιτηρῶν ἀνέσεις, ἐπιτάσεις,
πληρώσεις, κενώσεις, αἰτίων μεταβολὰς ποικίλλει ταῦτα πρὸς σωτηρίαν
34 ποτὲ μὲν ταυτὶ ποτὲ δὲ ταυτὶ | προσφέρων, οὕτως, οἶμαι, καὶ τὸν πο- p. 47 M.
λιτικὸν ἀναγκαῖον εἶναί τινα πολυειδῆ καὶ πολύμορφον, ἕτερον μὲν κατ'
εἰρήνην, ἕτερον δ' ἐν πολέμῳ, ἄλλον δὲ ἐπισυνισταμένων ὀλίγων ἢ πολλῶν,
τῶν μὲν ὀλίγων εὐτόνως κατεξανιστάμενον, μετὰ δὲ πειθοῦς τοῖς πολλοῖς
ὁμιλοῦντα, καὶ ὅπου μὲν μετὰ κινδύνου τὸ εἶναι, διὰ τὸ κοινωφελὲς φθά-
νοντα τοὺς ἄλλους αὐτουργίᾳ, ὅπου δὲ πόνων ἡ σκέψις, ἑτέροις ὑπηρετεῖν

---

1 τὰ ἀναίτια] τἀναντία VO 2 ἀγονίαν CVO: ἀγωνίας K, ἀγονίας ceteri τὸ λυπρόγεων CVO: τῶν λυπρογέων K, τὸ λυπρόγειον ceteri παράλειος BMH 4 ἔστι] τί F; ἔτι coni. Mang. δὲ CVOF ἡ alt. om. A 5 τοῖς om. C τῆς om. FG 6 ὁμογνωμονοῦσιν VO νόμοις BEMF ὥστ' A 7 αἱ κατὰ] εἰκότως G τὴν om. CAVOP προσθῆκαι — φύσιν (9) om. A 8 πόλιν Turn. 9 δ' ἐστὶ BEM φύσεως (sed εως eras.) C 11 πολιτεία om. P, add. mg. P πολύτροπος O ἐνδεχόμενον A 12 αἰτίαις om. A πράξεων K (coni. Mang.): ξένων V²O, προξένων ceteri καὶ ante καιρῶν add. A 13 γὰρ om. H συμμεταβάλλοι F 15 οὐ] οὐχὶ AFGHP οὐδὲ] οὐ BEM 16 ἐπιτάσεις om. C 17 αἰτίων CA: αἰτιῶν ceteri; σιτίων coni. Mang. ταῦτα suspectum; τὰ conicio 18 alt. ταυτὶ] ταῦτα BEKM οἶμαι om. A 19 εἶναι ἀναγκαῖον transp. HP; εἶναι καὶ ἀναγκαῖον Turn., κατ' ἀναγκαῖον εἶναι Mang. 20 δὲ VO δ' BEKM ἢ—ὀλίγων (21) om. BEMO 21 μὲν] δὲ F μετὰ—ὁμιλοῦντα (22) om. BEM πειθοῦς] πλήθους K 22 τοῦ εἶναι BEKM (fort. recte) μετὰ κινδύνου τι, οἷον διὰ τὸ κοινωφελές, coni. Mang. 23 ἡ σκῆψις V² ἑτέρους VO

ἐξιστάμενον. εὖ μέντοι τὸ φάναι πιπράσκεσθαι τὸν ἄνθρωπον· ὁ μὲν 35
γὰρ δημοκόπος καὶ δημηγόρος ἀναβὰς ἐπὶ τὸ βῆμα, καθάπερ τὰ πιπρασκό-
μενα τῶν ἀνδραπόδων, δοῦλος ἀντ' ἐλευθέρου γίνεται διὰ τῶν τιμῶν, ἃς
δοκεῖ λαμβάνειν, ἀπαχθεὶς ὑπὸ μυρίων δεσποτῶν. ὁ δ' αὐτὸς καὶ θη- 36
ριάλωτος εἰσάγεται· θηρίον δὲ ἀτίθασον ἡ λοχῶσα κενοδοξία συναρπά-
ζουσα καὶ διαφθείρουσα τοὺς χρωμένους. οἱ δ' ὠνησάμενοι καὶ πιπρά-
σκουσιν· οὐ γὰρ εἷς δεσπότης τῶν πολιτευομένων, ἀλλ' ὄχλος, ἐξ ἑτέρων
ἕτεροι κατά τινας ἐφεδρείας καὶ διαδοχάς· οἱ δὲ τρίπρατοι κακῶν θερα-
πόντων τρόπον ἀλλάττουσι τοὺς κυρίους οὐχ ὑπομένοντες τοὺς προτέρους
διὰ τὴν ἀψίκορον καὶ φιλόκαινον τῶν ἠθῶν ἀνωμαλίαν.

(8.) Τοσαῦτα καὶ περὶ τούτων. ὁ μέντοι νεανίας εἰς Αἴγυπτον 37
ἀχθεὶς καὶ γενόμενος, ὡς ἐλέχθη, παρ' εὐνούχῳ δεσπότῃ, τῆς καλο-
κἀγαθίας καὶ εὐγενείας πεῖραν ὀλίγαις ἡμέραις δοὺς τὴν ἐπὶ τοῖς ὁμο-
δούλοις ἀρχὴν παραλαμβάνει καὶ συμπάσης τῆς οἰκίας τὴν ἐπιμέλειαν·
ἤδη γὰρ ὁ κτησάμενος ἐτεκμηριοῦτο διὰ πολλῶν, ὡς οὐκ ἄνευ θείας
ἐπιφροσύνης ἐκεῖνος ἕκαστα λέγει τε καὶ πράττει. τῷ μὲν οὖν δοκεῖν 38
ὑπὸ τοῦ πριαμένου καθίστατο τῆς οἰκίας ἐπίτροπος, ἔργῳ δὲ καὶ ταῖς
ἀληθείαις ὑπὸ φύσεως μνωμένης αὐτῷ πόλεων καὶ ἔθνους καὶ χώρας
μεγάλης ἡγεμονίαν· ἔδει γὰρ τὸν μέλλοντα ἔσεσθαι πολιτικὸν ἐγγυμ-
νάσασθαι καὶ ἐνασκηθῆναι πρότερον τοῖς κατ' οἰκονομίαν· οἰκία τε γὰρ
πόλις ἐστὶν ἐσταλμένη καὶ βραχεῖα καὶ οἰκονομία συνηγμένη τις πολιτεία,
ὡς καὶ πόλις μὲν οἶκος μέγας, πολιτεία δὲ κοινή τις οἰκονομία. δι' 39
ὧν μάλιστα παρίσταται τὸν αὐτὸν οἰκονομικόν τε εἶναι καὶ πολιτικόν,

1 τὸ om. A 5 εἰσάγεται] γίνεται A δ' A ἀτίθασον CBEHP: ἀτίθασσον ceteri ἡ] ὡς F λοχῶσα AFGHP: δόξα καὶ ceteri 5. 6 συναρπάσασα BEM, καὶ μαρμάζουσα (sic) F 7 ἀλλ' ὄχλος AFGHP: ὄχλος (ὁ ὄχλος VO) post δεσπότης transp. ceteri 8 ἐφεδρίας C 9 τρόπον om. FG τοῖς προτέροις C, τοὺς προτέρους om. H 10 φιλόκενον V 11 καὶ] μὲν H (Turn.), om. Mang. 12 ἀπαχθεὶς AVO 14 συμπάσης] σὺν πᾶσι HP τῆς om. KO 15 γάρ] δ' A οὐκ om. F 16 ἕκαστα ἐκεῖνος transp. MAF[1]GHP, ἥκιστα ἐκεῖνος F[2] τῶ corr. ex τὸ C, τῶ corr. ex τοῦ B, τοῦ E 18 πόλεως CK(v) καὶ χώρας καὶ ἔθνους transp. BEKM 19 μεγάλης AFGHP: μεγάλην ceteri 19. 20 ἐγγεγυμνάσθαι D 20 ἀσκηθῆναι D οἰκονομίαν] οἰκίαν D, οἰκίαν πράγμασιν V[2]O τε om. D 21 ἐστὶν om. BEKM ἐστὶ συνεσταλμένη D καὶ οἰκονομία AFGHPD: καὶ om. ceteri συνεσταλμένη D 22 καὶ] καὶ ἡ D τις om. D 23 παριστᾷ D οἰκονόμον F

11 sqq. Gen. cap. 39 19—70,4 D[R] fol. 218[r] Φίλωνος: δεῖ τὸν μέλλοντα — ὁ αὐτός ἐστιν

κἂν τὰ πλήθη καὶ μεγέθη τῶν ὑποκειμένων διαλλάττῃ· καθάπερ ἐπὶ
ζωγραφίας ἔχει καὶ πλαστικῆς· ὁ γὰρ ἀγαθὸς ἀνδριαντοποιὸς ἢ ζωγράφος,
ἐάν τε πολλὰ καὶ κολοσσιαῖα μεγέθη κατασκευάζῃ, ἐάν τε ὀλίγα καὶ
40 βραχύτερα, τὴν αὐτὴν ἐπιδεικνύμενος τέχνην ὁ αὐτός ἐστι. (9.) σφόδρα
δὲ εὐδοκιμῶν ἐν τοῖς κατὰ τὴν οἰκουρίαν ἐπιβουλεύεται πρὸς τῆς τοῦ
δεσπότου γυναικὸς ἐπιβουλὴν τὴν ἐξ ἔρωτος ἀκολάστου. τῇ γὰρ εὐμορφίᾳ p. 48 M.
ἐπιμανεῖσα τοῦ νεανίσκου καὶ ἀκαθέκτως περὶ τὸ πάθος λυττῶσα τοὺς
περὶ μίξεως λόγους προσέφερεν ἐρρωμένως ἐναντιουμένῳ καὶ μηδ' ὅλως
προσίεσθαι ὑπομένοντι διὰ τὴν ἐκ φύσεως καὶ μελέτης ἐνυπάρξασαν
41 κοσμιότητα καὶ σωφροσύνην. ἐπεὶ δὲ ζωπυροῦσα καὶ ἀναφλέγουσα τὴν
ἔκνομον ἐπιθυμίαν ἀεὶ μὲν ἀπεπειρᾶτο, ἀεὶ δ' ἀπετύγχανε, βίᾳ λοιπὸν
προσπαθοῦσα ἐχρῆτο καὶ λαβομένη τῆς ἀμπεχόνης εὐτόνως ἄχρι τῆς
εὐνῆς ἐπεσπάσατο ῥώμῃ κραταιοτέρᾳ, τοῦ πάθους ἰσχὺν ἐπιδιδόντος, ὃ
42 καὶ τοὺς ἀσθενεστάτους εἴωθε νευροῦν. ὁ δὲ τῆς παρούσης ἀκαιρίας
γενόμενος δυνατώτερος τὰς ἐλευθερίους καὶ ἀξίας τοῦ γένους ἔρρηξε φωνὰς
„τί βιάζῃ;“ λέγων· „ἐξαιρέτοις ἔθεσι καὶ νομίμοις χρώμεθα ἡμεῖς οἱ
43 Ἑβραίων ἀπόγονοι. τοῖς ἄλλοις ἐφεῖται μετὰ τὴν τεσσαρεσκαιδεκάτην
ἡλικίαν πόρναις καὶ χαμαιτύπαις καὶ ταῖς ὅσαι μισθαρνοῦσιν ἐπὶ τοῖς
σώμασι μετὰ πολλῆς ἀδείας χρῆσθαι, παρ' ἡμῖν δὲ οὐδ' ἑταίρᾳ ζῆν
ἔξεστιν (Deut. 23, 17), ἀλλὰ κατὰ τῆς ἑταιρούσης ὥρισται δίκη θάνατος.
πρὸ δὴ συνόδων νομίμων ὁμιλίαν ἑτέρας γυναικὸς οὐκ ἴσμεν, ἀλλ' ἁγνοὶ
γάμων ἁγναῖς παρθένοις προσερχόμεθα προτεθειμένοι τέλος οὐχ ἡδονὴν

2 ὁ μὲν γὰρ $AV^1$, μὲν expunxit $V^3$ 3 κολασσιέα (sic) ἔργα κατασκευάσῃ D καὶ ante ὀλίγα add. A 5 δ' A οἰκονομίαν C (Turn.) 6 ἀκόλαστον A τῆς γὰρ εὐμορφίας $CV^1K$, τὴν γὰρ εὐμορφίαν HP 7 τῷ νεανίσκῳ corr. C περὶ] ἐπὶ A, om. F τῷ πάθει F λυττῶσα περὶ τὸ πάθος transp. G 8 λόγους om. BEM ἐναντιουμένῳ om. A μηδὲ C 9 ὑπομένοντα K ἐνυπάρξασαν AFGHP: ὑπάρξασαν ceteri 10 δὲ om. A post δὲ add. καὶ AFGHP 11 δὲ CAVO 12 προσπαθοῦσα $F^2HP$: προπαθοῦσα $AF^1G$, πρὸ πάθους $CV^1BEKM$, πρὸς πάθος $V^2O$; πρὸ πειθοῦς coni. Mang. 13 ἐπεσπᾶτο VO 14 ἀσθενεστέρους FHP νευροῦν εἴωθεν transp. K εὐκαιρίας F 15 δυνατώτερος γενόμενος transp. A ἐλευθερίας HP, ἐλευθέρας CAFG ῥῆξαι BEM, ῥῆξαι λέγεται K, ῥήξας VO φωνὰς ἔρρηξε transp. A 16 λέγει $V^3$ νομίμοις AFGP mg. H: νόμοις ceteri χρώμεθ' CVOK ὑμεῖς K 17 τοῖς δ' ἄλλοις FGHP, τοῖς ἄλλοις δ' A 18 καὶ pr. om. F χαμετύπαις A, χαμαιτύπαις (οις supra) H, χαμαιτύποις VOF(v) ταῖς AFGHP: om. ceteri 18. 19 τῷ σώματι K 19 κεχρῆσθαι A οὐδὲ ἑτέρα $V^1$, οὐδετέρα G ζῆν A: om. ceteri 20 κατὰ] καὶ AF θάνατος AFGHP: θανάτου ceteri 21 πρὸ] παρ' ὃ F ἑταίρας BEM ἀλλὰ CA 22 συνερχόμεθα F

16 sqq. cf. *Ambros. Epist. I 2,20.*

ἀλλὰ γνησίων παίδων σποράν. εἰς δὴ ταύτην καθαρεύσας τὴν ἡμέραν οὐκ 44
ἄρξομαι παρανομεῖν ἀπὸ μοιχείας, τοῦ μεγίστου τῶν ἀδικημάτων, ὀφείλων, εἰ καὶ τὸν ἄλλον χρόνον ὑπῆρχον ἐκδεδιῃτημένος καὶ νεότητος ὁρμαῖς ἠγμένος καὶ τὴν ἐγχώριον ἐζηλωκὼς τρυφήν, ὅμως ἀλλότριον μὴ θηρᾶν γάμον· ἐφ' ᾧ τίς ἀνθρώπων οὐ φονᾷ; περὶ γὰρ τῶν ἄλλων εἰωθότες διαφέρεσθαι μόνον τοῦθ' ὁμογνωμονοῦντες πανταχοῦ πάντες ἄξιον θανάτων μυρίων ἐνόμισαν ἀκρίτους ἐκδιδόντες τοὺς ἁλόντας τοῖς πεφωρακόσι. σὺ δ' ἐπιδαψιλευομένη καὶ τριττὸν προστίθῃς μοι μίασμα 45
κελεύουσα μὴ μοιχεύειν μόνον, ἀλλὰ καὶ δέσποιναν καὶ δεσπότου γυναῖκα διαφθείρειν· εἰ μὴ ἄρα τούτου χάριν παρῆλθον εἰς τὴν ὑμετέραν οἰκίαν, ἵν' ἀποστὰς τῶν ὑπηρεσιῶν, ἃς δεῖ θεράποντα παρέχειν, μεθύω καὶ ἐμπαροινῶ ταῖς ἐλπίσι τοῦ πριαμένου νοθεύων αὐτοῦ γάμον, οἰκίαν, συγγένειαν. ἀλλὰ γὰρ οὐχ ὡς δεσπότην μόνον ἀλλὰ καὶ ὡς εὐεργέτην 46
ἤδη τιμᾶν προάγομαι· πάντ' ἐπιτέτροφέ μοι τὰ οἰκεῖα, οὐδὲν οὐ μικρὸν οὐ μέγα ὑπεξῄρηται τὸ παράπαν δίχα σοῦ τῆς γυναικός· ἀνθ' ὧν ἄξιον
p. 49 M. αὐτὸν ἐν οἷς παραινεῖς ἀμείψασθαι; καλὰς | ὡς ἔοικεν ἀντιπαρέξω δωρεὰς ταῖς προϋπηργμέναις χάρισιν οἰκείας. ὁ μὲν δεσπότης αἰχμάλωτον ὄντα 47
με καὶ ξένον ταῖς εὐεργεσίαις ἐλεύθερον καὶ ἀστὸν τὸ γοῦν ἐπ' αὐτὸν ἧκον μέρος ἀπειργάσατο, ἐγὼ δ' ὁ δοῦλος ὡς ξένῳ καὶ αἰχμαλώτῳ προσενεχθήσομαι τῷ δεσπότῃ; τίνι ψυχῇ παραδεξάμενος τὸ ἀνοσιούργημα τοῦτο; προσβλέψω δὲ τίσιν ὀφθαλμοῖς ὁ σιδηροῦς ἐγώ; τὸ συνειδὸς ἐλλαμβανόμενον ὀρθοῖς ὄμμασιν οὐκ ἐάσει προσβλέπειν, κἂν δυνηθῶ λανθάνειν· λήσομαι δ' οὐδαμῶς· εἰσὶ γὰρ ἐξετασταὶ μυρίοι τῶν λάθρα δρωμένων, οἷς οὐ θέμις ἡσυχάζειν. ἐῶ λέγειν ὅτι, κἂν μηδεὶς ἕτερος 48

---

1 σποράν corr. ex σποράς VK, σποράς CBE, σπορᾶς M  καθαρεύσω A  2 τοῦ] τῆς F[1]  3 ante νεότητος add. ταῖς τῆς A (Mang.)  4 τροφήν FP  5 post τίς add. ἂν AGHPV[1]  6 μόνον om. A  ὁμογνωμονοῦντες K: ὁμογνωμονοῦσι ceteri  8 ante πανταχοῦ add. AFGHP  7 ἄξιον] ἀξίους γὰρ V[2]O  μυρίων θανάτων transp. F  ἀκρίτως A  ἐκδιδόντας H  8 τριττὸν Wendl.: τρίτον codd.  προστίθεις P, προστιθεῖσα BEMGH, προστεθεῖσα F  μοι om. H  9 κελεύεις BEKMF  11 ἵν' ἀποστὰς] ἵνα πρὸς τὰς BEM  12 τὸν γάμον VO  14 ἤδη om. M  πάντες (sed ες eras.) C  ἐπιτέτραφε AVOP  16 παραινεῖν A  ἀμείψασθαι ἐν οἷς παραινεῖς transp. O  ἀμείβεσθαι corr. ex ἀμείψασθαι K  17 οἰκείαις C[1]V[1]  18 καὶ pr. om. VO  εὐεργεσίαις AFGHP: ἐργασίαις ceteri  20 ante τίνι add. καὶ HP(v)  παραδέξομαι V[2]O; παραδεξόμενος coni. Mang.  22 ἐλαυνόμενον F  23 δ' CVAK: om. ceteri  24 ἐῶ γὰρ λέγειν A, ἐῶ λέγειν om. H  ὅτι om. K[1], ss. K[2]

---

22 ὀρθοῖς ὄμμασιν: cf. Soph. Oed. Tyr. 1385. Eur. Hec. 972. Theocr. 5,36.

αἴσθηται ἢ συναισθόμενος μὴ κατείπῃ, μηνυτὴς οὐδὲν ἧττον αὐτὸς
γενήσομαι κατ' ἐμαυτοῦ τῷ χρώματι, τῷ βλέμματι, τῇ φωνῇ, καθάπερ
μικρῷ πρότερον εἶπον, ὑπὸ τοῦ συνειδότος ἐλεγχόμενος· εἰ δὲ καὶ μηδεὶς
κατερεῖ, τὴν πάρεδρον τοῦ θεοῦ δίκην καὶ τῶν πραγμάτων ἔφορον οὔτε
49 δέδιμεν οὔτ' αἰδούμεθα;" (10.) πολλὰ τοιαῦτα συνείροντος καὶ φιλοσο-
φοῦντος, ἐκεκώφητο πρὸς ἅπαντα· δειναὶ γὰρ αἱ ἐπιθυμίαι καὶ τὰς ἀκρι-
βεστάτας τῶν αἰσθήσεων ἐπισκιάσαι· ὅπερ συνιδὼν ἀποδιδράσκει τὰ
50 ἱμάτια καταλιπὼν ἐν ταῖς χερσὶν αὐτῆς, ὧν ἐπείληπτο. τοῦτο παρέσχεν
αὐτῇ τὸ ἔργον εὑρεσιλογεῖν προφάσεις σκεπτομένῃ κατὰ τοῦ νεανίσκου,
αἷς αὐτὸν ἀμυνεῖται· παραγενομένῳ γὰρ ἐξ ἀγορᾶς τῷ αὐτῆς ἀνδρὶ
καθυποκρινομένη τὴν σώφρονα καὶ κοσμίαν καὶ τοῖς ἀκολάστοις ἐπιτη-
δεύμασι πάνυ δυσχεραίνουσαν „ἤγαγες" ἔφη „θεράποντα ἡμῖν παῖδα
Ἑβραῖον, ὃς οὐ μόνον ἤδη τὴν σὴν ψυχὴν διέφθαρκεν εὐχερῶς καὶ ἀνε-
ξετάστως ἐπιτρέψαντος αὐτῷ τὴν οἰκίαν, ἀλλὰ καὶ ἐμοῦ ἀπετόλμησεν
51 αἰσχῦναι τὸ σῶμα. ταῖς γὰρ ὁμοδούλοις οὐκ ἐξήρκεσεν αὐτῷ χρῆσθαι
μόναις ἀσελγεστάτῳ καὶ λαγνιστάτῳ γενομένῳ, πειρᾶν δὲ καὶ τὴν δέσ-
ποιναν ἐπεχείρησεν ἐμὲ καὶ βιάζεσθαι. καὶ τὰ δείγματα τῆς φρενο-
βλαβείας ἐναργῆ καὶ δῆλά ἐστι· περιπαθήσασα γὰρ ὡς ἐξεφώνησα τοὺς
ἔνδον βοηθοὺς ἐπικαλοῦσα, πτοηθεὶς διὰ τὸ ἀπερίσκεπτον τὴν ἐσθῆτα
καταλιπὼν ἀποδιδράσκει φόβῳ συλλήψεως." ἣν καὶ ἐπιδεικνυμένη πίστιν
52 ἐδόκει προσφέρειν τῶν λεγομένων. ἅπερ ἀληθῆ νομίσας ὁ δεσπότης
εἶναι κελεύει τὸν ἄνθρωπον εἰς εἱρκτὴν ἀπαγαγεῖν δυσὶ τοῖς μεγίστοις
ἁμαρτιῶν, ἑνὶ μὲν ὅτι μὴ μεταδοὺς ἀπολογίας ἀκρίτως κατέγνω τοῦ μηδὲν

---

1 κατείποι A, κατείποι (η suprascr.) K   3 μικροῦ L (Turn.)   δὲ om. H¹P   καὶ om. F   4 τοῦ om. CVO   τῶν ⟨ἀνθρωπείων⟩ coni. Wendl., cf. § 170 et sic saepius   4. 5 οὔτ' ἐδέδιμεν H (Turn.); οὔτε δείδιμεν Mang.   5 οὔτε CA   6 ἐκεκώφωτο (η suprascr.) K   πρὸς ἅπαντα K: om. ceteri   6. 7 τὰς ἀκριβεστάτους A   7 συνειδὼς F   7. 8 τὰ ἱμάτια om. O   καταλιπὼν τὰ ἱμάτια transp. HP   9 αὐτῆς F   εὑρησιλογεῖν C   σκηπτομένης K   10 ἀμύνεται V¹   αὐτῆς] ταύτης A   ἀνδρὶ αὐτῆς transp. K   11 καθυποκριναμένη V   κοσμίαν VO: κόσμιον ceteri   alt. καὶ] κἂν H; κἄν Turn., κἂν Mang.   ἀκολάστοις] καλλίστοις P, ἄλλοις CVO   12 δυσχεραίνουσαν BMA: δυσχεραίνουσα ceteri (v)   13 ἤδη om. A   τὴν σὴν K: σὴν om. ceteri   ψυχὴν] οὐσίαν vel κτῆσιν coni. Mang.   14 post ἐπιτρέψαντος add. σου V²O   ἀπετόλμησεν ἐμοῦ transp. A   15 τοῖς M   17 ἐμὲ ἐπεχείρησε transp. A (Mang.)   καὶ pr. om. VO   20 συλλήψεως] συνόψεως P   ἣν AFGHP: om. ceteri   21 φέρειν HP   23 μεταδιδοὺς A   τοῦ] τοῦ νεανίου K (fort. recte)

ἠδικηκότος ὡς τὰ μέγιστα παρανομήσαντος, ἑτέρῳ δὲ ὅτι ἡ ἐσθής, ἣν
προὔφερεν ἡ γυνὴ ὡς ἀπολειφθεῖσαν ὑπὸ τοῦ νεανίσκου, πίστις ἦν βίας,
οὐχ ἣν ἐκεῖνος εἰργάζετο, ἀλλὰ τὴν ὑπομονὴν ἣν ὑπέμεινεν ἐκ τῆς γυ-
ναικός· βιαζομένου μὲν γὰρ ἔργον ἦν τὴν ἀμπεχόνην τῆς δεσποίνης
p. 50 M. κατέχειν, βιασθέντος δὲ τὴν ἰδίαν ἀφαιρεθῆναι. συγγνωστὸς | δ' ἴσως 53
τῆς ἄγαν ἀπαιδευσίας, ἅτε τὴν δίαιταν ἐν μαγειρείῳ ποιούμενος αἵματος
καὶ καπνοῦ καὶ τέφρας ἀνάπλεῳ, τοῦ λογισμοῦ καιρὸν οὐκ ἔχοντος
ἐνηρεμεῖν καὶ σχολάζειν ἑαυτῷ διὰ τὸ πεφύρθαι μᾶλλον ἢ οὐχ ἧττον
τοῦ σώματος.

(11.) Τρεῖς ἤδη χαρακτῆρας τοῦ πολιτικοῦ διετύπωσε, τόν τε 54
ποιμενικὸν καὶ τὸν οἰκονομικὸν καὶ τὸν καρτερικόν. περὶ μὲν οὖν τῶν
προτέρων εἴρηται δυεῖν, ὁ δ' ἐγκρατὴς οὐχ ἧττον ἐκείνων πρὸς πολιτείαν
συντείνει. πρὸς μὲν οὖν ἅπαντα τὰ τοῦ βίου πράγματα λυσιτελὲς ἐγ- 55
κράτεια καὶ σωτήριον, πρὸς δὲ τὰ πόλεως καὶ διαφερόντως, ὡς ἀφθόνως
τοῖς βουλομένοις μανθάνειν πάρεστι καὶ προχειρότατα. τίς γὰρ ἀγνοεῖ 56
τὰς ἐξ ἀκρασίας ἔθνεσι καὶ χώραις καὶ ὅλοις κλίμασι τῆς οἰκουμένης ἐν
γῇ καὶ θαλάττῃ γινομένας συμφοράς; τῶν γὰρ πολέμων οἱ πλείους
καὶ μέγιστοι δι' ἔρωτας καὶ μοιχείας καὶ γυναικῶν ἀπάτας συνέστησαν,
ὑφ' ὧν τὸ πλεῖστον καὶ ἄριστον ἐξαναλώθη τοῦ τε Ἑλληνικοῦ καὶ βαρ-
βαρικοῦ γένους καὶ τῶν πόλεων ἡ νεότης ἐφθάρη. εἰ δὲ τὰ ἐξ ἀκρασίας 57
στάσεις ἐμφύλιοι καὶ πόλεμοι καὶ κακὰ ἐπὶ κακοῖς ἀμύθητα, δῆλον ὅτι
τὰ ἐκ σωφροσύνης εὐστάθεια καὶ εἰρήνη καὶ τελείων κτῆσις ἀγαθῶν καὶ
ἀπόλαυσις.

(12.) Ἄξιον μέντοι καὶ τὰ διὰ τούτων ἐμφαινόμενα κατὰ τὸ ἀκό- 58
λουθον παραστῆσαι. ὁ πριάμενος τὸν ἐπικρινόμενον εὐνοῦχος εἶναι λέγεται·

---

1 δ' CBEKM ὅτε F 2 προέφερεν H, προσέφερεν A, προύφαινεν F ὑπὸ] ἀπὸ F ἥν] ἣν F βίας ἦν transp. HP 3 τὴν ὑπομονὴν secl. Mang.; τῆς ἐπιβουλῆς coni. Wendl., cf. § 248 4 μὲν om. A 5 κατέχειν AFGHP: ἔχειν ceteri ἰδίαν] οἰκείαν A 7 ἀνάπλεῳ scripsi: ἀνάπλεων H, ἀνάπλεως ceteri (v) 8 ἠρεμεῖν AFP ἐνσχολάζειν conicio ἐν ἑαυτῷ AHP(v) ἢ οὐχ ἧττον om. HP[1] 9 τῷ σώματι HP 10 post τρεῖς add. μὲν HP(v) διετύπωσεν ὁ λόγος VO (fort. recte), διετύπωσα H(v) 11 καὶ pr. om. VO μὲν om. O γοῦν O, οὖν om. G 12 δυεῖν CVOG: δυοῖν AKF, om. BEMHP (fort. recte) δὲ CVO 13 συντείνει K[1]: συνάδει ceteri (v) λυσιτελὴς F 14 τὰ τῆς πόλεως A 15 μαθεῖν A πάρεστι μανθάνειν transp. F 16 τὰς KH[2]: om. ceteri καὶ alt. om. F κλήμασι K 17 πλεῖστοι A (fort. recte) 19 ὑφ' ὧν om. F ἐξανηλώθη CK τοῦ θ' AFHP, τε om. G 19. 20 βαρβάρου CVOBEM 21 καὶ pr. om. AVO ἐπὶ κακῶν F post κακοῖς add. διαδέχονται V[2]O δηλονότι AFGHPK 22 ἐκ τῆς σωφροσύνης A

δεόντως· ὁ γὰρ ὠνούμενος τὸν πολιτικὸν ὄχλος ἐστὶ πρὸς ἀλήθειαν εὐ-
νοῦχος, ὅσα μὲν τῷ δοκεῖν ἔχων τὰ γεννητικά, τὰς δ' εἰς τὸ γεννᾶν
δυνάμεις ἀφῃρημένος. καθάπερ καὶ οἱ τὰς ὄψεις ὑποχυθέντες ὀφθαλμοὺς
ἔχοντες τῆς δι' ὀφθαλμῶν ἐνεργείας στέρονται βλέπειν οὐ δυνάμενοι.
59 τίς οὖν ἡ πρὸς ὄχλον εὐνούχων ὁμοιότης; ὅτι ἄγονός ἐστι σοφίας δοκῶν
ἐπιτηδεύειν ἀρετήν· ὅταν γὰρ μιγάδων καὶ συγκλύδων πλῆθος ἀνθρώπων
εἰς ταὐτὸν συνέλθῃ, λέγει μὲν τὰ δέοντα, φρονεῖ δὲ καὶ πράττει τἀναντία,
τὰ νόθα πρὸ τῶν γνησίων ἀποδεχόμενος, ἕνεκα τοῦ δόξης μὲν ἡττᾶσθαι,
60 τὸ δ' ἀληθείᾳ καλὸν μὴ ἐπιτηδεύειν. ὅθεν καὶ — τὸ παραλογώτατον —
γυνὴ τῷ εὐνούχῳ τούτῳ συνοικεῖ· μνᾶται γὰρ ὄχλος ἐπιθυμίαν, ὥσπερ
ἀνὴρ γυναῖκα, δι' ἧς ἕκαστα καὶ λέγει καὶ πράττει σύμβουλον αὐτὴν
ποιούμενος ἁπάντων ῥητῶν καὶ ἀπορρήτων μικρῶν τε αὖ καὶ μεγάλων,
61 ἥκιστα προσέχειν εἰωθὼς τοῖς ἐκ λογισμοῦ. προσφυέστατα μέντοι καὶ
ἀρχιμάγειρον αὐτὸν καλεῖ· καθάπερ γὰρ οὐδὲν ἕτερον ἐπιτηδεύει μά-
γειρος ἢ τὰς ἀνηνύτους καὶ περιττὰς γαστρὸς ἡδονάς, τὸν αὐτὸν τρόπον
καὶ ὁ πολιτικὸς ὄχλος τὰς δι' ἀκοῆς τέρψεις τε καὶ θρύψεις, ὑφ' ὧν
οἱ τόνοι τῆς διανοίας χαλῶνται καὶ τρόπον τινὰ | τὰ νεῦρα τῆς ψυχῆς p. 51 M.
62 ἐκλύεται. τὴν δὲ πρὸς ἰατροὺς μαγείρων διαφορὰν τίς οὐκ οἶδεν; οἱ
μὲν τὰ ὑγιεινά, κἂν μὴ προσηνῆ τυγχάνῃ, μόνα διὰ σπουδῆς τῆς πάσης
εὐτρεπίζονται, οἱ δ' ἔμπαλιν μόνα τὰ ἡδέα τοῦ συμφέροντος ἀλογοῦντες.
63 ἰατροῖς μὲν οὖν ἐοίκασιν ἐν δήμῳ νόμοι καὶ οἱ κατὰ νόμους ἄρχοντες
βουλευταί τε καὶ δικασταὶ φροντίζοντες τῆς τῶν κοινῶν σωτηρίας καὶ
ἀσφαλείας ἀκολάκευτοι, ὀψαρτυταῖς δὲ οἱ πολυάνθρωποι τῶν νεωτέρων
ὅμιλοι· μέλει γὰρ αὐτοῖς οὐ τὰ συνοίσοντα, ἀλλὰ πῶς τὴν ἐν τῷ παρόντι
64 καρπώσονται μόνον ἡδονήν. (13.) ἐρᾷ δ' ὡς ἀκόλαστος γυνὴ καὶ ἡ
τῶν ὄχλων ἐπιθυμία τοῦ πολιτικοῦ καί φησιν αὐτῷ· „παρελθών, ὦ

---

1 τὸν] τὸ G   1. 2 εὐνοῦχος πρὸς ἀλήθειάν ἐστιν transp. O   2 ὅσα] σῶα F   τῷ] τὸ C   δὲ C   4 διὰ τῶν ὀφθαλμῶν A   5 ἡ] οἱ M   ὄχλων P   εὐνούχω K   5. 6 δοκῶν ἐπιτηδεύειν K: ἐπιτηδεύει δ' H(v), ἐπιτηδεύειν (om. δοκῶν) ceteri   7 συνέλθοι A$V^1$   8 τοῦ] τῆς P   11 σύμβολον M   12 ἁπάντων om. HP   post ῥητῶν add. τε HP   14 ἕτερον οὐδὲν transp. A   17 οἱ] οὐ F   18 ἐκλύεται AFGHP: ἐκλύονται ceteri   δὲ om. CVO   19 μόνα codd.: μόνον v   23 ὀψαρτυταῖς — ὅμιλοι (24) om. G   ὀψαρτύταις BEM, ὀψαρτυσταῖς H   δ' C   νεωτέρων] ἑτέρων coni. Mang.   24 μέλλει BMVO   συνοίσοντα BEM: συνοίσοντα ~~μόνον~~ (sic) K, συνοίσοντα αὐτῷ A($V^1$ ut vid.), συνοίσοντα τῷ κοινῷ $V^2$O, συνοίσοντα αὐτοῖς CFGHP   25 μόνον καρπώσονται transp. A   δ'] δὲ καὶ VO   ἀκόλαστος] ἀκολάκευτος CBEM   καὶ eras. $V^2$, om. O   26 τοῦ ὄχλου coni. Mang.   post αὐτῷ add. ὡς συνοίκω O (cf. 75,1)

οὗτος, εἰς ὄχλον, ᾧ συνοικῶ, πάντων ἐκλαθοῦ τῶν ἰδίων ἠθῶν, ἐπιτη-
δευμάτων, λόγων, ἔργων, ἐν οἷς ἐτράφης· ἐμοὶ δὲ πειθάρχει καὶ ἐμὲ
θεράπευε καὶ ὅσα δι' ἡδονῆς ἐστί μοι πρᾶττε. αὐστηρὸν γὰρ καὶ αὐθέ- 65
καστον καὶ ἀληθείας ἑταῖρον καὶ ἀκριβοδίκαιον, ὄγκῳ καὶ σεμνότητι πρὸς
ἅπαντα χρώμενον καὶ πρὸς μηδὲν εἴκοντα, μόνου περιεχόμενον ἀεὶ τοῦ
συμφέροντος ἄνευ θεραπείας τῶν ἀκροωμένων, οὐκ ἀνέχομαι. διαβολὰς 66
δ' ἐρανιῶ κατὰ σοῦ μυρίας καὶ πρὸς τὸν ἐμὸν ἄνδρα τὸν ὄχλον, τὸν
σὸν δεσπότην· ἄχρι γὰρ νῦν ἀπελευθεριάζειν δοκεῖς μοι καὶ ὅτι δοῦλος
τυραννικοῦ γέγονας δεσπότου λίαν ἀγνοεῖς. εἰ δὲ ᾔδεις, ὅτι αὐτοπραγία
μὲν οἰκειότατον ἐλευθέρῳ, οἰκέτῃ δ' ἀλλότριον, ἐπεπαίδευσο ἂν αὐθάδειαν
μεθέμενος εἰς ἐμὲ βλέπειν τὴν ἐκείνου γυναῖκα, ἐπιθυμίαν, καὶ δρᾶν τὰ
πρὸς ἀρέσκειαν τὴν ἐμήν, δι' ὧν μάλιστα εὐαρεστήσεις. (14.) ὁ δὲ 67
πολιτικὸς ὄντως οὐκ ἀγνοεῖ μέν, ὅτι δεσποτικὴν ἐξουσίαν ἔχει ὁ δῆμος,
αὐτὸν δ' οὐχ ὁμολογήσει δοῦλον ἀλλ' ἐλεύθερον καὶ * * * τὴν τῆς
ψυχῆς ἀρέσκειαν. ἀλλ' ἄντικρυς ἐρεῖ· „δημοκοπεῖν οὔτ' ἔμαθον οὔτ'
ἐπιτηδεύσω ποτέ, πόλεως δὲ προστασίαν καὶ ἐπιμέλειαν ἔχειν ἐγχειρισθείς,
ὡς ἀγαθὸς ἐπίτροπος ἢ πατὴρ εὔνους * * * ἀδόλως καὶ καθαρῶς ἄνευ
τῆς ἐχθρᾶς ὑποκρίσεως. ταῦτα φρονῶν ἐξετασθήσομαι μηδὲν ὑποστέλλων 68
μηδὲ συγκρύπτων φωρὸς τρόπον, ἀλλὰ τὸ συνειδὸς αὐγάζων ὡς ἐν ἡλίῳ
καὶ φωτί· φῶς γὰρ ἡ ἀλήθεια· φοβηθήσομαι δ' οὐδὲν ὧν ἂν ἐπανα-
τείνηται, κἂν θάνατον ἀπειλῇ· θανάτου γὰρ ἐμοὶ κακὸν ἀργαλεώτερον

ἰδίων
1 εἰς ὄχλον eras. V ᾧ συνοικῶ K: ὡς συνοίκω ceteri, hic om. O οἰκείων K ἠθῶν om. F 2 καὶ ἐπ' ἐμὲ (αι) H¹P 4 ἕτερον C 5 εἰκότα H¹P, εἶκον BEM περιεχομένου F 7 δ' ἐρανιῶ K¹: ἐρανίζω (om. δ') VO, δ' ἐρανίζω K², om. in lacuna BEM, δ' ἐνίων ceteri (v) καὶ secludendum videtur 9 τυραννικὸς A post ἀγνοεῖς add. τὸν σὸν δεσπότην A δὲ] δὲ καὶ A ὅτι om. M 10 οἰκειότατον K: om. ceteri ἐλευθέρα V²O, ἐλευθέρω δ' K οἰκέτου V²O δ' FGHP, δὲ A: om. ceteri ὡς πεπαίδευσο ἂν A 11 δρᾶν τὰ K (coni. Mang.): ἄραντα C, ἔρωτα BEM, ἅπαντα VO, ἅπαντα τὰ AFGHP(v) 12 μάλιστ' A, μᾶλλον V 14 αὐτὸν O, ex αὐτὸν corr. VH: αὐτὸν ceteri δὲ AVO καὶ] κατὰ V²O καὶ ⟨πάντα δρῶντα κατὰ⟩ τὴν τ. ψ. ἀ. coni. Mang. 15 ἀρέσκειαν] εὐγένειαν V²K² δημοσκοπεῖν BEKM οὐκ ἔμαθον A (Mang.) 16 ἐπετήδευσα HP ἔχειν] ἀνέχειν F, om. BEK 17 verbum deest; δράσω vel χρηματιῶ e. gr. conicio; βραβεύσω pro καὶ καθαρῶς coni. Mang. coll. 76,15; sed fortasse haec ἀνακολούθως cum seqq. coniungenda sunt . . . ὑποκρίσεως — ταῦτα φρονῶν κτλ. 18 ταὐτὰ K φρονεῖν F 19 μηδὲ] μηδὲν BE αὐγάζον ὡς V²O, αὐγάζοντος (vel αὐγάζον ὃς?) V¹ 20 post φωτί add. περιφέρων V²O, ss. K² δὲ CVO 20. 21 ὧν ἐπανατείνεται (om. ἂν) A 21 κἂν] καὶ C ἀπειλῇ] ἀπαιτῇ HP κακὸν om. K

69 ὑπόκρισις. ἣν ὑπομενῶ τοῦ χάριν; καὶ γὰρ εἰ δεσπότης ὁ δῆμος, ἀλλ' οὐκ ἐγὼ δοῦλος, εὐπατρίδης δ' εἴ καί τις ἄλλος, ἐφιέμενος ἐγγραφῆς
70 τῆς ἐν τῷ μεγίστῳ καὶ ἀρίστῳ πολιτεύματι τοῦδε τοῦ κόσμου. ὅταν | γὰρ μὴ δῶρα, μὴ παρακλήσεις, μὴ τιμῶν ἔρως, μὴ ἀρχῆς ἐπιθυμία, p. 52 M. μὴ ἀλαζονεία, μὴ ὁ τοῦ δοκεῖν ἵμερος, μὴ ἀκολασία, μὴ ἀνανδρία, μὴ ἀδικία, μηδὲν ἄλλο τῶν ὅσα ἐκ πάθους ἢ κακίας ὑπάγηται, τίνος ἔτι
71 φοβηθήσομαι δεσποτείαν; ἢ δῆλον ὅτι τὴν ἀπ' ἀνθρώπων; ἀλλ' οὗτοί γε τὴν σώματος ἐπιγράφονται κυρείαν, οὐ τὴν κατ' ἐμέ· ἐγὼ γὰρ ἀπὸ τοῦ κρείττονος, τῆς ἐν ἐμαυτῷ διανοίας, χρηματίζω, καθ' ἣν παρεσκεύασμαι βιοῦν ὀλίγα φροντίζων τοῦ θνητοῦ σώματος, ὃ κἂν ὀστρέου δίκην περιπεφυκὸς ἐπηρεάζηται πρός τινων, ἀφειμένον τῶν ἔνδον δεσποτῶν τε χαλεπῶν καὶ δεσποινῶν, οὐκ ἀνιάσομαι τὴν βαρυτάτην ἀνάγκην ἐκπε-
72 φευγώς. ἐὰν οὖν δικάζειν δέῃ, δικάσω μήτε πλουσίῳ προσθέμενος διὰ τὴν περιουσίαν μήτε πένητι διὰ τὸν ἐπὶ ταῖς ἀτυχίαις ἔλεον, ἀλλὰ τὰ τῶν κρινομένων ἀξιώματα καὶ σχήματα παρακαλυψάμενος ἀδόλως βρα-
73 βεύσω τὸ φανησόμενον δίκαιον. ἐάν τε βουλεύω, γνώμας εἰσηγήσομαι τὰς κοινωφελεῖς, κἂν μὴ πρὸς ἡδονὴν ὦσιν· ἐάν τε ἐκκλησιάζω, τοὺς θῶπας λόγους ἑτέροις καταλιπὼν τοῖς σωτηρίοις χρήσομαι καὶ συμφέρουσιν, ἐπιτιμῶν, νουθετῶν, σωφρονίζων, οὐκ αὐθάδειαν μανιώδη καὶ
74 παράφορον ἀλλὰ νήφουσαν παρρησίαν ἐπιτετηδευκώς. εἰ δὲ μὴ χαίρει τις ταῖς βελτιώσεσιν, ἐπιτιμάτω καὶ γονεῦσι καὶ ἐπιτρόποις καὶ διδασκάλοις καὶ πᾶσι τοῖς κηδεμόσιν, ὅτι τέκνα γνήσια καὶ ὀρφανοὺς παῖδας καὶ φοιτητὰς κακηγοροῦσιν, ἔστι δ' ὅτε καὶ τύπτουσιν, οἷς οὔτε βλασφη-

---

1 ὑπομένω BEM 2 οὐκ K: οὖν ceteri (v) δοῦλος] δῆμος A εὐπατρίδης δ' K: δ' om. ceteri (v) 2. 3 ἐγγραφῆς τῆς AFGHP: ἐγγραφεῖσθαι ceteri (sic Mang.) 3 τοῦδε om. BKM τῷδε τῷ κόσμῳ conicio 4 παρακλήσεις AFGHP: παράκλησις ceteri 6 κακίας ἢ πάθους transp. A ὑπάγεται A, ὑπαγάγηται V²O ἔτι] ἕνεκα V²O 7 φοβήσομαι GH¹, φοβηθήσεται A δέσποτα O ἢ—ἀνθρώπων om. HP¹, add. mg. P² δηλονότι CAGP² τὴν] τῶν BEM ὑπ' AP² οὗτοι P 8 κυρίαν FL (v) οὐ τὴν κατ' ἐμέ K¹: οὐδὲν κατ' ἐμοῦ ceteri 11 περιπεφυκὼς P ἀφειμένων AF¹; ἀφειμένος coni. Mang. 12 τε om. BEK χαλεπῶν καὶ VO: καὶ χαλεπῶν ceteri, χαλεπῶν om. F οὐκ add. ante ἐκπεφευγὼς F 13 μήτε] μὴ A 13. 14 διὰ τὴν περιουσίαν om. F 14 τὰ om. FGH¹P 15 ἀξιώματι καὶ σχήματι F τε καὶ A 16 βουλεύσω F, δουλεύω G, βουλεύω om. M εἰσηγήσωμαι F 17 ἐκκλησιάζων F 18 ἑτέρῳ A, ἑτέρων F 20 παράφρονα VO post νήφουσαν add. καὶ BEM χαίρει A, χαίρῃ C 22 τέκνα] τε καὶ BEMVO 23 κατηγοροῦσιν C¹FGHP, κατηγοροῦσιν K

μίαν οὐθ' ὕβριν ὅσιον ἐπιφημίζειν, ἀλλὰ τοὐναντίον τὰ φιλίας καὶ εὐνοίας
ὀνόματα. πάνυ γὰρ ἀνάξιον τὸν πολιτικὸν ἐμὲ καὶ τὰ τοῦ δήμου πάντα 75
ἐπιτετραμμένον ἐν τοῖς περὶ τοῦ συμφέροντος λογισμοῖς χείρονα γενέσθαι
τινὸς τὴν ἰατρικὴν τέχνην ἐπιτηδεύοντος. ἐκεῖνος γὰρ οὐδὲν τῆς περὶ 76
τὸν θεραπευόμενον λαμπρότητος ἐν ταῖς νομιζομέναις εὐτυχίαις φροντίσας, οὐθ' ὅτι εὐγενὴς ἦν ἢ πολυχρήματος οὐθ' ὅτι τῶν κατ' αὐτὸν ἐνδοξότατος βασιλεὺς ἢ τύραννος, ἑνὸς περιέχεται μόνου τοῦ σῶσαι κατὰ δύναμιν, κἂν δέῃ τομαῖς ἢ καύσεσι χρῆσθαι, καίει τε καὶ τέμνει τὸν
ἄρχοντα καὶ δεσπότην ὁ ὑπήκοος καὶ λεγόμενος δοῦλος. ἐγὼ δ' οὐχ 77
ἕνα ἄνδρα πόλιν δ' ὅλην κάμνουσαν παραλαβὼν ὑπ' ἀργαλεωτέρων νόσων, ἃς κατεσκεύασαν αἱ συγγενεῖς ἐπιθυμίαι, τί πράσσειν ὀφείλω; προέμενος τὰ συνοίσοντα πᾶσι κοινῇ τὰ τοῦ δεῖνος ἢ τοῦ δεῖνος ὦτα θεραπεύειν ἀνελευθέρῳ καὶ σφόδρα δουλοπρεπεῖ κολακείᾳ; τεθνάναι μᾶλλον ἂν
p. 53 M. ἑλοίμην ἢ πρὸς ἡδονήν τι φθεγξάμενος | ἐπικρύψαι τὴν ἀλήθειαν καὶ τοῦ συμφέροντος ἀμελῆσαι.

„πρὸς ταῦθ'“ 78
ὡς ὁ τραγικός φησιν
„ἴτω μὲν πῦρ, ἴτω δὲ φάσγανον“. —
„πίμπρα, κάταιθε σάρκας, ἐμπλήσθητί μου
πίνων κελαινὸν αἷμα· πρόσθε γὰρ κάτω
γῆς εἶσιν ἄστρα, γῆ δ' ἄνεισ' εἰς αἰθέρα,
πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον.“

1 καὶ εὐνοίας om. BEKM, add. mg. K² 2 ἄξιον V¹ ἐμὲ τὸν πολιτικὸν transp. G καὶ τὰ] κατὰ C¹VO, καὶ τὸ C², καὶ τὸν F πάντα] πᾶν CV¹, τὸ πᾶν V²O, πάντα om. A 6 ἢ πολυχρήματος ἦν transp. G κατ' αὐτὸν KF: καθ' αὐτὸν ceteri (v) 8 ἢ] καὶ F κεχρῆσθαι A κάει τὲ corr. ex καὶ εἴτε B καίειν τε καὶ τέμνειν VO, τέμνει τε καὶ καίει transp. A, τε om. C 9 καὶ alt. om. K 12 θεραπεύσω K post θεραπεύειν interpung. CVOBEM 13 ἀνελεύθερον καὶ σφόδρα δουλοπρεπὲς CVOK²BEM (γρ. ἀνελευθέρω καὶ δουλοπρεπεῖ mg. V) κολακείᾳ] καὶ κολακεία V¹, θεραπεία A ἂν om. BEK¹MV¹ 14 φθεγγόμενος H 17 ὡς om. O 18 ἴτω μὲν πῦρ om. F μὲν] γε V²O post φάσγανον add. τομὸν V²K², τὸ μὲν O 19 πίπρα BM σαρκὸς V²O 20 :καὶ πίνων F κελαινὸν αἷμα πίνων transp. G πρόσθεν AF 21 γῆς κύκλον ἴδης ἡρμένον πρὸς αἰθέρα V²O εἶσιν] εἴη K, ἥει C γῆ δ' ἄνεισ' FH: γῆ τ' ἄνεισ' B²M, πηδᾶν εἴση B¹E, γῆ δ' ἄνεισιν A, γῆ δ' ἂν G, γῆ τ' ἂν P, γῆ δ' ἂν εἴη K, γῆ δ' ἀνήει C 22 θῶπα C

16. 18 Eur. Phoen. 521 19—22 Eur. frg. 687 Nauck²

79 οὕτως οὖν ἠρρενωμένον τὸ φρόνημα καὶ ἐκτὸς πάντων παθῶν ἱστάμενον,
ἡδονῆς, φόβου, λύπης, ἐπιθυμίας, ἄνδρα πολιτικὸν ὁ δεσπότης δῆμος
οὐκ ἀνέχεται, συλλαβὼν δ' ὡς ἐχθρὸν κολάζει τὸν εὔνουν καὶ φίλον,
πρὸ ἐκείνου τιμωρούμενος ἑαυτὸν τῇ μεγίστῃ τῶν τιμωριῶν, ἀπαιδευσίᾳ,
δι' ἣν οὐκ ἔμαθεν ἄρχεσθαι, τὸ κάλλιστον καὶ βιωφελέστατον, ἐξ οὗ
περιγίνεται καὶ τὸ ἄρχειν.
80 (15.) Ἀποχρώντως δὴ καὶ περὶ τούτων διειλεγμένοι τὰ ἑξῆς ἴδωμεν.
ὁ διαβληθεὶς νεανίας ὑπὸ τῆς ἐρωμένης γυναικὸς τῷ δεσπότῃ πλασαμένης
ἀντιστρόφους αἰτίας, αἷς ἦν ἔνοχος αὐτή, μηδ' ἀπολογίας τυχὼν εἰς εἱρ-
κτὴν ἀπάγεται· καὶ γενόμενος ἐν τῷ δεσμωτηρίῳ τοσοῦτον ἀρετῆς
μέγεθος ἐπεδείξατο, ὡς καὶ τοὺς πονηροτάτους τῶν ἐκεῖ τεθηπέναι καὶ
καταπλήττεσθαι καὶ παρηγόρημα τῶν συμφορῶν ὑπολαμβάνειν ἀλεξίκακον
81 εὑρηκέναι τὸν ἄνθρωπον. ὅσης δ' ἀπανθρωπίας οἱ εἱρκτοφύλακες γέ-
μουσι καὶ ὠμότητος, οὐδεὶς ἀγνοεῖ· φύσει τε γὰρ ἀνηλεεῖς εἰσι καὶ
μελέτῃ συγκροτοῦνται θηριούμενοι καθ' ἑκάστην ἡμέραν πρὸς ἀγριότητα,
χρηστὸν μὲν οὐδὲν ἀλλ' οὐδ' ἐκ τύχης ὁρῶντες ἢ λέγοντες ἢ δρῶντες,
82 ὅσα δὲ βιαιότατα καὶ χαλεπώτατα. καθάπερ γὰρ οἱ τὰ σώματα εὐπα-
γεῖς, ὅταν τὴν ἐξ ἀθλητικῆς ἄσκησιν προσλάβωσι, νευροῦνται δύναμιν
ἀνανταγώνιστον καὶ εὐεξίαν ὑπερβάλλουσαν κτώμενοι, τὸν αὐτὸν τρόπον,
ὅταν ἀτίθασος καὶ ἀμείλικτος φύσις ἄσκησιν εἰς τὸ ἀνήμερον προσλάβῃ,
διχόθεν ἄβατος καὶ ἀπρόσιτος οἴκτῳ γίνεται, χρηστῷ πάθει καὶ φιλαν-
83 θρώπῳ. ὥσπερ γὰρ οἱ τῶν ἀγαθῶν ὁμιληταὶ βελτιοῦνται τοὺς τρόπους

1 ἠρμένον AFGHP ἐκτὸς AFGHP: om. K, ἐκ ceteri (ss. $K^2$) πάντων] πάνυ τῶν K τῶν παθῶν VO ἱστάμενος A 2 ἐπιθυμίας om. A 3 συλλαβὸν C τὸ P καὶ om. VO 4 πρὸς $C^1$ 5. 6 ἐξ οὗπερ γίνεται BEKM 6 καὶ om. A 7 δὴ] οὖν A 8 πλασαμένη M, πλασάμενος F 9 αὕτη A μηδὲ C 9. 10 εἰς τὴν εἱρκτὴν F 11 ἐκεῖ CAVO: ἐκεῖσε ceteri 12 ⟨καὶ⟩ ἀλεξίκακον coni. Mang. 12. 13 εὑρηκέναι ἀλεξίκακον transp. K 13 δ' om. CVO οἱ εἱρκτοφύλακες ἀπανθρωπίας transp. CVO 15 συγκροτούμενοι θηριοῦνται $V^2$O θηριούμενοι post ἡμέραν transp. A καθ' CAK$V^2$: καὶ ante καθ' add. ceteri 16 ἀλλ' οὐδ' ἐκ τύχης K ($V^1$ ut vid.) cf. § 238: ἀλλ' οὐδὲ τύχης BEM, ἀλλ' οὐδ' εὐμενὲς $V^2$O, om. ceteri (v) λέγοντες ἢ δρῶντες ἢ ὁρῶντες transp. A; δρῶντες ἢ λέγοντες ἢ ὁρῶντες Mang. 17 βιαιότητα M, βεβαιότατα $B^1$E 17. 18 εὐπραγεῖς A 18 ἀθλητικῆς C: ἀσκητικῆς ceteri ἄσκησιν] ἐκτριβὴν $V^2K^2$O 20 ἀτίθασος CBEHP: ἀτίθασσος ceteri καὶ ἀμείλικτος om. A προσλάβοι A 21 γίνεται $K^1$: ἐνὶ ceteri; ἢ ἐνὶ Mang. πάθει χρηστῷ transp. CA 22 καὶ ὥσπερ H γὰρ om. $HP^1$

8 sqq. Gen. 39,21—23

χαίροντες τοῖς συνοῦσιν, οὕτω καὶ οἱ τοῖς πονηροῖς συζῶντες ἀπομάττονταί
τι τῆς ἐκείνων κακίας· δεινὸν γὰρ τὸ ἔθος ἐξομοιῶσαι καὶ βιάσασθαι
πρὸς φύσιν. συνδιατρίβουσιν οὖν οἱ εἱρκτοφύλακες λωποδύταις, κλέπταις, 84
τοιχωρύχοις, ὑβρισταῖς, βιαίοις, φθορεῦσιν, ἀνδροφόνοις, μοιχοῖς, ἱεροσύ-
λοις, ὧν ἀφ' ἑκάστου σπῶνταί τι μοχθηρίας καὶ συνερανίζουσι καὶ ἐκ
τῆς πολυμιγοῦς κράσεως ἓν ἀποτελοῦσι πάμφυρτον καὶ παμμίαρον κακόν.
p. 54 M. (16.) ἀλλ' ὅμως ὁ τοιοῦτος | ἡμερωθεὶς ὑπὸ τῆς τοῦ νεανίσκου καλο- 85
κἀγαθίας οὐ μόνον ἀδείας καὶ ἐκεχειρίας μετέδωκεν, ἀλλὰ καὶ ἀρχῆς
τῆς ἐφ' ἅπασι τοῖς δεσμώταις, ὡς λόγῳ μὲν ἕνεκα προσχήματος ἐμμένειν
εἱρκτοφύλαξ, τὴν δ' ἐν ἔργοις τάξιν παρακεχωρηκέναι τῷ νεανίᾳ, δι' ἧς
οὐκ ὀλίγα συνέβαινε τοὺς ἀπαχθέντας ὠφελεῖσθαι. τὸ γοῦν χωρίον οὐδ' 86
ὀνομάζειν ἔτ' ἠξίουν εἱρκτήν, ἀλλὰ σωφρονιστήριον· ἀντὶ γὰρ βασάνων καὶ
τιμωριῶν, ἃς νύκτωρ καὶ μεθ' ἡμέραν ὑπέμενον τυπτόμενοι καὶ καταδού-
μενοι καὶ τί κακὸν οὐ πάσχοντες, λόγοις καὶ δόγμασι τοῖς φιλοσοφίας ἐνου-
θετοῦντο καὶ ταῖς ἀνυσιμωτέραις παντὸς λόγου πράξεσι τοῦ διδάσκοντος.
τὸν γὰρ αὑτοῦ βίον σωφροσύνης καὶ πάσης ἀρετῆς οἷα γραφὴν ἀρχέτυπον 87
εὖ δεδημιουργημένην ἐν μέσῳ θεὶς ἐπέστρεψε καὶ τοὺς πάνυ δοκοῦντας
ἀνιάτως ἔχειν, οἷς μακραὶ νόσοι τῆς ψυχῆς ἐλώφησαν ἤδη κακίζουσιν
ἐπὶ τοῖς πεπραγμένοις αὑτοὺς καὶ μετανοοῦσι καὶ τοιαῦτ' ἐπιφθεγγομένοις·
„ποῦ ποτ' ἄρ' ἦν πάλαι τοσοῦτον ἀγαθόν, οὗ τὴν ἀρχὴν ἐσφάλημεν;
ἰδοὺ γὰρ ἐπιλάμψαντος αὐτοῦ, ὡς πρὸς κάτοπτρον τὴν ἀκοσμίαν ὁρῶντες
αὑτῶν αἰσχυνόμεθα“. (17.) τοῦτον τὸν τρόπον βελτιουμένων εἰσάγονται 88

1 post συνοῦσιν add. ἡδέσι καὶ ἀγαθοῖς HP(v) τοῖς alt. om. BEK$^{1}$ 2 τι BEM: om. ceteri τῆς] τὰς V$^{2}$O 3 οὖν AFG: δ' H, om. ceteri κλέπτες C, κλέπται M 4 βιοφθορεῦσιν H ἀνδροφόνοις om. H 5 σπῶνται] ῦ ν σύνυῶνται (sic) H, συνυλῶνται L 6 πολυμμιγοῦς V ἓν ex ἐν corr. HP μιαρὸν VO 7 ἀπὸ A 8 ἐκκεχειρίας VAP 9 τῆς] τοῖς B$^{1}$E προσχήματος F ἔτι μένειν coni. Wendl. 10 δὲ C τάξιν] πρᾶξιν HP(v); προστασίαν coni. Mang. 11 γοῦν] γὰρ C 12 ἔτι F 13 νύκτωρ] νύκταις corr. in νύκτας C 14 κακὸν corr. ex κακῶν G, κακῶν EFHP τοῖς C, τοῖς ex τῆς corr. H: τῆς ceteri 16 αὑτοῦ V$^{2}$H$^{2}$: αὐτοῦ ceteri 17 εὖ] οὐ G ἐπέτρεψε BEM, ἐπέστρεφε V$^{2}$O, ὑπέστρεψε F 18 ἐλόφησαν C 19 αὑτοὺς O, αὐτοὺς KF, αὐτοὺς corr. ex αὐτοῖς V: αὐτοῖς ceteri (v) τοιαῦτα A ἐπιφθεγγόμενοι VO 20 ἄρα K πάλαι om. A, post ἀγαθὸν transp. F 21 γὰρ CA: γὰρ καὶ ceteri ὡς] καὶ F κάτοπτον E 21. 22 αὑτῶν ὁρῶντες transp. CV 22 αὑτῶν CKOFH$^{1}$P, αὐτῶν om. A αἰσχυνόμεθα—ἀρχιοινοχόος (80,1) om. F βελτιουμένων] εἰσαγομένων O

2. 3 D$^{K}$ fol. 249$^{v}$ Φίλωνος ἐκ τοῦ εἰς τὸν Ἰωσήφ: δεινὸν τὸ ἔθος—πρὸς φύσιν.
22 sqq. Gen. cap. 40

δύο εὐνοῦχοι τοῦ βασιλέως, ὁ μὲν ἀρχιοινοχόος, ὁ δὲ ἀρχισιτοποιός, ἐν
οἷς ἐπετράπησαν κατηγορηθέντες καὶ καταγνωσθέντες. ὁ δὲ καὶ τούτων
τὴν ἐπιμέλειαν ἣν καὶ τῶν ἄλλων ἐποιεῖτο, εὐχόμενος ὅπως οἷός τε ᾖ
89 μηδὲν χείρους τῶν ἀνεπιλήπτων ἀπεργάσασθαι τοὺς ὑφ' ἑαυτῷ. χρόνου
δ' οὐ μακροῦ διελθόντος, ἐπιὼν τοὺς δεσμώτας ὁρᾷ συννοίας καὶ κατη-
φείας γέμοντας μᾶλλον ἢ πρότερον τοὺς εὐνούχους καὶ στοχασάμενος ἐκ
τῆς σφοδρᾶς λύπης προσπεπτωκέναι τι νεώτερον ἐπυνθάνετο τὴν αἰτίαν.
90 ἀποκριναμένων δέ, ὡς ὀνείρους ἰδόντες ἄσης καὶ ἀδημονίας πεπλήρωνται,
μηδενὸς ὄντος τοῦ διακρινοῦντος, „θαρσεῖτε“ ἔφη „καὶ διηγεῖσθε, γνώριμοι
γὰρ ἔσονται βουλομένου θεοῦ· βούλεται δὲ τὰ συνεσκιασμένα τῶν πραγ-
μάτων ἀνακαλύπτειν τοῖς ἀλήθειαν ποθοῦσιν.“ εἶτα πρότερος ὁ ἀρχιοινο-
91 χόος φησίν· „ἔδοξα μεγάλην ἄμπελον ἐκπεφυκέναι τριῶν πυθμένων ἓν
εὐερνέστατον στέλεχος, τεθηλυῖαν καὶ βοτρυηφοροῦσαν ὡς ἐν ἀκμῇ τῆς
ὀπώρας, ὑποπερκαζούσης δὲ τῆς σταφυλῆς δρέψασθαι τῶν βοτρύων καὶ
εἰς ἔκπωμα βασιλικὸν ἀποθλίβειν, ὅπερ ἱκανῶς ἔχον ἀκράτου προσενεγκεῖν
92 τῷ βασιλεῖ.“ ὁ δὲ μικρὸν ἐπισχὼν „εὐτυχίαν“ εἶπεν „ἡ φαντασία σοι
καταγγέλλει καὶ τῆς προτέρας ἀνάληψιν ἀρχῆς· αἱ γὰρ τρεῖς ῥίζαι τῆς
ἀμπέλου τρεῖς ἡμέρας ὑπογράφουσι, μεθ' ἃς ὑπομνησθήσεταί σου
ὁ βασιλεὺς καὶ μεταπεμψάμενος ἐνθένδε παρέξει μὲν ἀμνηστίαν, ἐπιτρέψει
δὲ τῆς αὐτῆς μεταποιεῖσθαι τάξεως, καὶ ὑπὲρ βεβαιώσεως τῆς ἀρχῆς
οἰνοχοήσεις ἀναδοὺς ἔκπωμα τῷ δεσπότῃ.“ καὶ ὁ μὲν ἐγεγήθει ταῦτ'
93 ἀκούσας. (18.) ὁ δ' ἀρχισιτοποιὸς | ἀποδεξάμενος τὴν διάκρισιν, ὡς p. 55 M.
καὶ αὐτὸς εὐτυχὲς ὄναρ ἰδὼν — ἣν δ' οὐ μετρίως παλίμφημον —,
ἀπατηθεὶς ταῖς ἑτέρου χρησταῖς ἐλπίσι φησίν· „ἀλλὰ κἀγὼ κανηφορεῖν

---

1 δὲ CA: δ' ceteri    ἀρτοσιτοποιός (sic) F    ἐν] ἐφ' VO    3 ἣν] ἡ CAV$^2$K$^2$O    οἷόν τε BEF, οἷόν τ' A, εἰ οἷόν τε CVOK    ἦν A, ἣν F, ᾖ (ἢ supra) om. BEM    4 ἐργάσασθαι CK$^1$, ἀπεργάσηται VOK$^2$    ἑαυτὸν corr. ex ἑαυτῷ F    5 ἐπιὼν] ἐπὶ F    6 γέμοντας τοὺς δεσμώτας μᾶλλον ἢ πρότερον K (α γ εὐνούχους β supra)    εὐνούχους corr. ex δεσμώτας O    7 σφόδρα BEKVO    προπεπτωκέναι G    ἐπυνθάνετο τὴν αἰτίαν om. M    8 ἀποκριναμένων CABEKM: ἀποκρινομένων ceteri    καὶ ἄσης F    ἄσης] πάσης VO    καὶ om. VO, ἄσης καὶ om. A    ἀδημονίας] ἀθυμίας A    9 διακρίνοντος A    10 βουλεύεται AF    11 πρότερον CAVO    12 ἔδοξε BEM    εἰς ἓν F, ἓν om. BEMHP$^1$    13 βοτρυοφοροῦσαν MAHO    ὡς om. A    14 ὑπερπερκαζούσης A    15 εἰς] ὡς G    καὶ ante ὅπερ add. F    15. 16 ἔχον ἱκανῶς ἀκράτου τῷ βασιλεῖ προσενεγκεῖν K    16 σοι om. A    19 ὁ βασιλεὺς om. HP$^1$, add. mg. P$^2$    20 δὲ CA: δὲ καὶ ceteri    21 ταῦτα CK    22 δὲ CVO    ὡς] ὃς BEMG    23 καὶ om. A    εὐτυχὲς] ἔτυχεν CBEM    24 ἑταίρου A    ἐλπίσι χρησταῖς transp. A

ἔδοξα καὶ τρία πλήρη κανᾶ πεμμάτων κομίζειν ἐπὶ τῆς κεφαλῆς, τὸ δ'
ἀνωτάτω πλῆρες εἶναι παντοίων γενῶν, οἷς ἔθος ἐστὶ χρῆσθαι τὸν βασιλέα
— ποικίλας δ' εἶναι τὰς πρὸς δίαιταν βασιλικὴν σιτοπόνων περιεργίας —,
ὄρνεις δὲ καθιπταμένους ἁρπάζειν ἀπὸ τῆς κεφαλῆς καὶ ἀπλήστως ἐμφορεῖ-
σθαι, μέχρις οὗ πάντ' ἀναλῶσαι καὶ μηδὲν τῶν εὐτρεπισθέντων ὑπο-
λιπέσθαι.“ ὁ δὲ „ἐβουλόμην μὲν“ εἶπε „μὴ παραστῆναί σοι τὴν φαν- 94
τασίαν ἢ φανεῖσαν ἡσυχασθῆναι ἤ, εἰ καὶ διηγεῖτό τις, μακρὰν γοῦν,
ἵνα μὴ κατακούσαιμι, τῶν ἐμῶν ὤτων γενέσθαι τὴν διήγησιν· ὀκνῶ τε
γάρ, εἰ καί τις ἄλλος, εἶναι κακῶν ἄγγελος συναλγῶ τε τοῖς ἐν συμφοραῖς,
ἕνεκα φιλανθρωπίας οὐχ ἥκιστα τῶν ὑπομενόντων ὀδυνώμενος. ἀλλ' 95
ἐπειδὴ τοῖς ὀνείρων κριταῖς ἀληθεύειν ἀναγκαῖον θεῖα λόγια διερμηνεύουσι
καὶ προφητεύουσι, λέξω μηδὲν ὑποστειλάμενος· ἀψευδεῖν γὰρ ἐπὶ μὲν
πάντων ἄριστον, ἐπὶ δὲ τῶν θείων ἀποφθεγμάτων καὶ ὁσιώτατον. τὰ 96
τρία κανᾶ σύμβολον τριῶν ἡμερῶν ἐστιν· ἐπισχὼν ταύτας ὁ βασιλεὺς
ἀνασκολοπισθῆναί σε καὶ τὴν κεφαλὴν ἀποτμηθῆναι κελεύσει καὶ καταπτά-
μενα ὄρνεα τῶν σῶν εὐωχηθήσεται σαρκῶν, ἄχρις ἂν ὅλος ἐξαναλωθῇς.“
καὶ ὁ μὲν ὥσπερ εἰκὸς συγχυθεὶς ἀνατέτραπτο, καραδοκῶν τὴν ὁρι- 97
σθεῖσαν προθεσμίαν καὶ τῇ διανοίᾳ τὰς ἀνίας προσδεχόμενος. ὡς
δ' αἱ τρεῖς ἡμέραι διῆλθον, γενέθλιος ἐπέστη τοῦ βασιλέως, ἐν ᾗ πάντες
οἱ κατὰ τὴν χώραν ἐπανηγύριζον, διαφερόντως δ' οἱ περὶ τὰ βασί-
λεια. ἑστιωμένων οὖν τῶν ἐν τέλει καὶ τῆς θεραπείας εὐωχουμένης 98
ὥσπερ ἐν δημοθοινίᾳ, τῶν κατὰ τὸ δεσμωτήριον εὐνούχων ὑπομνησθεὶς
ἀχθῆναι κελεύει καὶ θεασάμενος τὰκ τῆς τῶν ὀνείρων διακρίσεως ἐπι-

1 κανᾶ πεμμάτων πλήρη transp. O 2 ἀνώτατον A εἶναι] ἦν F ἔθος ἐστὶ
εἴωθε K (ἔθος ἐστὶ scripsi): εἴωθε ceteri 3 ποικίλαι δ' αἱ πρὸς δ. β. σ. περιεργίαι conicio; δ' ⟨εἰκὸς⟩ εἶναι coni. Wendl. τὰς] τε A 4 ὄρνεις corr. ex ὄρνις K, ὄρνις BEMA ἁρπάξειν HP 5 μέχρι C οὗ] ἂν F; μέχρις τοῦ v πάντα CVO, πάντας F καὶ om. F 5. 6 ὑπολειπέσθαι HP, ὑπο- corr. in ἀπο- K 6 μὲν om. MA(v) 8 ὀκνῶ τε K[1]: ὀκνότεραι VOK[2], ὀκνοτέρα BE, ὀκνηροτέρα M, ὀκνῶ (om. τε) ceteri 9 εἰ καί τις ἄλλος K: εἴ γέ τις BEMVO, τις (cet. om.) ceteri (v) εἶναι κακῶν ἄγγελος AK: ἄγγελος εἶναι κακῶν ceteri συναλγῶ τε K: συναγωγαὶ BEMV[1], ἐπαγωγαὶ V[2]O, συναλγῶ γὰρ ceteri τοῖς] ταῖς G 10 ἥκιστα] ἧττον coni. Mang. τῶν om. VO 11 ὀνειράτων F 13 θείων A: ὁσίων ceteri ἀδικημάτων A 15 σε ante κελεύσει repet. C

15. 16 καταπτάντα A 16 ὁλοῦς (ω suprascr.) A, ὅλως F 17 post εἰκὸς add. ἦν HP ἀνετέτραπτο CFGP; ἀπετέτραπτο coni. Mang. 18 τὰς ἀνίας om. BEM 19 δ' αἱ] δὲ (om. αἱ) A γενέθλιον F ᾗ] ᾧ F 20 τὴν om. A δὲ C, δ' om. AFGP 21 εὐωχούσης VOK[2] 22 τὸ om. A 23 τὰκ] κὰκ CVO, τὰ ἐκ HP

σφραγίζεται, προστάξας τὸν μὲν ἀνασκολοπισθῆναι τὴν κεφαλὴν ἀποτμη-
θέντα, τῷ δὲ τὴν ἀρχὴν ἣν διεῖπε πρότερον ἀπονεῖμαι.
99 (19.) Καταλλαγεὶς δὲ ὁ ἀρχιοινοχόος ἐκλανθάνεται τοῦ τὰς καταλ-
λαγὰς προειπόντος καὶ ἕκαστα τῶν συμπεσόντων ἀτυχημάτων ἐπικου-
φίσαντος, ἴσως μὲν ἐπειδὴ πᾶς ἀχάριστος ἀμνήμων ἐστὶν εὐεργετῶν,
ἴσως δὲ καὶ κατὰ πρόνοιαν θεοῦ βουληθέντος τὰς εὐπραγίας τῷ νεανίᾳ
100 μὴ δι' ἀνθρώπου γενέσθαι μᾶλλον ἢ δι' ἑαυτοῦ. μετὰ γὰρ διετῆ χρόνον
τῷ βασιλεῖ τὰ μέλλοντα τῇ χώρᾳ συμβαίνειν ἀγαθὰ καὶ κακὰ διτταῖς
φαντασίαις δι' ὀνείρου θεσπίζεται ταὐτὸν ὑποσημαινούσαις ἕνεκα βεβαιο-
101 τέρας πίστεως. ἔδοξε γὰρ ἑπτὰ βόας ἀνέρπειν ἐκ τοῦ ποταμοῦ, πίονας
καὶ σφόδρα εὐσάρκους καὶ καλὰς ὀφθῆναι, καὶ παρὰ ταῖς ὄχθαις νέμεσθαι·
μεθ' ἃς ἑτέρας ἀριθμὸν ἴσας, | ἀσάρκους τρόπον τινὰ καὶ κατεσκελετευ- p. 56 M.
μένας καὶ εἰδεχθεστάτας, ἀνελθεῖν καὶ συννέμεσθαι ταῖς προτέραις· εἶτ'
ἐξαπιναίως ὑπὸ τῶν χειρόνων καταβρωθῆναι τὰς ἀμείνους καὶ μηδὲν
ἀλλὰ μηδὲ τὸ βραχύτατον ταῖς ἐμφορηθείσαις πρὸς ὄγκον ἐπιδοῦναι τὰς
102 γαστέρας, ἀλλ' ἢ μᾶλλον ἢ οὐχ ἧττον ἐστάλθαι. περιαναστὰς δὲ καὶ
κοιμηθεὶς πάλιν ἑτέρᾳ πληχθῆναι φαντασίᾳ· νομίσαι γὰρ ἑπτὰ πυροῦ
στάχυς ἐκπεφυκότας ἑνὸς πυθμένος, ἰσαιτάτους τοῖς μεγέθεσιν, αὐξο-
μένους καὶ τεθηλότας αἴρεσθαι πρὸς ὕψος μάλ' εὐρώστους· εἶθ' ἑτέρους
ἑπτὰ λεπτοὺς καὶ ἀσθενεῖς ἀναπεφυκέναι πλησίον, ὑφ' ὧν ἐπιδραμόντων
103 καταποθῆναι τὸν εὔσταχυν πυθμένα. ταύτην ἰδὼν τὴν ὄψιν, τὸ λειπό-
μενον τῆς νυκτὸς ἄυπνος διατελέσας — ἤγειρον γὰρ αἱ φροντίδες κεντοῦ-

---

1 προδιάξας (sic) A 1. 2 καὶ τὴν κεφαλὴν ἀποτμηθῆναι BEMA τμηθέντα F 2 τῷ] τὸν VO ἀπονεῖμαι] ἀποδοῦναι A, ἀπολαβεῖν VOK$^2$ 3 δ' KF πεσόντων οἰνοχόος BEMA 4 συμβησομένων K 4. 5 ἀποκουφίσαντος A 5 εὐεργεσιῶν P 7 δι' pr.] δ' F 8 τῇ χώρα συμβαίνειν CVO: συμβαίνειν τῇ χώρα ceteri 8. 9 διτταῖς φαντασίαις post θεσπίζεται (9) transp. CV; διτταῖς δι' ὀνείρου φ. θ. Mang. 9 ὀνειράτων F θεσπίζει VOK$^2$ ὑποσημαινούσαις AFGHP: ὑποσημαίνοντος ceteri 9. 10 βεβαιοτέρας πίστεως ἕνεκα transp. A 10 ἔδοξα BEM ἀνέλκειν in textu H, ἀνέρπειν mg. H 11 σφόδρ' C καὶ καλὰς A: καὶ om. ceteri περὶ F τὰς ὄχθας AVO 12 μεθ'] καθ' G ἀριθμῷ V$^2$O καὶ om. AFGH$^1$P 12. 13 κατεσκηλιτευμένας V, (ε ε) κατεσκηλιτευμένας O, κατεσκ⁼λητευμένας H, κατεσταλμένας M 13 καὶ εἰδεχθεστάτας A: καὶ om. ceteri 15 μηδὲ om. HP$^1$ 16 συνεστάλθαι F 17. 18 πυροῦ στάχυς AFGHPK$^1$: πυροὺς παχεῖς ceteri 18 ἐκπεφυκότος G ἰσοτάτους A, ἰσωτάτους H(v) 18. 19 αὐξανομένους VO 19 μάλα VO, μᾶλλον HP εὐρώστως A (coni. Mang.) εἶτα V 22 κεντροῦσαι CFHP

---

7 sqq. Gen. cap. 41

σαι καὶ τιτρώσκουσαι —, μεταπέμπεται τοὺς σοφιστὰς ἅμα τῇ ἕῳ καὶ
τὴν φαντασίαν διηγεῖται. μηδενὸς δὲ στοχασμοῖς εἰκόσι τἀληθὲς ἰχνη- 104
λατῆσαι δυναμένου, παρελθὼν ὁ ἀρχιοινοχόος φησίν· „ὦ δέσποτα,
τὸν ἄνδρα ὃν ζητεῖς ἐλπίς ἐστιν εὑρήσειν· ἁμαρτόντας ἐμὲ καὶ τὸν
ἀρχισιτοποιὸν ἐκέλευσας εἰς τὸ δεσμωτήριον ἀπαχθῆναι, ἐν ᾧ τοῦ ἀρχι-
μαγείρου θεράπων ἦν Ἑβραῖος, ᾧτινι διηγησάμεθα ἐγώ τε κἀκεῖνος
ὀνείρατα τὰ φανέντα ἡμῖν· ὁ δ' οὕτως εὐθυβόλως καὶ εὐσκόπως διέ-
κρινεν, ὡς ὅσα προεῖπεν ἑκατέρῳ συμβῆναι, τῷ μὲν ἣν ὑπέμεινε τιμωρίαν,
ἐμοὶ δὲ τὸ σοῦ τυχεῖν ἵλεω καὶ εὐμενοῦς.“ (20.) ὁ μὲν οὖν βασιλεὺς 105
ἀκούσας προστάττει συντείναντας ἀνακαλεῖν τὸν νεανίαν. οἱ δ' ἀποκεί-
ραντες — βαθεῖαι γὰρ ἦσαν αὐτῷ χαῖται καθειργμένῳ κεφαλῆς καὶ
γενείου — καὶ ἀντὶ ῥυπώσης λαμπρὰν ἐσθῆτα ἀντιδόντες καὶ τἄλλα
φαιδρύναντες εἰσάγουσιν αὐτὸν πρὸς τὸν βασιλέα· ὃς ἐκ τῆς ὄψεως 106
τεκμηράμενος ἄνδρα ἐλεύθερον καὶ εὐγενῆ — χαρακτῆρες γὰρ ἐπι-
φαίνονταί τινες τῷ σώματι τῶν ὁρωμένων οὐχ ὁρατοὶ πᾶσιν, ἀλλ' οἷς
τὸ τῆς διανοίας ὄμμα ὀξυδορκεῖ — „μαντεύεται“ εἶπεν „ἡ ψυχή μου
περὶ τοῦ μὴ εἰς ἅπαν ἀσαφείᾳ τοὺς ὀνείρους ἐπισκιασθήσεσθαι· δεῖγμα
γὰρ σοφίας ὁ νεανίας οὗτος ὑποφαίνει, διακαλύψει τὴν ἀλήθειαν, οἷα
φωτὶ σκότος ἐπιστήμῃ τὴν ἀμαθίαν τῶν παρ' ἡμῖν σοφιστῶν ἀποσκεδά-
σει.“ καὶ τοὺς ὀνείρους διηγεῖτο. ὁ δὲ τἀξίωμα τοῦ λέγοντος οὐδὲν 107
καταπλαγεὶς ὥσπερ ὑπηκόῳ βασιλεύς, ἀλλ' οὐχ ὑπήκοος βασιλεῖ, παρρησίᾳ
σὺν αἰδοῖ χρώμενος διελέγετο καί φησιν· „ὅσα μέλλει ποιεῖν ὁ θεὸς ἐν
τῇ χώρᾳ, προμεμήνυκέ σοι. τὰς μέντοι διττὰς φαντασίας μὴ ὑπολάβῃς

2 διηγεῖται VOHP: διηγεῖτο ceteri καὶ μηδενὸς (sed καὶ rursus del.) K δὲ om. EK, ss. B 4 post ὃν add. αὐτὸς ἔγνων ὃ O εὑρήσειν ⟨σε⟩ coni. Wendl. post ἁμαρτόντας add. γὰρ V post ἐμὲ add. τε FHP 6 ἦν Ἑβραῖος—δεσπότην (86,19) om. P et in textu H, add. mg. H ᾧτινι CBEKM: ᾧ AVO, ᾧ καὶ FGH διηγήσασθαι K[1] καὶ ἐκεῖνος C 7 τὰ om. V δὲ VO οὗτος F post καὶ repet. οὕτως VO εὐσκόπως BEK: εὐκόλως M, εὐθυσκόπως ceteri 8 ὥσθ' A τῷ] τὸν K[2] 9 ἐμὲ H 10 συντείνοντας M ἀναγαγεῖν F 11 χαῖται κεφαλῆς αὐτῷ καθειργμένῳ A 12 ἀντιδιδόντες AF[1] τἄλλα ABF, τὰ ἄλλα C 13 εἰσάγουσιν αὐτὸν VO: αὐτὸν om. ceteri τὸν βασιλέα AVO: τὸν om. ceteri 14. 15 τινες ἐπιφαίνονται transp. VOK[2] 15 ὁρωμένων] εἰρημένων CVOEK 16 τὸ τῆς διανοίας A: τῆς om. ceteri ὀξυδορκεῖ CH: ὀξυδερκεῖ ceteri μου om. VO, eras. K
β α
17 εἰσάπαν A 18 γὰρ om. A ὁ νεανίας οὗτος σοφίας K ὑποφαίνων V[2]K[2]O ante διακαλύψει add. ἢ H (v) διανακαλύψει V[2]O 19. 20 ἀποσκεδάσας V[2]K[2]O 20 τὸ ἀξίωμα AVO ,μηδὲν A 22 σὺν αἰδῷ CGH 23 προεμήνυσέ A φαντασίας om. CVO, ὀπτασίας mg. O

εἶναι διττοὺς ὀνείρους· εἷς ἐστι, τὴν ἀναδίπλωσιν ἔχων οὐ περιττήν,
108 ἀλλὰ πρὸς ἔλεγχον βεβαιοτέρας πίστεως. αἵ τε γὰρ πίονες ἑπτὰ βόες
καὶ οἱ εὔβλαστοι καὶ εὐθαλεῖς ἑπτὰ | στάχυες ἐνιαυτοὺς ἑπτὰ δηλοῦσιν p. 57 M.
εὐθηνίας καὶ εὐετηρίας καὶ ἑπτὰ ἑτέρους λιμοῦ αἱ ἐπανιοῦσαι ἑπτὰ βόες
λεπταὶ καὶ εἰδεχθεῖς καὶ οἱ παρεφθαρμένοι καὶ μεμυκότες ἑπτὰ στάχυες.
109 ἥξει μὲν οὖν ἑπταετία προτέρα πολλὴν καὶ ἄφθονον ἔχουσα εὐκαρπίαν,
πλημμύραις μὲν ἀνὰ πᾶν ἔτος τοῦ ποταμοῦ λιμνάζοντος τὰς ἀρούρας,
τῶν δὲ πεδίων ὡς οὔπω πρότερον εὐτοκίᾳ χρωμένων· ἥξει δὲ μετὰ
ταῦτα ἑπταετία πάλιν ἐναντία χαλεπὴν ἔνδειαν καὶ σπάνιν τῶν ἀναγκαίων
ἐπιφέρουσα, μήτ' ἀναχεομένου τοῦ ποταμοῦ μήτε τῆς γῆς λιπαινομένης,
ὡς τῆς προτέρας εὐθηνίας ἐκλαθέσθαι καὶ εἴ τι λείψανον παλαιᾶς εὐετη-
110 ρίας ἦν ἀναλωθῆναι. τὰ μὲν οὖν ἐκ τῆς διακρίσεως τοιαῦτ' ἐστίν.
ὑπηχεῖ δέ μοι καὶ ἐκλαλεῖ τὸ θεῖον ὑποβάλλον τὰ ὡς ἐν νόσῳ σωτήρια·
νόσος δὲ πόλεων καὶ χωρίων ἡ βαρυτάτη λιμός, ᾗ κατασκευαστέον
111 ἀσθένειαν, ἵνα μὴ τελείως ῥωσθεῖσα τοὺς οἰκήτορας ἐκφάγῃ. πῶς οὖν
ἀσθενήσει; τοῦ καρποῦ τῶν ἑπτὰ ἐτῶν, ἐν οἷς ἡ εὐφορία, τὸ πλεο-
νάζον μετὰ τὰς αὐτάρκεις τοῖς πλήθεσι τροφὰς — ἔσται δ' ἴσως μέρος
πέμπτον — θησαυριστέον ἐν πόλει καὶ κώμαις, μὴ μετακομίζοντας τὰ
θέρη μακρόθεν, ἀλλ' ἐξ ὧν ἂν ᾖ χωρίων, ἐν ἐκείνοις φυλάττοντας πρὸς
112 τὴν τῶν οἰκούντων παρηγορίαν· συγκομίζειν δὲ τὸν καρπὸν αὐτοῖς
δράγμασι μήτε ἀλοῶντας μήτε συνόλως καθαίροντας, τεττάρων ἕνεκα·
ἑνὸς μὲν τοῦ σκέπῃ χρώμενον πρὸς πλείω χρόνον διαμένειν ἀδιά-
φθορον· ἑτέρου δὲ τοῦ καθ' ἕκαστον ἐνιαυτὸν γίνεσθαι τῆς εὐθηνίας
ὑπόμνησιν, ἀλοώντων καὶ λικμώντων· ἡ γὰρ μίμησις τῶν πρὸς ἀλή-
113 θειαν ἀγαθῶν δευτέραν ἔμελλεν ἡδονὴν ἀπεργάζεσθαι· τρίτου δὲ τοῦ
μηδ' εἰς ἀριθμὸν ἐλθεῖν, ἐν στάχυσι καὶ δράγμασιν ἀδήλου καὶ ἀπερι-

---

1 εἶναι om. AVO 2 βεβαιότερον A 3 ἀστάχυες H 4 λιμοῦ ⟨καὶ ἀφορίας⟩ conicio ἐπιοῦσαι conicio 5 ἐφθαρμένοι A ἀστάχυες H 6 οὖν om. VO πρότερον AF 7 πλημύραις C 8 ὡς] ἢ $K^1$, γρ. ὡς ss. $K^2$ 9 ἐναντία πάλιν ἑπταετία transp. VO; πάλιν ἐναντία ἑπταετία Mang. 10 μήτε C ἀνερχομένου A 12 τοιαῦτα CBEKF, ταῦτα A 13 ὑφηχεῖ C μοι transp. ante θεῖον A τὸ θεῖον VOK: τι θεῖον ceteri τὰ CK: om. ceteri σωτηρία GH, σωτηρίαν AVOF 14. 15 ἣν κατασκευαστέον ἀσθενῆ $K^1$ 15 τελέως AVO ἐκφύγῃ $F^1$ 16 post οἷς add. ἦν F 16. 17 τῷ πλεονάζειν $V^2$O 17 δ' ἴσως] διττῶς BEMVO 18 πέμπτον om. G πόλεσι $V^2$K 20 οἰκούντων codd.: ἐνοικούντων v συγκομίζειν codd.: συγκομιστέον v δὲ om. F 21 μήτ' A 22 post χρόνον add. φυλαττόμενον $VOK^2$ 23 τοῦ] τούτου C 24 μίμησις] ὑπόμνησις coni. Mang. 25 μέλλει $V^2$O

γράφου τοῦ καρποῦ ὑπάρχοντος, ἵνα μὴ προαναπέσωσιν αἱ διάνοιαι τῶν
ἐγχωρίων ἐν ταῖς ἀναλώσεσι τοῦ συλλογισθέντος, ἀλλ' εὐθυμίᾳ χρώμενοι
τῇ σιτίων ἀμείνονι τροφῇ — τρέφει γὰρ ἐν τοῖς μάλιστα ἐλπίς —
ἐπικουφίζωσι τὴν ἐκ τῆς ἐνδείας βαρεῖαν νόσον· τετάρτου δὲ τοῦ καὶ
τοῖς θρέμμασι χιλὸν τεταμιεῦσθαι, τῶν ἀχύρων καὶ ἀθέρων ἐκ τῆς τοῦ
καρποῦ καθάρσεως διακρινομένων. ἐπιμελητὴν δὲ τούτων χειροτονητέον 114
ἄνδρα φρονιμώτατον καὶ συνετώτατον καὶ ἐν πᾶσι δόκιμον, ὃς γένοιτ'
ἂν ἱκανὸς ἀμισῶς καὶ ἀνεπάφως εὐτρεπῆ τὰ λεχθέντα ποιεῖν μηδεμίαν
αἴσθησιν τοῖς πλήθεσιν ἐνδιδοὺς περὶ τοῦ γενησομένου λιμοῦ· χαλεπὸν
γὰρ τὸ προκάμνοντας ταῖς ψυχαῖς ἀναπεσεῖν δυσελπιστίᾳ. ἐὰν δέ τις 115
ἐπιζητῇ τὴν αἰτίαν, φήσει δεῖν, καθάπερ ἐν εἰρήνῃ προνοεῖν τῶν ἐν
p. 58 M. τῷ πολέμῳ παρασκευῶν, καὶ ἐν | εὐπορίαις τῶν κατ' ἔνδειαν· ἀδήλους
δὲ εἶναι πολέμους καὶ λιμοὺς καὶ συνόλως τοὺς καιροὺς τῶν ἀβουλήτων,
εἰς οὓς ἀναγκαῖον εἶναι παρεσκευάσθαι, ἀλλὰ μὴ γενομένων τότε τὴν
θεραπείαν ζητεῖν, ὅτ' οὐδὲν ὄφελος." (21.) ἀκούσας δὲ ὁ βασιλεὺς καὶ 116
τὴν τῶν ὀνείρων διάκρισιν εὐθυβόλως καὶ εὐσκόπως στοχαζομένην τῆς
ἀληθείας καὶ τὴν συμβουλίαν ὅσα τῷ δοκεῖν ὠφελιμωτάτην κατὰ τὴν
τοῦ μέλλοντος ἀδήλου πρόνοιαν, τοὺς συνόντας ἐγγυτέρω προσελθεῖν
κελεύσας, ἵνα μὴ κατακούοι, „ἆρ'" εἶπεν, „ἄνδρες, εὑρήσομεν τοιοῦτον
ἄνθρωπον, ὃς ἔχει πνεῦμα θεῖον ἐν ἑαυτῷ" (Gen. 41, 38); συν- 117
επαινούντων δὲ καὶ συνευφημούντων, ἀπιδὼν εἰς τὸν παρεστῶτα „ἐγγὺς"
εἶπεν „ἐστὶν ὃν παραινεῖς ἀναζητεῖν, οὐ μακρὰν ἀφέστηκεν ὁ φρόνιμος
καὶ συνετός, ὃν ἔδει κατὰ τὰς σὰς ὑφηγήσεις σκοπεῖν, αὐτὸς ὢν τυγ-
χάνεις· οὐ γὰρ ἄνευ θεοῦ ταῦτ' ἀποφθέγγεσθαί μοι δοκεῖς. ἴθι δὴ

---

λλογι
2 συγκομισθέντος A, ἐλλογισθέντος CVO εὐθυμίᾳ] εὐθηνία BEMA 3 τροφῆς CFGH(v) 4 ἐπικουφίζουσι C, ἐπικουφίζουσα FHV²O καὶ om. O
ϊ
5 χυλὸν A 8 ἀμισῶς BEMV¹: ἀμίσως CK¹G, ἅμ' ἴσως FH, ἀμέσως A, ἀμίσθως V²K²O ἀνεπάφως AFGH: ἀνεπιφάτως ceteri (v); ἀνεπαχθῶς coni. Wendl. εὐπρεπῆ GH 9 διδοὺς V²O, ἐνδοὺς L (Turn.) 10 τις] τι A 11 φήσειν δεῖ A post προνοεῖν add. δεῖ A 12 τῷ om. A καὶ] οὕτως A
ά γκαῖον
εὐδήλους K 13 δ' A 14 ἀνάγκη K παρασκευάσθαι M, παρασκευάσασθαι VO 15 ζητεῖν BEK¹M: ἐπιζητεῖν ceteri ὅτε C καὶ om. K 16 εὐστόχως AK στοχαζόμενος BEMG, στοχαζόμενον C 17 ὅσον A τῷ] τὸ C 18 ἐγγυτέρως M, ἐγγύτερον F προελθεῖν V¹G 19 κατακούη VOK² ἄρα BEKMVO ἄνδρα M τὸν τοιοῦτον M 20 αὐτῷ CBEM 21 ἐπιδὼν Turn. 22 παρῄνεις BEKMVO οὐ—σκοπεῖν (23) om. A 24 οὐδὲ γὰρ A ταῦτα F, ταῦτα post μοι transp. M δὴ] δὲ GH, om. F

καὶ παραλάμβανε τήν τ' ἐπιμέλειαν τῆς ἐμῆς οἰκίας καὶ τὴν Αἰγύπτου
118 πάσης ἐπιτροπήν. εὐχέρειαν δ' οὐδείς μου καταγνώσεται μὴ φιλαυτίᾳ
χρωμένου, πάθει δυσιάτῳ· αἵ τε γὰρ μεγάλαι τῶν φύσεων χρόνοις
οὐ δοκιμάζονται μακροῖς, ὄγκῳ δυνάμεως βιαζόμεναι φθάνειν εἰς ἀποδοχὴν
αὐτῶν ἀνυπέρθετον, τά τε πράγματα μέλλησιν καὶ διατριβὴν οὐκ ἀνέ-
119 χεται, τῶν καιρῶν ἐπειγόντων εἰς τὰς ἀναγκαίας παρασκευάς.“ εἶτ'
αὐτὸν καθίστησι τῆς βασιλείας διάδοχον, μᾶλλον δ', εἰ χρὴ τἀληθὲς
εἰπεῖν, βασιλέα, τὸ μὲν ὄνομα τῆς ἀρχῆς ὑπολειπόμενος αὑτῷ, τῆς δ'
ἐν ἔργοις ἡγεμονίας ἐκστὰς ἐκείνῳ καὶ τἄλλα πράττων ὅσα ἐπὶ τιμῇ
120 τοῦ νεανίου. δίδωσιν οὖν αὐτῷ σφραγῖδα βασιλικὴν καὶ ἱερὰν ἐσθῆτα
καὶ κύκλον χρυσοῦν περιδέραιον καὶ ἐπὶ δευτερεῖον τῶν ἁρμάτων ἀναβι-
βάσας κελεύει περιελθεῖν τὴν πόλιν, προερχομένου κήρυκος καὶ δηλοῦντος
121 τοῖς ἀγνοοῦσι τὴν χειροτονίαν. μετονομάζει δ' αὐτὸν ἀπὸ τῆς ὀνειρο-
κριτικῆς ἐγχωρίῳ γλώττῃ προσαγορεύσας καὶ ἐγγυᾷ πρὸς γάμον αὐτῷ
τὴν ἐπιφανεστάτην τῶν κατ' Αἴγυπτον ἱερέως Ἡλίου θυγατέρα. ταῦτ'
122 ἐγένετο, περὶ ἔτη γεγονότος ἤδη τριάκοντα. τοιαῦτα τῶν εὐσεβῶν τὰ
τέλη· κἂν γὰρ κλιθῶσιν, οὐκ εἰς ἅπαν πίπτουσιν, ἀλλὰ διαναστάντες
123 ὀρθοῦνται παγίως καὶ βεβαίως, ὡς μηκέθ' ὑποσκελισθῆναι. τίς γὰρ ἂν
προσεδόκησε μιᾷ ἡμέρᾳ τὸν αὐτὸν ἀντὶ μὲν δούλου δεσπότην, ἀντὶ δὲ
δεσμώτου πάντων ἀξιονικότατον, | καὶ τὸν ὑποδιάκονον εἰρκτοφύλακος p. 59 M.
ὕπαρχον βασιλέως ἔσεσθαι καὶ ἀντὶ τῆς εἱρκτῆς τὰ βασίλεια οἰκήσειν,
τὰ πρῶτα τῶν ἐπὶ τιμαῖς φερόμενον ἀντὶ τῶν εἰς ἀτιμίαν ἐσχάτων.
124 ἀλλ' ὅμως καὶ γέγονε ταῦτα καὶ γενήσεται πολλάκις, ὅταν δοκῇ τῷ θεῷ·

---

1 προλάμβανε BEM τε CVOMF, om. A 2 δὲ VO 3 χρώμενος VOK 4 ὄγκῳ δυνάμεως] ἀλλὰ δυνάμει AFGH ὑποδοχὴν AFGH 5 αὑτῶν HO: αὐτῶν ceteri μέλησιν VOM 5. 6 ἀνέχονται A 6 ante εἰς add. καὶ C 7 τῆς βασιλείας καθίστησι transp. BKM (Mang.) δὲ VO 8 ὑπολιπόμενος BEKMF αὐτῷ CMGK, αὐτῇ F[1], αὐτῆς F[2] τῆς δὲ C, δὲ τῆς transp. F 9 τἆλλα MAKVF, τὰ ἄλλα C, ἄλλα G ὅσα om. BEM 10 δίδωσιν οὖν FGH: οὖν om. ceteri; δίδωσι γοῦν conicio αὐτὸν F ἱερὰν] πορφυρᾶν coni. Mang. 11 κύκλον] κλοιὸν coni. Mang. περιδέρραιον AVFK, περιδέρεον C δευτέριον C (Mang.), δευτερείω V, δευτερείων O 12 προερχομένου V[2]O (coni. Mang.): περιερχομένου ceteri 13 δὲ CVO 16 γεγονὼς O 17 γὰρ eras. F εἰς ἅπαν CAEKF: εἰσάπαν ceteri πίπτωσιν F ἀλλ' ἀναστάντες VO 18 ὡς] ὥστε VO μὴ καθυποσκελισθῆναι C γὰρ om. M 19 τὸν αὐτὸν om. A ἀντί: rursus incip. P et text. H δὲ om. MAGHP 20 ἀξιονικώτατον C, ἀξιώτατον AFGHP τὸν om. F 21 τὰ om. A 22 τῶν alt.] τῆς K[1] 23 τοιαῦτα A

μόνον ἐντυφέσθω τι καλοκἀγαθίας ἐμπύρευμα ταῖς ψυχαῖς, ὅπερ ἀναγ-
καῖόν ποτε ῥιπιζόμενον ἐκλάμψαι.
(22.) Ἐπεὶ δὲ πρόκειται μετὰ τὴν ῥητὴν ἀπόδοσιν καὶ τὴν τροπι- 125
κωτέραν ἐξετάζειν, λεκτέον ἃ χρὴ καὶ περὶ αὐτῆς. ἴσως μὲν οὖν γε-
λάσονταί τινες τῶν εἰκαιοτέρων ἀκούσαντες· ἐγὼ δ' ἐρῶ μηδὲν ὑποστει-
λάμενος, ὅτι ὁ πολιτικὸς πάντως ὀνειροκριτικός ἐστιν, οὐχὶ τῶν βωμολόχων
οὐδὲ τῶν ἐναδολεσχούντων καὶ ἐνσοφιστευόντων ἐπὶ μισθῷ καὶ τὴν
τῶν καθ' ὕπνον φαντασιῶν διάκρισιν ἀργυρισμοῦ πρόβλημα πεποιημένων,
ἀλλὰ τὸν κοινὸν καὶ πάνδημον καὶ μέγαν ὄνειρον οὐ κοιμωμένων μόνον
ἀλλὰ καὶ ἐγρηγορότων εἰωθὼς ἀκριβοῦν. ὁ δὲ ὄνειρος οὗτος, ὡς ἀψευ- 126
δέστατα φάναι, ὁ τῶν ἀνθρώπων ἐστὶ βίος· ὡς γὰρ ἐν ταῖς καθ' ὕπνον
φαντασίαις βλέποντες οὐ βλέπομεν καὶ ἀκούοντες οὐκ ἀκούομεν καὶ γευό-
μενοι ἢ ἁπτόμενοι οὔτε γευόμεθα οὔτε ἁπτόμεθα λέγοντές τε οὐ λέγομεν
καὶ περιπατοῦντες οὐ περιπατοῦμεν καὶ ταῖς ἄλλαις κινήσεσι καὶ σχέσεσι
χρῆσθαι δοκοῦντες οὐδεμιᾷ τὸ παράπαν χρώμεθα — κεναὶ δ' εἰσὶ τῆς
διανοίας πρὸς οὐδὲν ὑποκείμενον ἀληθείᾳ μόνον ἀναζωγραφούσης καὶ
ἀνειδωλοποιούσης τὰ μὴ ὄντα ὡς ὄντα —, οὕτω καὶ τῶν παρ' ἡμῖν
ἐγρηγορότων αἱ φαντασίαι τοῖς ἐνυπνίοις ἐοίκασιν· ἦλθον, ἀπῆλθον,
ἐφάνησαν, ἀπεπήδησαν, πρὶν καταληφθῆναι βεβαίως ἀπέπτησαν. ἐρευνη- 127
σάτω δ' ἕκαστος αὐτὸν καὶ τὸν ἔλεγχον οἴκοθεν ἄνευ τῶν παρ' ἐμοῦ
πίστεων εἴσεται, καὶ μάλιστ' εἴ τις πρεσβύτερος ἤδη γεγονὼς τυγχάνοι·
οὗτος ἦν ὁ ποτὲ βρέφος καὶ μετὰ ταῦτα παῖς, εἶτ' ἔφηβος, εἶτα μει-
ράκιον, καὶ νεανίας αὖθις, εἶτ' ἀνήρ, καὶ γέρων ὕστατον. ἀλλὰ ποῦ 128

1 ἐντυφέσθω τι K: ἕν τι ὑφιστάσθω FGHP (Mang.), ἕν τι ὑφιστάτω A, ἕν τι ὑφεστάτω CVOBEM (ὑφεστάθω Turn.), γρ. ὑφεστάσθω mg. V mg. K, γρ. ἕν τι ὑφεστάτω alt. mg. K 3 ἀποδίδωσι F 4 ἃ χρὴ] ἄχρι F 5 οἰκειοτέρων M 7 ἐν ἀδολεσχούντων M, ἀδολεσχούντων F, ἐνασχούντων G 9 μέγαν καὶ πάνδημον transp. A 10 ὁ δ' A, ὡς γὰρ V²O οὗτος V¹, οὕτως V²O 13 οὔτε (alt.) K¹FGH: οὐθ' AP, ἢ ceteri τε om. HP 14 καὶ tert.] τε καὶ VOK² 15 τὸ παράπαν om. HP, add. mg. P² post εἰσὶ fort. addendum δόξαι vel φαντασίαι; σκιαὶ add. Mang. 16 ante πρὸς add. καὶ AFGHPV¹ ἀληθείας A 17 εἰδωλοποιούσης H(v) ὄντα ὡς] ὄντως H 17. 18 τῶν παρ' ἡμῖν ἐγρηγορότων K (cf. § 147): ἐπὶ τῶν παρεγρηγορότων ceteri (γρ. ἐπὶ τῶν παρεγρηγορότων mg. K) 18 αἱ om. CVO 19 ἀπεπήδησαν] ἀπεδήμησαν Turn. ἀπέπτησαν] ἀπέστησαν FG 20 δὲ A αὐτὸν BEKMVO: αὑτὸν CF, αὐτῶν AGHP post ἔλεγχον add. αὐτῶν HP ante ἄνευ add. καὶ AFGHP 21 μάλιστα AVO ἤδη om. O γεγονὼς] ὢν O τυγχάνει AG 22 ὁ eras. V, om. O εἶτα HP 23 ὕστατα O ἀλλὰ ποῦ K (coni. Mang.): ἀλλ' οὐ ceteri

10 sqq. cf. H. de Arnim, Quellenstudien zu Philo p. 94 ss. 22 sqq. cf. Plut. de εἰ ap. Delph. 18 p. 392 C. M. Anton. Imp. Comment. IX 21. Senec. Epist. 24, 20

πάντ' ἐκεῖνα; οὐκ ἐν μὲν παιδὶ τὸ βρέφος ὑπεξῆλθεν, ὁ δὲ παῖς ἐν
παρήβῳ, ὁ δ' ἔφηβος ἐν μειρακίῳ, τὸ δὲ μειράκιον ἐν νεανίᾳ, ἐν ἀνδρὶ
129 δ' ὁ νεανίας, ἀνὴρ δ' ἐν γέροντι, γήρᾳ δ' ἕπεται τελευτή; τάχα μέντοι
τάχα καὶ τῶν ἡλικιῶν ἑκάστη παραχωροῦσα τοῦ κράτους τῇ μεθ' ἑαυτὴν
προαποθνήσκει, τῆς φύσεως ἡμᾶς ἀναδιδασκούσης ἡσυχῇ μὴ δεδιέναι
τὸν ἐπὶ πᾶσι θάνατον, ἐπειδὴ τοὺς προτέρους εὐμαρῶς ἠνέγκαμεν, τὸν
βρέφους, τὸν παιδός, τὸν ἐφήβου, τὸν μειρακίου, τὸν νεανίου, τὸν
130 ἀνδρός, ὧν οὐδεὶς ἔτ' ἐστὶ γήρως ἐπιστάντος. (23.) τὰ δ' ἄλλα ὅσα
περὶ τὸ σῶμα οὐκ ἐνύπνια; οὐ κάλλος μὲν ἐφήμερον, πρὶν ἀνθῆσαι
μαραινόμενον; ὑγεία δὲ | ἀβέβαιον διὰ τὰς ἐφέδρους ἀσθενείας; ἰσχὺς p. 60 M.
δ' εὐάλωτον νόσοις ἐκ μυρίων προφάσεων; ἡ τ' ἀκρίβεια τῶν αἰσθή-
131 σεων οὐ παγία ῥεύματος ἐνστάσει βραχέος ἀνατρέπεται. τὴν δὲ τῶν
ἐκτὸς ἀσάφειαν τίς οὐκ οἶδε; μιᾷ ἡμέρᾳ πλοῦτοι μεγάλοι πολλάκις
ἀπερρύησαν· τὰ πρωτεῖα τῶν ἐν ταῖς ἀνωτάτω τιμαῖς ἐνεγκάμενοι
μυρίοι πρὸς ἠμελημένων καὶ ἀφανῶν ἀδοξίαν μετέβαλον· ἀρχαὶ βασι-
132 λέων αἱ μέγισται καθῃρέθησαν βραχείᾳ καιροῦ ῥοπῇ. ἐγγυᾶταί μου
τὸν λόγον Διονύσιος ὁ ἐν Κορίνθῳ, ὃς Σικελίας μὲν τύραννος ἦν, ἐκ-
πεσὼν δὲ τῆς ἡγεμονίας εἰς Κόρινθον καταφεύγει καὶ γραμματιστὴς ὁ
133 τοσοῦτος ἡγεμὼν γίνεται. συνεγγυᾶται καὶ Κροῖσος ὁ Λυδίας βασιλεύς,
πλουσιώτατος βασιλέων, ὃς ἐλπίσας τὴν Περσῶν καθελεῖν ἀρχὴν οὐ
μόνον τὴν οἰκείαν προσαπέβαλεν, ἀλλὰ καὶ ζωγρηθεὶς ἐμέλλησε κατα-
134 πίμπρασθαι. μάρτυρες τῶν ἐνυπνίων οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ
πόλεις, ἔθνη, χῶραι, ἡ Ἑλλάς, ἡ βάρβαρος, ἠπειρῶται, νησιῶται, ἡ

1 post πάντ' add. ὁμοῦ Mang. 3 δὲ ἐν C γήρα δ' ἕπεται τελευτή K: γῆρας (γέρας C) δ' ἐπὶ τελευτῇ ceteri 4 τὸ κράτος C μεθ' ἑαυτὴν CBKMG: μεθ' αὑτὴν AEP, μετ' αὐτὴν VOFH 5 ἀποθνήσκει A, προαποθνήσκειν δοκεῖ BEKM ἀναδιδασκούσης ἡμᾶς transp. G 6 ἐν πᾶσι G, ἐπὶ πάντων A, ἐπὶ πᾶσι om. M 8 ἄλλ' C 9 οὐ κάλλος C: οὐ om. ceteri ἀνθῆσαι Mang.: ἀνθήσῃ F, ἀνθήσει ceteri 10 δὲ CAVO: δ' ceteri
γρ. ἀσθενείας
ἀσφαλείας K 11 δὲ VO 12 οὐ παγία om. C
γία
πάγιον K post ῥεύματος add. γὰρ V$^{2}$O ἐνστάντος VO βραχεία A δὲ CVO: δ' ceteri 12. 13 τῶν ἐκτὸς V$^{2}$O (coni. Mang.): τῶν om. ceteri 13 εἶδε F μιᾷ ἡμερῶν F πολλάκις om. O 14 ἀνερρύησαν C 15 ante ἀδοξίαν add. εἰς G ἀδοξίαν corr. ex δόξαν V μετέβαλλον F 16 βραχεῖα κ. ῥοπή H μου] μοι C, μὲν A 17 τῷ λόγῳ HP ὃς — βασιλέων (20) om. in textu, add. mg. F τύραννος μὲν transp. A 19 τοσοῦτος codd.: τοιοῦτος Mang. καὶ om. C Λυδῶν A 20 τὴν ἀρχὴν O 21 ἐμέλησε K 21. 22 πίμπρασθαι BEM

Εὐρώπη, ἡ Ἀσία, δύσις, ἀνατολή· μεμένηκε γὰρ οὐδὲν οὐδαμοῦ τὸ
παράπαν ἐν ὁμοίῳ, τροπαῖς δὲ καὶ μεταβολαῖς ἐχρήσατο πάντα διὰ
πάντων. Αἴγυπτός ποτε πολλῶν ἐθνῶν ἡγεμονίαν εἶχεν, ἀλλὰ νῦν ἐστι 135
δούλη. Μακεδόνες οὕτως ἐπὶ καιρῶν ἤκμασαν, ὡς ἁπάσης ἀνάψασθαι
τῆς οἰκουμένης τὸ κράτος, ἀλλὰ νῦν τοῖς ἐκλογεῦσι τῶν χρημάτων τοὺς
ἐπιταχθέντας ὑπὸ τῶν κυρίων δασμοὺς ἐτησίους εἰσφέρουσι. ποῦ δὲ 136
ἡ τῶν Πτολεμαίων οἰκία καὶ ἡ καθ' ἕκαστον τῶν διαδόχων ἐπιφάνεια
μέχρι γῆς καὶ θαλάττης περάτων ἐκλάμψασα; ποῦ δ' αἱ τῶν αὐτονό-
μων ἐθνῶν καὶ πόλεων ἐλευθερίαι; ποῦ δ' ἔμπαλιν αἱ δουλεῖαι τῶν
ὑπηκόων; οὐ Πέρσαι μὲν Παρθυαίων ἐπεκράτουν, νυνὶ δὲ Περσῶν
Παρθυαῖοι διὰ τὰς τῶν ἀνθρωπείων πραγμάτων στροφὰς καὶ τὰς ἄνω
καὶ κάτω πεττείας καὶ μεταθέσεις αὐτῶν; ἀναπλάττουσιν ἔνιοι μακρὰς τινας 137
καὶ ἀπεράτους εὐτυχίας ἑαυτοῖς, αἱ δ' ἀρχαὶ μεγάλων κακῶν εἰσι· καὶ
σπεύδοντες ὡς ἐπ' ἀγαθῶν κληρονομίαν εὑρίσκουσι δεινὰς κακοπραγίας, καὶ
τοὐναντίον κακὸν προσδοκήσαντες ἀγαθοῖς ἐνέτυχον. ἀθληταὶ δυνάμεσι 138
καὶ ῥώμαις καὶ εὐεξίαις σωμάτων μέγα φρονοῦντες, ἀνενδοίαστον νίκην
ἐλπίσαντες, ἐξαγώνιοι πολλάκις ἐγένοντο μὴ δοκιμασθέντες ἢ καταστάντες
εἰς τὸν ἀγῶνα ἡττήθησαν, οἱ δ' ἀπογνόντες καὶ δευτερείων ἐφίξεσθαι
τὰ πρῶτα τῶν ἄθλων στεφανηφοροῦντες ἤραντο. θέρους ἀναχθέντες 139
τινὲς — ὁ γὰρ καιρὸς εὐπλοίας — ἐναυάγησαν, ἕτεροι δὲ χειμῶνος
ἀνατραπήσεσθαι προσδοκῶντες ἀκινδύνως ἄχρι λιμένων παρεπέμφθησαν.
ὡς ἐφ' ὁμολογούμενα κέρδη συντείνουσιν ἔνιοι τῶν ἐμπόρων ἀγνοοῦντες
τὰς ἐφέδρους ζημίας, ἔμπαλιν λογιζόμενοι βλαβήσεσθαι μεγάλων ἀπέ-
p. 61 M. λαυσαν | ὠφελειῶν. οὕτως ἄδηλοι μὲν αἱ τύχαι πρὸς ἑκάτερα, τὰ δ' 140
ἀνθρώπεια ὡς ἐπὶ ζυγοῦ ταλαντεύεται βάρεσιν ἀνίσοις ἐπικουφιζόμενα

1 μεμένηκε] μέμνημαι H   οὐδαμοῦ om. A   2 ἐχρήσατο M: ἐχρήσαντο ceteri
3 ποτε] τε FG   4 οὕτως om. A   ἐπὶ καιρὸν CAVO   5 οἰκουμένης
om. K[1], ss. K[2]   6 ποῦ om. C   6. 7 δ' ἡ VO, ἡ δὲ C   8 ante ποῦ
spat. 18 fere litt. in C   δὲ F   9 πόλεων VO: τῶν πόλεων ceteri
ποῦ] πολὺ AHP   10 παρθυηνῶν CVOK[2]   νῦν A   11 ἀνθρωπίων C
στροφὰς] διαφορὰς A; τροπὰς coni. Mang.   12 καὶ pr. om. C   διαπλάτ-
τουσιν VOK[2]   μικρὰς C   13 ἀπεράτους scripsi; ἀπείρους VO, ἀπειράτους
ceteri   αὐτοῖς M   14 σπένδοντες F   κληρονομία A et corr. K
16 εἰς ante ἀνενδοίαστον add. CVOBEM   17 ἐλπίσαντες] ἁρπάσαντες A
μὴ] καὶ γὰρ V[2]K[2]   ἢ] καὶ V[2]O, ἢ (corr. ex οἱ ut vid.) καὶ K   18 καὶ]
κἂν V[2]O   δευτερίων C, δευτερεῖα VO   19 πρωτεῖα P   20 ἐν γὰρ
καιρῷ HP   δὲ om. AFGHP   21 ἄχρι λιμένων ἀκινδύνως transp. HP
22 ἐφομολογούμενα MG   ἔνιοι om. O   23 βλαβήσεσθαι om. in lac. G
23. 24 ἀπήλαυσαν AVO (Mang.)   25 ἀνθρώπια C, ἀνθρώπινα F   ὥσπερ A
ταλαντεύει coni. Wendl.

καὶ καθέλκοντα· δεινὴ δ' ἀσάφεια καὶ πολὺ σκότος κατακέχυται τῶν πραγμάτων· ὡς δ' ἐν βαθεῖ ὕπνῳ πλαζόμεθα μηδὲν ἐμπεριελθεῖν ἀκριβείᾳ λογισμοῦ δυνάμενοι μηδ' εὐτόνως καὶ παγίως ἐπιδράξασθαί
141 τινος, σκιαῖς γὰρ ἔοικε καὶ φάσμασι. καὶ ὥσπερ ἐν ταῖς πομπαῖς τὰ πρῶτα παρέρχεται φεύγοντα τὰς ὄψεις κἂν τοῖς χειμάρροις τὸ φερόμενον ῥεῦμα φθάνει παραδραμὸν ὀξύτητι τάχους τὴν κατάληψιν, οὕτω καὶ τὰ ἐν τῷ βίῳ πράγματα φερόμενα καὶ παρεξιόντα φαντάζεται μὲν
142 ὡς ὑπομένοντα, μένει δ' οὐδ' ἐπ' ἀκαρές, ἀλλ' ἀεὶ ὑποσύρεται. καὶ οἱ ἐγρηγορότες, ὅσα γε πρὸς τὸ ἐν ταῖς καταλήψεσιν ἀβέβαιον οὐδὲν τῶν κοιμωμένων διαφέροντες, ἀπατῶντες ἑαυτοὺς ἱκανοὶ νομίζουσιν εἶναι τὰς φύσεις τῶν πραγμάτων ἀπλανέσι λογισμοῖς ὁρᾶν· οἷς ἑκάστη τῶν αἰσθήσεων εἰς ἐπιστήμην ἐμπόδιος, δεκαζομένη θεάμασιν, ἀκούσμασι, χυλῶν ποιότησιν, ἀτμῶν ἰδιότησι, πρὸς ἅπερ ἀποκλίνουσα συνεφέλκεται καὶ τὴν ὅλην ψυχὴν οὐκ ἐῶσα ὀρθοῦσθαι καὶ ἀπταίστως οἷα διὰ λεωφόρων ὁδῶν προέρχεσθαι· τὸ δ' ὑψηλοτάπεινον καὶ μεγαλόμικρον καὶ πᾶν ὅσον ἀνισότητι καὶ ἀνωμαλίᾳ συγγενὲς ἀπεργάζεται καὶ σκοτο-
143 δινιᾶν ἀναγκάζει καὶ πολὺν ἐμποιεῖ ἴλιγγον. (24.) τοσαύτης οὖν ταραχῆς καὶ ἀταξίας ἔτι δὲ ἀσαφείας γέμοντος τοῦ βίου, παρελθόντα δεῖ τὸν πολιτικὸν ὥσπερ τινὰ σοφὸν τὴν ὀνειροκριτικὴν τὰ μεθημερινὰ ἐνύπνια καὶ φάσματα τῶν ἐγρηγορέναι δοκούντων διακρίνειν εἰκόσι στοχασμοῖς καὶ εὐλόγοις πιθανότησι περὶ ἑκάστου ἀναδιδάσκοντα, ὅτι τοῦτο

---

1 καθελκόμενα conicio   δὲ CVO   2 μηδὲ ἐν VO   περιελθεῖν VOK
4 καὶ pr. om. K   φαντάσμασι VO   5 πρῶτα] τοιαῦτα A   φυγόντα VO
κἂν] καὶ C   7 πάντα K (πράγματα)   φαντάζει $V^2$   8 οὐδ'] οὐκ VOF
ἐπ' om. M   ἀλλ' ἀεὶ ὑποσύρεται AFGHP: ἀλλὰ καὶ ὑποσύρει γε ceteri
9 πρὸς τὸ om. A   ἐν om. VO   ἀβέβαιοι A   10 διαφέρουσιν $V^2K^2$
ἀπαντῶντες F, ἀπατῶμεν CBEKM, ἀπατώμενοι VO   ἑαυτοὺς om. F   ἱκανοὺς $V^2O$
νομίζουσιν AFGHP: νομίζοντες ceteri   12 ἐμπόδιον VO   δικαζομένη P, δεκαζομένη (λε supra) H, δελεαζομένη G (v), δελεαζόμενοι F   12. 13 ἀκούσμασι (sic) K: om. ceteri
13 χυλῶν A, χιλῶν VO, χυμῶν P   ποιότησιν $V^2O$: om. ceteri   ante ἀτμῶν add. καὶ mg. H   14 ὀρθοῦσθαι] ὀρθῶς A   15 λεωφόρου ὁδοῦ VO
προέρχεσθαι ὁδῶν transp. G   τὸ] τῷ BEKMVO   ὑψηλοτάπεινον καὶ μεγαλόμικρον AFGHP: ὑψηλῷ ταπεινὸν καὶ μεγάλῳ μικρὸν ceteri   16 ἀνισότησι K, ἀνισότητα F, ἰσότητι BEM   καὶ tert. om. HP (v)   17 ἰλιγμόν F
18 ἀταξίας καὶ ταραχῆς transp. HP   ἀταξίας] ἀταραξίας BEKM, συγχύσεως O
δὲ] δὲ καὶ AFGHP   γέμοντος] γενομένης G   19 δεῖ $V^2$, δὴ $V^1$   πολιτικὸν mg. H, ὀρειροκριτικὸν in textu H   μεθημερινὰ] μεθ' ἡμέραν VOHP(v)   20 φαντάσματα AE   20. 21 στοχασμοῖς] λογισμοῖς A   21 ἑκάστων conicio
διδάσκοντα L (Turn.)

καλόν, ἐκεῖνο αἰσχρόν, τοῦτο ἀγαθόν, κακὸν ἐκεῖνο, τουτὶ δίκαιον, ἄδικον τοὐναντίον, καὶ τἄλλα ταύτῃ, τὸ φρόνιμον, τὸ ἀνδρεῖον, τὸ εὐσεβές, τὸ ὅσιον, τὸ συμφέρον, τὸ ὠφέλιμον, καὶ πάλιν τὸ ἀνωφελές, τὸ ἀλόγιστον, τὸ ἀγεννές, τὸ ἀσεβές, τὸ ἀνόσιον, τὸ ἀσύμφορον, τὸ βλαβερόν, τὸ
φίλαυτον. καὶ ἔτι πρὸς τούτοις ἀλλότριον τοῦτο, μὴ ἐπιθύμει· ἴδιον 144
τοῦτο, χρῶ μὴ παραχρώμενος· περιουσιάζεις, μεταδίδου· πλούτου γὰρ τὸ κάλλος οὐκ ἐν βαλαντίοις, ἀλλ' ἐν τῇ τῶν χρῃζόντων ἐπικουρίᾳ· ὀλίγα κέκτησαι, μὴ φθόνει τοῖς ἔχουσι· πένητα γὰρ βάσκανον οὐδεὶς ἂν ἐλεήσαι· εὐδοξεῖς καὶ τετίμησαι, μὴ καταλαζονεύου· ταπεινὸς εἶ ταῖς τύχαις, ἀλλὰ τὸ φρόνημα μὴ καταπιπτέτω· πάντα σοι κατὰ νοῦν χωρεῖ, μεταβολὴν εὐλαβοῦ· πταίεις πολλάκις, χρηστὰ ἔλπιζε· πρὸς
γὰρ τἀναντία τῶν ἀνθρώπων αἱ τροπαί. σελήνη μὲν γὰρ καὶ ἥλιος 145
καὶ ὁ σύμπας οὐρανὸς σαφεῖς καὶ ἀριδήλους ἔχει τὰς τρανότητας, ἅτε
p. 62 M. πάντων τῶν | κατ' αὐτὸν ὁμοίων μενόντων καὶ τοῖς τῆς ἀληθείας αὐτῆς μετρουμένων κανόσιν ἐν τάξεσιν ἐναρμονίοις καὶ συμφωνιῶν ταῖς ἀρίσταις, τὰ δ' ἐπίγεια πολλῆς ἀταξίας γέμοντα καὶ ταραχῆς ἀσύμφωνα καὶ ἀνάρμοστα, ὡς κυριώτατα φάναι, ὅτι ταῦτα μὲν βαθὺ σκότος κατείληφεν, ἐκεῖνα δ' ἐμφέρεται τηλαυγεστάτῳ φωτί, μᾶλλον δ' αὐτὸ
φῶς ἐστιν εἰλικρινέστατον καὶ καθαρώτατον. εἰ γοῦν βουληθείη δια- 146
κύπτειν εἴσω τις τῶν πραγμάτων, εὑρήσει τὸν οὐρανὸν ἡμέραν αἰώνιον, νυκτὸς καὶ πάσης σκιᾶς ἀμέτοχον, ἅτε περιλαμπόμενον ἀσβέστοις καὶ
ἀκηράτοις ἀδιαστάτως φέγγεσιν. ὅσῳ τε διαφέρουσιν οἱ παρ' ἡμῖν 147

---

1 κἀκεῖνο A  τοῦτ' AVO  2 τοὐναντίον] ἐκεῖνο HP  τἄλλα ABFH ταυτὶ A  φρόνημα F[1]  3 καὶ—ἀνωφελές] τὸ φιλάνθρωπον, καὶ πάλιν conicio  4 τὸ ἀγεννές om. A  ἀγενές CVHP  τὸ ἀσύμφορον, τὸ βλαβερόν CVO: τὸ βλαβερόν, τὸ ἀσύμφορον transp. ceteri  5 ἐπιθυμεῖν C  6 περιουσίας μεταδίδου A  7 βαλλαντίοις C, βαλαντίῳ A  8 γὰρ K: om. ceteri  10 φρόνιμα BM  νοῦν] ῥοῦν VO  11 παίεις F  12 ἀνθρωπίνων vel ἀνθρωπείων coni. Mang.  ὁ ἥλιος A  14 τῶν κατ' αὐτὸν ὁμοίων BEKM: ὁμοίων (ὁμοίως V[2]O) τῶν κατ' αὐτὸν ceteri  post αὐτῆς add. αὐτοῖς V[2]  16 δὲ C  πολλῆς] πολλάκις A  17 ὅτι om. G  18 δ' pr.] δὲ BEKMVO  αὐτὸ scripsi: αὐτὰ codd.  19 βουληθείην M, βουληθῇ H  20 τις post εἴσω om. VO, post βουληθείη (19) add. V[2]O, ante εἴσω transp. F  τῶν om. F  21 σκιᾶς] κακίας A  22 ἀκηράτοις K[1]: ἀκρίτοις VOK[2], ἀκράτοις ceteri  ἀδιαστάκτως O, ἀδιαστάτοις C; ⟨καὶ⟩ ἀδιαστάτοις coni. Mang.  φέγγουσιν (sic) BE

---

6—7 D[P] fol. 180[r] et 186[v] D[V] p. 481 et 502 Mel. Barocc. fol. 17[r] Flor. Par. Nr. 2 Max. Ecl. c. 12 Anton. Mel. I 31 Col. 884 Φίλωνος D[M] fol. 173[v] Νήλου et fol. 178[v] D[R] fol. 169[r] Φίλωνος Ἑβραίου Ioann. Georgides in Laur. VII 15 fol. 82[r] (Φίλωνος): πλούτου τὸ κάλλος—ἐπικουρίᾳ.

ἐγρηγορότες τῶν κοιμωμένων, τοσούτῳ καὶ ἐν ἅπαντι τῷ κόσμῳ τὰ
οὐράνια τῶν ἐπιγείων, τὰ μὲν ἐγρηγόρσει χρώμενα ἀκοιμήτῳ διὰ τὰς
ἀπλανεῖς καὶ ἀπταίστους καὶ ἐν ἅπασι κατορθούσας ἐνεργείας, τὰ δ'
ὕπνῳ κατεχόμενα, κἂν εἰ πρὸς βραχὺ διανασταίη, πάλιν καθελκόμενα
καὶ καταδαρθάνοντα διὰ τὸ μηδὲν εὐθυτενῶς δύνασθαι τῇ ψυχῇ
βλέπειν, ἀλλὰ πλάζεσθαι καὶ περιπταίειν· ἐπισκοτεῖται γὰρ ψευδέσι
δόξαις, ὑφ' ὧν ὀνειρώττειν ἀναγκαζόμενα καὶ τῶν πραγμάτων ὑστερί-
148 ζοντα οὐδὲν παγίως καὶ βεβαίως ἱκανὰ καταλαμβάνειν ἐστί. (25.) συμ-
βολικῶς μέντοι καὶ ἐπὶ τὸ δευτερεῖον τῶν βασιλικῶν ἁρμάτων ἀνα-
βαίνειν λέγεται δι' αἰτίαν τοιάνδε· ὁ πολιτικὸς τὰ δευτερεῖα φέρεται
βασιλέως· οὔτε γὰρ ἰδιώτης ἐστὶν οὔτε βασιλεύς, ἀλλ' ἀμφοῖν μεθόριος,
ἰδιώτου μὲν ὢν κρείττων, ἐλάττων δ' εἰς ἀρχὴν αὐτεξούσιον βασιλέως,
τῷ δήμῳ βασιλεῖ χρώμενος, ὑπὲρ οὗ πάντα πράττειν προῄρηται καθαρᾷ
149 καὶ ἀδολωτάτῃ πίστει. φέρεται δὲ ὡς ἐφ' ἁρματείου δίφρου μετέωρος
ὑπό τε τῶν πραγμάτων καὶ τῶν ὄχλων εἰς ὕψος αἰρόμενος, καὶ μάλισθ'
ὅταν κατὰ νοῦν ἕκαστα μικρὰ καὶ μεγάλα χωρῇ, μηδενὸς ἀντιπνέοντος
μηδ' ἀντιστατοῦντος, ἀλλ' ὡς ἐν εὐπλοίᾳ πάντων σωτηρίως ὑπὸ θεοῦ
κυβερνωμένων. ὅν τε δίδωσιν ὁ βασιλεὺς δακτύλιον, ἐναργέστατον
δεῖγμα πίστεώς ἐστιν, ἣν πεπίστευκεν ὅ τε βασιλεὺς δῆμος τῷ πολιτικῷ
150 καὶ ὁ πολιτικὸς τῷ βασιλεύοντι δήμῳ. ὁ δὲ περὶ τὸν τράχηλον
χρυσοῦς κύκλος εὐδοξίαν ὁμοῦ καὶ κόλασιν ἔοικεν ὑποσημαίνειν· ἕως μὲν
γὰρ τὰ κατὰ τὴν πολιτείαν εὐοδεῖ πράγματα αὐτῷ, γαῦρός ἐστι καὶ σεμνὸς

---

1 τοσοῦτον (superscr. αντι) VO    ἅπασι K    2 ἐγρηγόρσει CAVOK: ἐγρηγορῶσι F, ἐγρηγορόσι ceteri    ἀκοιμήτω CK: ἀκοιμήτως ceteri    3 ἀπταίστους] ἀπαύστους L (Turn.)    5 εὐθυτενῶς K: εὐθυγενῶς CVO, εὐθυτενὲς A, εὐθυγενὲς ceteri    τὴν ψυχὴν V$^2$O    6 παραπταίειν F, παραπαίειν K    7 ἀναγκαζόμενα CV$^1$BEK$^1$M: ἀναγκαζομένη ceteri    7. 8 ὑστερίζοντα CV$^1$BEK$^1$M: ὑστερίζουσα ceteri    8 οὐδὲ BEM    καὶ] οὐ A    ἱκανὴ AV$^2$K$^2$H$^2$    9 μέν σοι F    δευτέριον C    10 λέγεται] δέχεται F    δευτερία (superscr. ει) C    φέρεται K, φέρει τοῦ V$^2$O    11 βασιλείας A    alt. οὔτε] ἄτε A    12 ὢν om. A    αὐτεξούσιον CBEK$^1$M: αὐτεξουσίου ceteri    13 τῷ—χρώμενος] ἰδιώτου μὲν ὢν κρείττων repet. G    πράττειν om. A    προείρηται A    14 ἀδολωτάτω A    δ' CAVO    ἁρματείου AV$^2$O: ἁρματίου ceteri    15 ὄχλων] ὅλων A    εἰς om. F    ὕψϊ F    16 νοῦν] ῥοῦν BEKM    ἕκαστα om. O    μικρά τε BEKMO    καὶ om. M    χωρήσῃ A    18 τε] δὲ A (Mang.)    19 δεῖγμα om. FG    ἐστι AFP    ἣν] καὶ AFGHP    βασιλικὸς F    20 καὶ AFGHP: καὶ ἣν ceteri    βασιλικῶ ὄντι VOK$^2$    περὶ] πρὸς A    21 κύκλος] κλοιὸς coni. Mang.    22 τὴν om. P    εὐοδεῖ BEKMVOP: εὐοδῆ C, εὐοδεῖται FGH$^1$ (Mang.), εὐοδοῦται AH$^2$ (Turn.)    πράγματ' F    αὐτῶ O, αὐτῶν H

ὑπὸ τῶν ὄχλων τιμώμενος· ἐπειδὰν δὲ πταῖσμα συμβῇ, μὴ κατὰ προαίρεσιν — τοῦτο γὰρ ὑπαίτιον —, ἀλλὰ τυχηρόν, ὅπερ ἐστὶ συγγνωστόν, οὐδὲν ἧττον ἕλκεται κάτω διὰ τοῦ περιαυχενίου κόσμου καὶ ταπεινοῦται, μόνον οὐκ ἐπιλέγοντος τοῦ δεσπότου· „τὸν περιαυχένιον τοῦτον κύκλον ἐδωρησάμην σοι καὶ κόσμον κατορθουμένων τῶν ἐμῶν καὶ ἀγχόνην ἀποτυγχανομένων.“

p. 63 M. (26.) | Ἤκουσα μέντοι καθ᾽ ἑτέραν ἰδέαν τροπικώτερον τὰ περὶ 151
τὸν τόπον ἀκριβούντων. ἦν δὲ τοιάδε· τὸν βασιλέα τῆς Αἰγύπτου τὸν ἡμέτερον νοῦν ἔλεγον εἶναι, τὸν τῆς καθ᾽ ἕκαστον σωματικῆς χώρας ἡγεμόνα, ὃς οἷα βασιλεὺς ἀνῆπται τὸ κράτος. ᾧ γενομένῳ φιλοσωμάτῳ 152
τρία τὰ πλείστης ἀξιούμενα σπουδῆς διαπονεῖται, σιτία καὶ ὄψα καὶ ποτά, παρὸ καὶ τρισὶ χρῆται τοῖς τῶν λεγομένων ἐπιμεληταῖς, ἀρχισιτοποιῷ καὶ ἀρχιοινοχόῳ καὶ ἀρχιμαγείρῳ· πρυτανεύει γὰρ ὁ μὲν τὰ περὶ ἐδωδήν, ὁ δὲ τὰ περὶ πόσιν, ὁ δ᾽ ἐπιτέτακται τοῖς περὶ αὐτὰ τὰ ὄψα ἡδύσμασιν. πάντες δέ εἰσιν εὐνοῦχοι, ἐπειδὴ ὁ φιλήδονος ἄγονός 153
ἐστι τῶν ἀναγκαιοτάτων, σωφροσύνης, αἰδοῦς, ἐγκρατείας, δικαιοσύνης, ἁπάσης ἀρετῆς· οὐδὲν γὰρ οὕτως ἐχθρὸν ἄλλο ἄλλῳ, ὡς ἀρετῇ ἡδονή, δι᾽ ἣν ἀλογοῦσιν οἱ πολλοὶ ὧν μόνον ἄξιον πεφροντικέναι, ταῖς ἀκαθέκτοις ἐπιθυμίαις χαριζόμενοι καὶ οἷς ἂν προστάττωσιν εἴκοντες. ὁ μὲν 154
οὖν ἀρχιμάγειρος οὔτ᾽ εἰς δεσμωτήριον ἀπάγεται οὔτε τινὶ περιπίπτει λύμῃ διὰ τὸ μὴ σφόδρα τῶν ἀναγκαίων εἶναι τὰς παραρτύσεις οὐχ ἡδονὰς οὔσας ἀλλ᾽ εὔσβεστα ἡδονῶν ὑπεκκαύματα, δύο δὲ τῶν περὶ τὴν ἄθλιον γαστέρα πραγματευομένων, ἀρχισιτοποιὸς καὶ ἀρχιοινοχόος, ἐπειδὴ τὰ

---

2 οὐχ ὑπαίτιον VO 3 οὐδὲ K ἧττον BEKMV²O: χρεῖττον ceteri 4 μονονοῦ (κ eras.) V, μονονοὺ GO, μονονοὺ καὶ K περιαυχένα BE, περὶ αὐχένα M κύκλον om. F 5 σοι om. BEM ἀγχόνης CV, om. O 6 ἀποτυγχανόντων BEKM 7 post μέντοι ss. καὶ H² (v) τροπικωτέραν A τὰ] τῶν A 8 τὸν τόπον V², τῶν τόπων V¹ τύπον ex τόπον corr. H 9 νοῦν] λογισμὸν A εἶναι om. A 10 ὃς] ᾧ corr. H βασιλεῖ corr. H ἀνῆπτε FG, ἀνῆπτον H ᾧ C²VOK: ὡς ceteri γενομένου A, γινομένῳ H(v) φιλοσωμάτου A 11 τρία CVOK: τρία γὰρ ceteri φιλοπονεῖται A 12 παρ᾽ ὅσον VO μεληταῖς F 13 καὶ pr. om. A τὰ om. CVO 14 δὲ CVO ἐπιτέτραπται A 15 ἐδέσμασι F δ᾽ BEMA εὐνοῦχοι δέ εἰσι πάντες transp. HP, εὐνοῦχοι$^{\beta}$ δὲ πάντες εἰσίν$^{\alpha}$ K φιλόδημος CBEMA 17 πάσης BEM ἀρετὴ ἡδονῇ V¹M, ἀρετὴ ἡδονῆς C 18 post ὧν add. ἀγαθῶν VO, ss. K² μόνων AV²K²O 19 καὶ—εἴκοντες om. C προστάττωσιν AK: πράττωσιν FGHP, προστάγμασιν BEMV¹, ὥσι πράγμασι V²O εἴκοντες] εἰρηκότες BEMV¹, προστετηκότες V²O 22 ἄσβεστα AKO, αὐτὰς (sic) BEM; αὖ τὰ coni. Mang. ἀθλίαν K¹ (fort. recte) 23 ἀρχισιτοποιοῦ καὶ ἀρχιοινοχόου V²O

συνεκτικώτατα τῶν εἰς τὸ ζῆν χρησίμων ἐστὶ βρῶσις καὶ πόσις, ὧν
ἐπιμελείας μὲν ἀξιουμένων οἱ προεστῶτες εἰκότως ἐπαίνων τυγχάνουσιν,
155 ὀλιγωρουμένων δὲ ὀργῆς καὶ κολάσεως ἀξιοῦνται. διαφορὰ δὲ κἀν ταῖς
κολάσεσιν, ὅτι διάφορος ἡ χρεία, σιτίων μὲν ἀναγκαιοτάτη, οἴνου δὲ οὐ
πάνυ χρησίμη· καὶ γὰρ ἀκράτου δίχα ζῶσιν ἄνθρωποι ναματιαίῳ
156 ὕδατι ποτῷ χρώμενοι. δι' ἣν αἰτίαν πρὸς μὲν τὸν ἀρχιοινοχόον γίνονται
καταλλαγαὶ καὶ συμβάσεις ὡς ἂν ἁμαρτόντα περὶ τὸ ἔλαττον μέρος, ἀσύμ-
βατα δὲ καὶ ἀκατάλλακτα τὰ πρὸς τὸν ἀρχισιτοποιόν ἐστιν ἄχρι θανάτου
λαμβάνοντα τὴν ὀργὴν ὡς ἂν περὶ τὸ μέγιστον ἀδικήσαντα· τελευτὴ
γὰρ ἕπεται σιτίων σπάνει· οὗ χάριν καὶ ὁ περὶ ταῦτ' ἐξαμαρτὼν εἰκότως
θνήσκει κρεμασθείς, ὅμοιον κακὸν ᾧ διέθηκε παθών· καὶ γὰρ αὐτὸς
ἀνεκρέμασε καὶ παρέτεινε τὸν πεινῶντα λιμῷ.
157 (27.) Τοσαῦτα καὶ περὶ τούτου. ὁ μέντοι βασιλέως ὕπαρχος
κατασταθεὶς καὶ τῆς Αἰγύπτου τὴν ἐπιμέλειαν καὶ προστασίαν λαβὼν
ἐξῄει γνωρισθησόμενος ἅπασι τοῖς ἐγχωρίοις καὶ τοὺς λεγομένους νομοὺς
ἐπιὼν κατὰ πόλεις πολὺν αὐτοῦ πόθον ἐνειργάζετο τοῖς ὁρῶσιν, οὐ
μόνον ταῖς ὠφελείαις, ἃς ἑκάστοις παρεῖχεν, ἀλλὰ καὶ ταῖς περὶ τὴν
158 ὄψιν τε καὶ τὴν ἄλλην ὁμιλίαν ἀλέκτοις καὶ ἐξαιρέτοις χάρισιν. ἐπεὶ
δὲ κατὰ τὴν τῶν ὀνειράτων σύγκρισιν ἐνέστη προτέρα τῆς εὐθηνίας ἡ
ἑπταετία, τὸ πέμπτον | τῶν καρπῶν ἀνὰ πᾶν ἔτος συνάγων διά τε τῶν p. 64 M.
ὑπάρχων καὶ τῶν ἄλλων, οἳ πρὸς τὰς δημοσίας χρείας ὑπηρέτουν αὐτῷ,
τοσαύτην ἤθροισε πληθὺν δραγμάτων, ὅσην οὐδείς πω πρότερον γενο-

---

1 χρησίμων mg. H, ἀναγκαίων in textu H, χρησίμων om. M  2 εἰκότως om. A  4 ὅτι] ὅταν HP  μὲν γὰρ A  5 χρησίμη om. F  6 ποτῷ] ποταμῷ BEM  χρώμενοι] ἀρκούμενοι coni. Mang.  7 συμβάσεις B, συμβι(βάσεις) KMVO (βι superscr.)  ἁμαρτάνοντα F  8 τὰ om. CAVO  9 τὸ] τὸν H[1]P  ἁμαρτήσαντα (ἀδικ superscr.) A  10 ταῦτα CVO  11 ᾧ Mang.: ὧν codd.  παθῶν C  12 λιμόν M  13 μέντοι] μὲν οὖν BEK[1]M (Mang.)  14 τὴν om. A  15 νομοὺς VK: νόμους ceteri  16 πόλιν A  αὐτοῦ ex αὐτοῦ corr. H: αὐτοῦ ceteri, om. P  πόθεν M  ὁρῶσιν] παροῦσιν BEKM  17 ὠφελίαις M  ἕκαστος P[1], ἑκάστω H[2]  ταῖς CAKFH[2]P[2]: om. ceteri  18 post καὶ pr. add. περὶ VO  τὴν ἄλλην] μεγάλην A  ἀλήκτοις VO  τε καὶ F  χαρίσμασιν BEM  19 τῶν om. A  ὀνείρων K  διάκρισιν conicio  ἀνέστη O  πρότερον F, ἡ προτέρα VO  ἡ eras. V[2], om. O  19. 20 ἡ ἑπταετία τῆς εὐθηνίας transp. HP  20 συνάγων CK: συλλέγων AP[2], ἀγγέλλων ceteri  21 ἠπειρέτουν K  22 πραγμάτων FHP  πω] τὸ VO, om. A

---

13 sqq. Gen. cap. 41,46 sqq.

μένην ἐμέμνητο· πίστις δὲ σαφεστάτη τὸ μηδ' ἀριθμηθῆναι δύνασθαι, καίτοι μυρία τινῶν πονηθέντων, οἷς ἐπιμελές, περιεργίᾳ διαριθμήσασθαι.
διεξελθόντων δὲ τῶν ἑπτὰ ἐτῶν, ἐν οἷς εὐφόρησεν ἡ πεδιάς, ἀρχὴν 159
ἐλάμβανεν ὁ λιμός, ὃν ἐπιβαίνοντα καὶ συναυξόμενον οὐκ ἐχώρησεν Αἴγυπτος· ἀναχεόμενος γὰρ καὶ τὰς ἑξῆς ἀεὶ πόλεις καὶ χώρας ἐπικαταλαμβάνων ἄχρι περάτων καὶ τῶν πρὸς ἕω καὶ τῶν πρὸς
δυσμὰς ἔφθασε τὴν οἰκουμένην ἐν κύκλῳ πᾶσαν κατασχών. λέγεται 160
γοῦν μηδέποτε κοινὴ νόσος κατασκῆψαι τοσαύτη, καθάπερ ἣν ἰατρῶν παῖδες ὀνομάζουσιν ἑρπῆνα· καὶ γὰρ αὕτη πᾶσι τοῖς μέρεσιν ἐπιφοιτῶσα τὴν κοινωνίαν τῶν ἡλκωμένων σωμάτων ὅλην δι' ὅλων στοιχηδὸν πυρὸς
τρόπον ἐπινέμεται. τοὺς οὖν ἀφ' ἑκάστης δοκιμωτάτους αἱρούμενοι 161
σιτώνας ἐξέπεμπον εἰς Αἴγυπτον· ἤδη γὰρ ἡ πρόνοια τοῦ νεανίσκου πανταχόσε διηγγέλλετο ταμιευσαμένου τροφὰς ἀφθόνους εἰς καιρὸν
ἐνδείας. ὁ δὲ τὸ μὲν πρῶτον κελεύει ἀνοιχθῆναι τοὺς σωροὺς ἅπαντας, 162
ὑπολαμβάνων εὐθυμοτέρους παρασκευάσειν τοὺς ἰδόντας καὶ τρόπον τινὰ τὰς ψυχὰς ἀναθρέψειν πρὸ τῶν σωμάτων ἐλπίσι χρησταῖς, ἔπειτα διὰ τῶν ἐπιτραπέντων τὰς σιταρχίας ἐπώλει τοῖς ἔχουσιν ὠνητικῶς, στοχαζόμενος τοῦ μέλλοντος ἀεὶ καὶ τὸ ἐπιὸν ὁρῶν τοῦ παρόντος ἀκριβέστερον.

(28.) Ἐν δὲ τούτῳ καὶ ὁ πατήρ, ὑποσπανιζόντων ἤδη τῶν ἀναγ- 163
καίων, ἀγνοῶν τὴν τοῦ παιδὸς εὐτυχίαν ἐκπέμπει δέκα τῶν υἱῶν ἐπὶ

---

1 μηδὲ VO   2 μυρία τινῶν πονηθέντων AK$^1$P$^2$: μυρία πολλῶν πονηθέντων V$^2$K$^2$, μυριάδων πονηθέντων C, μυρίων τῶν πονηθέντων H$^2$(v), μυρία τῶν πονηθέντων ceteri   ἐπιμελὴς F   3 διελθόντων VO   ἐν om. AG   ηὐφόρησεν CFGHP   ἀρχὴν om. F   4 συναυξανόμενον AFH(v), αὐξόμενον M   5 καὶ pr. om. F   ἀεὶ om. VO   6 τῶν alt.] τὸν C   7 ὅλην τὴν οἰκουμένην (tum πᾶσαν om.) A   8 γοῦν] γὰρ AP$^2$, γὰρ οὖν FGP$^1$   9 ἑρπῆνα AFHP: ἕρπητα ceteri   ἑρπὴν λέγεται πάθος περσῶν adnot. G et mg. FH   αὐτὴ AFGHP   10 τὴν κοινωνίαν AF$^1$GHP: τῇ κοινωνίᾳ ceteri   ἡλ$^{κ}$ωμένων B, ἡλωμένων E, εἱλωμένων VOK$^2$, ἡνωμένων CK$^1$   ὅλην AFGHP: ὅλη ceteri   στϊχηδὸν K   11 ἀφ' ἑκάστοις A   δοκιμωτάτου C   αἱρούμενοι AFGHPK: αἱρουμένους CBEM(v), ἀνευρομένους VO   12 ἐξέπεμπεν M   13 πανταχόθεν ἠγγέλλετο A   ταμιευσομένου BEM, ταμιευσαμένη HP   14 ἀνοιχθῆναι om. A   ἀνοιχθῆναι κελεύει conicio   σορούς E$^1$M   15 παρασκευάσαι VO, παρασκευάζειν HP   16 ἀναθρέψαι VO   θεραπεύσειν ψυχὰς (om. τὰς) in textu HP, ἀναθρέψειν ψυχὰς mg. HP; ἀναθρέψειν τὰς ψυχὰς v   17. 18 στοχαζόμενοι G   18 τοῦ μέλλοντος om. V   20 καὶ om. F   21 ἐπὶ] εἰς L(v)

---

20 sqq. Gen. cap. 42

σιτωνίαν τὸν νεώτατον οἴκοι κατασχών, ὃς ἦν ὁμομήτριος ἀδελφὸς τῷ
164 βασιλέως ὑπάρχῳ. καὶ οἱ μὲν εἰς Αἴγυπτον ἐλθόντες ἐντυγχάνουσιν
ὡς ἀλλοτρίῳ τἀδελφῷ καὶ τὴν περὶ αὐτὸν ἀξίωσιν καταπλαγέντες ἔθει
παλαιῷ προσκυνοῦσιν, ἤδη καὶ τῶν ὀνειράτων αὐτοῦ λαμβανόντων
165 βεβαίωσιν. ὁ δὲ τοὺς πεπρακότας θεασάμενος εὐθὺς ἐγνώρισεν ἅπαντας
ὑπὸ μηδενὸς αὐτὸς γνωρισθεὶς τὸ παράπαν, μὴ βουληθέντος πω τοῦ
θεοῦ τἀληθὲς ἀναφῆναι διά τινας ἀναγκαίας αἰτίας, ἃς τότε βέλτιον ἦν
ἡσυχάζεσθαι, ἀλλ' ἢ τὴν ὄψιν ἀλλάξαντος εἰς σεμνότερον εἶδος τοῦ τὴν
χώραν ἐπιτραπέντος ἢ παρατρέψαντος τὰς ἀκριβεῖς καταλήψεις τῆς δια-
166 νοίας τῶν ὁρώντων. εἶτ' οὐχ ὥσπερ νέος καὶ τοσαύτης ἡγεμονίας
διάδοχος ἀρχὴν τὴν μετὰ βασιλέα πρώτην ἀναψάμενος, εἰς ὃν ἀνατολαὶ
καὶ δύσεις ἀπέβλεπον, | ἡλικίας ἀκμῇ καὶ μεγέθει τῆς ἐξουσίας ἐπαρθείς, p. 65 M.
καιρὸν ἔχων ἀμύνης ἐμνησικάκησεν, ἀλλ' ἐγκρατῶς τὸ πάθος ἐνεγκὼν καὶ
ταμιευσάμενος αὐτοῦ τῇ ψυχῇ μετὰ πολλοῦ τοῦ προμηθοῦς ἐπεμόρφαζεν
ἀλλοτρίωσιν καὶ βλέμμασι καὶ φωνῇ καὶ τοῖς ἄλλοις καθυποκρινόμενος
τὸν δυσχεραίνοντα „οὐδέν" εἶπεν, „ὦ οὗτοι, φρονεῖτε εἰρηνικόν, ἀλλά τις
τῶν βασιλέως ἐχθρῶν κατασκόπους ὑμᾶς ἐξέπεμψεν, ᾧ κακὰς ὑπηρεσίας
ὁμολογήσαντες ὑπηρετήσειν λήσεσθαι μὲν ᾠήθητε, λανθάνει δ' οὐδὲν
167 τῶν δρωμένων ἐπ' ἐνέδρᾳ, κἂν βαθεῖ σκότῳ συσκιάζηται." πειρωμένων
δ' ἀπολογεῖσθαι καὶ διεξιόντων, ὡς ἐπ' ἀγενήτοις κατηγοροῦνται, μήτε
γὰρ παρὰ δυσμενῶν ἥκειν μήτ' αὐτοὶ τοῖς ἐγχωρίοις ἀπέχθεσθαι μηδ'
ἂν ὑπομεῖναί ποτε τοιαύτην διακονίαν, εἶναι γὰρ τὰς φύσεις εἰρηνικοὶ
καὶ μεμαθηκέναι σχεδὸν ἐξ ἔτι νηπίων παίδων τιμᾶν εὐστάθειαν παρ'
ὁσιωτάτῳ καὶ θεοφιλεστάτῳ πατρί, ᾧ δώδεκα γενομένων υἱῶν ἕνα μὲν

---

1 σιτωνία A ὁμομήτριος ἀδελφὸς CVO: ἀδελφὸς post ὑπάρχῳ (2) transp. ceteri 2 εἰσελθόντες εἰς Αἴγυπτον C 3 τῷ ἀδελφῷ CVOHP, ἀδελφῷ (om. τῷ) G 4 παλαιῷ] βαρβάρῳ coni. Mang. ἤδη προσκυνοῦσι transp. A 5 βεβαίωσιν] τελείωσιν P πεπρακότας] ἠγορακότας $V^2K^2O$ 6 πω om. VO 7 τἀληθῆ F ἀναθεῖναι VO ⟨δι'⟩ ἃς coni. Wendl. τότε om. VO ἦν om. F
εἶδος
8 ἦθος K 9 περιτρέψαντος AF τὰς om. $HP^1$ 9. 10 τῆς διανοίας CVOK: καὶ διανοίας AFGHP, om. BEM 10 εἶτα VO 11 βασιλέως F 12 ἐπέβλεπον HP 13 ἀμύναι A ἐγκρατῶς] ἐκράτησε HP 14 αὐτοῦ $V^2$: αὐτοῦ ceteri 15 ἀλλοτριώσεσι VO βλέμματι coni. Mang. 16 ὦ οὗτοι, εἶπε transp. HP 17 ἡμᾶς G κακὰς] καὶ τὰς G 18 ὁμολογή-σαντας M λήσεσθε G μὲν om. VO 20 δὲ CVO 21 αὐτοὺς K ἀπέχθεσθε G, ἀπέχεσθαι BEKM, ὑπέχεσθαι C 22 ἂν] αὖ F ποτε om. A 23 ἐξέτι CFP παίδων om. FHP εὐπάθειαν P, εὐπείθειαν H 24 πατρὶ καὶ θεοφιλεστάτῳ transp. A θεοφίλεος (alt. ο eras.) C post δώδεκα add. μὲν HP(v) γεινομένων V, γειναμένων O μὲν om. Mang.

τὸν νεώτατον οὐκ ἔχοντά πω ἡλικίαν ἀποδημίας οἴκοι καταμεῖναι, δέκα
δὲ τοὺς ὁρωμένους ἡμᾶς ἐνταῦθα ὑπάρχειν, τὸν δὲ λοιπὸν ἐκποδὼν
γεγενῆσθαι —, (29.) ταῦτ' ἀκούσας ὡς ἐπὶ τεθνεῶτι ἑαυτῷ παρὰ τῶν
ἀποδομένων τί τὴν ψυχὴν ἄρα ἐπεπόνθει; καὶ γὰρ εἰ μὴ ἐξελάλησε 168
τότε τὸ παραστὰν πάθος, ἀλλὰ τούτοις ὑποτυφομένῳ καὶ ζωπυρουμένῳ
πάντως τὰ ἐντὸς ἐκαίετο, βαθεῖ δ' ὅμως ἤθει φησὶν αὐτοῖς· „εἰ τῷ
ὄντι μὴ κατασκεψόμενοι τὴν γῆν ἀφῖχθε, πρὸς πίστιν τὴν ἐμὴν ὑμεῖς
μὲν ἐνταυθοῖ διατρίψατε βραχύν τινα χρόνον, ὁ δὲ νεώτατος ἀδελφὸς
ὑμῶν ἀφικέσθω μετακληθεὶς ἐπιστολιμαίοις γράμμασιν. ἐὰν δ' ἕνεκα 169
τοῦ πατρὸς ἐπείγησθε ἀπιέναι φοβησομένου τάχα τὴν μακρὰν ὑμῶν
διάζευξιν, οἱ μὲν ἄλλοι πάντες ἀπάρατε, καταμεινάτω δ' εἷς ὁμηρεύσων,
ἄχρις ἂν ἐπανέλθητε σὺν τῷ νεωτάτῳ· τιμωρία δὲ κατὰ τῶν μὴ πει-
θαρχούντων ἡ ἀνωτάτω προκείσεται θάνατος.“ καὶ ὁ μὲν τοιαῦτ' 170
ἀπειλήσας ὑποβλεπόμενος καὶ βαρείας ὀργῆς δείγματα παρασχὼν ὅσα τῷ
δοκεῖν ἀπηλλάττετο· οἱ δὲ συννοίας καὶ κατηφείας γεμισθέντες ἐκάκιζον
ἑαυτοὺς ἕνεκα τῆς πρὸς τὸν ἀδελφὸν ἐπιβουλῆς „ἐκεῖνο“ λέγοντες
„τἀδίκημα τῶν παρόντων ἐστὶ κακῶν αἴτιον, τῆς ἐφόρου δίκης τῶν
ἀνθρωπείων πραγμάτων ἤδη τι μηχανωμένης καθ' ἡμῶν· βραχὺν γὰρ
ἡσυχάσασα χρόνον διανίσταται τὴν ἀμείλικτον καὶ ἀπαραίτητον αὑτῆς
ἐπιδεικνυμένη φύσιν τοῖς ἀξίοις κολάσεως. πῶς γὰρ οὐκ ἄξιοι; οἳ δεό- 171
μενον καὶ ποτνιώμενον τὸν ἀδελφὸν οἱ ἀνηλεεῖς ὑπερείδομεν οὐδὲν μὲν
ἐξαμαρτόντα, φαντασίας δὲ τὰς καθ' ὕπνον διὰ τὸ φιλοίκειον ὡς
συνήθεσιν ἀνενεγκόντα, ὑπὲρ ὧν οἱ θηριωδέστατοι καὶ πάντων ἀγριώτατοι

---

1 ⟨τὴν⟩ ἡλικίαν conicio     2 ἡμᾶς delendum videtur     ἐνταῦθ' VO
ἐκποδῶν EH¹O     3 ταῦτα CP     παρὰ τῶν] πάντων VO     4 πεπόνθει MG
εἰ γὰρ καὶ μὴ transp. A     5 παριστάνον F     τούτω A (Mang.)     ὑποτυφου-
α
μένου CVO     6 πάντως] πάντα coni. Mang.     7 ἐφῖχθε C     πρὸς τὴν πίστιν F
8 νεώτερος F     9 ἐφικέσθω VO     δ' om. BEM     10 ἐπείγεσθε BEKMF
ἀπιέναι Mang.: ἀπεῖναι codd.     φοβηθησομένου A (Mang.)     11 ἅπαντες VK²
12 ἐπαναχθῆτε AFGHP     13 ἡ AKF²H²P²: ὁ CVOBEM, om. F¹GH¹P¹
καὶ om. M     τοιαῦτα CF     14 σχὼν F     τῷ] τὸ P     17 τῶν—
αἴτιον post ἡμῶν (18) transp. K     ἐστὶν αἴτιον κακῶν transp. AO     18 ἀνθρω-
πίων C     τι om. F     βραχὺ F     19 ἐφησυχάσασα FHP(v)
σεως
αὐτῆς codd.     20 κολάζεσθαι K     πῶς] πόσων VK²     ἄξιον HP¹
οἳ C: om. ceteri     21 οἱ ἀνηλεεῖς om. A     ὑπερίδομεν C, περιείδομεν V
οὐδὲν μὲν] οὐ μὲν CBEM, οὐμενοῦν VK²     22 post ἐξαμαρτόντα add. τι, ἀλλὰ (tum
δὲ om.) CVBEM     τὰς] τότε C     φιλοίκιον O     23 σύνθεσιν (sic) G
ἀνενέγκαντα A     καὶ πάντων ἀγριώτατοι om. F     post πάντων add. ἀνθρώπων
BEM (Mang.)

δυσχεραίνοντες ἡμεῖς οὐχ ὅσια — δεῖ γὰρ | ἀψευδεῖν — εἰργασάμεθα. p. 66 M.
172 τοιγαροῦν καὶ ταῦτα καὶ ἔτι χείρω τούτων πείσεσθαι προσδοκῶμεν, οἵτινες μόνοι σχεδὸν ἐξ ἁπάντων ἀνθρώπων εὐπατρίδαι λεγόμενοι διὰ τὰς πατέρων καὶ πάππων καὶ προγόνων ὑπερβαλλούσας ἀρετὰς ᾐσχύ-
173 ναμεν τὴν συγγένειαν ἐπιφανὲς ὄνειδος κτήσασθαι σπουδάσαντες.“ ὁ δὲ πρεσβύτατος τῶν ἀδελφῶν, ὃς καὶ ἐν ἀρχῇ, συντιθεμένων τὴν ἐπιβουλήν, ἠναντιοῦτο, „ἐπὶ δὴ πεπραγμένοις“ εἶπεν „ἀνωφελεῖς αἱ μεταμέλειαι· παρεκάλουν, ἱκέτευον, ἐξετάζων ὅσον ἐστὶ τὸ ἀνοσιούργημα, μὴ θυμῷ χαρίζεσθαι· συναινεῖν δέον, ταῖς ἀβουλίαις ἑαυτῶν εἴξατε.
174 τοιγαροῦν καρπούμεθα τῆς αὐθαδείας καὶ ἀσεβείας τἀπίχειρα· ζητεῖται μὲν ἡ ἐπ' ἐκείνῳ τυρευθεῖσα ἐπιβουλή, ὁ δὲ ζητῶν οὐκ ἔστιν ἄνθρωπος,
175 ἀλλ' ἢ θεὸς ἢ λόγος ἢ νόμος θεῖος.“ (30.) ταῦτα δ' ἤκουεν ὁ πραθεὶς ἀδελφὸς ἡσυχῇ διαλαλούντων, ἑρμηνέως μεταξὺ ὄντος· καὶ νικηθεὶς ὑπὸ τοῦ πάθους, μέλλων δακρύειν, ὡς μὴ γένοιτο καταφανής, ἀποστρέφεται καὶ προχέας θερμὰ καὶ ἐπάλληλα δάκρυα καὶ πρὸς ὀλίγον ἐπικουφισθείς, τὴν ὄψιν ἀπομαξάμενος, ἐπιστρέφει καὶ κελεύει τὸν ἡλικίᾳ δεύτερον τῶν ἀδελφῶν ἐν ὄψεσι ταῖς ἁπάντων δεθῆναι, τὸν αὐτῷ

---

1 εἰργασάμεθα AOFHP: εἰργάσμεθα ceteri 2 χείρω τούτων KF: τούτων om. CV, τούτων χείρω transp. ceteri πείσεσθε B 4 post τὰς add. τῶν AOHP 5 συγγένειαν] εὐγένειαν K[1] (fort. recte) 6 τῶν ἀδελφῶν] ἀδελφὸς AO καὶ om. F συντεθειμένων CV 6. 7 τῇ βουλῇ AOV[2], τὴν βουλὴν V[1] 7 post ἠναντιοῦτο add. παρεκάλει F ἐπὶ δὴ Mang.: ἐπὶ K, ἐπειδὴ ceteri 8 παρεκάλουν om. F παρεκάλει, ἱκέτευεν BEMGHP, ἱκέτευεν etiam F ἐξέταζον C 9 χαρίσασθαι AOF συναινῶν H[1]P δέον] δὲ O συναινεῖν δέον] δέον συναινεῖν F, παρῄνουν, ἀλλ' ὑμεῖς V[2] αὑτῶν F 10 ἀσεβείας καὶ αὐθαδείας transp. AO τὰ ἐπίχειρα CAG 12 ταῦτ' ἤκουεν (om. δ') V ἤκουσεν A 13 ἡσυχῇ—μεταξὺ] ἐν ὄψεσι—κατάλληλον (17—99,1) O κινηθεὶς MAOF 14 δακρύειν CVBEKM: ἐνδακρύειν ceteri (v) καταφανεὶς O 16 ἀπομαρξάμενος O 17 ἐν ἡλικίᾳ F ταῖς K: τῶν ceteri

---

16—99,8 *Procop. Gaz. comment. in Gen. 42,24* (Wendland Neu entd. Fragm. Philos p. 91[1] = Migne P. G. t. 87,1 p. 479 inf.): τὸν δὲ ἐν ἡλικίᾳ δεύτερον τὸν Συμεὼν ὁ Ἰωσὴφ δεθῆναι προσέταξεν ὡς αὐτῷ κατάλληλον· ὁ γὰρ ἐν πλείοσι δεύτερος τῷ παρεσχάτῳ κατάλληλος, ἐπεὶ καὶ τῷ τελευταίῳ ὁ πρῶτος· ἴσως μέντοι καὶ διότι τὴν πλείστην μοῖραν ἔδοξε τῶν ἁμαρτηθέντων εἰσενεγκεῖν· εἰ γὰρ δεύτερος ὢν συνετάχθη τῷ πρεσβυτάτῳ χρηστὰ συμβουλεύσαντι, ἴσως ἂν συμπνευσάντων ἀλλήλοις τῶν πρώτων καὶ διὰ τοῦτο τιμιωτάτων κεκώλυτο τὸ πλημμέλημα. *Isidor. Pelus. Epist.* III, 115 (Migne P. G. t. 78 p. 820): ἐπειδὴ γέγραφας, δι' ἣν αἰτίαν τοὺς ἄλλους ἀδελφοὺς παρεὶς ὁ Ἰωσὴφ τὸν Σιμεῶνα μόνον ἐκέλευσε δεθῆναι, ὅμηρον τῆς τῶν ἀδελφῶν ἐπανόδου γενησόμενον, φημί· ἐπειδὴ τῶν τὴν τραγῳδίαν ἐκείνην κατ' αὐτοῦ δραματουργησάντων κορυφαιότατος ἦν. εἰ γὰρ ἐφράξατο μετὰ τοῦ πρεσβυτάτου τοῦ γνώμην ἀρίστην εἰσηγησαμένου, ἴσως ἂν καὶ τὴν ἐπιβουλὴν ἀνέτρεψεν·

κατάλληλον — ὁ γὰρ ἐν πλείοσι δεύτερος τῷ παρεσχάτῳ κατάλληλος,
ἐπεὶ καὶ τῷ τελευταίῳ ὁ πρῶτος —· ἴσως μέντοι καὶ διότι τὴν πλείστην 176
μοῖραν ἔδοξε τῶν ἁμαρτηθέντων εἰσενεγκεῖν μόνον οὐ συνταγματαρχῶν
καὶ τοὺς ἄλλους ἀλείφων ἐπὶ δυσμένειαν· εἰ γὰρ συνετάχθη τῷ πρεσβυ-
τάτῳ χρηστὰ καὶ φιλάνθρωπα βουλευομένῳ, νεώτερος μὲν ἐκείνου,
τῶν δ' ἄλλων πρεσβύτερος ὤν, ἴσως ἂν ἴσως ἐπεσχέθη τἀδίκημα, τῶν
τὴν ἀνωτάτω τάξιν καὶ τιμὴν ἐχόντων συμπνεόντων καὶ ὁμογνωμονούντων
περὶ πράγματος, ὃ καὶ καθ' αὑτὸ πολλὴν ῥοπὴν συνεφείλκετο· νυνὶ δ' 177
ἀποστὰς τῆς ἡμέρου καὶ ἀμείνονος τάξεως πρὸς τὴν ἀνήμερον καὶ
χαλεπὴν ηὐτομόλησε καὶ ταύτης ἀποδειχθεὶς ἡγεμὼν οὕτως ἐθάρσυνε
τοὺς συνεφαπτομένους τοῦ παρανομήματος, ὡς ἀνενδότως τὸν ἐπίληπτον
ἆθλον διαθλῆσαι. διὰ ταῦτ' ἐξ ἁπάντων μόνος οὗτος δεθῆναί μοι δοκεῖ.
οἱ δ' ἄλλοι τὴν οἴκαδε ἐπάνοδον ἤδη παρευτρεπίζονται, κελεύσαντος 178
τοῦ τῆς χώρας ἐπιτρόπου τοῖς πυροπωλοῦσι τὰ ἀγγεῖα τῶν ἀδελφῶν
ὡς ξένων ἅπαντα πληρῶσαι καὶ ἣν ἔλαβον τιμὴν ἐπὶ τῶν στομίων
λάθρα καταθεῖναι μὴ προειπόντας οἷς ἀπεδίδοσαν καὶ τρίτον τι προσ-
επιδαψιλεύεσθαι τροφάς, αἳ γένοιντ' ἂν ἱκαναὶ κατὰ τὴν ὁδόν, ἐξαιρέτους
ὑπὲρ τοῦ παραπεμφθῆναι τὴν σιτωνίαν ἀμείωτον. ὁδοιπορούντων δὲ 179
καὶ τὸν ἐν δεσμοῖς ἀδελφὸν ὡς εἰκὸς οἰκτιζομένων, οὐχ ἧττον δ' ἐπὶ
τῷ πατρὶ κατηφούντων, εἰ πάλιν ἀκούσεται συμφορᾶς, καθ' ἑκάστην

2 τὴν om. AO 3 μοῖραν] τιμωρίαν HP ἡμαρτηθέντων H 4 δυσμένειαν V²KO: δυσμενεία ceteri (v) 4. 5 πρεσβυτάτω mg. H, πρώτω in textu H 5 ἐκεῖνος HP¹ 6 ἂν] μὲν HP 8 καθ' αὑτὸ VK: καταυτὸ C, κατ' αὐτῶν ceteri συνεφείλκυστο V; ἂν ἐφείλκετο coni. Mang. δὲ C 11 ἐφαπτομένους (νομή) BEKM παραπτώματος C ἀνενδότως CVBEKM: ἀνενδοιάστως ceteri τὸν om. K ἐπίληπτον AFP²: ἀνεπίληστον CV²K², ἀνεπίληπτον ceteri 12 διανύσαι AO ταῦτα AO, τοῦτ' MK δεθῆναι οὗτος transp. F δοκῶ AO 13 οἴκαδ' P παρευτρεπίζονται V: παρηυτρεπίζοντο ceteri καὶ ante κελεύσαντος add. K 14 πυρροπωλοῦσι M, πυροπολοῦσι G 15 ἅπαν M 16 προειπόντας CBEKM: προειπόντος V¹, προειπόντες V², προσειπόντας ceteri οἷς] ὡς coni. Mang. τρίτον τι CVBEKM: τι om. ceteri; τρίτον ἔτι coni. Wendl. 16. 17 προσεπιδαψιλεύεσθαι K: προσδαψιλεύσασθαι V², προσδαψιλεύεσθαι ceteri 17 κατὰ CVBEKM: καὶ κατὰ ceteri ἐξαιρέτους C: om. BEKM, ἐξαρκέσαι V² ss. K², ἐξαιρέτως ceteri 18 σιτωνείαν HP, σρίαν (i. e. σωτηρίαν) K 19 δὲ V 20 ἀκούσειε P συμφοράς A

ἐκείνου μὲν γὰρ νεώτερος ἦν δεύτερος ὢν καθ' ἡλικίαν, τῶν δ' ἄλλων πρεσβύτερος, καὶ εἰκὸς ἦν καὶ τοὺς ἄλλους ἢ φοβηθέντας ἢ δυσωπηθέντας τὴν τῶν πρεσβυτάτων γνώμην σβέσαι τὴν ἐπιβουλήν, καὶ μάλιστα καὶ τοῦ τετάρτου ἀγανακτοῦντος ἐπὶ τοῖς γινομένοις καὶ αὐτοῦ τοῦ πράγματος ἔχοντος πολλὴν ῥοπὴν πρὸς τὸ μὴ πραχθῆναι.

ὁδὸν | ἐλαττουμένης καὶ ἀποκειρομένης αὐτοῦ τῆς εὐπαιδίας, καὶ λεγόν- p. 67 M.
των „ἀλλ' οὐδὲ πιστεύσει δεδέσθαι, πρόφασιν δ' εἶναι τὰ δεσμὰ τελευτῆς
ὑπολήψεται διὰ τὸ τοὺς ἅπαξ πληγέντας εἰς τὰ αὐτὰ προσπταίειν",
ἑσπέρα καταλαμβάνει καὶ τῶν ὑποζυγίων καθελόντες τὰ ἄχθη τὰ μὲν
ἐπεκούφιζον, αὐτοὶ δὲ βαρυτέρας ταῖς ψυχαῖς φροντίδας ἐδέχοντο· φιλεῖ
γὰρ ἐν ταῖς ἀναπαύλαις τῶν σωμάτων ἐναργεστέρας τῶν ἀβουλήτων ἡ διά-
νοια λαμβάνουσα φαντασίας χαλεπῶς ἄγαν θλίβεσθαι καὶ πιέζεσθαι. (31.)
180 λύσας δέ τις ἓν ἀγγεῖον ὁρᾷ παρὰ τῷ στομίῳ βαλάντιον ὑπόμεστον ἀργυρίου
καὶ διαριθμησάμενος εὕρισκεν ὅσην τοῦ σίτου καθῆκε τιμὴν ἀποδεδομένην
181 αὐτῷ καὶ καταπλαγεὶς τοῖς ἀδελφοῖς ἀνέφερεν. οἱ δ' οὐ χάριν ἀλλ'
ἐνέδραν ὑποτοπήσαντες ἠθύμουν καὶ βουλόμενοι πάντα τὰ ἀγγεῖα διερευ-
νήσασθαι φόβῳ διώξεως ἄραντες ᾗ τάχιστα συνέτεινον καὶ μόνον οὐκ
182 ἀπνευστὶ θέοντες πολυήμερον ὁδὸν ἐπιτεμόντες ἀνύουσιν. εἶτ' ἀλλα-
χόθεν ἄλλοι τὸν πατέρα οὐκ ἀδακρυτὶ περιλαβόντες ἐφίλουν ἑκάστῳ
περιπλεκόμενον καὶ περιχεόμενον ἐκθύμως, καίτοι τῆς ψυχῆς ἤδη τι
μαντευομένης ἀβούλητον· καὶ γὰρ προσιόντας καὶ δεξιουμένους κατενόει
καὶ τὸν ὑπολειφθέντα υἱὸν ὡς ὑστερηκότα τῆς βραδυτῆτος ᾐτιᾶτο καὶ
πρὸς τὰς εἰσόδους ἀπέβλεπε σπεύδων τὸν ἀριθμὸν τῶν τέκνων πλήρη
183 θεάσασθαι. μηδενὸς δ' ἔξωθεν ἔτι προσεπιφοιτῶντος, διεπτοημένον
ἰδόντες „τῶν ἀβουλήτων" ἔφασαν, „ὦ πάτερ, ἀνιαρότερος τῆς μαθήσεως ὁ
ἐνδοιασμός ἐστι· μαθὼν μὲν γάρ τις ὁδὸν εὗρεν εἰς σωτηρίαν, ἡ δ' ἀμφί-
βολος ἄγνοια δυσοδίας καὶ ἀπορίας αἴτιον· ἄκουε δὴ σφόδρα μὲν ἀνιαροῦ

ι
1 αὐτῷ V²GHP (v) εὐπαιδείας K, εὐπαιδείας AOH 2 δὲ V τελευτῆς τὰ δεσμὰ transp. AHP (v) 3 αὐτὰ corr. ex αὐτοῦ V μὴ ante προσπταίειν add. F 5 βαρυτέραις M ἐδέξαντο CV 6 ἐναργεστέρως V² 6. 7 ἡ διαλαμβάνουσα φαντασία CVBEM 7 πιέζεσθαι] βιάζεσθαι H 8 περὶ AO βαλλάντιον CE 9 καθῆκε om. M, κατέθηκε KF ἀποδιδομένην BEM 10 αὐτῷ codd. (v) 11 ὑποπτήσαντες O καὶ βουλόμενοι] βουλόμενοι οὖν V τἀγγεῖα HP 12 συνέτεινον M (Mang.): συνδιέτεινον ceteri μονονοὺ AOH, μόνον οὐ καὶ P, μονονουχὶ V, μονονοὺκ corr. in μονονουχὶ K 13 κἀπνευστὶ H
ε ϊ
ἀποτεμόντες AO εἶτα CV 14 παραλαβόντες A, παραλαβόντες O, περιβαλόντες BEMV 15 περιπλακόμενον BE καὶ περιχεόμενον om. M περιχεόμενον BEKAG: παραχεόμενον O, περιεχόμενον ceteri καίτοι] καί τι V²O 16 προσιόν-
ων ων
τας καὶ δεξιουμένους A; προσιόντων καὶ δεξιουμένων v 17 καὶ τὸν K: καὶ om. ceteri ἀπολειφθέντα AO ὡς K: καὶ ὡς ceteri ὡς om. V 18 τέκνων] παίδων M 19 ἔτι om. V 20 ἀνιαρώτερος CAP, ἀνιαρότερον F τῆς om. H 22 αἰτία V

διηγήματος, ἀναγκαίου δὲ λεχθῆναι. ὁ συμπεμφθεὶς ἡμῖν ἀδελφὸς ἐπὶ 184
σιτωνίαν καὶ μὴ ἐπανεληλυθὼς ζῇ μέν — δεῖ γὰρ τὸν ὡς ἐπὶ τεθνεῶτι
ἀπαλλάξαι σου μείζονα φόβον —, ζῶν δ' ἐν Αἰγύπτῳ καταμένει παρὰ
τῷ τῆς χώρας ἐπιτρόπῳ, ὃς εἴτ' ἐκ διαβολῆς εἴτε καὶ ὑποτοπήσας
αὐτὸς αἰτίαν ἡμῖν ὡς κατασκόποις ἐπέφερεν. ἀπολογουμένων δὲ ὅσα 185
ὁ καιρὸς καὶ περί τε σοῦ τοῦ πατρὸς διεξιόντων καὶ τῶν ἀπολειπομένων
ἀδελφῶν, ἑνὸς μὲν τοῦ τεθνεῶτος, ἑτέρου δὲ τοῦ παρὰ σοὶ διατρίβοντος,
ὃν ἔφαμεν ἔτι νέον ὄντα διὰ τὴν ἡλικίαν οἴκοι καταμεῖναι, πάντα
ἀπαμπίσχοντες καὶ ἀπογυμνοῦντες τὰ τῆς συγγενείας εἰς τὸ ἀνύποπτον
οὐδὲν ἠνύσαμεν, ἀλλ' ἔφη μόνην ἂν αὐτῷ πίστιν ἀψευδοῦς ὁμολογίας
γενέσθαι τὴν ὡς αὐτὸν ἄφιξιν τοῦ νεωτάτου παιδός, οὗ χάριν καὶ τὸν
δεύτερον κατεσχηκέναι ῥύσιόν τε καὶ ἐνέχυρον ἐκείνου. τὸ μὲν οὖν 186
ἐπίταγμα πάντων ἀνιαρότατον, ὁ δὲ καιρὸς αὐτὸ προστάττει μᾶλλον τοῦ
p. 68M. κελεύοντος, ᾧ | πειστέον ἐξ ἀνάγκης διὰ τἀπιτήδεια, μόνης Αἰγύπτου
χορηγούσης αὐτὰ τοῖς λιμῷ πιεσθεῖσιν." (32.) ὁ δὲ βαρύτατον ἀναστενάξας 187
„τίνα πρῶτον" εἶπεν „ὀλοφύρωμαι; τὸν παρέσχατον, ὃς οὐ τελευταῖος
ἀλλὰ πρῶτος ἔλαχε τὴν τῶν συμφορῶν τάξιν; ἢ τὸν δεύτερον, ὃς τὰ
δευτερεῖα τῶν κακῶν ἤρατο, πρὸ θανάτου δεσμά; ἢ τὸν νεώτατον, ὃς
ἀπευκταιοτάτην ὁδὸν ἀφίξεται, ἐὰν ἄρα ἀπίῃ, ταῖς τῶν ἀδελφῶν κακο-
πραγίαις οὐ σωφρονισθείς; ἐγὼ δὲ κατὰ μέλη καὶ μέρη διαρτώμενος
— μέρη γὰρ τέκνα γονέων — εἰς ἀπαιδίαν κινδυνεύω περιελθεῖν ὁ
πολύπαις καὶ εὔπαις ἄχρι πρὸ μικροῦ νομισθείς." ὁ δὲ πρεσβύτατος 188
„εἰς ὁμηρείαν" ἔφη „σοὶ δύο υἱοὺς δίδωμι, οὓς καὶ μόνους ἐγέννησα·

---

1 μηνύματος καὶ add. ante διηγήματος F  ἡμῶν AO  2 σιτωνία AO, σιτωνεία P  τὸν] τῶν V, om. F  ὡς om. AH  3 ἀπαλλάξαι] ἀπελάσαι coni. Mang.  σου] σε V  μείζονα om. V  φόβων V  δὲ CVA  5 ἀπολογούμενοι et διεξιόντες (6) scribendum videtur  δ' BEM, δὲ καὶ AOG, καὶ F  6 ὁ om. AOFGHP  καὶ om. AOFGHP  7 pr. τοῦ om. AO  alt. τοῦ om. AO  σοὶ] σοῦ BEM  8 ἔτι νέον ὄντα om. V  οἴκοι scripsi: οἴκαδε codd.  μεῖναι AO  πάντ' AP  9 ἀπανίσχοντες F  γυμνοῦντες $BEK^{1}M$  εὐγενείας V  10 ἂν om. AO  ὁμολογίας] ἀπολογίας conicio  11 ὡς αὐτὴν O, ἕως αὐτοῦ A  12 κατασχηκέναι BE; κατέσχηκε coni. Wendl.  ῥύσειον C  13 ἀνιαρότατον VF: ἀνιαρώτατον CGP, ἀνιαρώτερον AO, ἀνιαρότερον ceteri  14 πιστέον $FH^{1}P$  τὰ ἐπιτήδεια CVAO  τῆς αἰγύπτου $AP^{2}$  15 βαρύτατα AO, βαρύτερον H  16 πρότερον AO  εἶπε post ὀλοφύρωμαι transp. VG (ss. $K^{2}$), om. $K^{1}$  ὀλοφύρωμαι EVFG: ὀλοφύρομαι ceteri (v)  17 πρῶτον F  συμφορῶν] συμφερόντων CBEM  δευτερεῖα] βαρύτερα coni. Mang.  18 ἤρξατο F  19 ἀφίξεται om. F  ἄρ' A  20 συμφορηθείς $V^{2}K^{2}$  μέρη καὶ μέλη CVFG  διαιτώμενος F  23 εἰς ὁμηρείαν] ἰσομοιρίαν FGHP  δίδωμι οὓς om. FGHP

τούτους ἀπόκτεινον, ἐὰν μὴ σῶον ἀποδῶ τὸν ἐγχειρισθησόμενον ἀδελφόν,
ὃς ἀφικόμενος εἰς Αἴγυπτον δύο περιποιήσει τὰ μέγιστα ἡμῖν, ἓν μὲν πίστιν
σαφῆ τοῦ μὴ κατασκόπους μηδὲ πολεμίους εἶναι, ἕτερον δὲ τὸ τὸν
189 ἀδελφὸν τὸν ἐν δεσμοῖς ἀπολαβεῖν δυνηθῆναι.“ σφόδρα δ' ἀχθομένου
τοῦ πατρὸς καὶ λέγοντος ἀγνοεῖν, ὅτι δυεῖν ὄντων ὁμομητρίων ὁ μὲν
ἤδη τέθνηκεν, ὁ δ' ἔρημος καὶ μόνος ἀπολειφθεὶς εὐλαβήσεται τὴν
ὁδὸν καὶ ζῶν προαποθανεῖται τῷ δέει κατὰ τὴν φοβερῶν ἐκείνων ὑπό-
μνησιν, ἃ συνέβη τὸν πρότερον παθεῖν, ταῦτα λέγοντος, τὸν εὐτολμότατον
καὶ ἀρχικὸν φύσει καὶ δυνατὸν εἰπεῖν — ἦν δὲ καθ' ἡλικίαν ἀπὸ τοῦ
πρώτου τέταρτος — προστησάμενοι διερμηνεύειν ἔπεισαν τὰ δοκοῦντα
190 πᾶσιν. ἐδόκει δὲ τῶν μὲν ἀναγκαίων ὑστεριζόντων — ὁ γὰρ κομισθεὶς
πρότερος σῖτος ἐπιλελοίπει —, κρατοῦντος δὲ τοῦ λιμοῦ καὶ πιέζοντος,
ὠνησομένους ἀπιέναι, μὴ βαδιεῖσθαι δὲ τοῦ νεωτάτου καταμένοντος·
τὸν γὰρ τῆς χώρας ἐπίτροπον ἀπηγορευκέναι δίχα τούτου παραγενέσθαι.
191 λογισάμενος δὲ ἅτε σοφὸς ἀνήρ, ὡς ἔστιν ἄμεινον ἕνα προέσθαι τῷ
τοῦ μέλλοντος ἀδήλῳ καὶ ἀμφιβόλῳ πρὸ τῆς ὁμολογουμένης τῶν τοσούτων
ἀπωλείας, ἣν ὑπομενεῖ πᾶς οἶκος ἐνδείᾳ πιεσθείς, ἀνιάτῳ νόσῳ, φησὶν
192 αὐτοῖς· „ἀλλ' εἰ τῆς ἐμῆς βουλήσεως ἐπικρατέστερα τὰ τῆς ἀνάγκης ἐστίν,
εἰκτέον· ἴσως γὰρ ἴσως ἡ φύσις οἰκονομεῖ τι βέλτιον, ὃ μήπω ταῖς διανοίαις
193 ἡμῶν παραφαίνειν ἀξιοῖ. λαβόντες οὖν καὶ τὸν νεώτατον, ὡς προῄρησθε,
ἄπιτε, μὴ μέντοι τὸν αὐτὸν ὃν καὶ πρόσθεν τρόπον· πάλαι μὲν γὰρ ἀργυρίου
μόνον ἔδει πρὸς σιτωνίαν ἀγνοουμένοις ἀνθρώποις καὶ μηδέν πω πεπονθόσιν
ἀνήκεστον, νυνὶ δὲ καὶ δώρων, τριῶν ἕνεκα, τῆς τε | πρὸς τὸν ἡγεμόνα p. 69 M.

---

1 post ἐγχειρισθησόμενον add. μοι HP 3 τὸ] τοῦ AOFGHP 3. 4 τὸν ἐν δεσμοῖς ἀδελφὸν AO 4 δυνησόμενον G δὲ V 5 ἀγνοεῖν] ἀποκνεῖν conicio, ἀμφιγνοεῖν coni. Mang. δυοῖν MAOKFP ὄντοιν K; ὄντοιν ὁμομητρίοιν A 6 καὶ μόνος om. F εὐλαβηθήσεται VK² 7 φοβερῶν] φερομένων F 8 εὐτολμώτατον VHP 9 ἀρχικὸν] ἀνδρικὸν AO δυνατώτατον K 9. 10 ἀπὸ τοῦ πρώτου καθ' ἡλικίαν transp. K 10 ἔπεισαν K: εἴτε κἂν BE, εἴτε κἂν V¹MFGHP¹, ᾔτηκαν V², ἤνεγκαν AOP², ἔλεγον C(v) 12 πρότερον VOHP(v) ἐπιλελοίπει CF: ἀπολελοίπει AO, ὑπολελοίπει ceteri 13 ὠνησομένους K: ἡνωμένους ceteri ἀπιέναι CV²F²: ἀπεῖναι ceteri 14 ἀπειρηκέναι A 15 δ' C; δὴ coni. Mang. 17 πιεσθεὶς ἀνιάτω νόσω BEKM: ἀνιάτῳ νόσῳ om. CV, πιεσθεὶς ἀνειπὼν ὅσον ceteri; ἀνιάτῳ νόσῳ πιεσθείς Mang. 18 βουλῆς AHP 19 ἱεικτέον (sic) C θεία ante φύσις add. V² οἰκοδομεῖ CFGHP ταῖς ἡμετέραις διανοίαις (om. ἡμῶν) CV 20 παρεμφαίνειν BEM, παραμίνειν (sic) F 21 καὶ om. M πρόσθε CBEGP 22 σιτωνείαν HP μηδέπω K, μηδὲν (om. πω) AO 23 νῦν VAO

---

11 sqq. Gen. cap. 43

καὶ σιτάρχην ἀρεσκείας, ὑφ' οὗ γνωρίζεσθαί φατε, καὶ τοῦ τὸν ἐν
δεσμοῖς ἀπολαβεῖν θᾶττον πολλὰ καταθέντας αὐτοῦ λύτρα καὶ τοῦ τὴν
ὑπόνοιαν τῆς κατασκοπῆς ὡς ἔνι μάλιστα ἰάσασθαι. πάντων οὖν ὅσων 194
ἡ ἡμετέρα γῆ φέρει λαβόντες ὥσπερ τινὰς ἀπαρχὰς κομίζετε τῷ
ἀνθρώπῳ καὶ δισσὸν ἀργύριον, τό τε ἀποδοθὲν πρότερον, ὃ ἴσως ἀγνοίᾳ
τινὸς ἀπεδόθη, καὶ ἕτερον αὔταρκες εἰς σιτωνίαν. ἐπιφέρεσθε μέντοι 195
καὶ τὰς ἡμετέρας εὐχάς, ἃς πρὸς τὸν σωτῆρα ποιούμεθα θεόν, ἵνα καὶ
εὐάρεστοι τοῖς ἐγχωρίοις ξενιτεύοντες ἦτε καὶ ἐπανέρχησθε σῷοι τὰς
ἀναγκαίας παρακαταθήκας, υἱούς, ἀποδιδόντες πατρί, τόν τε καταλει-
φθέντα πρότερον ἐν δεσμοῖς καὶ ὃν συνεπάγεσθε νυνὶ νεώτατον καὶ
πραγμάτων ἄπειρον.“ ἄραντες δὲ συνέτεινον εἰς Αἴγυπτον.

(33.) Εἶτ' ὀλίγαις ὕστερον ἡμέραις ἀφικομένους ἰδὼν ὁ τῆς χώρας 196
ἐπίτροπος ἥσθη πάνυ καὶ κελεύει τῷ τῆς οἰκίας ἐπιμελουμένῳ πολυτελὲς
ἄριστον εὐτρεπίζειν καὶ τοὺς ἄνδρας εἰσάγειν ἀλῶν καὶ τραπέζης μεθέ-
ξοντας. εἰσαχθέντες δὲ καὶ ἐφ' ὅτῳ μὴ συναισθόμενοι διεπτόηντο καὶ 197
συγχυθέντες ἐτόπαζον ἐπὶ κλοπῇ μέλλειν συκοφαντεῖσθαι ὡς ὑφελόμενοι
τὴν τοῦ σίτου τιμήν, ἣν πρότερον ἐν τοῖς ἀγγείοις ἀνεῦρον· εἶτα τῷ
τῆς οἰκίας ἐπιμελητῇ προσελθόντες ἀπελογοῦντο περὶ οὗ μηδεὶς ἐτόλμα
κατηγορεῖν τὸ συνειδὸς ἰώμενοι καὶ ἅμα προφέροντες ἐπεδείκνυον τὸ
ἀργύριον εἰς ἀπόδοσιν. ὁ δὲ χρηστοῖς καὶ φιλανθρώποις λόγοις 198
εὐθυμοτέρους αὐτοὺς ἐποίει φάσκων· „οὐδεὶς ἀσεβής ἐστιν οὕτως, ὡς
τὰς τοῦ θεοῦ χάριτας συκοφαντεῖν, ὃς ἵλεως εἴη· θησαυροὺς γὰρ ἐν
τοῖς ὑμετέροις ὤμβρησεν ἀγγείοις οὐ μόνον τροφὰς ἀλλὰ καὶ πλοῦτον
ἐξ ἑτοίμου διδούς.“ οἱ δὲ παρηγορηθέντες ἐν τάξει διετίθεσαν ἃ οἴκοθεν 199
ἐπηνέγκαντο δῶρα καὶ παραγενομένῳ τῷ δεσπότῃ τῆς οἰκίας προσέφερον·
πυνθανομένῳ δέ, πῶς ἔχοιεν καὶ εἰ ὁ πατὴρ ζῇ, περὶ οὗ πρόσθεν

1 ἀφ' BMG γνωρίζεσθε MFG 2 καταθέντας—λαβόντες (4) om. $K^{1}$, suppl. $K^{3}$
3 μὲν οὖν $VK^{2}$ ὅσα OGP, ὅσον $V^{1}$ 4 φέρει γῆ transp. AO, φέρει om. $VK^{3}$
5 τ' A πρότερον om. G ὃ om. CH(v) post ἴσως ss. γὰρ $H^{2}$(v)
6 σιτωνείαν HP 7 σωτῆρα] πρα (i. e. πατέρα) $AOP^{2}$ 8 ἐπανέρχεσθε M,
ἐπανέρχοισθε A 9 υἱοῖς $BEMFHP^{1}$, υἱούς om. $K^{1}$, ss. $K^{2}$ 9. 10 κατα-
λειφθέντα A (η ss.) 10 ἐπάγεσθε $HP^{1}$ νῦν BEKM νεώτερον G
11 συνέτειναν F 12 ἡμέραις om. G 13 ἐπιμελουμένω CBKMF: ἐπιμελο-
μένω ceteri ⟨οὐ σφόδρα⟩ πολυτελὲς coni. Mang. coll. 104,23 14 εἰσάγει OH
16 κλοπὴν V 17 ἐν om. V 19 ἰώμενοι C ἐπιφέροντες AO (οἱό ss.)
ἐπεδείκνυντο O, καὶ ἐπιδεικνύντες CV, ἐδείκνυον FHP(v) 20 τοῖς λόγοις V
21 οὕτως om. K 22 ἵλεως ⟨ὑμῖν⟩ εἴη conicio (cf. Gen. 43,22) γὰρ om. BEM
23 ἡμετέροις KOP ὤμβρισεν C 26 ἔχοιε M

ἔλεγον, ἀποκρίνονται περὶ μὲν αὐτῶν οὐδέν, περὶ δὲ τοῦ πατρὸς ὅτι ζῇ
200 καὶ ὑγιαίνει. κατευξάμενος δ' ἐκείνῳ καὶ θεοφιλέστατον προσειπών,
τὸν ὁμομήτριον περιβλεψάμενος ἀδελφὸν ὡς εἶδεν, οὐ κατασχὼν ἀλλ'
ἤδη νικώμενος ὑπὸ τοῦ πάθους, πρὶν γενέσθαι καταφανής, ἐπιστρέφεται
καὶ δραμὼν πρόφασιν ἐπί τι τῶν κατεπειγόντων — ἐκλαλῆσαι γὰρ
τἀληθὲς καιρὸς οὐκ ἦν — ἐν μυχῷ τινι τῆς οἰκίας ἀνακλαυσάμενος
201 ἀποχεῖ τὴν τῶν δακρύων φοράν. (34.) εἶτ' ἀπονιψάμενος λογισμῷ
τῆς ἀνίας ἐπεκράτησε καὶ προσελθὼν εἱστία τοὺς ξένους ἀποδοὺς πρό-
τερον καὶ τὸν ἀντὶ τοῦ νεωτάτου κατασχεθέντα εἰς ὁμηρείαν· συνειστιῶντο
202 δὲ καὶ ἄλλοι τῶν παρ' Αἰγυπτίοις δοκίμων. αἱ δ' ὑποδοχαὶ κατὰ τὰ
πάτρια ἑκάστοις ἐγίνοντο, χαλεπὸν ἡγουμένου παλαιοὺς νόμους παριδεῖν,
203 καὶ ταῦτα ἐν εὐωχίᾳ τινί, ἔνθα τῶν ἀηδιῶν αἱ ἡδοναὶ πλείους. | ἑξῆς p. 70 M.
δὲ προστάξαντος κατὰ τὰς ἡλικίας καθέζεσθαι, μήπω τῶν ἀνθρώπων
ἐν ταῖς συμποτικαῖς συνουσίαις κατακλίσει χρωμένων, ἐθαύμαζον, εἰ
Αἰγύπτιοι ζηλωταὶ τῶν αὐτῶν Ἑβραίοις εἰσὶ τάξεώς τε πεφροντικότες
204 καὶ τὰς πρεσβυτέρων καὶ νεωτέρων τιμὰς διακρίνειν ἐπιστάμενοι. τάχα
μέντοι καὶ τὸν ἄλλον χρόνον, ἔφασκον, τῆς χώρας ἀμαθέστερον τὰ
περὶ δίαιταν ἀγούσης, ὁ ἀνὴρ οὗτος τοῖς κοινοῖς ἐπιστὰς οὐ μόνον τοῖς
μεγάλοις πράγμασιν ἥρμοσεν εὐταξίαν, δι' ὧν τὰ εἰρήνης καὶ πολέμου
κατορθοῦσθαι πέφυκεν, ἀλλὰ καὶ τοῖς εὐτελεστέροις εἶναι δοκοῦσιν, ὧν
τὰ πλεῖστα ἐν παιδιαῖς· ἱλαρότητα γὰρ ἐπιζητοῦσιν εὐωχίαι σεμνὸν
205 ἄγαν καὶ αὐστηρὸν συμπότην ἥκιστα παραδεχόμεναι. τοιούτους ἐπαί-
νους ἠρέμα συνειρόντων, τράπεζαι μὲν οὐ σφόδρα πολυτελεῖς εἰσκομί-

1 αὐτῶν BVAH$^2$: αὐτῶν ceteri 1. 2 ζῇ καὶ C: om. ceteri 2 ὑγιαίνοι H θεοφιλέστατε Turn., θεοφιλέστατα Cotelier (Monum. Eccl. II 568) 3 ἀλλὰ (om. ἤδη) BEKMV 4 καταφανῇ A ἀποστρέφεται coni. Mang. coll. 98,14. 15 5 προφάσει CVBEKM(v) 6 καιρὸς om. H τινι om. A 8 ἑστιᾶ CVBEKM 9 ἀντὶ τοῦ νεωτάτου om. AO κατασχὼν F 10 δοκίμων] γνωρίμων A 11 ἡγούμενοι F, ἡγημένου M post ἡγουμένου add. παρασαλεύειν H$^2$(v) παριδεῖν A mg. P$^2$: om. ceteri 12 ταῦτ' AO τινί corr. in λύειν V$^2$, τινί om. K, λύειν ss. K$^2$; κοινῇ coni. Mang. ἔνθα] ἐν αἷς F$^2$ ἀηδιῶν scripsi: ἀνδρῶν GP$^1$, ἀηδῶν ceteri ἐξ ἧς F 13 προστάξοντος G 14 συμποτικῶν A εἰ] οἱ GHP, εἰ οἱ AO (Mang.) 15 post Αἰγύπτιοι add. ὅπως H ζηλωταὶ om. A τάξεων AOFGHP τε CK: om. ceteri πεφορτικότες M 17 τῆς χώρας om. HP$^1$ 18 $^{\text{ἢ ἀγ}}$ἐχούσης K, ἐχούσης AO ἀγούσης post ἀμαθέστερον (17) transp. CV (Mang.) κοινῆς M 20 κατορθοῦν V$^1$ καὶ V: καὶ ἐν CV$^1$, κἀν ceteri (v) 21 πεδιαῖς M, παιδίαις H, παιδίοις AOFGP ἱλαρώτατον AO 22 ἄγαν om. AO συμπότην] δεσπότην K 23 εἰ καὶ κομίζονται F

ζονται, διὰ τὸν λιμὸν οὐκ ἀξιώσαντος τοῦ ξενοδόχου ταῖς ἑτέρων ἀτυχίαις
ἐντρυφᾶν· αὐτοὶ δ' ἅτε σύνεσιν ἀκριβεῖς καὶ τοῦτ' εἰς τὰ ἐγκώμια παρε-
λάμβανον, ὡς ἀπειροκαλίαν, πρᾶγμα ἐπίφθονον, ἀπέστραπται, λέγοντες·
ὡς καὶ τὸ τοῦ συναλγοῦντος τοῖς δεομένοις καὶ τὸ τοῦ ἑστιάτορος σχῆμα
διασώζει μεθόριον ἀμφοῖν τιθεὶς αὐτὸν καὶ τὴν ἐν ἑκατέρῳ μέμψιν
ἐκφεύγων. αἱ μὲν οὖν παρασκευαὶ τὸ ἀμισὲς εἶχον πρόσφοροι τῷ 206
καιρῷ γεγονυῖαι· τὸ δ' ἐλλιπὲς ἀνεπλήρουν αἱ συνεχεῖς φιλοφροσύναι
προπόσεσιν, εὐχαῖς, παραινέσεσι ταῖς εἰς ἀνάληψιν, ἃ τοῖς ἐλευθέροις
καὶ μὴ ἀμούσοις τὸ ἦθος ἡδίω τῶν ὅσα περὶ ἐδωδὴν καὶ πόσιν εὐτρεπί-
ζουσιν οἱ φιλεστιάτορες καὶ φιλόδειπνοι τὰ μηδεμιᾶς ἄξια σπουδῆς εἰς
ὀλιγοφρόνων ἐπίδειξιν πομποστολοῦντες.

(35.) Τῇ δ' ὑστεραίᾳ ἅμα τῇ ἕῳ μεταπεμψάμενος τὸν ἐπίτροπον 207
τῆς οἰκίας κελεύει τὰ ἀγγεῖα τῶν ἀνδρῶν ὅσα ἐπηνέγκαντο γεμίσαι
σίτου καὶ πάλιν ἐπὶ τῶν στομίων τὴν τιμὴν ἐν βαλαντίοις καταθεῖναι,
εἰς δὲ τὸ τοῦ νεωτάτου καὶ τὸ κάλλιστον τῶν ἀργυρῶν ἔκπωμα, ᾧ πίνειν
ἔθος εἶχεν αὐτός. καὶ ὁ μὲν τὰ προσταχθέντα προθύμως ἐπετέλει 208
μηδένα μάρτυρα παραλαμβάνων, οἱ δ' οὐδὲν τῶν κρύφα γεγονότων
εἰδότες ἀνεζεύγνυσαν ἐπὶ τοῖς παρ' ἐλπίδας ἀγαθοῖς ἅπασι χαίροντες.
ἃ μὲν γὰρ προσεδόκησαν, ταῦτα ἦν· ἐπὶ κλοπῇ τοῦ ἀποδοθέντος 209
ἀργυρίου συκοφαντίαν ἕξειν, ἀδελφὸν τὸν ὁμηρεύοντα μὴ ἀπολήψεσθαι,
προσαποβαλεῖν καὶ τὸν νεώτατον ἴσως ὑπὸ τοῦ σπουδάσαντος αὐτὸν
ἀχθῆναι βίᾳ κατασχεθέντα. τὰ δ' ἀποβάντα αἰσίων τελειότερα εὐχῶν· 210

1 ἀξιοῦντος in ras. O 2 δὲ V ἅτ' ἐς σύνεσιν FG, ἅτ' εἰς σύνεσιν AOHP τοῦτο εἰς V, τούτοις F 3 ἀπειροκαλίας F πρᾶγμ' A 4 καὶ τὸ V[2]B[2]MFH[2]: τὸ (om. καὶ) K, τὸ om. ceteri τοῦ] τοὺς O alt. τὸ τοῦ] τούτοις F 5 διασώζει C[2]F: διασώζειν ceteri τιθεὶς ἀμφοῖν transp. K, ἀμφοῖν om. BEM αὐτὸν H: αὐτὸς V[2], αὐτὸ ceteri (fort. delendum) 6 ἀμιγὲς AOG 7 γεγονυῖαι BKMF: γενόμεναι V[2], γεγονέναι ceteri ἐλλειπὲς C[1] 8 εὐχαῖς mg. H, εὐωχαῖς
λῦ
in textu H ἀνάληψιν] ἀνάλωσιν K 9 pr. καὶ om. O 10 φιλεστιάτορες AOKFG: φιλοεστιάτορες ceteri (v) μηδεμιᾶς AO: μηδενὸς ceteri εἰς K (coni. Mang.): om. ceteri 11 ἐπίδειξιν] ἔκπληξιν coni. Mang. 14 ἐπὶ om. H τῶν om. M βαλλαντίοις CE, βαλεντίοις M 15 καὶ K: om. ceteri 16 προταθέντα CE 17 post παραλαμβάνων add. τῶν κρύφα γεγονότων AO δὲ V οὐδὲν post γεγονότων transp. V 18 ἀνεζεύγνυον AO ἐλπίδα V ἅπασι om. V 19 ταῦτ' V, τοιαῦτ' AO 20 ἕξιν M 21 προσαπο-βαλεῖν AFG[2]K[2]: προσαποκαλεῖν V, προσαπολεῖν CK[1](v), προσαπολαβεῖν ceteri δὲ καὶ A σπουδάζοντος AO 22 βίᾳ om. CVBEM κατασχεθέντα CV: κατασχεθέντας K, κατασταθέντα BEM, κρατηθέντα ceteri (v) τελεώτερα V

12 sqq. Gen. cap. 44

τὸ πρὸς | τῷ μὴ συκοφαντηθῆναι τραπέζης καὶ ἁλῶν, ἃ σύμβολα p. 71 M.
γνησίου φιλίας ἀνθρώποις ἀνεύρηται, μεταλαχεῖν, τὸ κομίσασθαι τὸν
ἀδελφὸν ἀνύβριστον, μηδενὸς ἐντυχόντος καὶ δεηθέντος, τὸ καὶ τὸν
νεώτατον ἀγαγεῖν πρὸς τὸν πατέρα σῷον, ἐκπεφευγότας μὲν τὰς ἐπὶ
κατασκόπων ὑπονοίας, ἄφθονον δὲ τροφῶν πλῆθος ἐπιφερομένους,
χρηστὰ δὲ καὶ περὶ τοῦ μέλλοντος λογιζομένους· εἰ γὰρ ἐπιλίποι
τἀπιτήδεια πολλάκις, ἔφασκον, οὐκέθ' ὡς πρότερον περιδεεῖς ἀλλὰ
γεγηθότες ὡς πρὸς ἴδιον ἀλλ' οὐ ξένον τὸν τῆς χώρας ἐπίτροπον
211 ἀποδημήσομεν. (36.) ἀλλὰ γὰρ οὕτω διακειμένων καὶ τοιαῦτα ταῖς
ψυχαῖς ἀναπολούντων, αἰφνίδιος καὶ ἀπροσδόκητος ταραχὴ καταλαμβάνει.
προσταχθεὶς γὰρ ὁ τῆς οἰκίας ἐπιμελητής, ἐπαγόμενος θεραπόντων
πλῆθος οὐκ ὀλίγον, κατασείων τὰς χεῖρας καὶ μένειν ὑποσημαίνων
212 ἐβοηδρόμει. καὶ συντείνας ἄσθματος πλήρης „ἐπεσφράγισθε" εἶπε „καὶ
τὰς προτέρας καθ' αὑτῶν αἰτίας· ἀγαθὰ κακοῖς ἀμειψάμενοι πάλιν
τὴν αὐτὴν ὁδὸν τῶν ἀδικημάτων ἐτράπεσθε· τὴν τοῦ σίτου τιμὴν
ὑπεξελόμενοι καὶ μεῖζον ἔτι προσεξειργάσασθε· πονηρία γὰρ τυχοῦσα
213 ἀμνηστίας ἐπιδίδωσι. τὸ κάλλιστον καὶ τιμιώτατον ἔκπωμα τοῦ δεσπότου,
ἐν ᾧ προπόσεις προὔπινεν ὑμῖν, κεκλόφατε οἱ λίαν εὐχάριστοι, οἱ λίαν
εἰρηνικοί, οἱ μηδ' ὄνομα κατασκοπῆς εἰδότες, οἱ διττὸν ἀργύριον εἰς
ἀπόδοσιν τοῦ προτέρου κεκομικότες, ἐνέδραν ὡς ἔοικε καὶ δέλεαρ ἐπὶ
θήραν καὶ ἁρπαγὴν πλειόνων. ἀλλ' οὐκ εἰς ἅπαν εὐοδεῖ κακία, λαν-
214 θάνειν δ' ἀεὶ τεχνάζουσα καταφωρᾶται." ταῦτα συνείροντος, ἀχανεῖς
ἐπάγησαν, λύπης καὶ φόβου, τῶν ἀργαλεωτάτων κακῶν, ἐξαίφνης
ἐπιπεσόντων, ὡς μηδὲ διᾶραι τὸ στόμα δύνασθαι· τῶν γὰρ ἀπροσ-
δοκήτων κακῶν αἱ προσβολαὶ καὶ τοῖς δεινοῖς περὶ λόγους ἀφωνίαν
215 ἐμποιοῦσι. παρειμένοι δ' ὅμως ὑπὲρ τοῦ μὴ δοκεῖν ἁλισκόμενοι τῷ

1 καὶ om. V 2 γνησίας AKP φιλίας mg. E, φιλανθρωπίας in textu E ἀνθρώποις om. AOP μεταλαβεῖν F 4 ἐπὶ om. HP(v) post ἐπὶ add. τῶν V 5 κατασκόποις K (fort. recte), ἐπισκόπων H¹P δὲ om. FGHP 6 δὲ om. A ἐπιλείποι F 7 τὰ ἐπιτήδεια CVAO ἐπιδεεῖς V 9 ἀποδημήσωμεν F, ἐπιδημήσομεν AV² 11 προσταχθὲν CBEKM 12 ὀλίγων AOF μένειν] μέλεσιν G 13 βοη⁻ δρόμει (sic) F πλήρεις F ἐπεσφράγισθε CV¹BEKM: ἐπισφραγίσασθε H¹P, ἐπεσφραγίσασθε ceteri 14 καθ' αὑτῶν προτέρας transp. A 16 προεξειργάσασθε V, προσεξεργάσεσθε BEM 18 προπόσεις] πρὸ πότου F προὔτεινεν M ὑμεῖς V², ἡμῖν A 19 μηδὲ CV 21 θήρᾳ καὶ ἁρπαγῇ coni. Wendl. πλειόνων om. F εἰσάπαν AGP εὐοδεῖ CVBEM, εὐοδοῖ (ει) K: εὐοδοῦται ceteri (v) 22 δὲ CV, δ' om. A αἰεὶ AO καταφορᾶται A 23 ἐπεπήγεισαν AO 24 τὸ om. V 25 αἱ προσβολαὶ κακῶν δὲ CK transp. A καὶ—λόγους om. V 26 ποιοῦσι H

συνειδότι καθησυχάζειν „πῶς“ ἔφασαν „ἀπολογησόμεθα καὶ πρὸς τίνα; σὺ
γὰρ μέλλεις ἔσεσθαι καὶ δικαστὴς ὁ κατήγορος, ὃς ὤφειλες καὶ ἑτέρων
αἰτιωμένων ἡμῖν συναγορεύειν ἐξ ὧν ἐπειράθης· ἢ τὸ μὲν ἀργύριον
τὸ εὑρεθὲν ἐν τοῖς ἀγγείοις πρότερον οὐδενὸς ἐλέγχοντος ἐκομίσαμεν
ἀποδώσοντες, τοσαύτῃ δ' ἐχρησάμεθα τῶν τρόπων μεταβολῇ, ὡς τὸν
ξενοδόχον ἀμείψασθαι ζημίαις καὶ κλοπαῖς; ἀλλ' οὔτε γέγονε τοῦτο
μήτ' εἰς νοῦν ἔλθοι ποτὲ τὸν ἡμέτερον. ὃς δ' ἂν ἔχων ἁλῷ τὸ 216
ἔκπωμα τῶν ἀδελφῶν, θνῃσκέτω· θανάτου γὰρ τἀδίκημα, εἰ γέγονεν
ὄντως, τιμώμεθα διὰ πολλά· πρῶτον μὲν ὅτι πλεονεξία καὶ τὸ τῶν
ἀλλοτρίων ἐπιθυμεῖν παρανομώτατον, δεύτερον ὅτι τοὺς ὠφεληκότας
βλάπτειν ἐπιχειρεῖν ἀνοσιώτατον, τρίτον δὲ ὅτι τοὺς μέγα φρονοῦντας
p. 72 M. ἐπ' εὐγενείᾳ τὸ τῶν προγόνων ἀξίωμα | καθαιρεῖν ἔργοις ὑπαιτίοις
τολμᾶν ὄνειδος αἴσχιστον· οἷς ἅπασιν ἔνοχος ὤν, εἴ τις ἡμῶν ὑφῄρηται,
θανάτων μυρίων ἄξια πεπραχὼς τελευτάτω.“ (37.) καὶ ἅμα λέγοντες 217
τὰ ἄχθη τῶν ὑποζυγίων καθαιροῦσι καὶ προτρέπονται μετὰ πάσης
ἐπιμελείας ἐρευνᾶν. ὁ δὲ οὐκ ἀγνοῶν ἐν τῷ τοῦ νεωτάτου κατα-
κείμενον ἅτε αὐτὸς λάθρα θεὶς ἐσοφίζετο καὶ τὴν ἀρχὴν ἀπὸ τοῦ
πρεσβυτάτου ποιησάμενος ἑξῆς κατὰ στοῖχον ἐπακολουθῶν ταῖς ἡλικίαις
ἐσκόπει, προφέροντος ἑκάστου καὶ ἐπιδεικνυμένου τὰ ἀγγεῖα, μέχρι τοῦ
τελευταίου, παρ' ᾧ καὶ τὸ ζητούμενον ἀνευρέθη, ὡς ἰδόντας ἀθρόους
ἀνοιμῶξαι καὶ τὰς ἐσθῆτας διαρρήξαντας ἐκδακρύειν ἐπιστένοντας καὶ
ζῶντα τὸν ἀδελφὸν ἔτι προθρηνοῦντας καὶ οὐχ ἧττον αὑτοὺς καὶ τὸν
πατέρα, ὃς προὔλεγε τὰς συμβησομένας τῷ υἱῷ κακοπραγίας, δι' ἃς
βουλομένοις συναποδημεῖν τὸν ἀδελφὸν οὐκ ἐπέτρεπε. κατηφοῦντες δὲ 218
καὶ συγκεχυμένοι τὴν αὐτὴν ὑπέστρεφον ὁδὸν εἰς τὴν πόλιν ἐκπεπληγ-

2 ἔσεσθαι] εἶναι BK$^1$M (Mang.), om. E   ὁ] καὶ V$^2$H$^2$ (Turn.)   ὃς] ὧν A ὤφελες M   3 συνηγορεύειν V   ἐξ ὧν ἐπειράθης ante ἡμῖν συναγορεύειν transp. AO   ἢ] οἳ OV$^2$H$^2$, οἱ A   4 τὸ εὑρεθὲν om. CVBEM   5 τῶν τρόπων K: τὸ λοιπὸν H$^2$(v), τῶν λοιπῶν ceteri   5. 6 τοὺς ξενοδόχους F   6 ζημία AO   οὔτε] οὐ CVBEKM (Mang.)   7 μήτε CV   7. 8 ἁλῷ τὸ ἔκπωμα ἔχων transp. K   8 θανάτῳ F   9 διὰ πολλοὺς K   11 δὲ om. CVBEKM   14 πεπραχὼς FG   λέγοντες CVBEKM: λύοντες ceteri (v)   17 ἀρχὴν om. A   18 ἐξ ἧς F   κατὰ στοῖχον om. F   στοῖχον AO: στίχον ceteri (v)   ἀκολουθῶν G   19 καὶ ἐπιδεικνυμένου om. AO   post μέχρι add. καὶ V   20 ἀνηυρέθη C, εὑρέθη F   ἀθρόως CF, ἀθρόον VBEKM 21 ἐνδακρύειν AO, δακρύειν M   22 τὸν ἀδελφὸν ζῶντα ἔτι transp. HP; τὸν ἀδελφὸν ἔτι ζῶντα Turn.   αὑτοὺς VAGH$^2$: αὐτοῦ C (Mang.), αὐτοὺς ceteri   22. 23 καὶ τὸν πατέρα] ἢ (καὶ) τὸν πατέρα K, τὰ κατὰ τὸν πατέρα C (Mang.)   23 τὰς συμβησομένους A   25 ὁδὸν ὑπέστρεφον transp. V   εἰς αἴγυπτον (γρ. τὴν πόλιν) K

μένοι τῷ συμβεβηκότι καὶ τὸ πρᾶγμα ἐπιβουλὴν ἀλλ' οὐ φιλαργυρίαν
ἀδελφοῦ νομίζοντες· εἶτα τῷ τῆς χώρας ἐπιτρόπῳ προσαχθέντες φιλά-
219 δελφον εὔνοιαν ἀπὸ γνησίου πάθους ἐπιδείκνυνται. προσπεσόντες γὰρ
ἀθρόοι τοῖς ἐκείνου γόνασιν ὡς κλοπῇ πάντες ἔνοχοι, ὃ μηδ' εἰπεῖν
θέμις ἐπ' αὐτῶν, ἐδακρυρρόουν, ἱκέτευον, ἑαυτοὺς ἐξεδίδοσαν, ἑκούσιον
δουλείαν ὑπισχνοῦντο, δεσπότην προσηγόρευον ἐκεῖνον, προβλήτους,
οἰκότριβας, ἀργυρωνήτους, οὐδὲν παραλείποντες τῶν οἰκετικῶν ὀνομάτων,
220 ἀνεκάλουν ἑαυτούς. ὁ δ' ἔτι μᾶλλον ἀποπειρώμενος ἤθει βαρυτάτῳ
φησὶν αὐτοῖς· „μηδέποτε τοῦτο ἐργασαίμην, ὡς τοσούτους ἀπάγειν
ἑνὸς ἁμαρτόντος· τί γὰρ εἰς μετουσίαν ἄξιον καλεῖν τιμωριῶν τοὺς μὴ
τῶν ἀδικημάτων κοινοπραγήσαντας; ἐκεῖνος μόνος, ἐπεὶ καὶ μόνος
221 ἔπραξε, κολαζέσθω. πυνθάνομαι μὲν οὖν, ὅτι πρὸ τῆς πόλεως καὶ
θάνατον ὡρίζετε κατὰ τοῦ ἁλόντος· ἐγὼ δ' ἕκαστα πρὸς τὸ ἐπιεικὲς
ἄγων καὶ ἡμερώτερον ἐπικουφίζω τὴν τιμωρίαν δουλείαν ὁρίσας ἀντὶ
222 θανάτου.“ (38.) χαλεπῶς δὲ τὴν ἀπειλὴν φερόντων καὶ ἐφ' οἷς
ἐσυκοφαντοῦντο καταδυομένων ὁ τέταρτος καθ' ἡλικίαν — ἦν δὲ τολμητὴς
μετ' αἰδοῦς καὶ θαρραλέος, παρρησίαν τὴν ἄνευ αναισχυντίας ἐπιτετη-
δευκὼς — προσελθὼν φησι· „δέομαι, δέσποτα, μὴ θυμῷ χαρίσασθαι
μηδ' ὅτι τέταξαι τὴν μετὰ βασιλέα τάξιν προκαταγνῶναι πρὸ τῆς ἀπο-
223 λογίας ἡμῶν. πυνθανομένῳ σοι κατὰ τὴν προτέραν ἐπιδημίαν περί τε
ἀδελφοῦ καὶ πατρὸς ἀπεκρινάμεθα· πατὴρ μέν | ἐστι πρεσβύτης, οὐ p. 73 M.
χρόνῳ μᾶλλον γεγηρακὼς ἢ ταῖς ἐπαλλήλοις δυστυχίαις, ὑφ' ὧν γυμνα-
ζόμενος ἀθλητοῦ τρόπον ἐν πόνοις καὶ δυσκαρτερήτοις κακοπαθείαις

---

1 τῶν συμβεβηκότων F 3 ἔννοιαν HP ἐπιδεικνύονται AO, ἐπεδείκνυντο V² 4 κλοπῇ VBEKM: κλοπῆς ceteri μηδὲ CV 5 ἐπ' αὐτῶν Wendl.: ἐπ' αὐτῶ (cum proximis coniunctum) codd. 6 ὑπισχνοῦνται F προβλήτους M mg. K², προ-βλήτους (σ eras.) V: προσβλήτους BE, προσηλύτους ceteri 7 παραλιπόντες VBEMAO παραλιπόντες post οἰκετικῶν transp. AO post ὀνομάτων add. ὧν CVBEKM 8 ἑαυτοὺς HP: αὐτοὺς ABEKV², αὐτοὺς ceteri δὲ V βαθυτάτῳ coni. Mang. coll. 97,6 9 τοῦτ' A τοσούτους ἀπάγειν] τοσούτοις ἅπασιν ἐνέχειν CVK²BEM 10 ἁμαρτῶντος C, ἁμαρτάνοντος V τίς F 12 μὲν om. AO καὶ post ὅτι transp. AOFGHP(v) 13 ὁρίζετε GH τοῦ om. M δὲ CF 14 καὶ om. C 15 καὶ om. HP 16 δὲ om. F τολμητίας AOFGHP 17 μετὰ B μετ' αἰδοῦς om. M 18 προσελθὼν om. F χρήσασθαι AOFGHP (Turn.) 19 μηδὲ CV βασιλέως F, βασιλείαν C 21 τοῦ ἀδελφοῦ HP ἀδελφῶν F καὶ περὶ πατρὸς BEKM πρεσβύτερος C 22 ἀλλεπαλλήλαις HP 23 πόνοις] πόλοις (sic) M τληπαθείας G

6 προβλήτους e Soph. Ai. 830

διετέλεσεν· ἀδελφὸς δὲ κομιδῇ νέος ἐστίν, ἐκτόπως στεργόμενος ὑπὸ τοῦ
πατρός, ἐπειδὴ καὶ ὀψίγονός ἐστι καὶ δυεῖν γενομένων ὁμομητρίων
ἀπελείφθη μόνος, τοῦ πρεσβυτέρου βιαίως ἀποθανόντος. κελεύοντος 224
δὲ σοῦ ἐνθάδε τὸν ἀδελφὸν ἀγαγεῖν καὶ ἀπειλοῦντος, εἰ μὴ παραγένοιτο,
μηδ' ἡμῖν εἰς ὄψιν ἐλθεῖν ἔτι τὴν σὴν ἐπιτραπήσεσθαι, κατηφοῦντες
ἀπηλλαττόμεθα καὶ μόλις οἴκαδε ἐπανελθόντες ἐδηλοῦμεν τὰ ἀπὸ σοῦ
τῷ πατρί. ὁ δὲ κατ' ἀρχὰς μὲν ἀντέλεγε δεδιὼς σφόδρα περὶ τῷ 225
παιδί, τῶν δ' ἀναγκαίων ὑποσπανιζόντων καὶ μηδενὸς ἡμῶν τολμῶντος
ἐπὶ σιτωνίαν ἥκειν δίχα τοῦ νεωτάτου διὰ τὰς σὰς ἐπανατάσεις, μόλις
πείθεται τοῦτον συνεκπέμψαι μυρία μὲν αἰτιώμενος, ὅτι ἀδελφὸν ἄλλον
ἔχειν ὡμολογήσαμεν, μυρία δ' οἰκτιζόμενος, εἰ μελλήσει διαζεύγνυσθαι·
νήπιος γάρ ἐστι καὶ πραγμάτων ἄπειρος, οὐ μόνον τῶν κατὰ τὴν ἀλλο-
δαπήν, ἀλλὰ καὶ τῶν κατὰ τὴν πόλιν. πρὸς οὖν οὕτω διακείμενον τὸν 226
πατέρα πῶς ἂν ἀφικοίμεθα; τίσι δ' ὀφθαλμοῖς αὐτὸν θεάσασθαι δίχα
τούτου δυνησόμεθα; τελευτὴν οἰκτίστην ὑπομενεῖ μόνον ἀκούσας, ὡς
οὐκ ἐπανελήλυθεν· εἶθ' ἡμᾶς ἀνδροφόνους καὶ πατροκτόνους ἕκαστος
ἐρεῖ τῶν φιλαπεχθημόνων καὶ ἐπὶ ταῖς τοιαύταις συμφοραῖς ἐθελοκα-
κούντων. τὸ δὲ πλεῖστον τῆς κατηγορίας ῥυήσεται κατ' ἐμοῦ· πολλὰ 227
γὰρ ὑπεσχόμην τῷ πατρὶ προέσθαι παρακαταθήκην λαμβάνειν ὁμολογῶν,
ἣν ἀποδώσειν, ὅταν ἀπαιτηθῶ· πῶς δ' ἄν, εἰ μὴ ἐξευμενισθείης αὐτός,
ἀποδοῦναι δυναίμην; οἶκτον δέομαι τοῦ πρεσβύτου λαβεῖν καὶ εἰς
ἔννοιαν ἐλθεῖν τῶν κακῶν οἷσπερ ἀνιαθήσεται μὴ κομισάμενος ὃν

---

1 ἐστίν BEK[1]M: ἐστὶ παιδὶ (sic) C, ἐστὶ παιδίον ceteri  στεργόμενον VA  ὑπὸ] παρὰ O  2 ἐπειδὴ] ἐπεὶ HP  ἐστιν CH  alt. καὶ] καὶ γὰρ F, καὶ om. HP  δυοῖν AKHP  δυεῖν γενομένων ὁμομητρίων] ὁμομητρίων γὰρ δυοῖν γενομένων HP  3 ἀπελήφθη F[1]  4 δὲ σοῦ CK: δὲ (om. σοῦ) V, δ' (om. σοῦ) ceteri (fort. recte)  ἀπειλοῦντα G  5 εἰς ὄψιν ἡμῖν transp. HP  ἔτι τὴν σὴν K: om. ceteri  6 οἴκαδ' AH  7 καταρχὰς OGP  8 δὲ C

9 ὡς ante ἐπὶ add. AO  σιτωνείαν HP  σὰς om. F  ἐπαναξάσεις K, ἐπαναστάσεις AHP  10 ἄλλον ἀδελφὸν transp. K, ἄλλον om. BEM  11 εἶχεν GH (V[1] ut vid.)  ἀνωμολογήσαμεν AO  δὲ CV  μελήσει VBEM  12 τῶν om. C  12. 13 ἀλλοδαπῇ C  13 τὴν ⟨ἰδίαν⟩ πόλιν vel τὰς πόλεις coni. Mang.; sed cf. de decal. § 13  μὲν οὖν F  14 ἂν] οὖν O, om. A  ἀφικώμεθα FG  τίσι — δυνησόμεθα (15) om. BEM  δὲ CVK  αὐτὸν θεάσασθαι δίχα τούτου δυνησόμεθα CK: θ. δ. τ. δ. (om. αὐτὸν) V, δίχα τ. δυν. αὐ. θ. AO, δ. τ. θ. αὐ. δυν. FGHP  16 ἀνδροκτόνους (pro ἀνδροφόνους) O  17 ταῖς om. A  19 γὰρ — πατρὶ om. BEM  λαμβάνων O  20 ὅταν[β] ἀπαιτηθῶ[α] ἀποδώσειν O  21 δέομαί ⟨σου⟩ coni. Mang.  22 οἷς F

228 ἀβουλῶν ἐνεχείρισεν. ἀλλὰ σὺ μὲν ὑπὲρ ὧν ἔδοξας ἠδικῆσθαι δίκας
λάμβανε. δώσω δ' ἐθελοντὴς ἐγώ· δοῦλον ἀπὸ ταύτης ἀνάγραφε
τῆς ἡμέρας, ἄσμενος ὑπομενῶ τὰ τῶν νεωνήτων, ἐὰν τὸ παιδίον
229 ἐθελήσῃς ἐᾶσαι. λήψεται δ' οὐχ αὐτὸς τὴν χάριν, ἐὰν ἄρα διδῷς, ἀλλ'
ὁ μὴ παρὼν ἐπικουφισθεὶς τῶν φροντίδων, ὁ τῶν τοσούτων πατὴρ
ἱκετῶν ἁπάντων· ἱκέται γάρ ἐσμεν καταπεφευγότες ἐπὶ τὴν σὴν ἱερω-
230 τάτην δεξιάν, ἧς μηδέποτε διαμάρτοιμεν. ἔλεος οὖν εἰσελθέτω σε
γήρως ἀνδρὸς τοὺς ἀρετῆς ἄθλους κατὰ πᾶσαν ἡλικίαν διαπονήσαντος·
τὰς κατὰ Συρίαν πόλεις εἰς ἀποδοχὴν αὐτοῦ καὶ τιμὴν ἐπέστρεψε. καί-
τοι ξενικωτέροις ἔθεσι καὶ νομίμοις καὶ πολὺ διεστῶσι χρώμενος, οὐ
βραχεῖ τινι τῶν ἐγχωρίων ἠλλοτριωμένος· ἀλλ' ἡ τοῦ βίου καλοκἀγα-
θία καὶ τὸ σύμφωνον καὶ ὁμολογούμενον πρὸς ἔργα λόγων καὶ πρὸς
λόγους ἔργων ἐξενίκησεν, ὡς καὶ τοὺς ἕνεκα | τῶν πατρίων μὴ εὐγνώ- p. 74 M.
231 μονας μεθαρμόσασθαι. τοιαύτην μέλλεις κατατίθεσθαι χάριν, ἧς οὐκ
ἂν δύναιτό τις μείζονα λαβεῖν· τίς γὰρ ἂν γένοιτο πατρὶ δωρεὰ μείζων
ἢ υἱὸν ἀπογνωσθέντα κομίσασθαι;"
232 (39.) Πάντα δ' ἦσαν ἀπόπειρα καὶ ταῦτα καὶ τὰ πρότερα, πῶς
ἔχουσι τοῦ τῆς χώρας ἐπιτρόπου σκοποῦντος εὐνοίας πρὸς τὸν ὁμομή-
τριον ἀδελφόν· ἐδεδίει γάρ, μὴ φυσικῇ τινι ἀλλοτριώσει κέχρηνται, καθάπερ
οἱ ἐκ μητρυιῶν γεγονότες πρὸς τὸν ἐξ ἑτέρας ἰσοτίμου γυναικὸς οἶκον.
233 διὰ τοῦτο καὶ ὡς κατασκόπους ᾐτιᾶτο καὶ περὶ τοῦ γένους ἐπυνθάνετο
πρόφασιν τοῦ γνῶναι, εἰ περίεστιν ὁ ἀδελφός, ἀλλὰ μὴ ἐξ ἐπιβουλῆς

---

1 ἀβουλῶν CVBEKM: ἀβουλήτως A (prob. Mang.), ἀβούλως ceteri (v) ἐνεχείρησεν AH μὲν om. A ἔδειξας C ἀδικεῖσθαι VAO δίκην A 2 δὲ C ἐθελοντὶ AO 3 νεωνήτων om. F, δούλων add. F$^2$; ἀργυρωνήτων coni. Mang. coll. 108,7 4 λήψεται scripsi: λήψῃ codd. δὲ CV οὐχ] οὐδ' AO ἐὰν] ἂν K 5 τοιούτων A 6 ἱκετῶν K$^1$: καὶ τῶν ceteri post ἁπάντων add. ἐκπεπτωκώς A mg. P$^2$ σὴν om. V 7 γοῦν AO 8 τοὺς om. F ἀρετῆς] κατ' ἀρετὴν AO 9 πόλιν (sic) E αὐτοῦ codd. ἐπέτρεψε K 9. 10 καίτοι H$^2$: καὶ τοὺς V$^2$, καὶ τοῖς ceteri 10 χρωμένους V$^2$ 11 βραχύ τι BEKM τῶν] τοῖς GH$^2$ τῶν χωρίων F$^1$, τῶνδε τῶν χωρίων AOH$^1$P, τῶν δ' ἐγχωρίων V ἠλλοτριωμένας CV$^1$EF, ἠλλοτριωμένοις V$^2$H$^2$ 12 post λόγων add. σοφῶν G 13. 14 εὐγνώμονας FHP$^1$: ὁμογνώμονας ceteri 15 τις AOFGH: om. ceteri (v) γὰρ om. M 16 υἱὸν K: τὸν ceteri 17 δὲ CV ἦσαν] ἦν conicio ἀπόπειρα om. AO ante πῶς ss. τοῦ V$^2$K$^2$ 18 εὔνοιαν G, τὰς ἐννοίας VBEM 19 ἀλλοτριώσει] ἀκολουθία paene eras. O κέχρηται M, κέκτηνται G

γεγονό ἰσο
20 μητρυιῶν VAOKGH$^1$P$^1$: μετρίων ceteri φύντες K ὁμοτίμου A οἶκον om. V 21 καὶ περὶ—ἐπυνθάνετο om. BEM ἐπυνθάνετο] ᾐτιᾶτο A 22 προφάσει CVBEKM ὁ om. M

ἀνήρηται, καὶ ἕνα κατέσχε τοὺς ἄλλους ἐάσας ἀπαίρειν ὁμολογήσαντας
ἀγαγεῖν τὸν νεώτατον, ὃν ἰδεῖν μάλιστ' ἐπόθει καὶ τῆς ἐπ' αὐτῷ
χαλεπῆς καὶ βαρυτάτης ἀνίας ἀπαλλαγῆναι. καὶ ἐπειδὴ παρεγένετο 234
καὶ τὸν ἀδελφὸν ἐθεάσατο, μικρὸν ὅσον ἀνεθεὶς τῆς φροντίδος, καλέσας
ἐπὶ ξενίαν καὶ ἑστιῶν πολυτελεστέραις εὐώχει τὸν ὁμομήτριον παρα-
σκευαῖς, ἀποβλέπων εἰς ἕκαστον καὶ τεκμαιρόμενος ἐκ τῆς ὄψεως, εἴ τις
αὐτοῖς ὑποικουρεῖ φθόνος. καὶ ὡς ἀσμενίζοντας ἑώρα καὶ ἀναχεομένους 235
ἐπὶ τῇ τοῦ νεωτάτου τιμῇ, δυσὶν ἤδη μαρτυρίαις σημειωσάμενος τὸ
μηδὲν ἔχθος ὑποτύφεσθαι καὶ τρίτην ἐπενόησε, τὴν τοῦ κεκλέφθαι
δοκοῦντος ἐκπώματος αἰτίαν ἀναθεὶς τῷ νεωτάτῳ· σαφέστατος γὰρ ἔμελλεν
ἔλεγχος οὑτοσὶ γενέσθαι τῆς ἑκάστου διανοίας καὶ οἰκειότητος τῆς πρὸς
τὸν συκοφαντούμενον ἀδελφόν. ἐξ ὧν ἁπάντων ἤδη συνεπείθετο περὶ 236
τοῦ μὴ καταστασιάζεσθαι μηδ' ἐπιβουλεύεσθαι τὸν μητρῷον οἶκον
λογισμόν τε εἰκότα καὶ περὶ τῶν αὐτῷ συμβεβηκότων ἐλάμβανεν, ὡς
οὐκ ἐπιβουλαῖς ἀδελφῶν αὐτὰ μᾶλλον εἴη πεπονθὼς ἢ κατὰ πρόνοιαν
θεοῦ τὰ μακρὰν ἐμβλέποντος καὶ τὰ μέλλοντα οὐχ ἧττον τῶν παρόντων
ὁρῶντος. (40.) εἶτ' ἐπὶ συμβάσεις καὶ καταλλαγὰς ἵετο νικώμενος 237
ὑπὸ φιλοικείου πάθους καὶ ὑπὲρ τοῦ μηδὲν ὄνειδος προσβαλεῖν τοῖς
ἀδελφοῖς ἕνεκα τῆς πράξεως οὐδένα τῶν Αἰγυπτίων ἐδικαίωσε παρεῖναι
κατὰ τὴν πρώτην ἀναγνώρισιν· ἀλλὰ κελεύσας ἅπασαν τὴν θεραπείαν 238
μεταστῆναι, πηγήν τινα δακρύων ἐξαίφνης ἀνεὶς καὶ τῇ δεξιᾷ προσελθεῖν
ἐγγυτέρω σημήνας, ἵνα μηδ' ἐκ τύχης ἐπακοῦσαί τις ἄλλος δυνηθῇ,
φησὶν αὐτοῖς· „ἐπεσκιασμένον πρᾶγμα καὶ χρόνῳ μακρῷ συγκεκρύφθαι
δοκοῦν μέλλων ἀνακαλύπτειν μόνος μόνοις ὑμῖν ἀπαμπίσχω· ἀδελφὸν ὃν

1 ἕνα κατέσχε τοὺς] ἐγκατασχέτους (ους suprascr.) AOGH¹P, ἀκατασχέτω F   ἀπαίρειν ἐάσας transp. O
2 μάλιστα CVK   3 χαλεπωτάτης F   5 ξενία C   post πολυτελεστέραις add. ἐχρῆτο καὶ HP(v)   εὐώχει scripsi: εὐωχεῖ K¹F, εὐωχεῖται AO, εὐωχεῖτο ceteri (v)
6 εἰς ἕνα ἕκαστον VK²   7 ἐποικουρεῖ KM   ἀνεχομένους AOP²   9 ἄχθος M ut vid.   τρίτον ὑπενόησε AO   τοῦ om. G   10 ἐκπώματος K: om. ceteri   11 ὁ ἔλεγχος V   οὑτωσὶ F   οὗτος ἔμελλεν ἔλεγχος transp. A (Mang.)   γεγενῆσθαι K   οἰκειότατος BEM   12 συνεπύθετο H (Turn.)
13 πατρῷον AO   οἶκον om. O   14 τ' A   αὑτῷ V²: αὐτῷ ceteri
15 πέπονθεν (εἴη del.) C   16 pr. τὰ om. AOFGHP   βλέποντος F   μεταβάλλοντα BM, με⁼λλοντα E   17 εἶτα CV   ἵετο AFG: ἴετο ceteri
18 ὑπὸ τοῦ A   φιλοικίου F   προβαλεῖν BEM   19 post οὐδένα add. δὲ F   21 ἐξαίφνης om. A   ἀφεὶς A   22 σημείνας F   μηδὲ C   ἄλλος om. G   23 φασὶν V¹   24 μέλλον F¹   ἀναχύπτειν M   μόνος om. A   ἐπαμπίσχω CV

17 sqq. Gen. cap. 45

ἀπέδοσθε εἰς Αἴγυπτον, ἐκεῖνος ὃν ὁρᾶτε νῦν παρεστῶτα αὐτός εἰμι
239 ἐγώ.“ καταπλαγέντων δ' αὐτῶν παρ' ἐλπίδα καὶ διεπτοημένων καὶ
ὥσπερ ὁλκῇ τινι βιαίῳ τὰς ὄψεις ἐπὶ γῆν καταβεβληκότων καὶ πεπηγότων ἀφώνων καὶ ἀχανῶν, „μὴ κατηφεῖτε“ | εἶπεν, „ἀμνηστίαν ἁπάν- p. 75 M.
των παρέχω τῶν εἰς ἐμὲ πεπραγμένων, μηδενὸς ἑτέρου δεῖσθε παρα-
240 κλήτου· αὐτοκελεύστῳ καὶ ἑκουσίῳ γνώμῃ πρὸς συμβάσεις ἐθελοντὴς
ἀφῖγμαι συμβούλοις χρησάμενος δυσί, τῇ τε πρὸς τὸν πατέρα εὐσεβείᾳ,
ᾧ τὸ πλεῖστον τῆς χάριτος ἀνατίθημι, καὶ τῇ φυσικῇ φιλανθρωπίᾳ, ᾗ
241 πρὸς ἅπαντας διαφερόντως δὲ πρὸς τοὺς ἀφ' αἵματος χρῶμαι. καὶ
νομίζω τῶν συμβεβηκότων οὐχ ὑμᾶς ἀλλὰ θεὸν αἴτιον γεγενῆσθαι βουληθέντα με τῶν αὐτοῦ χαρίτων καὶ δωρεῶν, ἃς ἐν τοῖς ἀναγκαιοτάτοις καιροῖς ἠξίωσε τῷ γένει τῶν ἀνθρώπων παρασχεῖν, ὑπηρέτην
242 γενέσθαι καὶ διάκονον. ἐναργῆ δὲ πίστιν δύνασθε λαβεῖν ἐξ ὧν ὁρᾶτε·
πᾶσαν μὲν Αἴγυπτον ἐπιτέτραμμαι, τιμὴν δὲ ἔχω τὴν πρώτην παρὰ τῷ βασιλεῖ καὶ με νέον ὄντα πρεσβύτερος ὢν ὡς πατέρα τιμᾷ· θεραπεύομαί τε οὐχ ὑπὸ τῶν ἐγχωρίων μόνον ἀλλὰ καὶ ὑπὸ πλείστων ἄλλων ἐθνῶν, ὅσα καὶ ὑπήκοα καὶ αὐτόνομα· χρεῖα γὰρ πάντα διὰ τὴν
243 ἔνδειαν προεστῶτος. ἄργυρός τε καί χρυσὸς καί, τὸ τούτων ἀναγκαιότερον, αἱ τροφαὶ παρ' ἐμοὶ μόνῳ ταμιεύονται διανέμοντι καὶ κατακερματίζοντι πρὸς τὰς ἀναγκαίας χρείας ἑκάστοις τῶν δεομένων, ὡς μήτε τι τῶν εἰς τρυφὴν περιττεῦσαι μήτε τι τῶν εἰς ἐκπλήρωσιν ἐνδείας ἐπι-
244 λιπεῖν. ἀλλ' οὐκ ἐναβρυνόμενος καὶ σεμνυνόμενος ταυτὶ διεξῆλθον, ἀλλ'
ἵν' αἴσθησθε, ὅτι τῶν τηλικούτων οὐδεὶς ἔμελλεν ἀνθρώπων αἴτιος ἔσεσθαι δούλῳ καὶ μετὰ ταῦτα δεσμώτῃ γενομένῳ — καὶ γὰρ ἐδέθην ποτὲ συκοφαντηθείς —, ἀλλ' ὁ τὰς ἐσχάτας συμφοράς τε καὶ δυσπραγίας μεθαρμοσάμενος εἰς τὰς ἀνωτάτω καὶ πρώτας εὐτυχίας θεὸς ἦν,

2 δὲ CV, οὖν F ⟨τῷ⟩ παρ' ἐλπίδα coni. Wendl. 3 γῆς BEMAO 4 κατηφῆτε P 5 παρέχω post πεπραγμένων transp. M δεῖσθαι BE 7 συμβούλοις Mang.: συμβόλοις codd. 8 ᾧ K: ἢ AOFGHP, om. CVBEM 11 με AOKFB²: μὲν ceteri αὐτοῦ H 13 ἐναργῆ] ἐν ἀρχῇ H (Turn.) λαβεῖν δύνασθε transp. AO ἀναλαβεῖν CVBEKM; δύνασθε ἂν λαβεῖν coni. Mang. 14 ἐπιτέτραμμαι αἴγυπτον transp. F δ' AF, τε CV πρώτην K: om. ceteri 15 τῷ om. VF 17 καὶ post ὅσα om. V, καὶ ὅσα transp. AO χρεῖα BM: χρήζει C(v), χρεία ceteri πάντων VFG, πᾶσι AOP² 18 ἀργύρου τε καὶ χρυσοῦ VK² 19 αἱ] καὶ G 19. 20 κανερματίζοντι O 20 τι] τινι F 21 τρυφὴν] τροφὴν coni. Mang. περιττεῦσαι K: om. ceteri τι] τινι F, om. CAO 22 οὐκ ἁβρυνόμενος C, οὐχ ἁβρυνόμενος VBEKM καὶ σεμνυνόμενος om. AO ἐξῆλθον G 23 ἵνα C ἄνθρωπος AOF 23. 24 ἔσεσθαι αἴτιος transp. HP 24 δεσμώτῃ] δεσπότῃ BEM 25 συμφοράς τε καὶ C: om. ceteri

ᾧ πάντα δυνατά. ταῦτα ἐμοῦ διανοουμένου, μηκέτι εὐλαβῶς ἔχετε 245
τὰς δυσφροσύνας ἐκποδὼν ποιησάμενοι καὶ πρὸς ἱλαρὰν μεταβαλόντες
εὐθυμίαν. εὖ δ' ἂν ἔχοι καὶ πρὸς τὸν πατέρα συντεῖναι καὶ πρῶτον αὐτῷ
τὰ περὶ τῆς ἐμῆς εὑρέσεως εὐαγγελίσασθαι· φθάνουσι γὰρ αἱ φῆμαι
πανταχόσε.“ (41.) οἱ δὲ κατὰ διαδοχὴν τοὺς ἐπαίνους αὐτοῦ συνεί- 246
ροντες ἀπαύστως ἀχαλίνοις στόμασιν ἐξύμνουν ἄλλος ἄλλο τι διεξιών,
ὁ μὲν τὸ ἀμνησίκακον, ὁ δὲ τὸ φιλοίκειον, ὁ δὲ τὴν σύνεσιν, ἅπαντες
δ' ἀθρόοι τὴν εὐσέβειαν ἐπὶ τὸν θεὸν ἀναφέροντος τὰ τέλη τῶν κατορ-
θουμένων καὶ μηκέτι ταῖς ἀβουλήτοις ἀρχαῖς καὶ πρώταις ἐνστάσεσι
τῶν μὴ κατὰ γνώμην δυσχεράναντος καὶ τὴν ὑπερβάλλουσαν μετ' αἰδοῦς
καρτερίαν· ὃς ἐν τοσαύταις γεγονὼς ἀνωμαλίαις οὔτε δουλεύων βλάσ- 247
φημον οὐδὲν εἶπε κατὰ τῶν ἀδελφῶν ὡς πεπραχότων οὔτ' εἰς εἱρκτὴν
ἀπαγόμενος ὑπ' ἀθυμίας ἐξελάλησέ τι τῶν ἀπορρήτων οὔτε πολὺν
p. 76 M. χρόνον ἐκεῖ καταμένων, οἷα | φιλεῖ, τοῖς δεσμώταις ἔθους ὄντος τὰς
ἰδίας ἀτυχίας ἀναμετρεῖσθαι, ἀπεγύμνωσεν· ἀλλ' ὡς μηδὲν εἰδὼς τῶν 248
αὐτῷ συμβεβηκότων, ἀλλ' οὐδ' ὅτε τὰ ὀνείρατα διέκρινεν ἢ τοῖς εὐνού-
χοις ἢ τῷ βασιλεῖ, καιρὸν ἔχων εἰς μήνυσιν ἐπιτήδειον, ἐφθέγξατό τι
περὶ τῆς ἰδίας εὐγενείας, οὐδ' ὅτε βασιλέως ὕπαρχος ἐχειροτονεῖτο
καὶ τῆς Αἰγύπτου πάσης τὴν ἐπιμέλειαν καὶ προστασίαν παρελάμβανεν,
ἵνα μὴ δόξῃ τις εἶναι τῶν ἠμελημένων καὶ ἀφανῶν, ἀλλὰ τῷ ὄντι
εὐπατρίδης, οὐ φύσει δοῦλος, ἀλλ' ἐπιβουλὰς ὑφ' ὧν ἥκιστ' ἐχρῆν
ἀνηκέστους ὑπομεμενηκὼς καὶ συμφοράς. ἔτι δὲ πρὸς τούτοις ἐρρύη 249
πολὺς ἔπαινος ἰσότητος αὐτοῦ καὶ δεξιότητος· τὰς γὰρ τῶν ἄλλων ἀλα-
ζονείας καὶ ἀπαιδευσίας ἡγεμόνων εἰδότες ἐθαύμαζον τὸ ἀνεπίφαντον
καὶ ἀτραγῴδητον καὶ ὡς εὐθὺς ἰδὼν κατὰ τὴν προτέραν ὁδὸν ἀπο-

---

1 ταῦτ' A μηκέτ' AF ἔχητε V 5 πανταχόσε] πανταχόθεν κατὰ πολὺ HP(v) κατὰ] μετὰ M 6 ἀπαύστως AOFGHP: ἀδιαστάτως CVBEKM; fort. scribendum ἀπαύστως καὶ ἀδιαστάτως 8 δὲ CV τὸν om. C ἀναφέροντος KV[2], corr. ex ἀναφέροντες E: ἀναφέροντες ceteri 8. 9 τῶν κατορθουμένων τὰ τέλη transp. A 9 ἀρχαῖς om. H[1]P 10 μὴ K: om. ceteri δυσχεράναντος VBEM, δυσχεραίναντος (sic) K: δυσχεράναντας C, δυσχεράναντες GHP, δυσχεραίνοντες AOF 11 ἀνομαλίαις C 11. 12 οὐδὲν εἶπε βλάσφημον transp. AO 12 οὔτε C 13 ὑπὸ C ἐξελάλησέ τι om. O ἀπορρήτων] ἀβουλήτων AO 15 ἀτυχίας] τύχας AO ἀναμετρεῖσθαι corr. ex —εῖται K ἀπεγύμνου AO ἀλλ' ὡς] ἄλλως AOGH[1]P, ἄλλοις τε F, ἀλόγως H[2] μηδὲν εἰδὼς om. AOFGHP 16 ἀλλὰ FG οὐδὲ V συνέκρινεν V 17 ἐφθέγξατό τι CK: τι φυλάξασθαι F, τι φθέγξασθαι ceteri 18 ἀλλ' οὐδ' BKM οὐδὲ C τοῦ βασιλέως F 20 εἶναι om. A 21 ἥκιστα C 22 ὑπομεμενηκὼς ἀνηκέστους transp. AO 23 αὐτῆς F 24 εἰδότες ἡγεμόνων transp. BEKM ἀνέπαφον AOFGHP 25 ὡς om. O

κτεῖναι δυνάμενος ἢ τὸ γοῦν τελευταῖον λιμώττουσι τροφὰς μὴ παρα-
σχεῖν πρὸς τῷ μὴ τιμωρήσασθαι καὶ ὡς χάριτος ἀξίοις δωρεὰν ἔδωκε
250 τἀπιτήδεια τὴν τιμὴν αὐτῶν ἀποδοθῆναι κελεύσας. οὕτω μέντοι τὰ
τῆς ἐπιβουλῆς καὶ πράσεως εἰς ἅπαν ἠγνοήθη καὶ διέλαθεν, ὥσθ' οἱ
ἐν τέλει τῶν Αἰγυπτίων συνήδοντο, ὡς πρῶτον ἄρτι τῶν ἀδελφῶν τοῦ
προεστῶτος ἡκόντων, καὶ ἐπὶ ξενίαν ἐκάλουν καὶ φθάνοντες εὐηγγελίζοντο
τῷ βασιλεῖ, καὶ πάντα διὰ πάντων ἔγεμε χαρᾶς οὐκ ἔλαττον ἢ εἴπερ
251 εὐφόρησεν ἡ πεδιὰς καὶ ὁ λιμὸς εἰς εὐθηνίαν μετέβαλε. (42.) γνοὺς
δ' ὁ βασιλεύς, ὅτι καὶ πατήρ ἐστιν αὐτῷ καὶ ἡ γενεὰ πολυάνθρωπος,
προτρέπει μεταναστῆναι πανοικὶ τὴν βαθυγειοτάτην Αἰγύπτου μοῖραν
ὁμολογήσας δεδωρῆσθαι τοῖς ἀφιξομένοις. ἀπήνας οὖν καὶ ἁρμα-
μάξας καὶ πλῆθος ὑποζυγίων ἐπηχθισμένων τἀπιτήδεια δίδωσι τοῖς
ἀδελφοῖς καὶ θεραπείαν ἱκανήν, ἵνα μετ' ἀσφαλείας ἀγάγωσι τὸν
252 πατέρα. παραγενομένων δὲ καὶ τὰ περὶ τὸν ἀδελφὸν ἄπιστα καὶ
μείζονα ἐλπίδων διηγουμένων, οὐ πάνυ προσεῖχε· κἂν γὰρ οἱ λέγοντες
ἀξιοπιστότατοι, ἀλλ' ἥ γε τοῦ πράγματος ὑπερβολὴ ῥᾳδίως συναινεῖν
253 οὐκ ἐπέτρεπεν. ἰδὼν δὲ ὁ πρεσβύτης τὰς ἐν τοιούτῳ καιρῷ παρα-
σκευὰς καὶ χορηγίας τῶν ἀναγκαίων ἀφθόνους τοῖς περὶ τούτου λεγομένοις
εὐτυχήμασι συνᾳδούσας ὕμνει τὸν θεόν, ὅτι τὸ δοκοῦν ἐκλελοιπέναι
254 μέρος τῆς οἰκίας ἀπεπλήρωσεν. ἡ δὲ χαρὰ καὶ φόβον εὐθὺς ἐγέννησε
τῇ ψυχῇ περὶ τῆς τῶν πατρίων ἐκδιαιτήσεως· ᾔδει γὰρ καὶ νεότητα
εὐόλισθον φύσει καὶ ξενιτείας τὴν εἰς τὸ ἁμαρτάνειν ἐκεχειρίαν καὶ

1 μὴ om. $P^1$, ss. $P^2$ 2 τῷ] τὸ GHP δωρεᾶς O 3 τὰ ἐπιτήδεια CV αὐτοῖς V παραδοθῆναι VBEM 4 πράξεως A εἰσάπαν AK ὥστ' HP, ὡς δ' F 5 πρώτων V τῶν om. CVBEKM 6 εὐηγγελίζοντο] ἐδήλουν HP(v) 8 εὐφόρησεν CVBKM$H^2$: ηὐφόρησεν ceteri εὐθηνίαν] εὐπορίαν K μετέβαλεν CG 9 δὲ CV pr. καὶ om. K ἡ om. CBEKMA γενεὰ] συγγένεια coni. Mang. 10 μεταστῆναι CVGH$P^1$ πανοικὶ (—εὶ C) μεταστῆναι transp. CV πανοικεὶ CHP(v) 11 ἀπήνας] ἀπήγαγον (γον in ras.) F 11. 12 ἁμάξας M, ἀμάξας P 12 τὰ ἐπιτήδεια CVBEM 13 μετὰ CVHP 15 μείζω AO κἂν VM$K^2F^2$: καὶ corr. ex κἂν B, καὶ ceteri 16 ἥ γε CM, ἥ τε E, ἥ τε (sed τε del.) B: ἡ (om. γε) ceteri συνιδεῖν O 16. 17 συναινεῖν οὐκ ἐπέτρεπεν CV: οὐκ ἐπέτρεπε συναινεῖν ceteri 17 ἐπέτρεψε A δ' A τῶ τοιούτω A 19 ὕμνει VBEKM: ὑμνεῖ ceteri ἐλλελοιπέναι CVBEKM 20 καὶ om. AOFHP 21 ἐκδιαιτήσεως VK: ἐπιζητήσεως A, ἐκζητήσεως ceteri 21. 22 καὶ — φύσει] τὸ τῆς νεωτάτης εὐόλισθον φύσεως C; τὸ τῆς νεότητος εὐόλισθον φύσει conicio 22 ξενιτείαν $V^2K^2$ τῆς A ἐκεχειρίαν CBEKMO: ἐκκεχειρίαν ceteri

6 *Thom. Mag. Ecl. 252,11 R.* . . . καὶ ξένισις ἡ ξενοδοχία . . . καὶ ξενία τὸ αὐτό, ὡς Φίλων ἐν τῷ περὶ Ἰωσήφ: τῶν εἰς τὴν ξενίαν ἡκόντων ἀδελφῶν.

μάλιστα τῆς ἐν Αἰγύπτῳ χώρας τυφλωττούσης περὶ τὸν ἀληθῆ θεὸν
p. 77 M. ἕνεκα | τοῦ γενητὰ καὶ θνητὰ θεοπλαστεῖν καὶ προσέτι πλούτου καὶ
δόξης ἐπιθέσεις ὀλιγόφροσι διανοίαις ἐπιτίθενται καὶ διότι ἀπολειφθείς,
μηδενὸς τῶν ἐκ τῆς πατρῴας οἰκίας συνεξεληλυθότος σωφρονιστοῦ,
μόνος ὢν καὶ ἔρημος διδασκάλων ἀγαθῶν ἕτοιμος ἔσται πρὸς τὴν τῶν
ὀθνείων μεταβολήν. οὕτως οὖν διακείμενον ἰδὼν ᾧ μόνῳ δυνατὸν ἀόρα- 255
τον ψυχὴν ὁρᾶν ἔλεον λαμβάνει καὶ κοιμωμένῳ νύκτωρ ἐπιφανείς φησι·
„μηδὲν εὐλαβοῦ περὶ τῆς εἰς Αἴγυπτον ἀφίξεως· αὐτὸς ἡγεμονεύσω
τῆς ὁδοῦ παρέχων τὴν ἀποδημίαν ἀσφαλῆ καὶ εὐάρεστον· ἀποδώσω
μέντοι καὶ τὸν τριπόθητον υἱόν, ὅς ποτε τεθνάναι νομισθεὶς ἐκ πολυετίας
οὐ ζῶν μόνον ἀλλὰ καὶ χώρας τοσαύτης ἡγεμὼν ἀναφαίνεται.“ πλη-
ρωθεὶς δ' εὐελπιστίας ἅμα τῇ ἕῳ γεγηθὼς ἐπέσπευδεν. ὁ δ' υἱὸς 256
ἀκούσας — σκοποὶ γὰρ καὶ φραστῆρες τῆς ὁδοῦ πάντ' ἐδήλουν — οὐ
μακρὰν τῶν ὁρίων ἀπέχοντα διὰ ταχέων ἀπήντα τῷ πατρί· καὶ κατὰ
τὴν καλουμένην Ἡρώων πόλιν ἐντυχόντες ἐπιπίπτουσιν ἀλλήλοις τὰς
κεφαλὰς ἐπὶ τῶν αὐχένων ἐρείσαντες καὶ τὰς ἐσθῆτας δάκρυσι φύροντες
πολυχρονίων ἀσπασμάτων ἀπλήστως ἐνεφοροῦντο καὶ μόλις παυσάμενοι
συνέτεινον ἄχρι τῶν βασιλείων. θεασάμενος δὲ ὁ βασιλεὺς καὶ τὴν 257
ὄψιν καταπλαγεὶς τῆς σεμνότητος ὡς οὐχ ὑπάρχου πατέρα ἀλλ' ἑαυτοῦ
μετὰ πάσης αἰδοῦς καὶ τιμῆς ἐδεξιοῦτο· καὶ μετὰ τὰς ἐν ἔθει καὶ
ἐξαιρέτους φιλοφροσύνας δίδωσιν αὐτῷ γῆς ἀποτομὴν ἀρετῶσαν καὶ
σφόδρα εὔκαρπον, τούς τε υἱοὺς αὐτοῦ πυνθανόμενος εἶναι κτηνοτρόφους
τὴν πολλὴν οὐσίαν ἔχοντας ἐν θρέμμασι καθίστησιν ἐπιμελητὰς τῶν

---

1 τῆς] τοῖς P, τὴν V  χώραν τυφλώττουσαν V  2 γεννητὰ VKOF  θνητὰ] τυφλὰ HP  post προσέτι add. ὅτι $V^2K^2$  3 ἐπιθέσεις V: ἐπίθεσις ceteri  ἐπιτίθενται CVBEM: ἐπιτίθε^ε^νται K, ἐπιτίθεται ceteri  ἐπιτίθενται secludendum puto  4 συνεξεληλυθότος scripsi: ἐξεληλυθότος K(v), συνεξεληλυθότων V, om. Π, ἐξεληλυθότων ceteri  5 καὶ om. AO  6 ὀθνίων C  μεταβολήν] ἀποδοχήν coni. Mang.  μόνον O  δυνατῷ FG  7 ὁρᾶν $K^1$: ἰδεῖν ceteri  κοιμωμένων OFP  8 μηδὲν] μὴ F  10 μέντοι] μέν σοι BK  περιπόθητον VA  12 δὲ CVA  ἐπέσπενδεν M, ἔσπευδεν VAO  δὲ CV  13 φρατῆρες A  14 ὁρίων $CKV^2Π^2$: ὁρίων corr. ex ὀρέων E, ἱερέων F, ὀρέων ceteri  ἀπέχοντι $V^2Π^2$ (Turn.)  διαταχέως G  ἀπήν (sic) M  15 πόλιν ἡρώων transp. F  16 τοὺς αὐχένας $VK^2$  φύροντες CVBEKM: φύραντες ceteri  18 δ' A  19 οὐχ ὡς transp. AO (Mang.)  20 πάσης om. F  αἰδοῦς καὶ om. AO  τιμῆς καὶ αἰδοῦς transp. F  ἐδεξιοῦτο VK: ἐδόξει τοῦτον CBE, ἔδοξε τοῦτον M, ἐδεξιοῦτο τοῦτον ceteri (v)  ἐν om. BEM  22 θ' A  23 ἔχοντας om. AO

---

6—11 Gen. 46,2—4  12—18 Gen. 46,28. 29  18—116,2 Gen. 47,1—10

ἰδίων αἰπόλια καὶ βουκόλια καὶ ποίμνας καὶ μυρίας ὅσας ἀγέλας ἐγχει-
ρίσας αὐτοῖς.
258 (43.) Ὁ δὲ νεανίας τοσαύτῃ πίστεως ἐχρήσατο ὑπερβολῇ, ὥστε
τῶν καιρῶν καὶ τῶν πραγμάτων εἰς ἀργυρισμὸν παρεχόντων πλείστας
ὅσας ἀφορμάς, δυνηθεὶς δι' ὀλίγου πλουσιώτατος τῶν κατ' αὐτὸν
γενέσθαι, τὸν γνήσιον ὡς ἀληθῶς πρὸ τοῦ νόθου πλοῦτον καὶ τὸν
βλέποντα πρὸ τοῦ τυφλοῦ θαυμάσας ἅπαντα τὸν ἄργυρον καὶ χρυσόν,
ὅσον ἐκ τῆς τιμῆς ἤθροισε τοῦ σίτου, ἐν τοῖς βασιλέως ἐθησαυρίζετο
ταμιείοις οὐδεμίαν δραχμὴν νοσφισάμενος, ἀλλὰ μόναις ἀρκεσθεὶς ταῖς
259 δωρεαῖς, αἷς ἀμειβόμενος ἐκεῖνος ἀντεχαρίζετο. καθάπερ τε οἰκίαν μίαν
Αἴγυπτον καὶ σὺν αὐτῇ χώρας ἑτέρας καὶ ἔθνη πιεσθέντα τῷ λιμῷ
παντὸς λόγου κρεῖττον ἐπετρόπευσεν ὁ ἀνὴρ οὗτος κατὰ τὸ πρέπον
διανέμων τὰς τροφὰς καὶ ἀφορῶν οὐκ εἰς τὸ παρὸν μόνον λυσιτελὲς
260 ἀλλὰ καὶ τὴν πρὸς τὸ μέλλον ὠφέλειαν. ἡνίκα γοῦν ὁ ἕβδομος ἐνιαυτὸς
τῆς ἐνδείας ἐνέστη, μεταπεμψάμενος τοὺς γεωργοὺς — ἤδη γὰρ | τῆς p. 78 M.
εὐφορίας καὶ εὐθηνίας ἐλπὶς ἦν — ἐδίδου κριθάς τε καὶ πυροὺς εἰς σπέρ-
ματα φροντίσας τοῦ μηδένα νοσφίσασθαι καταθεῖναί τε εἰς τὰς ἀρούρας
ἃ ἔλαβεν, ὀπτῆρας καὶ ἐφόρους ἐπιλέξας ἀριστίνδην, οἳ τὴν σπορὰν
παραφυλάξουσι.
261 Μετὰ δὲ τὸν λιμὸν χρόνοις μακροῖς ὕστερον τελευτήσαντος τοῦ
πατρός, ὑπονοίᾳ πληχθέντες οἱ ἀδελφοὶ καὶ δείσαντες, μή τι χαλεπὸν
πάθωσι μνησικακίᾳ, προσελθόντες ἐδέοντο λιπαρῶς ἐπαγόμενοι γυναῖκας
262 καὶ γενεάν. ὁ δ' ἐπιδακρύσας φησίν· „ὁ μὲν καιρὸς ἱκανὸς ὑπόνοιαν

---

1 ποίμνια VA 3 τοσαύτης CBEKM 4 alt. τῶν om. AOK 4. 5 ὅσας πλείστας transp. M 5 ἀφορμὰς ὅσας transp. A, ἀφορμὰς ὅσα O δυνηθῆναι AOFGHP δι'] δ' BEM ὀλίγου] ὅλου AF πλουσιώτατον AO κατ' αὐτῶν G, καθ' ἑαυτὸν K 6 ἀληθῆ A 8 βασιλικοῖς A 9 ταμείοις CVHP οὐδὲ μίαν BEM 10 ἀντεχαρίζετο CVEKM: ἀπεχαρίζετο corr. ex ἀντεχαρίζετο B, ἀντεχαρίσατο ceteri τ' A οἰκίαν μίαν K: om. ceteri 11 τῷ om. G 12 πρέπον] πρικὸν (i. e. πατρικὸν) VAOGH, πνικὸν (i. e. πνευματικὸν) F 13 τροφὰς] τιμὰς O μόνον post ἀφορῶν transp. M 14 εἰς τὴν V γοῦν] οὖν M, γὰρ V 15 ἐπέστη AO ante τῆς add. ταῖς A 16 εὐφορίας καὶ om. BEKM εὐπορίας AO εὐθηνίας καὶ εὐφορίας (εὐπορίας) transp. CA ἐλπὶς ἦν] ἐλπίσιν O, ἐλπίσιν ἐνησμένιζεν A πυρροὺς M 17 τε] δὲ coni. Mang. 18 ἃ AV², ἃ corr. ex ἃς E: ἃς ceteri ἔλαβον KV² τε καὶ F 22 μνησικακίᾳ scripsi: μνησικακίας codd.; ⟨ἐκ⟩ vel ⟨ὑπὸ⟩ μνησικακίας coni. Mang. ἐπαγόμενοι post γενεάν (23) transp. V γυναῖκας] γύναια CV 23 δὲ CV 23. 117,1 ὑπόνοιαν κατασκευάσαι ἱκανὸς transp. BEKM

---

3 sqq. Gen. 47,13 sqq. 20 sqq. Gen. 50,15 sqq.

κατασκευάσαι τοῖς ἀφόρητα ἐργασαμένοις καὶ μὴ δι' ἑτέρου μᾶλλον ἢ
τοῦ συνειδότος ἐλεγχομένοις· ἡ γὰρ τελευτὴ τοῦ πατρὸς τὸν ἀρχαῖον
φόβον, ὃν πρὸ τῶν καταλλαγῶν εἴχετε, κεκαίνωκεν, ὡς τοῦ μὴ
λυπῆσαι τὸν πατέρα χάριν τὴν ἀμνηστίαν ἐμοῦ παρασχόντος. ἐγὼ 263
δὲ τὸν τρόπον οὐ χρόνοις μεταβάλλομαι οὐδ' ὁμολογήσας ἔνσπονδος
εἶναι δράσω ποτὲ τὰ ἄσπονδα· οὐ γὰρ ὑπερθέσεις ἀμύνης ἐκαιροφυλάκουν, ἀλλὰ τὴν εἰς ἅπαν ἀπαλλαγὴν τῆς κολάσεως ἐχαριζόμην ἐπινέμων τὸ μέν τι τιμῇ τοῦ πατρός — δεῖ γὰρ ἀψευδεῖν —, τὸ δέ τι
εὐνοίᾳ τῇ πρὸς ὑμᾶς ἀναγκαίᾳ. εἰ δὲ καὶ πατρὸς ἕνεκα πάντ' ἐποίουν 264
τὰ χρηστὰ καὶ φιλάνθρωπα, φυλάξω ταῦτα καὶ πατρὸς τετελευτηκότος·
τέθνηκε δ' οὐδεὶς παρ' ἐμοὶ κριτῇ τῶν ἀγαθῶν ἀνδρῶν, ἀλλὰ καὶ
ζήσεται τὸν ἀεὶ χρόνον ἀγήρως ἀθανάτῳ φύσει, ψυχῇ μηκέτι ταῖς
σώματος ἀνάγκαις ἐνδεδεμένῃ. τί δὲ δεῖ μόνου μεμνῆσθαι τοῦ γενητοῦ 265
πατρός; ἔχομεν τὸν ἀγένητον, τὸν ἄφθαρτον, τὸν ἀίδιον, „ὃς ἐφορᾷ
πάντα καὶ πάντων ἐπακούει“ καὶ τῶν ἡσυχαζόντων, τὸν ἀεὶ βλέποντα
καὶ τὰ ἐν μυχοῖς τῆς διανοίας, ὃν μάρτυρα καλῶ τοῦ συνειδότος ἐπ'
ἀψευδέσι καταλλαγαῖς. ἐγὼ γάρ, καὶ μὴ θαυμάσητέ μου τὸν λόγον, 266
τοῦ θεοῦ εἰμι (Gen. 50, 19) τοῦ τὰ πονηρὰ βουλεύματα ὑμῶν εἰς
ἀγαθῶν περιουσίαν μεθαρμοσαμένου. γίνεσθε οὖν ἄφοβοι καὶ πρὸς τὸ
μέλλον χρησιμωτέρων μεθέξοντες ἢ ζῶντος ἔτι τοῦ πατρὸς ἐκαρποῦσθε.“

---

1 post ἀφόρητα 3—4 litt. eras. V δι' ἑτέρου CV²: δι' ἑτέρων K, δι' ἕτερον ceteri (δ' F) 2 τοῦ συνειδότος CVK: χάριν add. ceteri (v) 3 κεκαίνωκεν Mang.: κεκαίνικεν BM, κεκαίνικεν e κεκένωκεν corr. K, κεκένωκεν ceteri ὡς τοῦ] ὥστ' οὐ C τοῦ om. M μὴ om. Turn. 4 λυπῆσαι μου M, λυπῆσαι μοῦ (corr. ex με vel μι) B, λυπῆσαιμι (sic) E, λυπήσαι K (μϊ supra), λυπήσαιμι C χάριν τὸν πατέρα transp. AO ἐμοῦ] ὑμῖν BEM 5 οὐδὲ C ἔνσπονδον C 6 ὑπερθέσις C, ὑπερθέσει VBEM, ὑποθέσεις O 7 εἰσάπαν VAK 8 pr. τι corr. in τῇ F, om. CVBEM δ' BEKM alt. τι] τῇ V, om. BEKM 9 καὶ om. F πάντεσ (sed εσ eras.) C 10 φυλάσσω VBEKM πατρὸς τετελευτηκότος Mang.: προστετελευτηκότος V¹AOH, τετελευτηκότος V², πρὸς τετελευτηκότα ceteri 11 δὲ C 12 φύσεως K ψυχῆς FH(v) 13 σωματικαῖς V ἐνδεδεμένην K (η supra) τί δὲ δεῖ scripsi: τί δὲ (om. δεῖ) CVOGHP, τί δαὶ A, τί δεῖ BEKMF, post μόνου add. δεῖ AOP² μέμνησθε CVFGHP γενητοῦ CBEFG: γεννητοῦ ceteri 14 ἔχομεν om. CVBEM ἀγένητον CABEFP: ἀγέννητον ceteri 16 τὰ] τοῖς (sed. οἷς eras.) C ὃν] τοῦτον BEM καλῶ μάρτυρα transp. K 17 ἐγὼ—εἰμι (18) om. BEM μου om. CVK 18 alt. τοῦ] ὃς BEK¹M ὑμῶν βουλεύματα transp. AO ἡμῶν G 19 μεθηρμόσατο BEK¹M γοῦν A 20 χρησιμώτερα F ἐκαρποῦσθαι M

---

14. 15 Hom. Od. λ 109. μ 323 Ἠελίου, ὃς πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει. Il. Γ 277.

267 (44.) τοιούτοις θαρσύνας τοὺς ἀδελφοὺς λόγοις, ἔργοις τὰς ὑποσχέσεις
ἐβεβαίου μᾶλλον οὐδὲν παραλιπὼν τῶν εἰς ἐπιμέλειαν. μετὰ δὲ τὸν
λιμόν, ἐπ' εὐθηνίᾳ καὶ εὐετηρίᾳ τῆς χώρας ἤδη γεγηθότων τῶν οἰκητόρων,
ἐτιμᾶτο πρὸς ἁπάντων ἀμοιβὰς ἀντεκτινόντων ὑπὲρ ὧν εὖ πεπόνθεσαν ἐν
268 καιροῖς ἀβουλήτοις. ἡ δὲ φήμη ῥυεῖσα τὰς ἑξῆς πόλεις κατέπλησε τῆς ἐπὶ
τῷδε τῷ ἀνδρὶ εὐκλείας. ἔτη δὲ βιώσας δέκα πρὸς τοῖς ἑκατὸν ἐτελεύτησεν
εὔγηρως ἐπ' ἄκρον ἐλθὼν εὐμορφίας καὶ φρονήσεως καὶ λόγων δυνάμεως.
269 μαρτυρεῖ δὲ τὸ μὲν κάλλος τοῦ σώματος ἔρως ὃς ἐξέμηνεν | ἐπ' αὐτῷ p. 79 M.
γυναῖκα, τὴν δὲ σύνεσιν ἡ ἐν ταῖς ἀμυθήτοις τῶν κατὰ τὸν βίον ἀνω-
μαλίαις ὁμαλότης εὐαρμοστίαν τοῖς ἀναρμόστοις καὶ συμφωνίαν τοῖς ἐξ
αὐτῶν ἀσυμφώνοις ἐργασαμένη, τὴν δὲ τῶν λόγων δύναμιν ἥ τε τῶν
ὀνειράτων διάκρισις καὶ ἡ ἐν ταῖς ὁμιλίαις εὐέπεια καὶ ἡ παρακολου-
θήσασα πειθώ, δι' ἣν οὐδεὶς τῶν ἀρχομένων ἀνάγκῃ μᾶλλον ἢ ἑκὼν ὑπή-
270 κουε. τούτων δὲ τῶν ἐνιαυτῶν ἑπτακαίδεκα μὲν ἄχρι μειρακίου διέτριβεν
ἐν τῇ πατρῴᾳ οἰκίᾳ, τρισκαίδεκα δ' ἐν ταῖς ἀβουλήτοις συντυχίαις, ἐπι-
βουλευόμενος, πιπρασκόμενος, δουλεύων, συκοφαντούμενος, ἐν δεσμωτηρίῳ
καταδούμενος, τοὺς δ' ἄλλους ὀγδοήκοντα ἐν ἡγεμονίᾳ καὶ εὐπραγίᾳ τῇ
πάσῃ, λιμοῦ καὶ εὐθηνίας ἔφορος καὶ βραβευτὴς ἄριστος, τὰ πρὸς ἑκάτερον
καιρὸν πρυτανεύειν ἱκανώτατος.

---

1 τούτοις CVBEKM  θρασύνας F  λόγοις om. CVBEKM  4 ἀνεκτεινόντων M, ἀντεκτιννύντων AO  πεπόνθασιν VAOK[2]  5 ἐξ ἧς F  6 τῷδε om. F  δέκα βιώσας transp. F  7 καὶ λόγων δυνάμεως om. F  8 σώματος κάλλος (om. τοῦ) transp. AO  9 γυναῖκας CVAO  τῶν om. V  9. 10 ἀνομαλίαις C  10. 11 ἐξ αὐτῶν om. HP (Turn.)  11 αὐτῶν codd. (Mang.)  ἀφώνοις CV[1]  ἐργασαμένω (η supra) K  12 ὁμιλίαις] ὁμαλίαις G, ἀνωμαλίαις HP  13 δι' ἣν AO: διὸ M, δι' ὧν ceteri  14 μὲν om. C  διέτριψεν CVBEKM  15 δὲ CV  δυστυχίαις K  16 ἐν τῷ δεσμωτηρίῳ V  17 δὲ CA  ἡγεμονεία H  18 λιμῶν CVBEM  εὐθηνίας] εὐθηνοφορίας C, εὐθηνωρίας BEM  19 ἱκανότατος C  † φίλωνος βίος σοφοῦ (sic) ὅπέρ ἐστιν ἰωσήφ † subscr. C

# ΦΙΛΩΝΟΣ

## ΠΕΡΙ ΤΟΥ ΒΙΟΥ ΜΩΥΣΕΩΣ ΛΟΓΟΣ ΠΡΩΤΟΣ

II p. 80 M. (1.) Μωυσέως τοῦ κατὰ μέν τινας νομοθέτου τῶν Ἰουδαίων, κατὰ 1
δέ τινας ἑρμηνέως νόμων ἱερῶν, τὸν βίον ἀναγράψαι διενοήθην, ἀνδρὸς
τὰ πάντα μεγίστου καὶ τελειοτάτου, καὶ γνώριμον τοῖς ἀξίοις μὴ ἀγνοεῖν
αὐτὸν ἀποφῆναι. τῶν μὲν γὰρ νόμων τὸ κλέος, οὓς ἀπολέλοιπε, διὰ 2
πάσης τῆς οἰκουμένης πεφοιτηκὸς ἄχρι καὶ τῶν τῆς γῆς τερμάτων ἔφθακεν,
αὐτὸν δὲ ὅστις ἦν ἐπ' ἀληθείας ἴσασιν οὐ πολλοί, διὰ φθόνον ἴσως καὶ
ἐν οὐκ ὀλίγοις τῶν διατεταγμένων ὑπὸ τῶν κατὰ πόλεις νομοθετῶν
ἐναντίωσιν οὐκ ἐθελησάντων αὐτὸν μνήμης ἀξιῶσαι τῶν παρ' Ἕλλησι
λογίων· ὧν οἱ πλείους τὰς δυνάμεις ἃς ἔσχον διὰ παιδείας ὕβρισαν ἔν 3
p. 81 M. τε ποιήμασι καὶ τοῖς καταλογάδην | συγγράμμασι κωμῳδίας καὶ συβαριτικὰς ἀσελγείας συνθέντες, περιβόητον αἰσχύνην, οὓς ἔδει ταῖς φύσεσι καταχρήσασθαι πρὸς τὴν τῶν ἀγαθῶν ἀνδρῶν τε καὶ βίων ὑφήγησιν,

---

1. 2 Φίλωνος περὶ τοῦ βίου μωυσέως λόγος α' VK, φίλωνος περὶ τοῦ βίου μωσέως α' CM, περὶ βίου μωυσέως λόγος α' G, τοῦ αὐτοῦ περὶ τοῦ βίου μωυσέως λόγος α' P, φίλωνος περὶ τοῦ βίου μωσέως BEO, φίλωνος ἰουδαίου περὶ τοῦ βίου μωσέως A, φίλωνος περὶ τοῦ βίου μωσέως λόγος πρῶτος: θεολόγου καὶ προφήτου H, περὶ βίου μωυσέως λόγος πρῶτος: θεολογίας καὶ προφητείας L, φίλωνος ἰουδαίου περὶ βίου μωυσέως, ὅπερ ἐστὶ περὶ θεολογίας καὶ προφητείας, λόγος α' $F^2$ (= Turn.), tit. om. Z 3 μωυσέως KZ: μωσέος G, μωσέως ceteri 4 νόμων ἱερῶν ἑρμηνέως transp. VO ἀναγράψασθαι Z, διαγράψαι BM 5 τὰ] τοῦ AG ἀξίοις] ἀξιοῦσι coni. Mang. 6 ἀπολέλειπαν G 7 πεφοιτητικὸς K alt. τῆς om. CEVOHP πέφθακεν HP, ἔφθασεν KZ 8 δ' AG ὥστις G 8. 9 καὶ ἐν $K^1Z$: ἢ τὴν ἐν HP(v), om. ceteri 9 ὀλίγοις] ὀλίγοι δὲ καὶ διὰ τὴν $V^2OK^2$ κατὰ τὰς πόλεις HP(v), κατὰ πόλιν KZ 10 καὶ add. ante ἐναντίωσιν BEMAG 11 λογίων] λόγων C παιδιὰς G 12. 13 συβαριτικῆς AGHP

---

4 *Clem. Alex. Strom.* I 22 p. 411 P. οὗτος ὁ Μωυσῆς θεολόγος καὶ προφήτης, ὡς δέ τινες, νόμων ἱερῶν ἑρμηνεύς ἦν.

ἵνα μήτε τι καλὸν ἡσυχίᾳ παραδοθὲν ἀρχαῖον ἢ νέον ἀφανισθῇ λάμψαι
δυνάμενον μήτ' αὖ τὰς ἀμείνους ὑποθέσεις παρελθόντες τὰς ἀναξίους
ἀκοῆς προκρῖναι δοκῶσι σπουδάζοντες τὰ κακὰ καλῶς ἀπαγγέλλειν εἰς
4 ὀνειδῶν ἐπιφάνειαν. ἀλλ' ἔγωγε τὴν τούτων βασκανίαν ὑπερβὰς τὰ περὶ
τὸν ἄνδρα μηνύσω μαθὼν αὐτὰ κἀκ βίβλων τῶν ἱερῶν, ἃς θαυμάσια
μνημεῖα τῆς αὐτοῦ σοφίας ἀπολέλοιπε, καὶ παρά τινων ἀπὸ τοῦ ἔθνους
πρεσβυτέρων· τὰ γὰρ λεγόμενα τοῖς ἀναγινωσκομένοις ἀεὶ συνύφαινον καὶ
διὰ τοῦτ' ἔδοξα μᾶλλον ἑτέρων τὰ περὶ τὸν βίον ἀκριβῶσαι.
5 (2.) Ἄρξομαι δ' ἀφ' οὗπερ ἀναγκαῖον ἄρξασθαι. Μωυσῆς γένος
μέν ἐστι Χαλδαῖος, ἐγεννήθη δ' ἐν Αἰγύπτῳ καὶ ἐτράφη, τῶν προγόνων
αὐτοῦ διὰ πολυχρόνιον λιμόν, ὃς Βαβυλῶνα καὶ τοὺς πλησιοχώρους
ἐπίεζε, κατὰ ζήτησιν τροφῆς εἰς Αἴγυπτον πανοικὶ μεταναστάντων, γῆν
πεδιάδα καὶ βαθεῖαν καὶ πρὸς πάντα γονιμωτάτην, ὧν ἡ ἀνθρωπίνη
6 φύσις δεῖται, καὶ μάλιστα τὸν τοῦ σίτου καρπόν. ὁ γὰρ ταύτης ποταμὸς
θέρους ἀκμάζοντος, ἡνίκα τοὺς ἄλλους φασὶ μειοῦσθαι χειμάρρους τε
καὶ αὐθιγενεῖς, ἐπιβαίνων τε καὶ ἀναχεόμενος πλημμυρεῖ καὶ λιμνάζει
τὰς ἀρούρας, αἳ ὑετοῦ μὴ δεόμεναι φορᾶς ἀφθονίαν παντοίων ἀγαθῶν

1 τι] τὸ C τῇ ἡσυχίᾳ VO 2 δυνάμενον om. H[1]P[1], ss. H[2]P[2] αὖ τὰς] αὐτὰς EZ ἀναξίας CVO 3 δοκῶσι] δικαιῶσι coni. Mang. καλῶν C ἐπαγγέλλειν KZ εἰς] ὡς BEMAG 5 κἀκ] καὶ AG, ἐκ (om. καὶ) O βίβλον G 6 αὐτοῦ BE: αὐτοῦ ceteri ἀπολέλειπε G τινος G
ὕφαινον
7 ἀεὶ om. G συνεισέφαινον K 8 ἔδοξε C, ἔδειξα H[1] περὶ] πρὸς P 9 ἄρξασθαι ἀναγκαῖον transp. AG μωυσῆς M: μωσῆς ceteri γένος] γενόμενος P 10 ἐστιν ἑβραῖος AGHP(v), γρ. καὶ χαλδαῖος mg. A 11 βαβυλῶνος G τοὺς] τὰς Lyd. 12 ἐπίεζε K[1]ZHP: ἐπίεσε ceteri μετανιστάντων H, μεταστάντων BMKZ γῆν] εἰς γῆν AG, εἰς τὴν CEVOK[2], εἰς τὴν corr. in γῆν B 13 παιδιάδα G ὧν] ὅσων HP(v) ἀνθρωπεία K[1]Z 14 τῶν . . . καρπῶν VO 15 φασὶ τοὺς ἄλλους transp. CVOZ 16 ἐπιβαίνων τε καὶ ἀναχεόμενος om. BEMAG γυμνάζει G 17 αἳ] αἱ δ' HP(v) ὑετοῦ post φορᾶς transp. VO φορὰν ἀφθονίαν BEM, φόρον ἄφθονον KZ

9 *Clem. Alex. Strom.* I 23 p. 411 P. Μωυσῆς ἄνωθεν τὸ γένος Χαλδαῖος ὢν ἐν Αἰγύπτῳ γεννᾶται, τῶν προγόνων αὐτοῦ διὰ πολυχρόνιον λιμὸν ἐκ Βαβυλῶνος εἰς Αἴγυπτον μεταναστάντων. *Ps.-Iustin. Coh. ad gent.* 10 . . . οὗτοι (Φίλων τε καὶ Ἰώσηπος) γὰρ τὰς Ἰουδαίων ἱστοροῦντες πράξεις ἀπὸ μὲν τοῦ Χαλδαίων γένους γεγενῆσθαί φασι· τῶν δὲ προγόνων αὐτοῦ διὰ λιμοῦ πρόφασιν ἀπὸ τῆς Φοινίκης ἐπὶ τὴν Αἴγυπτον μεταναστάντων, ἐκεῖ τὸν ἄνδρα τετέχθαι φασίν. *Ioann. Lyd. de mens.* IV 47 (p. 103,17 Wuensch) . . . καὶ γὰρ ὁ Φίλων τὸν Μωυσέως βίον ἀναγράφων Χαλδαῖον εἶναι αὐτὸν λέγει, γεγενῆσθαι δὲ ἐν Αἰγύπτῳ, ὡς τῶν προγόνων αὐτοῦ ἐκεῖσε κατελθόντων διὰ λιμὸν κατασχόντα Βαβυλῶνα καὶ τὰς πλησιοχώρους.

ἀνὰ πᾶν ἔτος χορηγοῦσιν, εἰ μή που μεσολαβήσειεν ὀργὴ θεοῦ δι' ἐπι-
πολάζουσαν ἀσέβειαν τῶν οἰκητόρων. πατρὸς δὲ καὶ μητρὸς ἔλαχε τῶν 7
καθ' ἑαυτοὺς ἀρίστων, οὓς φυλέτας ὄντας ἡ ὁμοφροσύνη μᾶλλον
ᾠκείωσεν ἢ τὸ γένος. ἑβδόμη γενεὰ ⟨δ'⟩ οὗτός ἐστιν ἀπὸ τοῦ πρώτου,
ὃς ἐπηλύτης ὢν τοῦ σύμπαντος Ἰουδαίων ἔθνους ἀρχηγέτης ἐγένετο.
(3.) τροφῆς δ' ἠξιώθη βασιλικῆς ἀπ' αἰτίας τοιᾶσδε· τῆς χώρας ὁ 8
βασιλεύς, εἰς πολυανθρωπίαν ἐπιδιδόντος ἀεὶ τοῦ ἔθνους, δείσας μὴ οἱ
ἔποικοι πλείους γενόμενοι δυνατωτέρᾳ χειρὶ τοῖς αὐτόχθοσι περὶ κράτους
ἀρχῆς ἁμιλλῶνται, τὴν ἰσχὺν αὐτῶν ἀφαιρεῖν ἐπινοίαις ἀνοσιουργοῖς
p. 82 M. ἐμηχανᾶτο | καὶ κελεύει τῶν γεννωμένων τὰ μὲν θήλεα τρέφειν — ἐπεὶ
γυνὴ διὰ φύσεως ἀσθένειαν ὀκνηρὸν εἰς πόλεμον —, τὰ δ' ἄρρενα δια-
φθείρειν, ἵνα μὴ αὐξηθῇ κατὰ πόλεις· εὐανδροῦσα γὰρ δύναμις δυσάλωτον
καὶ δυσκαθαίρετον ἐπιτείχισμα. γεννηθεὶς οὖν ὁ παῖς εὐθὺς ὄψιν 9
ἐνέφαινεν ἀστειοτέραν ἢ κατ' ἰδιώτην, ὡς καὶ τῶν τοῦ τυράννου κηρυγ-
μάτων, ἐφ' ὅσον οἷόν τε ἦν, τοὺς γονεῖς ἀλογῆσαι· τρεῖς γοῦν φασι
μῆνας ἐφεξῆς οἴκοι γαλακτοτροφηθῆναι λανθάνοντα τοὺς πολλούς. ἐπεὶ 10
δ', οἷα ἐν μοναρχίαις φιλεῖ, καὶ τὰ ἐν μυχοῖς ἔνιοι διηρεύνων σπεύδοντες
ἀεί τι καινὸν ἄκουσμα προσφέρειν τῷ βασιλεῖ, φοβηθέντες μὴ σωτηρίαν
ἑνὶ μνώμενοι πλείους ὄντες αὐτοὶ σὺν ἐκείνῳ παραπόλωνται, δεδακρυμένοι

---

1 μή που CEAGHP: μήπω ceteri    μεσολαβήσῃ ἐν ὀργῇ L (Turn.)    2 ἔλαχε] ἔτυχε V²OKZ    4 ἑβδόμοις Z¹    δ' addidi    5 ἐπηλυτὴς C    ἀρχηγενέτης [γέτης] K    8 ἔποικοι K¹ZHP: ἄποικοι ceteri    τοῖς αὐτόχθοσι δυνατωτέρα χειρὶ transp. KZ    9 ὑφαιρεῖν KZ (fort. recte)    10 post τῶν add. μὲν AG    γενομένων L (Turn.)    12 εὐανδροῦσα γὰρ] ἐπεὶ εὐανδροῦσα HP(v)    13 εὐθὺς om. BEMAG    14 ἐνέφηνεν HP(v)    τοῦ τυράννου MAGK: τοῦ om. ceteri    15 ἀλγῆσαι P    γοῦν HP: οὖν ceteri    16 ἐφεξῆς HP Clem.: ἑξῆς ceteri    λανθάνον K, λανθάνων Z    17 ἔνιοι διηρεύνων HP: ἕτεροι διερευνᾶν ceteri    18 κοινὸν L (Turn.)    19 πλείονες HP    παραπόλλωνται P, παραπόλλυνται H, προσαπόλωνται A(v), προσαπόλλωνται G

---

4 sqq. pergit *Clem. Alex. l. l.*: ἑβδόμῃ γενεᾷ γεννηθεὶς καὶ τραφεὶς βασιλικῶς περιστάσει κέχρηται τοιαύτῃ· εἰς πολυανθρωπίαν ἐπιδεδωκότων ἐν Αἰγύπτῳ τῶν Ἑβραίων, δείσας ὁ βασιλεὺς τῆς χώρας τὴν ἐκ τοῦ πλήθους ἐπιβουλὴν τῶν γεννωμένων ἐκ τῶν Ἑβραίων κελεύει τὰ μὲν θήλεα τρέφειν αὐτούς—ἀσθενὲς γὰρ εἰς πόλεμον γυνή —, διαφθείρειν δὲ τὰ ἄρρενα, εὐαλκῆ νεότητα ὑφορώμενος. εὐπατρίδην δὲ τὸν παῖδα ὄντα τρεῖς ἐφεξῆς κρύπτοντες ἔτρεφον μῆνας οἱ γονεῖς, νικώσης τῆς φυσικῆς εὐνοίας τὴν τυραννικὴν ὠμότητα· δείσαντες δὲ ὕστερον μὴ συναπόλωνται τῷ παιδί, ἐκ βύβλου τῆς ἐπιχωρίου σκεῦός τι ποιησάμενοι τὸν παῖδα ἐνθέμενοι ἐκτιθέασι παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ ἑλώδους ὄντος· ἐπετήρει δὲ τὸ ἀποβησόμενον ἄπωθεν ἑστῶσα τοῦ παιδὸς ἡ ἀδελφή.    6 sqq. Exod. cap. 1. 2.

τὸν παῖδα ἐκτιθέασι παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ καὶ στένοντες ἀπῄεσαν, οἰκτιζόμενοι μὲν αὑτοὺς τῆς ἀνάγκης αὐτόχειράς τε καὶ τεκνοκτόνους ἀποκαλοῦντες, οἰκτιζόμενοι δὲ καὶ τὸν παῖδα τῆς παραλογωτάτης ἀπω-
11 λείας. εἶθ', ὡς εἰκὸς ἐν ἀλλοκότῳ πράγματι, κατηγόρουν αὑτῶν ὡς μείζονος αἰτίων συμφορᾶς· „τί γὰρ" ἔφασκον „εὐθὺς γεννώμενον οὐκ ἐξεθήκαμεν; τὸν μὴ φθάσαντα τροφῆς ἡμέρου μεταλαχεῖν οὐδ' ἄνθρωπον οἱ πολλοὶ νομίζουσιν· ἡμεῖς δ' οἱ περιττοὶ καὶ τρεῖς μῆνας ὅλους ἀνεθρέψαμεν, δαψιλεστέρας μὲν ἑαυτοῖς ἀνίας, τῷ δὲ τιμωρίας ἐκπορίζοντες, ἵν' ἡδονῶν καὶ ἀλγηδόνων ἐπὶ πλεῖστον ἀντιλαμβάνεσθαι δυνά-
12 μενος ἐν αἰσθήσει κακῶν ἀργαλεωτέρων διαφθείρηται." (4.) καὶ οἱ μὲν ἀγνοίᾳ τοῦ μέλλοντος ἀπῄεσαν οἰκτρῷ κατεσχημένοι πένθει, ἀδελφὴ δὲ τοῦ ἐκτεθέντος βρέφους ἔτι παρθένος ὑπὸ φιλοικείου πάθους μικρὸν ἄποθεν ἐκαραδόκει τὸ ἀποβησόμενον· ἅ μοι δοκεῖ πάντα συμβῆναι κατὰ θεὸν
13 προμηθούμενον τοῦ παιδός. θυγάτηρ ἦν τῷ βασιλεῖ τῆς χώρας ἀγαπητὴ καὶ μόνη· ταύτην φασὶ γημαμένην ἐκ πολλοῦ χρόνου μὴ κυΐσκειν τέκνων ὡς εἰκὸς ἐπιθυμοῦσαν καὶ μάλιστα γενεᾶς ἄρρενος, ἣ τὸν εὐδαίμονα κλῆρον τῆς πατρῴας ἡγεμονίας διαδέξεται κινδυνεύοντα ἐρημίᾳ θυγατριδῶν ἀλλο-
14 τριωθῆναι. κατηφοῦσαν δὲ ἀεὶ καὶ στένουσαν ὡς μάλιστα ἐκείνῃ τῇ

---

1 περὶ H (Turn.) 2 αὐτοὺς COMK$^1$Z 4 εἰκὸς GHP: om. ceteri ἐν ἄλλῳ πράγματι ἀλλοκότῳ HP κατηγορούντων VO αὐτῶν CMK 5 ἔλεγον Z, ἔλεγον corr. in ἔφασκον K γεννώμενον VOKZAG$^2$: γενόμενον ceteri 6 τὸν] τὰ M τὸν γὰρ μὴ AG ἡμέρου] ἡμετέρας corr. ex ἡμετέρου Z 7 ὅλους μῆνας transp. CVO, ὅλους om. A 8 ἀνεθρέψαμεν GH$^2$, ἀνεθρέψομεν (sic) H$^1$P: ἐθρέψαμεν ceteri ἑαυτοῖς KZ: αὑτοῖς CMGH$^1$P, αὐτοῖς ceteri 9 ἡδονῶν]
εν
ὀδυνῶν coni. Mang. 11 κατισχημένοι VOMA, κατησχημένοι G πάθει K, πάθει HP 12 ἔτι παρθένος GHP: om. ceteri φιλοικίου O, φιλονεικίου M ἀπῶθεν C, ἄποθεν (ο corr. ex ω) Z, ἄπωθεν (ω corr. ex ο) K, ἄπωθεν E 14 προμυθούμενον G post θυγάτηρ add. δὲ BMKZ, γὰρ CEVO 15 τοῦ χρόνου VOK$^2$ τέκνων GHP Clem.: om. ceteri 17 ἡγεμονίας GHP: εὐδαιμονίας καὶ ἡγεμονίας A(v), κληρονομίας καὶ ἡγεμονίας ceteri post κινδυνεύοντα add. ἤδη V$^2$O 18 ἀεὶ K$^1$ZH$^2$: om. A, δὴ ceteri ὡς om. CVO

---

14 sqq. pergit *Clem. Alex.:* ἐνταῦθα ἡ θυγάτηρ τοῦ βασιλέως, συχνῷ χρόνῳ μὴ κυΐσκουσα, τέκνων δὲ ἐπιθυμοῦσα, ἐκείνης ἀφικνεῖται τῆς ἡμέρας ἐπὶ τὸν ποταμὸν λουτροῖς καὶ περιρραντηρίοις χρησομένη· ἐπακούσασα δὲ κλαυθμυριζομένου τοῦ παιδὸς κελεύει προσενεχθῆναι αὐτῇ καὶ κατοικτείρασα ἐζήτει τροφόν. ἐνταῦθα προσδραμοῦσα ἡ ἀδελφὴ τοῦ παιδὸς ἔχειν ἔφασκεν Ἑβραίαν γυναῖκα μὴ πρὸ πολλοῦ τετοκυῖαν, ἣν παραστήσειν αὐτῇ τροφόν, εἰ βούλοιτο· τῆς δὲ συνθεμένης καὶ δεηθείσης παρήνεγκε τὴν μητέρα τὴν τοῦ παιδὸς τροφὸν ἐσομένην ὥς τινα ἄλλην οὖσαν ἐπὶ ῥητῷ μισθῷ. εἶτα τίθεται τῷ παιδίῳ ὄνομα ἡ βασιλὶς Μωυσῆν ἐτύμως διὰ τὸ ἐξ ὕδατος ἀνελέσθαι αὐτό· τὸ γὰρ ὕδωρ μῶυ ὀνομάζουσιν Αἰγύπτιοι.

ἡμέρᾳ τῷ βάρει τῶν φροντίδων ἀπαγορεῦσαι καὶ δι' ἔθους ἔχουσαν οἴκοι
καταμένειν καὶ μηδὲ τὰς κλισιάδας ὑπερβαίνειν ἐξορμῆσαι μετὰ θερα-
παινίδων ἐπὶ τὸν ποταμόν, ἔνθα ὁ παῖς ἐξέκειτο· κἄπειτα λουτροῖς καὶ
p. 83 M. περιρραντηρίοις χρῆσθαι μέλλουσαν ἐν τῷ δασυτάτῳ τῶν ἑλῶν | αὐτὸν
θεάσασθαι καὶ κελεῦσαι προσφέρειν. εἶτα ἀπὸ κεφαλῆς ἄχρι ποδῶν 15
καταθεωμένην τήν τε εὐμορφίαν καὶ εὐεξίαν ἀποδέχεσθαι καὶ δεδακρυμένον
ὁρῶσαν ἐλεεῖν, ἤδη τῆς ψυχῆς τετραμμένης αὐτῇ πρὸς μητρῷον πάθος
ὡς ἐπὶ γνησίῳ παιδί· γνοῦσαν δ' ὅτι τῶν Ἑβραίων ἐστὶ καταδεισάντων
τοῦ βασιλέως τὸ πρόσταγμα βουλεύεσθαι περὶ τῆς τροφῆς αὐτοῦ· μὴ
γὰρ ἀσφαλὲς εὐθὺς εἶναι νομίζειν εἰς τὰ βασίλεια ἄγειν. διαπορούσης δ' 16
ἔτι, τὴν ἀδελφὴν τοῦ παιδὸς καθάπερ ἀπὸ σκοπῆς τὸν ἐνδοιασμὸν στοχα-
σαμένην πυνθάνεσθαι προσδραμοῦσαν, εἰ βουλήσεται γαλακτοτροφηθῆναι
τοῦτον παρὰ γυναίῳ τῶν Ἑβραϊκῶν οὐ πρὸ πολλοῦ κυήσαντι· τῆς δὲ 17
βούλεσθαι φαμένης, τὴν αὐτῆς καὶ τοῦ βρέφους μητέρα παραγαγεῖν
ὡς ἀλλοτρίαν, ἣν ἑτοιμότερον ἀσμένην ὑπισχνεῖσθαι πρόφασιν ὡς ἐπὶ
μισθῷ τροφεύσειν, ἐπινοίᾳ θεοῦ τοῦ τὰς πρώτας τροφὰς τῷ παιδὶ γνησίας
εὐτρεπίζοντος· εἶτα δίδωσιν ὄνομα θεμένη Μωυσῆν ἐτύμως διὰ τὸ
ἐκ τοῦ ὕδατος αὐτὸν ἀνελέσθαι· τὸ γὰρ ὕδωρ μῶυ ὀνομάζουσιν
Αἰγύπτιοι.

(5.) Ἐπεὶ δ' ἀθρόας ἐπιδόσεις καὶ παραυξήσεις λαμβάνων οὐ σὺν 18

---

2. 3 μετὰ τῶν θεραπαινίδων VO   4 μέλλουσαν — θεάσασθαι (5) om. H¹P, add. mg. H²   αὐτὸ KZH²   5 εἶτ' A   6 τ' A . εὐμορφίαν καὶ εὐεξίαν GHP: εὐεξίαν καὶ εὐμορφίαν ceteri   ἀποδέξασθαι K¹Z   8 γνοῦσαν GHP: γνοῦσα ceteri   9 τὸ τοῦ βασιλέως πρόσταγμα VO   βουλεύεται KZ   10 εὐθὺς] αὐτῇ V, αὐτῇ OK²   11 σκοπιῆς VOK², σκοπιᾶς G, σκοποῦ K¹ZH²   τοῦ ἐνδοιασμοῦ coni. Mang.; sed cf. e. gr. I 19,9   13 τοῦτον scripsi: τοῦτο codd. (v)   περὶ Z   γυναίω τῶν ἑβραϊκῶν H¹P: γυναίω ἑβραϊκῶ K¹ZH², γυναίων ἑβραϊκῶν V²OK², γυναικῶν ἑβραϊκῶν ceteri   οὐ—κυήσαντι om. BEA   κυήσαντι GHP: κυησάσῃ K¹Z, κυησασῶν C, κυησάντων ceteri   14 αὑτῆς EVOGH²: αὐτῆς ceteri   προσαγαγεῖν VO, παρα in προσ corr. K   15 ἣν GHPKZ: τὴν δ' V²O, ὡς ceteri   ἀσμένως KZH²   ὑπισχνεῖται K¹Z   πρόφασιν ὡς BEMA: πρόφασιν (om. ὡς) CVOK², προφάσει τοῦ GHPK¹Z   16 τροφεῦσιν C¹Z   τοῦ K¹ZH²: καὶ CVOK²H¹P, om. BEMAG; fort. scribendum τοῦ καὶ   17 θεμένην V¹A   μωσῆν codd.   ἑτοίμως VG   18 ἀνελέσθαι] γενέσθαι A   μῶυ Clem. Al.: μῶς codd. (v)

---

17 *Ioseph. Ant. Iud. II 228* . . . κἀπ' αὐτῶν τὴν ἐπίκλησιν ταύτην τῶν συμβεβηκότων ἔθετο εἰς τὸν ποταμὸν ἐμπεσόντι· τὸ γὰρ ὕδωρ μῶυ Αἰγύπτιοι καλοῦσιν, σῆς (ἐσῆς Niese) δὲ τοὺς [ἐξ ὕδατος] σωθέντας. cf. *c. Ap. I 286.* Hesych. μῶυ· τὸ ὕδωρ. Suid. μῶυ· τὸ ὕδωρ παρ' Αἰγυπτίοις, ἐξ οὗ καὶ Μωυσῆς.

λόγῳ τῷ κατὰ χρόνον θᾶττον δ' ἀπότιτθος γίνεται, παρῆν ἡ μήτηρ
ἅμα καὶ τροφὸς κομίζουσα τῇ δούσῃ μηκέτι γαλακτοτροφίας δεόμενον,
19 εὐγενῆ καὶ ἀστεῖον ὀφθῆναι. τελειότερον δὲ τῆς ἡλικίας ἰδοῦσα κἀκ
τῆς ὄψεως ἔτι μᾶλλον ἢ πρότερον σπάσασα εὐνοίας υἱὸν ποιεῖται τὰ
περὶ τὸν ὄγκον τῆς γαστρὸς τεχνάσασα πρότερον, ἵνα γνήσιος ἀλλὰ μὴ
ὑποβολιμαῖος νομισθῇ· πάντα δ' ἐξευμαρίζει θεὸς ἃ ἂν ἐθελήσῃ καὶ τὰ
20 δυσκατόρθωτα. τροφῆς οὖν ἤδη βασιλικῆς καὶ θεραπείας ἀξιούμενος
οὐχ οἷα κομιδῇ νήπιος ἥδετο τωθασμοῖς καὶ γέλωσι καὶ παιδιαῖς, καίτοι
τῶν τὴν ἐπιμέλειαν αὐτοῦ παρειληφότων ἀνέσεις ἔχειν ἐπιτρεπόντων καὶ
μηδὲν ἐπιδεικνυμένων σκυθρωπόν, ἀλλ' αἰδῶ καὶ σεμνότητα παραφαίνων
ἀκούσμασι καὶ θεάμασιν, ἃ τὴν ψυχὴν ἔμελλεν ὠφελήσειν, προσεῖχε.
21 διδάσκαλοι δ' εὐθὺς ἀλλαχόθεν ἄλλοι παρῆσαν, οἱ μὲν ἀπὸ τῶν πλησιο-
χώρων καὶ τῶν κατ' Αἴγυπτον νομῶν αὐτοκέλευστοι, οἱ δ' ἀπὸ τῆς
Ἑλλάδος ἐπὶ μεγάλαις δωρεαῖς μεταπεμφθέντες· ὧν | ἐν οὐ μακρῷ p. 84 M.
χρόνῳ τὰς δυνάμεις ὑπερέβαλεν εὐμοιρίᾳ φύσεως φθάνων τὰς ὑφηγήσεις,
ὡς ἀνάμνησιν εἶναι δοκεῖν, οὐ μάθησιν, ἔτι καὶ προσεπινοῶν αὐτὸς τὰ
22 δυσθεώρητα. πολλὰ γὰρ αἱ μεγάλαι φύσεις καινοτομοῦσι τῶν εἰς ἐπι-
στήμην· καὶ καθάπερ τὰ εὐεκτικὰ τῶν σωμάτων καὶ πᾶσι τοῖς μέρεσιν
εὐκίνητα φροντίδων ἀπαλλάττει τοὺς ἀλείπτας οὐδὲν ἢ βραχέα παρέχοντας

---

1 δὲ KZH2, δ' om. GH1P 3 εὐγενῆ] εὐμεγέθη coni. Mang. κἀκ] καὶ A 4 ἔτι om. VO, post πρότερον transp. BEMA(V1 ut vid.) σπάσασα εὐνοίας GHP (V1 ut vid.): ἀπάσης εὐνοίας C, ἀπάσαις εὐνοίαις BEMA, ἀπάσαις ἐννοίαις KZ, πάσης ἀξιώσασα εὐνοίας V2O 6 εὐμαρίζει BMGK1Z, ἐξευμαρίζει mg. BM ἃ om. H1P ἐὰν VO, ἐὰν ex ἂν corr. K θελήσῃ VO, ἐθελήσει Z, ἐθελήσοι A 8 καὶ παιδιαῖς GHP: om. ceteri 9 τὴν om. AZ παρειληφότων] μεταλαχόντων A 10 ἐπιδεικνύμενον G παραφαῖνον G 11 προσῆχε G 13 τῶν om. BEMA νόμων CVOK1Z, νομῶν om. BEMAG 15 ὑπερέβαλλεν KZ Barb., παρέβαλεν G 16 οὐ] ἢ BEMAKZ μάθησιν ex μαθήμασιν corr. K ἔτι GHP Barb.: ἀλλὰ ceteri αὐτοῖς K1Z 17 κενοτομοῦσι P 17. 18 τῶν εἰς ἐπιστήμην GHP Barb.: om. ceteri

---

6 DC fol. 126v DR fol. 120r τοῦ αὐτοῦ ἐκ τοῦ περὶ Μωυσέως βίου: πάντα ἐξευμαρίζει θεὸς ἃ ἂν ἐθελήσῃ (θελήσῃ DR) καὶ τὰ δυσκατόρθωτα. 7—127,1 Catena Barber. IV 56 fol. 104r τοῦ αὐτοῦ ἐκ πρώτου λόγου τοῦ περὶ μωσέως βίου: φιλοσοφίας μὲν οὖν οὕτω κατακώχιμος γέγονε· τροφῆς γὰρ ἤδη — συνηχοῦντες. 7 sqq. *Ambros. Hexam. I 2,6* Moyses utique ille eruditus in omni sapientia Aegyptiorum, quem de flumine collectum filia Pharao ut filium dilexit et subsidiis regalibus fultum omnibus saecularis prudentiae disciplinis informari atque instrui desideravit. 17 *Clem. Alex. Strom. II 19 p. 482 P.* . . ., αἱ γὰρ μεγάλαι φύσεις καὶ γυμναὶ παθῶν εὐστοχοῦσί πως περὶ τὴν ἀλήθειαν, ᾗ φησιν ὁ Πυθαγόρειος Φίλων τὰ Μωυσέως ἐξηγούμενος.

τῶν εἰς ἐπιμέλειαν, ὥσπερ καὶ γεωργοὺς τὰ εὔβλαστα καὶ εὐγενῆ δένδρα
βελτιούμενα δι' ἑαυτῶν, τὸν αὐτὸν τρόπον εὐφυὴς ψυχὴ προαπαντῶσα
τοῖς λεγομένοις ὑφ' αὑτῆς μᾶλλον ἢ τῶν διδασκόντων ὠφελεῖται καὶ
λαβομένη τινὸς ἐπιστημονικῆς ἀρχῆς κατὰ τὴν παροιμίαν „ἵππος εἰς
πεδίον“ ὁρμᾷ. ἀριθμοὺς μὲν οὖν καὶ γεωμετρίαν τήν τε ῥυθμικὴν καὶ 23
ἁρμονικὴν καὶ μετρικὴν θεωρίαν καὶ μουσικὴν τὴν σύμπασαν διά τε
χρήσεως ὀργάνων καὶ λόγων τῶν ἐν ταῖς τέχναις καὶ διεξόδοις τοπικω-
τέραις Αἰγυπτίων οἱ λόγιοι παρεδίδοσαν καὶ προσέτι τὴν διὰ συμβόλων
φιλοσοφίαν, ἣν ἐν τοῖς λεγομένοις ἱεροῖς γράμμασιν ἐπιδείκνυνται
καὶ διὰ τῆς τῶν ζῴων ἀποδοχῆς, ἃ καὶ θεῶν τιμαῖς γεραίρουσι·
τὴν δ' ἄλλην ἐγκύκλιον παιδείαν Ἕλληνες ἐδίδασκον, οἱ δ' ἐκ τῶν
πλησιοχώρων τά τε Ἀσσύρια γράμματα καὶ τὴν τῶν οὐρανίων
Χαλδαϊκὴν ἐπιστήμην. ταύτην καὶ παρ' Αἰγυπτίων ἀνελάμβανε μαθη- 24
ματικὴν ἐν τοῖς μάλιστα ἐπιτηδευόντων· καὶ τὰ παρ' ἀμφοτέροις ἀκρι-
βῶς ἐν οἷς τε συμφωνοῦσι καὶ διαφέρονται καταμαθών, ἀφιλονείκως τὰς
ἔριδας ὑπερβάς, τὴν ἀλήθειαν ἐζήτει, μηδὲν ψεῦδος τῆς διανοίας αὐτοῦ
παραδέχεσθαι δυναμένης, ὡς ἔθος τοῖς αἱρεσιομάχοις, οἳ τοῖς προτεθεῖσι
δόγμασιν ὁποῖα ἂν τύχῃ βοηθοῦσιν οὐκ ἐξετάζοντες, εἰ δόκιμα, τὸ δ'
αὐτὸ δρῶντες τοῖς ἐπὶ μισθῷ συναγορεύουσι καὶ μηδὲν τοῦ δικαίου
πεφροντικόσιν. (6.) ἤδη δὲ τοὺς ὅρους τῆς παιδικῆς ἡλικίας ὑπερβαίνων 25

---

1 καὶ pr. om. BEMA εὔπλαστα GHP εὐγενῆ GHPO: τὰ εὐγενῆ ceteri 2 δι' αὐτῶν C προαπαντῶσα GHP Barb.: προσυπαντῶσα VOK², προϋπαντῶσα ceteri 5 οὖν om. Barb. τήν τε GHPK¹Z Barb.: καὶ τήν τε ceteri 6 μερικὴν A, ἰατρικὴν Clem. Al., μετρικὴν om. P καὶ μουσικὴν καὶ θεωρίαν P 7. 8 τροπικωτέραις Barb., τροπηκοτέραις G 8 αἰγύπτιοι Barb. λόγοι MGHP παρέδοσαν HP(v) 9 φιλοσοφίαν] σοφίαν BMK¹Z, περιουσίαν VOK² ἐπιδείκνυται C 10 pr. καὶ] καὶ τὸν (τὴν?) coni. Mang. alt. καὶ GHP Barb.: om. ceteri 11 ἐδιδάσκαλον (sic) M οἱ] ὁ C 12 τ' KZ 13 ἐλάμβανε A(v), παρελάμβανε Z 15 διαφερόντως Z 15. 16 τὰς ἔριδας om. G 16 ἐπεζήτει BEMAKZ(v) 17 αἱρεσιάρχαις GHP Barb. προστεθεῖσι Z 18 τύχῃ AG Barb.: τύχοι ceteri 18. 19 ταυτὸ (om. δ') C 20 δὲ καὶ G παιδικῆς] βρεφικῆς A(v)

---

5 seqq. *Clem. Alex. Strom. I 23 p. 413 P.* . . . ἐν δὲ ἡλικίᾳ γενόμενος ἀριθμητικήν τε καὶ γεωμετρίαν, ῥυθμικήν τε καὶ ἁρμονικήν, ἔτι τε ἰατρικὴν ἅμα καὶ μουσικὴν παρὰ τοῖς διαπρέπουσιν Αἰγυπτίων ἐδιδάσκετο, καὶ προσέτι τὴν διὰ συμβόλων φιλοσοφίαν, ἣν ἐν τοῖς ἱερογλυφικοῖς γράμμασιν ἐπιδείκνυ(ν)ται, τὴν δὲ ἄλλην ἐγκύκλιον παιδείαν Ἕλληνες ἐδίδασκον ἐν Αἰγύπτῳ ὡς ἂν βασιλικὸν παιδίον, ᾗ φησι Φίλων ἐν τῷ Μωυσέως βίῳ. προσεμάνθανε δὲ τὰ Αἰγυπτίων (leg. Ἀσσυρίων) γράμματα καὶ τὴν τῶν οὐρανίων ἐπιστήμην παρά τε Χαλδαίων παρά τε Αἰγυπτίων.

ἐπέτεινε τὴν φρόνησιν, οὐχ ὡς ἔνιοι τὰς μειρακιώδεις ἐπιθυμίας ἀχα-
λινώτους ἐῶν καίτοι μυρία ἐχούσας ὑπεκκαύματα διὰ παρασκευὰς
ἀφθόνους, ἃς αἱ βασιλεῖαι χορηγοῦσιν, ἀλλὰ σωφροσύνῃ καὶ καρτερίᾳ
ὥσπερ τισὶν ἡνίαις ἐνδησάμενος αὐτὰς τὴν εἰς τὸ πρόσω φορὰν ἀνεχαίτιζε
26 βίᾳ. καὶ τῶν ἄλλων μέντοι παθῶν ἕκαστον ἐξ ἑαυτοῦ μεμηνὸς καὶ
λελυττηκὸς φύσει τιθασεύων κἀξημερῶν ἐπράυνεν· εἰ δέ που διακινηθείη
μόνον ἡσυχῇ καὶ πτερύξαιτο, κολάσεις ἐμβριθεστέρας παρείχετο ἢ διὰ
λόγων | ἐπιπλήξεις· καὶ συνόλως τὰς πρώτας τῆς ψυχῆς ἐπιβολάς τε καὶ p. 85 M.
ὁρμὰς ὡς ἀφηνιαστὴν ἵππον ἐπετήρει δεδιώς, μὴ προεκδραμοῦσαι τοῦ
ἡνιοχεῖν ὀφείλοντος λογισμοῦ πάντα διὰ πάντων συγχέωσιν· αὗται γάρ
εἰσιν αἱ ἀγαθῶν αἴτιαι καὶ κακῶν, ἀγαθῶν μέν, ὅταν ἡγεμόνι λόγῳ
27 πειθαρχῶσι, τῶν δ' ἐναντίων, ὅταν εἰς ἀναρχίαν ἐκδιαιτῶνται. κατὰ τὸ
εἰκὸς οὖν οἵ τε συνδιατρίβοντες καὶ οἱ ἄλλοι πάντες ἐτεθήπεσαν, ὡς
ἐπὶ καινῷ θεάματι καταπληττόμενοι καὶ τίς ἄρα ὁ ἐνοικῶν αὐτοῦ τῷ
σώματι καὶ ἀγαλματοφορούμενος νοῦς ἐστι, πότερον ἀνθρώπειος ἢ θεῖος
ἢ μικτὸς ἐξ ἀμφοῖν, διερευνώμενοι, τῷ μηδὲν ἔχειν τοῖς πολλοῖς
28 ὅμοιον, ἀλλ' ὑπερκύπτειν καὶ πρὸς τὸ μεγαλειότερον ἐξῆρθαι. γαστρί
τε γὰρ ἔξω τῶν ἀναγκαίων δασμῶν, οὓς ἡ φύσις ἔταξεν, οὐδὲν πλέον
ἐχορήγει, τῶν τε ὑπογαστρίων ἡδονῶν εἰ μὴ μέχρι σπορᾶς παίδων
29 γνησίων οὐδὲ ἐμέμνητο. γενόμενός τε διαφερόντως ἀσκητὴς ὀλιγοδεείας
καὶ τὸν ἁβροδίαιτον βίον ὡς οὐδεὶς ἕτερος χλευάσας — ψυχῇ γὰρ
ἐπόθει μόνῃ ζῆν, οὐ σώματι — τὰ φιλοσοφίας δόγματα διὰ τῶν καθ'
ἑκάστην ἡμέραν ἔργων ἐπεδείκνυτο, λέγων μὲν οἷα ἐφρόνει, πράττων
δὲ ἀκόλουθα τοῖς λεγομένοις εἰς ἁρμονίαν λόγου καὶ βίου, ἵν' οἷος ὁ
λόγος τοιοῦτος ὁ βίος καὶ οἷος ὁ βίος τοιοῦτος ὁ λόγος ἐξετάζωνται

---

1 post ἐπέτεινε add. καὶ GHP   2 ἐχούσης A (Turn.)   4 ἐνδυσάμενος P Barb.   αὐταῖς Z   5 μέν τι G   μεμηνὼς G   6 τιθασεύων CG: τιθασσεύων ceteri   καὶ ἐξημερῶν GPKZ Barb.   δέ ⟨τι⟩ coni. Mang.   διακινηθῇ H¹P   7 ἐκβριθεστέρας G   7. 8 ἢ ... ἐπιπλήξεις GHP Barb.: ἡ ... ἐπίπληξις ceteri   8 τῆς ψυχῆς om. KZ   ἐπιβουλὰς P   9 προεκδραμοῦσι H   10 συγχύσωσιν BEMA   11 αἴτιαι BMK¹ZHP: αἰτίαι ceteri   14 ἄρα] ἂν P   15 ἀνθρώπιος CMG (ἀνθρώπινος Barb.)   17 ἐξῆρθαι AGHPK¹Z Barb.: ἐξῆλθε BEM, ἐξελθεῖν CVOK²   18 πλέον GHP Barb.: om. ceteri   19. 20 γνησίων σπορᾶς παίδων transp. CVO Barb.   20 γνησίων om. A   οὐδ' A, οὐδὲν HPKZ   τε] δὲ BEMA   ὀλιγοδεΐας CAHP, ὀλιγοδείας MO   21 βίοτον (ον suprascr.) K   οὐδεὶς] οὐδ' εἴ τις Barb.   22 ἐπεπόθει GHP Barb.   μόνον ζῆν BEM, ζῆν μόνον A   23 ἔργων ἡμέραν transp. BEMAVO   ἔργον Z   ἐπεδείκνυτο ἔργων transp. C   24 βίου καὶ λόγου transp. G   25 βίος et λόγος tum λόγος et βίος transp. KZ   ἐξετάζωνται AHV²O Barb.: ἐξετάζων τὲ ceteri

καθάπερ ἐν ὀργάνῳ μουσικῷ συνηχοῦντες. οἱ μὲν οὖν πολλοί, κἂν 30
αὐτὸ μόνον αὔρα βραχεῖά τινος εὐτυχίας προσπέσῃ, φυσῶσι καὶ πνέουσι
μεγάλα καὶ καταλαζονευόμενοι τῶν ἀφανεστέρων καθάρματα καὶ παρεν-
οχλήματα καὶ γῆς ἄχθη καὶ ὅσα τοιαῦτα ἀποκαλοῦσιν, ὥσπερ τὸ ἀκλινὲς
τῆς εὐπραγίας ἐν βεβαίῳ παρ' ἑαυτοῖς εὖ μάλα σφραγισάμενοι μηδὲ
μέχρι τῆς ὑστεραίας ἴσως διαμενοῦντες ἐν ὁμοίῳ. τύχης γὰρ ἀσταθ- 31
μητότερον οὐδὲν ἄνω καὶ κάτω τὰ ἀνθρώπεια πεττευούσης, ἣ μιᾷ πολ-
λάκις ἡμέρᾳ τὸν μὲν ὑψηλὸν καθαιρεῖ, τὸν δὲ ταπεινὸν μετέωρον
ἐξαίρει· καὶ ταῦτα ὁρῶντες ἀεὶ γινόμενα καὶ σαφῶς εἰδότες ὅμως ὑπερ-
όπται μὲν οἰκείων καὶ φίλων εἰσί, νόμους δὲ παραβαίνουσι, καθ' οὓς
ἐγενήθησαν καὶ ἐτράφησαν, ἔθη δὲ πάτρια, οἷς μέμψις οὐδεμία πρόσεστι
δικαία, κινοῦσιν ἐκδεδιῃτημένοι καὶ διὰ τὴν τῶν παρόντων ἀποδοχὴν
οὐδενὸς ἔτι τῶν ἀρχαίων μνήμην λαμβάνουσιν. (7.) ὁ δὲ ἐπ' αὐτὸν 32
φθάσας τὸν ὅρον τῆς ἀνθρωπίνης εὐτυχίας καὶ θυγατριδοῦς μὲν τοῦ
τοσούτου βασιλέως νομισθείς, τῆς δὲ παππῴας ἀρχῆς ὅσον οὐδέπω
p. 86 M. γεγονὼς ἐλπίσι | ταῖς ἁπάντων διάδοχος καὶ τί γὰρ ἄλλ' ἢ ὁ νέος
βασιλεὺς προσαγορευόμενος, τὴν συγγενικὴν καὶ προγονικὴν ἐζήλωσε
παιδείαν, τὰ μὲν τῶν εἰσποιησαμένων ἀγαθά, καὶ εἰ λαμπρότερα
καιροῖς, νόθα εἶναι ὑπολαβών, τὰ δὲ τῶν φύσει γονέων, εἰ καὶ πρὸς
ὀλίγον ἀφανέστερα, οἰκεῖα γοῦν καὶ γνήσια· καθάπερ τε κριτὴς ἀδέκαστος 33
τῶν γεννησάντων καὶ τῶν εἰσποιησαμένων τοὺς μὲν εὐνοίᾳ καὶ τῷ
φιλεῖν ἐκθύμως τοὺς δ' εὐχαριστίαις ἀνθ' ὧν εὖ ἔπαθεν ἠμείβετο καὶ
μέχρι παντὸς ἠμείψατ' ἄν, εἰ μὴ κατεῖδεν ἐν τῇ χώρᾳ μέγα καινουρ-
γηθὲν ὑπὸ τοῦ βασιλέως ἀσέβημα. ξένοι γὰρ ἦσαν, ὡς ἔφην πρότερον, 34
οἱ Ἰουδαῖοι, τῶν τοῦ ἔθνους ἀρχηγετῶν διὰ λιμὸν ἀπορίᾳ τροφῆς ἐκ

---

1 συνηχοῦντες AHPV²O Barb.: συνηχοῦντας ceteri   2 αὐτῷ Z   μόνῳ G   βραχείας A (prob. Mang.)   τινος] τις K¹Z   3 pr. καὶ G (coni. Mang.): om. ceteri   alt. καὶ GHP: τε καὶ ceteri   4 ἄχθη GHP: ἄχθος ceteri (prob. Mang.)   5 ἑαυτοῖς KZ: αὐτοῖς VOH, αὑτοῖς ceteri   οἱ μηδὲ Z (fort. recte)   7 οὐδὲ ἓν CVOK²   τἀνθρώπια O, τὰ ἀνθρώπια CG, τὰ ἀνθρώπινα A   ἡ μιᾶ C, ἡ μία GH(v prob. Wendl., v. Test.)   8 ὑψηλότερον VOK²   ταπεινότερον VOK²   9 pr. καὶ om. KZ   10 οἰκείων] ἐκείνων Turn.   11 ἤθη Turn.   πατρῷα M   13 δ' CGHPKZ   15 πατρῴας ΠP (Turn.)   15. 16 γεγονὼς ὅσον οὐδέπω transp. G   16 ὁ om. M   18 καὶ] κἂν coni. Mang.   20 καὶ καθάπερ KZ   τε GHP: τις ceteri   21 τῷ] τὸ G   22 ἐκθύμως] προθύμως BEMA (Mang.)   δὲ VO   ἀνθῶν CZ   23 ἠμείψαιτ' Z, ἠμείβετ' M

---

4 „ἄχθος ἀρούρης" Hom. Il. Σ 104. Od. υ 379   7—9 Eur. frg. 420 N. cf. ad vol. III 237,21

Βαβυλῶνος καὶ τῶν ἄνω σατραπειῶν εἰς Αἴγυπτον μεταναστάντων, καὶ
τρόπον τινὰ ἱκέται καταπεφευγότες ὡς ἐπ' ἄσυλον ἱερὸν τήν τε βασι-
35 λέως πίστιν καὶ τὸν ἀπὸ τῶν οἰκητόρων ἔλεον. οἱ γὰρ ξένοι παρ' ἐμοὶ
κριτῇ τῶν ὑποδεξαμένων ἱκέται γραφέσθωσαν, μέτοικοι δὲ πρὸς ἱκέταις
καὶ φίλοι, σπεύδοντες εἰς ἀστῶν ἰσοτιμίαν καὶ γειτνιῶντες ἤδη πολίταις,
36 ὀλίγῳ τῶν αὐτοχθόνων διαφέροντες. τούτους οὖν, οἳ τὴν μὲν οἰκείαν
ἀπέλιπον, εἰς δ' Αἴγυπτον ἧκον ὡς ἐν δευτέρᾳ πατρίδι μετ' ἀσφαλείας
οἰκήσοντες, ὁ τῆς χώρας ἡγεμὼν ἠνδραποδίζετο καὶ ὡς πολέμου νόμῳ
λαβὼν αἰχμαλώτους ἢ πριάμενος παρὰ δεσποτῶν, οἷς ἦσαν οἰκότριβες,
ὑπήγετο καὶ δούλους ἀπέφαινε τοὺς οὐκ ἐλευθέρους μόνον ἀλλὰ καὶ
ξένους καὶ ἱκέτας καὶ μετοίκους οὔτε αἰδεσθεὶς οὔτε δείσας τὸν ἐλευ-
θέριον καὶ ξένιον καὶ ἱκέσιον καὶ ἐφέστιον θεόν, ὃς τῶν τοιούτων ἐστὶν
37 ἔφορος. εἶτ' ἐπιτάγματα ἐπέταττε βαρύτερα τῆς δυνάμεως ἄλλους
ἐπ' ἄλλοις πόνους προστιθείς, καὶ τοῖς ἀπαγορεύουσιν ὑπ' ἀσθενείας
ὁ σίδηρος εἵπετο· ἐπιστάτας ⟨γὰρ⟩ τῶν ἔργων ἀνηλεεστάτους καὶ ὠμοθύμους
οὐδενὶ συγγνώμης μεταδιδόντας ᾑρεῖτο, οὓς „ἐργοδιώκτας“ (Exod. 3,7 al.)
38 ἀπὸ τοῦ συμβεβηκότος ὠνόμαζον. εἰργάζοντο δ' οἱ μὲν πηλὸν εἰς πλίνθον
σχηματίζοντες, οἱ δὲ πανταχόθεν ἄχυρα συγκομίζοντες — πλίνθου γὰρ
ἄχυρα δεσμός —, οἱ δ' ἦσαν ἀποτεταγμένοι πρὸς οἰκιῶν καὶ τειχῶν καὶ
πόλεων κατασκευὰς καὶ διωρύχων ἀνατομάς, ὑλοφοροῦντες αὐτοὶ μεθ'
ἡμέραν καὶ νύκτωρ ἄνευ διαδοχῆς, οὐδεμίαν ἔχοντες ἀνάπαυλαν, ἀλλ'
οὐδ' ὅσον καταδαρθεῖν αὐτὸ μόνον ἐώμενοι. | πάντα καὶ τὰ τῶν δημιουργῶν p. 87 M.
καὶ τὰ τῶν ὑπουργῶν δρᾶν ἀναγκαζόμενοι, ὡς ἐν βραχεῖ τὰ σώματα αὐτοῖς

---

1 μεταστάντες A  2 καταπεφευχότες M, καταπεφευγότων C  τε GHP: om. ceteri  3 τὸν] τῶν G  4 ὑποδεχομένων $K^{1}Z$  ἱκέται] δεσπόται $D^{R}$ ἱκέταις AKZ: οἰκέταις HP, οἰκέτας $V^{2}O$, ἱκέτας ceteri  5 φίλοις HP  6 ὀλίγον M  οὖν om. BEMA  τὴν] γῆν coni. Mang.  οἰκίαν L (Turn.)  7 ἀπέλειπον K  ἦλθον in textu O, γρ. ἧκον mg. O  μετὰ BEMAKZ  8 ὡς] ὡσεὶ G, ὡς ἡ HP(v)  10 καὶ τοὺς G  11 οἰκέτας E  οὔτ' KZ  12 καὶ ξένιον om. HP  καὶ ἐφέστιον om. HP  13 ἐπιτάγματ' C  14 ἄλλους M πόνοις GO  15 ὁ σίδηρος εἵπετο GHP: om. ceteri  γὰρ add. Mang. ἀνηλεῶς ἔχοντας HP  καὶ ὠμοθύμους om. HP  16 συγγνώμην Z  17 δὲ A  πλίνθον $G^{2}$, πλῆθος $G^{1}$  18 οἱ — συγκομίζοντες om. M  19 ἔνδεσμος HP  τοιχῶν B, τοίχων MZ, τοίχων corr. in τειχῶν K  20 διωρύγων O  20. 21 καθ' ἡμέραν G  21 ἄνευ $G^{2}$, ἄνω $G^{1}$  22 μόνον αὐτὸ transp. $H^{1}P$  καὶ om. M  23 pr. τὰ om. O  δρᾶν om. HP, post ἀναγκαζόμενοι ss. $P^{2}$  αὐτῶν $K^{1}Z$

---

3. 4 $D^{P}$ fol. 246r $D^{M}$ fol. 250v Φίλωνος ἐκ τοῦ περὶ Μωυσέως βίου $D^{R}$ fol. 217v Φίλωνος: οἱ ξένοι παρ' ἐμοὶ κριτῇ τῶν ὑποδεξαμένων ἱκέται γραφέσθωσαν.

ἀπαγορεύειν, ἅτε καὶ τῆς ψυχῆς προαναπιπτούσης. ἄλλοι γοῦν ἐπ' 39
ἄλλοις ἐξέθνῃσκον ὡς ὑπὸ λοιμώδους φθορᾶς, οὓς ἀτάφους ἔξω τῶν
ὁρίων ἀπερρίπτουν οὐδὲ κόνιν ἐπαμήσασθαι τοῖς σώμασιν ἐῶντες ἀλλ'
οὐδὲ δακρῦσαι συγγενεῖς ἢ φίλους οὕτως οἰκτρῶς διαφθαρέντας· ἀλλὰ
καὶ τοῖς ἀδουλώτοις πάθεσι τῆς ψυχῆς, ἃ μόνα σχεδὸν ἐξ ἁπάντων
ἐλεύθερα ἡ φύσις ἀνῆκε, δεσποτείαν ἐπηπείλουν οἱ ἀσεβεῖς ἀνάγκης
ἀνυποίστῳ βάρει δυνατωτέρας πιέζοντες. (8.) ἐπὶ δὴ τούτοις ἀθυμῶν 40
καὶ δυσχεραίνων διετέλει μήτ' ἀμύνασθαι τοὺς ἀδικοῦντας μήτε βοηθεῖν
τοῖς ἀδικουμένοις ἱκανὸς ὤν· ἃ δ' οἷός τε ἦν, διὰ λόγων ὠφέλει
παραινῶν τοῖς μὲν ἐφεστῶσι μετριάζειν καὶ τὸ σφοδρὸν τῶν ἐπιταγμάτων
ὑπανιέναι καὶ χαλᾶν, τοῖς δ' ἐργαζομένοις φέρειν τὰ παρόντα γενναίως
ἄνδρας τε εἶναι τὰ φρονήματα καὶ μὴ συγκάμνειν τὰς ψυχὰς τοῖς
σώμασιν, ἀλλὰ χρηστὰ προσδοκᾶν ἐκ πονηρῶν· πάντα γὰρ μεταβάλλειν 41
τὰ ἐν κόσμῳ πρὸς τἀναντία, νέφωσιν εἰς αἰθρίαν, πνευμάτων βίας εἰς
ἀέρα νήνεμον, κλύδωνα θαλάττης εἰς ἡσυχίαν καὶ γαλήνην, τὰ δ' ἀνθρώ-
πεια καὶ μᾶλλον, ὅσῳ καὶ ἀσταθμητότερα. τοιούτοις κατεπᾴδων ὥσπερ 42
ἀγαθὸς ἰατρὸς ᾤετο τὰς νόσους καίτοι βαρυτάτας οὔσας ἐπικουφιεῖν· αἱ
δ' ὁπότε λωφήσειαν, αὖθις ἐκ περιτροπῆς ἐπετίθεντο φέρουσαί τι πάντως
ἐκ τοῦ διαπνεῦσαι καινὸν κακὸν ἀργαλεώτερον τῶν προτέρων. ἦσαν γάρ 43
τινες τῶν ἐφεστηκότων ἀτίθασοι σφόδρα καὶ λελυττηκότες, μηδὲν εἰς
ἀγριότητα τῶν ἰοβόλων καὶ σαρκοβόρων διαφέροντες, ἀνθρωποειδῆ θηρία,
τὴν τοῦ σώματος μορφὴν εἰς δόκησιν ἡμερότητος ἐπὶ θήρᾳ καὶ ἀπάτῃ
προβεβλημένοι, σιδήρου καὶ ἀδάμαντος ἀπειθέστεροι. τούτων ἕνα τὸν 44
βιαιότατον, ἐπειδὴ πρὸς τῷ μηδὲν ἐνδιδόναι καὶ ταῖς παρακλήσεσιν ἔτι

---

1 ἅτε om. CVO, ἅτε καὶ om. BEMA  προσαναπιπτούσης Z  1. 2 ὑπ' ἄλλοις Z
2 ἀπέθνησκον BEMAK[1]Z, ἐπέθνησκον O  3 ὁρίων GHP: ὅρων ceteri
ἀπέρριπτον MA, ἐρρίπτουν K[1]Z  5 τοῖς ψυχῆς A, τοῖς ψυχοῖς (sic) P  μόνον VG
6 δεσποτίαν G  7 δυνατωτέρως O  πιαίζοντες P  ἐπὶ δὴ corr. in
ἐπειδὴ K, ἐπειδὴ BEM, ἐπὶ δὴ om. in textu VO, γρ. ἐπειδὴ τούτοις mg. VO
8 τοὺς ἀδικοῦντας μήτε βοηθεῖν om. BEMAVO  9 γρ. τὰ ἀδικούμενα mg. VOK
δὲ A, δ' om. BEMKZ  τ' CAHP  12 συγκάμνειν ⟨ἐᾶν⟩ conicio
13 μεταβάλλει BEMA  14 ἐν κόσμω GHP: ἐν τῶ κόσμω ceteri  νέφωσις
BEA  βία BEA, βίαν K[1]Z  15 κλύδων BEA  εἰς om. H[1]P
15. 16 ἀνθρώπια C  16 ὅσω καὶ GHP: ὅσωπερ ceteri  τοιούτοις GHP: τούτοις
ceteri  17 ᾤετο GHPKZ: ἰᾶτο ceteri  ἐπικουφίζειν HP  18 ὁπότε]
εἴ ποτε coni. Mang.  παρατροπῆς VO  ἐπιτίθεντο M  19 post ἀργα-
λεώτερον add. τῶν πόνων HP(v)  γάρ om. M  20 ἀτίθασοι CHP: ἀτίθασσοι
ceteri  22 θήραν καὶ ἀπάτην M  23 περιβεβλημένοι coni. Mang.
τὸν] τῶν G  24 τῷ] τὸ CBEMAG  ἔτι om. BMVOKZ

μᾶλλον ἐξετραχύνετο, τοὺς τὸ προσταχθὲν μὴ ἀπνευστὶ καὶ ὀξυχειρίᾳ
δρῶντας τύπτων, προπηλακίζων ἄχρι θανάτου, πάσας αἰκιζόμενος αἰκίας,
ἀναιρεῖ δικαιώσας εὐαγὲς εἶναι τὸ ἔργον· καὶ ἦν εὐαγὲς τὸν ἐπ' ὀλέθρῳ
45 ζῶντα ἀνθρώπων ἀπόλλυσθαι. ταῦτ' ἀκούσας ὁ βασιλεὺς ἠγανάκτει
δεινὸν ἡγούμενος, οὐχ εἴ τις τέθνηκεν ἢ ἀνῄρηκεν ἀδίκως ἢ δικαίως,
ἀλλ' εἰ ὁ θυγατριδοῦς αὐτῷ μὴ συμφρονεῖ μηδὲ τοὺς αὐτοὺς ἐχθροὺς
καὶ φίλους ὑπείληφεν, ἀλλὰ μισεῖ μὲν οὓς αὐτὸς στέργει, φιλεῖ δὲ οὓς
προβέβληται καὶ ἐλεεῖ πρὸς οὓς ἀτρέπτως καὶ ἀπαραιτήτως ἔχει.
46 (9.) | λαβόμενοι δ' ἅπαξ ἀφορμῆς οἱ ἐν τέλει καὶ τὸν νεανίαν ὑφορώ- p. 88 M.
μενοι — ᾔδεσαν γὰρ μνησικακήσοντα τῶν ἀνοσιουργημάτων αὐτοῖς καὶ
ἐπὶ καιρῶν ἀμυνούμενον — ἀναπεπταμένοις ὠσὶ τοῦ πάππου μυρίας
διαβολὰς ἐπήντλουν, οἱ μὲν ἔνθεν, οἱ δ' ἔνθεν, ὡς καὶ περὶ ἀφαιρέσεως
τῆς ἀρχῆς ἐμποιῆσαι δέος, „ἐπιθήσεται" λέγοντες, „οὐδὲν φρονεῖ μικρόν,
ἀεί τι προσπεριεργάζεται, πρὸ καιροῦ βασιλείας ἐρᾷ, θωπεύει τινάς, ἑτέροις
ἀπειλεῖ, κτείνει χωρὶς δίκης, τοὺς μάλιστ' εὔνους σοι προβέβληται. τί
δὴ μέλλεις, ἀλλ' οὐχ ἃ διανοεῖται δρᾶν ὑποτέμνεις; μέγα τοῖς ἐπι-
47 θεμένοις αἱ τῶν ἐπιβουλευομένων ἀναβολαί." τοιαῦτα διεξιόντων, ὑπαν-

---

1 ἐξετραχύνετο GHP: ἐτραχύνετο ceteri    πραχθὲν $B^{1}$, προσταχθὲν corr. m. rec.    2 πάσας . . . αἰκίας codd.: πάσαις . . . αἰκίαις v    αἰτίας G    3 ἀνῄρει H    δικαιώσας scripsi: δικάσας codd.    pr. εὐαγὲς] εὐγενὲς G    4 ἄνθρωπον G    ταῦτα CM, καὶ τοῦτο Cat.    5 ἀνῄρηται VO    6 συμφρονῇ AVO, συμφωνεῖ P    μηδὲ] μὴ A    αὐτοὺς om. $H^{1}P$    7 αὐτὸς om. CVOG Cat.    8 ἀποβέβληται Cat.    post ἐλεεῖ add. τοὺς Cat. codd. nonnulli    ἀστόργως καὶ ἀπαρακλήτως $V^{2}OK^{2}$    9 δὲ Cat.    νεανίσκον H(v)    10 ᾔδεσαν—πάππου (11) om. Cat.    ἤδεισαν codd. (ᾔδεσαν scripsi): ἔδεισαν Mang.    μνησικακήσαντα AHP    11 ἐπὶ καιρῶν CVOHP: ἐπὶ καιρὸν ceteri    ἀμυνούμενοι M, ἀμυνόμενον CVO
12 δὲ Cat.    ἀφηρήσεως $H^{1}P$    13 ἐπιθήσονται G    15 μάλιστα VO
16 μέλλῃς C, μέλεις KZ    ὑποτέμνεις BM (τεμ in ras. B): ὑπομένεις EA, ὑπομένειν G, ὑπομένει VOHPKZ, ὑποφέρῃς C    16. 17 ἐπιτιθεμένοις $V^{2}OK^{2}$    17 αἱ τῶν GHPKZ: om. ceteri    βεβουλευμένων G    ταῦτα C    17. 131,1 ὑπανεχώρησεν GHP Cat.: ἀνεχώρησεν ceteri

---

3—17 Catena in Exod. 2,12 (cf. Caten. Lips. I p. 565. 567) Φίλωνος ἑβραίου: τὸν ἀναιρεθέντα Αἰγύπτιον ἐπιστάτην φημὶ (φησὶ codd. nonnulli) τῶν ἔργων ὑπάρχειν ὠμότατον. ἦν γὰρ εὐαγὲς — οἱ δὲ ἔνθεν (12)· καὶ τοιαῦτα διεξιόντων ὑπανεχώρησεν (17).
3—12 *Procop. Gaz. Comment. in Exod. 2,12* (Migne t. 87,1 Col. 519. 520. Wendland Neu entd. Fragm. Philos p. 93): ζηλώσας ἀπέκτεινε τὸν Αἰγύπτιον, ὥς φασί τινες, ὠμότατον ἐργοδιώκτην ὑπάρχοντα· οὐ γὰρ ἦν ἄξιον ἁπλῶς φόνου τὸ μάχεσθαι, ἀλλ' ἐνόμισε δίκαιον τὸν ἐπ' ὀλέθρῳ ζῶντα τῶν ἀνθρώπων ἀπόλλυσθαι. ὅθεν καὶ μᾶλλον ὁ βασιλεὺς ἠγανάκτησε δεινὸν ἡγούμενος, οὐχ εἴ τις τέθνηκεν ἢ ἀνῄρηκε δικαίως ἢ ἀδίκως, ἀλλ' εἰ ὁ θυγατριδοῦς αὐτῷ μὴ συμφρονεῖ μηδὲ τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους ἡγούμενος. ἣν δὴ λαβόντες ἀφορμὴν οἱ ἐν τέλει μυρίαις, φασί, διαβολαῖς τὸν βασιλέα κατ' αὐτοῦ διεγείρουσιν.

εχώρησεν εἰς τὴν ὅμορον Ἀραβίαν, ἔνθα διατρίβειν ἦν ἀσφαλές, ἅμα
καὶ τὸν θεὸν ποτνιώμενος, ἵνα τοὺς μὲν ἐξ ἀμηχάνων ῥύσηται συμφορῶν,
τοὺς δὲ μηδὲν παραλιπόντας τῶν εἰς ἐπήρειαν ἀξίως τίσηται, παράσχῃ
δ' αὐτῷ ταῦτ' ἐπιδεῖν ἀμφότερα διπλασιάσας τὴν χάριν. ὁ δὲ ἐπακούει
τῶν εὐχῶν ἀγάμενος αὐτοῦ τὸ φιλόκαλον ἦθος καὶ μισοπόνηρον, οὐκ εἰς
μακρὰν τὰ κατὰ τὴν χώραν, ὡς θεῷ πρέπον, δικάσας. ἐν ᾧ δὲ ἔμελλε 48
δικάζειν, τοὺς ἀρετῆς ἄθλους Μωυσῆς διήθλει τὸν ἀλείπτην ἔχων ἐν
ἑαυτῷ λογισμὸν ἀστεῖον, ὑφ' οὗ γυμναζόμενος πρὸς τοὺς ἀρίστους βίους,
τόν τε θεωρητικὸν καὶ πρακτικόν, ἐπονεῖτο φιλοσοφίας ἀνελίττων ἀεὶ δόγ-
ματα καὶ τῇ ψυχῇ διαγινώσκων εὐτρόχως καὶ μνήμῃ παρακατατιθέμενος
εἰς τὸ ἄληστον αὐτὰ καὶ τὰς οἰκείας αὐτίκα πράξεις ἐφαρμόττων ἐπαινετὰς
πάσας, ἐφιέμενος οὐ τοῦ δοκεῖν ἀλλὰ τῆς ἀληθείας, διὰ τὸ προκεῖσθαι σκοπὸν
ἕνα τὸν ὀρθὸν τῆς φύσεως λόγον, ὃς μόνος ἐστὶν ἀρετῶν ἀρχή τε καὶ πηγή.
ἕτερος μὲν οὖν ὀργὴν ἀμείλικτον βασιλέως ἀποδιδράσκων καὶ ἄρτι πρῶτον 49
εἰς ἀλλοδαπὴν ἀφιγμένος, μήπω τοῖς τῶν ἐπιχωρίων ἔθεσιν ἐνωμιληκὼς
μηδὲ ἀκριβῶς ἐπιστάμενος οἷς χαίρουσιν ἢ ἀλλοτριοῦνται, κἂν ἐσπούδασεν
ἡσυχίᾳ χρώμενος ἀφανέστερον ζῆν τοὺς πολλοὺς λανθάνων ἢ βουληθεὶς
εἰς μέσον παρέρχεσθαι τοὺς γοῦν δυνατοὺς καὶ τοὺς πλεῖστον ἰσχύοντας
λιπαρέσι θεραπείαις ἐξευμενίζεσθαι, παρ' ὧν τις ὠφέλεια προσεδοκᾶτο
καὶ βοήθεια, εἴ τινες ἐπελθόντες ἀπάγειν πρὸς βίαν ἐπειρῶντο. ὁ δὲ 50
τὴν ἐναντίαν τοῦ εἰκότος ἀτραπὸν ἤλαυνε ταῖς τῆς ψυχῆς ὑγιαινούσαις
ὁρμαῖς ἑπόμενος καὶ μηδεμίαν ἐῶν ὑποσκελίζεσθαι· διὸ καὶ τῆς ὑπούσης

---

1 τὴν om. M  ἀρραβίαν HPZ  1. 2 ἅμα καὶ GHP: τὰ πρὸς KZ, καὶ (om. ἅμα) CBEMA, ἅμα καὶ om. VO (fort. recte)  2 ῥύσεται M  συμφορῶν om. VO  3 ἐπήρειαν GHP: ἀδικίαν V$^2$OK$^2$, σωτηρίαν ceteri  τίσεται M  παράσχοι MA  4 ταῦτα CM  χάριν] χαρὰν GHP(v)  δ' CGHP  ὑπακούει M  5 ἀγάμενος] ἀποδεχόμενος coni. Mang.  6 δ' AVO  post δὲ add. καὶ HP(v)  7 τῆς ἀρετῆς KZ  μωσῆς codd.  9 ἐπονεῖτο GHP: διεπονεῖτο K$^1$Z, προσεποιεῖτο C, μετεποιεῖτο VOK$^2$, om. BEMA  καὶ ante φιλοσοφίας add. BEMAKZ  ἀεὶ] τὰ θεῖα coni. Mang.  10 τὴν ψυχὴν G  εὐστόχως V$^2$OK$^2$  11 καὶ ante εἰς add. KZ  αὐτὰ] αὐτῷ VK$^2$, αὐτῷ O  ἐφαρμόζων K$^1$Z  11. 12 ἐπαινετὰς πάσας V$^1$HPK$^1$Z, ἐπαινετὰς ἁπάσας G: ἐπαινετῶς πᾶσιν V$^2$OK$^2$, ἐπαρετὰς (i. e. ἐπ' ἀρετὰς) πάσας C, ἐπαινέτας πάντας BEMA (Mang.)  12 post πάσας (πάντας) add. εἶχεν A (Mang.)  τοῦ] τὸ G  13 ἕνα om. HP  λόγον ἢ νόμον VOK$^2$GP  14 ὀργὴν] ἀρχὴν H  15 ἀλλοδαπῆ C  ἀφιέμενος A  ἐπιχωρίων GHP: ἐγχωρίων ceteri  ἤθεσιν A  16 μηδ' AVO  18 πλεῖον M  19 λιπαραῖσι A, λιπαραῖς KZ, λιπαρεῖν καὶ V$^2$O  τίς BA  20 εἴ τινες GHP: εἰ δή τινες ceteri (Mang.)  ἀπελθόντες G  ἐπάγειν MP  21 εἰκότος] εἰωθότος coni. Mang.  22 μηδὲ μίαν CAVO  ὑπούσης] εἰπούσης G

δυνάμεως ἔστιν ὅτε πλέον ἐνεανιεύετο | δύναμιν ἀκαθαίρετον τὸ δίκαιον p. 89 M.
ἡγούμενος, ὑφ' οὗ προτραπεὶς αὐτοκέλευστος ἐπὶ τὴν τῶν ἀσθενεστέρων
συμμαχίαν ἵετο.
51 (10.) Λέξω δὲ καὶ τὸ κατ' ἐκεῖνον αὐτῷ τὸν χρόνον πραχθέν, εἰ
καὶ μικρὸν ὅσα γε τῷ δοκεῖν, ἀλλ' οὐκ ἀπὸ φρονήματος μικροῦ. κτηνο-
τροφοῦσιν Ἄραβες καὶ νέμουσι τὰ θρέμματα οὐκ ἄνδρες μόνον ἀλλὰ καὶ
γυναῖκες νέοι τε καὶ παρθένοι παρ' αὐτοῖς, οὐχὶ τῶν ἠμελημένων καὶ ἀδόξων
52 μόνον ἀλλὰ καὶ τῶν ἄγαν ἐπιφανῶν. ἑπτὰ δὴ κόραι πατρὸς ἱερέως ποίμνην
ἄγουσαι παρῆσαν ἐπί τινα πηγὴν καὶ τῶν ἱμονιῶν ἐκδησάμεναι τοὺς καδί-
σκους ἄλλη διαδεχομένη παρ' ἄλλης ὑπὲρ τῆς ἐν τῷ πονεῖν ἰσομοιρίας μάλα
53 προθύμως τὰς δεξαμενάς, αἳ πλησίον ἔκειντο, πληροῦσιν. ἐπιφοιτήσαντες
δ' ἕτεροι ποιμένες καὶ τῆς τῶν παρθένων ἀσθενείας ὑπεριδόντες τὰς
μὲν ἐπεχείρουν μετὰ τῆς ποίμνης ἐλαύνειν, τὰ δ' οἰκεῖα θρέμματα
προσῆγον ἐπὶ τὸ εὐτρεπισθὲν ποτὸν ἀλλότριον καρπωσόμενοι πόνον.
54 ἰδὼν δὲ Μωυσῆς τὸ γενόμενον — οὐ γὰρ ἦν πόρρω — συντείνας ἔθει
καὶ πλησίον στὰς „οὐ παύσεσθε" εἶπεν „ἀδικοῦντες, τὴν ἐρημίαν νομί-
ζοντες εἶναι πλεονεξίαν; βραχίονας καὶ πήχεις ἀργοὺς τρέφοντες οὐκ
ἐρυθριᾶτε; χαῖται βαθεῖαι καὶ σάρκες ὑμεῖς ἐστε, οὐκ ἄνδρες· αἱ μὲν
κόραι νεανιεύονται μηδὲν ὀκνοῦσαι τῶν πρακτέων, οἱ δὲ νεανίαι κορικῶς
55 ἤδη τρυφᾶτε. οὐ βαδιεῖσθε; οὐχ ὑπεκστήσεσθε ταῖς πρότερον ἡκούσαις,
ὧν καὶ τὸ ποτόν ἐστι; δικαίως ἂν αὐταῖς ἐπαντλήσαντες, ἵν' ἀφθονώτερον
ὕδωρ εἴη, καὶ τὸ εὐτρεπισθὲν ἀφελέσθαι σπεύδετε; ἀλλὰ μὰ τὸν οὐράνιον
τῆς δίκης ὀφθαλμὸν οὐκ ἀφελεῖσθε βλέποντα καὶ τὰ ἐν τοῖς ἐρημοτάτοις.
56 ἐμὲ γοῦν ἐχειροτόνησε βοηθὸν οὐ προσδοκηθέντα· καὶ γάρ εἰμι σύμ-
μαχος ταῖς ἀδικουμέναις μετὰ μεγάλης χειρός, ἣν οὐ θέμις πλεονέκταις
ὁρᾶν· αἰσθήσεσθε δὲ αὐτῆς ἐκ τοῦ ἀφανοῦς τιτρωσκούσης, εἰ μὴ μετα-
57 βάλοιτε." ταῦτα διεξιόντος, φοβηθέντες, ἐπεὶ καὶ λέγων ἅμα ἐνεθουσία

---

1 ἀκαθαίρετον Mang.: αὐθαίρετον codd. 3 ἵετο AKHP: ἱέτο ceteri 4 τὸν χρόνον om. O 5 γε GHP: om. ceteri τῷ] τὸ G 6 ἄρραβες PZ νέμουσι GHPKZ: τρέφουσι ceteri 9. 10 καδδίσκους A 10 διαχεομένη G ὑπὲρ τῆς ἐν τῷ] εἰς τὸ περὶ τὸ G 12 δὲ C 14 καρπωσάμενοι MAP πόνον] κέρδος M 15 μωσῆς KZ συντείνων ἤθει G 16 πλησίων G παύσεσθαι MG, παύεσθε O, παύσασθε Z εἶπεν] ἔφη A 16. 17 εἶναι νομίζοντες transp. A 18 βαθεῖαι] βαρεῖαι M ἔσται G καὶ οὐκ O 20 προτέραις Z 21 ὑπαντλήσαντες A 22 εἴη ὕδωρ transp. HP(v) ἀφελέσθαι AGHP: ὑφελέσθαι ceteri 23 ἀφελεῖσθαι G 24 προσδοκηθέντα V[2]OK[2] (coni. Mang.): προσδοκήσαντα ceteri 25 πλεονέκτες G 26 αἰσθήσεσθαι G ἐκ τἀφανοῦς O
σθε
26. 27 μεταβάλοισθε VO, μεταβάλλοιτε K 27 ἐπεὶ καὶ] καὶ γὰρ M ἐνουθεσία M

μεταμορφούμενος εἰς προφήτην, μὴ χρησμοὺς καὶ λόγια θεσπίζει, καταπεισθεὶς τε γίνονται καὶ τὴν ποίμνην τῶν παρθένων ἐπὶ τὰς δεξαμενὰς
ἄγονται πρότερον μεταστησάμενοι τὰς ἑαυτῶν. (11.) αἱ δ' ἐπανῄεσαν 58
οἴκαδε σφόδρα γεγηθυῖαι καὶ τὰ συμβάντα παρ' ἐλπίδας ἐκδιηγοῦντο, ὡς πολὺν ἵμερον ἐνεργάσασθαι τοῦ ξένου τῷ πατρί. κατεμέμφετο γοῦν αὐτὰς ἐπ' ἀχαριστίᾳ τοιαῦτα λέγων· „τί παθοῦσαι μεθίετε, δέον ἄγειν εὐθὺς καὶ εἴπερ ἀνεδύετο λιπαρεῖν; ἤ τινα μισανθρωπίαν μου κατέγνωτε;
p. 90 M. ἢ δεύτερον περιπεσεῖν ἀδίκοις οὐ | προσδοκᾶτε; βοηθῶν ἀπορεῖν ἀνάγκη τοὺς ἐπιλήσμονας χαρίτων. ἀλλ' ὅμως ἀναδραμοῦσαι (τὸ γὰρ ἁμάρτημα μέχρι νῦν ἐστιν ἰάσιμον) ἴτε μετὰ σπουδῆς καὶ καλεῖτε ξενίων μὲν πρότερον αὖθις δὲ καὶ ἀμοιβῆς (ὀφείλεται γὰρ αὐτῷ χάρις) μεθέξοντα.“
συντείνασαι δὲ καταλαμβάνουσιν αὐτὸν οὐ πόρρω τῆς πηγῆς καὶ δηλώσασαι 59
τὰ ἀπὸ τοῦ πατρὸς οἴκαδε συμπείθουσιν ἥκειν. ὁ δὲ πατὴρ τὴν μὲν ὄψιν εὐθὺς τὸ δὲ βούλημα ὀλίγον ὕστερον καταπλαγεὶς — ἀρίδηλοι γὰρ αἱ μεγάλαι φύσεις καὶ οὐ μήκει χρόνου γνωριζόμεναι — δίδωσι τὴν καλλιστεύουσαν αὐτῷ τῶν θυγατέρων γυναῖκα, δι' ἑνὸς ἔργου πάνθ' ὅσα τῶν εἰς καλοκἀγαθίαν μαρτυρήσας καὶ ὡς ἀξιέραστον μόνον τὸ καλόν ἐστι τῆς ἀφ' ἑτέρου συστάσεως οὐ δεόμενον, ἀλλ' ἐν ἑαυτῷ περιφέρον
τὰ γνωρίσματα. μετὰ δὲ τὸν γάμον παραλαβὼν τὰς ἀγέλας ἐποίμαινε 60
προδιδασκόμενος εἰς ἡγεμονίαν· ποιμενικὴ γὰρ μελέτη καὶ προγυμνασία

1 post μὴ add. καὶ BEMAKZ, καὶ eras. K θεσπίζει C: θεσπίζοι A, θεσπίζῃ ceteri (v) 1. 2 καταπιθεῖν G 2 τε om. G 3 ἄγουσι conicio, ἄγοντες ⟨ποτίζουσι⟩ προτέραν coni. Wendl. πρότερον KZ: προτέρας ceteri (v) αὐτῶν GHP αἶδ' KZ, αἱ δὲ VO ἐπανήκασιν O 4 σφόδρα οἴκαδε transp. Z ἐκδιηγοῦνται V²O 5 ἐνεργάσασθαι VOGHP: ἐργάσασθαι ceteri τῶ πατρὶ τοῦ ξένου transp. KZ 6 ἐπ' ἀχαριστίας M, ἐπ' ἀχαριστίᾳ om. in textu G 7 μου om. P 9 γὰρ post μέχρι (10) transp. GHP 10 ξενίων—ἀμοιβῆς (11) om. A 11 μεθέξοντι V²O 12 οὐ πόρρω αὐτὸν transp. A 14 ὀλίγον AK: ὀλίγω ceteri ἀρίδηλαι M 15 γνωρίζονται D 17 καὶ ὡς ἀξιέραστον GHP: καὶ ἀξιέραστον V¹ ut vid., ἀξιέραστον γὰρ καὶ C, καὶ γὰρ ἀξιέραστον ceteri 18 οὐ] μὴ O περιφέρων MA 19 τὰ ἄριστα γνωρίσματα D δὲ] δὴ HP (Turn.) 20 εἰς ἡγεμονίαν codd.: εἰς τὴν ἡγεμονίαν v ἡγεμονίαν ⟨ποιμενικῇ⟩ coni. Mang. προγυμνασία AG Clem.: προγύμνασμα ceteri

14. 15 D$^{H}$ fol. 254$^{r}$ Φίλωνος D$^{R}$ fol. 141$^{r}$ Φίλωνος ἐκ τοῦ περὶ Μωυσέος βίου: ἀρίδηλοι αἱ μεγάλαι φύσεις καὶ οὐ μήκει χρόνου γνωρίζονται. 17—19 ibid. καὶ ἀξιέραστον καλόν ἐστι τὸ τῆς ἀφ' ἑτέρου συστάσεως οὐ δεόμενον, ἀλλ' ἐν ἑαυτῷ (ἑτέρῳ D$^{R}$) περιφέρον τὰ ἄριστα γνωρίσματα. 19—134,2 *Clem. Alex. Strom. I 23 p. 415 P.* . . . φεύγει δὴ ἐντεῦθεν καὶ ποιμαίνει πρόβατα προδιδασκόμενος εἰς ἡγεμονίαν· προγυμνασία γὰρ βασιλείας τῷ μέλλοντι τῆς ἡμερωτάτης τῶν ἀνθρώπων ἐπιστατεῖν ἀγέλης ἡ ποιμενική, καθάπερ καὶ τοῖς πολεμικοῖς τῇ φύσει ἡ θηρευτική. ἄγει δὲ αὐτὸν ἐντεῦθεν ὁ θεὸς ἐπὶ τὴν τῶν Ἑβραίων στρατηγίαν.

βασιλείας τῷ μέλλοντι τῆς ἡμερωτάτης τῶν ἀνθρώπων ἐπιστατεῖν
ἀγέλης, καθάπερ καὶ τοῖς πολεμικοῖς τὰς φύσεις τὰ κυνηγέσια· θήραις
γὰρ ἐμπρομελετῶσιν οἱ πρὸς τὰς στραταρχίας ἀλειφόμενοι, τῶν ἀλόγων
οἷά τινος ὕλης ὑποβεβλημένων πρὸς ἄσκησιν τῆς καθ' ἑκάτερον καιρὸν
61 ἀρχῆς, τόν τε πολέμου καὶ τὸν εἰρήνης. ἡ μὲν γὰρ τῶν ἀγρίων θήρα
στρατηγικὸν κατ' ἐχθρῶν ἐστι γύμνασμα, ἡ δὲ τῶν ἡμέρων ἐπιμέλεια
καὶ προστασία βασιλικὸν πρὸς ὑπηκόους ἀγώνισμα· διὸ καὶ „ποιμένες
λαῶν" οἱ βασιλεῖς, οὐχ ὡς ὄνειδος ἀλλ' ὡς ὑπερβάλλουσα τιμή, προσ-
62 αγορεύονται. καί μοι δοκεῖ μὴ πρὸς δόξας τῶν πολλῶν ἀλλὰ πρὸς
ἀλήθειαν ἐρευνωμένῳ τὸ πρᾶγμα — γελάτω δ' ὁ βουλόμενος — μόνος
ἂν γενέσθαι βασιλεὺς τέλειος ὁ τὴν ποιμενικὴν ἐπιστήμην ἀγαθός, ἐν
ἐλάττοσι ζῴοις παιδευθεὶς τὰ τῶν κρειττόνων· ἀμήχανον γὰρ τὰ μεγάλα
πρὸ τῶν μικρῶν τελεσθῆναι.

63 (12.) Γενόμενος οὖν τῶν καθ' αὑτὸν ἀγελαρχῶν ἄριστος καὶ
ποριστὴς ⟨τῶν⟩ ὅσα πρὸς τὴν τῶν θρεμμάτων συνέτεινεν ὠφέλειαν
ἱκανὸς ἐκ τοῦ μηδὲν ἀποκνεῖν ἀλλ' ἐθελουργῷ καὶ αὐτοκελεύστῳ προ-
θυμίᾳ εἰς δέον τῇ προστασίᾳ χρῆσθαι μετὰ | καθαρᾶς καὶ ἀδόλου p. 91 M.
64 πίστεως ηὔξησε τὰς ἀγέλας· ὡς ὑπὸ τῶν ἄλλων νομέων ἤδη καὶ
φθονεῖσθαι μηδὲν ὁμοιότροπον ἐν ταῖς ἰδίαις ποίμναις ὁρώντων, αἷς
εὐτυχὲς εἶναι ἐδόκει ἡ ἐν ὁμοίῳ μονή, ταῖς δὲ τὸ μὴ βελτιοῦσθαι καθ'
ἑκάστην ἡμέραν ἐλάττωσις διὰ τὸ μεγάλας εἰωθέναι λαμβάνειν ἐπιδόσεις
ἐκ μὲν εὐσαρκίας καὶ πιότητος εἰς κάλλος, εἰς δὲ πλῆθος ἐξ εὐτοκίας

2 τὰς φύσεις om. VO θήραις corr. ex θῆρας A, θήρας CV, θήραν O 3 τὰς om. VOGHP στραταρχίαν O 4 τῶν προβεβλημέμων G τῆς Mang.: τὸν G, τῶν ceteri γρ. καθ' ἕτερον mg. VO καιρῶν AHPKZ 5 pr. τὸν] $\overset{ὁ}{\text{τῶν}}$ Z, τῶν $V^2$O alt. τὸν] τῶν Z, τῆς GHP, om. VO 6 στρατηγικῶν G ἐστι κατ' ἐχθρῶν transp. M γύμνασμα VOGHP: προγύμνασμα ceteri 7 διό] δι' ὧν A 10 ἐρευνωμένω GHP: om. A, ἐρευνώμενον ceteri δὲ A 11 ποιμανικὴν MO 12 pr. τὰ] τὸ Z γὰρ] δὲ A 13 τελεσθῆναι] παιδευθῆναι D 14 καθ' αὑτῶν $MP^1$ 15 τῶν addidi post ὅσα add. τε $V^2$O 16 ἱκανὸς corr. ex ἱκανῶς B, ἱκανῶς E 16. 17 προθυμίᾳ Mang.: προστασία codd. 17 εἰς δέον fort. delenda προστασία A (Mang.): προθυμία ceteri καθαρᾶς Mang.: χαρᾶς codd. 18 καὶ om. VO 19 αἷς] εἰς A; οἷς conicio 20 ἡ] εἰ BEMA μονή GHP: μόνον μονή CVOZ, μόνω μονή K, μόνον εἶεν BEMA ταῖς] τῷ conicio τὸ om. CBEMA 22 ποιότητος MAK

7 cf. *De Iosepho* § 2 12. 13 $D^P$ fol. $76^r$ $D^M$ fol. $77^v$ ἐκ τοῦ περὶ Μωυσέως βίου $D^K$ fol. $248^v$ ἐκ τοῦ περὶ Μωσέως βίου $D^R$ fol. $74^r$ τοῦ αὐτοῦ ἐκ τοῦ περὶ Μωσέως βίου $D^L$ fol. $144^v$ Φίλωνος $D^V$ p. 363 Flor. Par. Nr. 12 Max. Ecl. cap. 17 Anton. Mel. I 50 Col. 933 Φίλωνος: ἀμήχανον τὰ μεγάλα πρὸ τῶν μικρῶν παιδευθῆναι. 14 sqq. Exod. cap. 3

καὶ τῶν περὶ δίαιταν ὑγιεινῶν. ἄγων δὲ τὴν ποίμνην εἰς τόπον εὔυδρόν 65
τε καὶ εὔχορτον, ἔνθα συνέβαινε καὶ πολλὴν πόαν προβατεύσιμον ἀναδίδοσθαι, γενόμενος πρός τινι νάπει θέαμα ἐκπληκτικώτατον ὁρᾷ. βάτος ἦν, ἀκανθῶδές τι φυτὸν καὶ ἀσθενέστατον· οὗτος, οὐδενὸς πῦρ προσενεγκόντος, ἐξαίφνης ἀνακαίεται καὶ περισχεθεὶς ὅλος ἐκ ῥίζης εἰς ἀκρέμονα πολλῇ φλογὶ καθάπερ ἀπό τινος πηγῆς ἀνομβρούσης διέμενε σῷος, οὐ καταχαιόμενος, οἷά τις ἀπαθὴς οὐσία καὶ οὐχ ὕλη πυρὸς αὐτὸς ὤν, ἀλλὰ τροφῇ χρώμενος τῷ πυρί. κατὰ δὲ μέσην τὴν φλόγα μορφή τις 66
ἦν περικαλλεστάτη, τῶν ὁρατῶν ἐμφερὴς οὐδενί, θεοειδέστατον ἄγαλμα, φῶς αὐγοειδέστερον τοῦ πυρὸς ἀπαστράπτουσα, ἣν ἄν τις ὑπετόπησεν εἰκόνα τοῦ ὄντος εἶναι· καλείσθω δὲ ἄγγελος, ὅτι σχεδὸν τὰ μέλλοντα γενήσεσθαι διήγγελλε τρανοτέρᾳ φωνῆς ἡσυχίᾳ διὰ τῆς μεγαλουργηθείσης ὄψεως. σύμβολον γὰρ ὁ μὲν καιόμενος βάτος τῶν ἀδικουμένων, τὸ δὲ 67
φλέγον πῦρ τῶν ἀδικούντων, τὸ δὲ μὴ κατακαίεσθαι τὸ καιόμενον τοῦ μὴ πρὸς τῶν ἐπιτιθεμένων φθαρήσεσθαι τοὺς ἀδικουμένους, ἀλλὰ τοῖς μὲν ἄπρακτον καὶ ἀνωφελῆ γενέσθαι τὴν ἐπίθεσιν, τοῖς δὲ τὴν ἐπιβουλὴν ἀζήμιον, ὁ δὲ ἄγγελος προνοίας τῆς ἐκ θεοῦ τὰ λίαν φοβερὰ παρὰ τὰς ἁπάντων ἐλπίδας κατὰ πολλὴν ἡσυχίαν ἐξευμαρίζοντος. (13.) τὴν δὲ 68
εἰκασίαν ἀκριβῶς ἐπισκεπτέον. ὁ βάτος, ὡς ἐλέχθη, φυτὸν ἀσθενέστατον

1 ἐξάγων KZ δὲ Mang.: τε codd. ἔνυδρον VO 2 προβαστεύσιμον A 2. 3 ἀναδίδοσθαι προβατεύσιμον transp. CVO 3 γενόμενος πρός τινι νάπει GHP: γενόμενος οὖν πρός τινα νάπην ceteri ἐκπληκτικώτατον GHP: πληκτηκότερον A, πληκτικώτατον ceteri 4 τι GHP: om. ceteri οὕτως A πυρὸς A
4. 5 προσενέγκαντος $K^1Z$ 5 ὅλως A ἀκρέμονας $VOH^2$, ἀκρόμενα M 6 πηγῆς] καμίνου $VOK^2$ ἀνομβρυούσης $V^1$, ἀναβρυούσῃ $V^2OK^2$; ἀνομβρούσῃ (scil. φλογί) coni. Mang. 7 οὐσία] οὖσα $H^1P$ 8. 9 τις ἦν GHP (Isidor.): om. ceteri 10 αὐγοειδέστατον G ὑπετόπασεν KZ (Isidor.) 11 δ' A σχεδὸν] σχέδην coni. Mang. 12 γενήσεσθε Z διήγγειλε P, διηγέλλετο (sic) H, διηγγέλλετο v 13 ὄψεως] φύσεως A 15 φθαρήσεσθαι ἐπιτιθεμένων transp. L (Turn. Mang.) φθερεῖσθαι A 16 ἀνωφελεῖ G γενέσθαι codd.: γενήσεσθαι v ἐπιβολὴν voluit Mang. 17 δ' VO 18 ἐξευμαρίσοντος voluit Mang. δ' VO 19 ὡς om. A

3 sqq. *Clem. Alex. Paedag. II 8 p. 215 P.* . . . ἐπεὶ γὰρ ὁ παγκρατὴς κύριος τῶν ὅλων, ὁπηνίκα νομοθετεῖν ἤρχετο, τῷ λόγῳ τῷ Μωυσεῖ καταφανῆ ἐβούλετο γενέσθαι τὴν αὐτοῦ δύναμιν, ὄψις αὐτῷ δείκνυται θεοειδὴς φωτὸς μεμορφωμένου ἐπὶ φλεγομένῳ βάτῳ· τὸ δὲ ἀκανθῶδες φυτόν ἐστιν ὁ βάτος. 3—11 *Isidor. Pelus. Epist. II 143* . . . καὶ πάλιν ὁ Φίλων περὶ τοῦ θεάματος οὗ εἶδε Μωυσῆς ἐκφράζων φησί· „θέαμα πληκτικώτατον ὁρᾷ“. εἶτα μετ' ὀλίγα· „κατὰ μέσην δὲ τὴν φλόγα μορφή τις ἦν περικαλλεστάτη, τῶν ὁρατῶν ἐμφερὴς οὐδενί, θεοειδέστατον ἄγαλμα, φῶς αὐγοειδέστερον τοῦ πυρὸς ἀπαστράπτουσα, ἣν ἄν τις ὑπετόπασεν εἰκόνα τοῦ ὄντος εἶναι“.

ἀλλ' οὐδὲ ἄκεντρον, ὡς εἰ καὶ μόνον ἐπιψαύσειέ τις τιτρώσκειν, οὔτ'
ἐξαναλώθη τῷ φύσει δαπανηρῷ πυρί, τοὐναντίον δὲ ἐφυλάχθη πρὸς
αὐτοῦ καὶ διαμένων ὁποῖος ἦν πρὶν ἀνακαίεσθαι μηδὲν ἀποβαλὼν τὸ
69 παράπαν αὐγὴν προσέλαβε. | τοῦθ' ἅπαν ὑπογραφή τίς ἐστι τῆς ἐθνικῆς p. 92 M.
ὑποθέσεως, ἣ κατ' ἐκεῖνον τὸν χρόνον ἐπεῖχε, μόνον οὐ βοῶσα τοῖς ἐν
συμφοραῖς· „μὴ ἀναπίπτετε, τὸ ἀσθενὲς ὑμῶν δύναμίς ἐστιν, ἣ καὶ
κεντεῖ καὶ κατατρώσει μυρίους. ὑπὸ τῶν ἐξαναλῶσαι γλιχομένων τὸ
γένος ἀκόντων διασωθήσεσθε μᾶλλον ἢ ἀπολεῖσθε, τοῖς κακοῖς οὐ κακω-
θήσεσθε, ἀλλ' ὅταν μάλιστα πορθεῖν νομίσῃ τις ὑμᾶς, τότε μάλιστα
70 πρὸς εὔκλειαν ἐκλάμψετε.“ πάλιν τὸ πῦρ φθοροποιὸς οὐσία διελέγχουσα
τοὺς ὠμοθύμους· „μὴ ταῖς ἰδίαις ἀλκαῖς ἐπαίρεσθε, τὰς ἀμάχους ῥώμας
ἰδόντες καθαιρουμένας σωφρονίσθητε· ἡ μὲν καυστικὴ δύναμις τῆς
φλογὸς ὡς ξύλον καίεται, τὸ δὲ φύσει καυστὸν ξύλον οἷα πῦρ ἐμφανῶς
καίει.“

71 (14.) Τὸ τεράστιον τοῦτο καὶ τεθαυματουργημένον δείξας ὁ θεὸς
τῷ Μωυσεῖ, παραίνεσιν ἐναργεστάτην τῶν μελλόντων ἀποτελεῖσθαι, καὶ
διὰ χρησμῶν ἄρχεται προτρέπειν αὐτὸν ἐπὶ τὴν τοῦ ἔθνους σπεύδειν
ἐπιμέλειαν, ὡς οὐ μόνον ἐλευθερίας παραίτιον ἀλλὰ καὶ ἡγεμόνα τῆς
ἐνθένδε ἀποικίας οὐκ εἰς μακρὰν γενησόμενον, ὁμολογῶν ἐν ἅπασι
72 συλλήψεσθαι. „κακουμένων γὰρ ἐκ πολλοῦ καὶ δυσανασχέτους ὕβρεις
ὑπομενόντων, οὐδενὸς ἀνθρώπων οὔτ' ἐπικουφίζοντος οὔτ' ἐλεοῦντος τὰς
συμφοράς, οἶκτον“ φησίν „αὐτὸς ἔλαβον· καὶ γὰρ ⟨οἶδ'⟩ ἰδίᾳ ἕκαστον
καὶ πάντας ὁμοθυμαδὸν ἐφ' ἱκετείας καὶ λιτὰς τραπομένους ἐλπίζειν
τὴν ἐξ ἐμοῦ βοήθειαν· εἰμὶ δὲ τὴν φύσιν ἤπιος καὶ γνησίοις ἱκέταις

---

1 οὐδ' AP, οὔτε CVO   μόνου K   τις H (coni. Mang.): om. ceteri   2 ἐξανηλώθη C   δ' A   διεφυλάχθη VO   3 πρὶν GHP$K^1$Z: πρὸς τῷ μὴ CBEMA, πρὸς τῷ VO, προσ- $K^2$   ἀποβάλλων O   4 αὐγὴν CHP: αὐτὴν
ὂν
BE$V^1$AG$K^1$Z, αὐτὴν M, αὐτὸ $V^2$O$K^2$   5 ὑποθέσεως] διαθέσεως conicio   ἐπεῖχε] ἐπήχει coni. Mang.   μονονουχὶ VOG   6 ἡμῶν A   7 κατατρώσει GHP: κατατρώγει CVO$K^2$, κατατρύχει ceteri; κατατιτρώσκει v   ὑπὸ eras. V, om. O   ἐξαλῶσαι P   8 καὶ ἀκόντων $V^2$O   διασωθήσεσθαι A$G^1$   μᾶλλον—κακωθήσεσθε om. A   ἀπολεῖσθαι M   8. 9 κακωθήσεσθαι M   9 μάλιστα om. $K^1$Z   ἡμᾶς G   10 ἀνεκλάμψετε A   11 ὁμοθύμους Z   ἐπαίρεσθε $C^2$VGK: ἐπαίρεσθαι ceteri   ῥώμας om. G   12 καθαιρομένας VOKZ   13 καυστὸν AG: καιόμενον $V^2$O, καυστικὸν ceteri   16 μωϋσεῖ C: μωϋσῇ A, μωσεῖ ceteri   ἀποτελεῖν $V^2$O   18 αἴτιον GHP(v)   19 ἐντεῦθεν G   21 οὔτ' ἐπικουφίζεσθαι ἰσχύοντος οὔτ' ἐλεεῖν HP   22 συμφοράς σου A   αὐτὸς om. M   οἶδ' addidi   ἰδίους $V^1$, ἰδίως $V^2$O$K^2$   24 γνήσιος $H^1$P   οἰκέταις HP

ἵλεως. ἴθι δὴ πρὸς τὸν βασιλέα τῆς χώρας μηδὲν εὐλαβηθεὶς τὸ παράπαν 73
— ὁ μὲν γὰρ πρότερος τέθνηκεν, ὃν ἀπεδίδρασκες διὰ φόβον ἐπιβουλῆς,
ἕτερος δὲ τὴν χώραν ἐπιτέτραπται μηδενὸς τῶν πραγμάτων σοι μνησι-
κακῶν — καὶ τὴν τοῦ ἔθνους γερουσίαν προσπαραλαβὼν εἰπὲ χρησμῷ
προσκεκλῆσθαι ὑπ' ἐμοῦ τὸ ἔθνος, ἵνα κατὰ τὰ πάτρια θύσῃ τριῶν
ἡμερῶν ὁδὸν ἔξω τῶν ὅρων τῆς χώρας προελθόν." ὁ δὲ οὐκ ἀγνοῶν 74
ἐπὶ τοῖς λεγομένοις ἀπιστήσοντας τούς τε ὁμοφύλους καὶ τοὺς ἄλλους
ἅπαντας „ἐὰν οὖν" φησί „πυνθάνωνται, τί τὸ ὄνομα τῷ πέμψαντι, μηδ'
αὐτὸς εἰπεῖν ἔχων ἆρ' οὐ δόξω διαπατᾶν"; ὁ δὲ „τὸ μὲν πρῶτον λέγε" 75
φησίν „αὐτοῖς, ὅτι ἐγώ εἰμι ὁ ὤν, ἵνα μαθόντες διαφορὰν ὄντος τε καὶ
μὴ ὄντος προσαναδιδαχθῶσιν, ὡς οὐδὲν ὄνομα τὸ παράπαν ἐπ' ἐμοῦ
κυριολογεῖται, ᾧ μόνῳ πρόσεστι τὸ εἶναι. ἐὰν δ' ἀσθενέστεροι τὰς 76
φύσεις ὄντες ἐπιζητῶσι πρόσρησιν, δήλωσον αὐτοῖς μὴ μόνον τοῦθ' ὅτι
p. 93 M. | θεός εἰμι, ἀλλ' ὅτι καὶ τριῶν τῶν ἐπωνύμων ἀνδρῶν ἀρετῆς, θεὸς
Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ, ὧν ὁ μὲν τῆς διδακτῆς, ὁ δὲ τῆς
φυσικῆς, ὁ δὲ τῆς ἀσκητικῆς σοφίας κανών ἐστιν. ἐὰν δὲ ἔτι ἀπιστῶσι, τρισὶ
σημείοις ἀναδιδαχθέντες μεταβαλοῦσιν, ἃ πρότερον οὔτε τις εἶδεν οὔτε
ἤκουσεν ἀνθρώπων." ἦν δὲ τὰ σημεῖα τοιάδε· ῥάβδον, ἣν εἶχεν, εἰς τοὔ- 77
δαφος ῥῖψαι κελεύει· ἡ δ' αὐτίκα ψυχωθεῖσα εἷρπε καὶ τῶν ἀπόδων τὸ
ἡγεμονικώτατον ὑπερμεγέθης δράκων γίνεται τελειότατος· ταχέως δ' ἀπο-

1 ἵλεος G   πρὸς] παρὰ A(v)   εὐλαβηθεὶς GHP: φοβηθεὶς ceteri
3 πραγμάτων] πραχθέντων coni. Mang.   4 παραλαβὼν CBEMA(v)   5 προ-
κεκλῆσθαι coni. Mang.   post ἵνα add. μοι HP(v)   6 ὁδὸν GHP: om. ceteri
ἔξω τῶν ὅρων GHP (mg. VO): τῶν ὅρων om. ceteri   προελθών VOGK$^2$, ἐπελθόν Z
8 τοῦ πέμψαντος A(v)   9 αὐτὸ G   ἔχων GHP: ἔχω ceteri (v)
10 ὅτι ἐγώ codd.: ὅτι om. v   11 τὸ παράπαν ἐπ' ἐμοῦ VO, τὸ παράπαν ἐπ
ἐμοὶ KZ: ἐπ' ἐμοῦ τὸ παράπαν transp. ceteri   12 δὲ VO   13 πρόρρησιν GHP
14 τριῶν ἀνδρῶν τῶν ἐπωνύμων ἀρετῆς ⟨θεός⟩ coni. Mang.   15 διδακτικῆς H
16 ἀσκητῆς voluit Mang.   σοφίας VOK$^2$GHP: om. ceteri   δὲ] δὲ καὶ HP(v)
17 οὔτ' AG   18 ῥάβδον μὲν Z   19 ἣ δ' KZ   20 δράκων γίνεται ὑπερ-
μεγέθης transp. KZ   τελειότατος· ταχέως δ' ἀποχωρήσας GHP (mg. VO): τελειό-
τατος ταχέως· ἀποχωρήσας δ' ceteri (v)   20. 138,1 ὑποχωρήσας K$^1$Z

6 sqq. Exod. cap. 4   10—12 D$^C$ fol. 223$^v$ Φίλωνος: λέγε, φησίν, αὐτοῖς πυθο-
μένοις, τίς ὁ ἀποστείλας, ὁ ὢν ἀπέσταλκέν με, ἵνα μαθόντες διαφορὰν ὄντος τε καὶ μὴ
ὄντος πρὸς ἀλήθειαν διδαχθῶσιν, ὡς οὐδὲν ὄνομα ἐπ' ἐμοῦ τὸ παράπαν κυριολογεῖται, ᾧ
μόνῳ τὸ εἶναι πρόσεστιν. cf. *Ps.-Iustin. Cohort. ad gentes 21:* οὐδὲν γὰρ ὄνομα ἐπὶ θεοῦ
κυριολογεῖσθαι δυνατόν. ... „ἐγὼ" γάρ φησιν „εἰμὶ ὁ ὤν", ἀντιδιαστέλλων ἑαυτὸν δηλονότι
ὁ ὢν τοῖς μὴ οὖσιν, ἵνα γνῶσιν οἱ πρότερον ἀπατηθέντες, ὅτι οὐχὶ τοῖς οὖσιν ἀλλὰ τοῖς
μὴ οὖσιν προσέσχον. ... διὰ τοῦτο πρὸς τὸν Μωυσέα ἔφη „ἐγώ εἰμι ὁ ὤν", ἵνα διὰ τῆς
μετοχῆς ὄντος τοῦ θεοῦ [ὄντος] καὶ μὴ ὄντων διαφορὰν διδάξῃ.

χωρήσας ἀπὸ τοῦ ζῴου καὶ διὰ δέος ἤδη πρὸς φυγὴν ὁρμῶν μετακαλεῖται
καὶ θεοῦ προστάξαντος ἅμα τε θάρσος ἐμποιήσαντος ἐπιδράττεται τῆς
78 οὐρᾶς. ὁ δὲ ἰλυσπώμενος ἔτι κατὰ τὴν ἐπαφὴν ἵσταται καὶ πρὸς μῆκος
εὖ μάλα ταθεὶς εὐθὺς εἰς βακτηρίαν μετεστοιχειοῦτο τὴν αὐτήν, ὡς
θαυμάζειν μὲν τὰς μεταβολὰς ἀμφοτέρας, ποτέρα δὲ καταπληκτικωτέρα,
μὴ δύνασθαι διακρίνειν, τῆς ψυχῆς ἰσορρόπῳ πληχθείσης φαντασίᾳ.
79 τοῦτο μὲν δὴ πρῶτον, ἕτερον δ' οὐκ εἰς μακρὰν ἐθαυματουργεῖτο· τῶν
χειρῶν τὴν ἑτέραν προστάττει τοῖς κόλποις ἐπικρύψαντα μικρὸν ὕστερον
προενεγκεῖν· δράσαντος δὲ τὸ κελευσθέν, ἡ χεὶρ λευκοτέρα χιόνος ἐξαπι-
ναίως ἀναφαίνεται· πάλιν δὲ καθέντος εἰς τοὺς κόλπους καὶ ἀνενεγκόντος,
80 εἰς τὴν αὐτὴν χρόαν τρέπεται τὸ οἰκεῖον ἀπολαβοῦσα εἶδος. ταῦτα μὲν
οὖν ὑπὸ μόνου μόνος ἐπαιδεύετο, ὡς παρὰ διδασκάλῳ γνώριμος, ἔχων παρ'
ἑαυτῷ τὰ τῶν τεράτων ὄργανα, τήν τε χεῖρα καὶ τὴν βακτηρίαν, οἷς
81 προεφωδιάσθη. τρίτον δ' ἐπιφέρεσθαι μὲν οὐκ ἦν οὐδὲ προδιδάσκεσθαι,
ἔμελλε δ' ἐκπλήττειν οὐκ ἔλαττον τὴν ἀρχὴν τοῦ γίνεσθαι λαβὸν ἐν
Αἰγύπτῳ. ἦν δὲ τοιοῦτο· „τοῦ ποταμίου" φησίν „ὕδατος ὅσον ἂν
ἀρυσάμενος ἐπὶ τὴν γῆν ἐκχέῃς, αἷμα ξανθότατον ἔσται πρὸς τῇ χρόᾳ
82 καὶ τὴν δύναμιν ἑτεροιωθὲν εἰς ἀλλαγὴν παντελῆ." πιστὸν δ' ὡς
ἔοικε καὶ τοῦτ' ἀνεφαίνετο, οὐ μόνον διὰ τὸ τοῦ λέγοντος ἀψευδές, ἀλλὰ
καὶ διὰ τὰ ἤδη προεπιδειχθέντα ἐπί τε τῆς χειρὸς καὶ τῆς βακτηρίας
83 θαυματουργήματα. πιστεύων δ' ὅμως παρῃτεῖτο τὴν χειροτονίαν

---

1 ἤδη GHP: om. ceteri  2 τε om. M  4 μετεστοιχειοῦτο G: ἀνεστοιχειοῦτο ceteri (v)  5 ἀμφοτέρας τὰς μεταβολὰς transp. CVO  6 διακρῖναι VO  πληχθείσης CVOGHP: πληγείσης ceteri  11 χροιὰν K¹Z  ἀποβαλοῦσα G  12 διδασκάλου HPV²O(v)  γνώριμα V²O  13 alt. τὴν GHP: om. ceteri  14 προεφοδιάσθη GP, προσεφωδιάσθη A  ἐπιφαίνεσθαι P  15 δὲ A  οὐκ ἔλαττον om. O  τὴν om. VOHPKZ  τὴν τοῦ γενέσθαι ἀρχὴν transp. A  γενέσθαι BEMA(v)  λαβὼν V¹GP¹KZ  16 τοιοῦτον GHO  ἂν] ἐὰν GHP, om. ceteri  17 τῆς γῆς P  ἐκχέεις AVO  χροιᾷ K¹Z  18 παντελῆ. πιστὸν GHP: παντέλπιστον CVOBEMZ, παντέλπιστον πανάληθες δὲ ὡς ἔπρεπεν K, παντάπιστον A  δὲ MA  19 τοῦτο A  20 προεπιδειχθέντα GHP: ἐπιδειχθέντα ceteri  21 θαυμασιουργήματα BEMVKZ

---

21 sqq. *Origenes in Exod. Homil. III 1 (t. IX p. 22 Lomm.)*: ubi coepit audire vocem dei et eloquia divina suscipere, tunc sensit exilem et gracilem vocem suam tardamque et impeditam esse suam intellegit linguam; tunc se pronuntiat mutum, cum coepit agnoscere verum illud verbum ... at si ipsum quis contempletur divinum verbum, ... ipse apud deum mutum se animal profitebitur ... omnes enim homines ad comparationem verbi divini non solum ineloquentes, sed et muti putandi sunt.

ἰσχνόφωνον καὶ βραδύγλωσσον, οὐκ εὔλογον, αὐτὸν εἶναι φάσκων καὶ μάλιστ' ἀφ' οὗ λέγοντος ἤκουε θεοῦ· νομίσας γὰρ τὴν ἀνθρωπίνην λογιότητα κατὰ σύγκρισιν τῆς θείας ἀφωνίαν εἶναι καὶ ἅμα τὴν φύσιν
p. 94 M. εὐλαβὴς ὢν ὑπεστέλλετο | τοῖς ὑπερόγκοις, τὰ λίαν μεγάλα κρίνων οὐ καθ' αὑτόν, καὶ παρεκάλει ἕτερον ἑλέσθαι τὸν εὐμαρῶς ἕκαστα τῶν ἐπισταλέντων διαπράξασθαι δυνησόμενον. ὁ δ' ἀποδεξάμενος αὐτὸν 84
τῆς αἰδοῦς „ἆρά γε ἀγνοεῖς" εἶπε „τὸν δόντα ἀνθρώπῳ στόμα καὶ κατασκευάσαντα γλῶτταν καὶ ἀρτηρίαν καὶ τὴν ἅπασαν λογικῆς φωνῆς ὀργανοποιίαν; αὐτός εἰμι ἐγώ. μηδὲν οὖν δείσῃς· ἐμοῦ γὰρ ἐπινεύσαντος ἀρθρωθήσεται πάντα καὶ μεταβαλεῖ πρὸς τὸ μέτριον, ὡς μηδενὸς ἔτι ἐμποδίζοντος ῥεῖν εὔτροχον καὶ λεῖον ἀπὸ καθαρᾶς πηγῆς τὸ τῶν λόγων νᾶμα. χρεία δ' εἰ γένοιτο ἑρμηνέως, ὑποδιακονικὸν στόμα τὸν ἀδελφὸν ἕξεις, ἵν' ὁ μὲν τῷ πλήθει ἀπαγγέλλῃ τὰ ἀπὸ σοῦ, σὺ δ' ἐκείνῳ τὰ θεῖα."

(15.) Ταῦτ' ἀκούσας — οὐ γὰρ ἦν εἰς ἅπαν ἀντιλέγειν ἀσφαλὲς 85
οὐδ' ἀκίνδυνον — ἄρας ἐβάδιζε μετὰ γυναικὸς καὶ τέκνων ὁδὸν τὴν ἐπ' Αἴγυπτον, καθ' ἣν ὑπαντήσαντα τὸν ἀδελφὸν πείθει συνακολουθεῖν ὑπειπὼν τὰ θεῖα λόγια· τῷ δ' ἄρα προϋπείργαστο ἡ ψυχὴ κατ' ἐπιφροσύνην θεοῦ πρὸς πειθαρχίαν, ὡς ἀνενδοιάστως συναινεῖν καὶ ἑτοίμως ἕπεσθαι. παραγενόμενοι δ' εἰς Αἴγυπτον γνώμῃ καὶ ψυχῇ μιᾷ τὸ μὲν 86
πρῶτον τοὺς δημογέροντας τοῦ ἔθνους συναγαγόντες ἐν ἀπορρήτῳ μηνύουσι τοὺς χρησμοὺς καὶ ὡς ἔλεον καὶ οἶκτον λαβὼν αὐτῶν ὁ θεὸς ἐλευθερίαν καὶ τὴν ἐνθένδε μετανάστασιν εἰς ἀμείνω χώραν ὁμολογῶν

---

1 pr. καὶ GHP: om. ceteri   εὔλογον] εὔγλωττον GH², εὔλαλον V²OK²   αὐτὸν CBMGPKZ   2 μάλιστα MA   ἤκουσε V²   νομίσαι HPO   3 λογιότητα GHP: νηπιότητα ceteri   θείας Mang.: ἀληθείας codd.   καὶ ἅμα om. Z   4 ὑπεστέλλετο GHPV²O: ὑπέστελλε ceteri   τὰ corr. in ταῦτα V, ταῦτα O   οὐ CV¹GHP: om. O, ἢ ceteri   5 καθ' αὑτόν GHP: κατ' αὐτόν ceteri (v)   6 ἐπιταγέντων V²O   δυνησόμενον GHP: δυνάμενον ceteri   7 ἄρ' A   γε KZ: om. ceteri   εἶπεν CBE   9 ἐγώ om. M   ἐπιπνεύσαντος vel ἐμπνεύσαντος coni. Mang.   10 μέτριον GHP: βέλτιον ceteri (v)   ὡς GHP: om. ceteri   ἔτι om. M   11 ῥεῖν] ῥεύσειν coni. Mang.   12 λόγων] λογισμῶν GHP   13 ἀπαγγέλλει G, ἀπαγγέλλοι A   ἀπὸ GHP: ὑπὸ ceteri   σὺ] σοὶ G   δὲ C   15 ταῦτα C, τοῦτ' HP   εἰσάπαν AKZ   ἀσφαλὲς ἀντιλέγειν transp. A(v)   16 οὐδὲ C   ἄρας] δρὰς C   τῆς γυναικὸς K   ἐπ' GHP: κατ' ceteri (v)   17 ἀπαντήσαντα VOK²
γρ. ὑπειπὼν
18 ὑπὸ τῶν (sic) K   18. 19 κατ' ἐπὶ σωφροσύνην V¹   19 θεοῦ GHP: θείαν ceteri   συναινεῖν] συνιέναι V²OK²   22 ὡς] εἰς M   αὐτῶν λαβὼν transp. G   23 τὴν] τῶν HP   μετάστασιν MG

87 αὐτὸς ἔσεσθαι τῆς ὁδοῦ ἡγεμὼν ὑπισχνεῖται. μετὰ δὲ ταῦτα καὶ τῷ
βασιλεῖ θαρροῦσιν ἤδη διαλέγεσθαι περὶ τοῦ τὸν λεὼν ἱερουργήσοντα
ἐκπέμψαι τῶν ὅρων· δεῖν γὰρ ἔφασκον ἐν ἐρήμῳ τὰς πατρίους θυσίας
ἐπιτελεσθῆναι, μὴ κατὰ τὰ αὐτὰ ταῖς τῶν ἄλλων ἀνθρώπων γινομένας,
ἀλλὰ τρόπῳ καὶ νόμῳ διαφεύγοντι τὴν κοινότητα διὰ τὰς τῶν ἐθῶν
88 ἐξαιρέτους ἰδιότητας. ὁ δ' ἐξ ἔτι σπαργάνων προγονικῷ τύφῳ τὴν
ψυχὴν πεπιεσμένος καὶ μηδένα τὸ παράπαν νοητὸν θεὸν ἔξω τῶν ὁρατῶν
νομίζων ἀποκρίνεται πρὸς ὕβριν εἰπών· „τίς ἐστιν οὗ χρή με ὑπακούειν;
οὐκ οἶδα τὸν λεγόμενον τοῦτον καινὸν κύριον· οὐκ ἐξαποστέλλω τὸ ἔθνος ἐπὶ
89 προφάσει ἑορτῆς καὶ θυσιῶν ἀφηνιάσον“ (cf. Exod. 5,2). εἶθ' ἅτε χαλεπὸς
καὶ βαρύμηνις καὶ ἀπαραίτητος τὴν ὀργὴν κελεύει τοὺς τοῖς ἔργοις ἐφεστῶτας
προπηλακίζεσθαι ὡς ἀνέσεις καὶ σχολὴν ἐνδιδόντας, ἀνέσεως καὶ σχολῆς
εἶναι λέγων τὸ βουλεύεσθαι περὶ θυσιῶν καὶ ἑορτῶν· τοὺς γὰρ ἐν ἀνάγκαις
τούτων οὐδὲ μεμνῆσθαι, ἀλλ' οἷς ὁ βίος ἐν εὐπαθείᾳ πολλῇ καὶ τρυφῇ.
90 βαρυτέρας οὖν ἢ πρότερον συμφορὰς ὑπομενόντων καὶ ἐπὶ τοῖς ἀμφὶ
Μωυσῆν δυσχεραινόντων ὡς | ἀπατεῶσι καὶ τὰ μὲν λάθρα τὰ δὲ φανερῶς p. 95 M.
κακηγορούντων καὶ ἀσεβείας αἰτιωμένων ἐπὶ τῷ δοκεῖν θεοῦ κατεψεῦσθαι,
δεικνύειν ἄρχεται Μωυσῆς ἃ προὐδιδάχθη τέρατα, νομίσας τοὺς θεασο-
μένους ἐκ τῆς ἐπεχούσης ἀπιστίας εἰς πίστιν τῶν λεγομένων μεταβαλεῖν.
91 ἡ δὲ τῶν τεράτων ἐπίδειξις ἐγένετο καὶ τῷ βασιλεῖ διὰ σπουδῆς καὶ
τοῖς ἐν τέλει τῶν Αἰγυπτίων. (16.) πάντων οὖν τῶν δυνατῶν συρρυ-
έντων εἰς τὰ βασίλεια, λαβὼν τὴν βακτηρίαν ὁ Μωυσέως ἀδελφὸς καὶ
κατασείσας μάλα ἐπιδεικτικῶς εἰς τοὔδαφος ῥίπτει· καὶ ἡ μὲν δράκων

---

1 αὐτὸς VO: αὐτῆς Z, αὐτοῖς ceteri  2 λαὸν P  ἱερουργήσαντα $V^{1}H^{1}P$  3 ἐν ἐρημίᾳ $VOK^{2}$  4 γινομένας $GV^{2}O$: γινομέναις ceteri (γενομέναις v)  5 νόμω καὶ τρόπω transp. Z  διαφέροντι VO  τῆς κοινότητος $V^{2}O$  ἐθνῶν BKZVOH  6 ἰδιότας (sic) C  ὁδ' Z  προγονικῶ CG: προγονικῶν ceteri  7 ἔξω τῶν ὁρατῶν νοητὸν θεὸν transp. KZ  9 ἐξαποστέλλω $V^{1}GHP$: ἐξαποστελῶ $CV^{2}O$, ἀποστέλλω ceteri  10 ἑορτῶν Z  ἀφηνιάσοντα BEM, ἀφηνιάσοντας C  11 τὴν] εἰς GHP, om. CVO  12 post ὡς add. εἰς $G^{2}HP$  13 τοὺς] τοῖς BEMA  14 οὐδὲν KZ  πολλῇ om. A  15 ἐπὶ om. M  16 post δὲ add. καὶ HP  17 κατηγορούντων $VOG^{1}$  ἀσεβείας Mang.: ἀσέβειαν codd.  τῷ] τὸ C  κατεψεῦσθαι GHP: καταψεύδεσθαι ceteri  18 δεικνύειν GHP: διακονεῖν ceteri  18. 19 θεασομένους VOGHP θεασαμένους ceteri  19 εἰς τὴν πίστιν H  20 post βασιλεῖ add. αὐτῶ GHP  21 δυναστῶν coni. Mang.  21. 22 συρρεόντων G  22 μωυσέως VG: μωϋσοῦ C, μωσέως ceteri  23 ῥιπτεῖ BEMA, ῥύπτει G

---

1 sqq. Exod. cap. 5  20 sqq. Exod. 7, 10 sqq.

αὐτίκα γίνεται, οἱ δ' ἐν κύκλῳ κατεθεῶντο καὶ ἅμα θαυμαστικῶς ἔχοντες
ὑπὸ δέους ἐξαναχωροῦντες ἀπέφευγον. σοφισταὶ δ' ὅσοι καὶ μάγοι παρε- 92
τύγχανον „τί καταπλήττεσθε;" εἶπον· „οὐδ' ἡμεῖς τῶν τοιούτων ἀμελετήτως ἔχομεν, ἀλλὰ χρώμεθα τέχνῃ δημιουργῷ τῶν ὁμοίων." εἶθ' ἑκάστου βακτηρίαν ἣν εἶχε ῥίψαντος, δρακόντων πλῆθος ἣν καὶ περὶ ἕνα
τὸν πρῶτον εἱλοῦντο. ὁ δ' ἐκ πολλοῦ τοῦ περιόντος διαναστὰς πρὸς 93
ὕψος τὰ μὲν στέρνα εὐρύνει, τὸ δὲ στόμα διοίξας ὁλκοῦ πνεύματος ῥύμῃ βιαιοτάτῃ καθάπερ βόλον ἰχθύων πάντας ἐν κύκλῳ σαγηνεύσας ἐπισπᾶται
καὶ καταπιὼν εἰς τὴν ἀρχαίαν φύσιν τῆς βακτηρίας μετέβαλεν. ἤδη 94
μὲν οὖν ἐν ἑκάστου τῇ ψυχῇ τῶν ἐθελοκακούντων τὸ ὕποπτον διήλεγξεν ἡ μεγαλουργηθεῖσα ὄψις, ὡς μηκέτι νομίζειν ἀνθρώπων σοφίσματα καὶ τέχνας εἶναι τὰ γινόμενα πεπλασμένας πρὸς ἀπάτην. ἀλλὰ δύναμιν θειο-
τέραν τὴν τούτων αἰτίαν, ᾗ πάντα δρᾶν εὐμαρές. ἐπεὶ δὲ καὶ ὁμολογεῖν 95
ἀναγκασθέντες ὑπὸ τῆς τῶν γινομένων ἐμφανοῦς ἐναργείας οὐδὲν ἧττον ἐθρασύνοντο, τῆς αὐτῆς ἀπανθρωπίας καὶ ἀσεβείας ὥσπερ ἀγαθοῦ τινος ἐπειλημμένοι βεβαιοτάτου, μήτε τοὺς καταδουλωθέντας ἀδίκως ἐλεοῦντες μήτε τὰ διὰ τῶν λόγων προσταττόμενα δρῶντες, ἅτε δὴ τοῦ θεοῦ τρανοτέραις χρησμῶν ἀποδείξεσι ταῖς διὰ σημείων καὶ τεράτων τὸ βούλημα δεδηλωκότος, ἐμβριθεστέρας ἐπανατάσεως ἐδέησε καὶ πληγῶν ἑσμοῦ, αἷς οἱ ἄφρονες νουθετοῦνται, οὓς λόγος οὐκ ἐπαίδευσε.

1 καταθεῶντο C ἔχοντες] ἄγοντες A 2 ἔξω χωροῦντες BEMAKZ, ἐξανεχώρουν HP ἀπέφυγον CVO, ἔφευγον G, om. HP 3 καταπλήττεσθαι G 5 ἣν om. G καὶ] οἳ coni. Mang. 6 εἰλοῦντο BEV δὲ VO 7 διανοίξας VO Cat. 8 βιαιοτάτου K βόλος vel βόλους Cat., ἀμφιβόλῳ V²O 9 τῆς] τὰς V²O μετέβαλλεν H 9. 10 οὕτως μὲν οὖν ἑκάστου τοῦτο τεθεαμένου τῶν ἐθελοκακούντων Cat. 12 τέχνας] τεχνάσματα Cat. codd. nonnulli πεπλασμένα Cat. 12. 13 θειοτάτην A (Turn.) 13 ἐπεὶ GHP: ἐπειδὴ ceteri καὶ CVOHP: om. ceteri 14 ἐναργείας C² (coni. Mang.): ἐνεργείας ceteri 16 ἐνειλημμένοι C (et V¹ ut vid.), ἀντειλημμένοι V²OK²G, ἀντιλαμβανόμενοι mg. O βεβαιότητος K, βεβαιότητα Z, βιαιοτάτου BEMA 17 λόγων] λογίων coni. Mang. προσταττόμενοι A 18 ἐπιδείξεσι A(v) τὸ βούλημα] βούλημα in fine pag. om. B, τὸ in τοῦτο corr. m. alt., τοῦτο M 19 ἐπανατάσεως Mang.: ἐπαναστάσεως codd. ἐδέησεν CB 19. 20 ἑσμοῦ, αἷς Cat.: αἷς μόναις GHP, αἷς μόνον KZ, ἑσμοῦ (om. αἷς) ceteri 20 οἱ om. Cat. ἐπαίδευσεν CB Cat.

6—13 Catena in Exod. 7,12 (Cat. Lips. I p. 629) Φίλωνος ἑβραίου: ἐκ πολλοῦ τοῦ περιόντος διαναστὰς πρὸς ὕψος ὁ ἐκ τῆς ῥάβδου Μωυσέως γενόμενος δράκων τὰ μὲν στέρνα εὐρύνει — δρᾶν εὐμαρές. 10—13 *Procop. Gaz. Comment. in Exod. 7,12* (Migne t. 87,1 Col. 543 Wendland Neu entd. Fragm. Philos p. 93): ταῦτα διήλεγξε τὰ σοφίσματα καὶ τὰς πεπλασμένας τέχνας πρὸς ἀπάτην ἡ καταπιοῦσα ῥάβδος τοῦ Ἀαρὼν τὰς τῶν μάγων ὡς ἀπὸ θειοτέρας ποιήσασα τοῦτο δυνάμεως. 17—20 Catena in Exod. 7,13 (Cat. Lips. I p. 630) Φίλωνος ἑβραίου: ἅτε δὴ—ἐπαίδευσεν.

96 Δέκα δὲ ἐπάγονται τῇ χώρᾳ τιμωρίαι, κατὰ τῶν τέλεια ἡμαρτηκότων
τέλειος ἀριθμὸς κολάσεως· ἦν δὲ κόλασις παρηλλαχυῖα τὰς ἐν ἔθει.
(17.) τὰ γὰρ στοιχεῖα τοῦ παντός, γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ πῦρ, ἐπι-
τίθενται, | δικαιώσαντος θεοῦ, οἷς ἀπετελέσθη ὁ κόσμος, τὴν ἀσεβῶν p. 96 M.
χώραν φθαρῆναι, πρὸς ἔνδειξιν κράτους ἀρχῆς ᾗ κέχρηται, τὰ αὐτὰ καὶ
σωτηρίως ἐπὶ γενέσει τῶν ὅλων σχηματίζοντος καὶ τρέποντος ὁπότε
97 βουληθείη πρὸς τὴν κατὰ τῶν ἀσεβῶν ἀπώλειαν. διανέμει δὲ τὰς κολάσεις,
τρεῖς μὲν τὰς ἐκ τῶν παχυμερεστέρων στοιχείων γῆς καὶ ὕδατος, ἐξ ὧν
ἀπετελέσθησαν αἱ σωματικαὶ ποιότητες, ἐφεὶς τῷ Μωυσέως ἀδελφῷ,
τὰς δ' ἴσας ἐξ ἀέρος καὶ πυρὸς τῶν ψυχογονιμωτάτων μόνῳ Μωυσεῖ,
μίαν δὲ κοινὴν ἀμφοτέροις ἑβδόμην ἐπιτρέπει, τρεῖς δὲ τὰς ἄλλας εἰς
98 συμπλήρωσιν δεκάδος ἀνατίθησιν αὑτῷ. καὶ πρώτας ἐπιφέρειν ἄρχεται
τὰς ἀφ' ὕδατος· ἐπειδὴ γὰρ τὸ ὕδωρ Αἰγύπτιοι διαφερόντως ἐκτετιμήκασιν
ἀρχὴν τῆς τῶν ὅλων γενέσεως τοῦτ' εἶναι νομίζοντες, αὐτὸ πρῶτον
ἠξίωσε καλέσαι πρὸς τὴν τῶν ἀποδεχομένων ἐπίπληξίν τε καὶ νουθεσίαν.

---

1 δ' AGHP, om. Cat. τελείως Cat. codd. nonnulli ἡμαρτημένων HP 2 κολάσεως om. Cat.; vel delendum vel scrib. κολάσεων censuit Mang. ἦν scripsi: ἡ codd. αἱ δὲ κολάσεις παρηλλαχυῖαι coni. Mang. ἔθει ἔθνει K 3 πῦρ καὶ ἀὴρ transp. KZ 4 τοῦ θεοῦ K 6 γενέσει corr. ex γεννήσει K 7 βουληθῇ A τῶν om. AGHP 8 τὰς om. VOG τῶν om. V[1], ss. V[2] 9 αἱ σωματικαὶ] καὶ σώματι καὶ A πιότητες Z μωϋσέος M, μωσέως AKZ ἀδελφῷ mg. P, ἄνω (i. e ἀνθρώπω) in textu P 10 ἀέρων G μωϋσεῖ CV[1]OHP: μωϋσῇ ceteri 11 κοινὴν CGHPK[1]Z: κοινωνεῖν ceteri ἀμφοτέραις O ἑβδόμην GHP: ἑπτὰ VO, om. ceteri 12 αὐτῷ codd. 13 ἀφ'] ἐφ' A (ἐξ v) 14 τοῦτο A 15 ἠξίωσεν Z, ἠξίωσαι K καλέσαι] κολάσαι A (prob. Mang.) ἔκπληξιν C

---

1. 2 ibid. Φίλωνος ἑβραίου: δέκα ἐπάγονται τῇ χώρᾳ πληγαί, κατὰ τῶν τελείως (τέλεια Monac. 9) ἡμαρτηκότων τέλειος ἀριθμός. προλέγει ὁ Μωσῆς τὰς πληγὰς καὶ τὸν καιρόν, ἵνα μὴ δόξῃ τοῖς πολλοῖς αὐτομάτως γίνεσθαι. 1 — 14 *Procop. Gaz. Comment. in Exod. 7,12* (Migne t. 87,1 Col. 545. 546 Wendland l. l.): δέκα δὲ ἐπάγονται τῇ χώρᾳ τιμωρίαι, κατὰ τῶν τέλεια ἡμαρτηκότων τέλειος ἀριθμὸς κολάσεως. ἡ δὲ κόλασις παραλλάττει τὰς ἐν ἔθει, δικαιώσαντος θεοῦ διὰ στοιχείων, οἷς ὁ κόσμος συνέστη, τὴν ἀσεβῶν φθείρεσθαι χώραν, πρὸς ἔνδειξιν κράτους ἀρχῆς. τρεῖς μὲν οὖν πληγὰς τὰς ἐκ τῶν παχυτάτων στοιχείων, γῆς καὶ ὕδατος, ὁ Μωυσέως ἀδελφὸς ἐπιτρέπεται, τὰς δὲ ἴσας ἐξ ἀέρος καὶ πυρὸς μόνος ὁ Μωυσῆς, μίαν δὲ κοινὴν ἄμφω τὴν ἑβδόμην, τὰς δὲ τρεῖς τὰς ἄλλας εἰς συμπλήρωσιν δεκάδος ἑαυτῷ θεὸς ἀνατίθησι. καὶ πρώτας ἐπιφέρειν ἄρχεται τὰς ἐξ ὕδατος· ἐπεὶ γὰρ ὕδωρ Αἰγύπτιοι διαφερόντως ἐτίμησαν ἀρχὴν τῆς τῶν ὅλων γενέσεως εἶναι τοῦτο νομίσαντες . . . 7 *Origenes in Exod. Homil. IV 3 (t. IX p. 37 Lomm.)* Sed et illa non minus mihi intuenda videtur observatio, cum quaedam verbera Aaron inferre dicitur Pharaoni vel Aegypto, quaedam Moses, quaedam vero ipse Dominus.

τί οὖν οὐκ εἰς μακρὰν συνέβη; τοῦ Μωυσέως ἀδελφοῦ προστάξει θείᾳ 99
κατενεγκόντος τὴν βακτηρίαν ἐπὶ τὸν ποταμόν, ὁ μὲν εὐθὺς ἀπ' Αἰθιοπίας
ἄχρι θαλάσσης εἰς αἷμα τρέπεται, συνεξαιματοῦνται δ' αὐτῷ λίμναι,
διώρυχες, κρῆναι, φρέατα, πηγαί, σύμπασα ἡ κατ' Αἴγυπτον οὐσία
ὕδατος, ὡς ἀπορίᾳ ποτοῦ τὰ παρὰ ταῖς ὄχθαις ἀναστέλλειν, τὰς δ'
ἀνατεμνομένας φλέβας καθάπερ ἐν ταῖς αἱμορραγίαις κρουνηδὸν αὐλοὺς
ἀκοντίζειν αἵματος, μηδεμιᾶς ἐνορωμένης διαυγοῦς λιβάδος. ἐναπέθνησκε 100
δὲ καὶ τὰ γένη τῶν ἰχθύων ἅπαντα, ἅτε τῆς ζωτικῆς δυνάμεως εἰς
φθοροποιὸν μεταβαλούσης, ὡς δυσωδίας πάντα διὰ πάντων ἀναπεπλῆσθαι,
τοσούτων σηπομένων ἀθρόον σωμάτων· πολὺς δὲ καὶ ἀνθρώπων ὄχλος
ὑπὸ δίψους διαφθαρεὶς ἔκειτο σωρηδὸν ἐπὶ τῶν τριόδων, οὐ σθενόντων
ἐπὶ τὰ μνήματα τῶν οἰκείων τοὺς τετελευτηκότας ἐκκομίζειν. ἐπὶ γὰρ 101
ἡμέρας ἑπτὰ τὸ δεινὸν ἐκράτησεν, ἕως οἱ μὲν Αἰγύπτιοι τοὺς ἀμφὶ
Μωυσῆν, οὗτοι δὲ τὸν θεὸν ἱκέτευσαν, οἶκτον λαβεῖν τῶν ἀπολλυμένων·
ὁ δὲ τὴν φύσιν ἵλεως μεταβάλλει τὸ αἷμα εἰς ὕδωρ πότιμον ἀποδοὺς
τῷ ποταμῷ καθαρὰ τὰ ἀρχαῖα ῥεῖθρα καὶ σωτήρια. (18.) μικρὸν δὲ 102
ὅσον ἀνεθέντες ἐπὶ τὴν αὐτὴν ὠμότητα καὶ παρανομίαν ἵεντο, ὡς ἢ
τοῦ δικαίου παντάπασιν ἐξ ἀνθρώπων ἀφανισθέντος ἢ τῶν ὑπομεινάντων
μίαν τιμωρίαν δεύτερον οὐκ εἰωθότων ἐπιπλήττεσθαι· παθόντες δ' ἀνε-
διδάσκοντο νηπίων παίδων τρόπον μὴ καταφρονεῖν· ἡ γὰρ κόλασις
ἑπομένη κατ' ἴχνος μελλόντων μὲν ἐβράδυνε, πρὸς δὲ τὰ ἀδικήματα
p. 97 M. θέοντας ἐπιδραμοῦσα κατελάμβανε. πάλιν γὰρ ὁ Μωυσέως | ἀδελφὸς 103
κελευσθεὶς διώρυξι καὶ λίμναις καὶ ἕλεσι τὴν ῥάβδον ἐκτείνας ἐπιφέρει·
πρὸς δὲ τὴν ἔκτασιν βατράχων πληθὺς ἀνέρπει τοσαύτη, ὡς μὴ μόνον

---

1 τί] τοῦτο coni. Mang. μωσέως codd. 2 ἀπὸ AG 3 δὲ CVO 4 διώρυγες VO, διώρυ$^{γ}$χες K πηγαί om. BEMA 5 τὰ παρὰ ταῖς ὄχθαις CV$^1$GHPK$^1$Z: τὰς παρ' αὐταῖς ὄχθας V$^2$O, ταῖς (sic) παρ' αὐταῖς ὄχθας K$^2$, τὰς ὄχθας BEMA δὲ C 6 αὐλοὺς eras. V, om. O 7 διαυγῆς C$^1$, ἐναυγοῦς V$^1$ ut vid., ἐν αὐτοῖς V$^2$OK$^2$ 8 καὶ om. G πάντα CVO 9 μεταβαλλούσης BEMAHZ δι' ἁπάντων M 10 ἀθρόων HPKZ 14 ἱκέτευσαν GHP: ἱκέτευον ceteri 15 πότιμον] ποτάμιον BEMA 16 δ' AGHP 17 ὠμότατα M ἵεντο AK: ἴεντο ceteri 19 καὶ ante δεύτερον add. V$^2$O δευτέραν GK$^1$Z, δευτέρᾳ coni. Mang. οὐκ εἰωθότων] ἐθελόντων V$^2$OK$^2$ ἐπιπλήττεσθαι GHP: πλήττεσθαι ceteri παθόντες] πάντες VO 19. 20 ἂν ἐδιδάσκοντο A 21 μελόντων KZ 22 καταλαμβάνει HP μωσέως codd. 24 ἀνέρπει GHP: ἀνεῖρπε ceteri

---

1 sqq. Exod. 7, 19—25 22 sqq. Exod. 8,1—15

ἀγορὰς καὶ πᾶσαν τὴν ὕπαιθρον, ἀλλὰ πρὸς τούτοις ἐπαύλεις, οἰκίας,
ἱερά, πάντα ἰδιωτικὸν καὶ δημόσιον τόπον πεπληρῶσθαι, καθάπερ εἰς
ἀποικίαν ἓν γένος τῶν ἐνύδρων τῆς φύσεως ἐκπέμψαι διανοηθείσης πρὸς
104 τὴν ἐναντίαν χώραν· ἐναντία γὰρ χέρσος ὕδατι. μήτ' οὖν ἔξω προελθεῖν
ἕνεκα τοῦ προκατέχεσθαι τοὺς στενωποὺς μήτ' ἔνδον δυνάμενοι μένειν
— καὶ γὰρ τὰ ἐν μυχοῖς ἤδη προκατειλήφεσαν ἄχρι καὶ τῶν ὑψηλοτάτων
ἀνέρποντες — ἐν ἐσχάταις ἦσαν συμφοραῖς καὶ σωτηρίας ἀπογνώσει.
105 πάλιν οὖν καταφεύγουσιν ἐπὶ τοὺς αὐτούς, ὑποσχομένου τοῦ βασιλέως
ἐπιτρέψαι τὴν ἔξοδον Ἑβραίοις· οἱ δὲ λιταῖς τὸν θεὸν ἐξευμενίζονται·
καὶ ἐπινεύσαντος, τῶν φρύνων οἱ μὲν εἰς τὸν ποταμὸν ἀναχωροῦσι, τῶν
δ' εὐθὺς διαφθαρέντων κατὰ τὰς τριόδους θημῶνες ἦσαν, σωρηδὸν
ἐπιφερόντων καὶ τοὺς οἴκοθεν διὰ τὰς ἀνυποίστους ὀσμάς, αἳ ἐκ νεκρῶν
σωμάτων καὶ τοιούτων ἀνεφέροντο, ἃ καὶ ἔμψυχα ὄντα πολλὴν ἀηδίαν
106 παρέχεται ταῖς αἰσθήσεσι. (19.) διαπνεύσαντες δὲ τῆς τιμωρίας ἐπ'
ὀλίγον ὥσπερ ἐν τοῖς ἀγῶσιν ἀθληταὶ συλλεξάμενοι δύναμιν, ἵν' ἀπ'
ἐρρωμενεστέρας ἰσχύος ἀδικῶσι, πάλιν εἰς τὴν συνήθη κακίαν ἀνέδραμον
107 ἐκλαθόμενοι ὧν τέως ὑπέμειναν κακῶν. ἐπισχὼν δὲ τὰς ἐκ τοῦ ὕδατος
τιμωρίας ὁ θεὸς τὰς ἐκ γῆς ἐπέφερε τὸν αὐτὸν ἐπιστήσας κολαστήν, οὗ
πάλιν κατὰ τὸ προσταχθὲν τῇ βακτηρίᾳ τοὔδαφος παίσαντος φορὰ σκνιπῶν
108 ἐχύθη καὶ ταθεῖσα καθάπερ νέφος ἅπασαν ἐπέσχεν Αἴγυπτον. τὸ δὲ
ζῷον, εἰ καὶ βραχύτατον, ὅμως ἀργαλεώτατον· οὐ γὰρ μόνον λυμαίνεται
τὴν ἐπιφάνειαν κνησμοὺς ἐμποιοῦν ἀηδεῖς καὶ βλαβερωτάτους, ἀλλὰ καὶ
εἰς τἀντὸς βιάζεται διὰ μυκτήρων καὶ ὤτων· σίνεται δὲ καὶ κόρας

1 ἀγορὰς] ἀγροὺς coni. Mang. τὴν GHP: om. ceteri ὑπαίθριον GHP(v) 4 ἐναντίαν] τῶν ἐναντίων HP (Turn.) μήτε GHP 5 δυνάμενοι μένειν GHP: μένειν δυνάμενοι ceteri 6 τὰ om. P προκατειλήφεισαν HP(v) ὑψηλοτέρων O 7 ἐνέρποντες A 8 ἐπὶ τοὺς] εἰς BEMA 9 ἐξευμενίζοντο CBEMAK[1]Z 10 εἰς τὸν ποταμὸν om. A τὸν GHPV[2]O: om. ceteri 11 δὲ VO καταφθαρέντων (supra: δια) G θιμῶνες C 12 ἐπιφερομένων V[2]O τοὺς] τῶν V[2]O ὀδμάς KZ 14 ἀναπνεύσαντες coni. Mang. 15 ἵν' GHPKZ: om. ceteri 16 ἀδικῶσι GHPKZ: ἀδικοῦσι ceteri 17 ἐκλαθόμενοι om. A τὲ ὡς A ὑπέμειναν GHP: ὑπέμειναν (supra: ε) (sic) A, ὑπέμενον ceteri 18 ἐκ τῆς γῆς O ἐπιφέρει BEMAKZ 19 τοὔδαφος om. M σκνηπῶν H, σκνιφῶν CVOBEM 20 ἐχύθη GHP: ἐξεχύθη ceteri 21 βαρύτατον M ἀλλ' ὅμως Z post λυμαίνεται add. τῶν σωμάτων V[2]OK[2] 21. 22 τὴν ἐπιφάνειαν λυμαίνεται transp. H(v) 22 ἐμποιῶν A βλαβερωτάτας BEM 23 τἀντὸς] τ' ἀυτος (sic) C, τὰ ἐντὸς A, παντὸς G διὰ] μέχρι BEMA

17 sqq. Exod. 8,16—19 20—146,8 *Procop. Gaz. Comment. in Exod. 8,16* (Migne t. 87,1 Col. 555 Wendland Neu entd. Fragm. Philos. p. 94): οἱ δὲ λεπτότατοι σκνῖπες

ὀφθαλμῶν εἰσπετόμενον, εἰ μὴ φυλάξαιτό τις· φυλακὴ δὲ τίς ἔμελλε
πρὸς τοσαύτην ἔσεσθαι φοράν, καὶ μάλιστα θεοῦ κολάζοντος; ἴσως ἂν 109
τις ἐπιζητήσειε, διὰ τί τοῖς οὕτως ἀφανέσι καὶ ἠμελημένοις ζῴοις ἐτι-
μωρεῖτο τὴν χώραν παρεὶς ἄρκτους καὶ λέοντας καὶ παρδάλεις καὶ τὰ
ἄλλα γένη τῶν ἀτιθάσων θηρίων, ἃ σαρκῶν ἀνθρωπείων ἅπτεται, καὶ
εἰ μὴ ταῦτα, τὰς γοῦν Αἰγυπτίας ἀσπίδας, ὧν τὰ δήγματα πέφυκεν
ἀνυπερθέτως ἀναιρεῖν. εἰ δ' ὄντως ἀγνοεῖ, μαθέτω· πρῶτον μὲν ὅτι 110
τοὺς οἰκήτορας τῆς χώρας ὁ θεὸς νουθετῆσαι μᾶλλον ἐβούλετο ἢ δια-
p. 98 M. φθεῖραι· βουληθεὶς γὰρ ἀφανίζειν εἰς | ἅπαν οὐκ ἂν ζῴοις ἐχρῆτο πρὸς
τὰς ἐπιθέσεις ὥσπερ συνεργοῖς, ἀλλὰ τοῖς θεηλάτοις κακοῖς, λιμῷ τε
καὶ λοιμῷ. μετὰ δὲ ταῦτα κἀκεῖνο προσδιδασκέσθω μάθημα πρὸς 111
ἅπαντα τὸν βίον ἀναγκαῖον· τί δὲ τοῦτ' ἐστίν; ἄνθρωποι μὲν γὰρ ὅταν
πολεμῶσι, τὸ δυνατώτατον εἰς συμμαχίαν ἐπικουρικὸν ἐξετάζουσιν, ὃ
τὴν αὐτῶν ἀσθένειαν ἐκπλήσει· θεὸς δ' ἡ ἀνωτάτω καὶ μεγίστη δύναμις
ὧν οὐδενός ἐστι χρεῖος· ἐὰν δέ που βουληθῇ καθάπερ ὀργάνοις τισὶ

---

1 εἰσπετώμενον AZ δὲ] δὴ A 2 post ἴσως add. δ' V$^2$OK$^2$; ⟨οὖν⟩ ἂν coni. Wendl. 3 οὕτω A, οὕτως om. K$^1$Z ἀφανέσι καὶ om. A 4 ἄρκους C καὶ pr. et alt. om. VO τὰ om. BEMAKZ 4. 5 τἄλλα VO 5 ἀτιθάσων CBEKHP: ἀτιθάσσων ceteri post ἃ add. καὶ BEMAKZ ἀνθρωπίων G, ἀνθρωπίνων A 6 δείγματα GP 7 εἰ δ' ὄντως ἀγνοεῖ om. C εἰ δ'] ὅδ' K$^1$Z ὄντως] οὕτως V$^2$OK$^2$ ἀγνοεῖ GHP: ἀπορεῖ VOK$^2$, ἀναιρεῖ BEMA, om. K$^1$Z 8 τῆς χώρας om. L (Turn.) 10. 11 λοιμῷ τε καὶ λιμῷ transp. A 11 προδιδασκέσθω BEMA 12 δὲ] δαὶ BEM τοῦτ' CGHP: τοῦτό ceteri γὰρ VOGHPD: om. ceteri 13 δυνατώτερον H$^1$P ὀνομάζουσιν D$^R$ 14 ἐκπλήσσει BEAH$^1$P, ἐκπλήττει D, ἐκπληρώσει KZ ὁ θεὸς D δὲ VOD ἡ om. D ἀνωτάτη D 15 ὧν] ᾧ C, ὅς V$^2$O, ὧν ὅς K$^2$ οὐδενός ἐστι χρεῖος VOK$^2$: οὐδενὸς χρεία (corr. ex χρεῖος) ἐστίν D$^C$, οὐδενὸς ἐν χρείᾳ ἐστίν D$^R$, οὐδενὸς χρεῖος (om. ἐστι) CGHP, ᾧ οὐδενὸς χρεία K$^1$Z, om. BEMA δέ D: om. codd. που] περ A

---

ἀφανέσι δήγμασι τοὺς Αἰγυπτίους ἀλγύνουσι· δι' ὧν δείκνυται, ὡς οὐ καταφθεῖραι θεὸς παιδεῦσαι δὲ μόνον Αἰγυπτίους ἠβούλετο. ἢ γὰρ ἂν ἑρπετὰ καὶ θηρία κατὰ τούτων ἐκίνησε, μᾶλλον δὲ λιμόν τε καὶ λοιμόν. ἀλλ' οὐδὲ τοῖς μεγάλα δυναμένοις ζῴοις χρῆται πρὸς συμμαχίαν θεός, ὡς ἂν μὴ τῆς ἐκείνων δόξῃ δυνάμεως τὰ πραττόμενα, τοῖς δὲ λεπτοῖς καὶ ἀσθενέσιν ἀμάχους δυνάμεις ἐνίησιν, ὡς ὑπ' αὐτῶν ἀπαγορεῦσαι πᾶσαν τὴν Αἴγυπτον καὶ βοᾶν ἀναγκασθῆναι, ὅτι „δάκτυλος τοῦτο θεοῦ“· χεῖρα γὰρ θεοῦ μηδὲ τὸν σύμπαντα κόσμον ὑφίστασθαι. 4 cf. *Sap. Salom. 11,17 (18)* οὐ γὰρ ἠπόρει ἡ παντοδύναμός σου χεὶρ καὶ κτίσασα τὸν κόσμον ἐξ ἀμόρφου ὕλης ἐπιπέμψαι αὐτοῖς πλῆθος ἄ ρ κ ω ν ἢ θρασεῖς λ έ ο ν τ α ς. 12—146,4 D$^C$ fol. 126$^v$ τοῦ αὐτοῦ (Φίλωνος) ἐκ τοῦ αὐτοῦ λόγου (περὶ Μωυσέως βίου) D$^R$ fol. 120$^r$ τοῦ αὐτοῦ: ἄνθρωποι μὲν γὰρ — ἐγκατασκευάσας δι' αὐτῶν ἀμύνεται μὲν τοὺς ἀδικοῦντας, βοηθεῖ δὲ τοῖς ἀδικουμένοις.

χρήσασθαι πρὸς τὰς τιμωρίας, οὐ τὰ ἐρρωμενέστατα καὶ μέγιστα αἱρεῖται, τῆς τούτων ἀλκῆς ἥκιστα φροντίζων, ἀλλὰ τοῖς εὐτελέσι καὶ μικροῖς ἀμάχους καὶ ἀηττήτους δυνάμεις ἐγκατασκευάσας ἀμύνεται δι' αὐτῶν
112 τοὺς ἀδικοῦντας, καθὰ καὶ νῦν. τί γὰρ εὐτελέστερον σκνιπός; ἀλλ' ὅμως τοσοῦτον ἴσχυσεν, ὡς ἀπαγορεῦσαι πᾶσαν Αἴγυπτον καὶ ἐκβοᾶν ἀναγκασθῆναι, ὅτι „δάκτυλος θεοῦ τοῦτ' ἐστί" (Exod. 8,19)· χεῖρα γὰρ θεοῦ μηδὲ τὴν σύμπασαν οἰκουμένην ὑποστῆναι ἂν ἀπὸ περάτων ἐπὶ πέρατα, μᾶλλον δ' οὐδὲ τὸν σύμπαντα κόσμον.

113 (20.) Τοιαῦται μὲν αἱ διὰ τοῦ Μωυσέως ἀδελφοῦ τιμωρίαι· ἃς δὲ αὐτὸς Μωυσῆς ὑπηρέτησε καὶ ἐξ οἵων τῆς φύσεως συνέστησαν μερῶν, κατὰ τὸ ἀκόλουθον ἐπισκεπτέον. ἀὴρ μὲν οὖν καὶ οὐρανός, αἱ καθαρώταται μοῖραι τῆς τῶν ὅλων οὐσίας, παρ' ὕδατος καὶ γῆς διαδέχονται τὴν ἐπ' Αἰγύπτῳ νουθεσίαν, ἧς ἐπίτροπος ἐχειροτονήθη Μωυσῆς.
114 ἤρξατο δὲ πρότερον τὸν ἀέρα διακινεῖν· Αἴγυπτος γὰρ μόνη σχεδόν τι παρὰ τὰς ἐν τῷ νοτίῳ κλίματι χώρας τῶν ἐτησίων ὡρῶν μίαν τὴν χειμερινὴν οὐ παραδέχεται, τάχα μέν, ὡς λόγος, διὰ τὸ μὴ πόρρω ζώνης διακεκαυμένης εἶναι, ῥέοντος τοῦ πυρώδους ἐκεῖθεν ἀφανῶς καὶ τὰν κύκλῳ πάντα ἀλεαίνοντος, τάχα δὲ ἐπεὶ καὶ ταῖς θεριναῖς τροπαῖς
115 πλημμυρῶν ὁ ποταμὸς προαναλίσκει τὰς νεφώσεις — ἄρχεται μὲν γὰρ ἐπιβαίνειν θέρους ἐνισταμένου, λήγει δὲ λήγοντος, ἐν ᾧ χρόνῳ καὶ οἱ ἐτησίαι καταράττουσιν ἐξ ἐναντίας τῶν τοῦ Νείλου στομάτων, δι' ὧν ἔτι κωλυόμενος ἐκχεῖσθαι, τῆς θαλάσσης ὑπὸ βίας τῶν ἀνέμων πρὸς ὕψος αἱρομένης καὶ τὰς τρικυμίας ὥσπερ μακρὸν τεῖχος ἀποτεινούσης, ἐντὸς εἱλεῖται, κἄπειτα τῶν ῥείθρων ὑπαντιαζόντων τοῦ τε κατιόντος

---

1 ἐρρωμενέστερα GZD^R 2 τῆς τῶν ἀλκῆς ἥκιστα φροντιζόντων D^C τούτων om. D^R εὐτελεστέροις D (τερον) καὶ μικροῖς om. D 4 εὐτελέστατον G σκνηπός G 5 ὡς GHP: ὥστ' KZ, ὥστε ceteri 6 θεοῦ τοῦτ'] αὐτοῦ τ' Z 8 δὲ VOKZ 9 τοιαῦτα (sic) Z μωϋσέος KO, μωσέως MAΠ, μωσέος P 10 μωυσῆς αὐτὸς transp. CVO 11 καὶ ante αἱ add. BEMAKZ 12 παρὰ C καὶ om. V^1, add. V^2 13 ἐπ' αἰγύπτω GHPKZ: ἐπ' αἴγυπτον ceteri μωσῆς O 14 μετακινεῖν G (δια) 15 τῷ om. GHP δρῶν G 17 post ζώνης add. τῆς V^2O (fort. recte) κεκαυμένης BEMA post ῥέοντος add. γὰρ CBEM ἐκεῖθεν τοῦ πυρώδους transp. BEMAKZ ἀφανῶς] ἀφθόνως coni. Mang. 18 ἀλεαίνοντος GHP: λεαίνοντος BEMAVO, αὑαίνοντος CKZ 19 πλημμυρῶν scripsi (cf. § 202): πλημμύρων HPKZ, πλημύρων G, πληθύνων ceteri προσαναλίσκει A μὲν om. BEAKZ, μὲν γὰρ om. M 20 θέρους om. A 20. 21 αἱ ἐτησίαι VO, αἱ ἐτήσιοι KZ, ὑετισίαι B, ὑετίαι M 21 καταράττουσιν CGHOZ: καταρράττουσιν ceteri (v) post καταράττουσι add. καὶ οἱ GHP 24 εἰλεῖται BEVOHPZ

ἄνωθεν ἀπὸ τῶν πηγῶν καὶ τοῦ θύραζε χωρεῖν ὀφείλοντος ταῖς ἀνακο-
παῖς ἀνατρέχοντος εὐρύνεσθαί τε μὴ δυναμένων (αἱ γὰρ παρ' ἑκάτερα
ἐκθλίβουσιν ὄχθαι), μετεωριζόμενος ὡς εἰκὸς ἐπιβαίνει —, τάχα δ' 116
ἐπεὶ καὶ περιττὸν ἦν ἐν Αἰγύπτῳ χειμῶνα γενέσθαι· πρὸς ὃ γὰρ αἱ
τῶν ὄμβρων φοραὶ χρήσιμοι, καὶ ὁ ποταμὸς λιμνάζων τὰς ἀρούρας εἰς
καρπῶν ἐτησίων γένεσιν. ἡ δὲ φύσις οὐ ματαιουργός, ὡς ὑετὸν χορη- 117
p. 99 M. γεῖν μὴ δεομένῃ γῇ, καὶ | ἅμα χαίρει τῷ πολυτρόπῳ καὶ πολυσχιδεῖ
τῶν ἐπιστημονικῶν ἔργων τὴν συμφωνίαν τοῦ παντὸς ἐξ ἐναντιοτήτων
ἐναρμοσαμένη· καὶ διὰ τοῦτο τοῖς μὲν ἄνωθεν ἐξ οὐρανοῦ τοῖς δὲ
κάτωθεν ἐκ πηγῶν τε καὶ ποταμῶν παρέχει τὴν ἐξ ὕδατος ὠφέλειαν.
οὕτως οὖν τῆς χώρας διακειμένης καὶ ταῖς χειμεριναῖς ἐαριζούσης 118
τροπαῖς καὶ τῶν μὲν πρὸς θαλάττῃ μόναις ψεκάσιν ἀραιαῖς λιπαινομένων,
τῶν δ' ὑπὲρ Μέμφιν, τὸ βασίλειον Αἰγύπτου, μηδὲ νιφομένων τὸ παρά-
παν, ἐξαίφνης οὕτως ἐνεωτέρισεν ὁ ἀήρ, ὥσθ' ὅσα ἐν τοῖς δυσχειμέροις
ἀθρόα κατασκῆψαι, φορὰς ὑετῶν, χάλαζαν πολλὴν καὶ βαρεῖαν, ἀνέμων
συμπιπτόντων καὶ ἀντιπαταγούντων βίας, νεφῶν ῥήξεις, ἐπαλλήλους
ἀστραπὰς καὶ βροντάς, κεραυνοὺς συνεχεῖς, οἳ τερατωδεστάτην ὄψιν
παρείχοντο· θέοντες γὰρ διὰ τῆς χαλάζης, μαχομένης οὐσίας, οὔτε
ἔτηκον αὐτὴν οὔτε ἐσβέννυντο, μένοντες δ' ἐν ὁμοίῳ καὶ δολιχεύοντες
ἄνω καὶ κάτω διετήρουν τὴν χάλαζαν. ἀλλ' οὐ μόνον ἡ ἐξαίσιος φορὰ 119
πάντων τοὺς οἰκήτορας εἰς ὑπερβαλλούσας δυσθυμίας ἤγαγεν, ἀλλὰ καὶ

1 τοῦ om. A post ὀφείλοντος add. καὶ HP 1. 2 post ἀνακοπαῖς add. δ' V²O 2 εὐρύνεται καὶ μὴ δυνάμενος συστέλλεσθαι V²O 3 ἐκθλίβουσιν GHP: θλίβουσιν ceteri 4 ἐν om. Mang. γίνεσθαι V²O 5 καὶ om. V¹, add. V² 6 καρπὸν A 7 δεομένης γῆς VO, δυναμένῃ γῇ K¹ τῇ γῇ G πολυσχεδεῖ CV¹A 9 ἁρμοσαμένῃ VOKZ 10 παρέχων A 11 ἐαριζούσαις Z 12 πρὸς] ἐν BEMAKZ θαλάσσῃ (ττ superscr.) Z μόναις] μόνον Cat., μόλις K¹Z ψαικάσιν Z 13 δὲ Cat. ἔνθα τὸ βασίλειον Cat. νιφομένων (ει superscr.) A, νειφομένων GHP τὸ om. A 14 ταῖς δυσχειμερίαις Cat. 15 ἀθρόας V²O χάλαζαν GHP: καὶ χάλαζαν ceteri βαρεῖαν] βαθεῖαν GHP Cat. 16 βίας GHP (et V¹ ut vid.): βίαν C, βία ceteri ἀλλεπαλλήλους KZ (Cat. Monac. 9) 17 καὶ om. GHP Cat. συνεχεῖς κεραυνούς transp. HP τερατωδεστέραν O Cat. 18 θέοντες] αἴθοντες V²OK² μαχομένην οὐσίαν VO οὔτ' A 19 ἔτεκον Z, ἔτεμον Cat. οὔτ' A δὲ BEM Cat. 20. 21 ἁπάντων φορὰ CVO 21 ὑπερβαλούσας MG δυσφημίας A ἧγεν GHP καὶ om. H¹P

11 sqq. Exod. 9,22 sqq. 11—20 Catena in Exod. 9,24 (Cat. Lips. I p. 652) Φίλωνος ἑβραίου: τῆς Αἰγύπτου δὲ τῆς χειμερινῆς ἐαριζούσης τροπῆς (sic), τῶν μὲν πρὸς θαλάττῃ — διετήρουν τὴν χάλαζαν.

τὸ τοῦ πράγματος ἄηθες· ὑπέλαβον γάρ, ὅπερ καὶ ἦν, ἐκ μηνιμάτων
θείων κεκαινουργῆσθαι τὰ συμβάντα, νεωτερίσαντος ὡς οὔπω πρότερον
τοῦ ἀέρος ἐπὶ λύμῃ καὶ φθορᾷ δένδρων τε καὶ καρπῶν, οἷς συνεφθάρη
ζῷα οὐκ ὀλίγα, τὰ μὲν περιψύξεσι, τὰ δὲ βάρει τῆς ἐπιπιπτούσης
χαλάζης ὥσπερ καταλευσθέντα, τὰ δ' ὑπὸ τοῦ πυρὸς ἐξαναλωθέντα·
ἔνια δ' ἡμίφλεκτα διέμενε τοὺς τύπους τῶν κεραυνίων τραυμάτων εἰς
120 νουθεσίαν τῶν ὁρώντων ἐπιφερόμενα. (21.) λωφήσαντος δὲ τοῦ κακοῦ
καὶ πάλιν τοῦ βασιλέως καὶ τῶν περὶ αὐτὸν θρασυνομένων, εἰς τὸν
ἀέρα Μωυσῆς τὴν ῥάβδον ἐκτείνει, κελεύσαντος τοῦ θεοῦ. κἄπειτ'
ἄνεμος καταράττει, νότος βιαιότατος, ὅλην τὴν ἡμέραν καὶ νύκτα προσ-
επιτεινόμενος καὶ σφοδρυνόμενος, αὐτὸς καθ' αὑτὸν ὢν μεγάλη ζημία·
ξηρός τε γάρ ἐστι καὶ κεφαλαλγὴς καὶ βαρυήκοος, ἄσας τε καὶ ἀδημονίας
ἐμποιεῖν ἱκανός, καὶ μάλιστ' ἐν Αἰγύπτῳ κειμένῃ κατὰ τὰ νότια, δι'
ὧν αἱ περιπολήσεις τῶν φωσφόρων ἀστέρων, ὡς ἅμα τῷ διακινηθῆναι
121 τὸν ἀφ' ἡλίου φλογμὸν συνεπωθεῖσθαι καὶ πάντα καίειν. ἀλλὰ γὰρ
ἅμ' αὐτῷ καὶ πλῆθος ἀμήχανον ζῴων ἐπεφέρετο φθοροποιὸν φυτῶν,
ἀκρίδες, αἳ ῥεύματος τρόπον ἀπαύστως ἐκχεόμεναι καὶ πάντα πληρώσασαι
τὸν ἀέρα διέφαγον, ὅσα οἱ κεραυνοὶ ὑπελίποντο καὶ ἡ χάλαζα, ὡς |
122 μηδὲν ἐν τῇ τοσαύτῃ χώρᾳ βλαστάνον ἔτι θεωρεῖσθαι. τότε μόλις εἰς p. 100 M.
ἀκριβεστάτην ἔννοιαν τῶν οἰκείων ἐλθόντες οἱ ἐν τέλει κακῶν προσελ-
θόντες ἔλεγον τῷ βασιλεῖ· „μέχρι τίνος οὐκ ἐπιτρέπεις τὴν ἔξοδον τοῖς

1 καὶ om. M 2 κεκαινουργεῖσθαι EG συμβάντα] σύμπαντα GHP[1] οὔπω GHP: οὐ ceteri 3 φθορᾷ] φορὰ G 4 παραψύξεσι VO ἐπι-
πι
πτούσης E, ἐπιπτούσης C 5 τὰ—ἐξαναλωθέντα om. O τάδ' KZ, τὰ δὲ A καταναλωθέντα KZ 6 διέμεινε AVOZ 9 μωσῆς KZ κἄπειτα O 10 καταρράττει GH[2]K, καράττει (sic) M, καὶ ταράττει A νότος βιαιότατος GHP: νότος om. VO, βιαιότατος νότος ceteri τὴν νύκτα G, νύκτωρ H (Turn.) 10. 11 προσεπιτεινόμενος GHPKZ: ἐπιτεινόμενος ceteri (Mang.) 11 σφοδρυνόμενος KZ: σφοδρούμενος ceteri (v) 12 τε om. A ἐστι] ἦν V[2]O κεφαλγὴς
αλ η
E, κεφαλγὴς B, κεφαλγὸς A βαρύκοος HP, βαρύκοος V, βαρήκοος O ἄσας] αὔας K[1]Z αὐδημονίας Z, εὐδαιμονίας G 13 τὰ om. C 14 δια-κονιθῆναι M 15 πάντα] ταῦτα A καίειν] κινεῖν BEMA 16 ἅμα M αὐτῶ O ἀμήχανον GHPKZ: ἀμηχάνων ceteri 17 ἀκρίδας HP ἀπαύστως GHPKZ: om. ceteri 17. 18 ἐκχεόμεναι καὶ πάντα πληρώσασαι τὸν ἀέρα GKZ: om. ceteri (v) 18 διέφαγον GHP: τὰ δένδρα διέφαγον ceteri (τὰ δένδρα add. etiam mg. H) ὑπελείποντο C, διελείποντο VO 19 μόγις GHP, τοίνυν (pro μόλις) O 20 ἀκριβεστάτην GHP: ἀκριβεστέραν ceteri κακῶν GHPKZ: om. ceteri

7 sqq. Exod. 10,12—20

ἀνδράσιν; ἢ οὔπω μανθάνεις ἐκ τῶν γινομένων, ὅτι ἀπόλωλεν Αἴγυπτος;“
ὁ δ' ὅσα τῷ δοκεῖν ἐφιεὶς ὡμολόγει, χαλάσαντος τοῦ δεινοῦ. πάλιν
δ' εὐξαμένου Μωυσέως, ὑπολαβὼν ἐκ τῆς θαλάττης ἄνεμος ἀποσκίδνησι
τὰς ἀκρίδας. ἀνασκεδασθεισῶν δὲ καὶ τοῦ βασιλέως περὶ τὴν τοῦ ἔθνους 123
ἄφεσιν δυσθανατοῦντος, ἐπιγίνεται τῶν πρότερον κακῶν μεῖζον· λαμπρᾶς
γὰρ ἡμέρας οὔσης, ἐξαπιναίως ἀναχεῖται σκότος, ἴσως μὲν καὶ ἡλίου
γενομένης ἐκλείψεως τῶν ἐν ἔθει τελειοτέρας, ἴσως δὲ καὶ συνεχείαις
νεφῶν καὶ πυκνότησιν ἀδιαστάτοις καὶ πιλήσει βιαιοτάτῃ τῆς τῶν ἀκτίνων
φορᾶς ἀνακοπείσης, ὡς ἀδιαφορεῖν ἡμέραν νυκτὸς καὶ τί γὰρ ἀλλ' ἢ
μίαν νύκτα νομίζεσθαι μακροτάτην τρισὶν ἡμέραις ἴσην καὶ ταῖς ἰσαρίθ-
μοις νυξί. τότε δή φασι τοὺς μὲν ἐρριμμένους ἐν ταῖς εὐναῖς μὴ τολμᾶν 124
ἐξανίστασθαι, τοὺς δ' ὁπότε κατεπείγοι τι τῶν τῆς φύσεως ἀναγκαίων
ἐπαφωμένους τοίχων ἤ τινος ἑτέρου καθάπερ τυφλοὺς μόλις προέρχεσθαι·
καὶ γὰρ τοῦ χρειώδους πυρὸς τὸ φέγγος τὸ μὲν ὑπὸ τῆς κατεχούσης
ζάλης ἐσβέννυτο, τὸ δὲ τῷ βάθει τοῦ σκότους ἀμαυρούμενον ἐνηφανί-
ζετο, ὡς τὴν ἀναγκαιοτάτην ὄψιν τῶν αἰσθήσεων ὑγιαίνουσαν πηρὸν
εἶναι μηδὲν ὁρᾶν δυναμένην, τετράφθαι δὲ καὶ τὰς ἄλλας οἷα ὑπηκόους
πεσούσης τῆς ἡγεμονίδος· οὔτε γὰρ λέγειν τις οὔτ' ἀκούειν οὔτε προσ- 125
ενέγκασθαι τροφὰς ὑπέμενεν, ἀλλ' ἡσυχίᾳ καὶ λιμῷ παρέτεινον αὐτοὺς
οὐδεμιᾷ τῶν αἰσθήσεων σχολάζοντες, ἀλλ' ὑπὸ τοῦ πάθους ὅλοι συνηρ-
πασμένοι, μέχρι πάλιν Μωυσῆς λαβὼν οἶκτον ἱκετεύει τὸν θεόν· ὁ δὲ
φῶς ἀντὶ σκότους καὶ ἡμέραν ἀντὶ νυκτὸς ἐργάζεται σὺν αἰθρίᾳ πολλῇ.

---

2 ἐφιεῖν (sic) VO, ἀφιεὶς A; ἐφήσειν conicio χαλάσαντος GHP$V^2$O: χαλάσαντος δὲ ceteri (v) 2. 3 πάλιν δ' GHP: δ' om. ceteri (v) 3 μωϋσέος MAKHP ὑπο-βαλὼν VO τῆς GHP: om. ceteri ἀποσκίδνησι GHP: ἀποσκεδάννυσι ceteri 4 ἀποσκεδασθεισῶν A 5 δυσθανατῶντος CGHPZ προτέρων A$K^1$Z κακὸν VO 6 μὲν om. KZ 7 γινομένης BEMKZ τελεωτέρας O 8 πιλείσῃ G βεβαιοτάτῃ coni. Mang. 11 δή om. GHP; δέ Turn. 12 κατεπείγοι τι GHP: τι om. Z, τι κατεπείγοι ceteri τῶν τε G 13 τοίχων GHP: τοίχου ceteri προσέρχεσθαι $C^1V^1$BEM, διέρχεσθαι G 14 τὰ μὲν C$V^1$BEMA 14. 15 ὑπὸ τῆς κατε-χούσης ζάλης GHP: τῇ κατεχούσῃ ζάλῃ (χαλάζῃ O) ceteri 15 τὰ δὲ C$V^1$BEMA βάθει] βάρει GHP ἀμαυρούμενα C$V^1$BEMA 16 τῇ ἀναγκαιοτάτῃ ὄψει $V^2$O ὄψιν fort. delendum ὑγιαινούσῃ $V^2$O, τ' ὑγιαίνουσαν BEM, τὴν ἡγεμονεύουσαν A$P^3$ πηρὸν] πονηρὸν VO$K^2$ 17 μηδὲν GHP: μὴδ' VO, μηδὲ ceteri δυναμένην GHP: δυναμένῃ $V^2$O, δυναμένων ceteri τοὺς ἄλλους O οἷα codd.: οἷον Mang. 18 οὔτε ἀκούειν G 18. 19 προσενέγκαι VO 19 αὑτοὺς CMG$H^1$PKZ 20 οὐδὲ μιᾷ BEM κολάζοντες M, ἐνασχολούμενοι mg. O 21 μωσῆς P λαβεῖν O οἶκτον λαβὼν transp. M 22 αἰθερία M

---

5 sqq. Exod. 10,21—29

126 (22.) Τοιαύτας φασὶ γενέσθαι καὶ τὰς διὰ μόνου Μωυσέως ἐπι-
πλήξεις, τὴν διὰ χαλάζης καὶ κεραυνῶν, τὴν διὰ τῆς ἀκρίδος, τὴν διὰ
σκότους, ὃ πᾶσαν ἰδέαν φωτὸς οὐ παρεδέχετο· κοινῇ δ' αὐτός τε καὶ
127 ὁ ἀδελφὸς μίαν ἐπετράπησαν, ἣν αὐτίκα σημανῶ. κελεύσαντος τοῦ
θεοῦ, τέφραν ἀπὸ καμίνου λαμβάνουσι ταῖς χερσίν, ἣν Μωυσῆς κατὰ
μέρος εἰς τὸν ἀέρα διέπαττεν· ἔπειτα κονιορτὸς αἰφνίδιον ἐπενεχθεὶς
ἀνθρώποις τε καὶ ἀλόγοις ζῴοις ἀγρίαν καὶ δυσαλγῆ κατὰ τῆς δορᾶς
ἁπάσης ἕλκωσιν εἰργάζετο καὶ τὰ σώματα εὐθὺς | συνῴδει ταῖς ἐξαν- p. 101 M.
θήσεσιν ὑποπύους ἔχοντα φλυκταίνας, ἃς ἐτόπασεν ἄν τις ἀφανῶς ὑπο-
128 καιομένας ἀναζεῖν. ἀλγηδόσι τε καὶ περιωδυνίαις κατὰ τὸ εἰκὸς ἐκ
τῆς ἑλκώσεως καὶ φλογώσεως πιεζόμενοι μᾶλλον ἢ οὐχ ἧττον τῶν
σωμάτων τὰς ψυχὰς ἔκαμνον ἐκτετρυχωμένοι ταῖς ἀνίαις — ἓν γὰρ ἄν
τις ἀπὸ κεφαλῆς ἄχρι ποδῶν συνεχὲς ἕλκος ἐθεάσατο, τῶν κατὰ μέλος
καὶ μέρος διεσπαρμένων εἰς μίαν καὶ τὴν αὐτὴν ἰδέαν ἀποκριθέντων —,
ἕως πάλιν ἱκεσίαις τοῦ νομοθέτου, ἃς ὑπὲρ τῶν πασχόντων ἐποιήσατο,
129 ἡ νόσος ῥᾴων ἐγένετο. κοινῇ μέντοι τὴν νουθεσίαν ταύτην ἐπετρά-
πησαν δεόντως, ὁ μὲν ἀδελφὸς διὰ τὸν ἐπενεχθέντα κονιορτόν, ἐπεὶ
τῶν ἀπὸ γῆς συμβαινόντων τὴν ἐπιμέλειαν ἔλαχε, Μωυσῆς δὲ διὰ τὸν
ἀέρα μεταβαλόντα πρὸς κάκωσιν τῶν οἰκητόρων· ταῖς δ' ἀπ' ἀέρος
καὶ οὐρανοῦ πληγαῖς οὗτος ὑπηρέτει.
130 (23.) Λοιπαὶ δὲ τιμωρίαι τρεῖς εἰσιν αὐτουργηθεῖσαι δίχα τῆς
ἀνθρώπων ὑπηρεσίας, ὧν κατὰ μίαν ἑκάστην, ὡς ἂν οἷόν τε ᾖ, δηλώσω.
πρώτη δ' ἐστὶν ἡ γενομένη διὰ ζῴου τῶν ἐν τῇ φύσει πάντων θρασυ-
τάτου, κυνομυίας, ἣν ἐτύμως ἐκάλεσαν οἱ θετικοὶ τῶν ὀνομάτων —

1 τοσαύτας M  μωϋσέος MKHP  2 χαλάζης GHP: χαλαζῶν ceteri  δι' ἀκρίδος M (fort. recte)  3 σκότους MGHP: τοῦ σκότους ceteri  ἰδέαν] ἰδίαν M  τε GHP: om. ceteri  5 μωσῆς O  5. 6 κατὰ μέρος om. KZ  7 καὶ ante ζῴοις add. C  δυσαλγῆ GHP: δυσανθῆ A, δυσαλθῆ ceteri (Mang.)  τῆς om. G  8 ἁπάσης GHPKZ: πάσης ceteri  8. 9 ἐξανθήσεσιν GHPKZ: ὑπανθήσεσιν ceteri  9 ὑπωπύους A  φλυκταίναις M  10 ἀναζῆν GH  τε] δὲ conicio  περιοδυνίαις Z  11 φιλογνώσεως (sic) A  11. 12 τῶν σωμάτων om. KZ  12 ἔκαμον H$^{1}$P  ἐκτρυχόμενοι A  13 ἐθεάσατο GHP: ἐθεᾶτο ceteri  13. 14 μέρος καὶ μέλος transp. CVO  14 ἐσπαρμένων GHP$^{1}$  alt. καὶ om. C  αὐτὴν om. CV$^{1}$EA, ss. B  συγκριθέντων coni. Mang.  16 ῥᾶον V$^{1}$ ut vid.  16. 17 ἐτράπησαν M  18 μωσῆς G  post διὰ add. τὸ HP  19 δ'] γὰρ V$^{2}$O  20 ὑπηρέτει GHP: ὑπηρετεῖτο ceteri  22 ὡς ἂν οἷόν τε ᾖ G, ὡς οἷόν τε ᾖ HP: ὡς οἷός τε ὦ A, ὡς ἂν οἷος τε ὦ ceteri  23 δέ ἐστιν CAVO  24 ἑτοίμως K

4 sqq. Exod. 9,8—12  23 sqq. Exod. 8,24 sqq.

σοφοὶ γὰρ ἦσαν — ἐκ τῶν ἀναιδεστάτων ζῴων συνθέντες τοὔνομα, μυίας καὶ κυνός, τοῦ μὲν τῶν χερσαίων θρασυτάτου, τῆς δὲ τῶν πτηνῶν· ἐπιφοιτῶσι γὰρ καὶ ἐπιτρέχουσιν ἀδεῶς, κἂν ἀνείργῃ τις, εἰς τὸ ἀήττητον ἀντιφιλονεικοῦσιν, ἄχρις ἂν αἵματος καὶ σαρκῶν κορεσθῶσιν. ἡ δὲ 131
κυνόμυια τὴν ἀφ' ἑκατέρου τόλμαν προσειληφυῖα δηκτικὸν καὶ ἐπίβουλον ζῷόν ἐστι· καὶ γὰρ πόρρωθεν μετὰ ῥοίζου καθάπερ βέλος εἰσακοντίζεται καὶ ἐπεμπίπτουσα βιαίως εὖ μάλα ἐγχρίμπτεται. τότε δὲ καὶ 132
θεήλατος ἦν ἡ προσβολή, ὡς δεδιπλασιάσθαι τὴν ἐξ αὐτῆς ἐπιβουλὴν οὐκέτι μόνον τοῖς φυσικοῖς κεχρημένης πλεονεκτήμασιν, ἀλλὰ καὶ τοῖς ἐκ θείας ἐπιφροσύνης, ἣ τὸ ζῷον ὥπλιζε καὶ πρὸς ἀλκὴν ἀνήγειρε κατὰ τῶν ἐγχωρίων. μετὰ τὴν κυνόμυιαν εἵπετο τιμωρία πάλιν ἄνευ συμ- 133
πράξεως ἀνθρωπίνης, βοσκημάτων θάνατος· βουκόλια γὰρ καὶ αἰπόλια καὶ ποίμνια μεγάλα καὶ ὅσαι ὑποζυγίων καὶ ἄλλων θρεμμάτων ἰδέαι πᾶσαι μιᾷ ἡμέρᾳ, ὡς ἀφ' ἑνὸς συνθήματος, ἀγεληδὸν διεφθείροντο,
p. 102 M. τὴν ἀνθρώπων | ἀπώλειαν, ἣ μικρὸν ὕστερον ἔμελλε γίνεσθαι, προμηνύουσαι καθάπερ ἐν ταῖς λοιμώδεσι νόσοις· λέγεται γὰρ προάγων τις εἶναι λοιμικῶν ἀρρωστημάτων ἡ ζῴων ἀλόγων αἰφνίδιος φθορά.
(24.) μεθ' ἣν ἡ δεκάτη καὶ τελευταία δίκη πάσας ὑπερβάλλουσα τὰς 134
προτέρας ἐπεγένετο, θάνατος Αἰγυπτίων οὔτε πάντων — οὐ γὰρ ἐρημῶσαι τὴν χώραν προῃρεῖτο ὁ θεὸς ἀλλὰ νουθετῆσαι μόνον — οὔτε τῶν πλείστων ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν ἐξ ἁπάσης ἡλικίας, ἀλλὰ τοῖς

---

1 συνθέντες om. VO  τὸ ὄνομα VO  2 τοῦ] τῆς A  τοῦ χερσαίου C  χερσαίων θρασυτάτου] θηρίων οὔσης A .  τῆς] τοῦ BEMGKZ  3 post ἐπιφοιτῶσι add. τε G  ἀδεῶς] ἀναιδῶς coni. Mang.  εἴργῃ KZ  4 ἂν GHP: om. ceteri  σαρκὸς K¹O  5 post δηκτικὸν add. γὰρ A  ἐπίβολον coni. Mang.  7 ἐπεμπίπτουσα GHP: ἐπιπίπτουσα O, ἐπεισπίπτουσα ceteri  εὖ μάλα om. M  ἐγχρίπτεται MAOGPKZ  καὶ om. M  8 προβολή HP  ἐπιβουλίαν H; ἐπιβολὴν coni. Mang.  9 κεχρημένης GHP: χρωμένης KZ, χρωμένη CBEMA, χρωμένην VO  χρωμένη τοῖς φυσικοῖς transp. A  alt. τοῖς] τῆς L (Turn.)  10 ὥπλιζε GHP: ὥπλικε ceteri  διήγειρε BEMAKZ  12 καὶ add. ante βοσκημάτων G  καὶ om. G  13 ὅσα KZ  ἄλλων GHP: ὅσαι ceteri  ἰδέαι] ἀγέλαι VO  14 διεφθείρετο G  15 μικρὸν GHP: πρὸς μικρὸν ceteri  ἔμελλε corr. ex ἤμελλε B, ἤμελλε EA  15. 16 προμηνύουσαι H²Z: προμηνύουσα ceteri  16 γὰρ] γοῦν CV¹HP  16. 17 προάγων τις VOK², προαγών τις CBEM: προαγωγός τις A, προαγωγόν τι GHPK¹Z  17 ἀρρωστημάτων GHP: νόσων ceteri (v)  ἄλογος H¹P  αἰφνίδιος om. KZ  φορά G  19 πρότερον O  ἐγένετο M  οὔτε πάντων om. O  οὐ C: οὐδὲ BEMAKZ, οὔτε VOGHP  20 ὁ om. M

---

11 sqq. Exod. 9,3—6  18 sqq. Exod. 12,29 sqq.

ἄλλοις ζῆν ἐφιεὶς μόνων τῶν πρωτοτόκων καταψηφίζεται θάνατον ἀρξάμενος ἀπὸ τοῦ πρεσβυτάτου τῶν βασιλέως παίδων καὶ λήξας εἰς τὸν
135 τῆς ἀφανεστάτης ἀλετρίδος. περὶ γὰρ μέσας νύκτας οἱ πρῶτοι πατέρας καὶ μητέρας προσειπόντες καὶ ὑπ' ἐκείνων υἱοὶ πάλιν πρῶτον ὀνομασθέντες ὑγιαίνοντες καὶ τὰ σώματα ἐρρωμένοι πάντες ἀπ' οὐδεμιᾶς προφάσεως ἡβηδὸν ἐξαπιναίως ἀνῄρηντο καὶ οὐδεμίαν οἰκίαν ἀμοιρῆσαί
136 φασι τότε τῆς συμφορᾶς. ἅμα δὲ τῇ ἕῳ κατὰ τὸ εἰκὸς ἕκαστοι θεασάμενοι τοὺς φιλτάτους ἀπροσδοκήτως τετελευτηκότας, οἷς ὁμοδίαιτοι καὶ ὁμοτράπεζοι μέχρι τῆς ἑσπέρας ἐγεγένηντο, βαρυτάτῳ πένθει κατασχεθέντες οἰμωγῆς πάντα ἐνέπλησαν, ὥστε συνέβη καὶ διὰ τὴν κοινοπραγίαν τοῦ πάθους ἁπάντων ἀθρόως ὁμοθυμαδὸν ἐκβοησάντων ἕνα θρῆνον ἀπὸ περάτων ἐπὶ πέρατα κατὰ πάσης τῆς χώρας συνηχῆσαι.
137 καὶ μέχρι μὲν ἐν ταῖς οἰκίαις διέτριβον, ἀγνοῶν ἕκαστος τὸ τοῦ πλησίον κακὸν ἐπὶ τῷ ἑαυτοῦ μόνον ἔστενε, προελθὼν δὲ καὶ γνοὺς τὰ τῶν ἄλλων διπλοῦν πένθος πρὸς τῷ ἰδίῳ καὶ τὸ κοινὸν εὐθὺς ἐλάμβανεν, ἐπ' ἐλάττονι καὶ κουφοτέρῳ μεῖζον καὶ βαρύτερον, ἅτε καὶ τὴν ἐλπίδα τῆς παραμυθίας ἀφῃρημένος· τίς γὰρ ἔμελλε παρηγορεῖν ἕτερον αὐτὸς ὢν
138 τοῦδε χρεῖος; ὅπερ δ' ἐν τοῖς τοιούτοις φιλεῖ, τὰ παρόντα νομίσαντες ἀρχὴν εἶναι μειζόνων καὶ περὶ τῆς τῶν ἔτι ζώντων ἀπωλείας καταδείσαντες συνέδραμον εἰς τὰ βασίλεια δεδακρυμένοι καὶ τὰς ἐσθῆτας περιερρηγμένοι κατεβόων τε τοῦ βασιλέως ὡς πάντων αἰτίου τῶν συμ-
139 βεβηκότων δεινῶν. εἰ γάρ, ἔλεγον, εὐθὺς ἐν ἀρχῇ Μωυσέως ἐντυχόντος εἴασεν ἐξελθεῖν τὸ ἔθνος, οὐδενὸς ἂν τῶν γεγονότων πειραθῆναι τὸ παράπαν· εἴξαντος δ' αὐθαδείᾳ τῇ συνήθει, τὰ ἐπίχειρα τῆς ἀκαίρου φιλονεικίας ἐξ ἑτοίμου λαβεῖν. εἶτ' ἄλλος ἄλλον παρεκάλει τὸν λεὼν μετὰ πάσης σπουδῆς ἐξ ἁπάσης τῆς χώρας ἐξελαύνειν, καὶ τὸ μίαν

1 ἐφιεὶς GHP: ἐφεὶς ceteri μόνον OZ 2 βασιλέων V[1], βασιλείων V[2]O 3 ἀλεστρίδος O πρῶτον BEMAP[2]KZ 4 πρῶτον om. AVOK 5 post πάντες add. δ' KZ 6 οὐδεμίαν] μίαν οὐδὲ μίαν CVO ἀμοιρίσαι A 7 τῆς τότε transp. Mang. 9 ἄχρι O 10 καὶ GHP: om. ceteri 12 συνηχῆσαι κατὰ πάσης τῆς οἰκουμένης (sic pro χώρας) transp. A 14 τῷ] τὸ EAPZ, τὸ τοῦ G προσελθὼν G 15 ἐπ' GHP: om. ceteri 16. 17 τῆς παραμυθίας om. M 17 ἀφαιρούμενος BEMAKZ ἔμελλε παρηγορεῖν ἕτερον GHP: ἔμελλεν ἕτερον παρηγορεῖν KZ, ἔμελλε παρηγορεῖν (om. ἕτερον) ceteri 19 τῆς VOGH[2]: om. ceteri ἔτι GHP: om. ceteri ἀπωλείας GHP: om. ceteri 21 τε om. BEMA 22 μωϋσέος BMAKHP 23 εἴασαν M ὑπεξελθεῖν CVG 24 μὴ εἴξαντος V[1]O, μὴ expunxit V[2] 25 εἶτα CVBEKZ 26 πάσης om. V ἐξ ἁπάσης mg. O, πάσης in textu O ἐξελαύνειν GHPO: ἐλαύνειν ceteri

ἡμέραν μᾶλλον δὲ ὥραν αὐτὸ μόνον κατασχεῖν πρὸς ἀνήκεστον τιμωρίαν
p. 103 M. τιθέμενοι. (25.) | οἱ δ' ἐλαυνόμενοι καὶ διωκόμενοι τῆς αὑτῶν εὐγενείας 140
εἰς ἔννοιαν ἐλθόντες τόλμημα τολμῶσιν, ὁποῖον εἰκὸς ἦν τοὺς ἐλευθέρους καὶ μὴ ἀμνήμονας ὧν ἐπεβουλεύθησαν ἀδίκως. πολλὴν γὰρ λείαν 141
ἐκφορήσαντες τὴν μὲν αὐτοὶ διεκόμιζον ἐπηχθισμένοι, τὴν δὲ τοῖς ὑποζυγίοις ἐπέθεσαν, οὐ διὰ φιλοχρηματίαν ἤ, ὡς ἄν τις κατηγορῶν εἴποι, τὴν τῶν ἀλλοτρίων ἐπιθυμίαν — πόθεν; — ἀλλὰ πρῶτον μὲν ὧν παρὰ πάντα τὸν χρόνον ὑπηρέτησαν ἀναγκαῖον μισθὸν κομιζόμενοι, εἶτα δὲ ὑπὲρ ὧν κατεδουλώθησαν ἐν ἐλάττοσι καὶ οὐχὶ τοῖς ἴσοις ἀντιλυποῦντες· ποῦ γὰρ ἐσθ' ὅμοιον ζημία χρημάτων καὶ στέρησις ἐλευθερίας, ὑπὲρ ἧς οὐ μόνον προΐεσθαι τὰς οὐσίας οἱ νοῦν ἔχοντες ἀλλὰ καὶ ἀποθνῄσκειν

---

1 αὐτὸν CBM αὐτὸ μόνον om. A πρὸς] εἰς conicio ἀνηκέστου τιμωρίας coni. Mang. 2 οἵδ' Z, οἱ δὲ VO ἐξελαυνόμενοι KZ αὐτῶν codd. 3 τοὺς] τέως KZ 5 ἐκφορήσαντες GHP Cat. (cf. Clem. Al.): εὐφορήσαντες BEMVOKZ, εὐφρονήσαντες A, συμφορήσαντες C 6 κακηγορῶν coni. Mang. εἴπῃ M 7 ὧν] ὃ H¹P, ὃν H² 8 ἀναγκαῖον—κατεδουλώθησαν (9) om. A κομι$^{ζό}$σάμενοι K εἶτα] ἔνθα Cat. δὲ GHP Cat.: δὲ καὶ ceteri 10 ἐστιν Cat. 11 προΐεσθαι] προῖασι vel πρόεισι Cat.

---

2—154,7 Catena in Exod. 12.36 (Cat. Lips. I p. 692) Φίλωνος ἑβραίου: μετὰ τὴν τῶν πρωτοτόκων τῶν Αἰγυπτίων ἀπώλειαν οἱ Ἑβραῖοι ἐλαυνόμενοι καὶ διωκόμενοι — ὑπερέχοντος τοῦ δικαίου. *Procop. Gaz. Comm. in Exod. 11,2* (Migne t. 87, 1 Col. 559 Wendland Neu entd. Fragm. Philos p. 94): σκυλεύουσι τοὺς Αἰγυπτίους οὐ τῶν ἀλλοτρίων ἐπιθυμοῦντες — ἄπαγε —, ἀλλ' ὧν ὑπηρέτησαν ἀναγκαῖον μισθὸν κομιζόμενοι καὶ οὐκ ἴσοις ἀντιλυποῦντες· ποῦ γὰρ ἴσον ἐλευθερία καὶ χρήματα; ἧς αὐτοὺς ἱκέτας ὄντας καὶ ξένους ἐστέρησαν· ὑπὲρ ἧς οὐ μόνον οὐσίας προΐεσθαι καὶ τὰς ψυχὰς δὲ προθύμως οἱ γενναῖοι τῶν ἀνθρώπων ἐθέλουσιν· ἧς ἀποστερήσαντες ὡς ἐν πολέμῳ τούτους αἰχμαλώτους εἰργάσαντο. ἐν ἑκατέρῳ δὴ κατώρθουν, εἴθ' ὡς ἐν εἰρήνῃ μισθὸν λαμβάνοντες παρ' ἀκόντων, ἃ (ὃν?) πολὺν χρόνον οὐκ ἀποδιδόντων ἐστέρηντο, εἴθ' ὡς ἐν πολέμῳ λάφυρα κομιζόμενοι δίχα τῆς ἐν ὅπλοις παρασκευῆς ἀμυνόμενοι, θεοῦ τὴν δίκην βραβεύσαντος. νόμος δὲ πολέμου τοῖς κεκρατηκόσιν τὰ τῶν ἡττημένων χαρίζεται· ἀλλ' οὐδὲ κατὰ πολεμίων ὁ δόλος ἀπόβλητος. 4sqq. *Clem. Alex. Strom. I 23 p. 415 P.* . . . ὕστερόν τε ἐξιόντες οἱ Ἑβραῖοι πολλὴν λείαν τῶν Αἰγυπτίων ἐκφορήσαντες ἀπῄεσαν, οὐ διὰ φιλοχρηματίαν, ὡς οἱ κατήγοροί φασιν — οὐδὲ γὰρ ἀλλοτρίων αὐτοὺς ἀνέπειθεν ἐπιθυμεῖν ὁ θεός —, ἀλλὰ πρῶτον μὲν ὧν παρὰ πάντα τὸν χρόνον ὑπηρέτησαν τοῖς Αἰγυπτίοις μισθὸν ἀναγκαῖον κομιζόμενοι, ἔπειτα δὲ καὶ τρόπον τινὰ ἠμύναντο ἀντιλυποῦντες ὡς φιλαργύρους Αἰγυπτίους τῇ τῆς λείας ἐκφορήσει, καθάπερ ἐκεῖνοι τοὺς Ἑβραίους τῇ καταδουλώσει. εἴτ' οὖν, ὡς ἐν πολέμῳ φαίη τις τοῦτο γεγονέναι, τὰ τῶν ἐχθρῶν φέρειν ἠξίουν νόμῳ τῶν κεκρατηκότων ὡς κρείττονες ἡττόνων — καὶ τοῦ πολέμου ἡ αἰτία δικαία· ἱκέται διὰ λιμὸν Ἑβραῖοι ἧκον πρὸς Αἰγυπτίους, οἱ δὲ τοὺς ξένους καταδουλωσάμενοι τρόπον αἰχμαλώτων ὑπηρετεῖν ἠνάγκασαν σφίσι μηδὲ τὸν μισθὸν ἀποδιδόντες —, εἴτε ὡς ἐν εἰρήνῃ μισθὸν ἔλαβον τὴν λείαν παρὰ ἀκόντων τῶν πολὺν χρόνον οὐκ ἀποδιδόντων ἀλλὰ ἀποστερούντων.

142 ἐθέλουσιν; ἐν ἑκατέρῳ δὴ κατώρθουν, εἶθ' ὡς ἐν εἰρήνῃ μισθὸν λαμ-
βάνοντες, ὃν παρ' ἀκόντων πολὺν χρόνον οὐκ ἀποδιδόντων ἀπεστεροῦντο,
εἶθ' ὡς ἐν πολέμῳ τὰ τῶν ἐχθρῶν φέρειν ἀξιοῦντες νόμῳ τῶν κεκρατη-
κότων· οἱ μὲν γὰρ χειρῶν ἦρξαν ἀδίκων, ξένους καὶ ἱκέτας, ὡς ἔφην
πρότερον, καταδουλωσάμενοι τρόπον αἰχμαλώτων, οἱ δὲ καιροῦ παρα-
πεσόντος ἠμύναντο δίχα τῆς ἐν ὅπλοις παρασκευῆς, προασπίζοντος καὶ
τὴν χεῖρα ὑπερέχοντος τοῦ δικαίου.
143 (26.) Τοσαύταις μὲν δὴ πληγαῖς καὶ τιμωρίαις Αἴγυπτος ἐνουθετεῖτο,
ὧν οὐδεμία τῶν Ἑβραίων καίτοι γε ἐν ταῖς αὐταῖς πόλεσι καὶ κώμαις
καὶ οἰκίαις συνδιατριβόντων ἥψατο, γῆς ὕδατος ἀέρος πυρός, ἃ μέρη
τῆς φύσεώς ἐστιν, ἣν ἀμήχανον ἐκφυγεῖν, ἐπιθεμένων· ὃ δὴ καὶ παρα-
δοξότατον ἦν, ὑπὸ τῶν αὐτῶν κατὰ τὸν αὐτὸν τόπον καὶ χρόνον τοὺς
144 μὲν διαφθείρεσθαι, τοὺς δὲ σῴζεσθαι. ὁ ποταμὸς εἰς αἷμα μετέβαλεν,
ἀλλ' οὐχ Ἑβραίοις· ἡνίκα γὰρ βουληθεῖεν ἀρύσασθαι, τροπὴν ἐλάμβανεν
εἰς πότιμον. βάτραχος ἐκ τῶν ὑδάτων ἐπὶ τὴν χέρσον ἀνερπύσας ἀγορὰς
καὶ ἐπαύλεις καὶ οἰκίας ἐπλήρωσεν, ἀλλ' ἀπὸ τῶν Ἑβραίων ἐξανεχώρει
μόνων καθάπερ διακρίνειν ἐπιστάμενος, οὓς τε χρὴ κολάζεσθαι καὶ τοὐναν-
145 τίον. οὐ σκνίπες, οὐ κυνόμυια, οὐκ ἀκρίς, ἣ καὶ φυτὰ καὶ καρποὺς καὶ ζῷα
καὶ ἀνθρώπους μεγάλα ἔβλαψε, τούτοις προσέπτησαν· οὐχ ὑετῶν, οὐ χαλά-
ζης, οὐ κεραυνῶν αἱ γενόμεναι | συνεχεῖς φοραὶ μέχρι τούτων ἔφθασαν· p. 104 M.
ἑλκώσεως τῆς ἀργαλεωτάτης εἰς τὸ παθεῖν οὐδ' ὄναρ ἐπῄσθοντο· βαθυ-

---

1 ἐθέλουσιν GHP Cat.: τολμῶσιν ceteri    ἐν ἑκατέρῳ GHPK$^1$Z Cat.: ἑκατέρῳ (om. ἐν) C, ἑκατέρως VOK$^2$, ἑκάτερον BEMA    δὴ] δ' οὖν V$^2$O, δὲ Cat.    κατορθοῦντες V$^2$O Cat.    εἶθ' GHP: καὶ V$^2$O, εἴτε ceteri    1. 2 εἶθ'—λαμβάνοντες om. Cat.    2 ὃν παρ' ἀκόντων A, ὃν παρὰ ἀκόντων CVOBEM: ὃν παρὰ (περὶ Z) ἑκόντων KZ, ὃν παρ' ἑκόντων G, ὧνπερ ἑκόντων H$^1$P, ὧν παρ' ἑκόντων H$^2$, ἅπερ ἀκόντων Cat.    3 εἶθ' E, εἶτ' V$^1$, εἶτα καὶ V$^2$OK$^2$    4 γὰρ om. G    ἦρξαν χειρῶν transp. HP    4. 5 ὡς ἔφην πρότερον om. O    6 δίχα] διὰ VO    τῆς] τοῖς MGP    προασπίζοντες G    7 δικαίου ⟨θεοῦ⟩ coni. Mang., sed cf. § 260    8 τιμωρίαις] νουθεσίαις K$^1$Z    9 καίτοι γε ἐν ταῖς αὐταῖς G: καίτοι γε ἐν ταῖς αὐτῶν HP, καίτοι γε ταῖς αὐταῖς C, καίτοι ταῖς αὐταῖς B$^2$MKZ, καίτοι γε τοσαύταις VO, καίτοι τοσαύταις B$^1$E, καὶ τοιαύταις A    10 καὶ οἰκίαις om. KZ (fort. recte)    συνδιατριψάντων K    11 φύσεως] κτίσεως V$^2$O    ἐστιν, ἣν] ἐστι καὶ ἣν V$^2$O    post ἀμήχανον add. ἐστὶν G    ὃ δὴ] ὃν νῦν G    12 καὶ om. O    13 μετέβαλλεν K    14 ἀρρύσασθαι HPZ    15 εἰς om. O    ἐπὶ τὴν χέρσον om. GHP    ἀγορὰς] ἀγροὺς coni. Mang.; cf. 144,1    16 ἀνεχώρει G    17 μόνον VO    οὕς τε] οὔτε C$^1$, ὅν τε C$^2$, οὕσπερ G    δὴ (supra: χρὴ) G    18 σκνῆπες G, σκνίφες CVBEM, κνίφες O    κυνόμυιαι O    ζῷα καὶ καρποὺς transp. VO    19 μεγάλα om. BEMAKZ    καὶ τούτοις G    20 γενόμεναι GHP: γινόμεναι ceteri    21 ἤσθοντο G

τάτου σκότους τοῖς ἄλλοις ἀναχυθέντος, ἐν αὐγῇ καθαρᾷ διήγαγον, τοῦ ἡμερησίου φωτὸς ἐπιλάμποντος· ἀναιρουμένων τῶν παρ' Αἰγυπτίοις πρωτοτόκων, ἐτελεύτησεν Ἑβραῖος οὐδείς· οὐδὲ γὰρ εἰκὸς ἦν, ὁπότε καὶ ἡ τῶν ἀμυθήτων φθορὰ θρεμμάτων οὐδεμίαν τῶν παρὰ τούτοις ἀγέλην συνεπεσπάσατο πρὸς ἀπώλειαν. καί μοί τις δοκεῖ παρατυχὼν 146
τοῖς γενομένοις κατ' ἐκεῖνον τὸν καιρὸν μηδὲν ἂν ἄλλο νομίσαι τοὺς Ἑβραίους ἢ θεατὰς ὧν ἕτεροι κακῶν ὑπέμενον καὶ οὐ μόνον * * *, ἀλλὰ καὶ μαθημάτων τὸ κάλλιστον καὶ ὠφελιμώτατον ἀναδιδασκομένους, εὐσέβειαν· οὐ γάρ ποθ' οὕτως ἡ τῶν ἀγαθῶν καὶ κακῶν κρίσις ἐμφανῶς ἦλθε τοῖς μὲν φθορὰν τοῖς δὲ σωτηρίαν παρασχοῦσα.

(27.) Τῶν δ' ἐξιόντων καὶ μετανισταμένων οἱ μὲν ἀνδρὸς ἔχοντες 147
ἡλικίαν ὑπὲρ ἑξήκοντα μυριάδας ἦσαν, ὁ δ' ἄλλος ὅμιλος πρεσβυτῶν, παίδων, γυναικῶν οὐ ῥᾴδιος ἀριθμηθῆναι· μιγάδων δὲ καὶ συγκλύδων καὶ θεραπείας ὄχλος συνεξῆλθεν ὡσανεὶ νόθον μετὰ γνησίου πλήθους· οὗτοι δ' ἦσαν οἱ ἐκ γυναικῶν γεννηθέντες Αἰγυπτίων τοῖς Ἑβραίοις καὶ τῷ πατρῴῳ γένει προσνεμηθέντες καὶ ὅσοι τὸ θεοφιλὲς ἀγάμενοι τῶν ἀνδρῶν ἐπηλύται ἐγένοντο καὶ εἰ δή τινες τῷ μεγέθει καὶ πλήθει τῶν ἐπαλλήλων

---

1 ἐπιχυθέντος KZ  διήγαγον GHP: διῆγον ceteri  1. 2 τοῦ ἡμερησίου φωτὸς codd. (praeter A): τοῦ φωτὸς ἡμερησίου v  2 φωτὸς post καθαρᾷ (1) transp. A  3 ἑβραῖος οὐδείς BEMAZ: ἑβραίων οὐδείς K, οὐδεὶς ἑβραῖος ceteri  4 alt. τῶν om. Z  5 συνεσπάσατο PKZ  6 γενομένοις VGH: γενομένοις (λεγο superscr.) A, γινομένοις OP, λεγομένοις ceteri  μηδὲν ἂν P, μηδ' ἂν H: μηδὲν (om. ἂν) ceteri  7 καὶ οὐ μόνον om. GHP  lacuna e Clem. Alex. sic videtur explenda ⟨ἀκινδύνως ἐκμανθάνοντας τὴν δύναμιν τοῦ θεοῦ⟩; τοῦτο post μόνον deesse existimavit Mang.  8 pr. καὶ om. O  ἀναδιδασκόμενοι VO  9 τὴν εὐσέβειαν V²  ἐμφανῶς GHP: ἐμφανὴς ceteri  11 ἀνδρὸς] ἄνδρες voluit Mang.  12 μυριάδες BM  πρεσβυτῶν GHP: πρεσβυτέρων ceteri (v)  13 ῥάδιον A  ῥηθήσεται ante ἀριθμηθῆναι add. HP, rursus del. H  14 θεραπίας G  post συνεξῆλθε add. πολὺς V²O  νόθος V²O  15 οἱ om. C  τοῖς ἑβραίοις αἰγυπτίων transp. A(v)  17 καὶ εἰ δή GHP Procop.: ἤδη δὲ καὶ V²O, καὶ ἤδη ceteri (v); καὶ γὰρ ἤδη coni. Mang.  τῷ] τῶν H

---

7 *Clem. Alex. Strom. I 23 p. 415 P.* ἔπειτα νουθετοῦνται μὲν Αἰγύπτιοι πολλάκις οἱ πολλάκις ἀσύνετοι, θεαταὶ δὲ Ἑβραῖοι ἐγίνοντο ὧν ἕτεροι κακῶν ὑπέμενον ἀκινδύνως ἐκμανθάνοντες τὴν δύναμιν τοῦ θεοῦ.  11 sqq. Exod. 12,37. 38.  11—13 *Ioseph. Ant. Iud. II 317* τὸ μὲν οὖν πᾶν πλῆθος τῶν μετανισταμένων γυναιξὶν ἅμα καὶ τέκνοις σκοποῦσιν οὐκ εὐαρίθμητον ἦν, οἱ δὲ στρατεύσιμον ἔχοντες τὴν ἡλικίαν περὶ ἑξήκοντα μυριάδες ἦσαν. 14—156,1 *Procop. Gaz. Comm. in Exod. 12,38* (Migne t. 87,1 Col. 575 Wendland Neu entd. Fragm. Philos p. 94): οὗτοι ἦσαν οἱ ἐκ γυναικῶν γεννηθέντες Αἰγυπτίων [καὶ] τοῖς Ἑβραίοις καὶ τῷ πατρίῳ γένει προσνεμηθέντες καὶ ὅσοι τὸ θεοφιλὲς ἀγάμενοι τῶν ἀνδρῶν καὶ εἰ δή τινες τῷ μεγέθει καὶ πλήθει τῶν ἐπαλλήλων κολάσεων σωφρονισθέντες μετεβάλοντο.

148 κολάσεων μετεβάλοντο σωφρονισθέντες. τούτων ἁπάντων ἡγεμὼν ἐχειρο-
τονεῖτο Μωυσῆς τὴν ἀρχὴν καὶ βασιλείαν λαβὼν οὐχ ὥσπερ ἔνιοι τῶν ἐπὶ
τὰς δυναστείας ὠθουμένων ὅπλοις καὶ μηχανήμασιν ἱππικαῖς τε καὶ πεζι-
καῖς καὶ ναυτικαῖς δυνάμεσιν, ἀλλ' ἀρετῆς ἕνεκα καὶ καλοκἀγαθίας καὶ τῆς
πρὸς ἅπαντας εὐνοίας, ᾗ χρώμενος ἀεὶ διετέλει, καὶ προσέτι καὶ τοῦ φιλα-
149 ρέτου καὶ φιλοκάλου θεοῦ γέρας ἄξιον αὐτῷ παρασχόντος. ἐπειδὴ γὰρ
τὴν Αἰγύπτου κατέλιπεν ἡγεμονίαν, θυγατριδοῦς τοῦ τότε βασιλεύοντος ὤν,
ἕνεκα τῶν κατὰ τὴν χώραν γινομένων ἀδικημάτων πολλὰ χαίρειν φράσας
ταῖς ἀπὸ τῶν θεμένων ἐλπίσι διὰ ψυχῆς εὐγένειαν καὶ φρονήματος
μέγεθος καὶ τὸ μισοπόνηρον φύσει, τῷ πρυτανεύοντι καὶ ἐπιμελουμένῳ
τῶν ὅλων ἔδοξεν αὐτὸν ἀμείψασθαι βασιλείᾳ πολυανθρωποτέρου καὶ
κρείττονος ἔθνους, ὅπερ ἔμελλεν ἐξ ἁπάντων τῶν ἄλλων ἱερᾶσθαι τὰς
ὑπὲρ τοῦ γένους τῶν ἀνθρώπων αἰεὶ ποιησόμενον εὐχὰς ὑπέρ τε κακῶν
150 ἀποτροπῆς καὶ μετουσίας ἀγαθῶν. παραλαβὼν δὲ τὴν ἀρχὴν οὐχ ὥσπερ
ἔνιοι τὸν ἴδιον αὔξειν οἶκον καὶ τοὺς υἱοὺς — δύο γὰρ ἦσαν αὐτῷ — προ-
άγειν ἐπὶ μέγα δυνάμεως ἐσπούδασεν, ὡς ἐν μὲν τῷ παρόντι κοινωνοὺς
αὖθις δὲ καὶ διαδόχους ἀποφῆναι· | γνώμῃ γὰρ ἀδόλῳ καὶ καθαρᾷ πρὸς p. 105 M.
πάντα μικρά τε αὖ καὶ μεγάλα χρώμενος τὴν φυσικὴν πρὸς τὰ τέκνα
φιλοστοργίαν οἷα κριτὴς ἀγαθὸς ἐνίκα τῷ περὶ τὸν λογισμὸν ἀδεκάστῳ.
151 προὔκειτο γὰρ ἓν αὐτῷ τέλος ἀναγκαιότατον, ὀνῆσαι τοὺς ἀρχομένους
καὶ πάνθ' ὑπὲρ τῆς τούτων ὠφελείας ἔργῳ καὶ λόγῳ πραγματεύεσθαι,
μηδένα παραλιπόντι καιρὸν τῶν συντεινόντων εἰς κοινὴν κατόρθωσιν.
152 μόνος οὗτος τῶν πώποθ' ἡγεμονευσάντων οὐ χρυσὸν οὐκ ἄργυρον ἐθησαυ-
ρίσατο, οὐ δασμοὺς ἐξέλεξεν, οὐκ οἰκίας, οὐ κτήματα, οὐ θρέμματα, οὐ

1 μετεβάλοντο σωφρονισθέντες BEMHZ, μετεβάλλοντο σωφρονισθέντες AGPK: σωφρονισθέντες μετεβάλοντο CVO Procop. ἡγεμὼν om. HP 1. 2 ἐχειροτονήθη M 3 τὰς om. VO 3. 4 πεζαῖς GHP 5 εὐνοίας] ἀστειότητος $V^2$O καὶ προσέτι GHP: καὶ om. ceteri 6 ἐπειδὴ GHP: ἐπεὶ ceteri 7 κατέλειπεν G ἡγεμονίαν] εὐδαιμονίαν A τότε om. A 8 γινομένων om. BEMAKZ; γενομένων v 9 θεμένων] θρεψαμένων $V^2$O 10 ἐπιμελουμένῳ $V^1$BM Barb.: ἐπιμελομένῳ ceteri 11 ἀμείνασθαι (sic) M πολυανθρωποτέρα A
β′ α′
13 ἀνθρώπων GHP Barb.: ἁπάντων ἀνθρώπων C, ἁπάντων ἀνθρώπων K, ἀνθρώπων ἁπάντων ceteri (v) αἰεὶ GHP Barb.: om. ceteri ποιησάμενον $V^1$BEMAKZ 19 οἷα κριτὴς ἀγαθὸς ἐνίκα CVO Barb.: ἐνίκα οἷα κριτὴς ἀγαθὸς transp. ceteri (v) 20 ἓν $KH^2$: om. M, ἐν ceteri 22 παραλιπόντι GHP (περιλιπόντι Barb.): παραλείποντι ceteri εἰς] πρὸς A(v) κοινὴν GHP Barb.: om. ceteri (v) 23 ⟨οὖν⟩ οὗτος coni. Wendl. 24 οὐ δασμοὺς—κτήματα om. O οὐ κτήματα om. Z

6—159,8 Catena Barber. IV 56 fol. $104^v$: ἐπεὶ δὴ τὴν Αἰγύπτου — θείᾳ προνοίᾳ.

θεραπείαν οἰκετικήν, οὐ προσόδους, οὐκ ἄλλο τῶν εἰς πολυτέλειαν καὶ
περιουσίαν οὐδὲν ἐκτήσατο, καίτοι πάντων ἔχειν ἀφθονίαν δυνάμενος·
ἀλλ' ὑπολαβὼν πενίας ψυχικῆς ἔργον εἶναι τὸν ἐν ταῖς ὕλαις ἀποδέχεσθαι 153
πλοῦτον τοῦ μὲν ὡς τυφλοῦ κατεφρόνησε, τὸν δὲ βλέποντα τῆς φύσεως
ἐξετίμησε καὶ ζηλωτὴς ὡς οὐκ οἶδ' εἴ τις ἕτερος αὐτοῦ γενόμενος ἐν
μὲν ἐσθῆσι καὶ τροφαῖς καὶ τοῖς ἄλλοις τοῖς περὶ δίαιταν οὐδὲν ἐπιτρα-
γῳδῶν πρὸς σεμνότερον ὄγκον εὐτέλειαν καὶ εὐκολίαν ἐπετήδευεν ἰδιώτου,
πολυτέλειαν δὲ τῷ ὄντι βασιλικὴν ἐν οἷς καλὸν ἦν πλεονεκτεῖν τὸν
ἄρχοντα· ταῦτα δ' ἦσαν ἐγκράτειαι, καρτερίαι, σωφροσύναι, ἀγχίνοιαι, 154
συνέσεις, ἐπιστῆμαι, πόνοι, κακοπάθειαι, ἡδονῶν ὑπεροψίαι, δικαιοσύναι,
προτροπαὶ πρὸς τὰ βέλτιστα, ψόγοι καὶ κολάσεις ἁμαρτανόντων νόμιμοι,
ἔπαινοι καὶ τιμαὶ κατορθούντων πάλιν σὺν νόμῳ. (28.) τοιγαροῦν 155
πολλὰ χαίρειν φράσαντα πολυχρηματίᾳ καὶ τῷ παρ' ἀνθρώποις μέγα
πνέοντι πλούτῳ γεραίρει θεὸς τὸν μέγιστον καὶ τελεώτατον ἀντιδοὺς
πλοῦτον αὐτῷ· οὗτος δ' ἐστὶν ὁ τῆς συμπάσης γῆς καὶ θαλάττης
καὶ ποταμῶν καὶ τῶν ἄλλων ὅσα στοιχεῖα καὶ συγκρίματα· κοινωνὸν
γὰρ ἀξιώσας ἀναφανῆναι τῆς ἑαυτοῦ λήξεως ἀνῆκε πάντα τὸν κόσμον
ὡς κληρονόμῳ κτῆσιν ἁρμόζουσαν. τοιγαροῦν ὑπήκουεν ὡς δεσπότῃ 156
τῶν στοιχείων ἕκαστον ἀλλάττον ἣν εἶχε δύναμιν καὶ ταῖς προστά-
ξεσιν ὑπεῖκον· καὶ θαυμαστὸν ἴσως οὐδέν· εἰ γὰρ κατὰ τὴν παροι-
μίαν „κοινὰ τὰ φίλων", φίλος δὲ ὁ προφήτης ἀνείρηται θεοῦ (cf. Exod.
33, 11), κατὰ τὸ ἀκόλουθον μετέχοι ἂν αὐτοῦ καὶ τῆς κτήσεως, καθ'
ὃ χρειῶδες. ὁ μὲν γὰρ θεὸς πάντα κεκτημένος οὐδενὸς δεῖται, ὁ δὲ 157

---

1 ἱκετικήν Z  post ἄλλο add. τι KZ  πολυτέλειαν] πολιτείαν BEMA  4 ὡς GHPKZ Barb.: om. ceteri  post βλέποντα add. τὸν Mang.  5 οἶδ' om. Turn.  6 ἐσθῆσι GHP (ἐσθήσει Barb.): ἐσθῆτι ceteri  τροφῇ KZ  6. 7 ἐπιτραγῳδῶν] ἐπιγαυριῶν $V^{2}OK^{2}$  7 post πρὸς add. τὸν $V^{2}OK^{2}$  ἰδιωτῶν A  8 πλεονεκτεῖν καλὸν ἦν transp. C  9 δὲ A  καρτερίαι — ἀγχίνοιαι post συνέσεις (10) transp. G, post ἐπιστῆμαι HP  11 βέλτια P  νόμιμοι] ἔννομοι BEMAKZ  12 κατορθούντων πάλιν CVO Barb.: πάλιν κατορθούντων ceteri  13 πολυχρηματία VO Barb.: φιλοχρηματία ceteri (v)  14 θεὸς GHP Barb.: ὁ θεὸς ceteri  τελεώτατον HP Barb., τελαιώτατον G: τελειότατον ceteri  ἀντιδιδοὺς VO  15 ὁ τῆς συμπάσης GHP Barb. (ὁ τῆς coni. Mang.): ἰσότης συμπάσης $CV^{1}$, ἰσότης πάσης $BEMAK^{1}Z$, ἰσότης τῆς δεσποτείας συμπάσης $V^{2}O$, τῆς δεσποτείας ss. $K^{2}$  θαλάσσης CAGH Barb.  16 ὅσα στοιχεῖα] στοιχείων ὅσα HP  κοινῶν $C^{1}$, κοινὸν $C^{2}MA$  17 ἀναφῆναι CBEMK (prob. Mang.)  18 κτίσιν G, κλῆσιν M  ὑπήκουσεν BEMA  19 καὶ eras. C, om. VOGHP Barb.  19. 20 προστάξεσιν corr. ex πράξεσιν B, πράξεσιν M  20 καὶ ante ὑπεῖκον add. $V^{2}$  καὶ post γὰρ add. A  21 φίλων] τῶν φίλων $VOAH^{2}KZ$  ἀνείρηται $CV^{1}GHP$ Barb.: εἴρηται ceteri  22 μετέχει Barb., μέτοχοι A  κτίσεως K, φύσεως G  22. 23 καθ' ὃ GHP Barb.: κατὰ τὸ ceteri

σπουδαῖος ἄνθρωπος κέκτηται μὲν οὐδὲν κυρίως ἀλλ' οὐδ' ἑαυτόν, τῶν δὲ τοῦ θεοῦ κειμηλίων, καθ' ὅσον ἂν οἷός τε ᾖ, μεταλαγχάνει. | καὶ p. 106 M.
μήποτ' εἰκότως· κοσμοπολίτης γάρ ἐστιν, ἧς χάριν αἰτίας οὐδεμιᾷ τῶν κατὰ τὴν οἰκουμένην πόλεων ἐνεγράφη, δεόντως, οὐ μέρος χώρας ἀλλ'
158 ὅλον τὸν κόσμον κλῆρον λαβών. τί δ'; οὐχὶ καὶ μείζονος τῆς πρὸς τὸν πατέρα τῶν ὅλων καὶ ποιητὴν κοινωνίας ἀπέλαυσε προσρήσεως τῆς αὐτῆς ἀξιωθείς; ὠνομάσθη γὰρ ὅλου τοῦ ἔθνους θεὸς καὶ βασιλεύς· εἴς τε τὸν γνόφον, ἔνθα ἦν ὁ θεός, εἰσελθεῖν λέγεται (Exod. 20, 21), τουτέστιν εἰς τὴν ἀειδῆ καὶ ἀόρατον καὶ ἀσώματον τῶν ὄντων παραδειγματικὴν οὐσίαν, τὰ ἀθέατα φύσει θνητῇ κατανοῶν· καθάπερ τε γραφὴν εὖ δεδημιουργημένην ἑαυτὸν καὶ τὸν ἑαυτοῦ βίον εἰς μέσον προαγαγὼν πάγκαλον καὶ θεοειδὲς ἔργον ἔστησε παράδειγμα τοῖς ἐθέλουσι
159 μιμεῖσθαι. εὐδαίμονες δ' ὅσοι τὸν τύπον ταῖς ἑαυτῶν ψυχαῖς ἐναπεμάξαντο ἢ ἐσπούδασαν ἐναπομάξασθαι· φερέτω γὰρ ἡ διάνοια μάλιστα μὲν τὸ εἶδος τέλειον ἀρετῆς, εἰ δὲ μή, τὸν γοῦν ὑπὲρ τοῦ κτήσασθαι
160 τὸ εἶδος ἀνενδοίαστον πόθον. καὶ μὴν οὐδ' ἐκεῖνό τις ἀγνοεῖ, ὅτι ζηλωταὶ τῶν ἐνδόξων οἱ ἀφανεῖς εἰσι καί, ὧν ἂν ἐκεῖνοι μάλιστ' ὀρέγεσθαι δοκῶσι, πρὸς ταῦτα τὰς αὐτῶν ἀποτείνουσιν ὁρμάς· ἐπειδὰν γοῦν ἡγεμὼν ἄρξηται καθηδυπαθεῖν καὶ πρὸς τὸν ἁβροδίαιτον ἀποκλίνειν βίον, σύμπαν ὀλίγου δεῖν τὸ ὑπήκοον τὰς γαστρὸς καὶ τῶν μετὰ γαστέρα προσαναρρήγνυσιν

1 οὐδὲν] οὐδὲ ἓν VO οὐδ'] οὐδὲ VO ἑαυτόν codd.: αὑτόν v 2 ἂν GHP Barb.: om. ceteri ᾖ] εἴη BEMAKZ μεταλαγχάνει GHP Barb.: μεταλαμβάνει ceteri 3 γάρ] τίς V²O 5 ὅλον τὸν κόσμον] ὅλην τὴν οἰκουμένην KZ μείζονος VOGHP Barb.: μείζοσι ceteri τῆς] τοῖς A 6 καὶ ποιητὴν τῶν ὅλων transp. Barb. κοινωνίας] κληρονομίας KZ, γρ. κοινωνίας mg. Z ἀπήλαυσε CVOH² Barb. post προσρήσεως add. τε CVOEH² Barb. 7 θεὸς ὅλου τοῦ ἔθνους transp. CVO Barb. τε καὶ BEMAKZ καὶ βασιλεὺς om. Barb. βασιλέων CHP 8 γνόφον mg. M, γνόθον in textu M 9 καὶ ἀόρατον om. Barb. 10 ἀθέατα] θεατὰ BEMA, θαυμαστὰ VO θνητὰ BEMA τε GHP Barb.: γὰρ VO, om. ceteri 11 τε καὶ V ἑαυτοῦ VOKZ: αὐτοῦ C, αὑτοῦ ceteri 12 παραγαγὼν VOAGKZ πάγκαλον GHP Barb.: πᾶσι καλὸν ceteri 13 δὲ VO αὐτῶν G 14 ἢ] ὃ P ἐναπομάξασθαι GHP Barb: ἀπομάξασθαι ceteri 15 μὲν] δὲ M τῆς ἀρετῆς V²O τὸν] τὸ BEMAVO 16 οὐδὲ C 17 εἰσιν CKZ ἂν om. M 18 αὐτῶν VO: αὑτῶν ceteri οὖν BEMKZ Barb., γοῦν om. A 19 καθϋπαθεῖν (sic) M 19. 20 ὀλίγου δεῖν] ὀλεῖσθαι δεῖ DR 20 τὰς] τῶν D προσαναρρήγνυσιν GHP Barb. (πρὸς ἀναρρήγνυσιν DH, πρὸς ἀναρρήδοσιν DR): ἀναρρήγνυσιν ceteri

18—159,5 DH fol. 117v DR fol. 27r Φίλωνος ἐκ τοῦ περὶ Μωσέως βίου: ἐπειδὰν ἡγεμὼν — τῶν ὁμοίων εἰσίν.

ἔξω τῶν ἀναγκαίων ἐπιθυμίας, εἰ μή τινες εὐμοιρίᾳ χρήσαιντο φύσεως ψυχὴν οὐκ ἐπίβουλον ἀλλ' εὐμενῆ καὶ ἵλεω κτησάμενοι· ἐὰν δ' αὐστη- 161
ροτέραν καὶ σεμνοτέραν ἕληται προαίρεσιν, καὶ οἱ λίαν αὐτῶν ἀκράτορες μεταβάλλουσι‸πρὸς ἐγκράτειαν ἢ φόβῳ ἢ αἰδοῖ σπουδάζοντες ὑπόληψιν ἐμποιεῖν, ὅτι ἄρα ζηλωταὶ τῶν ὁμοίων εἰσί· καὶ οὐκ ἄν ποθ' οἱ χείρους τὰ τῶν κρειττόνων ἀλλ' οὐδὲ μανέντες ἀποδοκιμάζοιεν. τάχα δ', ἐπεὶ 162
καὶ νομοθέτης ἔμελλεν ἔσεσθαι, πολὺ πρότερον αὐτὸς ἐγίνετο νόμος ἔμψυχός τε καὶ λογικὸς θείᾳ προνοίᾳ, ἥτις ἀγνοοῦντα αὐτὸν εἰς νομοθέτην ἐχειροτόνησεν αὖθις.

(29.) Ἐπειδὴ τοίνυν παρ' ἑκόντων ἔλαβε τὴν ἀρχήν, βραβεύοντος 163
καὶ ἐπινεύοντος θεοῦ, τὴν ἀποικίαν ἔστελλεν εἰς Φοινίκην καὶ Συρίαν τὴν κοίλην καὶ Παλαιστίνην, ἣ τότε προσηγορεύετο Χαναναίων, ἧς οἱ ὅροι τριῶν ἡμερῶν ὁδὸν διειστήκεσαν ἀπ' Αἰγύπτου. εἶτ' ἦγεν αὐτοὺς 164
p. 107 M. οὐ | τὴν ἐπίτομον, ἅμα μὲν εὐλαβηθείς, μή ποθ', ὑπαντιασάντων τῶν οἰκητόρων διὰ φόβον ἀναστάσεως καὶ ἀνδραποδισμοῦ καὶ γενομένου πολέμου, πάλιν τὴν αὐτὴν ὁδὸν ὑποστρέψωσιν εἰς Αἴγυπτον, ἀπ' ἐχθρῶν ἐπ' ἐχθρούς, νέων ἐπ' ἀρχαίους, γέλως καὶ χλεύη γενησόμενοι καὶ χείρω καὶ ἀργαλεώτερα τῶν προτέρων ὑπομενοῦντες, ἅμα δὲ καὶ βουλόμενος αὐτοὺς δι' ἐρήμης ἄγων καὶ μακρᾶς δοκιμάσαι, πῶς ἔχουσι πειθαρχίας ἐν οὐκ ἀφθόνοις χορηγίαις ἀλλ' ἐκ τοῦ κατ' ὀλίγον ὑποσπανιζούσαις.
ἐκτραπόμενος οὖν τὴν ἐπ' εὐθείας, ἐγκάρσιον ἀτραπὸν εὑρὼν καὶ νομίσας 165

---

1 ἔξωθεν HP (Turn.) ἐπιθυμιῶν D ἀμοιρία Z 2 ἵλεων VOGHP κτησάμενοι] χρησόμενοι A, χρησόμενον CV¹BEM δὲ D 3 ἀκράτορες αὐτῶν transp. A 4 αἰδῶ C τὴν ὑπόληψιν H¹P 5 ἄρα om. D 6—9 τάχα — αὖθις om. VO, add. man. rec. mg. V 7 νόμος GHP(V) Barb.: λόγος ceteri 8 εἰς νομοθετικὴν BEMA 10 ἐπεὶ A 11 θεοῦ GHP: τοῦ θεοῦ ceteri 12 ἢ C 13 ὁδὸν om. KZ διειστήκεσαν CVO: διειστήκεισαν ceteri ἀπ' αἰγύπτου διεστήκεσαν transp. C εἶτα BEMKZ 15 ἀναστάσεως] ἀναστατώσεως G, ἐπαναστάσεως AV²O (Mang.) 16 ἀπ' VOGHP: ἀπὸ ceteri 17 εἰς ἐχθρούς BEMAKZ γενησόμενον M 18 ὑπομενοῦσιν V²O βουλευόμενος corr. ex βουλόμενος Z 19 vel καὶ delendum vel scribendum ἀτριβοῦς καὶ μακρᾶς censuit Mang. πειθαρχίαις P 21 ἐκτρεπόμενος M τὴν GHP: τῆς ceteri (v) ἀτραπων C

---

7. 8 *Clem. Alex. Strom. I 26 p. 421 P.* ... Μωυσῆς δὲ συνελόντι εἰπεῖν νόμος ἔμψυχος ἦν τῷ χρηστῷ λόγῳ κυβερνώμενος. 13 sqq. *Clem. Alex. Strom. I 24 p. 417 P.* Μωυσῆς τὸν λαὸν ἐξαγαγὼν ὑποπτεύσας ἐπιδιώξειν τοὺς Αἰγυπτίους τὴν ὀλίγην καὶ σύντομον ἀπολιπὼν ὁδὸν ἐπὶ τὴν ἔρημον ἐτρέπετο καὶ νύκτωρ τὰ πολλὰ τῇ πορείᾳ ἐκέχρητο. ἑτέρα γὰρ ἦν οἰκονομία, καθ' ἣν ἐπαιδεύοντο Ἑβραῖοι δι' ἐρημίας πολλῆς καὶ χρόνου μακροῦ, εἰς μόνον τὸ πιστεύειν τὸν θεὸν εἶναι δι' ὑπομονῆς ἐθιζόμενοι σώφρονος. 13 sqq. Exod. 13,17.

κατατείνειν ἄχρι τῆς ἐρυθρᾶς θαλάττης ὁδοιπορεῖν ἤρχετο. τεράστιον
δέ φασι συμβῆναι κατ' ἐκεῖνον τὸν χρόνον μεγαλούργημα τῆς φύσεως,
166 ὃ μηδείς πω μέμνηται πάλαι γεγονός. νεφέλη γὰρ εἰς εὐμεγέθη κίονα
σχηματισθεῖσα προῄει τῆς πληθύος, ἡμέρας μὲν ἡλιοειδὲς ἐκλάμπουσα
φέγγος, νύκτωρ δὲ φλογοειδές, ὑπὲρ τοῦ μὴ πλάζεσθαι κατὰ τὴν πορείαν,
ἀλλ' ἀπλανεστάτῳ ἕπεσθαι ἡγεμόνι ὁδοῦ. τάχα μέντοι καὶ τῶν ὑπάρχων
τις ἦν τοῦ μεγάλου βασιλέως, ἀφανὴς ἄγγελος, ἐγκατειλημμένος τῇ νεφέλῃ
προηγητήρ, ὃν οὐ θέμις σώματος ὀφθαλμοῖς ὁρᾶσθαι.
167 (30.) Θεασάμενος δ' ὁ τῆς Αἰγύπτου βασιλεὺς ἀνοδίᾳ χρωμένους,
ὡς ᾤετο, καὶ διὰ τραχείας καὶ ἀτριβοῦς ἐρήμης βαδίζοντας ἥσθη μὲν
ἐπὶ τῷ κατὰ τὴν πορείαν σφάλματι, νομίσας συγκεκλεῖσθαι διέξοδον
οὐκ ἔχοντας, ἐπὶ δὲ τῷ μεθέσθαι μετανοῶν ἐπεχείρει διώκειν, ὡς ἢ
φόβῳ τὴν πληθὺν ὑποστρέψων καὶ δουλωσόμενος αὖθις ἢ ἀποκτενῶν
168 ἡβηδὸν ἀφηνιάζουσαν. εἶθ' ἅπασαν τὴν ἱππικὴν δύναμιν παραλαβὼν
ἀκοντιστάς τε καὶ σφενδονήτας καὶ ἱπποτοξότας καὶ τοὺς ἄλλους ὅσοι
τῆς κούφης ὁπλίσεως καὶ τὰ κάλλιστα τῶν δρεπανηφόρων ἁρμάτων
ἑξακόσια τοῖς ἐν τέλει δούς, ἵνα μετὰ τοῦ πρέποντος ἀξιώματος ἐπακολου-
θήσωσι καὶ τῆς στρατείας μετάσχωσιν, οὐδὲν τάχους ἀνεὶς ἐπεξέθει
καὶ συντείνων ἔσπευδε βουλόμενος ἐξαπιναίως οὐ προϊδομένοις ἐπιστῆναι·
τὸ γὰρ ἀνέλπιστον κακὸν ἀργαλεώτερον αἰεὶ τοῦ προσδοκηθέντος, ὅσῳ
169 καὶ τὸ ὀλιγωρηθὲν εὐεπιχειρητότερον τοῦ σὺν φροντίδι. καὶ ὁ μὲν ταῦτα
διανοηθεὶς ἐπηκολούθει νομίζων αὐτοβοεὶ περιέσεσθαι, οἱ δ' ἔτυχον ἤδη
παρὰ ταῖς ἠϊόσι τῆς θαλάττης στρατοπεδεύοντες· μελλόντων δ' ἀριστο-

1 θαλάσσης VOMKZ ἤρχετο GHP: ἤρξατο ceteri 2 τῆς om. H
3 γεγονώς G 4 μετασχηματισθεῖσα GP 5 φέγγος] φῶς P κατὰ om. O
6 ἀπλανεστάτη HP(v) ἡγεμονία H (Turn.) τῆς ὁδοῦ HP μέν τι G
8 προηγήτωρ GHP (v) 9 δὲ A τῆς om. H ἀνοδίᾳ] ἀνοδὶ Turn.
10 ὡς om. $V^1$ ut vid., ὡς ᾤετο om. CBEMA τραχείας] βαθείας coni. Mang. coll.
161,9 ἐρήμους $C^1$M, ἐρήμου $C^2$ 11 ἐπὶ τῷ — ἔχοντας (12) om. HP, add.
mg. $H^2P^2$ ἐγκεκλεῖσθαι C, οὖν κεκλεῖσθαι VO, κεκλεῖσθαι BEMA 12 δὲ
om. H ἐπιχειρεῖ M 14. 15 παραλαβὼν ἀκοντιστάς τε om. HP 16 τὰ
om. G 17 ἑξακόσια] $\bar{\chi}$ C τοῦ om. P 17. 18 ἐπακολουθῶσι GHP
18 στρατιᾶς A ἀνεὶς GHP: ἀνιεὶς ceteri ὑπεξέθει BEMAKZ 19 ἔσπουδε
(sic) M, ἐπέσπευδε HP, ἔτρεχεν VO προϊδομένοις A: προειδομένοις ceteri 20 αἰεὶ
GHP: ἀεὶ ceteri ὅσον M 21 εὐεπιχειρότερον O, εὐεπιχείρητον A
σὺν φροντίδι GHP: ἐν φροντίδι KZ, συμφέροντος $CV^1$BEMA, ἀπροσδοκήτως εἰσπίπτοντος
$V^2$O τοιαῦτα O 22 οἶδ' Z 23 θαλάσσης VOZ στρατοπε-
δεύοντες GHP: στρατοπεδεύσαντες ceteri (v)

1 sqq. Exod. 13,21. 22 9 sqq. Exod. cap. 14

ποιεῖσθαι, τὸ μὲν πρῶτον πάταγος ἐξηχεῖτο πολύς, ἅτε τοσούτων ἀνθρώπων
ὁμοῦ καὶ ὑποζυγίων μετὰ σπουδῆς ἐλαυνόντων, ὡς ἐκχυθέντας τῶν σκηνῶν
p. 108 M. περιβλέπεσθαι καὶ ὠτακουστεῖν | ἀκροβατοῦντας· εἶτ' ὀλίγῳ ὕστερον ἐπὶ
λόφου μετέωρος ἡ ἀντίπαλος καταφαίνεται δύναμις ἐν τοῖς ὅπλοις ἐκτεταγ-
μένη πρὸς μάχην. (31.) ἐπὶ δὲ τῷ παραλόγῳ καὶ ἀπροσδοκήτῳ κατα- 170
πλαγέντες καὶ μήτε πρὸς ἄμυναν εὐτρεπεῖς ὄντες διὰ σπάνιν ἀμυντηρίων
— οὐ γὰρ ἐπὶ πόλεμον ἀλλ' εἰς ἀποικίαν ἐξῄεσαν — μήτε φυγεῖν
δυνάμενοι — κατόπιν μὲν γὰρ πέλαγος, ἐχθροὶ δ' ἀντικρύ, τὰ δὲ παρ'
ἑκάτερα βαθεῖα καὶ ἀτριβὴς ἐρήμη — σφαδάζοντες καὶ τῷ μεγέθει
τῶν κακῶν ἀπειρηκότες, οἷα παρὰ τὰς τοιαύτας φιλεῖ συμφοράς, τὸν
ἄρχοντα ᾐτιῶντο φάσκοντες· „διὰ τὸ μὴ εἶναι μνήματα ἐν Αἰγύπτῳ, 171
οἷς ἀποθανόντες ἐνταφησόμεθα, ἐξήγαγες ἡμᾶς, ἵν' ἐνταῦθα κηδεύσῃς
ἀποκτείνας; ἢ οὐ πᾶσα δουλεία κουφότερον κακὸν θανάτου; δελεάσας
ἐλευθερίας ἐλπίδι τὸ πλῆθος τὸν χαλεπώτερον περὶ τοῦ ζῆν ἐπεκρέμασας
κίνδυνον. ἠγνόεις τὴν ἡμετέραν ἁπλότητα καὶ τὴν Αἰγυπτίων πικρίαν 172
καὶ τὸ βαρύμηνι; τὸ μέγεθος τῶν ἀφύκτων κακῶν οὐχ ὁρᾷς; τί πρακτέον;
πολεμῶμεν ἄοπλοι πρὸς ὡπλισμένους; ἀλλὰ φεύγωμεν καθάπερ ἄρκυσι
κυκλωθέντες ἀνηλεέσιν ἐχθροῖς, ἐρημίαις ἀβάτοις, ἀπλώτοις πελάγεσιν;
εἰ δὲ δὴ καὶ πλωτά, τίς εὐπορία σκαφῶν εἰς περαίωσιν;“ ὁ δὲ ταῦτα 173
ἀκούων τοῖς μὲν συνεγίνωσκε, τῶν δὲ χρησμῶν ἐμέμνητο· καὶ διανείμας
τὸν νοῦν καὶ τὸν λόγον κατὰ τὸν αὐτὸν χρόνον τῷ μὲν ἐνετύγχανεν
ἀφανῶς τῷ θεῷ, ἵν' ἐξ ἀμηχάνων ῥύσηται συμφορῶν, δι' οὗ δ' ἐθάρσυνε
καὶ παρηγόρει τοὺς καταβοῶντας „μὴ ἀναπίπτετε“ λέγων· „οὐχ ὁμοίως
ἄνθρωπος ἀμύνεται καὶ θεός. τί μόνοις τοῖς εὐλόγοις καὶ πιθανοῖς 174
προπιστεύετε; παρασκευῆς οὐδεμιᾶς ἐστι χρεῖος ὁ θεὸς βοηθός· ἐν

---

1 ἐξήχητο A 2 ὁμοῦ om. A ἐκχυθέντας Mang.: ἐξεληλυθότας CKZ(v), ἐξελθόντας V², ἐκλυθέντας ceteri 3 ὀλίγον conicio 4. 5 ἐκτεταγμένη GHPKZ: ἐκτεταμένη ceteri 6 εὐπρεπεῖς ὄντες M, εὐτρεπισθέντες C 7 post πόλεμον add. ἐξῆλθον V²O ἐξῄεσαν GHPKZ: om. ceteri φυγεῖν GHP: φεύγειν ceteri 8 κατόπισθεν A πέλαγος GHP: πόλεμος ceteri; κατόπιν μὲν γὰρ πόλεμος, πέλαγος δὲ ἄντικρυς coni. Mang., ipse transponendis verbis πέλαγος et ἐχθροί locum emendari posse putaveram: κατόπιν μὲν γὰρ ἐχθροί, πέλαγος δ' ἀντικρύ (cf. de vita Mos. II § 251). sed nihil mutandum δὲ VO ἀντικρύ BEMKZ: ἄντικρυς ceteri 9 βαθεῖα ex βαθέα corr. B, βαθέα CE ἐρημία M (Mang.) 12 ἀποθανοῦντες A 14 τὸν χαλεπότερον E, τὸ χαλεπότερον G 15 ἡμετέραν] ἡμέραν C τὴν τῶν αἰγυπτίων A 17 ἄνοπλοι CGHP φεύγομεν GO ἄρκυσι om. in lac. C ἄρκυσι GHP: ἐν ἄρκυσι ceteri 19 ταῦτ' BEMAK 20 χρησμῶν] χρησμάτων Z 22 δι' οὗ] τῷ VO δὲ M, δ' om. BEA, δὲ ss. B man. rec. 24 πιθανοῖς καὶ εὐλόγοις transp. A 25 προσπιστεύετε AVO χρέος A θεὸς om. GHP ὁ βοηθός, CZ, βοηθῶν V²

ἀπόροις πόρον εὑρεῖν ἴδιον θεοῦ· τὰ ἀδύνατα παντὶ γενητῷ μόνῳ δυνατὰ
175 καὶ κατὰ χειρός.“ καὶ ταῦτα μὲν ἔτι καθεστὼς διεξῄει· μικρὸν δ'
ἐπισχὼν ἔνθους γίνεται καταπνευσθεὶς ὑπὸ τοῦ εἰωθότος ἐπιφοιτᾶν αὐτῷ
πνεύματος καὶ θεσπίζει προφητεύων τάδε· „ἣν ὁρᾶτε στρατιὰν εὐοπλοῦσαν,
οὐκέτ' ἀντιτεταγμένην ὄψεσθε· πεσεῖται γὰρ προτροπάδην πᾶσα καὶ
βύθιος ἀφανισθήσεται, ὡς μηδὲ λείψανον αὐτῆς ὑπὲρ γῆς ἔτι φανῆναι,
176 καὶ οὐ μήκει χρόνου, ἀλλὰ τῇ ἐπιούσῃ νυκτί.“ (32.) καὶ ὁ μὲν ταῦτ'
ἀπεφθέγγετο. καταδύντος δ' ἡλίου, νότος εὐθὺς ἤρξατο κατασκήπτειν
βιαιότατος, ὑφ' οὗ τὸ πέλαγος ἐξανεχώρησεν, εἰωθὸς μὲν ἀμπωτίζειν,
τότε δὲ καὶ μᾶλλον ὠθούμενον τὸ πρὸς | αἰγιαλοῖς ὑπεσύρη καθάπερ p. 109 M.
εἰς χαράδραν ἢ χάρυβδιν· ἀστὴρ τε προὐφαίνετ' οὐδείς, ἀλλὰ πυκνὸν
καὶ μέλαν νέφος ἅπαντα τὸν οὐρανὸν ἐπεῖχε, γνοφώδους τῆς νυκτὸς
177 οὔσης εἰς κατάπληξιν τῶν διωκόντων. προσταχθεὶς δὲ Μωυσῆς τῇ
βακτηρίᾳ παίει τὴν θάλασσαν· ἡ δὲ ῥαγεῖσα διίσταται καὶ τῶν τμημάτων
τὰ μὲν πρὸς τῷ ῥαγέντι μέρει μετέωρα πρὸς ὕψος ἐξαίρεται καὶ παγέντα
τρόπον τείχους κραταιῶς ἠρέμει καὶ ἡσύχαζε, τὰ δ' ὀπίσω σταλέντα
καὶ χαλινωθέντα τὴν εἰς τὸ πρόσω φορὰν καθάπερ ἡνίαις ἀφανέσιν
ἀνεχαίτιζε, τὸ δὲ μεσαίτατον, καθ' ὃ ἐγένετο ἡ ῥῆξις, ἀναξηρανθὲν ὁδὸς
εὐρεῖα καὶ λεωφόρος γίνεται. τοῦτο ἰδὼν Μωυσῆς καὶ θαυμάσας ἐγεγή-
θει καὶ πληρωθεὶς χαρᾶς ἐθάρσυνε τοὺς ἰδίους καὶ ᾗ τάχιστα προὔτρεπεν
178 ἀναζευγνύναι. περαιοῦσθαι δὲ μελλόντων, σημεῖον ἐπιγίνεται τερατω-

---

1 πόρον εὑρεῖν] πόρων εὐπορεῖ GHP γεννητῷ KZ, γένει τῷ GHP 2 καθεστὼς ὢν BEMAK, καθεστῶσιν C διεξῄει VOGKZ: ἐξῄει ceteri μικρῶν H, μικροῦ Z δὲ C 3 post ἔνθους add. τε GHP, sed cf. § 201 καταπνευσθεὶς GHP: καὶ καταπνευσθεὶς ceteri ἐπιφοιτᾶν om. A 4 καὶ θεσπίζει GHP: καὶ om. ceteri 5 οὐκέτ' GHP: οὐκέτι ceteri αὐτὴν ante ὄψεσθε add. VO ὄψεσθαι G πεσεῖτε G 6 γῆν BEMA φανῆναι] ταφῆναι A 7 χρόνων V ἀλλὰ] ἀλλ' ἐν BEMAKZ ταῦτα C, ταῦθ' G 8 ἐπεφθέγγετο G δὲ VO 9 ἐξανεχώρησεν GHP: ὑπανεχώρησεν CVO, ἀνεχώρησεν BEMAKZ ἐξανεχώρησεν secludendum videtur 10 δὲ om. H[1]P τὸ om. KZ 11 πυκνόν τε O 13 προσταχθὲν CEAKZ μωσῆς P 14 θάλατταν CVO 15 alt. πρὸς] εἰς τὸ A ἐξαίρεται GHP: αἴρεται ceteri παγέντα] πάντα A 16 ἠρέμιζε A 17 καθάπερ om. A 18 ἀνεχαίτιζε scripsi (cf. 126,4): ἀνεχαιτίζετο codd. καθὸ CK, ἐν ῷ H(v) ἡ om. A ἡ ῥῆξις ἐγένετο transp. H(v) ὁδὸς om. BEMA 19 γίγνεται C τοῦτ' VOGHP

---

1. 2 D[C] fol. 138[r] τοῦ αὐτοῦ ἐκ τοῦ περὶ τῆς κατὰ Μωυσέα κοσμοποιίας et fol. 151[v] τοῦ αὐτοῦ ἐκ τῆς κατὰ Μωσέα κοσμοποιίας D[H] fol. 196[r] Φίλωνος: ἴδιον θεοῦ τὰ ἀδύνατα παντὶ γενητῷ μόνῳ δυνατὰ καὶ κατὰ χειρός.

δέστατον· ἡ γὰρ ὁδηγὸς νεφέλη πρωτοστατοῦσα τὸν ἄλλον χρόνον ἀνακάμπτει πρὸς τὰ οὐραῖα τοῦ πλήθους, ὅπως ὀπισθοφυλακῇ, καὶ ταχθεῖσα μεθόριος τῶν διωκόντων καὶ τῶν διωκομένων τοὺς μὲν ἡνιοχοῦσα σωτηρίως καὶ ἀσφαλῶς ἐπήλαυνε, τοὺς δὲ ἀνεῖργε καὶ ἀνέκρουεν ἐφορμᾶν ἐπειγομένους· ἅπερ ὁρῶντες οἱ Αἰγύπτιοι θορύβου καὶ ταραχῆς πάντ' ἐπλήρουν τάς τε τάξεις ὑπὸ δέους συνέχεον ἐπεμπίπτοντες ἀλλήλοις καὶ ζητοῦντες ἤδη φυγεῖν, ὅτ' οὐδὲν ἦν ὄφελος. οἱ μὲν γὰρ Ἑβραῖοι διὰ ξηρᾶς ἀτραποῦ περὶ 179 βαθὺν ὄρθρον μετὰ γυναικῶν καὶ παίδων ἔτι κομιδῇ νηπίων περαιοῦνται· τοὺς δὲ τὰ τμήματα τοῦ πελάγους ἑκατέρωθεν ἐπικυλισθέντα καὶ ἑνωθέντα αὐτοῖς ἅρμασι καὶ ἵπποις καταποντοῖ, βορείοις πνεύμασι τῆς παλιρροίας ἀναχυθείσης καὶ μετεώροις τρικυμίαις ἐπιδραμούσης, ὡς μηδὲ πυρφόρον ὑπολειφθῆναι τὸν ἀπαγγελοῦντα τοῖς ἐν Αἰγύπτῳ τὰς αἰφνιδίους συμφοράς. τὸ μέγα τοῦτο καὶ θαυμαστὸν ἔργον Ἑβραῖοι καταπλαγέντες 180 ἀναιμωτὶ νίκην οὐκ ἐλπισθεῖσαν ἤραντο καὶ κατιδόντες ἐν ἀκαρεῖ φθορὰν ἀθρόαν πολεμίων δύο χορούς, τὸν μὲν ἀνδρῶν, τὸν δὲ γυναικῶν, ἐπὶ τῆς ἠϊόνος στήσαντες εὐχαριστικοὺς ὕμνους εἰς τὸν θεὸν ᾖδον, ἐξάρχοντος Μωυσέως μὲν τοῖς ἀνδράσιν, ἀδελφῆς δὲ τούτου ταῖς γυναιξίν· ἡγεμόνες γὰρ οὗτοι τῶν χορῶν ἐγεγένηντο.

(33.) Ἄραντες δ' ἀπὸ θαλάττης μέχρι μέν τινος ὡδοιπόρουν μηκέτι 181 τὸν ἀπὸ τῶν ἐχθρῶν ὀρρωδοῦντες φόβον. ἐπιλιπόντος δὲ τοῦ ποτοῦ τρισὶν ἡμέραις, αὖθις ἐν ἀθυμίαις ἦσαν ὑπὸ δίψους καὶ πάλιν ἤρξαντο μεμψιμοιρεῖν ὡς μηδὲν εὖ προπεπονθότες· ἀεὶ γὰρ ἡ τοῦ παρόντος προσβολὴ δεινοῦ τὰς ἐπὶ τοῖς προτέροις ἀγαθοῖς ἡδονὰς ἀφαιρεῖται.

1 προστατοῦσα coni. Mang. 5 οἱ om. HP (Turn.) πάντ' GHP: πάντα ceteri 6 ἐπιπίπτοντες M, συνεμπίπτοντες VO 7 οὐδὲ A ἀτραποῦ] ἀτραπῇ (sic) τε καὶ Z 8 παίδων] τέκνων VO νηπίων κομιδῇ transp. KZ 9 ἑκατέρωθεν GHP: ἀφ' ἑκατέρωθεν BEMAKZ, ἐφ' ἑκατέρωθεν CVO 10 αὐτοῖς ἅρμασι καὶ ἵπποις GHP: ἵπποις αὐτοῖς καὶ ἅρμασι VOKZ, ἐπὶ τοῖς αὐτοῖς καὶ ἅρμασι C, ἐπὶ τοῖς αὐτοῖς ἅρμασι καὶ ἵπποις A, ἐπὶ τοῖς αὐτοῖς καὶ ἅρμασι καὶ ἵπποις BEM καταποντοῖ GHPKZ: καταπόντου C, κατὰ πόντον BEMA, κατεπόντο (sic) V, κατεπόντουν O καὶ ante βορείοις add. CV¹BEMA βορέοις KZ post πνεύμασιν add. ἐκ CV¹BEMA 11 τρικυμίας A 12 ἀπολειφθῆναι CVOGHP ἐφνιδίους C 13 ὅθεν ante τὸ add. V²O ἔργον GHP: om. ceteri 14 ἀναιμωτὶ GHPKZ: ἀναιμακτὶ ceteri ἀκαρεὶ codd. 16 ἴόνος C εἰς τὸν θεὸν ᾖδον GHP: ᾖδον πρὸς τὸν θεόν M, ᾖδον εἰς τὸν θεὸν ceteri 17 μὲν μωυσέος transp. A(v) 18 ἐγεγένηντο GHP: ἐγένοντο ceteri 19 δ' om. G θαλάττης GHP: τῆς θαλάττης ceteri θαλάσσης K 22 πεπονθότες A

19 sqq. Exod. 15,22—27

182 θεασάμενοι δὲ πηγὰς ἐπιτρέχουσιν | ὡς ἀρυσόμενοι χαρᾶς ὑπόπλεῳ, p. 110 M.
δι' ἄγνοιαν τἀληθοῦς ἀπατηθέντες· πικραὶ γὰρ ἦσαν· εἶτα γευσάμενοι
γναμφθέντες τῷ παρ' ἐλπίδα τά τε σώματα παρεῖντο καὶ τὰς ψυχὰς
ἀναπεπτώκεσαν, οὐχ οὕτως ἐφ' ἑαυτοῖς ὡς ἐπὶ τοῖς νηπίοις παισὶ
183 στένοντες, οὓς ἀδακρυτὶ ποτὸν αἰτοῦντας ὁρᾶν οὐχ ὑπέμενον. ἔνιοι
δὲ τῶν ὀλιγωροτέρων καὶ πρὸς εὐσέβειαν ἀβεβαίων καὶ τὰ προγεγονότα
ᾐτιῶντο ὡς οὐκ ἐπ' εὐεργεσίᾳ συμβάντα μᾶλλον ἢ διὰ μετουσίαν ἀργα-
λεωτέρων συμφορῶν, ἄμεινον εἶναι λέγοντες τρίς, οὐχ ἅπαξ, ὑπ' ἐχθρῶν
ἀποθανεῖν ἢ δίψει παραπολέσθαι· τὴν μὲν γὰρ ἄπονον καὶ ταχεῖαν τοῦ
βίου μετάστασιν οὐδὲν ἀθανασίας διαφέρειν τοῖς εὖ φρονοῦσι, θάνατον
δ' ὡς ἀληθῶς εἶναι τὸν βραδὺν καὶ μετ' ἀλγηδόνων, οὐκ ἐν τῷ τεθνάναι
184 τὸ φοβερὸν ἀλλ' ἐν μόνῳ τῷ ἀποθνῄσκειν ἐπιδεικνύμενον. τοιαύταις
χρωμένων ὀλοφύρσεσι, πάλιν ἱκετεύει τὸν θεὸν Μωυσῆς ἐπιστάμενον
τὴν ζῴων καὶ μάλιστα τὴν ἀνθρώπων ἀσθένειαν καὶ τὰς τοῦ σώματος
ἀνάγκας ἐκ τροφῆς ἠρτημένου καὶ δεσποίναις χαλεπαῖς συνεζευγμένου,
βρώσει καὶ πόσει, συγγνῶναι μὲν τοῖς ἀθυμοῦσι, τὴν δὲ πάντων ἔνδειαν
ἐκπλῆσαι, μὴ χρόνου μήκει, δωρεᾷ δ' ἀνυπερθέτῳ καὶ ταχείᾳ, διὰ
τὴν τοῦ θνητοῦ φυσικὴν ὀλιγωρίαν ὀξὺν καιρὸν τῆς βοηθείας ἐπιποθοῦντος.
185 ὁ δὲ τὴν ἵλεων αὐτοῦ δύναμιν φθάνει προεκπέμψας καὶ διοίξας τὸ τοῦ
ἱκέτου τῆς ψυχῆς ἀκοίμητον ὄμμα ξύλον δείκνυσιν, ὃ προσέταξεν ἀρά-
μενον εἰς τὰς πηγὰς καθεῖναι, τάχα μὲν κατεσκευασμένον ἐκ φύσεως
ποιοῦν δύναμιν, ἣ τάχα ἠγνόητο, τάχα δὲ καὶ τότε πρῶτον ποιηθὲν εἰς

1 ὑπόπλεῳ G$V^2$O: ὑπόπλεοι ceteri 2 ἀπατηθέντες] ἀποπλανηθέντες VO
3 γναφθέντες VO$K^2$, καμφθέντες $K^1$Z 4 ἐφ' αὑτοῖς AEHP, ἐπ' αὐτοῖς G (et $V^1$ ut vid.) 5 οὓς] οὐκ BEMVO, οὓς οὐκ A (Mang.) ἀδακρυτὶ $G^2$, οὐ δακρυτὶ $G^1$ post ἀδακρυτὶ add. γὰρ $V^2$O αἰτοῦντα $V^2$O 7 ἢ] ἀλλὰ VO
9 δίψῃ CG 10 μετάστασιν CAGH: μετάστασιν corr. ex μετανάστασιν Z, μετα-νάστασιν corr. ex μετάστασιν B, μετανάστασιν EMVOKP εὐθανασίας coni. Mang. τοῖς εὖ φρονοῦσι διαφέρειν transp. O 11 δ' om. A μετὰ C τῷ] τὸ G
12 τῷ] τὸ G 13 μωυσῆς GHP$K^1$Z: ὁ μωυσῆς ceteri ἐπιστάμενος BEMAVO
14 τὴν ἀνθρώπων VGHP: τὴν τῶν ἀνθρώπων O, τῶν ἀνθρώπων ceteri alt. καὶ] διὰ $V^2$O 14. 15 ταῖς ... ἀνάγκαις A 15 ἠρτημένου et συνεζευγμένου HPKZ: ἠρτημένην et συνεζευγμένην ceteri 15. 16 βρώσει καὶ πόσει συνεζευγμένην transp. M
17 ταχεῖ (sic) Z 18 τοῦ om. K 19 τὴν ἵλεων αὐτοῦ (αὐτοῦ scripsi) δύναμιν GHP: τῇ ἵλεω αὐτοῦ δυνάμει ceteri (v) διανοίξας VO, διανοίξας corr. ex διοίξας K
20 οἰκέτου VOG τῆς ψυχῆς ἀκοίμητον ὄμμα KZ: ἀκοίμητον τῆς ψυχῆς ὄμμα G, ἀκοί-μητον ὄμμα τῆς ψυχῆς HP(v), τῆς ψυχῆς om. CVO, τῆς ψυχῆς ἀκοίμητον om. BEMA ξύλον GHP$V^2$O: ξύλον γὰρ ceteri (γὰρ eras. $V^2$) 21 μὲν HP: μὲν καὶ ceteri (v) προκατεσκευασμένον coni. Mang. 22 ποιοῦν] ποιεῖν $V^2$O (prob. Wendl.); ⟨ὡς⟩ ποιοῦν conicio; ⟨καὶ⟩ ποιοῦν coni. Mang. ἣ] ἢ M pr. τάχα] τάχιστα H: πρόσθεν conicio, τέως coni. Wendl. ἠγνοεῖτο GHP (v) πρῶτον GHPKZ: om. ceteri

ἣν ἔμελλεν ὑπηρετεῖν χρείαν. γενομένου δὲ τοῦ κελευσθέντος, αἱ μὲν 186
πηγαὶ γλυκαίνονται μεταβαλοῦσαι πρὸς τὸ πότιμον, ὡς μηδ' εἰ τὴν
ἀρχὴν ἐγένοντό ποτε πικραὶ δύνασθαι διαγνῶναι, διὰ τὸ μηδὲ ἴχνος ἢ
ζώπυρον τῆς ἀρχαίας κακίας εἰς μνήμην ὑπολελεῖφθαι. (34.) τὸ δὲ 187
δίψος ἀκεσάμενοι μεθ' ἡδονῆς διπλασίας, ἐπειδὴ τῆς ἀπολαύσεως τὸ
παρ' ἐλπίδα συμβεβηκὸς ἀγαθὸν εὐφραίνει μᾶλλον, ἔτι καὶ τὰς ὑδρίας
πληρώσαντες ἀνεζεύγνυσαν, ὥσπερ ἀπὸ θοίνης καὶ ἱλαρᾶς εὐωχίας ἑστια-
θέντες καὶ μεθύοντες οὐ τὴν ἐν οἴνῳ μέθην ἀλλὰ τὴν νηφάλιον, ἣν
ἠκρατίσαντο τὰς προπόσεις λαβόντες παρὰ τῆς εὐσεβείας τοῦ προεστῶτος
ἄρχοντος. ἀφικνοῦνται δ' εἰς σταθμὸν δεύτερον, εὔυδρόν τε καὶ εὔδεν- 188
δρον — Αἰλεὶμ ὠνομάζετο (Exod. 15, 27) —, πηγαῖς καταρρεόμενον
δώδεκα, παρ' αἷς στελέχη νέα φοινίκων εὐερνέστατα ἦν τὸν ἀριθμὸν
p. 111 M. ἑβδομήκοντα, τοῖς ὀξὺ τῇ | διανοίᾳ βλέπειν δυναμένοις ἀγαθῶν τῶν
ἐθνικῶν ἐναργῆ σημεῖα καὶ δείγματα· φυλαί τε γάρ εἰσι τοῦ ἔθνους 189
δώδεκα, ὧν ἑκάστη πηγῆς ἕξει λόγον εὐσεβοῦσα, χορηγούσης εὐσεβείας
ἀενάους καὶ ἀνελλιπεῖς καλὰς πράξεις, γενάρχαι δὲ τοῦ σύμπαντος ἔθνους
ἑβδομήκοντα γεγόνασι φοίνικι τῷ τῶν δένδρων ἀρίστῳ προσηκόντως
παρεικασθέντες, ὃ καὶ ὀφθῆναι καὶ καρπὸν ἐνεγκεῖν ἐστι κάλλιστον, ὅπερ

2 μετάβάλλουσαι VOG  τὸ MGHP: om. ceteri  ὡς μηδ' εἰ Turn.: ὡς εἰ μηδὲ codd. (Mang.)  3 ἐγίνοντο BEMAKZ  διακρῖναι KZ  μηδὲ] μὴ HP  3. 4 ἢ ζώπυρον GHPKZ: ζωπυροῦν (om. ἢ) ceteri  4 ζώπυρόν ⟨τι⟩ coni. Mang.  κακίας] πικρίας coni. Mang.; sed cf. Ioseph. ab ipso Mang. laud.  6 εὐφραίνει GHP: ηὔφρανε C (Mang.), εὔφρανε ceteri  τὰς ὑδρίας ex τὰ ὑδρία corr. B, τὰ ὑδρία $EV^{1}AKZ$, τὰ ὑδρεῖα $CV^{2}O$  7 ἱλαρᾶς καὶ transp. A  8 ἀλλὰ τὴν νηφάλιον GHPKZ: ἀλλ' (om. τὴν νηφάλιον) ceteri  9 ἠκρατήσαντο $B^{1}E$, ηὐκρατήσαντο A  πόσεις A  λαμβάνοντες HP  τῆς εὐσεβείας om. G
10 ἀφικνεῖται HP  δὲ AVO  τε om. M  11 αἰλὶμ C, αἰλὶν $H^{1}$, ἐλεὶμ VOG  ὠνομάζεται (sic) C  καταρρυόμενον P  12 παρὰ (om. αἷς) $H^{1}P$  στελέχη νέα φοινίκων $CVOGHPK^{2}$: στελέχη φοινίκων νέα BEM, φοινίκων στελέχη νέα A, στελέχη φοινίκων (om. νέα) $K^{1}Z$  ἃ add. ante εὐερνέστατα HP  τὸν om. HP
13 δυναμένοις βλέπειν transp. VO  13. 14 ἀγαθῶν τῶν ἐθνικῶν GHP: τῶν ἐθνικῶν ἀγαθῶν KZ, τῶν ἀγαθῶν ἐθνικῶν ceteri  14 δείγματα] τάγματα VO  τε codd.: μὲν v  εἰσι] ἦσαν M  τοῦ ἔθνους VO: τὸ ἔθνος ceteri  15 λόγων G  εὐσεβοῦσα GHP: εὐσεβοῦς ceteri  εὐσεβείας] εὐσεβεῖς O, εὐλαβείας BM  16 ἀενάους CE: ἀεννάους ceteri  καλὰς om. O  γεννάρχαι H  ἔθνους] ἔθους P, ἀνθρωπείου γένους $V^{2}O$  17 τῶν GHP: om. ceteri  δένδρω VOM  ἀρίστω δένδρω transp. O
17. 18 προσηκόντως παρεικασθέντες GHP: προσηκόντως ἀπεικασθέντες CVO, παρεικασθέντες προσηκόντως ceteri  18 ἀνενεγκεῖν ἐστι O, ἐστι προσενεγκεῖν BEMAKZ  ὅπερ GHP: ὃ ceteri

4 cf. *Ioseph. Ant. Iud. III 3* ἀφικνοῦνται δὲ . . . εἰς Μὰρ τόπον οὕτως διὰ τὴν τοῦ ὕδατος κακίαν ὀνομάσαντες· μὰρ γὰρ ἡ πικρία λέγεται. § 6 . . . ἱκετεύων οὖν τρέπεται τὸν θεὸν μεταβαλεῖν τὸ ὕδωρ ἐκ τῆς παρούσης κακίας καὶ πότιμον αὐτοῖς παρασχεῖν.

καὶ τὴν ζωτικὴν ἔχει δύναμιν οὐκ ἐν ῥίζαις ὥσπερ τὰ ἄλλα κατορωρυγμένην ἀλλ' ἀνώφοιτον, καρδίας τρόπον ἐν τῷ μεσαιτάτῳ τῶν ἀκρεμόνων
190 ἱδρυμένην, ὑφ' ὧν οἷα ἡγεμονὶς ὄντως ἐν κύκλῳ δορυφορεῖται. τοιαύτην δ' ἔχει φύσιν καὶ ἡ διάνοια τῶν γευσαμένων ὁσιότητος· ἄνω γὰρ μεμάθηκε βλέπειν τε καὶ φοιτᾶν καὶ μετεωροπολοῦσα ἀεὶ καὶ τὰ θεῖα διερευνωμένη κάλλη χλεύην τίθεται τὰ ἐπίγεια, ταῦτα μὲν παιδιάν, ἐκεῖνα δὲ σπουδὴν ὡς ἀληθῶς νομίζουσα.

191 (35.) Μετὰ δὲ ταῦτ' οὐ πολὺς διῆλθε χρόνος καὶ ἀπορίᾳ σιτίων ἐλίμωττον, ὥσπερ ἐκ διαδοχῆς ἀντεπιτιθεμένων τῶν ἀναγκαίων· δέσποιναι γὰρ χαλεπαὶ καὶ βαρεῖαι, πεῖνα καὶ δίψα, διακληρωσάμεναι τὰς κακώσεις ἐν μέρει προσέκειντο καὶ συνέβαινε κατὰ τὴν τῆς ἑτέρας ἄνεσιν ἐπιγίνεσθαι τὴν ἑτέραν, ὅπερ ἦν τοῖς πάσχουσιν ἀφορητότατον, εἴ γε πρὸ μικροῦ δόξαντες ἀπαλλαγῆναι δίψους ἐφεδρεῦον κακὸν πεῖναν εὕρισκον.
192 ἦν δ' οὐ μόνον ἡ παροῦσα σπάνις χαλεπόν, ἀλλὰ καὶ ἡ πρὸς τὸν μέλλοντα χρόνον τῶν ἐπιτηδείων ἀπόγνωσις· ὁρῶντες γὰρ βαθεῖαν καὶ πολλὴν ἔρημον καὶ καρπῶν ἀγονωτάτην σφόδρα ἠθύμουν· πάντα γὰρ ἦσαν ἢ τραχεῖαι καὶ ἀπορρῶγες πέτραι ἢ ἁλμυρόγεως πεδιὰς ἢ ὄρη λιθωδέστατα ἢ ψάμμοι βαθεῖαι πρὸς ἠλίβατον ὕψος ἀνατείνουσαι, καὶ προσέτι ποταμὸς οὐδείς, οὐκ αὐθιγενής, οὐ χειμάρρους, οὐδεμία πηγή, σπαρτὸν οὐδὲν οὐδὲ δένδρον, οὐχ ἥμερον, οὐ τῆς ἀγρίας ὕλης, οὐ ζῷον πτηνὸν ἢ χερσαῖον, ὅτι μὴ τῶν ἑρπετῶν τὰ ἰοβόλα πρὸς ὄλεθρον ἀνθρώπων, ὄφεις καὶ
193 σκορπίοι. εἶθ' ὑπομιμνησκόμενοι τῆς κατ' Αἴγυπτον εὐθηνίας καὶ εὐετηρίας καὶ τὴν τῶν ἐκεῖ πάντων ἀφθονίαν ἀντιτιθέντες τῇ πάντων ἐνταῦθα ἐνδείᾳ χαλεπῶς ἔφερον καὶ πρὸς ἑτέρους ἕτεροι τοιαῦτ' ἐλογοποίουν·

---

1 ὥσπερ VOGHP: ὥσπερ καὶ ceteri   τἄλλα VOKZ   1. 2 κατορωρυγμένον BEMA   2 ἀνώφοιτον BEMHP: ἀνώφυτον ceteri   τὸν τρόπον BEV¹AKZ   3 ἱδρυμένον BEMA   ἡγεμονικὸς K   ὄντος Z   4 γὰρ om. GHP¹, ss. P²   5 μετεωροποροῦσα GH²   5. 6 ἐρευνωμένη M   6 τίθεσθαι CV¹GHP   ταῦτα CVO   8 ἀπορίᾳ] ἀπειρίᾳ Richt. Tauchn.   10 πεῖνα καὶ δίψα GHP: δίψα καὶ πεῖνα ceteri   11 ἑτέρας GHP: προτέρας ceteri (v)   12 ἑτέραν] προτέραν M, δευτέραν mg. M   ἀφορητότερον H¹P   εἴ γε codd.: οἵ γε v   13 ἐφεδρεύοντος κακοῦ πεῖραν BEMA   ηὕρισκον C   14—17 πρὸς—πέτραι ἢ om. VO, suppl. man. rec. mg. V   17 ἀπορρῶγες GHP(V): ἀπορρωγάδες ceteri   ἢ ante ὄρη om. Turn.   ὅροι (sic) A   18 προσέτι GHP: om. ceteri   20 οὐ δένδρον GHP   ἡμέρου coni. Mang.   ἢ GHP: οὐ ceteri   21 τῶν om. A   22 εἶτ' C   23 ἐκεῖ] ἐκείνων H   τιθέντες A   24 post ἑτέρους add. δὴ M   τοιαῦτα A

---

8 sqq. Exod. cap. 16

„ἐπ' ἐλευθερίας ἐλπίδι μεταναστάντες οὐδὲ τοῦ ζῆν ἄδειαν ἔχομεν οἱ
ταῖς μὲν ὑποσχέσεσι τοῦ ἡγεμόνος εὐδαίμονες, ἐν δὲ τοῖς ἔργοις ἀνθρώπων
p. 112 M. ἁπάντων κακοδαιμονέστατοι. τί τέλος ἔσται τῆς | ἀνηνύτου καὶ μακρᾶς 194
οὕτως ὁδοῦ; πᾶσι καὶ τοῖς πλέουσι καὶ τοῖς πεζεύουσιν ὅρος εἰς ὃν ἀφί-
ξονται πρόκειται, τοῖς μὲν ἐμπόρια καὶ λιμένες, τοῖς δὲ πόλις τις ἢ
χώρα, μόνοις δ' ἡμῖν ἄβατος ἐρημία καὶ δυσοδία καὶ χαλεπαὶ δυσελ-
πιστίαι· προϊόντων γάρ, ὥσπερ ἀχανὲς καὶ βαθὺ πέλαγος ἀπόρευτον
ἀναφαίνεται καθ' ἑκάστην ἡμέραν εὐρυνόμενον. μετεωρίσας καὶ φυσήσας 195
ἡμᾶς τῷ λόγῳ καὶ κενῶν ἐλπίδων τὰ ὦτα πληρώσας παρατείνει λιμῷ
τὰς γαστέρας οὐδὲ τὰς ἀναγκαίας ἐκπορίζων τροφάς· ἀποικίας ὀνόματι
τοσαύτην πληθὺν ἠπάτησεν ἐξ οἰκουμένης τὸ πρῶτον εἰς ἀοίκητον ἀγαγών,
εἶτα καὶ εἰς ᾅδου προπέμπων, τὴν τοῦ βίου τελευταίαν ὁδόν.“ (36.)
τοιαῦτ' ὀνειδιζόμενος οὐχ οὕτως ἐπὶ ταῖς εἰς αὐτὸν κακηγορίαις ἐδυσ- 196
χέραινεν, ὡς ἐπὶ τῷ τῆς γνώμης αὐτῶν ἀνιδρύτῳ· πεπειραμένοι γὰρ
μυρίων ὅσων ἐκ τοῦ παραλόγου συμβεβηκότων πραγμάτων παρὰ τὸ
καθεστὸς ἔθος ὤφειλον ὑπὸ μηδενὸς ἔτι τῶν εὐλόγων καὶ πιθανῶν
ἄγεσθαι, πεπιστευκέναι δ' αὐτῷ λαβόντες ἀποδείξεις ἐναργεστάτας τοῦ
περὶ ἁπάντων ἀψευδεῖν. πάλιν δ' ὅτε εἰς ἔννοιαν ἦλθε τῆς ἐνδείας, 197
ἧς μεῖζον οὐδὲν κακὸν ἀνθρώποις ἐστί, συνεγίνωσκεν ὄχλον εἰδὼς ἀβέ-
βαιον φύσει πρᾶγμα καὶ ὑπὸ τῶν ἐν χερσὶ διακινούμενον, ἃ λήθην μὲν
τῶν προγεγονότων ἐργάζεται, δυσελπιστίαν δ' εἰς τὰ μέλλοντα. πάντων 198
οὖν ἐν ἀσχέτοις ὄντων ἀνίαις καὶ τὰς ἀνωτάτω προσδοκώντων συμφοράς,
ἃς ἐνόμιζον ἐφεδρεύειν καὶ ἐγγυτάτω παρεῖναι, τοῦτο μὲν διὰ τὴν σύμ-
φυτον ἐπιείκειαν καὶ φιλανθρωπίαν, τοῦτο δὲ βουλόμενος ὃν ἐχειροτόνησεν
ἡγεμόνα τιμῆσαι καὶ ἔτι μᾶλλον ὡς εὐσεβείας ἔχει καὶ ὁσιότητος ἔν τε
τοῖς φανεροῖς κἂν τοῖς ἀδήλοις ἅπασι διασυστῆσαι ὁ θεὸς ἐλεήσας τὸ

---

1 μεταστάντες G   οἱ MGO   2 τῶν ἀνθρώπων A(v)   5 ἐμπορία H¹P, ἐμπορεῖα C   alt. τοῖς] τίς P   6 μόνον VO   8 καὶ ante καθ' add. A(v)   καὶ ante μετεωρίσας add. Z   μετεωρήσας B¹E   8. 9 ἡμᾶς καὶ φυσήσας transp. Z   11 ἀναγαγὼν BEMAK¹Z   13 αὑτὸν AE: αὐτὸν ceteri   κατηγορίαις VOKGHP   14 ὡς] ὅσον KZ   αὐτῶν GHP: om. ceteri   ἀϊδρύτω (ο supra) HP   15 ὅσων GHPKZ: οἵων ceteri   16 καθεστὸς MA: καθεστὼς K, ὼ ex ὸ corr. Z, καθεστὼς ceteri   17 λαβόντας VOGHP   18 ὅτε scripsi: ὅταν codd.   19 ἧς GHP: οὗ ceteri (v)   21 δ'] δὲ τὴν GHP   22 ἀσχέτοις CVO: ἐσχάτοις BEKZ, ἐσχάταις MAGHP (v); ἀνηκέστοις coni. Mang.   23 ἃς om. C   23. 24 ἔμφυτον HP   26 pr. τοῖς om. A   κἂν] καὶ ἐν CVO   διαστῆσαι M

199 πάθος ἴαται. ξένας οὖν εὐεργεσίας ἐκαινοτόμει, τρανοτέραις ὅπως ἐμφάσεσι παιδευθῶσιν ἤδη μὴ δυσανασχετεῖν, εἴ τι μὴ κατὰ γνώμην εὐθὺς ἀποβαίη, τλητικῶς δ' ὑπομένειν χρηστὰ περὶ τῶν μελλόντων προσ-
200 δοκῶντες. τί οὖν συνέβη; τῇ ὑστεραίᾳ περὶ τὴν ἕω δρόσος βαθεῖα καὶ πολλὴ περὶ σύμπαν ἦν ἐν κύκλῳ τὸ στρατόπεδον, ἣν ἐπένιφεν ἡσυχῇ, ἀήθη ὑετὸν καὶ παρηλλαγμένον, οὐχ ὕδωρ, οὐ χάλαζαν, οὐ χιόνα, οὐ κρύσταλλον — ταῦτα γὰρ αἱ τῶν νεφῶν ἀπεργάζονται μεταβολαὶ ταῖς χειμεριναῖς τροπαῖς —, ἀλλὰ κέγχρον βραχυτάτην καὶ λευκοτάτην, ἣ διὰ τὴν ἐπάλληλον φορὰν σωρηδὸν προυκέχυτο τῶν σκηνῶν, ἄπιστος ὄψις· ἣν καταπλαγέντες ἐπυνθάνοντο τοῦ ἡγεμόνος, τίς τε ὁ ὑετὸς οὗτός ἐστιν, ὃν οὐδείς πω πρότερον εἶδεν | ἀνθρώπων, καὶ πρὸς τί γέγονεν. p. 113 M.
201 ὁ δὲ καταπνευσθεὶς ἔνθους γίνεται καὶ θεσπίζει τάδε· „θνητοῖς μὲν ἀνεῖται πεδιὰς ἡ βαθύγειος, ἣν ἀνατεμόντες εἰς αὔλακας ἀροῦσι καὶ σπείρουσι καὶ τὰ ἄλλα τὰ κατὰ γεωργίαν δρῶσι καρποὺς ἐτησίους ἐκπορίζοντες εἰς ἀφθονίαν τῶν ἀναγκαίων· θεῷ δ' οὐ μία μοῖρα τοῦ παντὸς ἀλλ' ὁ σύμπας κόσμος ὑποβέβληται καὶ τὰ τούτου μέρη πρὸς ἅπασαν χρείαν
202 ὧν ἂν θέλῃ ὡς δεσπότῃ δοῦλα ὑπηρετήσοντα. νῦν οὖν ἔδοξεν αὐτῷ, τὸν ἀέρα τροφὴν ἐνεγκεῖν ἀνθ' ὕδατος, ἐπεὶ καὶ γῆ πολλάκις ὑετὸν ἤνεγκεν· ὁ γὰρ ἐν Αἰγύπτῳ ποταμὸς καθ' ἕκαστον ἐνιαυτὸν ταῖς ἐπιβάσεσι πλημμυρῶν ὅταν ἄρδῃ τὰς ἀρούρας, τί ἕτερον ἢ ὑετός ἐστι κάτωθεν ἐπινίφων;“
203 παράδοξον μὲν δὴ τὸ ἔργον, εἰ καὶ ἐνταῦθα ἔστη· νυνὶ δὲ καὶ παραδοξοτέροις ἄλλοις ἐθαυματουργεῖτο. ἐπενεγκάμενοι γὰρ ἄλλος ἀλλαχόθεν

---

1 ξένας: incipit manus vetustior codicis F (fol. 15r) εὐεργεσίας] ἐνεργείας G τρανοτέραις] καινοτέραις A 2 (ἐμφάσεσι) παιδευθῶσιν scripsi: (ἐμφάσεσιν) αἰδεσθῶσιν codd.; ἀναδιδαχθῶσιν coni. Mang. μὴ om. A εἴ τι BEMFH²K¹Z: ἔτι A, εἰ GH¹P(v), ἐπεὶ CV¹, ἐπὰν V²OK² τὰ ante κατὰ add. V² 3. 4 προσδοκῶντες Wendl.: προσδοκήσαντας A, προσδοκῶντας ceteri (v) 4 περὶ] παρὰ F 5 ἐν om. A ἣν] ἢ K¹Z, ἣν om. FH¹P¹, ss. H²P² ἐπένιφεν VOFKZ: ὑπένειφεν M, ἐπένειφεν ceteri 7 κρύσταλον FGH 8 post κέγχρον add. καὶ F βαθυτάτην VOK² λευκοτάτην] λεπτοτάτην BEMAKZ ἣ] ἡ C 9 ἀλλεπάλληλον C σορηδὸν GZ προυκέχυτο AFGHP: προκέχυτο ceteri 10 τὸν ἡγεμόνα P ὁ om. A(v) 12 ἔνθους τε FHP 13 βαθύγεως AKZ ἀνατέμνοντες HP, ἀνατέμνουσιν F 14 τἄλλα VO ἐτησίως ABE εἰς om. G 15 δὲ VOFZ οὐ] οὐδὲ BMFKZ 16. 17 πρὸς ἅπασαν χρείαν ὧν ἂν θέλῃ FGHP (ἐθέλῃς F): πρὸς ἃς ἂν θέλῃ χρείας ceteri (ἐθέλοι A) 17 ὑπηρετήσονται F, ὑπηρετεῖ BEMA(v) 18 ἀνενεγκεῖν HP 19. 20 πλημμυρῶν GZ 20 ἄρδῃ FHP, ἄρδει G: ἀρδεύῃ ceteri (v) κάτωθέν ἐστιν ὑετὸς transp. Z ἐπινίφων VOFKZ: ἐπινείφων ceteri 21 μὲν FGHP: μὲν γὰρ ceteri δὴ eras. K τὸ ἔργον FGHPV²O: τὸ ἕτερον ἔργον ceteri (ἕτερον eras. V²) εἰ καὶ eras. V², om. O ἔστη AF: ἐστί ceteri καὶ om. VO 21. 22 παραδοξότερον ἄλλο coni. Mang. 22 ἀλλαχόθεν ἄλλος transp. CVO

ἀγγεῖα συνεκόμιζον, οἱ μὲν ἐπὶ τῶν ὑποζυγίων, οἱ δὲ κατὰ τῶν ὤμων
ἐπηχθισμένοι, προνοίᾳ τοῦ πρὸς πλείω χρόνον ταμιεύεσθαι τὰ ἐπιτήδεια.
ἦν δ' ἄρα ἀταμίευτα καὶ ἀθησαύριστα, δωρεὰς ἀεὶ νέας ἐγνωκότος τοῦ 204
θεοῦ χαρίζεσθαι· τὰ μὲν γὰρ πρὸς τὴν τότε χρῆσιν αὐτάρκη σκευάσαντες
μεθ' ἡδονῆς προσηνέγκαντο, τῶν δ' ἀπολειφθέντων εἰς τὴν ὑστεραίαν
οὐδὲν ἔτι σῷον εὕρισκον, ἀλλὰ μεταβεβληκότα καὶ δυσώδη καὶ μεστὰ
τοιουτοτρόπων ζῴων, ἃ κατὰ σῆψιν εἴωθε γεννᾶσθαι· ταῦτα μὲν οὖν
ἀπερρίπτουν κατὰ τὸ εἰκός, ἑτέρας δ' εὐτρεπεῖς τροφὰς ἀνεύρισκον, ἃς
ἅμα τῇ δρόσῳ καθ' ἑκάστην ἡμέραν συνέβαινε νίφεσθαι. γέρας δ' ἐξαί- 205
ρετον ἡ ἱερὰ ἑβδομὰς εἶχεν· ἐπειδὴ γὰρ οὐδὲν ἐφεῖταί δρᾶν ἐν αὐτῇ,
πάντων δὲ μικρῶν καὶ μεγάλων ἔργων ἀνέχειν διείρηται, συγκομίζειν
οὐ δυναμένοις τότε τὰ ἐπιτήδεια πρὸ μιᾶς ὁ θεὸς ὗει διπλᾶ καὶ κελεύει
φέρειν εἰς δύο ἡμέρας αὐτάρκη τροφὴν ἐσομένην· τὰ δὲ συγκομισθέντα
σῷα διέμενεν, οὐδενὸς ᾗ πρότερον φθαρέντος τὸ παράπαν. (37.) λέξω 206
δὲ καὶ τὸ ἔτι τούτου θαυμασιώτερον· ἐπὶ γὰρ ἔτη τεσσαράκοντα, τοσοῦτον
μῆκος αἰῶνος, ὁδοιποροῦσιν αὐτοῖς αἱ χορηγίαι τῶν ἀναγκαίων ἐν τάξεσι
ταῖς εἰρημέναις ἐγίνοντο καθάπερ ἐν σιταρχίαις μεμετρημέναις πρὸς τὰς
ἐπιβαλλούσας ἑκάστοις διανομάς. ἅμα μέντοι καὶ τὴν τριπόθητον ἡμέραν 207
ἀνεδιδάσκοντο — ζητοῦντες γὰρ ἐκ πολλοῦ, τίς ἄρ' ἐστὶν ἡ τοῦ κόσμου
γενέθλιος, ἐν ᾗ τόδε τὸ πᾶν ἀπετελέσθη, καὶ παρὰ πατέρων καὶ προ-
γόνων τὴν ζήτησιν ἄλυτον διαδεξάμενοι μόλις ἐδυνήθησαν εὑρεῖν —
p. 114 M. οὐ μόνον | χρησμοῖς ἀναδιδαχθέντες, ἀλλὰ καὶ τεκμηρίῳ πάνυ σαφεῖ·

1 ἐπὶ] ὑπὸ A κατὰ τοὺς ὤμους GHP (fort. recte) 2 ἐπηχθημένοι A πλείονα HP ταμιεύσασθαι FHP τἀπιτήδεια FHP 4 ἀνάγκην τε καὶ χρῆσιν A(v), ἀνάγκην τε καὶ omisi cum ceteris codd. σκευάσαντες FGHP: κατασκευάσαντες ceteri 5 δὲ F, δ' αὖ BEMAKZ ἀπολειφθέντων CVOFHP: ἄρα λειφθέντων G, ὑπολειφθέντων ceteri 6 ἔτι FGHP: τι ceteri (v) ηὕρισκον C μεστὰ] μετὰ BEMVO 7 οὖν om. KZ 8 ἀνηύρισκον C 9 νίφεσθαι CVO: νϊ ex νει corr. K, νείφεσθαι ceteri γέρας FGHP: τέρας ceteri δὲ C 9. 10 ἐξαίσιον A 10 οὐδὲν ἐφείθη FGH, εἶχεν οὐδὲν P 11 ἀπέχειν BEMAK¹Z διήρηται H¹P, δεῖν εἴρηται V²O 12 δυναμένων BEMAK¹Z τἀπιτήδεια FHP πρὸ μιᾶς FGHP: προμηθεία CVO, om. ceteri διπλᾶς VO 13 εἰς δύο ἡμέρας post τροφὴν transp. F ἐσομένοις P 14 διέμεινεν H¹P,
ε
διέμεινεν K, διέμενον AVO ᾗ HPKZ: ἡ G, ἣ F, om. ceteri φθαρέντος] ὀφθέντος K¹ 15 δὲ] δὴ FGHP ἔτη] ἔτι G τοσοῦτο C 16 αἰῶνος om. A 17 σιταρκίαις AFG πρὸς FGHPKZ: om. ceteri 17. 18 ταῖς ἐπιβαλλούσαις (ἐπιβαλούσαις FG) ἑκάστοις διανομαῖς FGHP 18 post ἐπιβαλλούσας add. χρείας V²O (mg. K) ἑκάστης K¹Z διανομάς] διανομίας A, διανέμουσαι V²OK² μέν τι G 19 ἄρ' FGHP: ἆρα B, ἄρα ceteri ἐστὶν om. A 20 τόδε] τότε G 21 ἄλυτον] ἄλυπον KZ ἐδυνήθησαν FHP: ἠδυνήθησαν ceteri

τοῦ γὰρ πλεονάζοντος ἐν ταῖς ἄλλαις ἡμέραις, ὡς ἐλέχθη, φθειρομένου,
τὸ πρὸ τῆς ἑβδόμης ὑόμενον οὐ μόνον οὐ μετέβαλεν, ἀλλὰ καὶ μέτρον
208 εἶχε διπλάσιον. ἡ δὲ χρῆσις ἦν τοιάδε· συλλέγοντες ἅμα τῇ ἕῳ τὸ
νιφόμενον ἤλουν ἢ ἔτριβον, εἶθ' ἕψοντες ἡδεῖαν πάνυ τροφὴν οἷα μελίπη-
209 κτον προσεφέροντο μὴ δεόμενοι σιτοπόνων περιεργίας. ἀλλὰ γὰρ καὶ
τῶν εἰς ἁβροδίαιτον βίον οὐκ εἰς μακρὰν εὐπόρουν, ὅσαπερ ἐν οἰκου-
μένῃ χώρᾳ καὶ εὐδαίμονι βουληθέντος τοῦ θεοῦ κατὰ πολλὴν περιουσίαν
ἄφθονα χορηγεῖν ἐν ἐρημίᾳ· ταῖς γὰρ ἑσπέραις ὀρτυγομητρῶν νέφος
συνεχὲς ἐκ θαλάττης ἐπιφερόμενον ἅπαν τὸ στρατόπεδον ἐπεσκίαζε τὰς
πτήσεις προσγειοτάτας ποιουμένων εἰς τὸ εὔθηρον· συλλαμβάνοντες οὖν
καὶ σκευάζοντες ὡς φίλον ἑκάστοις κρεῶν ἀπέλαυον ἡδίστων ἅμα καὶ
τὴν τροφὴν παρηγοροῦντες ἀναγκαίῳ προσοψήματι.
210 (38.) Τούτων μὲν οὖν πολλὴν ἦγον ἀφθονίαν οὐκ ἐπιλειπόντων,
ὕδατος δὲ καὶ πάλιν πιέσασα δεινὴ σπάνις ἐπιγίνεται· καὶ πρὸς ἀπό-
γνωσιν ἤδη τραπομένων σωτηρίας, λαβὼν Μωυσῆς τὴν ἱερὰν βακτηρίαν
ἐκείνην, δι' ἧς τὰ κατ' Αἴγυπτον ἀπετέλεσε σημεῖα, θεοφορηθεὶς τὴν
211 ἀκρότομον πέτραν παίει. ἡ δ', εἴτε προϋποκειμένης πηγῆς φλέβα καί-
ριον διακοπεῖσα εἴτε καὶ τότε πρῶτον ὕδατος ἀφανέσιν ὑπονόμοις

1 ὡς om. F 2 alt. οὐ om. E, ss. B μετέβαλλεν M 3 τὸ] τὸν Z 4 νιφόμενον CVO: νϊ ex νει corr. K, νειφόμενον ceteri εἶτ' K¹Z 5 σιτοποιῶν C περιεργίας codd.: περιεργείας v 6 τῶν] τὸν FG ηὐπόρουν C ὅσαπερ ἐν FGHPKZ: ὅσαπερ (om. ἐν) C, ὅσα περὶ ceteri 7 βληθέντος M τοῦ om. VO 8 post ἄφθονα add. αὐτοῖς V²OK² 9 ἅπαν FGHPKZ: ὃ πᾶν CVOBEM, πᾶν A 10 προσγειοτάτους M ποιούμενον CFGHP(v) οὖν eras. V², om. O 11 ἀπέλαυνον M 11. 12 καὶ τὴν τροφὴν] κοινὴν τροφὴν καινῷ coni. Mang. 12 τῇ τροφῇ AF προσοψήματι CVOFG: προσεψήματι BEAHP, προεψήματι MKZ 13 οὖν om. Z πολλὴν om. BEMAKZ ἀφθονίαν ἦγον transp. BMKZ ἐπιλιπόντων FGH¹P 15 σωτηρίας] βακτηρίας V²O οἶκτον add. ante λαβὼν BEMA λαβὼν] λαβόμενος VO, om. KZ μωσῆς GHP 15. 16 τὴν—ἧς om. BEMAVO βακτηρίαν ἐκείνην CKZ: ἐκείνην βακτηρίαν FGHP 16 ἐπετέλεσε CVOHP, ἐπετέλει G τὴν FGHP: γὰρ BEMA, om. CVOKZ 17 παίει πέτραν transp. A(v) ἡ δὲ VOF, ἣδ' KZ, ἡ δ' om. BEMA πηγός (sic) VOK² 18 ὕδασιν BEM ἀφανέσιν] ἄφεσιν C, ἀφαίρεσιν P ὑπονόμου C

10 cf. *Ioseph. Ant. Iud. III 25* καὶ μετ' ὀλίγον ὀρτύγων πλῆθος . . . ἐφίπταται τὴν μεταξὺ θάλατταν ὑπερελθὸν καὶ ὑπὸ κόπου τε ἅμα τῆς πτήσεως καὶ πρόσγαιον μᾶλλον τῶν ἄλλων ὂν καταφέρεται εἰς τοὺς Ἑβραίους. 13 sqq. Exod. 17,1—6 17 sqq. cf. *Sap. Salom. 11,4* ἐδίψησαν καὶ ἐπεκαλέσαντό σε, καὶ ἐδόθη αὐτοῖς ἐκ πέτρας ἀκροτόμου ὕδωρ καὶ ἴαμα δίψης ἐκ λίθου σκληροῦ.

εἰς αὐτὴν ἀθρόου συρρυέντος καὶ σφόδρα ἐκθλιβέντος, ἀναστομωθεῖσα τῇ βίᾳ τῆς φορᾶς κρουνηδὸν ἐκχεῖται, ὡς μὴ τότε μόνον παρασχεῖν ἄκος δίψους ἀλλὰ καὶ πρὸς πλείω χρόνον τοσαύταις μυριάσιν ἀφθονίαν ποτοῦ· τὰ γὰρ ὑδρία πάντ' ἐπλήρωσαν, ὡς καὶ πρότερον ἐκ τῶν πηγῶν, αἳ πικραὶ μὲν ἦσαν φύσει, μετέβαλον δ' ἐπιφροσύνῃ θείᾳ πρὸς τὸ γλύκιον. εἰ δέ τις τούτοις ἀπιστεῖ, θεὸν οὔτ' οἶδεν οὔτ' ἐζήτησέ ποτε· ἔγνω 212 γὰρ ἂν εὐθέως, ἔγνω παγίως καταλαβών, ὅτι τὰ παράδοξα δὴ ταῦτα καὶ παράλογα θεοῦ παίγνιά ἐστιν, ἀπιδὼν εἰς τὰ τῷ ὄντι μεγάλα καὶ σπουδῆς ἄξια, γένεσιν οὐρανοῦ καὶ πλανήτων καὶ ἀπλανῶν ἀστέρων χορείας καὶ φωτὸς ἀνάλαμψιν, ἡμέρας μὲν ἡλιακοῦ, νύκτωρ δὲ τοῦ διὰ σελήνης, καὶ γῆς ἵδρυσιν ἐν τῷ μεσαιτάτῳ τοῦ παντός, ἠπείρων τε καὶ νήσων ὑπερβάλλοντα μεγέθη καὶ ζῴων καὶ φυτῶν ἀμυθήτους ἰδέας, ἔτι δὲ πελαγῶν ἀναχύσεις, ποταμῶν αὐθιγενῶν καὶ χειμάρρων φοράς, p. 115 M. ἀενάων ῥεῖθρα πηγῶν, ὧν αἱ | μὲν ψυχρὸν αἱ δὲ θερμὸν ὕδωρ ἀνομβροῦσιν, ἀέρος παντοίας τροπάς, ἐτησίων ὡρῶν διακρίσεις, ἄλλα κἄλλη μυρία. ἐπιλίποι ἂν ὁ βίος τοῦ βουλομένου διηγεῖσθαι τὰ καθ' ἕκαστα, 213 μᾶλλον δ' ἕν τι τῶν ὁλοσχερεστέρων τοῦ κόσμου μερῶν, κἂν εἰ μέλλοι πάντων ἀνθρώπων ἔσεσθαι μακροβιώτατος. ἀλλὰ ταῦτα μὲν πρὸς ἀλήθειαν ὄντα θαυμάσια καταπεφρόνηται τῷ συνήθει· τὰ δὲ μὴ ἐν ἔθει, κἂν μικρὰ ᾖ, ξέναις φαντασίαις ἐνδιδόντες καταπληττόμεθα τῷ φιλοκαίνῳ.

(39.) Ἤδη δὲ πολλὴν καὶ ἀπόρευτον διεξεληλυθότων, ὅροι τινὲς 214 ἀνεφαίνοντο γῆς οἰκουμένης καὶ προάστεια χώρας, εἰς ἣν μεθωρμίζοντο· νέμονται δ' αὐτὴν Φοίνικες. ἐλπίσαντες δὲ βίον εὔδιον καὶ γαληνὸν αὐτοῖς ἀπαντήσεσθαι γνώμης ἐσφάλησαν. ὁ γὰρ προκαθήμενος βασιλεὺς 215

---

1 εἰς αὐτὴν om. FGHP  ἀθρόον M  συρρέοντος BEM, συρέντος F  ἐκθλίβοντος CVOFGHP  2 φθορᾶς G  μόνον om. VO  2. 3 δίψους ἄκος transp. G  3 δίψης F  τοσαύταις om. K¹Z  4 ὑδρεῖα C  πάντα FHP, πέντ' G  ἐκ FGHP: ἀπὸ ceteri  5 μετέβαλλον F  δὲ C  γλύκειον CH  6 οὔτ' AFGHP: οὔτε ceteri  οἶδεν CVOEHP: εἶδεν ceteri  οὔτε CVO  ποτε] πώποτε A(v)  7 ἂν εὐθέως ἔγνω om. H¹P  8 ἐστιν FGHP: εἰσιν ceteri (v)  ἐπιδὼν FGHP  εἰς FGHP: πρὸς ceteri  12 ἀμυθήτων K, ἀμυθήτους om. A  13 ἔτι δὲ FGHP: ἔτι δὲ καὶ ceteri  14 ἀενάων CE: ἀεννάων ceteri  14. 15 ψυχρῶν αἱ δὲ θερμῶν ὑδάτων ἀνομβροῦσι πηγάς A (Turn.)  16 ἐπιλείποι CK  17 μερῶν τοῦ κόσμου transp. BMAKZ  19 τὰ VOK²FGHP: ἃ ceteri  μὴ] δὴ C  post ἔθει add. ἦν CBEMA, ᾖ KZ  21 ἀπόρευτον] ἀοίκητον coni. Mang.  23 ἐννέμονται FHP; ἐνέμοντο coni. Mang.  αὐτὴν] αὐτὰ FGHP  δὲ om. F  εὔδειον A  24 αὐτοῖς om. A  αὐτοῖς codd.  ἀπαντήσασθαι K, ἀπαντᾶσθαι GHP  προκαθήμενος FGHP: καθηγούμενος K¹Z, καθήμενος ceteri (K²)

---

21 sqq. Exod. 17,8—16

πόρθησιν εὐλαβηθείς, ἀναστήσας τὴν ἐκ τῶν πόλεων νεότητα, μάλιστα
μὲν ἀνείρξων ὑπηντίαζεν, εἰ δὲ βιάζοιντο, διὰ χειρῶν ἀμυνούμενος ἀκμῆσι
καὶ ἄρτι πρῶτον καθισταμένοις εἰς ἀγῶνα κεκμηκότας ὁδοιπορίαις καὶ
216 ἐνδείαις σιτίων καὶ ποτῶν, ἃ κατὰ μέρος ἀντεπετίθετο. Μωυσῆς δὲ
παρὰ τῶν σκοπῶν γνοὺς οὐ μακρὰν διεστηκότα τὸν ἐχθρὸν στρατόν,
καταλέξας τοὺς ἡβῶντας καὶ στρατηγὸν ἑλόμενος ἕνα τῶν ὑπάρχων
Ἰησοῦν, πρὸς τὴν μείζονα συμμαχίαν αὐτὸς ἠπείγετο· περιρρανάμενος
γὰρ τοῖς εἰωθόσι καθαρμοῖς ἐπὶ κολωνὸν τὸν πλησίον μετὰ σπουδῆς
ἀναδραμὼν ἱκέτευε τὸν θεὸν ὑπερασπίσαι καὶ νίκην καὶ κράτος περι-
ποιῆσαι τοῖς Ἑβραίοις, οὓς ἐκ χαλεπωτέρων πολέμων καὶ κακῶν ἄλλων
ἐρρύσατο μὴ μόνον τὰς ἐξ ἀνθρώπων ἐπικρεμασθείσας συμφορὰς ἀπο-
σκεδάσας, ἀλλὰ καὶ ὅσας ὅ τε τῶν στοιχείων νεωτερισμὸς ἐκαινούργησε
217 κατ' Αἴγυπτον καὶ ὁ ἐν ταῖς ὁδοιπορίαις ἀνήνυτος λιμός. ἤδη δὲ μελλόν-
των εἰς μάχην καθίστασθαι, τερατωδέστατόν τι συμβαίνει πάθος περὶ
τὰς χεῖρας αὐτοῦ· κουφόταται γὰρ ἐγίνοντο ἐν μέρει καὶ βαρύταται·
εἶθ' ὁπότε μὲν ἐπελαφρίζοιντο πρὸς ὕψος αἰρόμεναι, τὸ συμμαχικὸν
ἐρρώννυτο καὶ ἀνδραγαθιζόμενον ἐπικυδέστερον ἐγίνετο, ὁπότε δὲ κάτω
βρίσειαν, ἴσχυον οἱ ἀντίπαλοι, μηνύοντος διὰ συμβόλων τοῦ θεοῦ, ὅτι
τῶν μέν ἐστι γῆ καὶ αἱ τοῦ παντὸς ἐσχατιαὶ κλῆρος οἰκεῖος, τῶν δ'
αἰθὴρ ὁ ἱερώτατος, καὶ ὥσπερ ἐν τῷ παντὶ βασιλεύει καὶ κρατεῖ γῆς
218 οὐρανός, οὕτω καὶ τὸ ἔθνος περιέσται τῶν ἀντιπολεμούντων. ἄχρι μὲν
οὖν τινος αἱ χεῖρες οἷα πλάστιγγες ἐν μέρει μὲν | ἐπεκουφίζοντο, ἐν p. 116 M.
μέρει δ' ἐπέρρεπον, τηνικαῦτα καὶ ὁ ἀγὼν ἀμφήριστος ἦν· ἐξαπιναίως
δ' ἀβαρεῖς γενόμεναι, δακτύλοις ἀντὶ ταρσῶν χρώμεναι, μετέωροι πρὸς

2 ὑπαντίαζεν C  ἀμυνόμενος VO  ἀκμῆσι FGHPK¹Z: ἀκμητὶ ceteri
3 καὶ] πρὸς C, τοὺς BEMA  καθισταμένους BEMAKZ  κεκμηκόσιν CVO
4 καὶ ποτῶν om. BEMA  ἃ om. GHP  ἀνεπετίθετο Z  μωσῆς CKZ
5 γνοὺς παρὰ τῶν σκοπῶν transp. A  ἐχθρὸν FGHPKZ: ἐχθρῶν ceteri
7 μείζονα] ἄνωθεν O  ἠπείγετο CGHPKZ: ἡγεῖτο ceteri  8 τοῖς om. Z
9 ἱκέτευε FGHP: ἱκετεύει ceteri  10 πολέμων codd.: κινδύνων v  11 μὴ FGHP: οὐ ceteri  12 μετεωρισμὸς A  14 τερατωδέστατον FGHPK¹Z: τερατωδέστερον ceteri  15 ἐγίγνοντο F  16 ἐπελαφρίζοιντο KZ: ἐπελαφρίζοντο CMG, ἐπηλαφρίζοντο ceteri (ἐπηλαφρύνοντο O)  17 ἐρώννυτο CZ  ἐπικυδέστερον] ἐπικρατέστερον coni. Mang.  ἐφαίνετο (γί) A  17. 18 κάτω βρίσειαν FGHP: κάτω βαρήσειαν CAEVO, βαρήσειαν κάτω B, βαρύσειαν κάτω M, βαρήσειε κάτω K, βαρύσειεν κάτω Z  18 οἱ om. A  19 ἐστιν ἡ γῆ F  δὲ F  20 βασιλεύει] κελεύει O  κρατεῖ] κατακρατεῖ GH(v)  21 περιέσται FGHP: περιέστη VO, περίεστι ceteri  22 τινος] ὅσου V²O  23 δὲ F  ἐπέρρεπον] ἐπέβριθον C  τηνικαῦτα] ἡνίκα FHP  24 γινόμεναι P  καὶ ante δακτύλοις add. V²O, δ' post δακτύλοις add. G  μετέωροι om. BEMAKZ

ὕψος ἤρθησαν, καθάπερ αἱ πτηναὶ φύσεις ἀεροποροῦσαι, καὶ διέμενον
ἀνώφοιτοι μέχρι τοῦ τὴν νίκην Ἑβραίους ἀνανταγώνιστον ἄρασθαι, τῶν
ἐχθρῶν ἡβηδὸν ἀναιρεθέντων ἅπερ τε διαθεῖναι παρὰ τὸ προσῆκον ἐσπού-
δαζον παθόντων μετὰ δίκης. τότε καὶ Μωυσῆς ἱδρύεται βωμόν, ὃν 219
ἀπὸ τοῦ συμβεβηκότος ὠνόμασε „θεοῦ καταφυγήν“ (Exod. 17, 15), ἐφ'
οὗ τὰ ἐπινίκια ἔθυε χαριστηρίους εὐχὰς ἀποδιδούς.

(40.) Μετὰ τὴν μάχην ταύτην ἔγνω δεῖν τὴν χώραν, εἰς ἣν ἀπῳ- 220
κίζετο τὸ ἔθνος, κατασκέψασθαι — δεύτερον δ' ὁδοιποροῦσιν ἔτος ἐνει-
στήκει — βουλόμενος μή, οἷα φιλεῖ, γνωσιμαχεῖν οὐκ εἰδότας, ἀλλ'
ἀκοῇ προμαθόντας αὐτήν, ἐπιστήμῃ τῶν ἐκεῖ βεβαίᾳ χρωμένους, τὸ
πρακτέον ἐκλογίζεσθαι. δώδεκα δ' ἰσαρίθμους ταῖς φυλαῖς ἄνδρας, ἐξ 221
ἑκάστης ἕνα φύλαρχον, αἱρεῖται τοὺς δοκιμωτάτους ἀριστίνδην προκρίνας,
ἵνα μηδεμία μοῖρα πλέον ἢ ἔλαττον ἐνεγκαμένη διαφέρηται, πᾶσαι δ'
ἐξ ἴσου διὰ τῶν ἐν τέλει τὰ παρὰ τοῖς κατοίκοις, εἰ βουληθεῖεν οἱ
πεμφθέντες ἀψευδεῖν, ἐπιγνῶσιν. ἑλόμενος δ' αὐτούς φησι τάδε· „τῶν 222
ἀγώνων καὶ κινδύνων, οὓς ὑπέστημεν καὶ μέχρι νῦν ὑπομένομεν, ἆθλόν
εἰσιν αἱ κληρουχίαι, ὧν τῆς ἐλπίδος μὴ διαμάρτοιμεν ἔθνος πολυανθρωπό-
τατον εἰς ἀποικίαν παραπέμποντες. ἔστι δ' ὠφελιμώτατον ἡ τόπων
καὶ ἀνθρώπων καὶ πραγμάτων ἐπιστήμη, ὥσπερ ἡ ἄγνοια βλαβερόν.
ὑμᾶς οὖν ἐχειροτονήσαμεν, ἵνα ταῖς ὑμετέραις ὄψεσί τε καὶ διανοίαις 223

---

2 ἀνώφυτοι CVOK τοῦ om. HP ἑβραίοις A ἀνταγώνιστον M
3 διαθεῖναι] καταθεῖναι H παρὰ] περὶ KZ 3. 4 ἐσπάδαζον (sic) E
4 ἱδρύετο M ὃν] ὧν G 5 τοῦ συμβεβηκότος VOKZ: τῶν συμβεβηκότων
ceteri (v) καταφυγεῖν C 6 χαριστηρίους FGHP: τὰς χαριστηρίους ceteri
7 post μετὰ add. δὲ AV 7. 8 ἀπώκιζε KZ 9 βουλόμενος FGHPK$^1$Z: βου-
λόμενος δὲ ceteri 10 αὐτῇ A ἐπιστήμῃ] γρ. ἢ διαγνώσει mg. O
τῶν ἐκεῖ] τῶν κατασκοπησάντων τὰ ἐκεῖ V$^2$, τῶν τὰ ἐκεῖ κατασκοπησάντων O
βεβαία FGHPV$^2$OK$^2$: βεβαίως ceteri τὸ] ὃ HP 11 δὲ eras. V$^2$, δ' om. AO
12 φίλαρχον FGZ 13 πλεῖον A 14 τὰ om. FGHP παρὰ τῶν ἐν
τοῖς κατοίκοις HP 15 ἐπὶ γνῶσιν A, ἐπίγνωσιν P δὲ A 16 τοῦ
νῦν A 17 ἁμάρτοιμεν G, διαμάρτημεν (sic) M 18 πέμποντες P 19 ἡ
om. A

---

7 sqq. Num. cap. 13. 14 7—174,2 Catena Laur. V 14 ad Psalm. 105,24
ἐξουδένωσαν γῆν ἐπιθυμητήν: φίλωνος: ἀπεπέμψαντο γῆν ἀγαθὴν τὴν τῆς ἐπαγγελίας, ὡς
εὑρήσεις ἐν τῇ βίβλῳ τῶν Ἀριθμῶν. ἡ δὲ ἱστορία τοιαύτη· δεύτερον μὲν ὁδοιποροῦσι τοῖς
Ἑβραίοις ἔτος ἐνειστήκει, Μωυσῆς δὲ ἔγνω τὴν χώραν, εἰς ἣν ἀπῳκίζετο τὸ ἔθνος, κατα-
σκέψασθαι. καὶ δὴ δώδεκα ἰσαρίθμους — προκρίνας. οὓς ἑλόμενος γενέσθαι φησὶ τῶν
τοσούτων μυριάδων ὦτα καὶ ὀφθαλμοὺς πρὸς τὴν τῶν ἀναγκαίων εἰδέναι σαφῆ
κατάληψιν.

τάχει θεασώμεθα· γίνεσθε δὴ τῶν τοσούτων μυριάδων ὦτα καὶ ὀφθαλμοὶ
224 πρὸς τὴν ὧν ἀναγκαῖον εἰδέναι σαφῆ κατάληψιν. ἃ δὲ γνῶναι ποθοῦμεν,
τρία ταῦτ' ἐστίν· οἰκητόρων πλῆθός τε καὶ δύναμιν, πόλεων τὴν ἐν
εὐκαιρίᾳ θέσιν καὶ ἐν οἰκοδομίαις ἐχυρότητα ἢ τοὐναντίον, χώραν εἰ
βαθύγειός ἐστι καὶ πίων, ἀγαθὴ παντοίους καρποὺς ἐνεγκεῖν σπαρτῶν
τε καὶ δένδρων, ἢ λεπτόγεως ἔμπαλιν, ἵνα πρὸς μὲν ἰσχὺν καὶ πλῆθος
οἰκητόρων ἰσορρόποις δυνάμεσι φραξώμεθα, πρὸς δὲ τὴν ἐν τοῖς τόποις
ἐρυμνότητα μηχανήμασι καὶ ταῖς ἑλεπόλεσιν· ἀναγκαῖον δὲ καὶ τὴν χώραν
εἰδέναι, εἰ ἀρετῶσα ἢ μή· περὶ γὰρ λυπρᾶς ἑκουσίους κινδύνους ὑπο-
225 μένειν ἠλιθιότητος. τὰ δ' ὅπλα καὶ μηχανήματα ἡμῶν καὶ πᾶσα ἡ
δύναμις ἐν μόνῳ τῷ πιστεύειν θεῷ κεῖται· ταύτην ἔχοντες τὴν παρα-
σκευὴν οὐδενὶ τῶν φοβερῶν εἴξομεν· ἱκανὴ γὰρ ἀμάχους ῥώμας εὐεξίαις,
τόλμαις, ἐμπειρίαις, πλήθεσιν ἐκ πολλοῦ τοῦ | περιόντος καταχρατεῖν, p. 117 M.
δι' ἣν καὶ ἐν ἐρήμῃ βαθείᾳ χορηγίαι πάντων εἰσὶν ὅσα ἐν εὐετηρίᾳ
226 πόλεων. ὁ δὲ καιρός, ἐν ᾧ μάλιστα χώρας ἀρετὴν δοκιμάζεσθαι συμ-
βέβηκεν, ἔαρ ἐστίν, ὃ νῦν ἐφέστηκεν· ὥρᾳ γὰρ ἔαρος τὰ μὲν σπαρέντα
τελεσφορεῖται γένη, αἱ δὲ τῶν δένδρων φύσεις ἀρχὴν λαμβάνουσιν.
ἄμεινον δ' ἂν εἴη καὶ ἐπιμεῖναι μέχρι θέρους ἀκμάζοντος καὶ διακομίσαι
227 καρποὺς οἱονεὶ δείγματα χώρας εὐδαίμονος." (41.) ταῦτ' ἀκούσαντες
ἐπὶ τὴν κατασκοπὴν ἐξῄεσαν ὑπὸ παντὸς τοῦ πλήθους προπεμπό-
μενοι δεδιότος, μὴ συλληφθέντες ἀπόλωνται καὶ συμβῇ δύο τὰ χαλεπώτατα,

---

1 τάχειθεν BKZ θεασόμεθα G γίνεσθε VOFGHP: γένεσθε ceteri δὴ] δὴ οὖν F, δὲ O 2 πρὸς CV¹FGHP: πρὸς τὸ ceteri ὧν ἀναγκαῖον GHP: τῶν ἀναγκαίων ceteri Laur. (v) σαφῆ] ἀκριβῆ F post δὲ ss. δὴ K 3 τρία FGHP: om. ceteri ταῦτα CVO Laur. τε om. Laur. τὴν] τε Laur. 4 θέσεως H¹P τε καὶ A οἰκοδομίαις FGHP: οἰκοδομαῖς ceteri (v), οἰκοδομῇ Laur. ἐχυρότητα CFGHP: ὀχυρότητα ceteri 5 εὔγειος Laur. ἐστι om. Laur. ante ἀγαθὴ add. εἰ FGHP(v), καὶ Laur.
ειο
5. 6 σπαρτῶν τε καὶ δένδρων om. Laur. 6 λεπτόγεως A, λεπτόγειος BEMKZ 9 ἑκουσίως G 10 ἠλιθιώτατον coni. Mang.; ἠλιθιότητος ⟨ἔργον⟩ conicio μηχανήμαθ' G 11 post δύναμις add. ἡμῶν F 12 ῥώμαις coni. Mang. 13 κρατεῖν F 14 ἐρήμη FGHP: ἐρημία ceteri βαθεῖαι corr. ex βαθεία B, βαθεῖαι MKZ 16 ὥρᾳ — λαμβάνουσιν (17) om. Laur. γὰρ] μὲν G, om. BEMA 17 γένη, αἱ KZ: γενέσεως ceteri (v) φύσεις] ἐκφύσεις coni. Mang. 18 pr. καὶ om. Laur. alt. καὶ om. BEMA 19 ταῦτα CF 20 τὴν om. M κατασκοπεῖν C 20. 21 παραπεμπόμενοι coni. Mang. 21 δεδιότες EMAVO ἀπόλλωνται K

---

2—6 pergit Laur. V 14: ἃ δὲ γνῶναι — ἔμπαλιν. 15—20 pergit Laur. V 14: ὁ δὲ καιρός — ἐξῄεσαν.

ἀνδρῶν τε, οἳ φυλῆς ἑκάστης ὄψις ἦσαν, σφαγαὶ καὶ ἄγνοια τῶν παρὰ
τοῖς ἐφεδρεύουσιν ἐχθροῖς ὧν ὠφέλιμος ἡ ἐπιστήμη. παραλαβόντες 228
δ' ὀπτῆρας καὶ ἡγεμόνας τῆς ὁδοῦ προερχομένοις ἐφείποντο· καὶ γενόμενοι πλησίον, ἐφ' ὑψηλότατον ὄρος τῶν περὶ τὸν τόπον ἀναδραμόντες, κατεθεῶντο τὴν χώραν, ἧς πεδιὰς μὲν ἦν πολλὴ κριθοφόρος, πυροφόρος, εὔχορτος, ὀρεινὴ δ' οὐκ ἔλαττον ἀμπέλων καὶ στελεχῶν ἄλλων κατάπλεως, εὔδενδρος ἅπασα, λάσιος, ποταμοῖς καὶ πηγαῖς διεζωσμένη πρὸς ἄφθονον ὑδρείαν, ὡς ἐκ τῶν προπόδων ἄχρι τῶν κορυφῶν ὅλα τῶν ὀρῶν τὰ κλίματα δένδρεσι κατασκίοις συνυφάνθαι, διαφερόντως δὲ τοὺς
αὐχένας καὶ ὅσαι βαθεῖαι διαφύσεις. κατεθεῶντο δὲ καὶ τὰς πόλεις 229
ἐρυμνοτάτας διχόθεν, ἔκ τε τοπικῆς περὶ τὴν θέσιν εὐκαιρίας καὶ περιβόλων ἐχυρότητος. ἐξετάζοντες δὲ καὶ τοὺς οἰκήτορας ἑώρων ἀπείρους τὸ πλῆθος, περιμηκεστάτους γίγαντας ἢ γιγαντώδεις τὰς τῶν σωμάτων
ὑπερβολὰς ἔν τε μεγέθεσι καὶ ῥώμαις. ταῦτα κατιδόντες εἰς ἀκριβεστέραν 230
κατάληψιν ἐπέμενον — ὀλισθηρὸν γὰρ αἱ πρῶται φαντασίαι χρόνῳ μόλις ἐνσφραγιζόμεναι — καὶ ἅμα σπουδὴν ἐποιοῦντο δρεψάμενοι τῶν ἀκροδρύων, μὴ ἄρτι πρῶτον στεριφουμένων ἀλλ' ἤδη ὑποπερκαζόντων,
ἐπιδείξασθαι παντὶ τῷ πλήθει τὰ μὴ ῥᾳδίως φθαρησόμενα. μάλιστα 231
δ' αὐτοὺς κατέπληττεν ὁ τῆς ἀμπέλου καρπός· οἱ γὰρ βότρυες ὑπερμεγέθεις ἦσαν, ἀντιπαρεκτεινόμενοι ταῖς κληματίσι καὶ μοσχεύμασιν, ἄπιστος θέα· ἕνα γοῦν ἐκτεμόντες καὶ δοκίδος ἐκ μέσων ἀπαιωρήσαντες,

---

1 ὄψις — καὶ om. in lac. C ὄψεις BEAKZ 3 προερχόμενοι VOF
4 τῶν — τόπον om. Laur. περὶ] παρὰ P τῶν τόπων K, τὸν ποταμὸν A
5 κριθηφόρος Laur. 6 δὲ BEMFKZ ἔλαττον BEMA: ἐλάττων ceteri
7 ἅπασι H[1], πᾶσα Laur. 7—10 πρὸς — διαφύσεις om. Laur. 8 ἄφθορον F
10 ὅσα BEMA βαθεῖα AP διὰ φύσεις AF, διὰ φύσιν GHP 12 ἐχυρότητος CFGHP: ὀχυρότητος ceteri ἑώρων] εὗρον coni. Mang.
12. 13 τὸ πλῆθος ἀπείρους F (β α) 13 τῷ πλήθει VOK[2] Laur. γίγαντας ἢ
et τὰς — ὑπερβολὰς (14) om. Laur. 14 ἔν τε ῥώμῃ καὶ μεγέθεσιν Laur.
ἀκριβεστάτην VO 15 ὀλισθηραὶ BEMAKZ (Mang.) φαντασίαι] φῆμαι D
16 ἐκσφραγιζόμεναι D[R], ἐμφραγιζόμεναι D[P] ἐποίουν HP δρεψόμενοι Laur.
17 μὴ — στεριφουμένων om. A, μὴ — ἀλλ' om. Laur. 18 ἐπιδείξεσθαι G
19 βότρυς FGHP 19. 20 παμμεγέθεις A 20 ἀντιπαρεκτεινόμενοι — μοσχεύμασιν om. Laur. κλιματίσι AEFGHPZ 21 οὖν Laur. τεμόντες FGHP
ἐκ μέσου A, μέσον (om. ἐκ) VO Laur.

---

3—176,3 pergit Laur. V 14: ὀπτῆρας δὲ καὶ ἡγεμόνας παραλαβόντες προερχομένοις — ἐκόμιζον. 15. 16 D[P] fol. 257[v] D[M] fol. 268[r] D[R] fol. 271[v] Φίλωνος ἐκ τοῦ περὶ Μωσέως βίου: ὀλισθηρὸν γὰρ αἱ πρῶται φῆμαι χρόνῳ μόλις ἐνσφραγιζόμεναι.

ἧς τὰς ἀρχὰς δυσὶ νέοις, τῷ μὲν ἔνθεν τῷ δ' ἔνθεν, ἐπετίθεσαν, ἐκ
διαδοχῆς, πιεζομένων αἰεὶ τῶν προτέρων — βαρύτατον γὰρ ἦν ἄχθος
232 —, ἐκόμιζον, περὶ τῶν ἀναγκαίων οὐχ ὁμοφρονοῦντες. (42.) ἐγένοντο
μὲν οὖν αὐτοῖς ἅμιλλαι μυρίαι καὶ πρὶν ἐπανήκειν κατὰ τὴν ὁδόν, ἀλλὰ
κουφότεραι, ὑπὲρ τοῦ μὴ γνωσιμαχούντων μηδ' | ἄλλα ἄλλων ἀπαγγελ- p. 118 M.
λόντων στάσιν ἐν τῷ πλήθει γενέσθαι, χαλεπώτεραι δὲ μετὰ τὴν
233 ἐπάνοδον. οἱ μὲν γὰρ περὶ τῆς τῶν πόλεων ἐχυρότητος καὶ ὡς ἑκάστη
πολυάνθρωπός ἐστι διεξιόντες καὶ πάντα αἴροντες τῷ λόγῳ πρὸς τὸ
μεγαλεῖον φόβον ἐνειργάζοντο τοῖς ἀκούουσιν, οἱ δὲ τὸν ἁπάντων ὧν
εἶδον ὑφαιροῦντες ὄγκον παρεκάλουν μὴ ἀναπίπτειν, ἀλλ' ἔχεσθαι τῆς
ἀποικίας ὡς αὐτοβοεὶ περιεσομένους· οὐδεμίαν γὰρ ἀνθέξειν πόλιν πρὸς
τοσαύτης δυνάμεως ἔφοδον ἀθρόως ἐπιστάσης, ἀλλὰ τῷ βάρει πιεσθεῖσαν
πίπτειν· προσετίθεσαν δὲ καὶ τὰ ἐκ τῶν ἰδίων παθῶν ἑκάτεροι ταῖς
ψυχαῖς τῶν ἀκουόντων, οἱ μὲν ἄνανδροι δειλίαν, οἱ δ' ἀκατάπληκτοι
234 θάρσος μετ' εὐελπιστίας. ἀλλ' οὗτοι μὲν πέμπτη μοῖρα τῶν ἀποδεδει-
λιακότων ἦσαν, οἱ δ' ἔμπαλιν τῶν γενναίων πενταπλάσιοι· τὸ δ' ὀλίγον
θάρσος ἀτολμίας ἐναφανίζεται περιουσίᾳ, ὃ δὴ καὶ τότε φασὶ συμβῆναι·
τῶν γὰρ τὰ βέλτιστα διεξιόντων δυοῖν οἱ τἀναντία φάσκοντες δέκα περιῆσαν
οὕτως, ὥστε καὶ σύμπασαν ὑπηγάγοντο τὴν πληθὺν ἐκείνων μὲν ἀλλο-
235 τριώσαντες, ἑαυτοῖς δ' οἰκειωσάμενοι. περὶ δὲ τῆς χώρας ταὐτὰ πάντες

1 ἧς] εἰς GP; καὶ coni. Mang. δὲ HP ἐπετίθεσαν scripsi: ἐπιθέντες codd.
2 πιεζομένων — προτέρων] ἐπετίθεσαν Laur. αἰεὶ om. BEMAK¹Z τῶν om. A
3 ἀναγκαιοτάτων KZ 4 καὶ — κουφότεραι (5) om. M πρὶν om. V¹, ss. V²
5 μὴ om. A ἄλλων ἄλλα transp. F 5. 6 ἐπαγγελλόντων FG
7 τῶν om. AF ἐχυρότητος CEFGP: ὀχυρότητος ceteri 8 ἐστι om. F
9 τοῖς om. M post οἱ δὲ add. δύο Laur. τὸν] τῶν BMV¹G, τὸν τῶν V²OF
10 ἀφαιροῦντες AGPKZ μὴ ἀναπίπτειν ἀλλ' om. Laur. ἀντιπίπτειν F
ἀλλὰ F 11 ἀνθέξιν E 12 ἀθρόον KZ 13 πίπτειν FGHP: ἀπειπεῖν
δειλια δειλια
ceteri, ἀπερεῖν (Turn.) v 14 δὲ F 15. 16 ἀποδεδρακότων C, ἀποδεδραμηκότων H:
ἀποδεδραμηκότων P, ἀποδεδρακότων ceteri 17 ἐναφανίζεται FHP: ἀναφανίζεται C,
ἀφανίζεται B mg. E, ἐμφανίζεται ceteri φησὶ HP 18 τὰ om. H
δυεῖν FO 19 ante οὕτως add. καὶ ὑπερίσχυσαν V²OK² ὥστε] ὅτι V²O;
ὥστε om. Mang. καὶ om. V²O σύμπαν ὑπ. τὸ πλῆθος C ἐπη-
γάγοντο KZ 20 αὐτοῖς GH²K, αὑτοῖς FH¹PZ δὲ F ταὐτὰ FGHP: τὰ αὐτὰ
ceteri πάντες om. A

7—11 pergit Laur. V 14: ἐπεὶ δὲ ἐπανῆλθον, οἱ μὲν δέκα περὶ τῆς — αὐτοβοεὶ περιεσομένους. 15—177,2 pergit Laur. V 14: περὶ δὲ τῆς χώρας — ἐκδιηγούμενοι (20 — 177,2). περιῆσαν δὲ τῆς πέμπτης μοίρας τῶν τὰ βέλτιστα διεξιόντων οἱ τἀναντία φάσκοντες πενταπλάσιοι, ὥστε καὶ σύμπασαν ὑπηγάγοντο τὴν πληθύν (cf. 15—19).

ἀπεφαίνοντο γνώμῃ μιᾷ τὸ κάλλος καὶ τῆς πεδιάδος καὶ τῆς ὀρεινῆς ἐκδιη-
γούμενοι· „τί δ' ὄφελος“ εὐθὺς ἀνεβόησαν „ἡμῖν ἀλλοτρίων ἀγαθῶν καὶ
ταῦτα πεφρουρημένων κραταιᾷ χειρὶ πρὸς τὸ ἀναφαίρετον;“ καὶ τοῖς δυσὶν
ἐπιδραμόντες μικροῦ καταλεύουσιν αὐτοὺς ἡδονὴν ἀκοῆς τοῦ συμφέροντος
καὶ ἀπάτην ἀληθείας προκρίναντες. ἐφ' οἷς ὁ ἡγεμὼν ἠγανάκτει καὶ 236
ἅμα ηὐλαβεῖτο, μή τι θεήλατον κατασκήψῃ κακὸν οὕτως ἐκθύμως ἀπι-
στοῦσι τοῖς χρησμοῖς· ὅπερ καὶ ἐγένετο· τῶν γὰρ κατασκόπων οἱ μὲν
δειλοὶ δέκα λοιμώδει νόσῳ διαφθείρονται μετὰ τῶν ἐκ τοῦ πλήθους
συναπονοηθέντων, μόνοι δ' οἱ συμβουλεύσαντες δύο μὴ ὀρρωδεῖν ἀλλ'
ἐφίεσθαι τῆς ἀποικίας ἐσώθησαν, ὅτι καταπειθεῖς ἐγένοντο τοῖς λογίοις,
γέρας ἐξαίρετον λαβόντες τὸ μὴ παραπολέσθαι.

(43.) Τοῦτ' αἴτιον ἐγένετο τοῦ μὴ θᾶττον ἥκειν εἰς ἣν ἀπῳκίζοντο 237
γῆν. δυνάμενοι γὰρ ἔτει δευτέρῳ μετὰ τὴν ἀπ' Αἰγύπτου μετανάστασιν
τὰς ἐν Συρίᾳ πόλεις καὶ τὰς κληρουχίας ἐννέμεσθαι, τὴν ἄγουσαν καὶ
ἐπίτομον ἐκτραπόμενοι ὁδὸν ἐπλάζοντο, δυσαναπορεύτους καὶ μακρὰς
ἀνοδίας ἄλλας ἐπ' ἄλλαις ἀνευρίσκοντες εἰς ἀνήνυτον ψυχῆς τε καὶ
σώματος κάματον, δίκας ἀναγκαίας τῆς ἄγαν ἀσεβείας ὑπομένοντες.
p. 119 M. ὀκτὼ γοῦν ἐνιαυτοὺς πρὸς τοῖς τριάκοντα δίχα τοῦ | παρεληλυθότος 238
χρόνου, γενεᾶς βίον ἀνθρωπίνης, ἄνω κάτω τριβόμενοι καὶ τὰς ἀβάτους
ἐρημίας ἀναμετροῦντες ἔτει τεσσαρακοστῷ μόλις ἐπὶ τοὺς τῆς χώρας
ὅρους παρεγένοντο, ἐφ' οὓς καὶ πρότερον ἦλθον. πρὸς δὲ ταῖς εἰσβολαῖς 239
ᾤκουν ἕτεροί τε καὶ δὴ καὶ συγγενεῖς αὐτῶν, οὓς ᾤοντο μάλιστα μὲν
συνεκπολεμήσειν τὸν πρὸς τοὺς ἀστυγείτονας πόλεμον καὶ πρὸς τὴν
ἀποικίαν ἅπαντα συμπράξειν, εἰ δ' ἀποκνοῖεν, μετὰ μηδετέρων γοῦν
τετάξεσθαι χεῖρας ἀνέχοντας. οἱ γὰρ ἀμφοτέρων τῶν ἐθνῶν πρόγονοι, 240

---

2 δὲ F  ἡμῖν om. F  3 περιφρουρημένων P  κραταιᾷ BMKZ: κρατερᾷ A, καρτερᾷ ceteri  4 καταλλεύουσιν C  5 προκρίνοντες HP  ἐφ' οἷς] εὐθὺς A  6 ἐπισκήψῃ VOK² Laur.  κακὸν] καὶ K  9 δύο om. HP; δύο συμβουλεύσαντες Mang.  10 λόγοις VK²  12 τοῦτο F  13 μετάστασιν G, ἐπανάστασιν A  14 ἐννέμεσθαι scripsi: ἐκνέμεσθαι codd.  ἄγουσαν] εὐθεῖαν vel sim. expectat Wendl.  15 ἐπίτιμον E  ἐπλάζοντο FGHP: ἐπορεύοντο ceteri  δυσαναπορεύτους FH¹P: δυσπορεύτους ceteri  16 ἄλλας] ἄλλον VO  εὑρίσκοντες C; συνείροντες coni. Mang.  ἀνύνητον M  17 ἀναγκαίας] ἀξίας coni. Mang.  ἄγαν om. VOFGHP  19 κάτω CV¹FGHP¹: καὶ κάτω ceteri  20 ἔτει] εἴ τι G  τοὺς om. F  21 ἐμβολαῖς C  22 τε om. A  alt. καὶ CVOFG²: om. ceteri  23 τοὺς om. BEMAKZ  24 ἅπαντα om. A  δὲ F  ἀποκνοῖντο V²O  μηδ' ἑτέρων MKZ  25 τετάξασθαι K, τετάξομεν Z

---

3—10 pergit Laur. V 14: καὶ τοῖς δυσὶν ἐπιδραμόντες μικροῦ καταλεύουσιν αὐτοὺ (3. 4). ἐφ' οἷς Μωυσῆς ἠγανάκτει — ἐσώθησαν (5—10).  21 sqq. Num. 20, 14—21

τοῦ τε Ἑβραϊκοῦ καὶ τοῦ τὰ προάστεια κατοικοῦντος, ἀδελφοὶ δύο ἦσαν
ὁμοπάτριοι καὶ ὁμομήτριοι, πρὸς δὲ καὶ δίδυμοι, ἀφ' ὧν εἰς πολυπαιδίαν
ἐπιδιδόντων καὶ τῶν ἀπογόνων εὐφορίᾳ τινὶ χρωμένων εἰς μέγα καὶ
πολυάνθρωπον ἔθνος ἑκατέρα τῶν οἰκιῶν ἀνεχύθη· ἀλλ' ἡ μὲν ἐφιλο-
χώρησεν, ἡ δ', ὡς ἐλέχθη πρότερον, εἰς Αἴγυπτον μεταναστᾶσα διὰ
241 λιμὸν χρόνοις ὕστερον ἐπανῄει. τὴν δ' οἰκειότητα ἡ μὲν διεφύλαττε,
καίτοι πολὺν χρόνον διαζευχθεῖσα, πρὸς τοὺς μηδὲν ἔτι τῶν πατρίων
φυλάττοντας, ἀλλὰ πάντα τὰ τῆς ἀρχαίας πολιτείας ἐκδεδιῃτημένους,
ὑπολαβοῦσα τοῖς ἡμέροις τὰς φύσεις ἁρμόττον εἶναι διδόναι τι καὶ χαρί-
242 ζεσθαι συγγενείας ὀνόματι· ἡ δ' ἔμπαλιν τὰ φιλικὰ πάντα ἔτρεψεν ἤθεσι
καὶ λόγοις βουλαῖς τε καὶ πράξεσιν ἀσπόνδοις καὶ ἀσυμβάτοις χρωμένη,
πατρικὴν ἔχθραν ζωπυροῦσα — ὁ γὰρ τοῦ ἔθνους ἀρχηγέτης αὐτὸς ἀπο-
δόμενος τῷ ἀδελφῷ τὰ πρεσβεῖα μικρὸν ὕστερον ὧν ἐξέστη μετεποιεῖτο
παραβαίνων τὰς ὁμολογίας καὶ ἐφόνα θάνατον ἀπειλῶν, εἰ μὴ ἀποδοίη —·
ταύτην τὴν παλαιὰν ἀνδρὸς ἑνὸς πρὸς ἕνα ἔχθραν ἔθνος τοσαύταις ὕστερον
243 γενεαῖς ἐκαίνωσεν. ὁ μὲν οὖν ἡγεμὼν τῶν Ἑβραίων Μωυσῆς, καίτοι γ'
αὐτοβοεὶ δυνάμενος ἑλεῖν ἐξ ἐπιδρομῆς, οὐκ ἐδικαίωσε διὰ τὴν εἰρημένην
συγγένειαν, ἀλλ' ὁδῷ χρήσασθαι μόνον ἠξίου τῇ διὰ τῆς χώρας πάνθ'
ὑπισχνούμενος πράξειν τὰ ἔνσπονδα, μὴ τεμεῖν χωρίον, μὴ θρέμματα,
μὴ λείαν ἀπάξειν, ὕδατος, εἰ ποτοῦ γένοιτο σπάνις, τιμὴν παρέξειν καὶ
τῶν ἄλλων τοῖς ἀχορηγήτοις ὠνίων· οἱ δ' εἰρηνικαῖς οὕτω προκλήσεσιν
ἀνὰ κράτος ἠναντιοῦντο πόλεμον ἀπειλοῦντες, εἰ τῶν ὅρων ἐπιβάντας

---

1 τε] θ' A  τὰ om. A  δύο om. FGHP  3 ἐπιδόντων CVBEMA  τῶν om. A  εὐφορίᾳ] εὐμοιρία $K^1$Z  τινὶ om. A  καὶ om. G  4 οἰκιῶν] οἰκείων BEMA  5 δὲ VO  διαναστᾶσα A  6 ἐπανῆσαι (sic) F
οι
εἰκειότητα G  ἐφύλαττε VO  7 ἔτι] ἐπὶ F  πατριῶν $C^1$Z  8 διαφυλάττοντας F  9 ὑπολαβούσας F  ἡμέροις] ἡμετέροις G  τι om. K  10 συγγενίας A  δὲ πάλιν GHP  ἀνέτρεψεν coni. Mang.  ἤθεσι] εἴδεσι *cogitationibus* (?) coni. Mang.  post ἤθεσι add. sed rursus ex-
πρεσ
punxit τε K  12 ζωπυροῦσαν M  αὐτὸς] αὐτοῖς FHP  13 βραβεῖα Z  μικρὸν — μετεποιεῖτο om. M  ὑπέστη πεποίητο A  14 τὰς ὁμολογίας CKZ: τὰς om. ceteri  ἀπολογίας BEMA (ὁμολογίας mg. M)  ἐφόνα FGHP: om. ceteri  ἀποδοίη VOFGHP: ἀποδώιη BE, ἀποδώη CMAKZ  15 ἀνδρὸς om. M  ἑνὸς FGHP: om. ceteri  16 ἐκαίνωσεν G: ἐκένωσεν ceteri  γε AKZ  18 μόνωι E  πάντα A  19 μὴ τεμεῖν scripsi: μήτε μὴν codd.; χωρίον ⟨βλάψειν⟩ coni. Mang.  21 τοῖς ἀχορηγήτοις om. BEMA  post τοῖς add. γε F  ἀχορηγήτοις GHP: ἀχορήγοις VO$K^2$, ἀγορητοῖς F$K^1$Z, ἀγοραίοις C  εἰρηνικαῖς FGHP: εἰρημένοι ταῖς ceteri  οὕτω om. FGHP(v)  προσκλήσεσιν FHP (Mang.), προσκλίσεσιν G

ἢ ψαύσαντας αὐτὸ μόνον αἴσθοιντο. (44.) χαλεπῶς δὲ τὰς ἀποκρίσεις 244
ἐνηνοχότων καὶ ἤδη πρὸς ἄμυναν ὁρμώντων, ἐν ἐπηκόῳ στὰς „ἄνδρες“
εἶπεν, „ἡ μὲν ἀγανάκτησις ὑμῶν εὔλογος καὶ δικαία· χρηστὰ γὰρ ἀφ'
ἡμέρου γνώμης προτειναμένων, πονηρὰ ἀπὸ διανοίας ἀπεκρίναντο κακο-
p. 120 M. ἤθους. ἀλλ' οὐχ ὅτι | τῆς ὠμότητος ἐκεῖνοι δίκας ἐπάξιοι τίνειν εἰσί, 245
διὰ τοῦθ' ἡμῖν ἐπὶ τὰς κατ' αὐτῶν τιμωρίας ἁρμόττον ἴεσθαι, ἕνεκα
τῆς πρὸς τὸ ἔθνος τιμῆς, ἵνα καὶ ταύτῃ μοχθηρῶν ἀγαθοὶ διαφέρωμεν,
ἐξετάζοντες οὐ μόνον, εἰ κολαστέοι τινές εἰσιν, ἀλλ' εἰ καὶ ὑφ' ἡμῶν
ἐπιτήδειοι τοῦτο πάσχειν.“ εἶτ' ἐκτραπόμενος ἦγε δι' ἑτέρας τὴν πληθύν, 246
ἐπειδὴ τὰς κατὰ τὴν χώραν ὁδοὺς ἁπάσας φρουραῖς διεζωσμένας εἶδεν
ὑπὸ τῶν βλάβην μὲν οὐδεμίαν ἐνδεξομένων, φθόνῳ δὲ καὶ βασκανίᾳ
τὴν ἐπίτομον οὐκ ἐώντων προέρχεσθαι. ταῦτα δὲ σαφεστάτη πίστις 247
ἦν ἀνίας, ἣν ἐπὶ τῷ τὸ ἔθνος ἐλευθερίας τυχεῖν ἠνιῶντο, δηλονότι χαί-
ροντες, ἡνίκα τὴν ἐν Αἰγύπτῳ πικρὰν δουλείαν ὑπέμενον· ἀνάγκη γὰρ
οἷς φέρει λύπην τἀγαθὰ τῶν πλησίον ἐπὶ τοῖς τούτων εὐφραίνεσθαι
κακοῖς, κἂν μὴ ὁμολογῶσιν. ἔτυχον γὰρ ὡς πρὸς ὁμογνώμονας καὶ τὰ 248
αὐτὰ βουλομένους ἀνενεγκόντες τὰ συμβάντα λυπηρά τε αὖ καὶ ὅσα καθ'
ἡδονήν, οὐκ εἰδότες ὅτι πόρρω προεληλύθασι μοχθηρίας καὶ ἐθελέχθρως
καὶ φιλαπεχθημόνως ἔχοντες στένειν μὲν ἐπὶ τοῖς ἀγαθοῖς, ἥδεσθαι δὲ
ἐπὶ τοῖς ἐναντίοις ἔμελλον. τῆς δὲ κακονοίας ἀνακαλυφθείσης ἐκείνων, 249
ἐκωλύθησαν εἰς χεῖρας ἐλθεῖν ὑπὸ τοῦ προεστῶτος ἐπιδειξαμένου δύο
τὰ κάλλιστα, φρόνησιν ἐν ταὐτῷ καὶ χρηστότητα· τὸ μὲν γὰρ μηδὲν
παθεῖν φυλάξασθαι συνέσεως, τὸ δὲ μηδ' ἀμύνασθαι συγγενεῖς ὄντας
ἐθελῆσαι φιλανθρωπίας ἔργον.

---

2 ὦ ἄνδρες BEMAKZ 3 εἶπον H¹P ἀγανάκτησις] παραίτησις Z
ὑ
ημῶν A, ἡμῶν BEMZ 4 ἡμῶν add. ante προτειναμένων V²O προτεινο-
μένων M; προτεινάμενοι Turn. 5 ἀλλ' om. F τείνειν CGZ 6 τοῦτο F
κατ' om. G ἴεσθαι AFPKZ: ἵεσθαι ceteri 7 ἔθνος] γένος CVO (fort. recte)
τιμῆς] αἰδοῦς CVO (fort. recte) μοχθηρῶν] πονηρῶν KZ ἀγαθοὶ om. A
8 ἀλλ' εἰ] ἀλλὰ H¹P 9 εἶτα F 10 τὴν om. G 11 ἐνδεξομένων FGHP:
προέρχεσθαι
ἐκδεξομένων O, ἐκδεξαμένων ceteri καὶ om. H¹P 12 πορεύεσθαι K
13 ἀνίας ἦν transp. A(v) ἀνίας] ἀνοίας Turn. δῆλον ὅτι CBE 14 ἐν
om. A 15 οἷς] ἧς G λύπης G τἀγαθὰ FGHP: τὰ ἀγαθὰ ceteri
16 γὰρ om. Z καὶ om. A 17 ἀνενεγκόντας A 18 πορρωτάτω HP
προσεληλύθασι H¹P 19 δ' CVO, δὲ om. A 20 ἔμελλον] ἐβούλοντο V²
τῆς] τοῖς C ἀνακαλυφείσης Turn. 21 ἐπιδεξαμένου F, ἐνδειξαμένου A
22 μηδὲν FGHP: μηδὲν μηδένα ceteri (v) 22. 23 παθεῖν μηδὲν transp. H
23 φυλάξεσθαι BEM 24 θελῆσαι AH(v)

250 (45.) Τὰς μὲν οὖν τούτων πόλεις παρημείψατο. βασιλεὺς δέ τις
τῆς ὁμόρου Χανάνης ὄνομα, τῶν σκοπῶν ἀπαγγειλάντων τὸν ὁδοιποροῦντα
στρατὸν οὐ πάνυ μακρὰν ἀφεστηκότα, νομίσας ἀσύντακτόν τε εἶναι καὶ
ῥᾳδίως εἰ προεπίθοιτο νικήσειν, ἄρας μετὰ τῆς οἰκείας νεότητος
εὐοπλούσης ἐπεξέθει καὶ τοὺς πρώτους ὑπαντιάσαντας ἅτε μὴ παρεσκευασ-
μένους εἰς μάχην τρέπεται· καὶ λαβὼν αἰχμαλώτους ἐπὶ τῷ παρ' ἐλπίδα
εὐημερήματι φυσηθεὶς προήει, καὶ τοὺς ἄλλους ἅπαντας χειρώσεσθαι
251 νομίζων. οἱ δὲ — οὐ γὰρ ἐγνάμφθησαν ἥττῃ τῆς προερχομένης τάξεως
— ἀλλ' ἔτι μᾶλλον ἢ πρότερον σπάσαντες εὐτολμίας καὶ τὴν ἔνδειαν
τῶν ἑαλωκότων ἐκπλῆσαι ταῖς προθυμίαις ἐπειγόμενοι συνεκρότουν ἄλλος
ἄλλον μὴ ἀποκάμνειν „ἀνεγειρώμεθα" λέγοντες, „ἄρτι τῆς χώρας ἐπι-
βαίνομεν· ἀκατάπληκτοι μετὰ τῆς ἐν τῷ θαρρεῖν ἐχυρότητος γινώμεθα·
τὰ τέλη ταῖς ἀρχαῖς πολλάκις κρίνεται· ἐπὶ τῶν εἰσβολῶν ὄντες κατα-
πληξώμεθα τοὺς οἰκήτορας, ὡς ἔχοντες μὲν τὴν ἐκ τῶν πόλεων εὐετη-
ρίαν, | ἀντιδεδωκότες δ' ἣν ἐκ τῆς ἐρημίας ἐπαγόμεθα σπάνιν τῶν ἀναγ- p. 121 M.
252 καίων." καὶ ἅμα διὰ τούτων προτρέποντες αὐτοὺς ηὔξαντο τῆς χώρας
ἀπαρχὰς ἀναθήσειν τῷ θεῷ τὰς πόλεις τοῦ βασιλέως καὶ τοὺς ἐν ἑκάστῃ
πολίτας· ὁ δ' ἐπινεύει ταῖς εὐχαῖς καὶ θάρσος ἐμπνεύσας τοῖς Ἑβραίοις
253 τὴν ἀντίπαλον στρατιὰν ἁλῶναι παρεσκεύασεν. οἱ δ' ἀνὰ κράτος ἑλόντες
τὰς χαριστηρίους ὁμολογίας ἐπετέλουν, οὐδὲν ἐκ τῆς λείας νοσφισάμενοι,
τὰς δὲ πόλεις αὐτοῖς ἀνδράσι καὶ κειμηλίοις ἀνιερώσαντες, καὶ ἀπὸ τοῦ

---

1 τούτων om. VO 2 ὁμόρου] ὁμοχώρου A (Turn.) χαλάνης Z ⟨Ἀραδ⟩ ὄνομα coni. Mang. τοὔνομα V²OK² σκοπὸν K 3 μακρὰν πάνυ transp. A(v) τε om. AZ 4 εἰ ῥᾳδίως transp. V, εἰ om. O προσεπίθοιτο V²K², προεπίθειτο G, προεπιθεῖντο F, προεπίθοιντο CA; προεπίθειντο (sic) Turn. Mang. οἰκίας Z, οἰκείου CV¹ 5 πρώτως VOFHP ὑπαντιάσας A 5. 6 παρασκευασμένους BEMFPZ 6 παρ' ἐλπίδας VOKFHP, παρελπίδι Z 7 προῆσαι (sic) F χειρώσεσθαι Mang.: χειρώσασθαι codd. 8 οἱ δὲ VOK²: οἶδ' Z, οἱ δ' ceteri οὐ] οὐδὲ A(v) ἐγνάφθησαν M, ἐκνάμφθησαν FH¹P ἥττῃ FGHPKZ: om. ceteri 10 ἐκπληρῶσαι BEMA τῆς προθυμίας CV¹BEMA, τῇ προθυμίᾳ V²O 11 ἀποκαμεῖν V²O 11. 12 ἐπιβαίνωμεν AFH (Mang.) 12 κατάπληκτοι HP ἐχυρότητος CFGHPK: ὀχυρότητος ceteri γινώμεθα VOFGHP: γενώμεθα ceteri 13. 14 καταπληξόμεθα H 14 ἔχοντας V²O 15 ἀντιδεδωκότας V²OK² δ'] δὲ ἡμῖν V²OK² ἀπαγόμεθα F 16 αὐτοὺς ABEVOH²: αὐτοὺς ceteri 18 πολιτείας C¹ δὲ VO 19 ἀντίπαλον] τῶν ἀντιπάλων BEMAKZ (v) ἁλῶσαι H οἶδ' Z, οἱ δὲ F ἑλόμενοι H¹P 21 ἀφιερώσαντες V²OK² alt. καὶ FGHP: om. ceteri (v)

---

1 sqq. Num. 21,1—3

συμβεβηκότος ὅλην τὴν βασιλείαν ὠνόμασαν „ἀνάθεμα“. καθάπερ γὰρ 254
εἷς ἕκαστος τῶν εὐσεβούντων ἀπὸ τῶν ἐτησίων ἀπάρχεται καρπῶν, οὓς
ἂν ἐκ τῶν ἰδίων συγκομίζῃ κτημάτων, τὸν αὐτὸν τρόπον καὶ ὅλον τὸ
ἔθνος μεγάλης χώρας, εἰς ἣν μετανίστατο, μέγα τμῆμα, τὴν εὐθὺς
αἱρεθεῖσαν βασιλείαν, ἀνέθηκεν ἀπαρχήν τινα τῆς ἀποικίας· οὐ γὰρ ἐνό-
μιζεν ὅσιον εἶναι διανείμασθαι γῆν ἢ πόλεις κατοικῆσαι, πρὶν καὶ τῆς
χώρας καὶ τῶν πόλεων ἀπάρξασθαι.

(46.) Μικρὸν δ' ὕστερον καὶ πηγὴν εὔυδρον ἀνευρόντες, ἣ παντὶ 255
τῷ πλήθει ποτὸν ἐχορήγησεν — ἐν φρέατι δ' ἦν ἡ πηγὴ καὶ ἐπὶ τῶν
τῆς χώρας ὅρων —, ὥσπερ οὐχ ὕδατος ἀλλ' ἀκράτου σπάσαντες τὰς
ψυχὰς ἀνεχύθησαν· ὑπό τε εὐφροσύνης καὶ χαρᾶς ᾆσμα καινὸν οἱ θεο-
φιλεῖς χοροὺς περὶ τὸ φρέαρ ἐν κύκλῳ στήσαντες ᾖδον εἰς τὸν κληροῦχον
θεὸν καὶ τὸν ἀληθῶς ἡγεμόνα τῆς ἀποικίας, ὅτι πρῶτον ἐπιβάντες ἐξ
ἐρημίας μακρᾶς τῆς οἰκουμένης καὶ ἣν ἔμελλον καθέξειν ποτὸν ἄφθονον
ἀνεῦρον, ἁρμόττον ἡγησάμενοι μὴ ἀσημείωτον τὴν πηγὴν παρελθεῖν.
καὶ γὰρ ἔτυχεν οὐ χερσὶν ἰδιωτῶν ἀλλὰ βασιλέων ἀνατετμῆσθαι φιλοτι- 256
μηθέντων, ὡς λόγος, οὐ μόνον περὶ τὴν εὕρεσιν τοῦ ὕδατος ἀλλὰ καὶ
περὶ τὴν τοῦ φρέατος κατασκευήν, ἵν' ἐκ τῆς πολυτελείας βασιλικὸν
φαίνηται τὸ ἔργον καὶ ἡ τῶν κατασκευασάντων ἀρχὴ καὶ μεγαλόνοια.
γεγηθὼς δ' ἐπὶ τοῖς αἰεὶ συμβαίνουσιν ἀπροσδοκήτοις ἀγαθοῖς ὁ Μωυσῆς 257
ἐχώρει προσωτέρω, τὴν μὲν νεότητα διανείμας εἴς τε πρωτοστάτας καὶ
ὀπισθοφύλακας, γηραιοὺς δὲ καὶ γύναια καὶ παῖδας ἐν μέσοις τάξας,
ἵνα διὰ τῶν παρ' ἑκάτερα φρουρὰν ἔχωσιν, ἐάν τε ἀντικρὺ ἐάν τε
κατόπιν ἐχθρὸς ὅμιλος ἐπίῃ.

1 ἀνάθημα AFGHP γὰρ om. F 3 συγκομίζηται AP (v) 4 μεταν-ίσταντο BMK τμῆμα CVOFHP: κτῆμα ceteri 5 αἱρεθεῖσαν FHP: om. A, εὑρεθεῖσαν ceteri ἀνέθηκαν O 5. 6. ἐνόμιζεν CFGP: ἐνόμισεν H (v), ἐνόμιζον ceteri 6 ὅσιος G διανείμερθαι (sic) KZ 8 δὲ F εὔυδρον FGHP: om. ceteri ἀνευρόντες FGH: εὑρόντες ceteri 11 ᾆσμα καινὸν om. F 13 ἀληθῆ O, ἀληθῆ corr. ex ἀληθῶς K 15 προελθεῖν G 16 ἔτυχον BEM βασιλέως O ἀνατετιμῆσθαι A 17 τὴν om. VO ὕδατος om. A, suppl. man. rec. 19 φαίνηται] φρόνημα (sic) K κατα-σκευασμάτων G ἀρχὴ καὶ FGHP: ἀρχὴ (om. καὶ) KZ, ἐν ἀρχῇ BEMA, ἀρχῆθεν CVO (v) 20 δὲ FKZ δ' (δὲ) FGHP: δ' (δὲ) εὐθὺς ceteri (v) ταῖς F αἰεὶ FGHP: om ceteri ἀγαθοῖς om. F μωσῆς A 21 προστάτας A 22 φύλακας HP γεραιοὺς C 23 φρουρὰς O, φρουροὺς MV² (ῶν) ἄντικρυς CVO (v) 24 ἐχθρὸς A, ἐχθρῶν V²OK (v) ὅμιλον Richt. Tauchn. ἐπίοι KZ, ὀφθείη in textu O, γρ. ἐπίῃ mg. O

8 sqq. Num. 21,16—18

258 (47.) Ὀλίγαις δ' ὕστερον ἡμέραις εἰς τὴν τῶν Ἀμορραίων χώραν
ἐμβαλὼν πρέσβεις ἐξέπεμπε πρὸς τὸν βασιλέα — Σηὼν δ' ὠνομάζετο —
προτρέπων ἐφ' ἃ καὶ τὸν συγγενῆ πρότερον· ὁ δ' οὐ μόνον πρὸς ὕβριν
ἀπεκρίνατο τοῖς ἥκουσι μικροῦ καὶ ἀνελὼν αὐτούς, εἰ μὴ νόμος ὁ πρεσ-
βευτικὸς ἐμποδὼν ἐγένετο, ἀλλὰ καὶ πάντα τὸν στρατὸν συναγαγὼν
259 ἐφώρμα | νομίζων αὐτίκα τῷ πολέμῳ περιέσεσθαι. συμπλακεὶς δὲ οὐ p. 122 M.
πρὸς ἀμελετήτους καὶ ἀνασκήτους ἔγνω τὴν μάχην οὖσαν ἀλλ' ἀθλητὰς
τῷ ὄντι πολέμων ἀηττήτους, οἳ πρὸ μικροῦ πολλὰ καὶ μεγάλα ἠνδραγα-
θίσαντο σωμάτων ἀλκὴν καὶ φρόνημα διανοίας καὶ ἀρετῆς ὕψος ἐπι-
δειξάμενοι, δι' ὧν τοὺς μὲν ἐναντιωθέντας ἐκ πολλοῦ τοῦ περιόντος
εἷλον, ἔψαυσαν δὲ τῶν ἀπὸ τῆς λείας οὐδενὸς τὰ πρῶτα τῶν ἄθλων
260 ἀναθεῖναι τῷ θεῷ σπουδάσαντες· οἳ καὶ τότε φραξάμενοι καρτερῶς ἀπὸ
τῶν αὐτῶν βουλευμάτων καὶ παρασκευῶν ἀντεφώρμησαν ἅμα καὶ τῇ
ἀκαθαιρέτῳ τοῦ δικαίου χρώμενοι συμμαχίᾳ, δι' ἣν εὐτολμότεροί τε
261 ἦσαν καὶ ἀγωνισταὶ πρόθυμοι. σαφὴς δὲ πίστις· δευτέρας οὐκ ἐδέησε
μάχης, ἀλλ' ἡ πρώτη καὶ μόνη ἐγένετο, καθ' ἣν πᾶσα ἡ ἀντίπαλος
262 ἐκλίθη δύναμις καὶ ἀνατραπεῖσα ἡβηδὸν αὐτίκα ἠφανίσθη. αἱ δὲ πόλεις
ὑπὸ τὸν αὐτὸν χρόνον κεναί τε καὶ πλήρεις ἐγεγένηντο, κεναὶ μὲν τῶν
ἀρχαίων οἰκητόρων, πλήρεις δὲ τῶν κεκρατηκότων· τὸν αὐτὸν μέντοι
τρόπον καὶ αἱ κατ' ἀγροὺς ἐπαύλεις ἐρημωθεῖσαι τῶν ἐν αὐταῖς ἀντέ-
λαβον ἄνδρας βελτίους τὰ πάντα.

263 (48.) Οὗτος ὁ πόλεμος ἅπασι μὲν τοῖς Ἀσιανοῖς ἔθνεσι φοβερὸν
δέος ἐνειργάσατο, διαφερόντως δὲ τοῖς ὁμόροις, ὅσῳ καὶ τὰ δεινὰ ἐγγυ-
τέρω προσεδοκᾶτο. εἷς δὲ δὴ ἐκ τῶν ἀστυγειτόνων βασιλέων ὄνομα

---

1 ἀμμοραίων VO 2 πρέσβυς G ἐξέπεμψε CF πρὸς τὸν βασιλέα om. VO δ' AFGHP: δὲ ceteri ὁ τῆς χώρας βασιλεὺς ante ὠνομάζετο add. V²O 3 τοὺς συγγενῆ (sic) K ὅδ' KZ 4 μικρὸν M 4. 5 πρεσβυτικὸς AZ 5 πάντα FGHP: om. ceteri 6 ἐφόρμα E, ἐφορμᾶ FHP, ἐφορμᾶν G 7 ἀνασχήτους G ἔγνω om. O 8 τῷ ὄντι πολέμων ἀηττήτους CVOFGHP: πολέμων ἀηττήτους τῷ ὄντι BEMAKZ 8. 9 ἠνδραγαθήσαντο FGH 10 δι' ὧν] διὸ A (v) 11 εἷλον] καθεῖλον coni. Mang. pr. τῶν codd.: om. v ἄθλων] ἄλλων Z 13 ἀντεφώρμισαν F 14 τοῦ δικαίου: cf. 154,7 εὐτολμώτεροι AZ 15 πίστις codd.: ἡ πίστις v ἐδέησαν A 16 ἀλλὰ F ἡ] ἢ BEMKZ 18 ἐγεγένηντο] ἐγένοντο A (v) 19 πλήρης G μέν τι G 20 κατὰ F 22 μὲν om. BEMAKZ 23 ἀνειργάσατο G δὲ] δὴ F ὅσον Z 24 προσδοκᾶτο (sic) M ἐκ FGHP: καὶ CVOK², om. BEMAK¹Z ὄνομα FGHP: ὀνόματι ceteri (v)

---

1 sqq. Num. 21,21 sqq. 24 sqq. Num. cap. 22

Βαλάκης, μεγάλην καὶ πολυάνθρωπον τῆς ἑῴας μοῖραν ὑπηγμένος, πρὶν
εἰς χεῖρας ἐλθεῖν ἀπειπών, ἄντικρυς μὲν ὑπαντᾶν οὐκ ἐδοκίμαζε τὸν
ἐκπορθήσεως δι' ὅπλων ἐλεύθερον πόλεμον διαδιδράσκων, ἐπ' οἰωνοὺς
δὲ καὶ μαντείας ἐτράπετο νομίζων ἀραῖς τισι δυνήσεσθαι τὴν ἄμαχον
ῥώμην τῶν Ἑβραίων καθελεῖν. ἀνὴρ δ' ἦν κατ' ἐκεῖνον τὸν χρόνον 264
ἐπὶ μαντείᾳ περιβόητος Μεσοποταμίαν οἰκῶν, ὃς ἅπαντα μὲν ἐμεμύητο
τὰ μαντικῆς εἴδη, οἰωνοσκοπίαν δ' ἐν τοῖς μάλιστα συγκεκροτηκὼς
ἐθαυμάζετο, πολλοῖς καὶ πολλάκις ἐπιδειξάμενος ἄπιστα καὶ μεγάλα.
προεῖπε γὰρ τοῖς μὲν ἐπομβρίας θέρους ἀκμάζοντος, τοῖς δ' αὐχμόν 265
τε καὶ φλογμὸν ἐν μέσῳ χειμῶνι, τοῖς δ' ἐξ εὐετηρίας ἀφορίαν καὶ
ἔμπαλιν ἐκ λιμοῦ φοράν, ἐνίοις δὲ πλημμύρας ποταμῶν καὶ κενώσεις
καὶ θεραπείας λοιμικῶν νοσημάτων καὶ ἄλλων μυρίων, ὧν ἕκαστον ὁ
προθεσπίζειν δοκῶν ὀνομαστότατος ἦν ἐπὶ μέγα εὐκλείας προερχόμενος
διὰ τὴν ἐπιβαίνουσιν ἀεὶ καὶ φθάνουσαν πανταχόσε φήμην. ἐπὶ τοῦτον 266
ἐξέπεμπε τῶν ἑταίρων τινὰς παρακαλῶν ἥκειν καὶ δωρεὰς τὰς μὲν ἤδη
παρεῖχε, τὰς δὲ δώσειν ὡμολόγει τὴν χρείαν ἧς ἕνεκα μεταπέμποιτο
p. 123 M. δηλῶν· ὁ δ' οὐκ ἀπὸ φρονήματος εὐγενοῦς καὶ βεβαίου, | ἀλλὰ τὸ πλέον
ἀστεϊζόμενος ὡς δὴ τῶν ἐλλογίμων προφητῶν γεγονὼ ςκαὶ μηδὲν ἄνευ
χρησμῶν εἰωθὼς πράττειν τὸ παράπαν, ὑπανεδύετο λέγων οὐκ ἐπι-
τρέπειν αὐτῷ βαδίζειν τὸ θεῖον. καὶ οἱ μὲν ἥκοντες ἐπανῄεσαν ἄπρακτοι 267
πρὸς τὸν βασιλέα, ἕτεροι δ' εὐθὺς ἐπὶ τὴν αὐτὴν χρείαν ἐχειροτονοῦντο
τῶν δοκιμωτέρων, πλείω μὲν ἐπιφερόμενοι χρήματα, περιττοτέρας δὲ
δωρεὰς ὑπισχνούμενοι. δελεασθεὶς δὲ καὶ τοῖς ἤδη προτεινομένοις καὶ 268
ταῖς μελλούσαις ἐλπίσι καὶ τὸ ἀξίωμα τῶν παρακαλούντων καταιδεσθεὶς

---

1 ἑώου CP μοῖραν] μέρραν (sic) Z ὑπηργμένος (ος supra) O 2 ἀντικρὺς K¹Z ἀπαντᾶν AF ἐδοκίμασε HP (v) 3 διαδιδράσκων FGHP: ἀποδιδράσκων ceteri 4 ἐτράπετο FGHP: ἐτρέπετο ceteri ἀραῖς] ἀρεῖν (sic) K δυνηθήσεσθαι G 5 ῥώμην] πόλιν G 6 μαντία G μὲν om. A 7 οἰωνοσκοπείαν A, οἰωνοσκοπεῖν FGHP δὲ V 8 pr. καὶ FGHP: om ceteri 9 δὲ AVO ἀχμὸν G 10 χειμῶνος HP ἐξ om. M 11 ἐκ λιμοῦ FGHP: ἐκ om. ceteri (v) φθοράν C, ἀφθονίαν F² πλημύρας G 12 ὁ om. KZ, eras. V 13 δοκῶν] μαθὼν CKZ, μαθὼν δοκῶν BEMAV¹ (μαθὼν eras. V²) ὄνομα πιστότατος A εὐκλείας FGHP: τῆς εὐκλείας ceteri (v) 14 καὶ φθάνουσαν FGHP: om. ceteri 16 εἵνεκα BV 17 δὲ F 17. 18 τὸ πλέον ἀστεϊζόμενος] τὸ θεῖον προφασιζόμενος coni. Mang. 18 ἀστιζόμενος CVO τῶν CFHP: om. ceteri; τις Mang. 20 αὐτῷ] αὐτὸ G 21 τὸν βασιλέα KZ: τὸν om. ceteri δὲ F εὐθὺς] αὖθις HP αὐτὴν FGHP: om ceteri 22 περισσοτέρας F 23 προτεινομένης M

ἐνεδίδου, πάλιν προφασιζόμενος τὸ θεῖον οὐκ ἐφ' ὑγιεῖ· τῇ γοῦν ὑστε-
ραίᾳ παρεσκευάζετο τὴν ἔξοδον ὀνείρατα διηγούμενος, ὑφ' ὧν ἔλεγε
πληχθεὶς ἐναργέσι φαντασίαις ἀναγκάζεσθαι μηκέτι μένειν, ἀλλὰ τοῖς
269 πρέσβεσιν ἀκολουθεῖν. (49.) ἤδη δὲ αὐτῷ προερχομένῳ γίνεται κατὰ
τὴν ὁδὸν σημεῖον ἀρίδηλον περὶ τοῦ τὴν χρείαν ἐφ' ἣν συνέτεινεν εἶναι
παλίμφημον· τὸ γὰρ ὑποζύγιον, ᾧ συνέβαινεν αὐτὸν ἐποχεῖσθαι, προερ-
270 χόμενον ἐπ' εὐθείας ἐξαπιναίως ἵσταται τὸ πρῶτον· εἶθ', ὥσπερ ἐξ
ἐναντίας βίᾳ τινὸς ἀνωθοῦντος ἢ ἀναχαιτίζοντος, ὑπὸ πόδας ἐχώρει καὶ
πάλιν ἐπὶ δεξιὰ καὶ εὐώνυμα ἐπιφερόμενον καὶ ὧδε κἀκεῖσε πλαζόμενον οὐκ
ἠρέμει, καθάπερ ἐν οἴνῳ καὶ μέθῃ καρηβαροῦν, καὶ πολλάκις τυπτόμενον
ἠλόγει τῶν πληγῶν, ὥστε καὶ τὸν ἐποχούμενον μικροῦ καταβαλεῖν καὶ καθε-
271 ζόμενον ὅμως ἀντιλυπῆσαι. τῶν ⟨γὰρ⟩ παρ' ἑκάτερα χωρίων ἦσαν αἱμασιαὶ
καὶ φραγμοὶ πλησίον· ὁπότ' οὖν τούτοις προσηράχθη φερόμενον, γόνυ καὶ
272 κνήμας καὶ πόδας ὁ δεσπότης θλιβόμενος καὶ πιεζόμενος ἀπεδρύπτετο. ἦν
δ', ὡς ἔοικε, θεία τις ὄψις, ἣν τὸ μὲν ζῷον ἐπιφοιτῶσαν ἐκ πολλοῦ θεασά-
μενον ὑπέπτηξεν, ὁ δ' ἄνθρωπος οὐκ εἶδεν, εἰς ἔλεγχον ἀναισθησίας· ὑπὸ
γὰρ ἀλόγου ζῴου παρευημερεῖτο τὰς ὄψεις ὁ μὴ μόνον τὸν κόσμον ἀλλὰ καὶ
273 τὸν κοσμοποιὸν αὐχῶν ὁρᾶν. μόλις γοῦν τὸν ἀνθεστηκότα ἰδὼν ἄγγελον, οὐχ
ἐπειδὴ τοιαύτης θέας ἦν ἄξιος, ἀλλ' ἵνα τὴν ἀτιμίαν καὶ οὐδένειαν ἑαυτοῦ
καταλάβῃ, πρὸς ἱκεσίας καὶ λιτὰς ἐτράπετο συγγνῶναι δεόμενος ὑπ'
274 ἀγνοίας ἀλλ' οὐ καθ' ἑκούσιον γνώμην ἁμαρτόντι. τότε μὲν οὖν ὑπο-
στρέφειν δέον, ἐπυνθάνετο τῆς φανείσης ὄψεως, εἰ ἀνακάμπτοι πάλιν
τὴν ἐπ' οἴκου· ἡ δὲ συνιδοῦσα τὴν εἰρωνείαν καὶ σχετλιάσασα — τί

1 ἐφ' ὑγιεῖ] ἐκφυγεῖν VO 3 πληχθεῖσιν A ἀναγκάζεσθαι om. P μηκέτι] οὐκ ἔτι P μένειν] μέλλειν coni. Mang. 4 ἐπιγίνεται KZ 4. 5 κατὰ τὴν ὁδὸν om. A 5 περὶ eras. V², om. O 7 ἵστατο V²O 8 ἀντωθοῦντος AZ (v) ἐχώρει] ἐκχωρεῖ HP 9 φερόμενον vel περιφερόμενον conicio 10 ἐν οἴνῳ FGHP: ἐν om. ceteri καὶ μέθῃ om. P καρυβαροῦν PZ πολλάκι C 11 ἠλόγει — ἐποχούμενον om. M τῶν om. VOFGHP 12 ἀντιλυπῆσαι] ἥν τι λυπῆσαι BEMA, λυπεῖν V²O, ἀντι- πεῖν λυπῆσαι K γὰρ add. Mang.; post. ἑκάτερα add. γὰρ V² παρὰ A χωρίον G 13 προσηρράχθη AVOGKZ (v) 14 καὶ πόδας GHP: om ceteri πιεζόμενος καὶ θλιβόμενος transp. AFHP 15 δὲ AVO μὲν τὸ transp. Z φοιτῶσαν A 16 ὑπέστηξεν P οἶδεν G 18 γοῦν] οὖν BEMAK¹Z (v) ἰδὼν] ὁρᾶν G 19 ἦν θέας transp. A (v) ἀτιμίαν] αἰτίαν F οὐδενίαν C, οὐθένειαν BMPKZ ἑαυτοῦ] αὐτοῦ BEMAKZ 20 ἱκεσίαν A ὑπ'] οὐχ G 21 ἑκούσιον FGHPZ: ἑκουσίαν ceteri ἁμαρτῶντι Z οὖν om. KZ 21. 22 ὑποστρέφειν FGHP: ἐπιστρέφειν ceteri 22 ἀνακάμπτει GZ πάλιν FGHPZ: om. ceteri 23 τὴν om. FGHP ἐπ' οἴκου CVOFHP: ἐπ' οἶκον ceteri συνειδυῖα V²K²

γὰρ ἔδει πυνθάνεσθαι περὶ πράγματος οὕτως ἐμφανοῦς, ὃ τὰς ἀποδείξεις
p. 124 M. εἶχεν ἐξ ἑαυτοῦ μὴ δεόμενον τῆς ἐκ λόγων πίστεως, εἰ μὴ | ἄρα ὀφθαλ-
μῶν ὦτα ἀληθέστερα καὶ πραγμάτων ῥήματα; — „βάδιζε“ εἶπεν „ἐφ᾽
ἣν σπεύδεις ὁδόν· ὀνήσεις γὰρ οὐδέν, ἐμοῦ τὰ λεκτέα ὑπηχοῦντος ἄνευ
τῆς σῆς διανοίας καὶ τὰ φωνῆς ὄργανα τρέποντος, ᾗ δίκαιον καὶ συμ-
φέρον· ἡνιοχήσω γὰρ ἐγὼ τὸν λόγον θεσπίζων ἕκαστα διὰ τῆς σῆς
γλώττης οὐ συνιέντος.“ (50.) ἀκούσας δ᾽ ὁ βασιλεὺς ἐγγὺς ἤδη γεγονότα 275
μετὰ τῶν δορυφόρων ὑπαντησόμενος ἐξῄει, καὶ ἐντυχόντων, οἷα εἰκός,
τὸ μὲν πρῶτον ἦσαν φιλοφροσύναι καὶ δεξιώσεις, εἶτα βραχεῖα κατάμεμψις
περὶ τῆς βραδυτῆτος καὶ τοῦ μὴ ἑτοιμότερον ἥκειν· μετὰ δὲ ταῦτ᾽ εὐω-
χίαι ἦσαν καὶ πολυτελεῖς ἑστιάσεις καὶ ὅσα ἄλλα πρὸς ὑποδοχὴν ξένων
ἔθος εὐτρεπίζεσθαι, φιλοτιμίαις βασιλικαῖς πάντα πρὸς τὸ μεγαλειότερον
ἐπιδιδόντα καὶ σεμνότερον ὄγκον. τῇ δ᾽ ὑστεραίᾳ ἅμα τῇ ἕῳ τὸν μάντιν 276
ὁ Βαλάκης παραλαβὼν ἐπὶ γεώλοφον ἀνήγαγεν, ἔνθα καὶ στήλην συν-
έβαινεν ἱδρῦσθαι δαιμονίου τινός, ἣν οἱ ἐγχώριοι προσεκύνουν· μέρος
δ᾽ ἐνθένδε καθεωρᾶτο τῆς τῶν Ἑβραίων στρατοπεδείας, ὃ καθάπερ
ἀπὸ σκοπιᾶς ἐπεδείκνυτο τῷ μάγῳ. ὁ δὲ θεασάμενός φησι· „σὺ μέν, 277
ὦ βασιλεῦ, βωμοὺς ἑπτὰ δειμάμενος μόσχον ἐφ᾽ ἑκάστου καὶ κριὸν
ἱέρευσον· ἐγὼ δ᾽ ἐκτραπόμενος πεύσομαι τοῦ θεοῦ, τί λεκτέον.“ ἔξω
δὲ προελθὼν ἔνθους αὐτίκα γίνεται, προφητικοῦ πνεύματος ἐπιφοιτήσαντος,
ὃ πᾶσαν αὐτοῦ τὴν ἔντεχνον μαντικὴν ὑπερόριον τῆς ψυχῆς ἤλασε·

1. 2 ἐμφανοῦς ὃ τὰς ἀποδείξεις εἶχεν FGHP: ἐμφανῶς ἀποδείξεις ἔχοντος VO, ἐμφανεῖς ἀποδείξεις ἔχοντος C, ἀποδείξεις ἐμφανεῖς ἔχοντος BEMKZ, ἀποδείξεις ἔχοντος (om. ἐμφανεῖς) A 2 μὴ δεόμενον FGHP: καὶ μὴ δεομένου ceteri λόγου BM ἀληθεστέρας ante πίστεως add. A (v), om. ceteri 3 ἀληθέστερα] πιστότερα A (v) βαδίζετε HP 4 τὰ] τε C (v) ἐκλεκτέα BEMA ἄνευ — τρέποντος (5) om. A 7 γλώσσης C 8 τῶν om. BMK¹Z ὑπαντησάμενος K ἐντυχόντας F; συντυχόντων coni. Mang. 9 κατάπεμψις G 10 μετὰ δὲ] καὶ μετὰ BEMAKZ ταῦτα VO 11 ἦσαν om. FH (fort. recte) ξένων FGHP: om. ceteri 12 εὐτρεπίζεσθαι ἔθος transp. G φιλοφροσύναις P 13 ἐπιδόντα A ἅμα τῇ ἕῳ om. P 14 βάλακος CBEMA γεωλόφου FGHP ἀνήγαγεν FGHP: ἀνήνεγκεν KZ, ἠνάγκασεν ceteri ἔνθα καὶ στήλην συνέβαινεν FGHPKZ: om. ceteri (add. man. rec. mg. V) 15 ἱδρύσθαι FGHPK: ἱδρύσασθαι ceteri βωμὸν ante δαιμονίου add. CV²O, post τινὸς add. BEMA δαίμονος C ἣν] ὃ BM, ὃν AE 16 καθεωρᾶτο om. M στρατοπεδίας AV¹ 17 σκοπιᾶς v (cf. 39,10): σκοπῆς A, σκοπιῆς ceteri ἐδείκνυτο V, ἐπεδείκνυ A 18 post βασιλεῦ repet. φησι K ἑπτὰ βωμοὺς transp. M, δειμάμενος ἑπτὰ transp. A 19 ἱέρευον G δὲ F τί FGHP: τὸ ceteri 20 προσελθὼν Z 21 μαντικὴν] μαγικὴν BEMAKZ post μαντικὴν add. σοφιστείᾳ v (cf. 186,1)

17 sqq. Num. cap. 23

θέμις γὰρ οὐκ ἦν ἱερωτάτῃ κατοκωχῇ συνδιαιτᾶσθαι μαγικὴν σοφιστείαν.
εἶθ' ὑποστρέψας καὶ τάς τε θυσίας ἰδὼν καὶ τοὺς βωμοὺς φλέγοντας
278 ὥσπερ ἑρμηνεὺς ὑποβάλλοντος ἑτέρου θεσπίζει τάδε· „ἐκ Μεσοποταμίας
μετεπέμψατό με Βαλάκης μακρὰν τὴν ἀπ' ἀνατολῶν στειλάμενον ἀπο-
δημίαν, ἵνα τίσηται τοὺς Ἑβραίους ἀραῖς. ἐγὼ δὲ τίνα τρόπον ἀράσομαι
τοῖς μὴ καταράτοις ὑπὸ θεοῦ; θεάσομαι μὲν αὐτοὺς ὀφθαλμοῖς ἀφ'
ὑψηλοτάτων ὀρῶν καὶ τῇ διανοίᾳ καταλήψομαι, βλάψαι δ' οὐκ ἂν δυναίμην
λαόν, ὃς μόνος κατοικήσει, μὴ συναριθμούμενος ἑτέροις ἔθνεσιν, οὐ κατὰ
τόπων ἀποκλήρωσιν καὶ χώρας ἀποτομήν, ἀλλὰ κατὰ τὴν τῶν ἐξαιρέτων
ἐθῶν ἰδιότητα, μὴ συναναμιγνύμενος ἄλλοις εἰς τὴν τῶν πατρίων ἐκδιαί-
279 τησιν. τίς ἐπ' ἀκριβείας εὗρε τὴν πρώτην καταβολὴν τῆς τούτων γενέ-
σεως; τὰ μὲν σώματ' αὐτοῖς ἐξ ἀνθρωπίνων διεπλάσθη σπερμάτων, ἐκ
δὲ θείων ἔφυσαν αἱ ψυχαί· διὸ καὶ γεγόνασιν ἀγχίσποροι θεοῦ. ἀπο-
θάνοι μου ἡ ψυχὴ τὸν | σωματικὸν βίον, ἵν' ἐν ψυχαῖς δικαίων κατα- p. 125 M
ριθμηθῇ, οἵας εἶναι συμβέβηκε τὰς τούτων."
280 (51.) Ταῦτ' ἀκούων ὁ Βαλάκης ὤδινεν ἐν ἑαυτῷ. παυσαμένου
δέ, τὸ πάθος οὐ χωρήσας „ἐπὶ κατάραις" εἶπεν „ἐχθρῶν μετακληθεὶς
εὐχὰς τιθέμενος ἐκείνοις οὐκ ἐρυθριᾷς; ἐλελήθειν ἄρ' ἐμαυτὸν ἀπατῶν
ὡς ἐπὶ φίλῳ σοι τὴν ὑπὲρ τῶν πολεμίων ἀφανῶς τεταγμένῳ τάξιν, ἣ
νῦν γέγονε δήλη. μήποτε καὶ τὰς ὑπερθέσεις τῆς ἐνθάδε ἀφίξεως
ἐποιοῦ διὰ τὴν ὑποικουροῦσαν ἐν τῇ ψυχῇ πρὸς μὲν ἐκείνους οἰκειότητα
πρὸς δ' ἐμὲ καὶ τοὺς ἐμοὺς ἀλλοτρίωσιν· πίστις γάρ, ὡς ὁ παλαιὸς

---

1 ἱερωτάτη κατοχῇ FGHP (κατοκωχῇ scripsi): ἱερωτάτην κατοχὴν VK², ἱερωτάτην κατακωχὴν ceteri (v) μαγικὴν σοφιστείαν FGHP: μαγικῇ σοφιστείᾳ ceteri; μαγικῇ (om. σοφιστείᾳ) v [εὐς] 2 τε FGHP: om. ceteri 3 ἑρμηνεὺς FGHPZ: ἑρμηνέως K, ἑρμηνέως ceteri ὑποβάλλοντος VOFGHP: ὑποβαλόντος ceteri ἑτέρου om. VO (add. man. rec. mg. V) 4 βάλακος BEMA 5 τίσηται] ἐνδήσηται coni. Mang. καταράσομαι P 6 post μὲν add. οὖν BEMAKZ αὐτοῖς VOK²Z ἀφ']ἐφ' P 7 ὁρῶν GZ 8 κατοικήσειε V 9 τῶν om. A 10 ἐθῶν VEP: ἠθῶν CF, om. O, ἐθνῶν ceteri συναναμιγνύμενος Mang: συναναμιγνυμένων codd. ἄλλοις] ἀλλήλοις K 10. 11 ἐκδίκησιν P 12 σώματα VOFHP σπερμάτων] σωμάτων BEMAKZ 14. 15 καταριθμηθῶ P 16 ταῦτα CBEMF βαλάκις CG, βάλακος BEMA 17 κατακληθεὶς G 18 ἐλελήθην EZ ἄρα A, ἂρ' CE, δ' ἄρ' VO 19 ὑπὲρ] ὑπὸ M, ἐκ G τεταγμένων (sed ν eras.) C 20 ὑποθέσεις G .ἐνταῦθα F ἀφίξεως] ἀξιώξεως (sic) G 21 ὑποικοροῦσαν BE, ἐπικουροῦσαν AG 22 δ'] δὲ CG, δὲ καὶ HP

---

13 ἀγχίσποροι θεοῦ: Aeschyli frg. 162 Nauck² (ap. Plat. de rep. III p. 391e)

λόγος, τῶν ἀδήλων τὰ ἐμφανῆ.“ ὁ δὲ τῆς κατοχωχῆς ἀνεθεὶς „ἀδικω- 281
τάτην“ εἶπεν „αἰτίαν ὑπομένω συκοφαντούμενος· λέγω γὰρ ἴδιον οὐδέν,
ἀλλ' ἅττ' ἂν ὑπηχήσῃ τὸ θεῖον, ὅπερ οὐχὶ νῦν πρῶτον ἐγὼ μὲν εἶπον,
σὺ δ' ἤκουσας, ἀλλὰ καὶ πρόσθεν, ἡνίκα τοὺς πρέσβεις ἔπεμψας, οἷς
ἀπεκρινάμην ταὐτά.“ νομίσας δ' ὁ βασιλεὺς ἢ τὸν μάντιν ἀπατᾶν ἢ 282
τὸ θεῖον τρέπεσθαι καὶ ταῖς τῶν τόπων μεταβολαῖς τὸ τῆς γνώμης
ἐχυρὸν ἀλλάττειν, εἰς ἕτερον ἀπαγαγὼν χωρίον ἐκ λόφου πάνυ περι-
μήκους ἐπεδείκνυτο μέρος τι τῆς ἀντιπάλου στρατιᾶς· εἶτα πάλιν ἑπτὰ
βωμοὺς ἱδρυσάμενος καὶ τὰ ἴσα τοῖς πρόσθεν ἱερεῖα καταθύσας ἐξέ-
πεμπε τὸν μάντιν ἐπ' οἰωνοὺς καὶ φήμας αἰσίους. ὁ δὲ μονωθεὶς ἐξαίφ- 283
νης θεοφορεῖται καὶ μηδὲν συνιείς, ὥσπερ μετανισταμένου τοῦ λογισμοῦ,
τὰ ὑποβαλλόμενα ἐξελάλει προφητεύων τάδε· „ἀναστὰς ἄκουε, βασιλεῦ,
τὰ ὦτα ἐπουρίσας. οὐχ ὡς ἄνθρωπος ὁ θεὸς διαψευσθῆναι δύναται
οὐδ' ὡς υἱὸς ἀνθρώπου μετανοεῖ καὶ ἅπαξ εἰπὼν οὐκ ἐμμένει. φθέγ-
ξεται τὸ παράπαν οὐδέν, ὃ μὴ τελειωθήσεται βεβαίως, ἐπεὶ ὁ λόγος
ἔργον ἐστὶν αὐτῷ. παρελήφθην δ' ἐπ' εὐλογίαις, οὐ κατάραις, ἐγώ.
οὐκ ἔσται πόνος ἢ μόχθος ἐν Ἑβραίοις. ὁ θεὸς αὐτῶν προασπίζει 284
περιφανῶς, ὃς καὶ τὴν τῶν Αἰγυπτιακῶν ῥώμην κακῶν ἀπεσκέδασεν ὡς
ἕνα ἄνδρα τὰς τοσαύτας μυριάδας ἀναγαγών. τοιγαροῦν οἰωνῶν ἀλογοῦσι
καὶ πάντων τῶν κατὰ μαντικὴν ἑνὶ τῷ τοῦ κόσμου ἡγεμόνι πιστεύοντες.
ὁρῶ λαὸν ὡς σκύμνον ἀνιστάμενον καὶ ὡς λέοντα γαυρούμενον.

1 ἀφανῆ F[1]HP  κατοχωχῆς scripsi: κατοχῆς VOK[2]FGHP, καταχωχῆς ceteri  2 εἶπεν] ἔφη F  αἰτίαν om. G  συκοφαντίαν A  ἴδιον οὐδέν CVO: οὐδὲν ἴδιον ceteri  3 ἀλλὰ F  ἅττ' F, ἅτ' GHP (Mang.): ὅσα ceteri  ὑφηχήσῃ C, ὑπηχήσοι A  τὸ θεῖον — ἡνίκα (4) om. G  ἐγὼ μὲν CFHP: μὲν ἐγὼ ceteri  4 καὶ om. O  5 ταυτά FH, ταῦτα GP: τὰ αὐτά ceteri  6 τῶν τόπων] τούτων τρόπων K  τῆς γνώμης — πάνυ (7) om. HP, add. mg. H[2]P[2]  7 ἐχυρὸν CGH[2]: ὀχυρὸν ceteri  ἀπαλλάττειν G  7. 8 ὑπερμήκους A, ὑπὲρ μήκους P[2]  9 τοῖσ om. G  ἱερείοις FGHP (v)  9. 10 ἐξέπεμψε C  11 θεοφορεῖται codd.: θειοφορεῖται v  12 βασιλεύων F  13 ἐπουρίσας] ἐπευρήσας (ευ ex ου corr.) F, ἐπαιωρήσας AGHP (v); ἐπορθιάσας coni. Mang.  ὁ θεὸς FPD: om. ceteri  τὰ αὐτὰ ante διαψευσθῆναι add. VOK[2]  δύναται om. D  14 οὐδὲ D, οὐχ M  14. 15 φθέγγεται F, post φθέγξεται add. γὰρ A  16 παρελήφθην FGHP: παρειλήφειν ceteri  δὲ C, δ' om. A  17 ἔστι AF  μόχθος ἢ πόνος transp. C  18 περιφανῶς] προφανῶς A, φανερῶς H (v)  19 τοσαύτας om. A  ἀναγαγών FGHP: ἀπαγαγών ceteri  20 τῶν om. BEMAKZ  21 ὁρῶ codd.: ὁρῶ δὲ v

13—16 D[C] fol. 121v D[R] fol. 119r Φίλωνος ἐκ τοῦ περὶ Μωυσέως βίου: οὐχ ὡς ἄνθρωπος ὁ θεὸς διαψευσθῆναι· οὐδὲ ὡς υἱὸς ἀνθρώπου μετανοεῖ· ἅπαξ εἰπὼν ἐμμενεῖ (ἐμμένει D[R])· φθέγξεται τὸ παράπαν οὐδέν, ὃ μὴ τελειωθήσεται βεβαίως, ἐπεὶ (ἐπειδὴ D[R]) ὁ λόγος ἔργον ἐστὶν αὐτῷ.

εὐωχηθήσεται θήρας καὶ ποτῷ χρήσεται τραυματιῶν αἵματι καὶ χορεσθεὶς οὐ τρέψεται πρὸς ὕπνον, ἀλλ' | ἐγρηγορὼς τὸν ἐπινίκιον ᾄσεται ὕμνον.“ p. 126 M.

285 (52.) Χαλεπῶς δ' ἐνεγκὼν ἐπὶ τῷ παρ' ἐλπίδας αὐτῷ τὰ τῆς μαντικῆς ἀπαντᾶσθαι „ἄνθρωπε“ εἶπε, „μήτε ἀρὰς τίθεσο μήτ' εὐχὰς ποιοῦ· βελτίων γὰρ τῶν μὴ καθ' ἡδονὴν λόγων ἡ ἀκίνδυνος ἡσυχία.“ καὶ ταῦτ' εἰπὼν ὥσπερ ἐκλαθόμενος ὧν εἶπε διὰ τὸ τῆς γνώμης ἀβέβαιον εἰς ἄλλον τόπον ἀπῆγε τὸν μάντιν, ἀφ' οὗ δείξας μέρος τι τῆς
286 Ἑβραϊκῆς στρατιᾶς καταρᾶσθαι παρεκάλει. ὁ δ' ἅτε χείρων ἐκείνου, καίτοι πρὸς τὰς ἐπιφερομένας κατηγορίας ἀπολογίᾳ μιᾷ χρώμενος ἀληθεῖ, ὡς οὐδὲν ἴδιον λέγοι, κατεχόμενος δὲ καὶ ἐνθουσιῶν διερμηνεύοι τὰ ἑτέρου, δέον μηκέτ' ἐπακολουθεῖν ἀλλ' οἴκαδε ἀπαίρειν, ἑτοιμότερον τοῦ παραπέμποντος προεξέτρεχεν, ἅμα μὲν οἰήσει, κακῷ μεγάλῳ, πεπιεσμένος, ἅμα δὲ καὶ τῇ διανοίᾳ καταρᾶσθαι γλιχόμενος, εἰ καὶ τῇ φωνῇ
287 διεκωλύετο. παραγενόμενος δ' εἰς ὄρος μεῖζον τῶν προτέρων ἄχρι πολλοῦ κατατεῖνον κελεύει μὲν τὴν αὐτὴν ἐπιτελεῖν θυσίαν βωμοὺς πάλιν ἑπτὰ κατασκευάσαντας καὶ ἱερεῖα τεσσαρεσκαίδεκα προσαγαγόντας ἑκάστῳ βωμῷ δύο, μόσχον τε καὶ κριόν. αὐτὸς δὲ οὐκέτι κατὰ τὸ εἰκὸς ἐπὶ κληδόνας καὶ οἰωνοὺς ἵετο πολλὰ τὴν αὑτοῦ τέχνην κακίσας ὡς χρόνῳ καθάπερ γραφὴν ἐξίτηλον γενομένην καὶ τοὺς εὐθυβόλους στοχασμοὺς ἐξαμαυρωθεῖσαν· ἄλλως δὲ καὶ μόλις ἐνενόησεν, ὅτι οὐ συνᾴδει τῷ τοῦ

1 εὐωχηθήσεται AF²GHP: εὐωχήσεται ceteri  θήρας H, θήραις A  2 ἀλλ'— ὕμνον om. M  ἐγρηγόρως BEVAFK  3 δὲ C  4 μαντείας Z  ἀπατᾶσθαι G  μήτ' A  5 ἀκίνδυνος] ἀνήδονος coni. Markland  6 ὥσπερ — εἶπεν post ἀβέβαιον transp. F  8 ὅδ' KZ, ὁ δ' om. CBEMA, ὁ δὲ ἅτε χειρων V² in ras., om. O  ἅτε] ἅτε F, ἅτερ CBEMA  χείρων FK: χειρων V² χειλέων A, χειρῶν ceteri  9 μιᾷ om. FGHP (Turn.)  χρώμενος μιᾷ Mang. χρωμένου V²  10 λέγει AVOGZ  δὲ om. H¹P  διερμηνεύει MA  11 ἑτέρων V  post δέον add. οὖν V²O  μηκέτ' ἐπακολουθεῖν GHP, μηκέτι ἐπακολουθεῖν VOFK²: μὴ κατεπακολουθεῖν ceteri  οἴκαδ' ἐπαίρειν F  12 διεξέτρεχεν A  κακῶν μεγάλων VOGHP  13 καταρᾶσθαι FGHP: καταράσασθαι ceteri  γλιχόμενος om. A  εἰ καὶ FGHP: κἂν ceteri  14 δὲ AF  15 ἐκτελεῖν A  16 τεσσαρεσκαίδεκα FGHP: τεσσαρισκαίδεκα C, τέσσαρα καὶ δέκα ceteri  προσάγοντας VOG  17 δύο CFGHP: om. ceteri  δ' A  εἰκὸς] εἰωθὸς coni. Mang. (cf. LXX)  18 ἵετο AFHPKZ: ἴετο ceteri  αὐτοῦ A: αὐτὴν KHP, om. G, αὐτοῦ ceteri  ὡς FGHP: om. ceteri  19 τοῖς εὐθυβόλοις στοχασμοῖς CVOK²  στοχασμοὺς] πειρασμοὺς A  20 ἀμαυρωθεῖσαν BEMAKZ  δὲ] τε conicio; ἄλλως τε, εἰ καὶ μόλις coni. Mang.

5 D^P fol. 358^r D^M fol. 269^r Φίλωνος ἐκ τοῦ περὶ Μωσέως βίου D^H fol. 33^r D^R fol. 36^v et 272^r Φίλωνος Io. Georgides p. 14 Boiss.: βελτίων (βέλτιον D^M D^R¹ Georg.) τῶν (τοῦ D^M) μὴ καθ' ἡδονὴν λόγων (λόγου D^M) ἡ ἀκίνδυνος ἡσυχία.
17 sqq. Num. cap. 24

θεοῦ βουλήματι ἡ τοῦ μισθωσαμένου προαίρεσις αὐτὸν βασιλέως. τραπό- 288
μενος οὖν κατὰ τὴν ἐρήμην ὁρᾷ κατὰ φυλὰς ἐστρατοπεδευκότας Ἑβραίους
καὶ τό τε πλῆθος καὶ τὴν τάξιν ὡς πόλεως ἀλλ' οὐ στρατοπέδου κατα-
πλαγεὶς ἔνθους γενόμενος ἀναφθέγγεται τάδε· „φησὶν ὁ ἄνθρωπος ὁ 289
ἀληθινῶς ὁρῶν, ὅστις καθ' ὕπνον ἐναργῆ φαντασίαν εἶδε θεοῦ τοῖς τῆς
ψυχῆς ἀκοιμήτοις ὄμμασιν. ὡς καλοί σου οἱ οἶκοι, στρατιὰ Ἑβραίων,
αἱ σκηναί σου ὡς νάπαι σκιάζουσαι, ὡς παράδεισος ἐπὶ ποταμοῦ, ὡς
κέδρος παρ' ὕδατα. ἐξελεύσεταί ποτε ἄνθρωπος ἐξ ὑμῶν καὶ ἐπικρατήσει 290
πολλῶν ἐθνῶν καὶ ἐπιβαίνουσα ἡ τοῦδε βασιλεία καθ' ἑκάστην ἡμέραν
πρὸς ὕψος ἀρθήσεται. ὁ λαὸς οὗτος ἡγεμόνι τῆς ἀπ' Αἰγύπτου πάσης
ὁδοῦ κέχρηται θεῷ καθ' ἓν κέρας ἄγοντι τὴν πληθύν. τοιγαροῦν ἔδεται 291
p. 127 M. | ἔθνη πολλὰ ἐχθρῶν καὶ ὅσον ἐν αὐτοῖς πῖον ἄχρι μυελοῦ λήψεται καὶ
ταῖς ἐκηβολίαις ἀπολεῖ τοὺς δυσμενεῖς. ἀναπαύσεται κατακλινεὶς ὡς
λέων ἢ σκύμνος λέοντος, μάλα καταφρονητικῶς δεδιὼς οὐδένα, φόβον
τοῖς ἄλλοις ἐνειργασμένος· ἄθλιος ὃς ἂν αὐτὸν παρακινήσας ἐγείρῃ. οἱ
μὲν εὐλογοῦντές σε εὐφημίας ἄξιοι, κατάρας δ' οἱ καταρώμενοι."

(53.) Σφόδρα δ' ἐπὶ τούτοις ἀγανακτήσας ὁ βασιλεὺς „ἐπ' ἀραῖς" 292
εἶπεν „ἐχθρῶν μετακληθεὶς εὐχὰς ἤδη τρεῖς τὰς ὑπὲρ ἐκείνων πεποίησαι·
φεῦγε δὴ θᾶττον — ὀξὺ πάθος ἐστὶ θυμός —, μή τι καὶ νεώτερον
ἐργάσασθαι βιασθῶ. πόσον πλῆθος χρημάτων, ἀνοητότατε, καὶ δωρεῶν, 293
πόσην δ' εὐφημίαν καὶ δόξαν ἀφῄρησαι σεαυτὸν φρενοβλαβὴς ὤν·
ἐπανελεύσῃ φέρων ἀπὸ τῆς ξένης εἰς τὴν οἰκείαν ἀγαθὸν μὲν οὐδέν,

---

2 ἔρημον $K^1$Z 3 ἀλλ' οὐ] ἄλλου BEMVO; ὡς πάνυ πολλοῦ mg. M 3. 4 καταπλαγῆς C 4 ἀναφθέγγεται· τάδε φησὶν MA (v) 5 ἀληθινὸς VOF 7 σκηναί] σκιαί BEMAPZ pr. ὡς] ὡσεὶ A συσκιάζουσαι FHP (v) 8 ὕδατος KZ ἐπικρατήσῃ A 10 πρὸς] εἰς G πρὸς ὕψος om. A ἀπ' om. BEMKZ 11 ὁδοῦ om. $K^1$, ss. $K^2$ 12 πολλῶν A ἄχρι FGHP: μέχρι ceteri λήψεται] λάψεται coni. Mang. 13 κατακλινεὶς CBEMGP: κατακλινθεὶς F, κατακλιθεὶς AVOHKZ 15 post ἄθλιος add. δ' FGHP (v) ἐγείροι A 16 εὐφημίας] εὐλογίας KZ δὲ F 17 δὲ C
ις
18 τρεῖς Z, τρὶς BEMK (prob. Mang.) 19 ἐστὶν ὁ θυμός F, θυμός ἐστι transp. Z μή τι καὶ FGHP: μὴ καί τι CMAVO$K^1$Z, μηκέτι E$K^2$, μὴ καί τι corr. ex μηκέτι B 20 post ἐργάσασθαι add. τι Barb. βιάσασθαι ἐργάσωμαι A; βιασθεὶς ἐργάσωμαι coni. Mang. ἀνοητότατε ante χρημάτων transp. F, post δωρεῶν transp. CVO Barb. 21 πόσην] πάσην G δὲ CVO, δ' om. Barb. σαυτὸν FGHP Barb. 22 ἐπανελεύσει K εἰς] ἐπὶ HP (v) οἰκείαν] οἰκίαν C$V^1$GHZ (Turn.)

---

17—190,5 Catena Barber. IV 56 fol. $147^r$ τοῦ Φίλωνος: ἀγανακτήσας βασιλεὺς Βαλὰκ ἐπ' ἀραῖς εἶπεν — φυλάξεται τὸν ἀντίπαλον.

ὀνείδη δὲ καὶ πολλὴν ὡς ἔοικεν αἰσχύνην, οὕτως σοι τῶν κατὰ τὴν ἐπι-
294 στήμην, ἐφ' οἷς πρότερον ἐσεμνύνου, γελασθέντων.“ ὁ δὲ „τα μὲν πρό-
τερα“ εἶπε „πάντ' ἐστὶ λόγια καὶ χρησμοί, τὰ δὲ μέλλοντα λέγεσθαι γνώμης
τῆς ἐμῆς εἰκασίαι.“ καὶ τῆς δεξιᾶς λαβόμενος μόνος μόνῳ συνεβούλευε,
δι' ὧν, ὡς ἂν οἷόν τε ᾖ, φυλάξεται τὸν ἀντίπαλον στρατόν, ἀσέβημα
κατηγορῶν αὐτοῦ μέγιστον· τί γάρ, εἴποι τις ἄν, ἰδιάζεις καὶ συμβου-
λεύεις τὰ ἐναντία τοῖς χρησμοῖς ὑποτιθέμενος, εἰ μὴ ἄρα τῶν λογίων
295 αἱ σαὶ βουλαὶ δυνατώτεραι; (54.) φέρε δ' οὖν καὶ τὰς χαλὰς αὐτοῦ
παραινέσεις ἐξετάσωμεν, ὡς τετεχνιτευμέναι πρὸς ὁμολογουμένην ἧτταν
τῶν ἀεὶ νικᾶν δυναμένων. εἰδὼς γὰρ Ἑβραίοις μίαν ὁδὸν ἁλώσεως
παρανομίαν, διὰ λαγνείας καὶ ἀκολασίας, μεγάλου κακοῦ, πρὸς μεῖζον
296 κακόν, ἀσέβειαν, ἄγειν αὐτοὺς ἐσπούδασεν ἡδονὴν δέλεαρ προθείς. „εἰσὶ“
γὰρ εἶπεν „αἱ ἐγχώριοι γυναῖκες, ὦ βασιλεῦ, διαφέρουσαι τὴν ὄψιν ἑτέ-
ρων· ἀνὴρ δ' οὐδενὶ μᾶλλον εὐάλωτος ἢ γυναικὸς εὐμορφίᾳ. ταῖς οὖν
περικαλλεστάταις ἐὰν ἐπιτρέψῃς μισθαρνεῖν καὶ δημοσιεύειν, ἀγκιστρεύ-
297 σονται τὴν νεότητα τῶν ἀντιπάλων. ὑφηγητέον δὲ αὐταῖς, μὴ εὐθὺς
ἐμπαρέχεσθαι τοῖς ἐθέλουσι τὴν ὥραν· ὁ γὰρ ἀκκισμὸς ὑποκνίζων τὰς
ὁρμὰς ἐπεγείρει μᾶλλον καὶ τοὺς ἔρωτας ἀναφλέγει· τραχηλιζόμενοι δὲ
298 ταῖς ἐπιθυμίαις πάνθ' ὑπομενοῦσι δρᾶν τε καὶ πάσχειν. πρὸς δὲ τὸν
οὕτω διακείμενον ἐραστὴν λεγέτω | φρυαττομένη τις τῶν ἐπὶ τὴν θήραν p. 128 M.
ἀλειφομένων· „„οὐ θέμις ὁμιλίας σοι τῆς ἐμῆς ἀπολαῦσαι, πρὶν ἂν

1 ὀνείδη δὲ καὶ αἰσχύνην ὡς ἔοικεν transp. A, ὡς ἔοικε δὲ αἰσχύνην καὶ ὀνείδη transp. VO πολλὴν FGHP Barb.: om ceteri οὕτω VOMG Barb. 2 καταγελασθέντων VO 3 εἶπε πάντα F, πάντα εἶπεν transp. HP (v) 5 φυλάξεται V$^2$OK$^2$FHP Barb.: φυλάξηται CV$^1$G, φυλάξαιτο BEMAK$^1$Z (Mang.); φυλάξασθαι Turn. στρατόν] στρατηγὸν VO 5. 6 ἀσέβημα . . . μέγιστον FGHP: ἀσέβειαν . . . μεγίστην ceteri 6 αὐτοῦ V$^2$O: αὐτοῦ ceteri ἰδιάζῃς VO 6. 7 συμβουλεύῃς VO, συμβουλεύειν P, συμβασιλεύεις F 7 τἀναντία AVO 8 φέρε δ' οὖν FGHP: φέρε οὖν CVO, φέρ' οὖν BEMAKZ 9 τετεχνητευμέναι AFHP, τεχνιτευμέναι KZ 10 ἑβραῖος F 12 ἐσπούδαζεν BEMAKZ (Mang.) προσθεὶς CM, προτιθεὶς A (Mang.) 13 αἱ om. F ἐγχώριαι MKZ 15 ἐπιστρέψῃς (sed σ eras.) C, ἐπιτρέψεις G δημοσιεύειν ⟨τὸ κάλλος⟩ coni. Mang. 16 ἀφηγητέον HP δ' CVO 17 τὴν ὥραν om. F ἀκκισμὸς C$^2$F: ἀστισμὸς C$^1$VO, ἀστεϊσμὸς ceteri 18 ἐπεγερεῖ GH$^2$P$^3$ (v) ἀναφλέξει FGHP (v), ἀναφλέγει om. in fine paginae K 19 ὑπομένουσι C 20 φρυαττωμένη G, φραττομένη P τὴν FGHP: om ceteri 21 ὁμιλίας FGHP: τῆς ὁμιλίας ceteri σοι τῆς ὁμιλίας transp. BMKZ ἂν om. F

2 sqq. cf. *Ioseph Ant. Iud.* IV § 126 sqq.

ἐκδιαιτηθῇς μὲν τὰ πάτρια, μεταβαλὼν δὲ τιμήσῃς ἅπερ ἐγώ. πίστις
δέ μοι τῆς βεβαίου μεταβολῆς γένοιτ' ἂν ἀρίδηλος, ἣν ἐθελήσῃς μετα-
σχεῖν τῶν αὐτῶν σπονδῶν τε καὶ θυσιῶν, ἃς ἀγάλμασι καὶ ξοάνοις καὶ
τοῖς λοιποῖς ἀφιδρύμασιν ἐπιτελοῦμεν.““ ὁ δ' ἅτε σαγηνευθεὶς πάγαις 299
πολυειδέσι, κάλλει καὶ στωμυλίας χειραγωγίαις, οὐδὲν ἀντειπών, ἐξηγκωνισ-
μένος τὸν λογισμόν, ἄθλιος ὑπηρετήσει τοῖς προσταττομένοις, ἀναγραφεὶς
τοῦ πάθους δοῦλος.“

(55.) Ὁ μὲν δὴ τοιαῦτα συνεβούλευεν. ὁ δ' οὐκ ἀπὸ σκοποῦ 300
νομίσας εἶναι τὰ λεχθέντα, τὸν κατὰ μοιχῶν νόμον παρακαλυψάμενος
καὶ τοὺς ἐπὶ φθορᾷ καὶ πορνείᾳ κειμένους ἀνελών, ὡς εἰ μηδὲ τὴν
ἀρχὴν ἐγράφησαν, ἀνέδην ἐπιτρέπει ταῖς γυναιξὶ τὰς ὁμιλίας πρὸς οὓς
ἂν ἐθέλωσι ποιεῖσθαι. δοθείσης δὲ ἀδείας, τὴν πληθὺν τῶν μειρακίων 301
ἐπήγοντο πολὺ πρότερον τὴν διάνοιαν αὐτῶν ἀπατῶσαι καὶ τρέπουσαι
ταῖς γοητείαις πρὸς ἀσέβειαν, ἕως υἱὸς τοῦ ἀρχιερέως Φινεὲς ἐπὶ τοῖς
γινομένοις σφόδρα χαλεπήνας — δεινότατον γὰρ αὐτῷ κατεφαίνετο, εἰ
ὑφ' ἕνα καιρὸν ἄμφω τά τε σώματα καὶ τὰς ψυχὰς ἐπιδεδώκασι, τὰ
μὲν ἡδοναῖς, τὰς δὲ τῷ παρανομεῖν καὶ ἀνοσιουργεῖν — ἐνεανιεύσατο
νεανείαν ἀνδρὶ καλῷ καὶ ἀγαθῷ προσήκουσαν. ἰδὼν γάρ τινα τῶν ἀπὸ 302
τοῦ γένους θύοντα καὶ εἰσιόντα πρὸς πόρνην, μήτε κεκυφότα εἰς τοὔ-
δαφος μήτε λανθάνειν τοὺς πολλοὺς πειρώμενον μήθ' οἷα φιλεῖ κλέπτοντα

---

ῆς
1 ἐκδιαιτηθῇς corr. ex — εὶς M, ἐκδιαιτηθεὶς G, ἐκδιαιτηθεὶς AF μὲν om. O τιμήσεις CFH 2 βεβαίας KZ, ἀβεβαίου P ἣν ἐθελήσεις FG 3 σποδῶν G ἃς] ὡς E, ὡς corr. in ὧν B, ὧν MA 4 ἐφιδρύμασιν Z ὃδ' KZ 5 κάλλει om. CBEMA καὶ om. FGHPK¹Z στωμυλίαις A, στωμυλία CVOKZ χειραγωγίαις] χορηγίαις CFHPZ, καὶ πιθανότητι V²O,
πιθανότητι
χορηγίαις K ἐξηγκωνισμένος AFGHP: ἐξηγκωνισμένος δὲ ceteri 6 τοῖς πραττομένοις AVOG 8 δὴ VOFGHP: οὖν ceteri συνεβούλευσεν CVOK² (ν) ὃδ' KZ, ὁ δὲ F 9 τῶν μοιχῶν F 10 φθορᾷ] φωρᾷ V¹O, φθορᾷ corr. V²
αι
μηδὲ] μὴ BMKZ 11 ἀνέδην A, ἀναίδην CPKZ ἐπιτρέπειν F 12 θέλωσι F καὶ δοθείσης VO δ' A, δὲ om. CVO 13 αὐτῶν τὴν διάνοιαν transp. CVO 14 ὁ υἱὸς KZ τοῦ om. A 15 γενομένοις MZ¹ Barb. αὐτὸ Barb. εἰ] εἰς Z 16 ἄμφω om. BEMAK¹Z τε τὰ transp. FP Barb. alt. τὰ] τὰς FGHP Barb. 17 τὰς] τὰ GHPK Barb. 18 νεανίαν O, νεανεί et lac. 7 litt. (om. ἀνδρὶ) G κἀγαθῷ AO 19 θύοντα καὶ om. GHP Barb. εἰς] πρὸς AVO 20 μήτε FGHP Barb.: ὥστε ceteri
πει
θηρώμενον K, θηρώμενον (θη ex πει corr.) Z μήθ'] μήτε F

---

8 sqq. Num. cap. 25 14—192,16 Catena Barber. IV 56 fol. 148ᵛ: υἱὸς τοῦ ἀρχιερέως Φινεὲς — στρατιὰν ἐκηλίδου.

τὴν εἴσοδον, ἀλλὰ μετ' ἀναισχύντου θράσους τὴν ἀκοσμίαν ἐπιδεικνύμενον καὶ φρυαττόμενον ὡς ἐπὶ σεμνῷ πράγματι τῷ καταγελάστῳ, πάνυ πικρανθεὶς καὶ πληρωθεὶς ὀργῆς δικαίας ἐπεισδραμὼν ἔτι κατ' εὐνὴν κειμένους ἀμφοτέρους τόν τ' ἐραστὴν καὶ τὴν ἑταίραν ἀναιρεῖ προσανατε-
303 μὼν καὶ τὰ γεννητικά, διότι σποραῖς ὑπηρέτησαν ἐκθέσμοις. τοῦτο θεασάμενοί τινες τὸ παράδειγμα τῶν τὴν ἐγκράτειαν καὶ θεοσέβειαν ἐζηλωκότων προστάξαντος Μωυσέως ἐμιμήσαντο καὶ πάντας τοὺς τελεσθέντας τοῖς χειροποιήτοις συγγενεῖς καὶ φίλους ἡβηδὸν ἀνελόντες τὸ μὲν μίασμα τοῦ ἔθνους ἐκκαθαίρουσι διὰ τῆς τῶν προηδικηκότων ἀπαραιτήτου τιμωρίας, τοὺς δ' ἄλλους παρασχόντας ἀπολογίαν ἐναργεστάτην ὑπὲρ τῆς αὐτῶν εὐσεβείας περιεποιήσαντο, μηδένα τῶν ἀφ' αἵματος καταχρίτων οἰκτισάμενοι μηδ' ἐλέῳ τἀδικήματα αὐτῶν παρελθόντες, ἀλλὰ καθαροὺς νομίσαντες τοὺς αὐτόχειρας· ὅθεν οὐδενὶ παρεχώρησαν τὴν
304 ἐπέξοδον φέρουσαν τοῖς δρῶσιν ἀψευδέστατον ἔπαινον. τετρακισχιλίους δέ φασι πρὸς τοῖς δισμυρίοις | ἀναιρεθῆναι μιᾷ ἡμέρᾳ, συναναιρεθέντος p. 129 M.
εὐθὺς τοῦ κοινοῦ μιάσματος, ὃ πᾶσαν τὴν στρατιὰν ἐκηλίδου. τῶν δὲ καθαρσίων ἐπιτελεσθέντων, ὡς ἀριστεῖ γέρας ἐπάξιον τῷ υἱῷ τοῦ ἀρχιερέως, ὃς πρῶτος ἐπὶ τὴν ἄμυναν ὥρμησεν, ἐζήτει παρασχεῖν Μωυσῆς· φθάνει δὲ χρησμοῖς δωρησάμενος ὁ θεὸς Φινεεῖ τὸ μέγιστον ἀγαθόν, εἰρήνην, ὃ μηδεὶς ἱκανὸς ἀνθρώπων παρασχεῖν, πρὸς δὲ τῇ εἰρήνῃ καὶ παγκρατησίαν ἱερωσύνης, αὐτῷ καὶ γένει κλῆρον ἀναφαίρετον.

---

1 μετὰ F 2 φραττόμενον H¹P ὡς om. C καταγριάστω (sic) Z πάνυ — δικαίας (3) om. O πάνυ FGHP Barb.: πάλιν C (V¹ ut vid.), πολλὰ V², om. ceteri 3 ἐπεισδραμὼν FGHP Barb.: ἐπιδραμὼν ceteri ἔτι] ἐπὶ A 4 τε VOF ἑτέραν Barb. 4. 5 προσαποτεμὼν G 5 ὑπηρέτισαν A; ὑπηρέτησεν conicio ἀθέσμοις Z 6 τὴν FGHP Barb.: om. ceteri 7 μωυσέος MAFGHP 8 ἀχειροποιήτοις Barb. 9 διηδικηκότων M 10 δὲ AF παρασχόντες Barb. 11 αὐτῶν AVOG: αὐτῶν ceteri ἐποιήσαντο H¹P τῶν] τὸν G 12 οἰκτησάμενοι Barb. μηδ' FH¹P: μήτ' ceteri (v) τἀδικήματ' GH²K, τἀδίκημα τῶν H¹P, τἀδίκημα Z, τῶν ἀδικήματ' C ἀλλὰ codd: ἀλλὰ καὶ v 13 post καθαροὺς add. μᾶλλον V²O οὐδενὶ] οὐδὲ V²OF 14 ἐπέξοδον CGHPKZ: ἐπ' ἔξοδον ceteri ἀψευδέστατον] καίτοι ἀψευδέστατα V²O ἔπαινον FGHPKZ: om. ceteri 15 δέ BEMAKZ: om. ceteri δυσμυρίοις AFH¹ ἀναιρεθεῖναι G 16 post εὐθὺς add. καὶ KZ τὴν om. HP δὲ om. Barb. 17 υἱεῖ FHP Barb. 18 μωσῆς Barb. 19 δωρησάμενος post ἀγαθὸν transp. VO Φινεεῖ om. A, post ἀγαθὸν transp. KZ 20 ἱκανῶς (sic) Barb. ἀνθρώπων ἱκανὸς transp. M 21 κλῆρον FGHP Barb.: κληρονομίαν ceteri (v)

---

16—21 Catena Barber. IV 56 fol. 149r Φίλωνος: τῶν καθαρσίων — κλῆρον ἀναφαίρετον.

(56.) Ἐπεὶ δὲ τῶν ἐμφυλίων οὐδὲν ἔτ' ἦν ὑπόλοιπον κακῶν, ἀλλὰ 305
καὶ ὅσοι πρὸς αὐτομολίαν ἢ προδοσίαν ὑπωπτεύοντο πάντες ἀπωλώλεσαν,
ἔδοξεν εἶναι καιρὸς ἐπιτηδειότατος τῆς ἐπὶ τὸν Βαλάκην στρατείας, ἄνδρα
μυρία κακὰ βεβουλευμένον ἐργάσασθαι κακὰ καὶ δεδρακότα, βεβουλευμένον
μὲν διὰ τοῦ μάντεως, ὃν ἤλπισεν ἀραῖς τισι δυνήσεσθαι καθελεῖν τὴν
δύναμιν τῶν Ἑβραίων, δεδρακότα δὲ διὰ τῆς τῶν γυναικῶν ἀσελγείας
καὶ ἀκολασίας, αἳ τὰ μὲν σώματα λαγνείαις τὰς δὲ ψυχὰς ἀσεβείᾳ τῶν
χρωμένων διέφθειραν. παντὶ μὲν οὖν τῷ στρατῷ πολεμεῖν οὐκ ἐδοκί- 306
μαζεν, εἰδὼς τὰ ὑπέρογκα πλήθη πταίοντα περὶ αὐτοῖς καὶ ἅμα λυσιτελὲς
ἡγούμενος ἐφεδρείας εἶναι συμμάχων τοῖς προκαμοῦσι βοηθούς, ἀριστίνδην
δὲ τοὺς ἡβῶντας ἐπιλέξας, χιλίους ἐκ φυλῆς ἑκάστης, δώδεκα χιλιάδας —
τοσαῦται γὰρ ἦσαν αἱ φυλαί — καὶ στρατηγὸν ἑλόμενος τοῦ πολέμου
Φινεὲς πεῖραν ἤδη δεδωκότα στρατηγικῆς εὐτολμίας ἐπὶ καλοῖς ἱερείοις
ἐξέπεμπε τοὺς ὁπλίτας καὶ θαρσύνων τοιάδε διεξῄει· „οὐχ ὑπὲρ κρά- 307
τους ἀρχῆς ὁ παρὼν ἀγών ἐστιν οὐδ' ὑπὲρ τοῦ κτήσασθαι τὰ ἑτέρων,
περὶ ὧν ἢ μόνων ἢ μάλιστα οἱ πόλεμοι, ἀλλ' ὑπὲρ εὐσεβείας καὶ ὁσιό-
τητος, ὧν τοὺς ἡμετέρους συγγενεῖς καὶ φίλους ἠλλοτρίωσαν οἱ ἐχθροὶ
παραίτιοι γενόμενοι τοῖς ὑπαχθεῖσι χαλεπῆς ἀπωλείας. ἔστιν οὖν ἄτοπον 308
οἰκείων μὲν αὐτόχειρας γεγενῆσθαι παρανομησάντων, ἐχθρῶν δὲ χαλε-
πώτερα ἠδικηκότων ἀποσχέσθαι, καὶ τοὺς μὲν μαθόντας ἀδικεῖν ἀνῃ-
ρηκέναι, τοὺς δὲ βιασαμένους καὶ διδάξαντας ἀτιμωρήτους καταλιπεῖν, οὓς

1 ἦν ἔτ' transp. P  κακόν VZ  2 ὅσα FH¹P  πάντες ἀπωλώλεσαν G, π. ἀπολώλεσαν FH², π. ἀπωλόλεσαν H¹P: πάντας ἀπώλεσαν ceteri
3 ἐπιτηδειότητος M  ἐπὶ] εἰς C  βάλακον BEMA  στρατιᾶς FH¹P
4 μυρία om. VO  post μυρία add. μὲν A  βεβουλευμένον — δεδρακότα om. BEMAVO  βεβουλευμένα A  5 μὲν om. A  δυνήσεσθαι FGHP: om. ceteri  7 ἀσεβείαις HP  8. 9 ἐδοκίμασεν P  9 ὑπέρογκα scripsi: ὑπερόρια codd.  πταίοντα] πτέοντα G, πλείω ὄντα BEMAVO mg. K  περὶ αὐτοῖς CKZ (αὐτοῖς v): παρ' ἑαυτοῖς FGHP, παρ' αὐτοὺς BEMAVO mg. K
10 ἐφεδρίας VO, ἐφεδρείαν HP  συμμάχους BEMAKZ  προκάμοῦσι FGHP: προκάμνουσι ceteri (Mang.)  11 χιλίους] χιλίας A  δώδεκα—φυλαί (12) om. BEMA
13 ἐπὶ καλοῖς ἱερείοις om. FGHP  14 ἐξέπεμπε K, ἐξέπεμψε CZ  15 παρὸν Z  τοῦ κτήσασθαι τὰ ἑτ om. in lac. G  16 μόνον MAVO (v)  post μάλιστα add. εἰσὶν A (v)  πολέμιοι CBEMVO  18 τοῖς om. A  χαλεπῆς om. in lac. G  19 γενέσθαι KZ  παρανομισάντων H  20 παθόντας F
20. 21 ἀνῃρηκέναι FGHP: ἀνελεῖν ceteri (Mang.)  21 τοὺς δὲ βιασαμένους FGHPKZ: βιασαμένους, τοὺς δὲ ceteri (v)  καὶ διδάξαντας FGHP: καὶ om. ceteri

1 sqq. Num. 31,1—12

ἁπάντων αἰτίους εἶναι συμβέβηκεν, ὧν ἢ δεδράκασιν ἢ πεπόνθασιν ἐκεῖ-
309 νοι.“ (57.) νευρωθέντες οὖν ταῖς παραινέσεσιν ἐκεῖνοι καὶ ὅσον ἐν
ταῖς ψυχαῖς προϋπῆρχε γενναιότητος ζωπυρήσαντες ὡς ἐφ' ὁμολογουμένῃ
νίκῃ πρὸς τὸν ἀγῶνα ἵεντο φρονήμασιν ἀηττήτοις· καὶ συμπλακέντες
τοσαύτῃ περιουσίᾳ ῥώμης καὶ τόλμης ἐχρήσαντο, ὡς ἱερεῦσαι μὲν τοὺς
ἀντιπάλους, αὐτοὶ δὲ πάντες σῷοι ἐπανελθεῖν, οὐδενὸς ἀποθανόντος ἀλλ'
310 οὐδὲ τρωθέντος. | ὑπέλαβεν ἄν τις τῶν ἀγνοούντων τὸ συμβεβηκὸς ἰδὼν p. 130 M.
αὐτοὺς ἐπανιόντας οὐκ ἀπὸ πολέμου καὶ παρατάξεως ἀφικνεῖσθαι μᾶλλον
ἢ τῶν ἐν ταῖς ὁπλοσκοπίαις ἐπιδείξεων, ἃς ἔθος ἐν εἰρήνῃ ποιεῖσθαι,
γυμνάσματα δ' εἰσὶ καὶ μελέται συγκροτουμένων τὰ κατ' ἐχθρῶν ἐν
311 φίλοις. τὰς μὲν οὖν πόλεις ἢ κατασκάπτοντες ἢ ἐμπιπράντες ἠφάνισαν,
ὡς μηδ' εἰ τὴν ἀρχὴν ᾠκίσθησαν εἰπεῖν ἔχειν· αἰχμαλώτων δὲ σωμάτων
ἀπερίληπτον ἀριθμὸν ἀπαγαγόντες ἄνδρας μὲν καὶ γυναῖκας κτείνειν
ἐδικαίωσαν, τοὺς μὲν ὅτι βουλευμάτων καὶ χειρῶν ἦρξαν ἀδίκων, τὰς
δ' ἐπεὶ κατεγοήτευσαν τὴν Ἑβραίων νεότητα, παραιτίας γενομένας
αὐτοῖς ἀκολασίας καὶ ἀσεβείας καὶ τὰ τελευταῖα θανάτου· νέοις
δὲ κομιδῇ παισὶ καὶ παρθένοις συνέγνωσαν, ἀμνηστίαν τῆς ἡλικίας
312 ἐφελκομένης. λείας δὲ πολλῆς ἄγαν εὐπορήσαντες ἔκ τε τῶν
βασιλείων κἀκ τῶν ἰδιωτικῶν οἰκιῶν, ἔτι δὲ τῶν κατ' ἀγροὺς
ἐπαύλεων — ἦν γὰρ ἐν τοῖς χωρίοις οὐκ ἐλάττων τῆς ἐν τοῖς ἄστεσιν —,
ἧκον εἰς τὸ στρατόπεδον ἐπηχθισμένοι τὸν παρὰ τῶν ἐχθρῶν πάντα
313 πλοῦτον. ἐπαινέσας δὲ Μωυσῆς τόν τε στρατηγὸν Φινεὲς καὶ τοὺς

2 ἐκεῖνοι FGHP: om. ceteri 3 προϋπάρχον A ἐφομολογουμένη KZ 4 νίκῃ] δίκη GH ἵεντο AFHPKZ: ἴεντο ceteri 5 ὡς ῥεῦσαι BEMAVO 6 αὐτοὶ δὲ πάντες σῷοι B[1]EV[1]FGHP: αὐτοὺς δὲ πάντας σώους ceteri (v) ἐπαντιθεῖν G μηδενὸς Z 7 ἄν FGHP: om. ceteri τὸ συμβεβηκὼς A 8 ἀφικνεῖσθαι FGHP: αὐτοὺς ἀφικνεῖσθαι ceteri 9 ὁπλοκοπίαις Z 9. 10 ποιεῖσθαι· γυμνάσματα δ' εἰσὶ VOFGHP: ποιεῖσθαι γυμνάσματα· διὸ CBEMKZ, ποιεῖσθαι γυμνάσματα· δι' ὧν A (ά superscr.) 10 συγκροτούντων coni. Mang. 11 ἐμπιπρῶντες K 12 μηδ' εἰ A: εἰ μὴδὲ ceteri 15 δ' CFGHP: δὲ ceteri τὴν τῶν ἑβραίων K γενομένης K (ας superscr.), γεγενημένας A (Turn.) 16 αὐτοῖς] αὐτῆς G τὰ om. G 17 ἀμνηστείαν G 18 δὲ om. A ἀπορήσαντες Z 18. 19 τῶν βασιλείων FGHPK[1]Z: τῆς βασιλείας ceteri (v) 19 κἀκ VOFGHP: καὶ ceteri (v) ἰδιωτῶν V[1]O, γρ. ἰδιωτικῶν mg. O ἔτι δὲ FGHP: ἔτι δὲ καὶ ceteri ἀγροὺς] αὐλοὺς A 20 ἐλάττων VOFGHP: ἔλαττον ceteri τῆς] τοῖς GP[1], τῶν BEMAKZ 21 ἧκων G 22 μωσῆς KZ

22—195,10 Cod. Laur. VI 4 fol. 73r Φίλωνος: ἐπαινέσας δὲ Μωυσῆς τόν τε στρατηγὸν Φινεὲς καὶ τοὺς παραταξαμένους προστάττει μὲν ἔξω τοῦ στρατοπέδου καταμεῖναι πολλὰς ἐφεξῆς ἡμέρας, τῷ δὲ μεγάλῳ ἱερεῖ — γεγενῆσθαι.

παραταξαμένους ἐπί τε τοῖς κατορθώμασι καὶ ὅτι ταῖς ὠφελείαις οὐκ ἐπέδραμον τὴν λείαν μόνοι σφετερίσασθαι διανοηθέντες, ἀλλ' εἰς μέσον προὔθεσαν, ἵνα καὶ οἱ καταμείναντες ἐν ταῖς σκηναῖς μετάσχωσι, προστάττει τοὺς μὲν ἔξω τοῦ στρατοπέδου καταμένειν τινὰς ἡμέρας, τῷ δὲ μεγάλῳ ἱερεῖ καθᾶραι τοῦ φόνου τοὺς ἀπὸ τῆς παρατάξεως ἥκοντας τῶν συμμάχων. καὶ γὰρ εἰ νόμιμοι αἱ κατ' ἐχθρῶν σφαγαί, ἀλλ' ὅ 314
γε κτείνων ἄνθρωπον, εἰ καὶ δικαίως καὶ ἀμυνόμενος καὶ βιασθείς, ὑπαίτιος εἶναι δοκεῖ διὰ τὴν ἀνωτάτω καὶ κοινὴν συγγένειαν· οὗ χάριν καθαρσίων ἐδέησε τοῖς κτείνασι πρὸς ἀπαλλαγὴν τοῦ νομισθέντος ἄγους γεγενῆσθαι. (58.) μετ' οὐ πολὺν μέντοι χρόνον καὶ τὴν λείαν διένειμε, 315
τοῖς μὲν στρατευσαμένοις — ὀλίγος δ' ἀριθμὸς ἦσαν παρὰ τοὺς ἡσυχάσαντας — διδοὺς ἥμισυ μέρος, θάτερον δὲ τοῖς καταμείνασιν ἐν τῷ στρατοπέδῳ· δίκαιον γὰρ ὑπέλαβεν εἶναι καὶ τούτοις μεταδοῦναι τῆς ὠφελείας, εἰ καὶ μὴ τοῖς σώμασι, ταῖς γοῦν ψυχαῖς διαγωνισαμένοις· οἱ γὰρ ἔφεδροι τῶν ἀγωνιστῶν οὐκ ἐλαττούμενοι ταῖς προθυμίαις χρόνῳ καὶ τῷ φθασθῆναι μόνον ὑστερίζουσι. λαβόντων δὲ τῶν μὲν ὀλίγων 316
p. 131 M. πλείω διὰ τὸ προκινδυνεῦσαι, τῶν δὲ πλειόνων ἐλάττω διὰ | τὴν ἔνδον μονήν, ἔδοξεν ἀναγκαῖον εἶναι πάσης τῆς λείας τὰς ἀπαρχὰς καθιερῶσαι· τὸ μὲν οὖν πεντηκοστὸν οἱ ἐφεδρεύσαντες, πενταχοσιοστὴν δὲ μοῖραν οἱ προπολεμήσαντες εἰσήνεγκαν· τῶν δ' ἀπαρχῶν τὰς μὲν παρὰ τῶν στρατευσαμένων τῷ μεγάλῳ ἱερεῖ προστάττει δοθῆναι, τὰς δὲ παρὰ τῶν

---

1 κατορθώμασιν VOG    καὶ om. VO    ὠφελίαις G    2 μόνην O
σφετερίσασθαι BEMAKZ: διασφετερίσασθαι ceteri (v)    3 κάτω μείναντες BEM
3. 4 προστάττει om. BMG, post ἡμέρας (4) transp. KZ    4 τοὺς] τῶ Z
καταμεῖναι Laur.    5 καθᾶραι FGHP Laur.: καθαίρειν BEMAVK, καθαίρει COZ
εἰ
φώνου G    6 εἰ] αἱ M    αἱ om. G    8 κοινῇ V¹M    συγγένειαν
om. K¹, συγγένειαν καὶ κοινήν transp. Z    10 πολὺ (om. χρόνον) FGHP
12 μέρος AFGHP: μέρους ceteri    12—14 ἐν — σώμασι FGHPKZ: om. ceteri
13 ὑπέλαβεν εἶναι FGHP: ὑπέλαβε τοῦτο KZ    14 τῶν σωμάτων K    δια-
οις
γωνισαμέναις K    16 τῷ om. A    ὑστερίσουσι Turn.    17 ἔλαττον CVO
18 μονήν] καταμονήν A (v)    ἔδοξαν M    ἀναγκαῖον εἶναι om. F
19 ἐφεδρεύοντες M    πενταχοσιοστὴν (sic. codd.)] πεντηκοστὴν A; πενταχοσιαστὴν v    20 δὲ CF

---

4 sqq. Num. 31,19 — 24    5 sqq. cf. *Procop. Gaz. Comment. in Num. 31,19* (Migne t. 87,1 Col. 882): ceterum ante communionem seu participationem praecedit purificatio; nam etsi iusta caedes fuerit, effusio tamen est fraterni sanguinis, et Deo displicet hominis internecio, eum enim ad vitam, non ad mortem condidit (Caten. Lips. I p. 1386 Ἀδήλου).    10 sqq. Num. 31,25 sqq.

καταμεινάντων ἐν τῷ στρατοπέδῳ τοῖς νεωκόροις, οἷς ὄνομα Λευῖται.
317 χιλίαρχοι δὲ καὶ ἑκατόνταρχοι καὶ ὁ ἄλλος ὅμιλος λοχαγῶν καὶ ταξι-
αρχῶν ὑπέρ τε τῆς αὑτῶν σωτηρίας καὶ τῶν συστρατευσαμένων καὶ
τῆς παντὸς λόγου χρείττονος νίκης ἐθελονταὶ κομίζουσιν ἐξαιρέτους
ἀπαρχάς, κόσμον τε χρυσοῦν ὅσον ἕκαστος ἐκ τῆς λείας ἀνεῦρε καὶ
σκεύη πολυτελέστατα, ὧν πάλιν ὕλη χρυσὸς ἦν· ἃ Μωυσῆς λαβὼν καὶ
τὴν εὐσέβειαν τῶν φερόντων ἀγάμενος ἀνατίθησιν ἐν τῇ καθιερωμένῃ
318 σκηνῇ τῆς εὐχαριστίας τῶν ἀνδρῶν ὑπόμνημα. παγκάλη δὲ ἡ διανομὴ
τῶν ἀπαρχῶν· τὰς μὲν τῶν μὴ πεπολεμηκότων, ἡμίσειαν ἀρετῆς τὴν
χωρὶς ἔργου προθυμίαν αὐτὸ μόνον ἐπιδειξαμένων, τοῖς νεωκόροις
ἀπένειμε, τὰς δὲ τῶν ἀγωνισαμένων, οἳ σώμασι καὶ ψυχαῖς ἐκινδύνευσαν
ὁλόκληρον ἀνδραγαθίαν παρασχόμενοι, τῷ προεστηκότι τῶν νεωκόρων
ἱερεῖ τῷ μεγάλῳ, τὰς δὲ τῶν ταξιαρχῶν ἅτε ἡγεμονικὰς τῷ συμπάντων
ἡγεμόνι θεῷ.
319 (59.) Πάντες οὗτοι διεπολεμήθησαν οἱ πόλεμοι, μήπω διαβεβηκότων
Ἰορδάνην τὸν ἐγχώριον ποταμόν, πρὸς τοὺς τῆς ἀντιπέρας γῆς οἰκήτορας
εὐδαίμονος καὶ βαθείας, ἐν ᾗ πολλὴ πεδιὰς σιτοφόρος καὶ χιλὸν κτήνεσιν
320 ἐνεγκεῖν ἀγαθή. ταύτην ὡς ἐθεάσαντο τὴν χώραν αἱ κτηνοτρόφοι δύο
φυλαί, μοῖρα τοῦ σύμπαντος ἕκτη στρατοῦ, Μωυσῆν ἱκέτευον ἐπιτρέψαι τὰς
κληρουχίας ἐνταυθοῖ λαβεῖν αὐτὰς ἤδη ποτὲ ἱδρυθείσας· ἐπιτηδειότατον
γὰρ ἔφασκον εἶναι τὸν τόπον ἐννέμεσθαί τε καὶ ἐμβόσκεσθαι θρέμμασιν
εὔυδρον ὄντα καὶ εὔχορτον καὶ προβατευσίμην ἄφθονον πόαν ἀπαυτο-
321 ματίζοντα. ὁ δὲ νομίσας αὐτοὺς ᾗ προεδρίᾳ τὴν διανομὴν τά τε γέρα

1 τῷ om. Z 2 χιλιάρχαι A δὲ om. O ἑκατοντάρχαι A
3 αὐτῶν VO: om. FHP, αὑτῶν ceteri συστρατευσαμένων FGHP: στρατευσα-
μένων ceteri (v) 4 λόγου om. F 5 ἐκ] ὁ G, om. A 6 πολυτε-
λέστατα] πολύτιμα BEMA$K^1$Z 7 καθιερωμένῃ] καθ' ἱεροσύνην G 8 παγ-
κάλως HP 9 καὶ add: ante τὴν VO 9. 10 τὴν χωρὶς om. M
10 ἔργου FGHP: ἔργων ceteri (v) ἐπιδειξαμένων FGHP: ἐπιδειξάντων ceteri
τι
11 σώματι VOG, σώμασι K ψυχῇ F 14 ἡγεμόνι FGHP: μεγάλων
ἡγεμόνι A, μεγάλῳ ἡγεμόνι ceteri (v) 15 πόλεμοι corr. ex πολέμιοι B, πολέμιοι G
16 τῆς om. $V^1$GKZ, εἰς ss. $K^2$ ἀντιπέραν $V^2$O$K^2$ 17 τῆς ante εὐδαίμονος
add. $V^2$O 18 ἀνενεγκεῖν HP, ἀγαγεῖν A αἱ om. KZ 19 post
ἐπιτρέψαι add. αὐτοῖς $V^2$O 19. 20 τὰς κληρουχίαις (sic) G 20 ἐνταυθοῖ
om. BEMAVO αὐτὰς] τὰς VOF ἱδρυνθείσας G, ἱδρυνθησομένας $V^2$O
21 εἶναι ἔφασκον transp. A (v), ἔφασκον om. KZ τε om. A (Turn.)
22 εὔυδρόν τε Z 22. 23 ἀπαυτονομίζοντα (sic) C

18 sqq. Num. cap. 32

πρὸ καιροῦ λαμβάνειν ἀξιοῦν ἢ πρὸς τοὺς μέλλοντας πολέμους ἀποκνεῖν,
ἐφεδρευόντων ἔτι πλειόνων βασιλέων, οἳ τὴν εἴσω τοῦ ποταμοῦ χώραν
διεκεκλήρωντο, πάνυ δυσχεράνας πρὸς ὀργὴν ἀποκρίνεται καί φησιν·
„ὑμεῖς μὲν οὖν ἐνταυθοῖ καθεδεῖσθε σχολὴν ἐν οὐ δέοντι καὶ ἀργίαν 322
ἔξοντες, τοὺς δ' ὑμετέρους συγγενεῖς καὶ φίλους οἱ λειπόμενοι τραχη-
λιοῦσι πόλεμοι, καὶ τὰ μὲν ἆθλα μόνοις ὑμῖν ὡς ἐπὶ κατωρθωμένοις
p. 132 M. πᾶσι δοθήσεται, μάχαι δὲ καὶ πόνοι καὶ | ταλαιπωρίαι καὶ οἱ ἀνωτάτω
κίνδυνοι ἑτέρους ἀναμενοῦσιν; ἀλλ' οὐ δίκαιον ὑμᾶς μὲν εἰρήνην καὶ τὰ 323
ἐκ τῆς εἰρήνης ἀγαθὰ καρποῦσθαι, τοὺς δ' ἄλλους πολέμοις καὶ κακοῖς
ἀμυθήτοις ἐναθλεῖν, οὐδὲ προσθήκην τὸ ὅλον μέρους εἶναι· τοὐναντίον
γὰρ ἕνεκα τῶν ὅλων τὰ μέρη κληρονομίας ἀξιοῦται. πάντες ἐστὲ 324
ἰσότιμοι, γένος ἕν, οἱ αὐτοὶ πατέρες, οἰκία μία, ἔθη τὰ αὐτά, κοινωνία
νόμων, ἄλλα μυρία, ὧν ἕκαστον τὴν οἰκειότητα συνδεῖ καὶ πρὸς εὔνοιαν
ἁρμόζεται. διὰ τί δὴ τῶν ἴσων ἐν τοῖς μεγίστοις καὶ ἀναγκαιοτάτοις
ἀξιωθέντες ἐν ταῖς διανομαῖς πλεονεκτήσετε, ὡς ἢ ἄρχοντες ὑπηκόων ἢ
δεσπόται δούλων καταφρονήσαντες; ἔδει μὲν ὑμᾶς ταῖς ἑτέρων πληγαῖς 325
πεπαιδεῦσθαι· φρονίμων γὰρ ἀνδρῶν μὴ ἀναμένειν, ἄχρις ἂν ἐπ' αὐτοὺς
ἔλθῃ τὰ δεινά· νυνὶ δὲ παραδείγματ' ἔχοντες οἰκεῖα τοὺς πατέρας, οἳ
κατεσκέψαντο τήνδε τὴν χώραν, καὶ τὰς ἐκείνων συμφορὰς καὶ τῶν
συναπονοηθέντων — ἅπαντες γὰρ ἔξω δυοῖν ἀπώλοντο —, δέον μηδενὶ
τῶν ὁμοίων συνεπιγράφεσθαι, δειλίαν, ὦ κενοὶ φρενῶν, ζηλοῦτε ὡς οὐκ
εὐαλωτότεροι γενησόμενοι καὶ τὰς προθυμίας ὑποσκελίζετε τῶν ἀνδραγα-
θίζεσθαι προαιρουμένων ἐκλύοντες καὶ παριέντες αὐτῶν τὰ φρονήματα.

---

2 ἔσω A    3 διακεκλήρωντο KZ, διεκληρώσαντο FG, ἐκεκλήρωντο A (v)
δυσχεράνας] δυσχεραίνει καὶ Z    ἀποκρίνεται codd. (Turn.): ἐπικρίνεται Mang.
4 οὖν FGHP: om. ceteri    ἐνταῦθα VOK$^2$    5 δὲ AF    ἡμετέρους F
οῦ
συγγενεῖς FGHP: οἰκείους καὶ συγγενεῖς ceteri (v)    5. 6 τροαχηλιῶσι A
6 πολέμιοι GHPK$^1$    ἆθλα] ἔσθλα G    κατορθωμένοις BEMG    7 δια-
θήσεται HP    8 ἑτέροις P    ἀναμένουσιν CP    ἡμᾶς Z    τὰ om. M
9 δὲ F    post κακοῖς add. τοσούτοις A (v)    10 προσθήκην FGHPKZ:
πρόσθήκης ceteri    μέρους FH$^2$KZ: μέρος ceteri    11 ὅλων H$^2$KZ: ἄλλων
ceteri    μέρη H$^2$KZ: περὶ ceteri    κληρονομίας] προνομίας coni. Mang.
ἀξιοῦται K: ἀξιοῦνται FGHPZ, ἀξιοῦτε ceteri    14 δὴ CVOFGP: δὲ ceteri (v)
15 πλεονεκτήσετε ἐν ταῖς διανομαῖς transp. Z    ἐπλεονεκτήσετε G; ἐπλεονεκτήσατε
coni. Mang.    17 ἐπ' αὐτοὺς om. M    18 ἔλθοι Z    παραδείγματ' CBEMKZ:
παραδείγματα ceteri    19 κατεσκάψαντο G    20 ἀπονοηθέντων F
ε
γὰρ om. M    δυεῖν F    21 ζηλοῦται G

326 τοιγάρτοι σπεύδοντες ἁμαρτάνειν σπεύσετε καὶ πρὸς τιμωρίας· ἡ γὰρ
δίκη μόλις μὲν εἴωθε κινεῖσθαι, κινηθεῖσα δ' ἅπαξ φθάνει προ-
327 καταλαμβάνουσα τοὺς ἀποδιδράσκοντας. ὅταν οὖν ἅπαντες μὲν οἱ
ἐχθροὶ καθαιρεθῶσιν, ἔφεδρος δὲ μηδεὶς ἔτι προσδοκᾶται πόλεμος, ἐν
δὲ ταῖς εὐθύναις ἀνεπίληπτοι δοκιμασθῶσιν οἱ σύμμαχοι, μὴ λιποτάξιον,
μὴ λιποστράτιον, μηδὲν ἄλλο τῶν ἐφ' ἥττῃ διαπεπραγμένοι, παρα-
μεμενηκότες δ' ἐξ ἀρχῆς ἄχρι τέλους φαίνωνται καὶ τοῖς σώμασι καὶ
ταῖς προθυμίαις, ἐρημωθῇ δὲ πᾶσα ἡ χώρα τῶν προενῳκηκότων,
τηνικαῦτα δοθήσεται τὰ γέρα καὶ τὰ ἀριστεῖα ταῖς φυλαῖς ἐξ ἴσου."
328 (60.) τὴν δὲ νουθεσίαν πρᾴως ἐνεγκόντες ὡς υἱοὶ γνήσιοι σφόδρα εὔνου
πατρὸς — ᾔδεσαν γὰρ αὐτὸν οὐ καταλαζονευόμενον ἀρχῆς ἐξουσίᾳ,
προκηδόμενον δὲ πάντων καὶ δικαιοσύνην καὶ ἰσότητα τιμῶντα καὶ τὸ
μισοπόνηρον οὐκ ἐπ' ὀνείδει σωφρονισμῷ δὲ τῶν βελτιοῦσθαι δυναμένων
αἰεὶ ποιούμενον — „εἰκότως μὲν" ἔφασαν „ἀγανακτεῖς, εἰ τοῦθ' ὑπεί-
ληφας, ὅτι τὴν συμμαχίαν ἀπολιπόντες πρὸ καιροῦ τὰς λήξεις λαβεῖν
329 ἐπειγόμεθα. χρὴ δὲ σαφῶς εἰδέναι, ὅτι οὐδὲν ἡμᾶς φοβεῖ τῶν σὺν
ἀρετῇ, κἂν ἐπιπονώτατον τυγχάνῃ. κρίνομεν δ' ἀρετῆς ἔργα, πειθαρχεῖν
τέ | σοι τοιῷδε ἡγεμόνι καὶ τῶν δεινῶν μὴ ὑστερίζειν καὶ ἐν ἁπάσαις p. 133 M.
ἐξετάζεσθαι ταῖς μελλούσαις στρατείαις, ἄχρις ἂν τὰ πράγματα λάβῃ
330 τέλος αἴσιον. ἡμεῖς μὲν οὖν καθὰ καὶ πρότερον συνταξάμενοι διαβησό-
μεθα τὸν Ἰορδάνην ἐν ταῖς παντευχίαις, οὐδενὶ τῶν ὁπλιτῶν πρόφασιν
παρασχόντες μονῆς· υἱοὶ δὲ κομιδῇ νήπιοι καὶ θυγατέρες καὶ γυναῖκες
καὶ τὸ πλῆθος τῶν βοσκημάτων, ἐὰν ἐπιτρέπῃς, ὑπολελείψονται, παισὶ
μὲν καὶ γυναιξὶν οἰκίας ἐπαύλεις δὲ θρέμμασι κατασκευασάντων ἡμῶν,

---

1 τοιγαροῦν K σπεύσετε FGHP: σπεύδετε ceteri (v) 2 δὲ CBEMKZ ἅπαξ] αὖθις G 3 μὲν post ὅταν transp. BMKZ 5 εὐθύναις] ἀθήναις Z δοκιμασθῶσιν] δοκῶσιν FGHP 5. 6 λιποτάξιον — λιποστράτιον C: λοιποτάξιον — λοιποστράτιον Z, λειποτάξιον — λειποστράτιον ceteri 6 μηδὲ GKZ 7 δ' om. Z φαίνωνται FHP: φαίνονται G, φαίνοιντο ceteri 8 ἐρημωθήσεται A ἡ om. O προνενοηκότων VO (ενωκηκό ss. man. rec. V), ἐνωκηκότων G 10 σφόδρ' FGHP 11 ᾔδεσαν scripsi: ᾔδεισαν codd. ἐξουσία ἀρχῆς transp. KZ 12 καὶ δικαιοσύνην om. G 13 οὐκ om. KZ τῶν] τοῦ Z 14 αἰεὶ FGHP: om. ceteri αἰεὶ ποιούμενον] ἀντιποιούμενον vel περιποιούμενον coni. Mang.; διαπονούμενον vel ἐπιδεικνύμενον conicio εἰ τοῦθ'] εἰ τοῦτο F, εἴθ' A 16 ἐπειγώμεθα O 17 ἐπιπονώτερον K[1]Z κρινόμενα HP 18 τέ om. CVO 19 στρατιαῖς VOFGHPK[2] τὰ πράγμα (sic) H 19. 20 τέλος αἴσιον λάβῃ transp. H 20 καθ' ἃ BEM συνετάξαμεν A 21 παντευτυχίαις Z 22 μονῆς παρασχόντες transp. CVO κομιδῇ om. H post θυγατέρες add. καὶ μητέρες A (v) 23 ἐπιτρέπεις G

ἵνα μηδὲν ἐξ ἐπιδρομῆς δεινὸν πάθωσιν ἐν ἀτειχίστοις καὶ ἀφρουρήτοις
προκαταληφθέντες.“ ὁ δ' ἵλεῳ τῷ βλέμματι καὶ πρᾳοτέρᾳ τῇ φωνῇ 331
„ἀψευδοῦσιν ὑμῖν“ ἔφη „βέβαιοι μενοῦσιν ἃς ᾐτήσασθε λήξεις. ὑπολείπεσθε μὲν ὡς ἀξιοῦτε γυναῖκας καὶ παῖδας καὶ βοσκήματα, κατὰ λόχους δ' αὐτοὶ διαβαίνετε μετὰ τῶν ἄλλων ὡπλισμένοι καὶ ἐκτεταγμένοι πρὸς
μάχην ὡς αὐτίκα, ἢν δέῃ, πολεμήσοντες. αὖθις δ' ὅταν ἅπαντες οἱ 332
ἐχθροὶ καθαιρεθῶσι καὶ γενομένης εἰρήνης τὴν χώραν οἱ κεκρατηκότες διανείμωνται, καὶ ὑμεῖς ἐπανελεύσεσθε πρὸς τοὺς οἰκείους τῶν ἐπιβαλλόντων ἀπολαύσοντες ἀγαθῶν καὶ καρπωσόμενοι ἣν εἵλεσθε μοῖραν.“
ταῦτ' εἰπόντος καὶ ὑποσχομένου, πληρωθέντες εὐθυμίας καὶ χαρᾶς τοὺς 333
μὲν οἰκείους μετὰ τῶν θρεμμάτων ἀσφαλῶς ἐν ἐρύμασι δυσαλώτοις, ὧν τὰ πλεῖστα χειροποίητα ἦν, ἱδρύονται, τὰ δ' ὅπλα ἀναλαβόντες ἐξέθεον τῶν ἄλλων συμμάχων προθυμότερον ὡς ἢ μόνοι πολεμήσοντες ἢ προαγωνιούμενοι πάντων· ὁ γὰρ προλαβών τινα δωρεὰν προθυμότερος εἰς συμμαχίαν, ἀποτίνειν ἀναγκαῖον ὄφλημα νομίζων, οὐ χαρίζεσθαι.
τὰ μὲν δὴ κατὰ τὴν βασιλείαν πεπραγμένα αὐτῷ μεμήνυται· λεκτέον 334
δ' ἑξῆς καὶ ὅσα διὰ τῆς ἀρχιερωσύνης καὶ νομοθετικῆς κατώρθωσε· καὶ γὰρ ταύτας περιεποιήσατο τὰς δυνάμεις ὡς ἁρμοττούσας μάλιστα βασιλείᾳ.

---

1 μηδὲν] μηδεὶς Z 2 προκαταληφθέντες (η ex ει corr.) Z, προκαταλειφθέντες (η supra ει) A, προκαταλειφθέντες P δὲ A βλέμματι] ὄμματι VO, ὄμματι (βλέμματι supra) K πραότερον FG, πρότερον BEMA 3 μένουσιν C 3. 4 ὑπολίπεσθε OKZ, ὑπολείπεσθαι MG 5 μετὰ] πρὸς G ἄλλων] ὅλων BEMAF ἐντεταγμένοι KZ 6 δέοι (η supra ο) A δ' om. VO 7 εἰς ante τὴν add. P post κεκρατηκότες repet. τὴν χώραν Z 8 διανείμωνται FGHP: διανεμοῦνται V²O, διανέμωνται ceteri καὶ] αὖθις (paene evan.) Z ἐπανελεύεσθε M 8. 9 ἐπιβαλόντων MKZ 9 ἀπολαύσαντες KZ, ἀποβάλλοντες G 10 pr. καὶ om. M 11 ἀσφαλῶς om. O 12 ἦν om. A ἱδρύοντο A δὲ F 13 μόνον A 14 πάντων Mang.: πάντως codd. προλαβὼν VOFGHP: λαβὼν ceteri προθυμότατος Turn. 15 εἰς συμμαχίαν codd.: εἰς τὴν συμμαχίαν v νομίζων om. BEMA 16 δὴ om. G αὐτοῦ VO μεμύνηται CK, μεμήνυται corr. ex μεμύνηται B; hic desinit C, reliqua suppl. in marg. man. rec. λεκτέα BEMKZ 17 δὲ F ἱεροσύνης G νομικῆς G κατόρθωσε MZ 18 τὰς om. A 19 βασιλεία FGHP: βασιλεῖ ceteri

# ΦΙΛΩΝΟΣ

## ΠΕΡΙ ΤΟΥ ΒΙΟΥ ΜΩΥΣΕΩΣ ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

1 (1.) Ἡ μὲν προτέρα σύνταξίς ἐστι περὶ γενέσεως τῆς Μωυσέως II p. 134 M.
καὶ τροφῆς, ἔτι δὲ παιδείας καὶ ἀρχῆς, ἣν οὐ μόνον ἀνεπιλήπτως ἀλλὰ
καὶ σφόδρα ἐπαινετῶς ἦρξε, καὶ τῶν ἔν τε Αἰγύπτῳ καὶ ταῖς ὁδοιπορίαις
ἐπί τε τῆς ἐρυθρᾶς θαλάσσης καὶ κατὰ τὴν ἐρήμην πεπραγμένων, ἃ
δύναμιν πᾶσαν λόγων ὑπερβάλλει, καὶ προσέτι πόνων οὓς κατώρθωσε
καὶ κληρουχιῶν ἃς ἐκ μέρους ἀπένειμε τοῖς στρατευσαμένοις· ἣν
2 δὲ νυνὶ συντάττομεν, περὶ τῶν ἑπομένων καὶ ἀκολούθων. φασὶ γάρ
τινες οὐκ ἀπὸ σκοποῦ, μόνως ἂν οὕτω τὰς πόλεις ἐπιδοῦναι πρὸς τὸ
βέλτιον, ἐὰν ⟨ἢ⟩ οἱ βασιλεῖς φιλοσοφήσωσιν ἢ οἱ φιλόσοφοι βασιλεύσωσιν.
ὁ δ' ἐκ περιττοῦ φανεῖται μὴ μόνον ταύτας ἐπιδεδειγμένος τὰς δυνάμεις
ἐν ταὐτῷ, τήν τε βασιλικὴν καὶ φιλόσοφον, ἀλλὰ καὶ τρεῖς ἑτέρας, ὧν
ἡ μὲν πραγματεύεται περὶ νομοθεσίαν, ἡ | δὲ περὶ ἀρχιερωσύνην, ἡ δὲ p. 135 M.
3 τελευταία περὶ προφητείαν. περὶ ὧν νυνὶ λέγειν εἱλόμην ἀναγκαίως

---

1. 2 Φίλωνος περὶ τοῦ βίου μωσέως (μωυσέος G) λόγος δεύτερος BEMGH, τοῦ αὐτοῦ περὶ βίου μωσέως λόγος δεύτερος P, φίλωνος ἰουδαίου περὶ βίου μωσέως A, τοῦ αὐτοῦ περὶ τῆς τοῦ μωυσέος νομοθετικῆς F, λόγος δεύτερος VOK    3 προτέρα] πρώτη P    μωυσέος HP, μωσέως BEAF    4 ἔτι δὲ VOKF: ἔτι δὲ καὶ ceteri    ἣν FGHP: ἡ BEM, ἧ AVOK    5 τε FGHP: om. ceteri    6 πεπραγμένα F    7 πόνων] πολέμων F    κατόρθωσε F    8 ἐπένειμε GHP    9 νῦν P    καὶ τῶν ἀκολούθων HP (v)    10 μόνως] μόνος Barb., μόνον FH$^{1}$P (Turn.), μόλις G    11 ἢ addidi    ἢ οἱ φιλόσοφοι FGHP Barb.: φιλόσοφοί τε ceteri    12 ὅδ' FP, ὅδε K, μωσῆς δ' Barb.    φανεῖται GHP Barb. (Turn.): φαίνεται ceteri (Mang.)    ἐπιδεδεγμένος M    13 καὶ τὴν φιλόσοφον P    15 εἱλόμην FGHP Barb.: ἑλοίμην BEMAV$^{1}$, ἑλοίμην ἂν V$^{2}$OK

---

9—202,4 Catena Barber. IV 56 fol. 104$^{r}$ Φίλωνος ἑβραίου ἐκ τοῦ περὶ τοῦ μωσέως βίου λόγου δευτέρου: φασὶ τινὲς — πάσας ἔχει.    11 Plat. Rep. V p. 473d (Epist. VII p. 326b)

ὑπολαβὼν τῷ αὐτῷ πάντ' ἐφαρμόττειν· ἐγένετο γὰρ προνοίᾳ θεοῦ
βασιλεύς τε καὶ νομοθέτης καὶ ἀρχιερεὺς καὶ προφήτης καὶ ἐν ἑκάστῳ
τὰ πρωτεῖα ἠνέγκατο· διὰ τί δὲ τῷ αὐτῷ πάντ' ἐφαρμόττει, δηλωτέον.
βασιλεῖ προσήκει προστάττειν ἃ χρὴ καὶ ἀπαγορεύειν ἃ μὴ χρή· πρόσ- 4
ταξις δὲ τῶν πρακτέων καὶ ἀπαγόρευσις τῶν οὐ πρακτέων ἴδιον νόμου,
ὡς εὐθὺς εἶναι τὸν μὲν βασιλέα νόμον ἔμψυχον, τὸν δὲ νόμον βασιλέα
δίκαιον. βασιλεὺς δὲ καὶ νομοθέτης ὀφείλει μὴ τἀνθρώπεια μόνον ἀλλὰ 5
καὶ τὰ θεῖα συνεπισκοπεῖν· οὐ γὰρ ἄνευ θείας ἐπιφροσύνης κατορθοῦται
τὰ βασιλέων καὶ ὑπηκόων πράγματα· δι' ἣν αἰτίαν ἐδέησε τῷ τοιούτῳ
τῆς πρώτης ἱερωσύνης, ἵν' ἐπὶ τελείοις ἱεροῖς καὶ ἐπιστήμῃ τελείᾳ
τῆς τοῦ θεοῦ θεραπείας ἀποτροπὴν μὲν κακῶν μετουσίαν δ' ἀγαθῶν
αὑτῷ τε καὶ τοῖς ἀρχομένοις αἰτῆται παρὰ τοῦ ἵλεω καὶ ταῖς εὐχαῖς
συνεπινεύοντος· πῶς γὰρ οὐ τελεσφορήσει τὰς εὐχὰς ὁ καὶ ἐκ φύσεως
εὐμενὴς καὶ τοὺς γνησίως θεραπεύοντας αὐτὸν προνομίας ἀξιῶν; ἀλλ' 6
ἐπειδὴ μυρία καὶ βασιλεῖ καὶ νομοθέτῃ καὶ ἀρχιερεῖ τῶν ἀνθρωπείων
καὶ θείων ἄδηλα — γενητὸς γὰρ οὐδὲν ἧττον καὶ θνητός ἐστιν, εἰ καὶ
τοσοῦτον καὶ οὕτως ἄφθονον περιβέβληται κλῆρον εὐπραγιῶν —, ἀναγ-
καίως καὶ προφητείας ἔτυχεν, ἵν' ὅσα μὴ λογισμῷ δύναται κατα-
λαμβάνειν, ταῦτα προνοίᾳ θεοῦ εὕροι· ὧν γὰρ ὁ νοῦς ἀπολείπεται, πρὸς
ταῦθ' ἡ προφητεία φθάνει. καλή γε ἡ συζυγία καὶ παναρμόνιος τῶν 7
τεττάρων δυνάμεων· ἐμπλεκόμεναι γὰρ καὶ ἀλλήλων ἐχόμεναι

---

1 ὑπολαβὼν codd.: ὑπέλαβον Barb. (v) post ὑπολαβὼν add. γὰρ GHP Barb. (v) τῷ αὐτῷ om. M ἐγένετο γὰρ] εἰ ἐγένετο GHP Barb. (v) 2 καὶ νομοθέτης om. G 3 ἠνέγκετο K δ' αὐτῶ (om. τῷ) VOK 4 προσήκει om. M 6 μὲν om. F, μὲν — τὸν δὲ νόμον om. A ἔμψυχον νόμον transp. Barb. D 7 τὰ ἀνθρώπεια GH, τὰ ἀνθρώπινα AD 8 post κατορθοῦται add. ποτὲ F 9 τὰ τῶν βασιλέων F 10 ἱερωσύνης] ἐπιφροσύνης G καὶ add. ante ἱεροῖς VOK 11 τοῦ om. BEMA δὲ VOKG 12 αὐτῶ AVOH$^2$P: αὐτῶ ceteri αἰτῆσαι M, αἰτήσαι Barb. post ἵλεω add. γένηται Barb. 13 συνεπινεύσαντος FGHP (Turn.) ἐκ φύσεως GHPBarb.: τῇ φύσει ceteri 14 προνομίας] προνοίας BEMA (prob. Mang.) ἀξιοῦντος A 16 καὶ θείων om. BEMA γεννητὸς VOKG ἐστὶ καὶ θνητὸς transp. Barb. 17 τοσούτων F καὶ eras. V, om. K οὕτως] οὗτος V$^2$OK 18 ἵνα G λογισμῷ μὴ transp. A λογισμῷ BEMA: λογισμῷ θείῳ ceteri δύναται BEMA: δύνηται ceteri 19 ταῦτα — εὕροι (εὕρῃ) BEMA: om. ceteri εὕροι A: εὕρῃ BEM ὧν γὰρ] ἃ μὲν γὰρ BEMA, καὶ ὧνπερ V$^2$OK

19. 20 πρὸς ταῦθ' ἡ] πρὸ ταύτης BEMA 20 προφητείαν A φθάν$\overset{\eta}{\epsilon}$ι O, δίδωσι BEMA γε] δὲ BEMAF ἡ συζυγία] ἡσυχία M 21 ἀλλήλων ἐχόμεναι FGHP Barb.: ἀλλήλαις ἑπόμεναι ceteri

---

4—8 D$^R$ fol. 114$^r$ Φίλωνος ἐκ τοῦ περὶ μωσέως βίου: βασιλεῖ — συνεπισκοπεῖν.

συγχορεύουσι τὰς ὠφελείας ἀντιλαμβάνουσαί τε καὶ ἀντεκτίνουσαι, μιμούμεναι τὰς παρθένους Χάριτας, αἷς μὴ διαζεύγνυσθαι νόμος φύσεως ἀκίνητος· ἐφ' ὧν δεόντως εἴποι τις ἄν, ὃ καὶ ἐπὶ τῶν ἀρετῶν εἴωθε λέγεσθαι, ὅτι ὁ μίαν ἔχων καὶ πάσας ἔχει.

8 (2.) Ῥητέον δὲ πρῶτον περὶ τῶν κατὰ τὴν νομοθετικὴν ἕξιν.
οὐκ ἀγνοῶ μὲν οὖν, ὅτι τῷ μέλλοντι ἀρίστῳ γενήσεσθαι νομοθέτῃ
προσήκει παντελέσι καὶ ὁλοκλήροις κεχρῆσθαι ταῖς ἀρεταῖς πάσαις·
ἐπεὶ δὲ κἀν ταῖς οἰκίαις οἱ μὲν ἐγγυτάτω γένους εἰσίν, οἱ δὲ πόρρω,
συγγενεῖς δὲ πάντες ἀλλήλων, καὶ τῶν ἀρετῶν τὰς μὲν προσπεφυκέναι
9 νομιστέον μᾶλλον ἐνίοις πράγμασι, τὰς δ' ἧττον ᾠκειῶσθαι. | νομοθετικῇ δ' p. 136 M.
ἀδελφὰ καὶ συγγενῆ τέτταρα ταυτὶ διαφερόντως ἐστί· τὸ φιλάνθρωπον, τὸ
φιλοδίκαιον, τὸ φιλάγαθον, τὸ μισοπόνηρον· ὑπὸ γὰρ τούτων ἑκάστου παρακαλεῖται πᾶς, ὅτῳ ζῆλος εἰσέρχεται τοῦ νομοθετεῖν, φιλανθρωπίας μὲν εἰς μέσον προτιθέναι τὰς κοινωφελεῖς γνώμας ἀναδιδασκούσης, δικαιοσύνης δὲ ὡς ἰσότητα τιμητέον καὶ ὡς τὸ κατ' ἀξίαν ἀπονεμητέον ἑκάστοις, φιλαγαθίας δ' ἀποδέχεσθαι τὰ φύσει καλὰ καὶ παρέχειν ἅπασι τοῖς ἀξίοις ἀταμίευτα πρὸς ἀφθονωτάτην χρῆσιν, μισοπονηρίας δὲ προβεβλῆσθαι τοὺς ἀτιμάζοντας ἀρετὴν καὶ ὡς κοινοὺς δυσμενεῖς τοῦ τῶν ἀνθρώπων γένους ὑποβλέπεσθαι.
10 μέγα μὲν οὖν, εἴ τῳ καὶ ἕν τι τῶν λεχθέντων λαβεῖν ἐγένετο, θαυμαστὸν
δ' ὡς ἔοικε τούτων ἀθρόων περιδράξασθαι δυνηθῆναι, οὗ μόνος Μωυσῆς ἐφικέσθαι δοκεῖ τρανώσας εὖ μάλα τὰς εἰρημένας ἀρετὰς ἐν οἷς διετάξατο.

1 συγχωρεύουσι M ἀναλαμβάνουσαι Barb. τε FGHP Barb.: om. ceteri ἀντεκτείνουσαι BMAV[1] 1. 2 μιμούμεναι FGHP Barb.: μιμούμεναί τε ceteri 2 αἷς] αἳ G διαζεύγνυσθαι GHP Barb.: διεζεῦχθαι ceteri 3 δεόντος G εἴπῃ G 4 ὅτι] διότι VOK Barb. 6 ἀγνοῶ μὲν] ἀγνοῶμεν F, ἀγνοοῦμεν A 7 χρῆσθαι G πάσαις FGHP Barb.: om. ceteri 8 ἐπεὶ δὲ] ἐπειδὴ FGHP Barb. (v) κἀν BEVA Barb.: κἂν ceteri οἰκείαις FG 9 δὲ om. H[1]P ἀλλήλοις H[1]P 10 μᾶλλον νομιστέον transp. O ἐνίοις FGHP Barb.: ἐν τοῖς ceteri πράγμασιν, ἃς FG Barb. alt. δ'] δὲ AVOK 11 τέτταρα ταυτὶ FGHP Barb.: παρὰ ταῦτα BEMAV[1], παρὰ πάντα V[2]OK 11. 12 τὸ φιλοδίκαιον, τὸ φιλάνθρωπον transp. K 13 τοῦ νομοθετεῖν FGHP Barb.: τοῦ νομοθέτου ceteri 15 καὶ — ἑκάστοις om. A τὸ om. BEMV[1]K, τὸ προσῆκον V[2]O ἑκάστοις ἀπονεμητέον transp. BEM δὲ AVOK 16 πᾶσι A 18 δυσμενεῖς om. H[1]P[1] τοῦ τῶν om. GHP[1] Barb. ὑποβλέπεσθαι GHP Barb.: ὑποβεβλῆσθαι ceteri 19 ἓν [illegible] V (ἑνὸς V[1]?) τι FGHP Barb.: om. ceteri 20 δὲ AK ἀθρόον GH[2], ἀθρόως VOK τινὰ ante δυνηθῆναι add. V[2]OK οὗ] ὧν V[2]OK 20. 21 ἐφικέσθαι μωυσῆς transp. Barb. 21 εἰρημένας GHP Barb.: προειρημένας ceteri

4 Diog. La. VII 125 .... τὰς δ' ἀρετὰς λέγουσιν (Στωικοὶ) ἀντακολουθεῖν ἀλλήλαις καὶ τὸν μίαν ἔχοντα πάσας ἔχειν. 6—204,3 Catena Barber. IV 56 fol. 105[r] ἐκ τοῦ περὶ τοῦ μωσέως β' λόγου ὅτι ἄριστός ἐστι νομοθέτης: τῷ γὰρ μέλλοντι—ἐκτετιμηκότων.

συνίσασι δ' οἱ ταῖς ἱεραῖς βίβλοις ἐντυγχάνοντες, ἃς οὐκ ἄν, εἰ μὴ τοιοῦτος 11
ἐπεφύκει, συνέγραψεν ὑφηγησαμένου θεοῦ καὶ παρέδωκε τοῖς ἀξίοις
χρῆσθαι, κτημάτων τὸ κάλλιστον, τῶν ἀγαλματοφορουμένων ἐν τῇ ψυχῇ
παραδειγμάτων ἀπεικονίσματα καὶ μιμήματα, ἃ καὶ οἱ δηλωθέντες νόμοι
γεγόνασι σαφέστατα τὰς λεχθείσας ἐμφαίνοντες ἀρετάς.

(3.) Ὅτι δ' αὐτός τε νομοθετῶν ἄριστος τῶν πανταχοῦ πάντων, 12
ὅσοι παρ' Ἕλλησιν ἢ βαρβάροις ἐγένοντο, καὶ οἱ νόμοι κάλλιστοι καὶ
ὡς ἀληθῶς θεῖοι μηδὲν ὧν χρὴ παραλιπόντες, ἐναργεστάτη πίστις ἥδε·
τὰ μὲν τῶν ἄλλων νόμιμα εἴ τις ἐπίοι τῷ λογισμῷ, διὰ μυρίας προ- 13
φάσεις εὑρήσει κεκινημένα, πολέμοις ἢ τυραννίσιν ἤ τισιν ἄλλοις ἀβου-
λήτοις, ἃ νεωτερισμῷ τύχης κατασκήπτει· πολλάκις δὲ καὶ τρυφὴ πλεο-
νάσασα χορηγίαις καὶ περιουσίαις ἀφθόνοις καθεῖλε νόμους, „τὰ λίαν
ἀγαθὰ" τῶν πολλῶν φέρειν οὐ δυναμένων, ἀλλὰ διὰ κόρον ἐξυβριζόντων·
ὕβρις δ' ἀντίπαλον νόμῳ. τὰ δὲ τούτου μόνου βέβαια, ἀσάλευτα, ἀκρά- 14
δαντα, καθάπερ σφραγῖσι φύσεως αὐτῆς σεσημασμένα, μένει παγίως ἀφ'
ἧς ἡμέρας ἐγράφη μέχρι νῦν καὶ πρὸς τὸν ἔπειτα πάντα διαμενεῖν ἐλπὶς
αὐτὰ αἰῶνα ὥσπερ ἀθάνατα, ἕως ἂν ἥλιος καὶ σελήνη καὶ ὁ σύμπας
οὐρανός τε καὶ κόσμος ᾖ. τοσαύταις γοῦν χρησαμένου τοῦ ἔθνους μετα- 15

1 δὲ AK ἃς] ὡς L (Turn.) 2 συνέγραψαν K ὑφηγησαμένου FGHP Barb.: ὑφηγητέον ἡγησαμένου ceteri παρέδωκε BEMAF: παραδέδωκε ceteri 4 ὧν ante ἀπεικονίσματα add. FGHP Barb. ἃ καὶ om. FGHP Barb. οἱ FGHP Barb.: om. ceteri 6 δὲ VOK 9 εἴ τις] ὅστις BEMAF ἐπίῃ (ϊ) V²OHP (v), ἐπίει K τῶν λογισμῶν K 10 εὑρήσκει (sic) G 11. 12 πλεονάσασα om. H¹P 12 τὰ λίαν om. BEMA, spat. 6 litt. BEM 13 ἀλλὰ καὶ F ὑβριζόντων BEMA, ἐνυβριζόντων O 14 δὲ VOK ἀντίπαλος K νόμω GHP Barb.: νόμου ceteri μόνον BEMVOK 15 καθάπερ — μένει om. F σεσημειωμένα BEMA 16 πάντα om BEMA διαμενεῖν BEMA: διαμένειν ceteri 17 ἂν FGHP Barb.: om. ceteri 18 γοῦν] οὖν Barb., om. A

12. 13 v. sup. p. 31,2 14 sqq. cf. *Evang. Matth. V 18* ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται. *Evang. Luc. XVI 17* εὐκοπώτερον δέ ἐστιν τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν ἢ τοῦ νόμου μίαν κεραίαν πεσεῖν. *Ioseph. Ant. Iud. III 223* οὓς (νόμους) κρείττονας ἢ κατὰ σύνεσιν ἀνθρωπίνην ὄντας εἰς τὸν ἅπαντα βεβαίως αἰῶνα συνέβη φυλαχθῆναι δωρεὰν εἶναι δόξαντας τοῦ θεοῦ, ὡς μήτ' ἐν εἰρήνῃ ὑπὸ τρυφῆς μήτ' ἐν πολέμῳ κατ' ἀνάγκην Ἑβραίους παραβῆναί τινα τῶν νόμων. *Contra Apionen II 277* . . . οὐ μὴν καὶ παρ' ἡμῖν, ἀλλὰ κἂν πλούτου καὶ πόλεων καὶ τῶν ἄλλων ἀγαθῶν στερηθῶμεν, ὁ γοῦν νόμος ἡμῖν ἀθάνατος διαμένει· καὶ οὐδεὶς Ἰουδαίων οὔτε μακρὰν οὕτως ἂν ἀπέλθοι τῆς πατρίδος οὔτε πικρὸν φοβήσεται δεσπότην, ὡς μὴ πρὸ ἐκείνου δεδιέναι τὸν νόμον. (278) εἰ μὲν οὖν διὰ τὴν ἀρετὴν τῶν νόμων οὕτω πρὸς αὐτοὺς διακείμεθα, συγχωρησάτωσαν ὅτι κρατίστους ἔχομεν νόμους. cf. I 42.

βολαῖς κατά τε εὐπραγίας καὶ τοὐναντίον, οὐδὲν ἀλλ' οὐδὲ τὸ μικρότατον
τῶν | διατεταγμένων ἐκινήθη, πάντων ὡς ἔοικε τὸ σεμνὸν καὶ θεοπρεπὲς p. 137 M.
16 αὐτῶν ἐκτετιμηκότων. ἃ δὲ μὴ λιμὸς ἢ λοιμὸς ἢ πόλεμος ἢ βασιλεὺς
ἢ τύραννος ἢ ψυχῆς ἢ σώματος ἢ παθῶν ἢ κακιῶν ἐπανάστασις ἤ τι
ἄλλο θεήλατον ἢ ἀνθρώπειον κακὸν ἔλυσε, πῶς οὐ περιμάχητα καὶ
17 παντὸς λόγου κρείττονα καθέστηκεν; (4.) ἀλλ' οὔπω τοῦτο θαυμαστόν,
καίτοι μέγα καθ' αὑτὸ δεόντως ἂν νομισθέν, τὸ ἐξ ἅπαντος τοῦ χρόνου
πεφυλάχθαι τοὺς νόμους ἐν βεβαίῳ· ἀλλ' ἐκεῖνο θαυμασιώτερον, ὡς
ἔοικε, τὸ μὴ μόνον Ἰουδαίους ἀλλὰ καὶ τοὺς ἄλλους σχεδὸν ἅπαντας
καὶ μάλιστα οἷς ἀρετῆς πλείων λόγος πρὸς τὴν ἀποδοχὴν αὐτῶν καὶ
τιμὴν ὡσιῶσθαι· γέρας γὰρ τοῦτ' ἔλαχον ἐξαίρετον, ὃ μηδενὶ πρόσεστιν
18 ἑτέρῳ. σημεῖον δέ· τῶν κατὰ τὴν Ἑλλάδα καὶ βάρβαρον, ὡς ἔπος
εἰπεῖν, οὐδεμία πόλις ἐστίν, ἣ τὰ ἑτέρας νόμιμα τιμᾷ, μόλις δὲ καὶ τῶν
αὑτῆς εἰς ἀεὶ περιέχεται, πρὸς τὰς τῶν καιρῶν καὶ τῶν πραγμάτων
19 μεθαρμοζομένη τροπάς. Ἀθηναῖοι τὰ Λακεδαιμονίων ἔθη καὶ νόμιμα
προβέβληνται καὶ Λακεδαιμόνιοι τὰ Ἀθηναίων· ἀλλ' οὐδὲ κατὰ τὴν
βάρβαρον Αἰγύπτιοι τοὺς Σκυθῶν νόμους φυλάττουσιν ἢ Σκύθαι τοὺς
Αἰγυπτίων ἢ συνελόντι φράσαι τοὺς τῶν κατ' Εὐρώπην οἱ τὴν Ἀσίαν
οἰκοῦντες ἢ τοὺς τῶν Ἀσιανῶν ἐθνῶν οἱ ἐν Εὐρώπῃ· ἀλλὰ σχεδὸν οἱ
ἀφ' ἡλίου ἀνιόντος ἄχρι δυομένου, πᾶσα χώρα καὶ ἔθνος καὶ πόλις,
τῶν ξενικῶν νομίμων ἀλλοτριοῦνται καὶ οἴονται τὴν τῶν οἰκείων ἀπο-
20 δοχήν, εἰ τὰ παρὰ τοῖς ἄλλοις ἀτιμάζοιεν, συναυξήσειν. ἀλλ' οὐχ
ὦδ' ἔχει τὰ ἡμέτερα· πάντας γὰρ ἐπάγεται καὶ συνεπιστρέφει, βαρβάρους,

---

1 σμικρότατον VOK 2 πάντων] πάντως M 3 μὴ scripsi: δὴ F, μήτε ceteri (v) λιμὸς ἢ om. VOK 4 κακῶν A ἐπαναστάσεις A 5 ἢ om. GH οὐ περιμάχητα FGHP: οὐχ ὑπερμάχητα ceteri 7 καὶ ante καθ' add. F ἑαυτὸ VOK δεόντως ἂν] οὕτω BEMA, οὕτως ἂν V[1], οὕτως εἶναι V[2]OK 8. 9 ὡς ἔοικε θαυμασιώτερον transp. VOK Barb. 10 μάλισθ' Barb. 11 τοῦτο K ἔλαχον FGHP Barb.: ἔλαχεν ceteri 13 ἑτέρου VOK 14 αὐτῆς BEMV[1]K Barb. εἰς ἀεὶ om. A alt. τῶν GHP Barb.: om ceteri 16 προβέβληται G, προβάλλονται HP οὐδὲ FHP: οὐδ' οἱ VOKG, οὐχὶ BEMA 16. 17 κατὰ τὴν βάρβαρον] καὶ τὰ τῶν βαρβάρων A, βαρβάρων etiam E 17 σκυθικῶν K φυλάσσουσιν VK alt. τοὺς] τῶν F 18 συνελόντα BEMA φάναι O, γρ. φράσαι mg. O τῶν om. GO 19 ἐθῶν A alt. οἱ] ἡ G, om. VOKF 20 ἄχρι καὶ δυομένου A 22 παρ' ἄλλοις BEMA ἀτιμάζοιε BEMHP 23 ὦδ' ἔχει τὰ ἡμέτερα G Barb.: ὧδε τὰ ἡμέτερα ἔχει HP (v), οὕτως ἔχει τὰ ἡμέτερα ceteri

---

6—15 pergit Barb. IV 56: καὶ μετ' ὀλίγα: ἀλλ' οὔπω — τροπάς. 22—205,3 pergit Barb. IV 56: καὶ μετὰ μικρά: ἀλλ' οὐχ — ἐκτετίμηκε. 23 sqq. *Ioseph. contra Apionem II 280* ὑφ' ἡμῶν τε διηλέγχθησαν οἱ νόμοι καὶ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις

Ἕλληνας, ἠπειρώτας, νησιώτας, ἔθνη τὰ ἑῷα, τὰ ἑσπέρια, Εὐρώπην,
Ἀσίαν, ἅπασαν τὴν οἰκουμένην ἀπὸ περάτων ἐπὶ πέρατα. τίς γὰρ τὴν 21
ἱερὰν ἐκείνην ἑβδόμην οὐκ ἐκτετίμηκεν, ἄνεσιν πόνων καὶ ῥᾳστώνην
αὐτῷ τε καὶ τοῖς πλησιάζουσιν, οὐκ ἐλευθέροις μόνον ἀλλὰ καὶ δούλοις,
μᾶλλον δὲ καὶ ὑποζυγίοις διδούς; φθάνει γὰρ ἡ ἐκεχειρία καὶ πρὸς 22
πᾶσαν ἀγέλην καὶ ὅσα πρὸς ὑπηρεσίαν γέγονεν ἀνθρώπου καθάπερ
δοῦλα θεραπεύοντα τὸν φύσει δεσπότην, φθάνει καὶ πρὸς δένδρων καὶ
φυτῶν ἅπασαν ἰδέαν· οὐ γὰρ ἔρνος, οὐ κλάδον, ἀλλ' οὐδὲ πέταλον
ἐφεῖται τεμεῖν ἢ καρπὸν ὁντινοῦν δρέψασθαι, πάντων διαφειμένων κατ'
p. 138 M. ἐκείνην | τὴν ἡμέραν καὶ ὥσπερ ἐλευθερίαν ἀγόντων, κοινῷ κηρύγματι
μηδενὸς ἐπιψαύοντος. τίς δὲ τὴν λεγομένην νηστείαν οὐ τέθηπε καὶ 23
προσκυνεῖ δι' ἔτους ἀγομένην τῆς ἱερομηνίας αὐστηρότερον καὶ σεμ-
νότερον τρόπον; ἐν ᾗ μὲν γὰρ πολὺς ἄκρατος καὶ τράπεζαι πολυτελεῖς
καὶ ὅσα περὶ ἐδωδὴν καὶ πόσιν ἄφθονα πάντα, δι' ὧν αἱ ἀκόρεστοι
γαστρὸς ἡδοναὶ συναύξονται προσαναρρηγνῦσαι καὶ τὰς ὑπογαστρίους
ἐπιθυμίας· ἐν ᾗ δ' οὐ σιτίον, οὐ ποτὸν ἔξεστι προσενέγκασθαι, 24
καθαραῖς ὅπως διανοίαις, μηδενὸς ἐνοχλοῦντος μηδ' ἐμποδίζοντος
σωματικοῦ πάθους, ὁποῖα φιλεῖ συμβαίνειν ἐκ πλησμονῆς, ἑορτάζωσιν
ἱλασκόμενοι τὸν πατέρα τοῦ παντὸς αἰσίοις εὐχαῖς, δι' ὧν ἀμνηστίαν
μὲν παλαιῶν ἁμαρτημάτων, κτῆσιν δὲ καὶ ἀπόλαυσιν νέων ἀγαθῶν
εἰώθασιν αἰτεῖσθαι.

---

3 ἐκείνην GHP: om ceteri    ἐκτετίμηκας K    πόνων ἄνεσιν transp. VOK
4 αὐτῶ BEMFH¹K    5 ἐκκεχειρία VKAGH²    alt. καὶ GHP: om. ceteri
6 πᾶσαν om. G    7 θεραπεύοντα GHP: θεραπεύσαντα V²O, θεραπεύσοντα ceteri
φύσει] ἴδιον A    8 ἀλλ' om. A    9 ὁντιναοῦν V²OK    διαφειμένων
post ἡμέραν (10) transp. VOK    10 διαγόντων VOK    κοινῷ — ἐπιψαύ-
οντος (11) om. VOK    11 νηστείαν] ἑστίαν HP, νηστείαν mg. H²    12 post
προσκυνεῖ add. μάλιστα G, καὶ μάλιστα FHP (v)    ἀγομένης VOK    13 ᾗ GHP:
ἧς F, αἷς ceteri    τράπεζα πολυτελὴς HP (Turn.)    14 ἀκόραστοι M; ἀκό-
λαστοι coni. Mang.    15 προσαναρρηγνῦσθαι K    τὰς om. M.    16 δὲ VOK
17 ὅπως] ἁπλῶς V²OK    μηδὲ παρεμποδίζοντος P    18 ἑορτάζουσιν VOKFH¹P
19 αἰσίαις MO    ἀμνηστίαν codd.: ἀμνηστείαν v    21 εἰώθασιν om. F

---

ἀεὶ καὶ μᾶλλον αὐτῶν ζῆλον ἐμπεποιήκασι. . . . . (282) οὐ μὴν ἀλλὰ καὶ πλήθεσιν ἤδη πολὺς ζῆλος γέγονεν ἐκ μακροῦ τῆς ἡμετέρας εὐσεβείας, οὐδ' ἔστιν οὐ πόλις Ἑλλήνων οὐδ' ἡτισοῦν οὐδὲ βάρβαρος οὐδὲ ἓν ἔθνος, ἔνθα μὴ τὸ τῆς ἑβδομάδος, ἣν ἀργοῦμεν ἡμεῖς, ἔθος οὐ διαπεφοίτηκε καὶ αἱ νηστεῖαι καὶ λύχνων ἀνακαύσεις καὶ πολλὰ τῶν εἰς βρῶσιν ἡμῖν οὐ νενομισμένων παρατετήρηται.
11—13 pergit Barb. IV 56: καὶ πάλιν: τίς δὲ — τρόπον.

25 (5.) Τὸ δὲ τῆς νομοθεσίας ἱεροπρεπὲς ὡς οὐ παρ' Ἰουδαίοις μόνον
ἀλλὰ καὶ παρὰ πᾶσι τοῖς ἄλλοις τεθαύμασται, δῆλον ἔκ τε τῶν εἰρη-
26 μένων ἤδη κἀκ τῶν μελλόντων λέγεσθαι. τὸ παλαιὸν ἐγράφησαν οἱ
νόμοι γλώσσῃ Χαλδαϊκῇ καὶ μέχρι πολλοῦ διέμειναν ἐν ὁμοίῳ τὴν διά-
λεκτον οὐ μεταβάλλοντες, ἕως μήπω τὸ κάλλος εἰς τοὺς ἄλλους
27 ἀνθρώπους ἀνέφηναν αὐτῶν. ἐπεὶ δὲ ἐκ τῆς καθ' ἑκάστην ἡμέραν
συνεχοῦς μελέτης καὶ ἀσκήσεως τῶν χρωμένων αἴσθησις ἐγένετο καὶ
ἑτέροις καὶ τὸ κλέος ἐφοίτα πανταχόσε — τὰ γὰρ καλὰ κἂν φθόνῳ
πρὸς ὀλίγον ἐπισκιασθῇ χρόνον, ἐπὶ καιρῶν αὖθις ἀναλάμπει φύσεως
εὐμενείᾳ —, δεινὸν ἡγησάμενοί τινες, εἰ οἱ νόμοι παρὰ τῷ ἡμίσει
τμήματι τοῦ γένους ἀνθρώπων ἐξετασθήσονται μόνῳ τῷ βαρβαρικῷ, τὸ
δ' Ἑλληνικὸν εἰς ἅπαν ἀμοιρήσει, πρὸς ἑρμηνείαν τὴν τούτων ἐτράποντο.
28 τὸ δ' ἔργον ἐπεὶ καὶ μέγα ἦν καὶ κοινωφελές, οὐχ ἰδιώταις οὐδ' ἄρχουσιν,
ὧν πολὺς ἀριθμός, ἀλλὰ βασιλεῦσι καὶ βασιλέων ἀνετέθη τῷ δοκιμωτάτῳ.
29 Πτολεμαῖος ὁ Φιλάδελφος ἐπικληθεὶς τρίτος μὲν ἦν ἀπ' Ἀλεξάνδρου
τοῦ τὴν Αἴγυπτον παραλαβόντος, ἀρεταῖς δὲ ταῖς ἐν ἡγεμονίᾳ πάντων,
οὐχὶ τῶν καθ' αὐτὸν μόνον, | ἀλλὰ καὶ τῶν πάλαι πώποτε γεγενημένων p. 139 M.
ἄριστος, οὗ καὶ μέχρι νῦν τοσαύταις ὕστερον γενεαῖς ᾄδεται τὸ κλέος
πολλὰ δείγματα καὶ μνημεῖα τῆς μεγαλοφροσύνης κατὰ πόλεις καὶ χώρας
ἀπολιπόντος, ὡς ἤδη καὶ ἐν παροιμίας εἴδει τὰς ὑπερόγκους φιλοτιμίας

---

1 νομοθέσεως K  παρὰ VK  4 γλώττῃ Barb.  5 μεταβαλόντες V²OK  τὸ κάλλος εἰς om. Barb.  5. 6 τοῖς ἄλλοις ἀνθρώποις Barb.  6 ἀνέφηναν GHP Barb.: ἀνέφηνεν F, ἐνέφηναν ceteri  αὐτῶν AV²O: αὐτοὺς Barb., αὑτῶν ceteri  δ' A Barb.  7 ἐγίνετο VOKF Barb.  9 ἐπὶ καιρῶν F Barb.: ἐπὶ καιρῷ D Max., ἐπὶ καιρὸν ceteri  ante αὖθις add. λυθεὶς D^M, λυθέντα D^P Max., λυθὲν Barocc.  10 εὐγενείᾳ BEMA Barb.  11 γένους ἀνθρώπων F Barb.: ἀνθρώπων γένους ceteri; τοῦ ἀνθρώπων γένους om. in textu H, add. mg. H  12 εἰσάπαν A  13 οὐδ'] οὐκ BEMA  14 πολὺς] ὁ πολὺς FP Barb., οὐ πολὺς GH (v)  ἀνετέθη] ἀνετέους K  15 ἦν BEMA: ἦν τῶν ceteri  ἀπὸ BEMAF  16 τοῦ BEMA: om. ceteri  παραλαβόντος BEMA: παραλαβόντα Barb., παραλαβόντων ceteri  17 pr. τῶν] τὸν G  ἀλλὰ om. V¹, suppl. V²  πάλαι om. Barb.  18 ἄδετε G

---

1—210,3 pergit Barb. IV 56: καὶ μετά τινα: τὸ δὲ — ἐπίσης δείκνυνται.
8—9 D^P fol. 354^v D^M fol. 265^v Φίλωνος ἐκ τῆς τῶν νόμων ἀλληγορίας Mel. Barocc. fol. 222^v Max. Ecl. cap. 54 Φίλωνος: τὰ καλὰ — ἀναλάμπει.  15—16 *Io. Laur. Lydus de mens. IV 47* (p. 103,22 Wuensch) λέγει δὲ ὁ αὐτὸς Φίλων καὶ περὶ τῶν συγγραμμάτων τοῦ Μωυσέως, ὅτι ὑπ' αὐτοῦ μὲν τῇ Χαλδαϊκῇ γλώττῃ ἐγράφη, ὕστερον δὲ ὑπὸ Πτολεμαίου εἰς τὴν Ἑλλάδα μετεφράσθη, ὃς τρίτος ἦν τῶν ἀπ' Ἀλεξάνδρου τὴν Αἴγυπτον παραλαβόντων, Φιλάδελφος ἐπικεκλημένος.

καὶ μεγάλας κατασκευὰς Φιλαδελφείους ἀπ' ἐκείνου καλεῖσθαι. συνόλως 30
μὲν οὖν ἡ τῶν Πτολεμαίων οἰκία διαφερόντως παρὰ τὰς ἄλλας βασιλείας
ἤκμασεν, ἐν δὲ τοῖς Πτολεμαίοις ὁ Φιλάδελφος· ὅσα γὰρ εἷς ἔδρασεν
οὗτος ἐπαινετά, μόλις ἐκεῖνοι πάντες ἀθρόοι διεπράξαντο, γενόμενος
καθάπερ ἐν ζῴῳ τὸ ἡγεμονεῦον κεφαλὴ τρόπον τινὰ τῶν βασιλέων.
(6.) ὁ δὴ τοιοῦτος ζῆλον καὶ πόθον λαβὼν τῆς νομοθεσίας ἡμῶν εἰς 31
Ἑλλάδα γλῶτταν τὴν Χαλδαϊκὴν μεθαρμόζεσθαι διενοεῖτο καὶ πρέσβεις
εὐθὺς ἐξέπεμπε πρὸς τὸν τῆς Ἰουδαίας ἀρχιερέα καὶ βασιλέα — ὁ γὰρ
αὐτὸς ἦν — τό τε βούλημα δηλῶν καὶ προτρέπων ἀριστίνδην ἑλέσθαι
τοὺς τὸν νόμον διερμηνεύσοντας. ὁ δ' οἷα εἰκὸς ἡσθεὶς καὶ νομίσας 32
οὐκ ἄνευ θείας ἐπιφροσύνης περὶ τὸ τοιοῦτον ἔργον ἐσπουδακέναι τὸν
βασιλέα, σκεψάμενος τοὺς παρ' αὐτῷ δοκιμωτάτους Ἑβραίων, οἳ πρὸς
τῇ πατρίῳ καὶ τὴν Ἑλληνικὴν ἐπεπαίδευντο παιδείαν, ἄσμενος ἀποστέλλει.
ὡς δ' ἧκον, ἐπὶ ξενίαν κληθέντες λόγοις ἀστείοις καὶ σπουδαίοις τὸν 33
ἑστιάτορα εὐώχουν ἀντεφεστιῶντες· ὁ μὲν γὰρ ἀπεπειρᾶτο τῆς ἑκάστου
σοφίας καινὰς ἀλλ' οὐ τὰς ἐν ἔθει ζητήσεις προτείνων, οἱ δ' εὐστόχως
καὶ εὐθυβόλως, οὐκ ἐπιτρέποντος μακρηγορεῖν τοῦ καιροῦ, καθάπερ
ἀποφθεγγόμενοι τὰ προταθέντα διελύοντο. δοκιμασθέντες δ' εὐθὺς 34
ἤρξαντο τὰ τῆς καλῆς πρεσβείας ἀποτελεῖν καὶ λογισάμενοι παρ' αὑτοῖς,
ὅσον εἴη τὸ πρᾶγμα θεσπισθέντας νόμους χρησμοῖς διερμηνεύειν, μήτ'

1 φιλαδελφίους G Barb. 2 βασιλείας om. A 3 ὁ om. BEMA 3. 4 οὗτος ἔδρασεν transp. Barb. ἐκεῖνα A 5 τὸ] τῷ G 6 νομοθέσεως K 9 ἀριστίνδην] ἀρίστην δὴν Barb. 10 τοὺς] τὸν G διερμηνεύοντας AV[1] 12 αὐτῷ V[2]OK: αὑτῷ ceteri 13 παιδίαν G 14 ἐπὶ ξενία BEMA, ἐπὶ τὴν ξενίαν VOK ἀστίοις Barb. 15 ἀντεφεστιῶντες F Barb.: ἀνθεστιῶντες ceteri ἀπεπειρᾶτο GHP Barb.: ἐπειρᾶτο ceteri 16 δὲ Barb. 18 προτεθέντα VOKHP Barb. 19 ἤρχοντο FGH[2] Barb., εἵλοντο P (H[1] ut vid.) ἐπιτελεῖν GHP Barb. (v) καὶ GHP Barb.: om. ceteri post λογισάμενοι add. δὲ V[2]OK αὑτοῖς VOKH[2]: αὐτοῖς ceteri 20 θεσπισθέντες G νόμοις F post χρησμοῖς add. θείοις V[2]OK

1 — 5 N fol. 157r: συνόλως — τῶν βασιλέων. 6—13 *Nicetae Catena in Psalm.* (Migne P. G. t. 69 Col. 700) Φίλωνος καὶ Ἰουστίνου: . . . . ὅτε δὲ μετὰ Ἀλέξανδρον τὸν Μακεδόνα ὁ Φιλάδελφος Πτολεμαῖος κατ' Αἴγυπτον ἐβασίλευσε, ζῆλον λαβὼν τῆς Ἰουδαίων φιλοσοφίας εἰς Ἑλλάδα γλῶτταν τὴν Χαλδαϊκὴν μεθαρμόζεσθαι διενοεῖτο καὶ πρέσβεις εὐθὺς ἐξέπεμπε πρὸς Ἀζαρίαν τὸν τότε τῆς Ἰουδαίας ἀρχιερέα, τὸ βούλημά τε δηλῶν καὶ προτρέπων ἀριστίνδην ἑλέσθαι τὸν νόμον διερμηνεύσοντας. ὁ δὲ ἀρχιερεὺς οἷα εἰκὸς ἡσθεὶς καὶ νομίσας οὐκ ἄνευ θείας ἐπιφροσύνης περὶ τὸ τοιοῦτον ἔργον ἐσπουδακέναι τὸν βασιλέα, σκεψάμενος τοὺς παρ' αὐτῷ δοκιμωτάτους Ἑβραίων, οἳ πρὸς τῇ πατρίῳ καὶ τὴν Ἑλληνικὴν ἐπεπαίδευντο παιδείαν, καὶ ἐξ ἑκάστης τῶν δώδεκα φυλῶν ἓξ ἄνδρας ἐπιλεξάμενος ἄσμενος ἀποστέλλει. 15 ἀντεφεστιῶντες e Plat. Tim. p. 17b.

ἀφελεῖν τι μήτε προσθεῖναι ἢ μεταθεῖναι δυναμένους, ἀλλὰ τὴν ἐξ ἀρχῆς
ἰδέαν καὶ τὸν τύπον αὐτῶν διαφυλάττοντας, ἐσκόπουν τὸ καθαρώτατον
τῶν περὶ τὸν τόπον χωρίων ἔξω πόλεως· τὰ γὰρ ἐντὸς τείχους ἅτε
παντοδαπῶν πεπληθότα ζῴων διὰ νόσους καὶ τελευτὰς καὶ τὰς ὑγιαι-
35 νόντων οὐκ εὐαγεῖς πράξεις ἦν ὕποπτα. νῆσος ἡ Φάρος πρόκειται τῆς
Ἀλεξανδρείας, ἧς αὐχὴν ὑποταίνιος τέταται πρὸς τὴν πόλιν περικλειόμενος
| οὐκ ἀγχιβαθεῖ τὰ δὲ πολλὰ τεναγώδει θαλάττῃ, ὡς καὶ τῆς τῶν p. 140 M.
κυμάτων φορᾶς τὸν πολὺν ἦχον καὶ πάταγον ἐκ πάνυ μακροῦ δια-
36 στήματος προεκλύεσθαι. τοῦτον ἐξ ἁπάντων τῶν ἐν κύκλῳ κρίναντες
ἐπιτηδειότατον εἶναι τὸν τόπον ἐνησυχάσαι καὶ ἐνηρεμῆσαι καὶ μόνῃ τῇ
ψυχῇ πρὸς μόνους ὁμιλῆσαι τοὺς νόμους, ἐνταυθοῖ κατέμειναν καὶ τὰς
ἱερὰς βίβλους λαβόντες ἀνατείνουσιν ἅμ' αὐταῖς καὶ τὰς χεῖρας εἰς
οὐρανόν, αἰτούμενοι τὸν θεὸν μὴ διαμαρτεῖν τῆς προθέσεως· ὁ δ' ἐπι-
νεύει ταῖς εὐχαῖς, ἵνα τὸ πλεῖστον ἢ καὶ τὸ σύμπαν γένος ἀνθρώπων
ὠφεληθῇ χρησόμενον εἰς ἐπανόρθωσιν βίου φιλοσόφοις καὶ παγκάλοις
37 διατάγμασι. (7.) καθίσαντες δ' ἐν ἀποκρύφῳ καὶ μηδενὸς παρόντος
ὅτι μὴ τῶν τῆς φύσεως μερῶν, γῆς ὕδατος ἀέρος οὐρανοῦ, περὶ ὧν
πρῶτον τῆς γενέσεως ἔμελλον ἱεροφαντήσειν — κοσμοποιία γὰρ ἡ τῶν
νόμων ἐστὶν ἀρχή —, καθάπερ ἐνθουσιῶντες προεφήτευον οὐκ ἄλλα
ἄλλοι, τὰ δ' αὐτὰ πάντες ὀνόματα καὶ ῥήματα, ὥσπερ ὑποβολέως
38 ἑκάστοις ἀοράτως ἐνηχοῦντος. καίτοι τίς οὐκ οἶδεν, ὅτι πᾶσα μὲν

1 ἢ] μήτε GHP Barb. δύνασθαι V$^2$OK 2 διαφυλάξασθαι V$^2$OK 3 ἔξω τῆς πόλεως V$^2$OK Barb. 4 πεπληθότα codd.: πληρωθέντα v 6 αὐχὴν FGHP Barb.: ἀρχὴ ceteri τέταται G Barb.: τέτραπται F, τέτα‿ται M, τέτακται ceteri περικλειόμενος F$^1$HP Barb.: περικλυζόμενος V$^2$OK (v), περικλινόμενος ceteri 7 τεναγώδη BEM θαλάσσῃ G τῶν om. F 8 ἐκ πάνυ om. M μακροῦ FGHP Barb.: πολλοῦ ceteri 9 κρίνοντες GHP 10 τὸν FGHP Barb.: om. ceteri ἐνησυχῆσαι VK$^2$ 11 ἐνταῦθα Barb. 12. 13 εἰς τὸν οὐρανόν BEMA 13 δὲ VK 14 γένος ἀνθρώπων BEMAF: γένος τῶν ἀνθρώπων GHP, ἀνθρώπων γένος VOK Barb. 15 ὠφελήσῃ FGHP (Turn.), ὠφελήσει Barb. χρησόμενος G 18 πρώτων V$^2$OKG Barb. ἔμελλον om. A 19 ἀρχή ἐστι transp. VOK 20 ἄλλοι FGHP Barb.: ἄλλος ceteri 21 ἑκάστοις FGHP Barb.: ἑκάστῳ ceteri οἶδεν codd.: εἶδεν v

20—21 pergit Nicetas l. l.: οἱ δὲ ἐν διαφόροις οἰκίσκοις κατὰ δύο, ὥς φησιν ὁ Ἰουδαῖος Φίλων, .... διαιρεθέντες ἐν Φάρῳ τῇ Ἀλεξανδρείας νήσῳ πᾶσαν τὴν θείαν γραφὴν καὶ αὐτοὺς τοὺς ψαλμοὺς ἡρμήνευσαν, καὶ πάντες ἐν τῇ ἑρμηνείᾳ συνεφώνησαν οὐδὲν ἀλλήλων παραλλάξαντες οὔτε κατὰ τὴν ἔννοιαν οὔτε κατὰ τὴν λέξιν, ἀλλὰ τὰ αὐτὰ ὀνόματα καὶ ῥήματα, ὥσπερ ὑποβολέως ἑκάστῳ ἀοράτως ἐνηχοῦντος, τοῖς δηλουμένοις ἐναρμοσάμενοι πράγμασιν, ὥστε θαυμάσαι τὸν Πτολεμαῖον.

διάλεκτος, ἡ δ' Ἑλληνικὴ διαφερόντως, ὀνομάτων πλουτεῖ, καὶ ταὐτὸν
ἐνθύμημα οἷόν τε μεταφράζοντα καὶ παραφράζοντα σχηματίσαι πολλαχῶς,
ἄλλοτε ἄλλας ἐφαρμόζοντα λέξεις; ὅπερ ἐπὶ ταύτης τῆς νομοθεσίας οὔ
φασι συμβῆναι, συνενεχθῆναι δ' εἰς ταὐτὸν κύρια κυρίοις ὀνόμασι, τὰ
Ἑλληνικὰ τοῖς Χαλδαϊκοῖς, ἐναρμοσθέντα εὖ μάλα τοῖς δηλουμένοις
πράγμασιν. ὃν γὰρ τρόπον, οἶμαι, ἐν γεωμετρίᾳ καὶ διαλεκτικῇ τὰ 39
σημαινόμενα ποικιλίαν ἑρμηνείας οὐκ ἀνέχεται, μένει δ' ἀμετάβλητος
ἡ ἐξ ἀρχῆς τεθεῖσα, τὸν αὐτὸν ὡς ἔοικε τρόπον καὶ οὗτοι συντρέχοντα
τοῖς πράγμασιν ὀνόματα ἐξεῦρον, ἅπερ δὴ μόνα ἢ μάλιστα τρανώσειν
ἔμελλεν ἐμφαντικῶς τὰ δηλούμενα. σαφεστάτη δὲ τοῦδε πίστις· ἐάν 40
τε Χαλδαῖοι τὴν Ἑλληνικὴν γλῶτταν ἐάν τε Ἕλληνες τὴν Χαλδαίων
ἀναδιδαχθῶσι καὶ ἀμφοτέραις ταῖς γραφαῖς ἐντύχωσι, τῇ τε Χαλδαϊκῇ
καὶ τῇ ἑρμηνευθείσῃ, καθάπερ ἀδελφὰς μᾶλλον δ' ὡς μίαν καὶ τὴν
αὐτὴν ἔν τε τοῖς πράγμασι καὶ τοῖς ὀνόμασι τεθήπασι καὶ προσκυνοῦσιν,
οὐχ ἑρμηνέας ἐκείνους ἀλλ' ἱεροφάντας καὶ προφήτας προσαγορεύοντες, οἷς
ἐξεγένετο συνδραμεῖν λογισμοῖς εἰλικρινέσι τῷ Μωυσέως καθαρωτάτῳ πνεύ-
ματι. διὸ καὶ μέχρι νῦν ἀνὰ πᾶν ἔτος ἑορτὴ καὶ πανήγυρις ἄγεται κατὰ τὴν 41
Φάρον νῆσον, εἰς ἣν οὐκ Ἰουδαῖοι μόνον ἀλλὰ καὶ παμπληθεῖς ἕτεροι
p. 141 M. διαπλέουσι τό τε | χωρίον σεμνυνοῦντες, ἐν ᾧ πρῶτον τὰ τῆς ἑρμηνείας
ἐξέλαμψε, καὶ παλαιᾶς ἕνεκεν εὐεργεσίας ἀεὶ νεαζούσης εὐχαριστήσοντες τῷ
θεῷ. μετὰ δὲ τὰς εὐχὰς καὶ τὰς εὐχαριστίας οἱ μὲν πηξάμενοι σκηνὰς ἐπὶ 42
τῶν αἰγιαλῶν οἱ δ' ἐπὶ τῆς αἰγιαλίτιδος ψάμμου κατακλινέντες ἐν

1 ὀνομάτων om. HP[1], add. mg. P[2] τὸν αὐτὸν A 2 ἐνθύμημα et τε om. A καὶ παραφράζοντα om. BEMAF 8 ἄλλοτε] ἄλλας τε FH[1] Barb. ἄλλας] ἀλλοίας VOKGH[2], ἄλλοις H[1] Barb., ἄλλαις F νομοθέσεως K 4 ταὐτὸν codd.: ταὐτὸ v 4. 5 τὰ δ' ἑλληνικὰ M 6 οἶμαι τρόπον transp. Barb. ἐν γεωμετρίᾳ καὶ διαλεκτικῇ F Barb.: γεωμετρίας καὶ διαλεκτικῆς (ἀριθμητικῆς V[2]OK) ceteri 7 ποικιλία A 8 καὶ οὗτοι τρόπον transp. Barb. συντρέχοντα GHP Barb.: συντρέχοντα (ἐντρέχοντα BEMA) γὰρ ceteri 9 ὀνόματα om. M δὴ] ἢ coni. Mang. μόνα ἢ om. F ἢ] ἡ E, om. VOKH Barb. ἢ μάλιστα om. G 10 τοῦδε F Barb.: τούτοις BEM, τούτου ceteri 10. 11 ἐάν τε ⟨γὰρ⟩ coni. Mang. 12 καὶ] ὅσοι coni. Markland 13 διερμηνευθείσῃ GHP Barb. δὲ VOK 15 ἑρμηνεῖς FGHP Barb. ἐκείνους FGHP Barb.: om. ceteri τοὺς ante οἷς add. V[2]OK 16 ἐξεγένετο GHP Barb.: ἐγένοντο F, ἐγένετο ceteri μωυσέος FHP, μωσέως VOKAG Barb. 17 ἄχρι G 19 σεμνυνοῦντες BEMA: σεμνύνοντες ceteri τὰ AF Barb.: τὸ ceteri; τὸ ⟨φέγγος⟩ coni. Mang. 20 ἕνεκα GHP Barb. αἰεὶ Barb.; ⟨ὡς⟩ ἀεὶ coni. Mang. νεαζούσῃ V[2]OK 21 εὐχαριστηρίας Barb., εὐεργεσίας M τὰς σκηνὰς FG Barb. 22 τῶν αἰγιαλῶν codd.: τὸν αἰγιαλὸν Barb., τοῦ αἰγιαλοῦ v οἱδ' K κατακλινέντες BEM: κατακλιθέντες AFG, κατακλίναντες HP Barb., κλίναντες VOK

ὑπαίθριῳ μετ' οἰκείων καὶ φίλων ἑστιῶνται, πολυτελεστέραν τῆς ἐν
43 βασιλείοις κατασκευῆς τότε τὴν ἀκτὴν νομίζοντες. οὕτω μὲν οἱ νόμοι
ζηλωτοὶ καὶ περιμάχητοι πᾶσιν ἰδιώταις τε καὶ ἡγεμόσιν ἐπιδείκνυνται,
καὶ ταῦτ' ἐκ πολλῶν χρόνων τοῦ ἔθνους οὐκ εὐτυχοῦντος — τὰ δὲ
44 τῶν μὴ ἐν ἀκμαῖς πέφυκέ πως ἐπισκιάζεσθαι —· εἰ δὲ γένοιτό τις
ἀφορμὴ πρὸς τὸ λαμπρότερον, πόσην εἰκὸς ἐπίδοσιν γενήσεσθαι; κατα-
λιπόντας ἂν οἶμαι τὰ ἴδια καὶ πολλὰ χαίρειν φράσαντας τοῖς πατρίοις
ἑκάστους μεταβαλεῖν ἐπὶ τὴν τούτων μόνων τιμήν· εὐτυχίᾳ γὰρ τοῦ
ἔθνους οἱ νόμοι συναναλάμψαντες ἀμαυρώσουσι τοὺς ἄλλους καθάπερ
ἀνατείλας ἥλιος τοὺς ἀστέρας.
45 (8.) Ἀπόχρη μὲν οὖν καὶ τὰ λεχθέντα πολὺς ἔπαινος εἶναι τοῦ
νομοθέτου. πλείων δ' ἐστὶν ἕτερος, ὃν αὐταὶ περιέχουσιν αἱ ἱερώταται
βίβλοι, πρὸς ἃς ἤδη τρεπτέον, εἰς ἔνδειξιν τῆς τοῦ συγγράψαντος ἀρετῆς.
46 τούτων τοίνυν τὸ μέν ἐστιν ἱστορικὸν μέρος, τὸ δὲ περὶ τὰς
προστάξεις καὶ ἀπαγορεύσεις, ὑπὲρ οὗ δεύτερον λέξομεν τὸ πρό-
47 τερον τῇ τάξει πρότερον ἀκριβώσαντες. ἔστιν οὖν τοῦ ἱστορικοῦ
τὸ μὲν περὶ τῆς τοῦ κόσμου γενέσεως, τὸ δὲ γενεαλογικόν, τοῦ
δὲ γενεαλογικοῦ τὸ μὲν περὶ κολάσεως ἀσεβῶν, τὸ δ' αὖ περὶ
τιμῆς δικαίων. οὗ δὲ χάριν ἐνθένδε τῆς νομοθεσίας ἤρξατο τὰ περὶ

1 μετὰ τῶν οἰκείων A εἱστιῶντο V¹BEMAF 2 τότε] ταύτην coni. Mang. ἀκτὴν spat. 3 — 4 litt. ὁρῶντες Barb. 3 ἐπιδείκνυνται] ἐπίσης (i. e. ἐπ' ἴσης) δείκνυνται Barb. 4 ἐκ FGHP: ἐπὶ BEMA, ἐστὶ VOK 6 γενήσεσθαι FGHP: γενέσθαι ceteri 6. 7 καταλιπόντες M 8 ἑκάστοις BEMV¹K (Mang.) μεταβαλεῖν FGHP: μὲν καταβαλεῖν BEMA(V¹?), πάντως καταδραμεῖν V²OK τούτων] τῶν O μόνον F 11 οὖν FGHP Barb.: om. ceteri καὶ om. F εἶναι om. A 12 πλείων GHP: πλεῖον Barb., πλεία K, πλείω ceteri δέ ἐστιν VOK ἕτερος ὃν FGH² Barb.: ἕτερος ὧν H¹P, ἕτερα ὧν ceteri αὐταὶ Barb.: αὐτοὶ F, αὗται ceteri (v) ἱερώτατοι FGHP 13 ἔνδειξιν codd.: τὴν ἔνδειξιν v συγγράψαντος] συγγράμματος F 15 προστάξεις] πράξεις FGHP¹ 16 τῇ om. O 18 δὲ om. A 19 οὗ δὲ GHP Barb.: τοῦ δὲ BMV²OKF, τοῦδε EAV¹ τῆς ἐνθένδε νομοθεσίας transp. F, τῆς νομοθεσίας ἐνθένδε Barb. τὰ] τὰς H¹P

11 — 213,1 pergit Barb. IV 56: καὶ μεθ' ἕτερα: ἀπόχρη — ἀπολέσθαι.
14—212,17 *Procop. Gaz. Comment. in Genes. praef.* (Migne P. G. t. 87,1 Col. 24 Wendland Neu entd. Fragm. Philos p. 33 sqq.): οὗτος οὖν (Μωυσῆς) .... δύο μετελήλυθεν εἴδη γραφῆς, τὸ μὲν ἱστορικόν, τὸ δὲ νομοθετικόν· τοῦ δὲ νομοθετικοῦ τὸ μὲν παραινετικόν, τὸ δὲ ἀπαγορευτικόν· καὶ τοῦ ἱστορικοῦ τὸ μὲν περὶ κόσμου γενέσεως, τὸ δὲ γενεαλογικόν· τοῦ δὲ γενεαλογικοῦ τὸ μὲν περὶ κολάσεως ἀσεβῶν, τὸ δὲ περὶ τῆς τῶν δικαίων τιμῆς. τὸ δὲ ἱστορικὸν προὔταξε τοῦ νομοθετικοῦ διὰ τοιαύτην αἰτίαν· οὐ πρᾶγμα ποιῶν παλαιῶν πραγμάτων ἡμῖν διηγήσασθαι τὴν ἱστορίαν κατεπαγγέλλεται, ἄνωθεν δὲ [καὶ] ἀπὸ (πρὸ codd.) τῆς τοῦ παντὸς γενέσεως τὴν ἀρχὴν ποιησάμενος δείκνυσι τὸν

τὰς προστάξεις καὶ ἀπαγορεύσεις ἐν δευτέρῳ θείς, λεκτέον. οὐ γὰρ 48
οἷά τις συγγραφεὺς ἐπετήδευσε παλαιῶν πράξεων καταλιπεῖν ὑπομνήματα
τοῖς ἔπειτα τοῦ ψυχαγωγῆσαι χάριν ἀνωφελῶς, ἀλλ' ἠρχαιολόγησεν
ἄνωθεν ἀρξάμενος ἀπὸ τῆς τοῦ παντὸς γενέσεως, ἵν' ἐπιδείξῃ δύο τὰ
ἀναγκαιότατα· ἓν μὲν τὸν αὐτὸν πατέρα καὶ ποιητὴν τοῦ κόσμου καὶ
ἀληθείᾳ νομοθέτην, ἕτερον δὲ τὸν χρησόμενον τοῖς νόμοις ἀκολουθίαν
φύσεως ἀσπασόμενον καὶ βιωσόμενον κατὰ τὴν τοῦ ὅλου διάταξιν
ἁρμονίᾳ καὶ συμφωνίᾳ πρὸς ἔργα λόγων καὶ πρὸς λόγους ἔργων.
(9.) τῶν μὲν οὖν ἄλλων νομοθετῶν οἱ μὲν εὐθὺς ἅ τε χρὴ πράττειν 49
καὶ ἃ μὴ διαταξάμενοι τιμωρίας κατὰ τῶν παραβαινόντων ὥρισαν, οἱ δ'
p. 142 M. | ἀμείνους δόξαντες εἶναι τὴν ἀρχὴν οὐκ ἐνθένδε ἐποιήσαντο, πόλιν δὲ
τῷ λόγῳ κτίσαντες καὶ ἱδρυσάμενοι πρότερον ἣν ἐνόμιζον οἰκειοτάτην
καὶ πρεπωδεστάτην εἶναι τῇ κτισθείσῃ πολιτείαν διὰ τῆς τῶν νόμων
θέσεως ἐφήρμοζον. ὁ δὲ τὸ μὲν πρότερον ὑπολαβὼν (ὅπερ ἦν) τυραννι- 50
κόν τε καὶ δεσποτικόν, ἄνευ παραμυθίας προστάττειν ὡς οὐκ ἐλευθέροις
ἀλλὰ δούλοις, τὸ δ' ὕστερον ἐμμελὲς μέν, οὐ μὴν τελείως ἐπαινετὸν
ἅπασι τοῖς κριταῖς, ὡς ἔοικεν, ἐν ἑκατέρῳ τῶν λεχθέντων διήνεγκεν.
ἔν τε γὰρ ταῖς προστάξεσι καὶ ἀπαγορεύσεσιν ὑποτίθεται καὶ παρηγορεῖ 51
τὸ πλέον ἢ κελεύει, μετὰ προοιμίων καὶ ἐπιλόγων τὰ πλεῖστα καὶ ἀναγ-
καιότατα πειρώμενος ὑφηγεῖσθαι, τοῦ προτρέψασθαι χάριν μᾶλλον ἢ

1 τὰς om. F προστάξεις] πράξεις FGH¹P 3 ἠρχολόγησεν VOK 4 τοῦ om. F δύο] βίω F 4. 5 τἀναγκαιότατα Barb. 5 αὐτὸν om. Turn. 6 ἀληθείας VOKH (v), ἀληθῆ (sic) P post τὸν add. αὐτὸν BEMAV¹, αὐτοῦ V²OK 7 ἀσπασάμενον BE, ἀνασπασάμενον A ὅλου] λόγου VOK 8 ⟨ἐν⟩ ἁρμονίᾳ coni. Wendl. συμφυΐα M 12 ἣν FH² Barb.: om. ceteri 13 εἶναι post οἰκειοτάτην (12) transp. A (v), θεῖναι (pro εἶναι) V²K, εἶναι om. HP post πολιτείαν add. καὶ BEMAV¹, ἣν V²OK 14 ἐφήρμοζον FGHP Barb.: πρότερον ἐφήρμοζον (ἐφήρμοσαν V²OK) ceteri (v) ὁ δὲ καὶ K 15 ὡς om. BEMA 17 ὡς F Barb.: om. ceteri (v) ἑκατέρα V¹OK 18 καὶ ταῖς ἀπαγορεύσεσιν BEMA (Mang.); καὶ ἀπαγορεύσεσιν om. Turn. παρηγορεῖ] παραινεῖ G

πατέρα τοῦ κόσμου καὶ ποιητὴν τοῦτον σὺν ἀληθείᾳ νομοθέτην ὑπάρχοντα· ἐχρῆν γὰρ ἐγνῶσθαι πρὸ τῶν νόμων τὸν νομοθέτην. . . . δείκνυσι δὲ Μωυσῆς καὶ ὅτι δεῖ τὸν τοῖς νόμοις χρησόμενον σύμφωνον τὸν βίον τῇ τοῦ παντὸς ἁρμονίᾳ καὶ τάξει παρέχεσθαι καὶ δεικνύναι συνᾴδοντα λόγοις ἔργα καὶ τοῖς ἔργοις τὰ ῥήματα. τοιγαροῦν τῶν ἄλλων νομοθετῶν τῶν μὲν εὐθὺς ὁριζόντων τὰ πρακτέα καὶ μὴ καὶ τιμωρίας ἐπιτιθέντων τοῖς παραβαίνουσι, τῶν δὲ πόλιν κτισάντων ἐν πρώτοις, εἶτα διὰ τῶν νόμων ἣν ἐνόμισαν πολιτείαν ἁρμοσάντων τῇ πόλει, ὁ Μωυσῆς τὸ μὲν πρῶτον νομίσας εἶναι τυραννικὸν καὶ μηδεμίαν ἔχον πειθὼ καὶ παραμυθίαν, τὸ δὲ ἕτερον ἐμμελὲς μέν, οὐ μὴν διὰ πάντων κατωρθωμένον, αὐτὸς ἑκατέρων διήνεγκεν· τῷ τε γὰρ νομοθετικῷ τὸ παραινετικὸν ἐγκατέμιξε ⟨τοῦ⟩

βιάσασθαι· πόλεώς τε χειροποιήτου κτίσιν ἀρχὴν ποιήσασθαι τῆς γραφῆς ταπεινότερον ἢ κατὰ τὴν ἀξίαν τῶν νόμων ὑπολαβὼν εἶναι, πρὸς τὸ μέγεθος καὶ κάλλος τῆς ὅλης νομοθεσίας ἀκριβεστάτῃ ὄψει τῇ κατὰ διάνοιαν ἀπιδὼν καὶ νομίσας αὐτὴν κρείττονα καὶ θειοτέραν ἢ ὥστε κύκλῳ τινὶ τῶν ἐπὶ γῆς ὁρισθῆναι, τῆς μεγαλοπόλεως τὴν γένεσιν εἰσηγήσατο, τοὺς νόμους ἐμφερεστάτην εἰκόνα τῆς τοῦ κόσμου πολιτείας
52 ἡγησάμενος εἶναι. (10.) τῶν γοῦν ἐν μέρει διατεταγμένων τὰς δυνάμεις εἴ τις ἀκριβῶς ἐξετάζειν ἐθελήσειεν, εὑρήσει τῆς τοῦ παντὸς ἁρμονίας ἐφιε-
53 μένας καὶ τῷ λόγῳ τῆς ἀιδίου φύσεως συνᾳδούσας. διὸ καὶ τοὺς ἀφθόνων μὲν ἀγαθῶν ἀξιωθέντας ὅσα κατ' εὐεξίαν σωμάτων καὶ τὰς περὶ πλοῦτον καὶ δόξαν καὶ τὰ ἄλλα ἐκτὸς εὐτυχίας, ἀρετῆς δ' ἀφηνιάσαντας καὶ οὐκ ἀνάγκῃ γνώμῃ δ' ἑκουσίῳ πανουργίαν καὶ ἀδικίαν καὶ τὰς ἄλλας κακίας, ὡς μέγα ὄφελος τὴν μεγίστην ζημίαν, ἐπιτηδεύσαντας καθάπερ οὐκ ἀνθρώπων ἐχθροὺς ἀλλὰ τοῦ σύμπαντος οὐρανοῦ τε καὶ κόσμου τὰς ἐν ἔθει τιμωρίας οὔ φησιν ὑπομεῖναι, ἀλλὰ καινοτάτας καὶ παρηλλαγμένας, ἃς ἐμεγαλούργησεν ἡ πάρεδρος τῷ θεῷ μισοπόνηρος δίκη, τῶν τοῦ παντὸς δραστικωτάτων στοιχείων ἐπιθεμένων ὕδατος καὶ πυρός, ὡς καιρῶν περιόδοις τοὺς μὲν κατακλυσμοῖς φθαρῆναι, τοὺς δὲ κατα-

1 post κτίσιν add. καὶ FGHP Barb. (v); καὶ delendum censuit Mang. 2 κατ' ἀξίαν BEMA (v) 3 καὶ τὸ κάλλος F 4 νομίσας] νόμου Barb. κρείττονα αὐτὴν transp. Barb. 6 τοῦ κόσμου] κόσμου A, τοῦ νόμου V$^1$, ἐννόμου V$^2$OK πολίτης K 7 οὖν Barb. 8 ἐθελήσει M 8. 9 ὑφιεμένας Barb. 9 διὸ] δι' οὗ GHP (Turn.) τοὺς] τῶν Barb.; τοὺς ⟨ἀγαθοὺς⟩ vel ⟨εὐσεβεῖς⟩ coni. Mang. 10 μὲν] μὴ K τοὺς σπουδαίους add. ante ἀξιωθέντας Barb. τὰς ὅσα BEM, τὰ ὅσα AF εὐεξίας H$^1$P Barb. τὰς] τὰ A 11 τἄλλα VOK Barb. ἐκτὸς] τὰ ἐκτὸς Barb., τὰ τῆς V$^2$OK ἀφηνιάσοντας H$^1$P 12 πανουργίας καὶ ἀδικίας H; καὶ ἀδικίαν om. Turn. 13 τὴν om. VOK 14 οὐρανοῦ] ἀνοῦ (i. e. ἀνθρώπου) BEM 16 ἃς ἐδημιούργησεν BEMA 17 post ἐπιθεμένων add. αὐτοῖς V$^3$K 18 pr. τοὺς] τοῖς F

προτρέπειν μᾶλλον ἢ βιάζεσθαι λόγον ποιούμενος, καὶ τὸ πόλιν χειροποίητον ἀρχὴν ποιήσασθαι τῆς συγγραφῆς κτιζομένην τῷ λόγῳ ταπεινότερον ἢ κατὰ τὴν ἀξίαν τῶν νόμων ὑπείληφεν, ὧν ⟨πρὸς⟩ τὸ κάλλος ἀκριβεῖ τῇ θέᾳ κατὰ τὴν διάνοιαν ἀπιδὼν τῆς ἐπὶ γῆς ὑπεριδὼν κτίσεως ἐπὶ τὴν μεγίστην πόλιν, τὸν κόσμον, ἀνέδραμεν καὶ τὴν αὐτῆς ὑφηγήσατο γένεσιν, ἐμφερεστάτην εἰκόνα τοὺς νόμους τῆς τοῦ κόσμου πολιτείας ἡγούμενος· τῶν γοῦν νόμων ἡ δύναμις, εἴ τις ἀκριβῶς ἐξετάσειε, τῇ τοῦ παντὸς ἁρμονίᾳ συνᾴδει. τοιγαροῦν εἴ τινες παντελῶς ἐξεπήδησαν ἀρετῆς, ὡς οὐκ ἀνθρώπων ἐχθροὺς ἀλλ' οὐρανοῦ τε καὶ κόσμου παντός οὐ τὰς ἐν ἔθει τιμωρίας ὑπομεῖναί φησιν, ἀλλὰ καινὰς καὶ παρηλλαγμένας, τῶν τοῦ παντὸς δραστικωτάτων στοιχείων ἐπιτιθεμένων αὐτοῖς ὕδατος καὶ πυρός.

φλεχθέντας ἀπολέσθαι. πελάγη μὲν ἀρθέντα καὶ ποταμοὶ μετεωρισθέντες 54
αὐθιγενεῖς τε καὶ χείμαρροι τὰς ἐν τῇ πεδιάδι πόλεις ἁπάσας ἐπέκλυσαν
καὶ κατέσυραν, τὰς δὲ κατὰ τὴν ὀρεινὴν αἱ μεθ' ἡμέραν καὶ νύκτωρ
συνεχεῖς καὶ ἀδιάστατοι ὄμβρων φοραί. χρόνῳ δ' ὕστερον ἐκ τῶν 55
ὑπολειφθέντων πάλιν τοῦ γένους συναυξηθέντος καὶ εἰς πολυανθρωπίαν
p. 143 M. ἐπιδόντος, ἐπειδὴ τὸ περὶ τοὺς προγόνους πάθος οἱ | ἀπόγονοι μάθημα
σωφροσύνης οὐκ ἐποιήσαντο, πρὸς δ' ἀκολασίας ἐτράποντο ζηλωταὶ
χαλεπωτέρων ἐπιτηδευμάτων γενόμενοι, πυρὶ τούτους ἀναλῶσαι διενοήθη.
τότ' οὖν, ὡς μηνύει τὰ λόγια, κεραυνοὶ ῥυέντες ἐξ οὐρανοῦ τούς τε 56
ἀσεβεῖς κατέπρησαν καὶ τὰς πόλεις αὐτῶν· καὶ μέχρι τοῦ νῦν μνημεῖα
τοῦ συμβεβηκότος ἀλέκτου πάθους δείκνυται κατὰ Συρίαν, ἐρείπια καὶ
τέφρα καὶ θεῖον καὶ καπνὸς καὶ ἡ ἔτι ἀναδιδομένη φλὸξ ἀμαυρὰ
καθάπερ διασμυχομένου πυρός. ἐν δὲ τούτῳ συνέβαινε τούς τε ἀσεβεῖς 57
ταῖς εἰρημέναις τιμωρίαις κολάζεσθαι καὶ τοὺς καλοκἀγαθίᾳ διενηνοχότας
εὖ πάσχειν ἀρετῆς ἐπαξίων ἄθλων τυγχάνοντας. ἐν μέν γε τῇ φορᾷ 58
τοῦ κεραυνίου πυρὸς οἰκήτορσιν αὐτοῖς ὅλης χώρας ἐμπιπραμένης, εἷς
μόνος ἀνὴρ μέτοικος ἐπιφροσύνῃ θείᾳ σῴζεται, διότι τῶν ἐγχωρίων
παρανομημάτων οὐδὲν ἠσπάσατο, τῶν μετοίκων εἰωθότων ἀσφαλείας
ἕνεκα τὰ ξενικὰ τιμᾶν, ἐπεὶ τοῖς ἀτιμάζουσι κίνδυνος ἐκ τῶν αὐτο-
χθόνων ἕπεται· καίτοι γ' οὐκ ἐπ' ἄκρον ἦλθε σοφίας, ὡς διὰ τελειότητα
τῆς ἐν αὐτῷ φύσεως τοσούτου γέρως ἀξιωθῆναι, ἀλλ' ὅτι μόνος τοῖς
πολλοῖς οὐ συνηνέχθη πρὸς τὸ ἁβροδίαιτον ἀποκλίνασι καὶ πάσας μὲν
ἡδονὰς πάσας δ' ἐπιθυμίας χορηγίαις ἀφθόνοις ἀνάψασιν ὥσπερ φλόγα
λασίῳ ὕλῃ κεχυμένῃ. (11.) κατὰ δὲ τὸν μέγαν κατακλυσμὸν ὀλίγου 59

---

1 μὲν ⟨γὰρ⟩ coni. Mang. 2 ἀπέκλυσαν M, κατέκλυσαν G 3 ἐπέσυραν G 4 συνεχεῖς om. A τῶν ὄμβρων VOK τῶν ὄμβρων post νύκτωρ (3) transp. O φθοραί P 5 ἐπαυξηθέντος VOK 8 χαλεπῶν HP πυρὶ] περὶ M 10 ἀσεβοῦντας F τοῦ om. F 11 ἀλήκτου V[1], ἀλήστου V[2]OK, ἀλλ' ἐκ τοῦ H[1]P ἐνδείκνυται G 13 διασμυχουμένου M, διὰ σμυχομένου K 14 καλοκαγαθίας Turn. 15 ἐπ' ἀξίων M τυγχάνοντας ἄθλων transp. GH γε] γὰρ V[2]OK 16 κεραυνείου F ⟨τῆς⟩ ὅλης voluit Mang. ἐμπιμπραμένης E 18 ἐσπάσατο coni. Mang. καὶ ταῦτα add. ante τῶν V[2]OK 20 γε VOK ἦλθε] ἧκε A (v) 21 γέρως] γένους A μόνος Mang.: μόνον codd. 21. 22 οὐ συνηνέχθη τοῖς πολλοῖς transp. F 24 λασίῳ] θείω F, θείω καὶ GHP (Turn.) ὕλη κεχυμένη BEMF: κεχυμένη ὕλη GHP, ὕλη κεχυμένην VOK (Mang.), ὕλη κεχριμένην A ὀλίγον A

---

1—4 Gen. cap. 7 4—24 Gen. cap. 19 10—13 cf. *de Abrah.* § *140. 141*
13—15 pergit Barb. IV 56: καὶ μετά τινα: ἐν δὲ τούτῳ — τυγχάνοντας.

δέω φάναι τοῦ σύμπαντος ἀνθρώπων γένους φθειρομένου, ἕνα οἶκον
ἀπαθῆ γενέσθαι παντὸς κακοῦ λόγος ἔχει, τὸν πρεσβύτατον καὶ ἡγεμόνα
τῆς οἰκίας ἐπειδὴ συνέβαινε μηδενὸς ἀδικήματος ἑκουσίου προσάψασθαι.
τὸν δὲ τρόπον τῆς σωτηρίας, ὡς αἱ ἱεραὶ βίβλοι περιέχουσιν, ἄξιον
60 ἱστορηθῆναι διά τε μεγαλουργίαν καὶ ἅμα βελτίωσιν ἠθῶν. νομισθεὶς
γὰρ ἐπιτήδειος εἶναι μὴ μόνον ἀμοιρῆσαι τῆς κοινῆς συμφορᾶς, ἀλλὰ
καὶ δευτέρας γενέσεως ἀνθρώπων αὐτὸς ἀρχὴ γενέσθαι, θείαις προσ-
τάξεσιν, ἃς ὑφηγοῦντο οἱ χρησμοί, ξύλινον δημιουργήσας ἔργον μέγιστον
εἰς πήχεις τριακοσίους μῆκος καὶ πεντήκοντα εὖρος καὶ τριάκοντα ὕψος
καὶ συνεχῆ κατασκευασάμενος ἔνδον οἰκήματα ἐπίπεδα καὶ ὑπερῷα,
τριώροφα καὶ τετρώροφα, καὶ τροφὰς ἑτοιμασάμενος, ἀφ' ἑκάστου γένους
ζῴων ὅσα χερσαῖα καὶ πτηνὰ εἰσήγαγεν ἄρρεν τε καὶ θῆλυ σπέρματα
ὑπολειπόμενος πρὸς καταλλαγὴν καιρῶν τῶν αὖθίς ποτε γενησομένων·
61 ᾔδει γὰρ τὴν τοῦ θεοῦ φύσιν ἵλεω, κἂν εἰ τὰ εἴδη φθείροιτο, ἀλλά τοι
τὴν ἐν τοῖς γένεσιν ἀφθαρσίαν ἕνεκα τῆς πρὸς αὐτὸν ὁμοιότητος | καὶ p. 144 M.
τοῦ μηδὲν τῶν κατὰ πρόθεσιν φύντων ποτὲ λυθῆναι διαμένουσαν·
(12.) οὗ χάριν πάντα ἐπειθάρχει καὶ τὰ τέως ἐξηγριωμένα ἡμεροῦτο
62 καὶ οἷα νομεῖ καὶ ἀγελάρχῃ τιθασευθέντα ἐπηκολούθει. μετὰ δὲ τὴν
εἴσοδον ἁπάντων εἴ τις ἐθεάσατο τὸ πλήρωμα, οὐκ ἂν διήμαρτεν εἰπών,
ἀντίμιμον εἶναι γῆς ἁπάσης ἐν ἑαυτῷ φέρον τὰ ζῴων γένη, ὧν καὶ ἡ
σύμπασα γῆ τὰ ἀμύθητα εἴδη καὶ πρότερον ἤνεγκε καὶ ἴσως αὖθις
63 οἴσει. τὰ δ' εἰκασθέντα χρόνοις ὕστερον οὐ μακροῖς ἀπέβαινε· τὸ μὲν

1 δέω] δὲ VOK  ἀνθρώπων om. HP  ἕνα] τὸν Νῶε A (v)  2 διὰ add. ante τὸν V²OK  4 τόνδε τὸν τρόπον BE  ὡς αἱ AF: ὃν αἱ V²OK, αἱ (om. ὡς) ceteri; ὡς (om. αἱ) v  5 ἱστορῆσαι BEMA (v)  ἠθῶν FGHP: ὠήθην ceteri  6 εἶναι ἐπιτήδειος transp. HP (v)  7 post ἀνθρώπων add. γένους VOK  8 ὑφηγοῦνται HP  9 τριακοσίους FG: τριακοσίας ceteri  10 οἰκήματα ἔνδον transp. O  11 τετρόροφα BMF  ἑκάστου] ἑκατέρου H  12 ἄρσεν BM  τε om. VOK  13 ὑπολιπόμενος BEM  καταλλαγὴν καιρῶν corruptum: καταγωγὴν γενῶν conicio, καταβολὴν καὶ ἑτέρων (scil. σπερμάτων) coni. Mang.  14 τοῦ θεοῦ φύσιν F: φύσιν τοῦ θεοῦ transp. ceteri  ἵλεων FGHP  εἰ om. VOK  τοι om. VOK  15 ἀφθαρσίαν om. H¹P  16 τῶν FV²OK: om. ceteri (v)  κατὰ πρόθεσιν] κατ' ἐπιφροσύνην θείαν V²OK  17 τὰ τέως FGHP: τά τε ceteri  ἠγριωμένα ἐξημεροῦτο BEMA (v)  18 ἀγελάρχῃ codd. (ἀγελάρχει E): ἀγελάρχῳ v  τιθασευθέντα HP: τιθασσευθέντα FG, τιθασὰ ὄντα BE, τιθασσὰ ὄντα MAVOK  20 εἶναι γῆς F: γῆς εἶναι transp. ceteri  πάσης BEMA  ἑαυτῷ FGHP: αὐτῷ ceteri  φέρων B¹EV¹, φέροντα H¹P  21 εἴδη GHP: γένη ceteri  πρότερα F  ἴσως GHP: ὕστερον ceteri (v)  22 post οἴσει multa deesse putavit Mang.  ἀπέβαινον VOK

4 sqq. Gen. 6,13 — 8,19

γὰρ πάθος ἐλώφα καὶ ἡ τοῦ κατακλυσμοῦ φορὰ καθ' ἑκάστην ἡμέραν ἐμειοῦτο, τῶν τε ὄμβρων ἐπισχεθέντων καὶ τοῦ κατὰ πᾶσαν γῆν ἀναχυθέντος ὕδατος τῇ μὲν ἀναλισκομένου τῷ ἀφ' ἡλίου φλογμῷ τῇ δὲ ὑπονοστοῦντος εἰς χαράδρας καὶ φάραγγας καὶ τὰς ἄλλας τῆς γῆς κοιλότητας· ὥσπερ γὰρ θεοῦ προστάξαντος, ἑκάστη φύσις ὅπερ ἔχρησεν οἷα δάνειον ἀναγκαῖον ἀπελάμβανε, θάλαττα καὶ πηγαὶ καὶ ποταμοί· πρὸς γὰρ τοὺς οἰκείους τόπους ἕκαστον ῥεῖθρον ὑπενόστει. μετὰ δὲ τὴν 64 κάθαρσιν τῶν ὑπὸ σελήνην, ἀπολουσαμένης τῆς γῆς καὶ νέας ἀναφανείσης καὶ τοιαύτης, οἵαν εἰκὸς εἶναι ὅτε τὴν ἀρχὴν μετὰ τοῦ κόσμου παντὸς ἐκτίζετο, πρόεισιν ἐκ τοῦ ξυλίνου κατασκευάσματος αὐτὸς καὶ γυνὴ καὶ υἱοὶ καὶ τούτων γυναῖκες καὶ μετὰ τῆς οἰκίας ἀγεληδὸν τὰ συνεληλυθότα τῶν ζῴων γένη πρὸς τὴν τῶν ὁμοίων σποράν τε καὶ γένεσιν. ταῦτα τῶν 65 ἀγαθῶν ἀνδρῶν ἐστιν ἀριστεῖα καὶ ἆθλα, δι' ὧν οὐ μόνον αὐτοὶ καὶ γένη σωτηρίας ἔτυχον τοὺς μεγίστους κινδύνους ἐκφυγόντες, οἳ κατὰ τὸν τῶν στοιχείων νεωτερισμὸν τοῖς πανταχοῦ πᾶσιν ἐπετειχίσθησαν, ἀλλὰ καὶ παλιγγενεσίας ἐγένοντο ἡγεμόνες καὶ δευτέρας ἀρχηγέται περιόδου, καθάπερ ἐμπυρεύματα τοῦ ζῴων ἀρίστου γένους ἀνθρώπων ὑπολειφθέντες, ὃ τὴν ἡγεμονίαν τῶν περιγείων ἅπαξ ἁπάντων ἔλαχεν ἀντίμιμον γεγονὸς θεοῦ δυνάμεως, εἰκὼν τῆς ἀοράτου φύσεως ἐμφανής, ἀιδίου γενητή.

* * *

1 γὰρ om. A  φορὰ AVOK: φθορὰ ceteri (v)  ἡμέραν om. BEMA  3 τῇ (bis) GHP: πῇ (bis) ceteri  δὲ καὶ VOK  4 φάλαγγας F  5 γὰρ om. BEMA  6 ὑπελάμβανε H  8 τῶν] τὴν O  9 τοιαύτης AGP: τοιαύτην ceteri  οἵαν GHP: ὁποίαν ceteri  τοῦ om. HP  παντὸς om. F  10 ἡ γυνὴ καὶ οἱ υἱοὶ H  11 pr. καὶ] καὶ αἱ BEMA (v)  ἀγεληδὸν om. BEMA  συνεισεληλυθότα H, συνεισελθόντα P  12 γένη om. F  14 τοῦ μεγίστου κινδύνου D  ἐκφυγόντες κινδύνους transp. A (v)  15 τὸν om. F  μετεωρισμὸν Barb.  16 ἀρχηγέται] ἀρχῆσθαι Barb.  17 ἐμπυρεύματι K  τοῦ] τῶν BEMA (v)  ἀνθρώπων om. F  18 ὑπολειφθέντος BEMA  ὃ] καὶ D, ὃ om. BEM  τῶν om. Barb.  ἔλαχον BEMK  19 ἀντίμιμος BEM  γεγονὸς AGHP Barb.: γεγονὼς ceteri  δυνάμεως codd.: δυνάμεων v  20 γεννητή VO, γεννητῇ K, γενητῆς Barb.  Φίλωνος περὶ τοῦ βίου μωυσέως λόγος β' subscr. B  lacunam statuit Massebieau

13—20 D[R] fol. 33[v] τοῦ αὐτοῦ (Φίλωνος) περὶ κοσμοποιίας (sic) D[L] fol. 38[r] τοῦ αὐτοῦ: ἀγαθῶν ἀνδρῶν ἐστιν ἀριστεῖα — ἐκφυγόντες, ἀλλὰ καὶ παλιγγενεσίας ἐγένοντο ἡγεμόνες καὶ δευτέρας ἀρχηγέται περιόδου, ἐν τῷ κατὰ τῶν στοιχείων νεωτερισμῷ τοῖς πανταχοῦ πᾶσιν ἐπιτειχισθέντι, καθάπερ ἐμπυρεύματα — ἔλαχε, κατὰ τὸν βίον γένος θεοῦ δυνάμεως καὶ εἰκὼν τῆς ἀοράτου καὶ ἀιδίου φύσεως.  12—217,10 pergit Barb. IV 56: καὶ πάλιν: ταῦτα — κατὰ τὴν ἱερωσύνην πάντα.

66 (1.) | Δύο μὲν ἤδη μέρη τοῦ βίου Μωυσέως διεξεληλύθαμεν, τό p. 145 M.
τε περὶ βασιλείας καὶ νομοθετικῆς· τρίτον δὲ προσαποδοτέον τὸ περὶ
ἱερωσύνης. ὃ τοίνυν μέγιστον καὶ ἀναγκαιότατον ἀρχιερεῖ προσεῖναι δεῖ,
τὴν εὐσέβειαν, ἐν τοῖς μάλιστα οὗτος ἤσκησεν ἅμα καὶ φύσεως εὐμοιρίᾳ
χρησάμενος, ἣν ὥσπερ ἀγαθὴν ἄρουραν φιλοσοφία παραλαβοῦσα δογμάτων
θεωρίᾳ παγκάλων ἐβελτίωσε καὶ οὐ πρότερον ἀνῆκεν ἢ τελειογονηθῆναι
67 τοὺς ἀρετῆς καρποὺς διά τε λόγων καὶ πράξεων. τοιγαροῦν μετ' ὀλίγων
ἄλλων φιλόθεός τε καὶ θεοφιλὴς ἐγένετο, καταπνευσθεὶς ὑπ' ἔρωτος
οὐρανίου καὶ διαφερόντως τιμήσας τὸν ἡγεμόνα τοῦ παντὸς καὶ ἀντι-
τιμηθεὶς ὑπ' αὐτοῦ· τιμὴ δ' ἁρμόττουσα σοφῷ θεραπεύειν τὸ πρὸς ἀλή-
θειαν ὄν· ἱερωσύνη δὲ θεραπείαν ἐπιτετήδευκε θεοῦ. τούτου τοῦ γέρως,
οὗ μεῖζον ἀγαθὸν ἐν τοῖς οὖσιν οὐκ ἔστιν, ἠξιοῦτο χρησμοῖς ἕκαστα τῶν
68 εἰς τὰς λειτουργίας καὶ ἱερὰς ὑπηρεσίας ἀναδιδασκόμενος. (2.) ἔδει δὲ
πρότερον ὥσπερ τὴν ψυχὴν καὶ τὸ σῶμα καθαρεῦσαι, μηδενὸς πάθους
προσαψάμενον, ἀλλ' ἁγνεύσαντα ἀπὸ πάντων ὅσα τῆς θνητῆς ἐστι
69 φύσεως, σιτίων καὶ ποτῶν καὶ τῆς πρὸς γυναῖκας ὁμιλίας. ἀλλὰ ταύ-
της μὲν ἐκ πολλῶν χρόνων κατεφρόνησε καὶ σχεδὸν ἀφ' οὗ τὸ πρῶτον
ἤρξατο | προφητεύειν καὶ θεοφορεῖσθαι, προσῆκον ἡγούμενος ἕτοιμον p. 146 M.
ἐμπαρέχειν ἀεὶ τοῖς χρησμοῖς ἑαυτόν· σιτίων δὲ καὶ ποτῶν ἐπὶ ἡμέρας
τεσσαράκοντα ἑξῆς ἠλόγησε, δηλονότι τροφὰς ἔχων ἀμείνους τὰς διὰ
θεωρίας, αἷς ἄνωθεν ἀπ' οὐρανοῦ καταπνεόμενος τὴν μὲν διάνοιαν τὸ
πρῶτον, ἔπειτα δὲ καὶ τὸ σῶμα διὰ τῆς ψυχῆς ἐβελτιοῦτο, καθ' ἑκάτερον

1 incipit hic in codicibus et editionibus liber tertius, ego libros II et III in unum coniunxi φίλωνος περὶ τοῦ βίου μωσέως λόγος γ' BEMG, φίλωνος ἰουδαίου περὶ βίου μωσέως A, τοῦ αὐτοῦ περὶ τοῦ βίου μωυσέος λόγος γ' P, φίλωνος περὶ τοῦ βίου μωσέως λόγος τρίτος (ss. περὶ ἱερωσύνης λόγος τρίτος) H, περὶ ἱερωσύνης λόγος γ' VO, tit. om. K, τοῦ αὐτοῦ περὶ τῆς μωσέως ἱερωσύνης F ἤδη] εἴδη A μέρη om. A μωσέως BEMA Barb., μωυσέος FGHP μωσέως τοῦ βίου transp. A (v) διεληλύθαμεν M 2 τε om. A (v) ἀποδοτέον Barb. 3 δεῖ corr. ex δὴ A 4 οὗτος] αὐτὸς A (Turn.) 5 παραλαμβάνουσα A 6 παγκάλως AFGHP Barb. (Turn.) ἢ] ἣ Barb., om. A. τελείους γενηθῆναι G 7 τοὺς τῆς ἀρετῆς G post τοιγαροῦν add. ὁ Barb. 7. 8 ὀλίγους ἄλλους V²OK
ϊ
8 ἐγένετο A 9 οὐρανίου om. in lac. Barb. 10 δὲ VOK 12 ἐπ' ἀγαθὸν (sic) P ἠξιοῦται (sic) M 14 καθαρεῦσαι] θεραπεῦσαι Barb. 15 ἁγνεύσαντα VOKG: ἁγνεῦσαν BEFHP, ἁγνεῦσαι MA Barb. (v) ἐστι om. K Barb. 16. 17 ταύτης] ὅταν Barb. 18 θεοφορεῖσθαι] ἐμφορᾶσθαι Barb. 19 αἰεὶ A, ἀεὶ om. Barb. δὲ] τε A (v) 19. 20 τεσσαράκοντα ἡμέρας transp. A (v), τεμηφαγόντα (sic) ἡμέρας Barb. 20 δῆλον ὅτι Barb. τροφὰς om. H[1], ss. H[2] τὰς — οὐρανοῦ (21) om. in lac. Barb. 22 δὲ AF: om. ceteri ἐβελτιοῦτο om. in lac. Barb.

πρός τε ἰσχὺν καὶ εὐεξίαν ἐπιδιδούς, ὡς τοὺς ἰδόντας ὕστερον ἀπιστεῖν.
εἰς γὰρ ὄρος ὑψηλότατον καὶ ἱερώτατον τῶν περὶ τὸν τόπον ἀνελθὼν 70
προστάξεσι θείαις, ὅπερ ἀπρόσιτον καὶ ἄβατον ἦν, εἰς ἐκεῖνον λέγεται διαμεῖναι τὸν χρόνον οὐδὲν ἐπιφερόμενος τῶν εἰς ἀναγκαίας ἀπόλαυσιν τροφῆς ⟨καὶ⟩ ἡμέραις ὕστερον, ὡς ἐλέχθη, τεσσαράκοντα κατέβαινε πολὺ καλλίων τὴν ὄψιν ἢ ὅτε ἀνῄει, ὡς τοὺς ὁρῶντας τεθηπέναι καὶ καταπεπλῆχθαι καὶ μηδ' ἐπὶ πλέον ἀντέχειν τοῖς ὀφθαλμοῖς δύνασθαι κατὰ τὴν προσβολὴν ἡλιοειδοῦς φέγγους ἀπαστράπτοντος.

(3.) Ἔτι δ' ἄνω διατρίβων ἐμυσταγωγεῖτο παιδευόμενος τὰ κατὰ 71
τὴν ἱερωσύνην πάντα καὶ πρῶτα, ἃ δὴ καὶ πρῶτα τῇ τάξει, τὰ περὶ
τὴν τοῦ ἱεροῦ καὶ τῶν ἐν αὐτῷ κατασκευήν. εἰ μὲν οὖν τὴν χώραν, 72
εἰς ἣν μετανίσταντο, ἤδη παρειλήφεσαν, ἀναγκαῖον ἦν ἱδρύσασθαι περισημότατον νεὼν ἐν τῷ καθαρωτάτῳ λίθων πολυτελῶν ὕλης καὶ περὶ αὐτὸν τείχη μεγάλα δείμασθαι καὶ νεωκόροις παμπληθεῖς οἰκίας, ὀνομάσαντας ἱερόπολιν τὸν τόπον. ἐπεὶ δ' ἔτι κατὰ τὴν ἐρήμην ἐπλάζοντο, 73
τοῖς μήπω παγίως ἱδρυθεῖσιν ἥρμοττε φορητὸν ἔχειν ἱερόν, ἵν' ἐν ταῖς ὁδοιπορίαις καὶ στρατοπεδείαις ἀνάγωσι θυσίας καὶ τὰ ἄλλα ὅσα κατὰ τὰς ἱερουργίας δρῶσι μηδενὸς ἀμοιροῦντες ὧν χρὴ τοὺς ἐν πόλεσιν
οἰκοῦντας. σκηνὴν οὖν, ἔργον ἱερώτατον, δημιουργεῖν ἔδοξεν, ἧς τὴν 74
κατασκευὴν θεσφάτοις λογίοις ἐπὶ τοῦ ὄρους Μωυσῆς ἀνεδιδάσκετο, τῶν

1 ἀπιστεῖν—ὑψηλότατον (2) om. in lac. Barb. 2 τῶν] τὸν Turn. ἐλθὼν BEMVOK 3 καὶ ἄβατον om. BEMVOK ἦν om. A ἐκεῖνον A: ἐκεῖνο GHP Barb., δ καὶ ceteri 4 τοσοῦτον add. ante χρόνον V²OK ἀναγκαίαν A (v) 5 καὶ add. Turn. τετταράκοντα A Barb. κατέβαινε] κατῄει BEMVOK 5. 6 πολὺ καλλίων τὴν ὄψιν om. in lac. Barb., πολὺ — ἀνῄει om. BEM 6 καλλίω AF 7 μηδ'] μηδὲν A (v), μὴ M 9 παιδευόμενος om. H τὰ om. A (Turn.) 10 pr. καὶ πρῶτα om. A (Turn.) δὴ] δεῖ A (Turn.) alt. καὶ πρῶτα codd.: καὶ om. Mang. 11 τὴν AHP: om. ceteri τῶν AF: τὴν ceteri ἐν αὐτῷ om. F εἰ AF: εἰς ceteri 12 μετανίστατο F ἤδη AF: ἦν δὴ ceteri ⟨ἂν⟩ ἦν coni. Mang. 12. 13 παρασημότατον V²OK 13 ἐν eras. V, om. OK ἐκ λίθων VOK 14 αὐτὸν FGHP: αὐτῶν K, αὐτῷ ceteri; αὐτὸ v νεωκόρους A πλη                                                                               μπληθεῖς (sic) E (πανπληθεῖς supra), πολυπληθεῖς BM 14. 15 ὀνομάσαντες BEMV¹, ὀνομάσαι τε V²OK ἱεροπολεῖν (sic) οἰκίας ὀνομάσαντας transp. A 15 ἱεράπολιν V² ἐπελάζοντο A 16 παγίοις B¹EV¹F, πλαγίως P ἱδρυνθεῖσιν VKF 17 στρατοπεδίαις H ἀνάγωσι θυσίας FGHP: ἀνάγοι θυσίας A, ἄγωσι θυσίας ceteri; θυσίας ἀνάγωσι v τἄλλα HP, τἄλλ' AG 18 τὰς] τῆς F μηδὲν FH ἀμοιροῦντας G 19 δημιουργεῖν ἔδοξεν om. G ἔδοξαν K τὴν om. AH¹P 20 λόγοις Turn.

2 Exod. 24,18. 34,28 5—8 Exod. 34,29 sqq.

μελλόντων ἀποτελεῖσθαι σωμάτων ἀσωμάτους ἰδέας τῇ ψυχῇ θεωρῶν,
πρὸς ἃς ἔδει καθάπερ ἀπ' ἀρχετύπου γραφῆς καὶ νοητῶν παραδειγμάτων
75 αἰσθητὰ μιμήματα ἀπεικονισθῆναι. προσῆκον γὰρ ἦν τῷ ὡς ἀληθῶς
ἀρχιερεῖ καὶ τὴν τοῦ ἱεροῦ κατασκευὴν ἐπιτραπῆναι, ἵν' ἐκ πολλοῦ τοῦ
περιόντος ἡρμοσμένας καὶ συμφώνους τοῖς δημιουργηθεῖσι ποιῆται τὰς
76 ἐν τῷ ἱερᾶσθαι λειτουργίας. (4.) ὁ μὲν οὖν τύπος τοῦ παραδείγματος
ἐνεσφραγίζετο τῇ διανοίᾳ τοῦ προφήτου διαζωγραφούμενος καὶ προ-
διαπλαττόμενος ἀφανῶς ἄνευ ὕλης ἀοράτοις εἴδεσι· τὸ δ' ἀποτέλεσμα
πρὸς τὸν τύπον ἐδημιουργεῖτο, ἐναποματτομένου τὰς σφραγῖδας τοῦ
77 τεχνίτου ταῖς προσφόροις ἑκάστων ὑλικαῖς οὐσίαις. ἦν δ' ἡ κατασκευὴ
τοιάδε· ὀκτὼ καὶ τεσσαράκοντα κίονες κέδρου | τῆς ἀσηπτοτάτης ἀπὸ p. 147 M.
στελεχῶν κοπέντες εὐερνεστάτων περιεβάλλοντο χρυσῷ βαθεῖ· κἄπειθ'
ἑκάστῳ δύο ἀργυραῖ βάσεις ὑπηρείδοντο καὶ κατὰ τὸ ἀκροκιόνιον ἐφηρμό-
78 ζετο χρυσῆ κεφαλίς. εἰς μὲν οὖν τὸ μῆκος τεσσαράκοντα κίονας διέ-
ταττεν ὁ τεχνίτης, ἑκατέρωθεν τοὺς ἡμίσεις εἴκοσι, μηδὲν ἐν μέσῳ
διάστημα ποιούμενος, ἀλλ' ἑξῆς ἐφαρμόζων καὶ συνάπτων, ἵν' οἷα τείχους
ὄψις μία προφαίνηται· εἰς δὲ τὸ πλάτος ἐσώτατον τοὺς λοιποὺς ὀκτώ,
ἓξ μὲν κατὰ τὴν μέσην χώραν, δύο δ' ἐν ταῖς παρ' ἑκάτερα τῆς μέσης
γωνίαις, τὸν μὲν ἐπὶ δεξιά, τὸν δ' ἐπ' εὐώνυμα· κατὰ δὲ τὴν εἴσοδον
ἄλλους τέσσαρας, τὰ μὲν ἄλλα ὁμοίους, μίαν δ' ἀντὶ δυοῖν ἔχοντας
βάσιν τῶν ἐξ ἀντικρύ, μεθ' οὓς ἐξωτάτω πέντε μόναις ταῖς βάσεσι δια-
79 φέροντας, χαλκαῖ γὰρ ἦσαν· ὥστε τῆς σκηνῆς τοὺς σύμπαντας εἶναι,
δίχα τῶν ἐν ταῖς γωνίαις δυοῖν ἀφανῶν, πέντε καὶ πεντήκοντα ἐμφανεῖς,
τὸν ἀπὸ μονάδος ἄχρι δεκάδος τῆς παντελείας συμπληρούμενον ἀριθμόν.

1 σωμάτων] σχημάτων coni. Mang. ἀσωμάτους] ἀσωμάτων K 2 ἀπ' om. BEM 3 τῷ] τῶν K ὡς om. A 5 ποιεῖται OP (Turn.) 7 ἐνεσφραγίζεται (sic) M 7. 8 διαπλαττόμενος BEMF 9 τὸν om. A 10 τεχνήτου A ἑκάστω BEMA (v) δὲ A 11 ἀσηπτοτάτου F 11. 12 ἀποστελέχων F 12 κἄπειτα A 13 ὑπερείδοντο A, ὑπερείδοντο (η) MF (v) 14. 15 διέταττεν AFGHP: συνέταττεν ceteri 15 τεχνήτης A ἑκατέρωθεν δὲ BM 17 ἐσώτατον πλάτος transp. A (v) ἐσώτατον suspectum (Wendl.) 18 ταῖς] τοῖς (ας) A (Turn.) 19 γωνίαις BV²OKG: γωνίαις M, γωνίας ceteri (Turn.) δεξιᾶ K δὲ VOKHP ἐπὶ VK εὐώνυμον K 20 τέτταρας AP δυεῖν VOKF 21 ἐξ] ἓξ AVK ἄντικρυς VOKFH¹P μόναις AFGHP: μόνον ceteri 23 δυεῖν VOK 24 ἄχρι] μέχρι A (v) συμπληροῦντας V²OK

11 sqq. Exod. 26,18 sqq. — cf. *Ioseph. Ant. Iud. III § 116 sqq.*

εἰ δὲ βουληθείη τις τοὺς ἐν τῷ προπυλαίῳ πέντε τῷ ὑπαίθρῳ συνάπ- 80
τοντας, ὃ κέκληκεν αὐλήν, τιθέναι χωρίς, ἀπολειφθήσεται ὁ ἁγιώτατος πεντηκοντάδος ἀριθμός, δύναμις ὢν τοῦ ὀρθογωνίου τριγώνου, ὅπερ ἐστὶ τῆς τῶν ὅλων γενέσεως ἀρχή, συμπληρωθεὶς ἐκ τῶν ἐντὸς κιόνων, τεσσαράκοντα μὲν τῶν καθ' ἑκατέραν πλευρὰν εἴκοσιν, ἓξ δὲ τῶν ἐν μέσῳ δίχα τῶν παρὰ ταῖς γωνίαις ἀποκεκρυμμένων, τεσσάρων δὲ τῶν
ἀντικρύ, ἐφ' ὧν τὸ καταπέτασμα. τὴν δ' αἰτίαν, ἧς ἕνεκα τοὺς πέντε 81
τοῖς πεντήκοντα συγκατατάττω καὶ χωρὶς αὐτῶν τίθημι, δηλώσω. ἡ πεντὰς αἰσθήσεων ἀριθμός ἐστιν, αἴσθησις δ' ἐν ἀνθρώπῳ τῇ μὲν νεύει πρὸς τὰ ἐκτός, τῇ δὲ ἀνακάμπτει πρὸς νοῦν ὑπηρέτις οὖσα
φύσεως νόμοις αὐτοῦ. διὸ καὶ τὴν μεθόριον χώραν ἀπένειμε τοῖς 82
πέντε· τὰ μὲν γὰρ ἐντὸς αὐτῶν ἐκνένευκε πρὸς τὰ ἄδυτα τῆς σκηνῆς, ἅπερ ἐστὶ συμβολικῶς νοητά, τὰ δ' ἐκτὸς πρὸς τὸ ὕπαιθρον καὶ τὴν αὐλήν, ἅπερ ἐστὶν αἰσθητά· παρὸ καὶ ταῖς βάσεσι διήνεγκαν, χαλκαῖ γάρ εἰσιν· ἐπεὶ δὲ τῆς ἐν ἡμῖν αἰσθήσεως κεφαλὴ μὲν καὶ ἡγεμονικὸν ὁ νοῦς, ἐσχατιὰ δὲ καὶ ὡσανεὶ βάσις τὸ αἰσθητόν, εἴκασε δὴ
τὸν μὲν νοῦν χρυσῷ, χαλκῷ δὲ τὸ αἰσθητόν. μέτρα δὲ τῶν κιόνων 83
ταῦτα· δέκα μὲν πήχεις τὸ μῆκος, εἷς δὲ καὶ ἥμισυς τὸ εὖρος, ἵν' ἡ σκηνὴ πᾶσι τοῖς μέρεσιν ἴση προφαίνηται.

p. 148 M. (5.) | Παγκάλοις δὲ καὶ ποικίλοις ὑφάσμασιν αὐτὴν περιέβαλεν, 84
ὑακίνθῳ καὶ πορφύρᾳ καὶ κοκκίνῳ καὶ βύσσῳ καταχρώμενος εἰς τὴν

1 τῷ ὑπαίθρῳ om. A    1. 2 συναπτοὺς V²OK    3 τριγωνίου HP    4 ἐντὸς] ἐκτὸς M, ὀκτὼ BEGHP (Turn.)    5 καθ' ἑτέραν P    post πλευρὰν interpung. BEM    εἴκοσιν, ἓξ δὲ] εἴκοσι δ' ἐκ BEM    6 παρὰ] ἐν A (v)    7 ἄντικρυς VOKFH¹P    7. 8 τοῖς πέντε τοὺς G    8 συγκατατάττων GH² (Turn.)    9 ἐν AHP: om. ceteri    9. 10 τῇ — τῇ] πῆ — πῆ A (v)    10 νεύει AGHP: νεύειν ceteri    ἐκτός] ἐκ τῆς M    δ' VOK    ἀνακάμπτει AGHP: ἀνακάμπτειν ceteri    πρὸς τὸν νοῦν A (v)    11 νόμοις] ναὶ μὴν καὶ V²OK    αὐτοῦ νόμοις transp. F    12 ἐντὸς] ἐκτὸς EF    ἐννένευκε VOK    14 διήνεγκε HP    15 εἰσιν] ἦσαν coni. Mang. coll. 218,22    ἐπεὶ δὲ AFGH¹P: ἐπὶ δὲ BEMV¹H², ἐπειδὴ V²OK    κεφαλὴ] κεφάλαιον H (v)    16 ἐσχατιὰ AFGHP: ἐσχατιαὶ ceteri    βάσις AFGHP: βάσεις ceteri    τὰ αἰσθητὰ V²OK    ὅθεν καὶ add. ante εἴκασε V²OK    εἴκασε — αἰσθητόν (17) om. BEM    εἴκασον A    δὴ A: δὲ FGHP, om. VOK    18 post μῆκος add. ἑκάστω V²OK    εἷς V²OK: εἰς A, πέντε ceteri (Turn.)    δὲ καὶ] δέκα A    ἥμισυς V²OK: ἥμισυ ceteri (v)    19 προφέρηται A    20 δὲ om. BEM    περιέβαλεν] περιεκάλεσεν F    21 κοκκίνω καὶ πορφύρα transp. GHP    καταχρούμενος V²K    εἰς] αὐτῶν V²OK

18 Exod. 26,16    20 sqq. Exod. 26,1 sqq.

ὑφήν. δέκα γὰρ ἃς διὰ τῆς ἱερᾶς γραφῆς ὠνόμασεν αὐλαίας ἐκ τῶν ἀρτίως λεχθέντων γενῶν ἐδημιούργει, μήκει μὲν ὀκτὼ καὶ εἴκοσι πηχῶν ἑκάστην, εἰς δὲ τέσσαρας πήχεις πρὸς εὖρος ἀποτείνων, ἵνα καὶ δεκάδα ἔχωσι τὴν παντέλειαν καὶ τετράδα τὴν δεκάδος οὐσίαν καὶ τὸν ὀκτὼ καὶ εἴκοσιν ἀριθμὸν τέλειον ἴσον τοῖς ἑαυτοῦ μέρεσι καὶ τεσσαρακοντάδα τὴν ζῳογονικωτάτην, ἐν ᾗ διαπλάττεσθαί φασιν ἄνθρωπον ἐν τῷ τῆς
85 φύσεως ἐργαστηρίῳ. οἱ μὲν οὖν ὀκτὼ καὶ εἴκοσι πήχεις τῶν αὐλαιῶν τοιαύτην ἔχουσι τὴν διανομήν· δέκα μὲν κατὰ τὸν ὄροφον — τοσοῦτον γάρ ἐστι τῆς σκηνῆς τὸ εὖρος —, οἱ δὲ λοιποὶ κατὰ τὰς πλευράς, ἑκατέρωθεν ἐννέα, πρὸς σκέπην ἀποτείνονται τῶν κιόνων, ὑπολειπομένου πήχεως ἀπὸ τοῦ ἐδάφους, ἵνα μὴ ἐπισύρηται ⟨τὸ⟩ πάγκαλον καὶ ἱεροπρεπὲς
86 ὕφασμα. τῶν δὲ τεσσαράκοντα, οἳ συναριθμοῦνται ἐκ τοῦ τῶν δέκα αὐλαιῶν πλάτους, τριάκοντα μὲν ἀπολαμβάνει τὸ μῆκος — τοσοῦτον γάρ ἐστι καὶ ⟨τὸ⟩ τῆς σκηνῆς —, ἐννέα δὲ ὁ ὀπισθόδομος, τὸν δὲ λοιπὸν τὸ κατὰ τὸ προπύλαιον, ἵνα δεσμὸς ᾖ τοῦ ὅλου περιβλήματος· ἐπὶ δὲ τοῦ
87 προπυλαίου τὸ καταπέτασμα. σχεδὸν δὲ καὶ αἱ αὐλαῖαι καταπετάσματ' εἰσίν, οὐ μόνον τῷ τὸν ὄροφον καὶ τοὺς τοίχους καλύπτειν, ἀλλὰ καὶ τῷ συνυφάνθαι γένεσι τοῖς αὐτοῖς, ὑακίνθῳ καὶ πορφύρᾳ καὶ κοκκίνῳ καὶ βύσσῳ. ἐκ δὲ τῶν αὐτῶν τό τε καταπέτασμα καὶ τὸ λεγόμενον κάλυμμα κατεσκευάζετο, τὸ μὲν εἴσω κατὰ τοὺς τέσσαρας κίονας, ἵν' ἐπικρύπτηται τὸ ἄδυτον, τὸ δ' ἔξω κατὰ τοὺς πέντε, ὡς μηδεὶς ἐξ ἀπόπτου δύναιτο
88 τῶν μὴ ἱερωμένων καταθεάσασθαι τὰ ἅγια. (6.) τὰς δὲ τῶν ὑφασμάτων

1 γὰρ] δὲ A, μὲν γὰρ V²OK ἱερᾶς AGHP: om. ceteri αὐλαίας] αὐλαὶ ὡς BEMV¹ 3 πρὸς] τὸ BEMG (Mang.) ἀνατείνων A (v) δεκάδα] δέκα E 4 παντέλειον VOK 5 αὐτοῦ A καὶ τὴν τεσσαρακοντάδα A (v) 6 ζωογονωτάτην corr. ex ζωογονικωτάτην A φησιν M 7 ὀκτὼ καὶ εἴκοσι] κη´ VOK, εἰκοσιοκτὼ A (v) 8 ἔχοντες P κατὰ τῶν ὀρόφων VOK, κατ' ὄροφον A 9 κατὰ] παρὰ A (v) 10 ἀποτείνονται AFGHP: ἀποτεινόντων BEMV¹, ἀποτείνοντες V²OK ὑπολειπόμενοι οὐ BEM, ὑπολειπόμενοι P 11 πήχεος BEM, πήχεως O ἀνασύρηται A (v) τὸ add. Mang. πᾶν καλὸν A 12 ἐκ τοῦ om. BEM 14 τὸ add. Mang. δ' BEMGHP ὁ ὀπισθόδομος VOKG: ὁ om. ceteri ὀπισθοδόμοις A τὸ δὲ λοιπὸν AGHP, τῶν δὲ λοιπῶν V¹ τὸ om. AVOK 15 κατὰ eras. V², om. OK πρόπυλον A 16 προπύλου AVOK καὶ om. A 16. 17 καταπετάσματα VOKF, καταπετάσμασιν A 17 τῷ] τὸ M, τῶν K τείχους A καλύπτειν] κάμπτειν KF 18 τῷ] τὸ M συνυφᾶσθαι VOK ὑακινθίνῳ HP 20 κατεσκευάζετο AGHP: κατασκευάζεται ceteri 22 καταθεάσασθαι AGHP: καταθεᾶσθαι ceteri (Mang.)

ὕλας ἀριστίνδην ἐπέκρινεν ἐκ μυρίων ὅσων ἑλόμενος τοῖς στοιχείοις ἰσαρίθμους, ἐξ ὧν ἀπετελέσθη ὁ κόσμος, καὶ πρὸς αὐτὰ λόγον ἐχούσας, γῆν καὶ ὕδωρ καὶ ἀέρα καὶ πῦρ· ἡ μὲν γὰρ βύσσος ἐκ γῆς, ἐξ ὕδατος δ' ἡ πορφύρα, ἡ δ' ὑάκινθος ἀέρι ὁμοιοῦται — φύσει γὰρ μέλας οὗτος —, τὸ δὲ κόκκινον πυρί, διότι φοινικοῦν ἑκάτερον· ἦν γὰρ ἀναγκαῖον ἱερὸν χειροποίητον κατασκευάζοντας τῷ πατρὶ καὶ ἡγεμόνι p. 149 M. τοῦ παντὸς τὰς ὁμοίας | λαβεῖν οὐσίας, αἷς τὸ ὅλον ἐδημιούργει.

Ἡ μὲν οὖν σκηνή, καθάπερ νεὼς ἅγιος, τὸν εἰρημένον τρόπον 89 κατεσκευάσθη. τέμενος δ' αὐτῆς ἐν κύκλῳ περιεβάλετο πηχῶν μῆκος ἑκατὸν καὶ πλάτος πεντήκοντα, κίονας ἔχον ἀφεστῶτας ἴσον ἀλλήλων διάστημα πέντε πήχεις, ὡς τοὺς μὲν σύμπαντας ἑξήκοντα εἶναι, διανέμεσθαι δ' εἰς μὲν τὸ μῆκος τεσσαράκοντα, πρὸς δὲ τὸ εὖρος εἴκοσι,

---

1 ὕλας] ἰδέας A   ὅσον AP   2 ἐχούσας AFGHP: ἔχοντας ceteri   3 καὶ ἀέρα om. V¹, ἀέρα ss. V², ἀέρα καὶ πῦρ O, καὶ πῦρ ἀέρα K   4 ἡ δ' ὑάκινθος codd.: ὁ δ' ὑάκινθος v   6 ἱερὸν] om. BEMV¹, σκηνὴν V²OK   κατασκευάζοντας χειροποίητον transp. A (v)   κατασκευάζοντας AFGHP: κατασκευάζοντα ceteri   πατρὶ AGHP: πατρὶ τῶν ὅλων ceteri   7 ἐδημιουργεῖτο coni. Mang.   8 τῷ εἰρημένῳ τρόπῳ VOK   9 περιεβάλλετο AH (v)   πηχέων VOK   μῆκος πηχῶν transp. HP   10 ἑκατὸν] ρ' VOK, ὀκτὼ BEM   ἔχων Turn.   ἐφεστῶτας P   11 σύμπαντας AFGHP: πάντας ceteri   12 δὲ K   τετταράκοντα AF, μ' VOK   εἴκοσι] ὀκτὼ H (Turn.)

---

1 sqq. *Ioseph. Ant. Iud. III § 183* τά τε φάρση ἐκ τεσσάρων ὑφανθέντα τὴν τῶν στοιχείων φύσιν δηλοῖ· ἥ τε γὰρ βύσσος τὴν γῆν ἀποσημαίνειν ἔοικεν διὰ τὸ ἐξ αὐτῆς ἀνεῖσθαι τὸ λίνον, ἥ τε πορφύρα τὴν θάλασσαν τῷ πεφοινῖχθαι τῶν ἰχθύων τῷ αἵματι, τὸν δὲ ἀέρα βούλεται δηλοῦν ὁ ὑάκινθος, καὶ ὁ φοῖνιξ δ' ἂν εἴη τεκμήριον τοῦ πυρός. cf. *Bell. Iud. V § 212* πρὸ δὲ τούτων (θυρῶν τοῦ ναοῦ) ἰσόμηκες καταπέτασμα πέπλος ἦν Βαβυλώνιος, ποικιλτὸς ἐξ ὑακίνθου καὶ βύσσου κόκκου τε καὶ πορφύρας, θαυμαστῶς μὲν εἰργασμένος, οὐκ ἀθεώρητον δὲ τῆς ὕλης τὴν κρᾶσιν ἔχων, ἀλλ' ὥσπερ εἰκόνα τῶν ὅλων. (213) ἐδόκει γὰρ αἰνίττεσθαι τῇ κόκκῳ μὲν τὸ πῦρ, τῇ βύσσῳ δὲ τὴν γῆν, τῇ δ' ὑακίνθῳ τὸν ἀέρα καὶ τῇ πορφύρᾳ τὴν θάλατταν, τῶν μὲν ἐκ τῆς χρόας ὁμοιουμένων, τῆς δὲ βύσσου καὶ τῆς πορφύρας διὰ τὴν γένεσιν, ἐπειδὴ τὴν μὲν ἀναδίδωσιν ἡ γῆ, τὴν δ' ἡ θάλαττα. *Clem. Alex. Strom. V 6 p. 665 P.* . . . . τό τε κάλυμμα καὶ παραπέτασμα ὑακίνθῳ καὶ πορφύρᾳ κόκκῳ τε καὶ βύσσῳ πεποίκιλτο· ᾐνίττετο δ' ἄρα ὡς ἡ τῶν στοιχείων φύσις ἐπέχει τὴν ἀποκάλυψιν τοῦ θεοῦ· ἐξ ὕδατος μὲν γὰρ ἡ πορφύρα, βύσσος δ' ἐκ γῆς, ὑάκινθός τε ὡμοίωται ἀέρι ζοφώδης ὤν, ὥσπερ ὁ κόκκος τῷ πυρί. *Origenes in Exod. homil. XIII 3 (t. IX p. 156 Lomm.)* . . . sed videamus et cetera, hyacinthum et purpuram et coccum duplicatum et byssum tortam . . . . de his dixerunt quidam ante nos . . . . ista ergo, ut et prioribus visum est, quattuor elementorum, ex quibus et mundus constat et corpus humanum, tenent figuram, id est aeris, ignis, aquae, et terrae. hyacinthus ergo ad aerem refertur — hoc enim ipse indicat color —, sicut et coccus ad ignem; purpura aquae tenet figuram, quasi quae de aquis accipiat fucum, byssus terrae, quia oritur ex terra.   9 sqq. Exod. 27,9 sqq.

90 καθ' ἑκάτερα μέρη τοὺς ἡμίσεις. ὕλη δὲ τῶν στύλων τὰ μὲν ἐντὸς κέδρος, τὰ
δ' ἐκ τῆς ἐπιφανείας ἄργυρος, ἁπάντων δ' αἱ βάσεις χαλκαῖ, καὶ τὸ ὕψος ἴσον
πέντε πηχῶν· ἔδοξε γὰρ ἁρμόττον εἶναι τῷ τεχνίτῃ συνελεῖν ὅλῳ ἡμίσει τὸ
ὕψος τῆς λεγομένης αὐλῆς, ἵν' ἡ σκηνὴ πρὸς τὸ διπλάσιον μετέωρος ἀρθεῖσα
προφαίνηται. λεπταὶ δ' ὀθόναι κατὰ τοῦ μήκους καὶ πλάτους ἦσαν ἐφαρμο-
ζόμεναι τοῖς κίοσιν ἱστίοις ἐμφερεῖς, ὑπὲρ τοῦ μηδένα τῶν μὴ καθαρῶν
91 εἰσιέναι. (7.) ἡ δὲ θέσις τοιάδε ἦν· μέση μὲν ἵδρυτο ἡ σκηνὴ μῆκος
ἔχουσα τριάκοντα πήχεις καὶ εὖρος δέκα σὺν τῷ βάθει τῶν κιόνων,
ἀφειστήκει δὲ τῆς αὐλῆς ἐκ τριῶν μερῶν ἴσῳ διαστήματι, δυοῖν μὲν
κατὰ τὰς πλευράς, ἑνὸς δὲ κατὰ τὸν ὀπισθόδομον, τὸ δὲ διάστημα ἐξ
εἴκοσι πηχῶν ἀνεμετρεῖτο· κατὰ δὲ τὸ προπύλαιον, ὡς εἰκός, ἕνεκα τοῦ
πλήθους τῶν εἰσιόντων μεῖζον ἐγίνετο διάστημα πεντήκοντα πηχῶν·
οὕτως γὰρ οἱ ἑκατὸν τῆς αὐλῆς ἔμελλον ἐκπληροῦσθαι, τῶν κατὰ τὸν
ὀπισθόδομον εἴκοσι καὶ οὓς ἀπελάμβανεν ἡ σκηνὴ τριάκοντα συντεθέντων
92 τοῖς κατὰ τὰς εἰσόδους πεντήκοντα. τὰ γὰρ προπύλαια τῆς σκηνῆς
ὡσανεὶ μέσος ὅρος ἵδρυτο διττῆς πεντηκοντάδος, τῆς μὲν κατ' ἀνατολάς,
ἔνθα αἱ εἴσοδοι, τῆς δὲ πρὸς δυσμάς, ἔνθα τό τε μῆκος τῆς σκηνῆς καὶ
93 ὁ κατόπιν περίβολος. κάλλιστον δὲ καὶ μέγιστον ἄλλο προπύλαιον ἐν
ἀρχῇ τῆς εἰς τὴν αὐλὴν εἰσόδου κατεσκευάζετο διὰ τεττάρων κιόνων,
καθ' ὧν ἐτείνετο ποικίλον ὕφασμα τὸν αὐτὸν τρόπον τοῖς εἴσω κατὰ
τὴν σκηνὴν κἀκ τῆς ὁμοίας ὕλης ἀπειργασμένον.
94 Ἅμα δὲ τούτοις ἐδημιουργεῖτο καὶ σκεύη ἱερά, κιβωτός, λυχνία,

---

1 ἑκάτερον μέρος HP στύλων] στήλων A ἐντὸς] ἐκτὸς A κέδρος AF: κέδρου ceteri 2 δ' αἱ A: om. HP, δὲ (om. αἱ) ceteri τὸ ὕψος AF: τὸ om. ceteri 3 ὅλων A 4 τὸ πλάσιον (sic) A 5 προφαίνηται V²OK (cf. 219,19): περιφαίνοιτο G, περιφαίνηται ceteri 6 τοῖς κίοσιν] τὴν κίνησιν F μὴ om. HP¹ 7 ἡ ante σκηνὴ om. AFG (v) 8 καὶ om. A δέκα σὺν om. in lac. A, δέκα suppl. man. rec. βάθει] πάχει V²OK 10 κατὰ τὰς πλευράς A: κατὰ πλευρά BE, κατὰ πλευράν ceteri 11 πήχεων BEM, πηχέων VOK ἐνεμετρεῖτο VOK ἕνεκα] ἕνα P 12 ἐγένετο BEMG 13 οὕτως AV²O: οὕτω V¹KGHP, οὗτοι BEMF 14 συντιθέντων A, συνθέτων H¹P 15 τοῖς] τῶν BEM 17 εἴσοδος (om. αἱ) A, εἴσοδοι (om. αἱ) v δυσμαῖς A (Turn.) 18 μέγιστον δὲ καὶ κάλλιστον transp. A (v) 19 τὴν om. A 20 καθ' ὧν AFGHP: καθ' ἣν ceteri ποικίλον A: τὸ ποικίλον ceteri (v) 21 ἀπειργασμένον AGHP: κατεσκευασμένον ceteri 22 ἅμα] ἄλλα F τούτοις F: τούτῳ ceteri (v)

---

18—21 Exod. 27,16

τράπεζα, θυμιατήριον, βωμός. ὁ μὲν οὖν βωμὸς ἱδρύετο ἐν ὑπαίθρῳ, τῶν εἰσόδων τῆς σκηνῆς ἀντικρύ, ἀφεστὼς τοσοῦτον ὅσον ἱκανὸν λειτουργοῖς εἶναι διάστημα πρὸς τὰς καθ' ἑκάστην ἡμέραν ἐπιτελουμένας θυσίας.

(8.) ἡ δὲ κιβωτὸς ἐν ἀδύτῳ καὶ ἀβάτῳ τῶν καταπετασμάτων εἴσω, 95
p. 150 M. κεχρυσωμένη πολυτελῶς ἔνδοθέν | τε καὶ ἔξωθεν, ἧς ἐπίθεμα ὡσανεὶ πῶμα τὸ λεγόμενον ἐν ἱεραῖς βίβλοις ἱλαστήριον. τούτου μῆκος μὲν 96
καὶ πλάτος μεμήνυται, βάθος δ' οὐδέν, ἐπιφανείᾳ γεωμετρικῇ μάλισθ' ὡμοιωμένου, ὅπερ ἔοικεν εἶναι σύμβολον φυσικώτερον μὲν τῆς ἵλεω τοῦ θεοῦ δυνάμεως, ἠθικώτερον δὲ διανοίας πάλιν, ἵλεω δ' ἑαυτῇ, τὴν πρὸς ὕψος ἄλογον αἴρουσαν καὶ φυσῶσαν οἴησιν ἀτυφίας ἔρωτι σὺν ἐπιστήμῃ στέλλειν καὶ καθαιρεῖν ἀξιούσης. ἀλλ' ἡ μὲν κιβωτὸς ἀγγεῖον νόμων 97
ἐστίν· εἰς γὰρ ταύτην κατατίθεται τὰ χρησθέντα λόγια· τὸ δ' ἐπίθεμα τὸ προσαγορευόμενον ἱλαστήριον βάσις ἐστὶ πτηνῶν δυοῖν, ἃ πατρίῳ μὲν γλώττῃ προσαγορεύεται Χερουβίμ, ὡς δ' ἂν Ἕλληνες εἴποιεν, ἐπίγνωσις καὶ ἐπιστήμη πολλή. ταῦτα δέ τινες μέν φασιν εἶναι σύμβολα τῶν 98
ἡμισφαιρίων ἀμφοῖν κατὰ τὴν ἀντιπρόσωπον θέσιν, τοῦ τε ὑπὸ γῆν καὶ ὑπὲρ γῆν· πτηνὸν γὰρ ὁ σύμπας οὐρανός. ἐγὼ δ' ἂν εἴποιμι δηλοῦσθαι 99
δι' ὑπονοιῶν τὰς πρεσβυτάτας καὶ ἀνωτάτω δύο τοῦ ὄντος δυνάμεις,

1 βωμός — βωμὸς] βωμὸς δὲ (cet. om.) A οὖν om. F ἱδρύετο GHP: ἵδρυτο ceteri (v) 2 ἄντικρυς VOKF ἀφεστῶτος BEM post ἱκανὸν add. ἦν HP (v) 3 ἡμέρας (sic) H τελουμένας GH 4 ἀδύτοις P καταπετάσματι F ἔσω A 5 τε FGHP: om ceteri ἔξω V¹K ⟨καὶ⟩ ὡσανεὶ coni. Mang. 7 δὲ VOK μάλισθ' AGHP: μάλιστα ceteri 8 ὡμοιωμένου FGP: ὡμοιωμένον H, ὁμοιουμένου A, ὁμοιούμενον ceteri (v) 9 δὲ om. M πάλιν om. VOK ἵλεω δ' ἑαυτῇ FGHP: ἵλεω δ' αὐτῇ BEM, ἵλεω αὐτῆς A, τὴν αὐτὴν ἵλεω τοῦ θεοῦ δύναμιν V²OK; ἵλεω δ' ἑαυτῇ αὐτῆς v 11 συστέλλειν BEMF ἀγγεῖον] αἰτία A τῶν νόμων A (v) 12 ἐστίν om. VOK κατατίθενται AGHP 13 πτηνῶν codd.: τῶν πτηνῶν v δυεῖν VOK, δύο A πατρίῳ] πατρῷα A; πατρίᾳ v 15 μέν om. M, φασὶ μὲν transp. VOK εἶναι om. M σύμβολον P 16 ὑπὸ γῆν codd.: ὑπὸ γῆς v 17 τοῦ add. ante ὑπὲρ V²OK ὑπὲρ γῆς FGH πτηνῶν VOKM (Turn.) γὰρ] μὲν VOK

1—3 Exod. 27,1 sqq. 1 *Procop. Gaz. Comment. in Exod. 27,1* (Migne t. 87,1 Col. 640): θυσιαστήριον δέ, φασί, καλεῖ τὸν ἐν ὑπαίθρῳ βωμόν, τῶν εἰσόδων τῆς σκηνῆς ἄντικρυς, ἀφεστῶτα τοσοῦτον ὅσον ἱκανὸν λειτουργοῖς εἶναι διάστημα πρὸς τὰς καθ' ἑκάστην ἡμέραν ἐπιτελουμένας θυσίας. 4. 5 Exod. 25,9 sqq. 6 sqq. Exod. 25,16 sqq. 14—17 *Clem. Alex. Strom. V 6 p. 667 P.*: ναὶ μὴν καὶ τὰ χρυσᾶ ἐκεῖνα ἀγάλματα, ἑξαπτέρυγον ἑκάτερον αὐτῶν, εἴτε τὰς δύο ἄρκτους, ὡς βούλονταί τινες, ἐμφαίνει, εἴτε, ὅπερ μᾶλλον, τὰ δύο ἡμισφαίρια, ἐθέλει δὲ τὸ ὄνομα τῶν Χερουβὶμ δηλοῦν ἐπίγνωσιν πολλήν.

τήν τε ποιητικὴν καὶ βασιλικήν· ὀνομάζεται δ' ἡ μὲν ποιητικὴ δύναμις
αὐτοῦ θεός, καθ' ἣν ἔθηκε καὶ ἐποίησε καὶ διεκόσμησε τόδε τὸ πᾶν, ἡ δὲ
βασιλικὴ κύριος, ᾗ τῶν γενομένων ἄρχει καὶ σὺν δίκῃ βεβαίως ἐπικρατεῖ.
100 μόνος γὰρ πρὸς ἀλήθειαν ὢν καὶ ποιητής ἐστιν ἀψευδῶς, ἐπειδὴ τὰ μὴ ὄντα
ἤγαγεν εἰς τὸ εἶναι, καὶ βασιλεὺς φύσει, διότι τῶν γεγονότων οὐδεὶς ἂν
101 ἄρχοι δικαιότερον τοῦ πεποιηκότος. (9.) ἐν δὲ τῷ μεθορίῳ τῶν τεσσάρων
καὶ πέντε κιόνων, ὅπερ ἐστὶ κυρίως εἰπεῖν πρόναον εἰργόμενον δυσὶν
ὑφάσμασι, τῷ μὲν ἔνδον ὃ καλεῖται καταπέτασμα, τῷ δ' ἐκτὸς ὃ προσαγορεύεται κάλυμμα, τὰ λοιπὰ τρία σκεύη τῶν προειρημένων ἱδρύετο·
μέσον μὲν τὸ θυμιατήριον, γῆς καὶ ὕδατος σύμβολον εὐχαριστίας,
ἣν ἕνεκα τῶν γινομένων ἀφ' ἑκατέρου προσῆκε ποιεῖσθαι· τὸν γὰρ
102 μέσον ταῦτα τοῦ κόσμου τόπον κεκλήρωται· τὴν δὲ λυχνίαν ἐν τοῖς
νοτίοις, δι' ἧς αἰνίττεται τὰς τῶν φωσφόρων κινήσεις ἀστέρων· ἥλιος

1 δὲ AVOK    1. 2 αὐτοῦ δύναμις transp. BMVOK    2 αὐτοῦ] αὕτη A    ἔθηκε om. O    διεκόσμησε AFGHP: ἐκόσμησε ceteri    3 ᾗ G: ἡ FP, ἢ ceteri    ἄρχει] ἀρχὴ F, om. H$^1$P    σὺν δίκῃ] συνδεῖ καὶ BM, δίκῃ om. in lac. E    4 ἀψευδής V$^2$OK    6 ἄρχη MG    τεττάρων A, δ' VOK    7 ε' VOK    8 τῷ μὲν] τὸ μὲν AVOKF (v)    ὃ] ὂν A (v), om. VOK    τῷ δ'] τὸ δ' AVOKF (v)    ὃ om. AVOK    9 τὰ λοιπὰ A: τὰ δὲ λοιπὰ ceteri    τρία AFGHP: om. ceteri    ἱδρύεται G, ἵδρυτο A (v)    10 μὲν AF: om. ceteri    ⟨ὑπὲρ⟩ γῆς conicio (cf. *Quis rer. div. heres* § 226)    11 ἣν] ἦν B$^1$E    ἐφ' ἑκατέρου H$^2$ (v), ἐφ' ἑκάτερον H$^1$P, ἀφ' ἑκατέρου om. BEM    προσήκει A (v)    12 τοῦ κόσμου ταῦτα transp. BEM    κεκλήρωκε M    13 τῶν om. V$^1$, add. V$^2$

6—9 *Procop. Gaz. l. l.* ἦν δὲ ἐν μεθορίῳ τῶν δ' καὶ ε' κιόνων, περὶ ὧν ἐρεῖ, ὅπερ ἐστὶν εἰπεῖν κυρίως πρόναον εἰργόμενον δυσὶν ὑφάσμασι, τῷ μὲν ἔνδον ὃ καλεῖται καταπέτασμα, τῷ δὲ ἐκτὸς ὃ καλεῖται κάλυμμα· ἔνθα ἦν καὶ τὸ θυμιατήριον καὶ ἡ λυχνία καὶ ἡ τράπεζα.    10 Exod. 30,1 sqq.    10—12 *Clem. Alex. Strom. V 6 p. 665 P.*: ἀνὰ μέσον δὲ τοῦ καλύμματος καὶ τοῦ παραπετάσματος, ἔνθα τοῖς ἱερεῦσιν ἐξῆν εἰσιέναι, θυμιατήριον [τε] ἔκειτο σύμβολον τῆς ἐν μέσῳ τῷ κόσμῳ τῷδε κειμένης γῆς, ἐξ ἧς αἱ ἀναθυμιάσεις. μέσος δὲ καὶ ὁ τόπος ἐκεῖνος τοῦ τε ἐντὸς τοῦ καταπετάσματος, ἔνθα μόνῳ τῷ ἀρχιερεῖ ἐπετέτραπτο ῥηταῖς εἰσιέναι ἡμέραις, καὶ τῆς ἔξωθεν περικειμένης αὐλαίας (αὐλῆς legendum videtur) τῆς πᾶσιν ἀνειμένης Ἑβραίοις· ⟨ὃν?⟩ τὸ μεσαίτατον οὐρανοῦ φασι καὶ γῆς· ἄλλοι δὲ κόσμου τοῦ νοητοῦ καὶ τοῦ αἰσθητοῦ λέγουσιν εἶναι σύμβολον.
12 Exod. 25,30 sqq.    13 sqq. *Ioseph. Ant. Iud.* III § 182 τὴν δὲ λυχνίαν ἐξ ἑβδομήκοντα μορίων ποιήσας συγκειμένην τὰς τῶν πλανητῶν δεκαμοιρίας ᾐνίξατο· καὶ λύχνους ὑπὲρ αὐτῆς ἑπτά, τῶν πλανητῶν τὴν φοράν· τοσοῦτοι γάρ εἰσι τὸν ἀριθμόν. cf. *Bell. Iud. V § 217* (de templo Hierosolymitano) ἐνέφαινον δ' οἱ μὲν ἑπτὰ λύχνοι τοὺς πλάνητας (τοσοῦτοι γὰρ ἀπ' αὐτῆς διήρτηντο τῆς λυχνίας). *Clem. Alex. Strom. V 6 p. 666 P.*: ναὶ μὴν ἥ τε λυχνία ἐν τοῖς νοτίοις ἔκειτο τοῦ θυμιατηρίου, δι' ἧς αἱ τῶν ἑπτὰ φωσφόρων κινήσεις δεδήλωνται νοτίους τὰς περιπολήσεις ποιουμένων. τρεῖς γὰρ ἑκατέρωθεν τῆς λυχνίας ἐμπεφύκασι (leg. ἐκπεφύκασι) κλάδοι καὶ ἐπ' αὐτοῖς οἱ λύχνοι, ἐπεὶ καὶ ὁ ἥλιος ὥσπερ ἡ λυχνία μέσος τῶν ἄλλων πλανητῶν τεταγμένος τοῖς τε ὑπὲρ αὐτὸν τοῖς τε ὑπ' αὐτὸν κατά τινα θείαν μουσικὴν ἐνδίδωσι τοῦ φωτός.

γὰρ καὶ σελήνη καὶ οἱ ἄλλοι πολὺ τῶν βορείων ἀφεστῶτες νοτίους ποι-
οῦνται τὰς περιπολήσεις· ὅθεν ἓξ μὲν κλάδοι, τρεῖς δ' ἑκατέρωθεν, τῆς
μέσης λυχνίας ἐκπεφύκασιν εἰς ἀριθμὸν ἕβδομον· ἐπὶ δὲ πάντων λαμπά- 103
διά τε καὶ λύχνοι ἑπτά, σύμβολα τῶν λεγομένων παρὰ τοῖς φυσικοῖς
p. 151 M. ἀνδράσι πλανήτων· ὁ γὰρ ἥλιος, | ὥσπερ ἡ λυχνία, μέσος τῶν ἓξ τεταγ-
μένος ἐν τετάρτῃ χώρᾳ φωσφορεῖ τοῖς ὑπεράνω τρισὶ καὶ τοῖς ὑπ' αὐτὸν
ἴσοις, ἁρμοζόμενος τὸ μουσικὸν καὶ θεῖον ὡς ἀληθῶς ὄργανον. (10.) ἡ 104
δὲ τράπεζα τίθεται πρὸς τοῖς βορείοις, ἐφ' ἧς ἄρτοι καὶ ἅλες, ἐπειδὴ
τῶν πνευμάτων τὰ βόρεια τροφιμώτατα καὶ διότι ἐξ οὐρανοῦ καὶ γῆς
αἱ τροφαί, τοῦ μὲν ὕοντος, τῆς δὲ τὰ σπέρματα ταῖς τῶν ὑδάτων
ἐπιρροίαις τελειογονούσης. οὐρανοῦ δὲ καὶ γῆς παρίδρυται τὰ σύμβολα, 105
καθάπερ ἔδειξεν ὁ λόγος, τοῦ μὲν οὐρανοῦ ἡ λυχνία, τῶν δὲ περι-
γείων, ἐξ ὧν αἱ ἀναθυμιάσεις, τὸ ἐτύμως προσαγορευόμενον θυμιατήριον.
τὸν δ' ἐν ὑπαίθρῳ βωμὸν εἴωθε καλεῖν θυσιαστήριον, ὡσανεὶ τηρη- 106
τικὸν καὶ φυλακτικὸν ὄντα θυσιῶν τὸν ἀναλωτικὸν τούτων, αἰνιττόμενος
οὐ τὰ μέλη καὶ τὰ μέρη τῶν ἱερουργουμένων, ἅπερ δαπανᾶσθαι πυρὶ
πέφυκεν, ἀλλὰ τὴν προαίρεσιν τοῦ προσφέροντος· εἰ μὲν γὰρ ἀγνώμων 107
καὶ ἄδικος, ἄθυτοι θυσίαι καὶ ἀνίεροι ἱερουργίαι καὶ εὐχαὶ παλίμφημοι
παντελῆ φθορὰν ἐνδεχόμεναι· καὶ γὰρ ὁπότε γίνεσθαι δοκοῦσιν, οὐ
λύσιν ἁμαρτημάτων, ἀλλ' ὑπόμνησιν ἐργάζονται· εἰ δ' ὅσιος καὶ δίκαιος, 108
μένει βέβαιος ἡ θυσία, κἂν τὰ κρέα δαπανηθῇ, μᾶλλον δὲ καὶ εἰ τὸ

1 οἱ om. F (v) πολὺ] πολλοὶ FH¹P, om. A 2 μὲν om. A
τρεῖς δ' om. BEM, δ' om. VOK 4 σύμβολον P 5 πλανητῶν BEMVOK
6 ὑπ' αὐτὸν A Clem. Al.: ὑφ' αὐτὸν ceteri (v) 7 ἴσος BEMV¹, ἴσως V²OK
ὡς ἀληθῶς καὶ θεῖον transp. VOK 8 ἐπειδὴ] ἐπὶ δὲ A 9 τῶν BEM Clem. Al.:
om. ceteri τροφιμώτερα BEMF 10 τῆς] γῆς A ταῖς] τῆς F
11 ἐπιρροίαις codd.: ἐπιρροαῖς Turn., ἐπιρροιαῖς Mang. παρίδρυται AFGHP:
παριδρύεται ceteri τὰ σύμβολα παρίδρυται transp. A 12 οὐρανοῦ FGHP:
om. ceteri 13 εἰς τὸ add. ante ἐτύμως FGHP ἐτύμως F
θυσιαστήριον G, γρ. θυσιαστήριον mg. H 15 καὶ φυλακτικὸν om. VOK
τὸ ἀναλωτικὸν VOK (v), τῶν ἀπαλωτικῶν A, τὸν ἀναλογικὸν F τοῦτον BEMF
16 οὐ ante τὸ ἀναλωτικὸν (15) transponendum coni. Mang. alt. τὰ om. A
18 αἱ θυσίαι N 19 ἐκδεχόμεναι V²OK 20 λύσιν] χύσιν MGHP
21 μένει· καὶ γὰρ ὁπότε βέβαιος BEMV¹, μένει· καὶ γὰρ ἕπεται βέβαιος V²OK
κἂν] καὶ BEM καὶ] κἂν AN

8 Exod. 25,22 sqq. 8. 9 *Clem. Alex. Strom. V 6 p. 667 P.*: πρὸς δὲ τοῖς βορείοις τοῦ θυμιατηρίου τράπεζα εἶχε τὴν θέσιν, ἐφ' ἧς ἡ παράθεσις τῶν ἄρτων, ὅτι τροφιμώτατα τῶν πνευμάτων τὰ βόρεια. 14 Exod. 27,1 17—226,4 N fol. 157r: εἰ μὲν — κόσμῳ.

παράπαν μηδὲν προσάγοιτο ἱερεῖον· ἡ γὰρ ἀληθὴς ἱερουργία τίς ἂν εἴη πλὴν
ψυχῆς θεοφιλοῦς εὐσέβεια; ἧς τὸ εὐχάριστον ἀθανατίζεται καὶ ἀνάγραπτον
στηλιτεύεται παρὰ θεῷ συνδιαιωνίζον ἡλίῳ καὶ σελήνῃ καὶ τῷ παντὶ
κόσμῳ.
109 (11.) Τούτοις ἑξῆς ἱερὰν ἐσθῆτα κατεσκεύαζεν ὁ τεχνίτης τῷ
μέλλοντι ἀρχιερεῖ καθίστασθαι παγκάλην καὶ θαυμασιωτάτην ἔχουσαν ἐν
τοῖς ὑφάσμασι πλοκήν. τὰ δ' ὕφη διττὰ ἦν, τὸ μὲν ὑποδύτης, τὸ δὲ
110 προσαγορευόμενον ἐπωμίς. ὁ μὲν οὖν ὑποδύτης ἀμιγεστέρας ἰδέας·
ὅλος γὰρ ὑακίνθινος, ἔξω τῶν κατωτάτω καὶ πρὸς ἐσχατιὰς μερῶν,
ταῦτα γὰρ ἐποικίλλετο χρυσοῖς ῥοΐσκοις καὶ κώδωσι καὶ ἀνθίνοις πλέγ-
111 μασιν. ἡ δ' ἐπωμίς, ἐκπρεπέστατον ἔργον καὶ τεχνικώτατον, ἐπι-
στήμῃ τελειοτάτῃ κατεσκευάζετο τοῖς προειρημένοις γένεσιν, ὑακίνθῳ
καὶ πορφύρᾳ καὶ βύσσῳ καὶ κοκκίνῳ, συγκαταπλεκομένου χρυσοῦ·
πέταλα γὰρ εἰς λεπτὰς τρίχας κατατμηθέντα πᾶσι τοῖς νήμασι συν-
112 υφαίνετο. λίθοι δ' ἐπὶ τῶν ἀκρωμίων ἐνηρμόζοντο σμαράγδου πολυ-
τελοῦς δύο τιμαλφέστατοι, | οἷς τὰ ὀνόματα τῶν φυλάρχων ἐξ καθ' p. 152 M.
ἑκάτερον ἐνεχαράττετο, δώδεκα τὰ σύμπαντα· καὶ κατὰ τὸ στῆθος
ἄλλοι λίθοι πολυτελεῖς δώδεκα διαφέροντες ταῖς χρόαις, σφραγῖσιν
ἐοικότες, ἐκ τριῶν τετραστοιχεί· οὗτοι δ' ἐνηρμόζοντο τῷ προσαγορευο-
113 μένῳ λογείῳ. τὸ δὲ λογεῖον τετράγωνον διπλοῦν κατεσκευάζετο ὡσανεὶ
βάσις, ἵνα δύο ἀρετὰς ἀγαλματοφορῇ, δήλωσίν τε καὶ ἀλήθειαν· ὅλον
δ' ἀλυσειδίοις χρυσοῖς ἀνήρτητο πρὸς τὴν ἐπωμίδα, σφιγγόμενον ἐξ

---

1 προσαγάγοιτο A  2 καί] κἂν M (Mang.)  3 θεῶ codd.: τῷ θεῷ v  συνδιαιωνίζων O  τῷ om. N  5 ⟨πρὸς⟩ vel ⟨ἐπὶ⟩ τούτοις coni. Mang.  ἐξ ἧς AF  ἱερὰν ἑξῆς transp. GHP (Turn.)  6 ἱερεῖ A  6. 7 ἐν τοῖς ὑφάσμασιν ἔχουσα (sic) transp. G  7 ὑποδήτης P  8 ὑποδήτης P  9 post γὰρ add. ἦν V²OK  ὑακίνθυνος H  κατωτάτων VK  ἐσχατιαῖς AF (Mang.)  10 ἀνθεινοῖς VOK, ἀνθίμοις M  11 δὲ VOK  εὐπρεπέστατον AVOK  post ἔργον add. καὶ τελειότατον VOK  12 τελειότητι F  13 καὶ κοκκίνω καὶ βύσσω καὶ πορφύρα transp. F  συγκαταπλεκομένου AFGHP: συμπλεκομένου ceteri  14 λεπτὰ M  15 λίθων H¹P  δὲ VOK  ἐνηρμόζοντο AGHP: ἡρμόζοντο ceteri  16 τὰ om. AHP (v)  17 post ἑκάτερον add. ὂν O  τὰ om. G  18 δώδεκα om. H. (Turn.)  χρόαις FGHP: χροιαῖς ceteri  19 τετραστοιχεί AGHP: τετραστοιχῆ F, τετραστοιχές BEMV¹, τετραστιχιῶν V²OK  20 λογίω A  λόγιον A  22 δὲ VK  ἀλυσιδίοις F (ἀλυσιδίοις v)  ἐνήρτητο G

---

5 sqq. Exod. cap. 28  8 Exod. 28,27  11 Exod. 28,6  20 Exod. 28,15

αὐτῆς, ὑπὲρ τοῦ μὴ χαλᾶσθαι. χρυσοῦν δὲ πέταλον ὡσανεὶ στέφανος 114
ἐδημιουργεῖτο τέτταρας ἔχον γλυφὰς ὀνόματος, ὃ μόνοις τοῖς ὦτα καὶ
γλῶτταν σοφίᾳ κεκαθαρμένοις θέμις ἀκούειν καὶ λέγειν ἐν ἁγίοις, ἄλλῳ
δ' οὐδενὶ τὸ παράπαν οὐδαμοῦ. τετραγράμματον δὲ τοὔνομά φησιν ὁ 115
θεολόγος εἶναι, τάχα που σύμβολα τιθεὶς αὐτὰ τῶν πρώτων ἀριθμῶν,
μονάδος καὶ δυάδος καὶ τριάδος καὶ τετράδος, ἐπειδὴ πάντα ἐν τετράδι,
σημεῖον καὶ γραμμὴ καὶ ἐπιφάνεια καὶ στερεόν, τὰ μέτρα τῶν συμ-
πάντων, καὶ αἱ κατὰ μουσικὴν ἄρισται συμφωνίαι, ἥ τε διὰ τεσσάρων
ἐν ἐπιτρίτῳ λόγῳ καὶ ἡ διὰ πέντε ἐν ἡμιολίῳ καὶ ἡ διὰ πασῶν ἐν
διπλασίῳ καὶ ἡ δὶς διὰ πασῶν ἐν τετραπλασίῳ· ἔχει δὲ καὶ τὰς ἄλλας
ἀμυθήτους ἀρετὰς ἡ τετράς, ὧν τὰς πλείστας ἠκριβώσαμεν ἐν τῇ περὶ
ἀριθμῶν πραγματείᾳ. μίτρα δ' ἦν ὑπ' αὐτῷ, τοῦ μὴ ψαύειν τῆς 116
κεφαλῆς τὸ πέταλον. πρὸς δὲ καὶ κίδαρις κατεσκευάζετο· κιδάρει γὰρ
οἱ τῶν ἑῴων βασιλεῖς ἀντὶ διαδήματος εἰώθασι χρῆσθαι.

(12.) Τοιαύτη μὲν ἡ τοῦ ἀρχιερέως ἦν ἐσθής. ὃν δ' ἔχει λόγον 117
οὐ παρασιωπητέον αὐτή τε καὶ τὰ μέρη. ὅλη μὲν δὴ γέγονεν ἀπει-
κόνισμα καὶ μίμημα τοῦ κόσμου, τὰ δὲ μέρη τῶν καθ' ἕκαστον μερῶν.
p. 153 M. ἀρκτέον δ' ἀπὸ τοῦ ποδήρους. οὗτος ὁ | χιτὼν σύμπας ἐστὶν ὑακίν- 118
θινος, ἀέρος ἐκμαγεῖον· φύσει γὰρ ὁ ἀὴρ μέλας καὶ τρόπον τινὰ ποδήρης,
ἄνωθεν ἀπὸ τῶν μετὰ σελήνην ἄχρι τῶν γῆς ταθεὶς περάτων, πάντῃ
κεχυμένος· ὅθεν καὶ ὁ χιτὼν ἀπὸ στέρνων ἄχρι ποδῶν περὶ ὅλον τὸ
σῶμα κέχυται. ἐξ αὐτοῦ δὲ κατὰ τὰ σφυρὰ ῥοΐσκοι καὶ ἄνθινα καὶ 119
κώδωνές εἰσι· τὰ μὲν ἄνθινα σύμβολον γῆς, ἀνθεῖ γὰρ καὶ βλαστάνει

1 αὐτῶν V$^2$OK 1. 2 ἐδημιουργεῖτο ὡσανεὶ στέφανος transp. A 2 τέσσαρας VK ⟨γραμμάτων⟩ γλυφὰς vel γράμματα coni. Mang. ὃ] ὧ F 4 δὲ VOK 5 σύμβολον V$^2$OKP αὐτὸ V$^2$OK; αὐτὰς (scil. τὰς γλυφὰς) coni. Mang. 6 ἐν τῇ τετράδι A (v) 7 primum καὶ om. A 8 αἱ om. O 10 καὶ—τετραπλασίῳ om. BMO ἡ om. EF 11 ἀμυθήτους om. VK 12 μίτρα] μήτρα G, μέτρα F ὑπ' αὐτὸν A (ὑπ' αὐτὸ v) τῆς om. AH$^1$P (v) 14 ἑῴων] αἰγυπτίων A 15 μὲν AGHP: μὲν οὖν ceteri ἦν om. A (v) 16 αὐτή] ὅλη coni. Mang. δὴ] γὰρ A γέγονεν om. A 17 καὶ μίμημα AFGHP: om. ceteri κόσμου] λόγου H (Turn.) 18 δ'] δὲ A, om. H$^1$P σύμπας AFGHP: ὁ σύμπας ceteri 20 ἄχρι] μέχρι A; καὶ μέχρι v τῶν γῆς BEMG; τῆς γῆς AFHP (v), τῶν τῆς γῆς VOK 21 καὶ AFGHP: om. ceteri. στέρνων AFGHP: τῶν στέρνων ceteri ἄχρι AGHP: μέχρι ceteri ποδῶν AFVOK: τῶν ποδῶν ceteri τὸ ὅλον transp. F 22 κατὰ] καὶ EM 22. 23 ἄνθινα (bis) BEM: ἀνθινὰ (bis) AFGHP, ἀνθεινὰ VOK καὶ κώδωνες — ἄνθινα om. VOK

1 Exod. 28,32 18 *Clem. Alex. Strom. V 6 p. 664 P.*: ἥ τε κατὰ τὸν ποδήρη διασκευὴ διὰ ποικίλων τῶν πρὸς τὰ φαινόμενα συμβόλων τὴν ἀπ' οὐρανοῦ μέχρι γῆς αἰνισσομένη συνθήκην.

πάντα ἐκ ταύτης· οἱ δὲ ῥοΐσκοι ὕδατος, παρὰ τὴν ῥύσιν λεχθέντες
εὐθυβόλως· οἱ δὲ κώδωνες τῆς ἁρμονίας καὶ συμφωνίας τούτων, οὔτε
γὰρ γῆ χωρὶς ὕδατος οὔθ' ὕδωρ ἄνευ τῆς γεώδους οὐσίας αὔταρκες εἰς
120 γένεσιν, ἀλλ' ἡ σύνοδος καὶ κρᾶσις ἀμφοῖν. μάρτυς δὲ τοῦ δηλουμένου
καὶ ὁ τόπος ἐναργέστατος· ὡς γὰρ ἐν ἐσχάτοις τοῦ ποδήρους οἱ ῥοΐσκοι
καὶ τὰ ἄνθινα καὶ οἱ κώδωνές εἰσιν, οὕτως καὶ τὰ ὧν ἐστι σύμβολα
τὴν κατωτάτω χώραν ἔλαχεν ἐν κόσμῳ, γῆ καὶ ὕδωρ, καὶ τῇ
τοῦ παντὸς ἁρμονίᾳ συνηχοῦντα τὰς οἰκείας ἐπιδείκνυται δυνάμεις
121 ἐν ὡρισμέναις χρόνων περιόδοις καὶ τοῖς προσήκουσι καιροῖς. τριῶν
μὲν δὴ στοιχείων, ἐξ ὧν τε καὶ ἐν οἷς τὰ θνητὰ καὶ φθαρτὰ γένη
πάντα, ἀέρος, ὕδατος, γῆς, ὁ ποδήρης σὺν τοῖς ἀπηωρημένοις κατὰ τὰ
σφυρὰ σύμβολον ἐδείχθη προσηκόντως· ὡς γὰρ ὁ χιτὼν εἷς, καὶ τὰ
λεχθέντα τρία στοιχεῖα μιᾶς ἰδέας ἐστίν, ἐπειδὴ τὰ κατωτέρω σελήνης
ἅπαντα τροπὰς ἔχει καὶ μεταβολάς· καὶ καθάπερ ἐκ τοῦ χιτῶνος
ἤρτηνται οἵ τε ῥοΐσκοι καὶ τὰ ἄνθινα, καὶ ἀπ' ἀέρος τρόπον τινὰ γῆ
122 καὶ ὕδωρ ἐκκρέμανται, τὸ γὰρ ὄχημα τούτων ἐστὶν ἀήρ. τὴν δ' ἐπωμίδα
οὐρανοῦ σύμβολον ὁ λόγος εἰκόσι στοχασμοῖς χρώμενος παραστήσει·
πρῶτον μὲν γὰρ οἱ ἐπὶ τῶν ἀκρωμίων σμαράγδου δύο λίθοι περιφερεῖς
μηνύουσιν, ὡς μὲν οἴονταί τινες, ἀστέρων τοὺς ἡμέρας καὶ νυκτὸς
ἡγεμόνας, ἥλιον καὶ σελήνην, ὡς δ' ἂν ἐγγυτέρω τις τῆς ἀληθείας
προσερχόμενος εἴποι, τῶν ἡμισφαιρίων ἑκάτερον· ἴσα τε γὰρ ὡς οἱ

---

1 λεχθέντος H 2 τῆς] τὰς BEM 3 οὔτε ὕδωρ AHP 4 κράσις OFP 6 ἄνθινα BEM: ἀνθινὰ AFGHP, ἀνθεινὰ VOK οὕτως AHP: οὕτω ceteri 8 οἰκείας] ἰδίας A (v) ἐπιδείκνυται HP: ἐπιδείκνυνται ceteri (v) 9 χρόνου Turn. 10 δὴ] ἤδη $H^1P$ ὧν τε AGHP: ὧνπερ ceteri θνητὰ καὶ φθαρτὰ FGHP: φθαρτὰ καὶ θνητὰ BEM, αἰσθητὰ καὶ φθαρτὰ A (Mang.), om. VOK 11 ὁ om. A τὰ om. A (v) 13 τὰ om. A (Turn.) 15 τε om. BEF, ss. M pr. καὶ om. O ἄνθινα BEM: ἀνθινὰ AFGHP, ἀνθεινὰ VOK alt. καὶ] καὶ τὰ $FH^1P$ ἀπὸ A 16 ὄχημα A, σχῆμα corr. in ὄχημα F: σχῆμα $BEMV^1GHP$, σύστημα $V^2OK$ ὁ ἀήρ BEMA (v) 18 σμάραγδοι A (v) 19 ἡμέρας τε καὶ A (v) 20 τῆς om. $AGH^1P$ (v) 21—229,5 ἴσα — ἑκάτερον om. VOK 21 οἱ om. Turn.

---

18 sqq. *Ioseph. Ant. Iud. III § 185* δηλοῖ δὲ καὶ τὸν ἥλιον καὶ τὴν σελήνην τῶν σαρδονύχων ἑκάτερος, οἷς ἐνεπόρπωσε τὸν ἀρχιερέα. τήν τε δωδεκάδα τῶν λίθων εἴτε τοὺς μῆνάς τις θέλοι νοεῖν, εἴτε τὸν οὕτως ἀριθμὸν τῶν ἀστέρων, ὃν ζῳδιακὸν κύκλον Ἕλληνες καλοῦσι, τῆς κατ' ἐκεῖνο γνώμης οὐκ ἂν ἁμάρτοι. *Clem. Alex. Strom. V 6 p. 668 P.* οἱ οὖν ἐπὶ τῆς ἐπωμίδος σμαράγδου φωτεινοὶ λίθοι ἥλιον καὶ σελήνην μηνύουσι τοὺς συνεργοὺς τῆς φύσεως· χειρὸς δὲ οἶμαι ὦμος ἀρχή. οἱ δὲ ἐπὶ τῷ στήθει τέτραχα τεταγμένοι δώδεκα τὸν ζῳδιακὸν διαγράφουσιν ἡμῖν κύκλον κατὰ τὰς τέσσαρας τοῦ ἔτους τροπάς.

λίθοι τό τε ὑπὲρ γῆν καὶ ὑπὸ γῆν καὶ οὐδέτερον πέφυκε μειοῦσθαι
καὶ συναύξεσθαι καθάπερ σελήνη. συνεπιμαρτυρεῖ δὲ καὶ ἡ χρόα· 123
σμαράγδῳ γὰρ ἔοικεν ἡ τοῦ παντὸς οὐρανοῦ φαντασία κατὰ τὴν τῆς
ὄψεως προσβολήν. ἀναγκαίως δὲ καὶ καθ' ἑκάτερον τῶν λίθων ἓξ
ὀνόματα ἐγγλύφεται, διότι καὶ τῶν ἡμισφαιρίων ἑκάτερον δίχα τέμνον
τὸν ζῳοφόρον ἓξ ἐναπολαμβάνει ζῴδια. ἔπειθ' οἱ κατὰ τὰ στέρνα 124
δώδεκα λίθοι ταῖς χρόαις οὐχ ὅμοιοι διανεμηθέντες εἰς τέσσαρας στοίχους
ἐκ τριῶν τίνος ἑτέρου δείγματ' εἰσὶν ἢ τοῦ ζῳδιακοῦ κύκλου; καὶ γὰρ
p. 154 M. | οὗτος τετραχῇ διανεμηθεὶς ἐκ τριῶν ζῳδίων τὰς ἐτησίους ὥρας ἀποτελεῖ,
ἔαρ, θέρος, μετόπωρον, χειμῶνα, τροπὰς τέσσαρας, ὧν ἑκάστης ὅρος
τρία ζῴδια, γνωριζόμενος ταῖς τοῦ ἡλίου περιφοραῖς κατὰ τὸν ἐν ἀριθμοῖς
ἀσάλευτον καὶ βεβαιότατον καὶ θεῖον ὄντως λόγον. ὅθεν ἐνηρμό- 125
ζοντο καὶ τῷ προσαγορευθέντι δεόντως λογείῳ· λόγῳ γὰρ αἱ τροπαὶ
καὶ ἐτήσιοι ὧραι τεταγμένῳ καὶ παγίῳ συνίστανται, τὸ παρα-
δοξότατον, διὰ τῆς καιρίου μεταβολῆς ἐπιδεικνύμεναι τὴν διαιωνί-
ζουσαν αὐτῶν μονήν. εὖ δ' ἔχει καὶ πάνυ καλῶς τὸ τοῖς χρώ- 126
μασι τοὺς δώδεκα λίθους διαλλάττειν καὶ μηδένα ὅμοιον εἶναι μηδενί·
καὶ γὰρ τῶν ἐν τῷ ζῳοφόρῳ ἕκαστον ἀποτελεῖ τι χρῶμα οἰκεῖον κατά
τε ἀέρα καὶ γῆν καὶ ὕδωρ καὶ τὰ τούτων παθήματα καὶ ἔτι κατὰ τὰ
τῶν ζῴων καὶ φυτῶν γένη πάντα. (13.) διπλοῦν δὲ τὸ λογεῖον οὐκ 127
ἀπὸ σκοποῦ· διττὸς γὰρ ὁ λόγος ἔν τε τῷ παντὶ καὶ ἐν ἀνθρώπου

---

1 ὑπὲρ γῆν BEMA: ὑπὲρ γῆς FGHP ὑπὸ γῆς καὶ ὑπὲρ γῆν v 2 καὶ συναύξεσθαι BEMGH: ἢ συναύξασθαι P, ἢ συναυξάνεσθαι F, ἢ αὔξεσθαι A ἡ σελήνη A (v) 3 τῆς om. AG (v) 4 καὶ om. A καθ' ἑκάτερον AGHP: ἑκατέρῳ BEMF 5 καὶ om. A ἃ add. ante δίχα V²OK τεμνόμενον BEMV¹, τεμνομένου V²OK 6 τοῦ ζῳοφόρου V²OK ἔπειτα VOK τὰ om. A (v) 7 δώδεκα om. BEMV¹F χροιαῖς AVOK τέτταρας A στοίχους] στίχους AVOK (v) 8 δείγματά εἰσιν VOK, δεῖγμά τι ἦν A
10 χειμῶνα μετόπωρον transp. AF τέτταρας A ἑκάστης AFP: ἑκάστη ceteri
12 βέβαιον H ὅθεν codd.: ὅθεν καὶ v 12. 13 ἐνηρμόζοντο AFGHP: ἡρμόζοντο ceteri 13 λογίῳ A 14 ἐτήσιαι A 15 ἐπιδεικνύμεναι AFGHP: ἐπιδεικνύουσαι ceteri τὴν om. F 16 αὐτῶν FG: αὐτῶν ceteri μονὴν AFGHP: μορφὴν ceteri δ' AFGHP: δὲ ceteri ante τὸ add. καὶ v
18 τῶν om. A ἕκαστον BE, ἕκαστον (ος supra) M: ἕκαστος ceteri τι om. F
19 καὶ ἔτι — πάντα (20) om. H¹P ἔτι AFGH²: om. ceteri κατὰ τὰ VOK: κατὰ (om. τὰ) BEM (Mang.), καὶ τὰ AFGH² (Turn.) 20 τῶν om. VOK
γένη καὶ φυτῶν transp. BE, γένη (β) καὶ φυτῶν (α) M πάντα γένη transp. VOK
λόγιον A 21 ἐν τῇ ἀνθρώπου V²K, ἐν τῇ τοῦ ἀνθρώπου O

φύσει· κατὰ μὲν τὸ πᾶν ὅ τε περὶ τῶν ἀσωμάτων καὶ παραδειγματικῶν
ἰδεῶν, ἐξ ὧν ὁ νοητὸς ἐπάγη κόσμος, καὶ ὁ περὶ τῶν ὁρατῶν, ἃ δὴ
μιμήματα καὶ ἀπεικονίσματα τῶν ἰδεῶν ἐκείνων ἐστίν, ἐξ ὧν ὁ αἰσθητὸς
οὗτος ἀπετελεῖτο· ἐν ἀνθρώπῳ δ' ὁ μέν ἐστιν ἐνδιάθετος, ὁ δὲ προφο-
ρικός, ⟨καὶ ὁ μὲν⟩ οἷά τις πηγή, ὁ δὲ γεγωνὸς ἀπ' ἐκείνου ῥέων· καὶ
τοῦ μέν ἐστι χώρα τὸ ἡγεμονικόν, τοῦ δὲ κατὰ προφορὰν γλῶττα καὶ
128 στόμα καὶ ἡ ἄλλη πᾶσα φωνῆς ὀργανοποιία. σχῆμα δ' ἀπένειμεν ὁ
τεχνίτης τετράγωνον τῷ λογείῳ πάνυ καλῶς αἰνιττόμενος, ὡς χρὴ καὶ
τὸν τῆς φύσεως λόγον καὶ τὸν τοῦ ἀνθρώπου βεβηκέναι πάντῃ καὶ
κατὰ μηδ' ὁτιοῦν κραδαίνεσθαι. παρὸ καὶ τὰς εἰρημένας δύο ἀρετὰς
προσεκλήρωσεν αὐτῷ, δήλωσίν τε καὶ ἀλήθειαν· ὅ τε γὰρ τῆς φύσεως
λόγος ἀληθὴς καὶ δηλωτικὸς πάντων ὅ τε τοῦ σοφοῦ μιμούμενος ἐκεῖνον
ὀφείλει προσηκόντως ἀψευδέστατός τε εἶναι τιμῶν ἀλήθειαν καὶ μηδὲν
129 φθόνῳ συσκιάζειν, ὧν ἡ μήνυσις ὠφελήσει τοὺς ἀναδιδαχθέντας. οὐ
μὴν ἀλλὰ καὶ δυσὶ λόγοις τοῖς καθ' ἕκαστον ἡμῶν, τῷ τε προφορικῷ
καὶ ἐνδιαθέτῳ, δύο ἀρετὰς ἀπένειμεν οἰκείας, τῷ μὲν προφορικῷ
δήλωσιν, τῷ δὲ κατὰ διάνοιαν ἀλήθειαν· ἁρμόζει γὰρ διανοίᾳ μὲν μηδὲν
παραδέχεσθαι ψεῦδος, ἑρμηνείᾳ δὲ μηδὲν ἐμποδίζειν τῶν εἰς τὴν ἀκρι-
130 βεστάτην δήλωσιν. λόγου δὲ οὐδὲν ὄφελος τὰ καλὰ καὶ σπουδαῖα
σεμνηγοροῦντος, ᾧ μὴ πρόσεστιν οἰκείων ἀκολουθία πράξεων· ὅθεν τὸ
λογεῖον ἤρτησεν ἐκ τῆς ἐπωμίδος, ἵνα μὴ χαλᾶται, τὸν λόγον οὐ δικαι-
ώσας | ἔργων ἀπεζεῦχθαι· τὸν γὰρ ὦμον ἐνεργείας καὶ πράξεως ποιεῖται p. 155 M.
131 σύμβολον. (14.) ἃ μὲν οὖν αἰνίττεται διὰ τῆς ἱερᾶς ἐσθῆτος, ἐστὶ
τοιαῦτα. κίδαριν δὲ ἀντὶ διαδήματος ἐπιτίθησι τῇ κεφαλῇ δικαιῶν τὸν

2 alt. ὁ $V^{2}$OK: om. ceteri τῶν om VK 3 ἐξ — ἐστιν (4) om. $H^{1}P^{1}$, ἐξ — μέν add. mg. $P^{2}$, ὧν — ἐστιν add. mg. $H^{2}$ ἐξ $AFP^{2}$: om. ceteri 4 δὲ VOK 4. 5 ὁ δὲ προφορικός om. A 5 καὶ ὁ μὲν add. Turn.: om. codd. οἷα — γεγωνός] οἷα τινὸς πηγῆς ἀειρρόου $V^{2}$OK ὁ δὲ om. BEMF γεγωνὸς Turn: γεγονὼς codd. καὶ ῥέων A 6 ἐστι AFGHP: om. ceteri δὲ post προφορὰν transp. BEM 8 λογίω A 9 τοῦ GHP: om. ceteri 11 προσεκλήρωσαν BEM αὐτῶν K 12 ἀληθής τε BEMFN 13 τε GHP: om. ceteri 14 συσκιάζειν $V^{1}$AGHP: συσκιάζων ceteri διδαχθέντας M 15 τοῖς δυσὶ $V^{2}$OK τῷ τε — οἰκείας (16) om. $P^{1}$, add. mg. $P^{2}$ προφορικὴν (sic) K 16 τῶ ἐνδιαθέτω G (Mang.) 17 ἀλήθεια N 18 παραδέχεσθαι — μηδὲν om O τῶν AFGHPN: om. ceteri εἰς AFGHPN: πρὸς ceteri 19 δὲ] δ' ἄρα AFN (v) post ὄφελος add. τοῦ v, om. codd. 20 οἰκείων AFN: οἰκεία BEMGHP, om. VOK 21 λόγιον A 22 πράξεων A 24 δ' A, δὴ N δικαιῶν AGHP: δικαιώσας ceteri

7 — 231,22 N fol. $157^{r}$: σχῆμα — κόσμος εἶναι.

ἱερωμένον τῷ θεῷ, καθ' ὃν χρόνον ἱερᾶται, προφέρειν ἁπάντων καὶ μὴ
μόνον ἰδιωτῶν ἀλλὰ καὶ βασιλέων. ὑπεράνω δὲ τὸ χρυσοῦν ἐστι 132
πέταλον, ᾧ τῶν τεττάρων αἱ γλυφαὶ γραμμάτων ἐνεσφραγίσθησαν, ἐξ
ὧν ὄνομα τοῦ ὄντος φασὶ μηνύεσθαι, ὡς οὐχ οἷόν τε ὂν ἄνευ κατα-
κλήσεως θεοῦ συστῆναί τι τῶν ὄντων· ἁρμονία γὰρ πάντων ἐστὶν ἡ
ἀγαθότης καὶ ἵλεως δύναμις αὐτοῦ. τοῦτον τὸν τρόπον ὁ ἀρχιερεὺς 133
διακοσμηθεὶς στέλλεται πρὸς τὰς ἱερουργίας, ἵν', ὅταν εἰσίῃ τὰς πατρίους
εὐχάς τε καὶ θυσίας ποιησόμενος, συνεισέρχηται πᾶς ὁ κόσμος αὐτῷ δι' ὧν
ἐπιφέρεται μιμήματα, ἀέρος τὸν ποδήρη, ὕδατος τὸν ῥοΐσκον, γῆς τὸ
ἄνθινον, πυρὸς τὸ κόκκινον, οὐρανοῦ τὴν ἐπωμίδα, καὶ κατ' εἶδος τοῖν δυοῖν
ἡμισφαιρίοιν τοὺς ἐπὶ τῶν ἀκρωμίων σμαράγδους περιφερεῖς, ἐφ' ὧν καθ'
ἑκάτερον γλυφαὶ ἕξ, τοῦ ζῳοφόρου τοὺς ἐπὶ τῶν στέρνων δώδεκα λίθους ἐκ
τριῶν κατὰ τέτταρας στοίχους, τοῦ συνέχοντος καὶ διοικοῦντος τὰ σύμπαντα
τὸ λογεῖον. ἀναγκαῖον γὰρ ἦν τὸν ἱερωμένον τῷ τοῦ κόσμου πατρὶ 134
παρακλήτῳ χρῆσθαι τελειοτάτῳ τὴν ἀρετὴν υἱῷ πρός τε ἀμνηστίαν
ἁμαρτημάτων καὶ χορηγίαν ἀφθονωτάτων ἀγαθῶν. ἴσως μέντοι καὶ 135
προδιδάσκει τὸν τοῦ θεοῦ θεραπευτήν, εἰ καὶ μὴ τοῦ κοσμοποιοῦ
δυνατόν, ἀλλὰ τοῦ γε κόσμου διηνεκῶς ἄξιον εἶναι πειρᾶσθαι, οὗ τὸ
μίμημα ἐνδυόμενος ὀφείλει τῇ διανοίᾳ τὸ παράδειγμα εὐθὺς ἀγαλματο-
φορῶν αὐτὸς τρόπον τινὰ πρὸς τὴν τοῦ κόσμου φύσιν ἐξ ἀνθρώπου
μεθηρμόσθαι καί, εἰ θέμις εἰπεῖν — θέμις δὲ ἀψευδεῖν περὶ ἀληθείας
λέγοντα —, βραχὺς κόσμος εἶναι.

---

1 τῷ om. VK 2 τὸ] τοῦ πέπλου N 3 τεσσάρων FN, om. BEM αἱ γλυφαὶ] ἐγγλυφαὶ A γραμμάτων αἱ γλυφαὶ transp. BEMFN 4 ὄντος] δέοντος H$^1$P φησὶ O 4. 5 κατακλείσεως B, κατακλ$^{η}$είσεως E κατακλήσεως — ἁρμονία (5) om. H$^1$P, add. mg. H$^2$ 7 ⟨εἰς τὸν νεὼν⟩ εἰσίῃ coni. Mang. εἰσίοι VOK, εἰσήει E 8 τε AGHP: om. ceteri συνεισέρχεται MFN 9 μιμήματα scripsi: μιμημάτων AFGHPN (v), μίμημα BEMVOK 9. 10 τὸ ἄνθινον BEM: τὸν ἄνθινον A, τὸ ἀνθινὸν FGHP, τὸ ἀνθεινὸν VOKN 10 καὶ om. A (fort. recte) 11 τοὺς] τὰς G ἀκρωμίδων A 11. 12 καθέκαστον V$^2$OK, καθεκάστην BEM 12 τοῦ ζωοφόρου AFGHPN: om. ceteri 13 κατὰ τέσσαρας V$^2$OK, καὶ τεσσάρων BEMV$^1$ στίχους AV$^2$OK συνέχοντος AFGHPN: συνιόντος BEM, συνιέντος VOK τὰ σύμπαντα] τὸ σύμπαν FGHPN (v) 14 λόγιον A 15 χρῆσθαι FGHPN: χρήσασθαι ceteri τελειωτάτω F ἀμνηστείαν Turn. 16 χορηγίας AV$^1$HP ἀφθονωτάτας AV$^1$ 18 ἀλλά γε τοῦ transp. A, ἀλλ' οὖν τοῦ γε F 19 ἐνδυόμενος AFGHPN: ἐναυόμενος V$^1$, ἐναγόμενος V$^2$OK, om. BEM τὸ παράδειγμα τῇ διανοίᾳ transp. BEM 21 μεθηρμόσθη P alt. θέμις AFGHP: om. ceteri δὲ ἀψευδεῖν FGHPN: δ' ἀψευδεῖν A, διαψευδεῖν BEMV$^1$, καὶ ἀψευδεῖν V$^2$OK περὶ om. Turn.

136 (15.) Τῶν δὲ προπυλαίων ἔξω παρὰ ταῖς εἰσόδοις λουτήρ ἐστι χαλκοῦς, οὐκ ἀργὸν ὕλην λαβόντος τοῦ τεχνίτου πρὸς τὴν κατασκευήν, ὅπερ φιλεῖ γίνεσθαι, σκεύη δ' ἐπιμελῶς δημιουργηθέντα πρὸς ἑτέραν χρείαν, ἃ μετὰ σπουδῆς καὶ φιλοτιμίας πάσης αἱ γυναῖκες εἰσήνεγκαν ἁμιλλώμεναι τοῖς ἀνδράσι πρὸς εὐσέβειαν, ἀγώνισμα καλὸν ἄρασθαι διανοηθεῖσαι καὶ καθ' ὅσον δυνάμεως εἶχον σπουδάσασαι μὴ ἀπολειφθῆναι
137 τῆς ἐκείνων ὁσιότητος· κάτοπτρα γάρ, οἷς εὐμορφίαν | εἰώθασι διακοσμεῖσθαι, p. 156 M.
μηδενὸς προστάξαντος, αὐτοκελεύστῳ προθυμίᾳ σωφροσύνης καὶ τῆς περὶ γάμον ἁγνείας καὶ τί γὰρ ἀλλ' ἢ ψυχικοῦ κάλλους ἀπαρχὴν πρε-
138 πωδεστάτην ἀπήρξαντο. ταῦτ' ἔδοξε τῷ τεχνίτῃ λαβόντι χωνεῦσαι καὶ μηδὲν ἀπ' αὐτῶν ἕτερον ἢ τὸν λουτῆρα κατασκευάσασθαι, περιρραντηρίοις ὅπως οἱ μέλλοντες εἰς τὸν νεὼν εἰσιέναι ἱερεῖς ἐπὶ τῷ τὰς διατεταγμένας ὑπουργεῖν λειτουργίας χρῶνται πόδας μάλιστα καὶ χεῖρας ἀπονιπτόμενοι — σύμβολον ἀνυπαιτίου ζωῆς καὶ βίου καθαρεύοντος ἐν πράξεσιν ἐπαινεταῖς, οὐ τὴν τραχεῖαν κακίας ὁδὸν ἢ κυριώτερον εἰπεῖν
139 ἀνοδίαν ἀλλὰ τὴν δι' ἀρετῆς λεωφόρον ἀπευθύνοντος —. „ὑπομιμνησκέσθω μέντοι" φησί „καὶ ὁ μέλλων περιρραίνεσθαι, ὅτι τοῦδε τοῦ σκεύους ἡ ὕλη κάτοπτρα ἦν, ἵνα καὶ αὐτὸς οἷα πρὸς κάτοπτρον αὐγάζῃ τὸν ἴδιον νοῦν καί, εἴ τι ὑποφαίνοιτο αἶσχος ἐξ ἀλόγου πάθους ἢ παρὰ φύσιν ἐπαιρούσης καὶ μετεωριζούσης ἡδονῆς ἢ στελλούσης ἔμπαλιν λύπης καὶ καθαιρούσης ἢ ἀποστρέφοντος καὶ ἀποκλίνοντος τὴν ἐπ' εὐθείας ὁρμὴν φόβου ἢ τῆς ἐπιθυμίας πρὸς τὰ μὴ παρόντα ἑλκούσης καὶ ἀποτεινούσης βίᾳ, τοῦτο θεραπεύῃ τε καὶ ἰᾶται τοῦ γνησίου καὶ ἀνόθου

1 τὰς εἰσόδους A 2 χάλκειος $V^1$, χάλκεος $V^2$OK ἀργὴν $B^2$MAVK$P^2$, ἄργυρον F 2. 3 ὃ πρὸς τὴν κατασκευὴν ὀφείλει γίνεσθαι A 3 ὅπερ FGHP: ἅπερ BEM$V^1$, ἤπερ $V^2$OK 4 πάσης καὶ φιλοτιμίας transp. VOK ἀπάσης A 6 ἔσχον A σπουδάσαι $V^1$, σπουδάσασθαι K 7 εὐμορφίαν AFGHP: εἰς εὐμορφίαν ceteri (v) διακοσμεῖσθαι AFGHP: διακονεῖσθαι ceteri 9 ἀλλ' om. AGHP (v) 11 τὸν] τοῦ H περιρραντίοις M 13 λειτουργίας ὑπουργεῖν transp. GHP (v) 14 ἀπονιττόμενοι $H^1$ ἀνυπαίτιον BEM 15 κακίας ὁδὸν om. BEM 16 τὴν om. BEMA$V^1$F δι' ἀρετὴν A ἀπευθύνοντες VK, ἀπευθύνοντας O 16. 17 ὑπομιμνησκέσθω AFGHP: ὑπομιμνήσκεσθαι ceteri 17 μέντοι] μὲν A 18 κάτοπτρα AGH: κάτοπτρον ceteri 19 καί] κἂν A (v) 20 μετεωριζούσης AF: νεωτεριζούσης ceteri (Turn.) συστελλούσης BEMAG 21 καθαρευούσης A τὴν] τῆς BEM 22 τῆς eras. $V^2$, om. OK μὴ eras. $V^2$, om. OK 23 θεραπεύῃ τε Turn.: θεραπεύηται codd. (θεραπεύεται A) τοῦ AFGHP: τοὺς ceteri γνησίους BEM καὶ om. BEM

1 Exod. 30,18 7 Exod. 38,26

μεταποιούμενος κάλλους· τὸ μὲν γὰρ τοῦ σώματος ἐν συμμετρίᾳ μερῶν 140
εὐχροίᾳ τε καὶ εὐσαρκίᾳ κεῖται, βραχὺν τῆς ἀκμῆς ἔχον καιρόν, τὸ δὲ τῆς
διανοίας ἐν ἁρμονίᾳ δογμάτων καὶ ἀρετῶν συμφωνίᾳ, μὴ χρόνου μήκει
μαραινόμενον, ἀλλ' ἐφ' ὅσον ἐγχρονίζει καινούμενον καὶ νεάζον, χρώματι
διαπρεπεῖ κεκοσμημένον ἀληθείας καὶ ὁμολογίας ἔργων πρὸς λόγους καὶ
πρὸς ἔργα λόγων καὶ ἔτι βουλευμάτων πρὸς ἑκάτερα."

(16.) Διδαχθέντι δ' αὐτῷ τὰ παραδείγματα τῆς ἱερᾶς σκηνῆς καὶ 141
ἀναδιδάξαντι τοὺς διανοίᾳ ὀξεῖς καὶ εὐφυῶς ἔχοντας πρὸς ἀνάληψιν καὶ
τελείωσιν ἔργων, ἅπερ ἀναγκαίως εἶχε δημιουργηθῆναι, κατὰ τὸ εἰκὸς
ἱεροῦ κατασκευασθέντος ἔδει καὶ ἱερεῖς τοὺς ἐπιτηδειοτάτους αἱρεθῆναί
τε καὶ προμαθεῖν, ὃν τρόπον τὰς θυσίας ἀνάγειν τε καὶ ἱερουργεῖν
προσῆκε. τὸν μὲν οὖν ἀδελφὸν ἐξ ἁπάντων ἐπικρίνας ἀριστίνδην 142
ἀρχιερέα, τοὺς δ' ἐκείνου παῖδας ἱερεῖς ἐχειροτόνει, προνομίαν οὐ
τῷ οἰκείῳ γένει διδούς, ἀλλ' εὐσεβείᾳ καὶ ὁσιότητι, ἃς ἑνεώρα τοῖς
ἀνδράσιν ὑπούσας. σαφὴς δὲ πίστις· οὐδέτερον υἱὸν — δύο γὰρ ἦσαν
αὐτῷ — τούτου τοῦ γέρως ἠξίωσεν, ἀναγκαίως ἂν ἀμφοτέρους ἑλόμενος,
εἴ τινα τιμὴν ἔνεμε τῷ φιλοικείῳ. καθίστη δὲ μετὰ τῆς ἅπαντος τοῦ 143
p. 157 M. ἔθνους γνώμης, ὡς τὰ λόγια ὑφηγεῖτο, καινότατον τρόπον καὶ | ἄξιον
ἱστορηθῆναι· λούει τὸ πρῶτον αὐτοὺς ὕδατι πηγῆς τῷ καθαρωτάτῳ καὶ
ζωτικωτάτῳ κἄπειτα τὰς ἱερὰς ἀναδίδωσιν ἐσθῆτας, τῷ μὲν ἀδελφῷ
τὸν ποδήρη καὶ τὴν ἐπωμίδα οἱονεὶ θώρακα, τὸ παμποίκιλον ὕφασμα
καὶ μίμημα τοῦ παντός, τοῖς δ' ἀδελφιδοῖς χιτῶνας λινοῦς, ζώνας τε

1 μεταποιούμενος AFGHP: μεταποιουμένους ceteri μερῶν] μέρος F
2 τὸ] τὸ$^{ῆς}$ M 3 διανοίας] συμμετρίας A δογμάτων] σωμάτων O
ἀρετῶν] ἀέρων A 4 ἀλλ' — καινούμενον om. F κινούμενον A$H^1$
4. 5 χρώματι δ' εὐπρεπεῖ A 6 πρὸς ἔργα λόγων AF: λόγων πρὸς ἔργα ceteri (v)
ἔτι βουλευμάτων] ἐπιβουλευμάτων A ἑκάτερα AG: ἑκάτερον ceteri 7 δὲ A
σκηνῆς] ἐκείνης A 8 ἔχοντι F 11 pr. τε om. A alt. τε om. F, τε καὶ
ἱερουργεῖν om. A 13 δ' om. BEM 13. 14 οὐ τῷ] αὐτῶ A
15 υἱῶν $H^2$ (v) γὰρ] δ' AHP (v) 16 ἂν] οὖν P, γὰρ ἂν ἦν M, γὰρ et
ἦν ss. B 17 ἔνειμε$^{ε}$ A (ἔνειμε v) ἔνειμε$^{ε}$ τῶ φιλοικείω A: τῶ φιλοικείω
ἔνεμε ceteri (v) καθίστησι P, κατέστη A 18 ὑφηγεῖται A$V^2$K
19 λούει τὸ πρῶτον αὐτοὺς AGHP: λούει μὲν αὐτοὺς τὸ πρῶτον ceteri 19. 20 καὶ
ζωτικωτάτῳ om. A 21 ὕφασμα] ἀπεικόνισμα coni. Mang. 22 ἀδελφιδοῖς
F$H^2$P$V^2$K: ἀδελφοῖς ceteri λινοῦς] λαμπροὺς BEM

17 sqq. Exod. cap. 29. Levit. cap. 8

144 καὶ περισκελῆ πᾶσι· τὰς μέν, ὅπως ἀνεμπόδιστοι καὶ ἑτοιμότεροι πρὸς τὰς ἱερὰς ὑπουργίας ὦσι, σφιγγομένων τοὺς ἀνειμένους κόλπους τῶν χιτώνων, τὰ δ', ὅπως μηδὲν ὧν κρύπτεσθαι θέμις προφαίνηται, καὶ μάλιστ' ἀνερχομένων ἐπὶ τὸν βωμὸν ἢ κατιόντων ἄνωθεν καὶ πάντα
145 δρώντων μετὰ σπουδῆς καὶ τάχους· εἰ γὰρ μὴ οὕτως ἀκριβὴς γεγένητο ἡ στόλισις διὰ τὴν τοῦ μέλλοντος ἀδήλου προφυλακήν, κἂν ἕνεκα τῆς συντόνου περὶ τὰς λειτουργίας ὀξύτητος ἀπεγυμνοῦντο τὸν προσήκοντα
146 ἱεροῖς καὶ ἱερωμένοις κόσμον φυλάττειν ἀδυνατοῦντες. (17.) ὡς δὲ ταῖς ἐσθήσεσιν ἤσκησεν αὐτούς, χρίσματος εὐωδεστάτου λαβών, ὃ μυρεψικῇ τέχνῃ κατειργάσθη, τὰ ἐν ὑπαίθρῳ πρῶτα, τόν τε βωμὸν καὶ τὸν λουτῆρα, κατέχριεν ἐπιρραίνων ἑπτάκις, ἔπειτα τὴν σκηνὴν καὶ τῶν ἱερῶν σκευῶν ἕκαστον, τὴν κιβωτόν, τὴν λυχνίαν, τὸ θυμιατήριον, τὴν τράπεζαν, τὰ σπονδεῖα, τὰς φιάλας, τὰ ἄλλα ὅσα πρὸς θυσίας ἀναγκαῖα καὶ χρήσιμα, καὶ τελευταῖον προσαγαγὼν τὸν ἀρχιερέα πολλῷ λίπει τὴν
147 κεφαλὴν ἀλείφει. ταῦτ' ἐπιτελέσας εὐαγῶς ἀχθῆναι κελεύει μόσχον καὶ κριοὺς δύο· τὸν μέν, ἵνα θύσῃ περὶ ἀφέσεως ἁμαρτημάτων, αἰνιττόμενος ὅτι παντὶ γενητῷ, κἂν σπουδαῖον ᾖ, παρόσον ἦλθεν εἰς γένεσιν, συμφυὲς τὸ ἁμαρτάνειν ἐστίν, ὑπὲρ οὗ τὸ θεῖον εὐχαῖς καὶ θυσίαις
148 ἀναγκαῖον ἐξευμενίζεσθαι, μὴ διακινηθὲν ἐπιθεῖτο· τῶν δὲ κριῶν τὸν μὲν ἕτερον εἰς ὁλοκαύτωμα εὐχαριστήριον τῆς τῶν ὅλων διοικήσεως, ἧς κατὰ τὸ ἐπιβάλλον ἑκάστῳ μέρος μέτεστι καρπουμένῳ τὴν ἀπὸ τῶν στοιχείων ὠφέλειαν, γῆς πρὸς οἴκησιν καὶ τὰς ἐξ αὐτῆς τροφάς, ὕδατος πρὸς ποτὸν καὶ λουτρὰ καὶ πλοῦν, ἀέρος πρὸς ἀναπνοὴν καὶ

1 περισκέλη BEMA   πᾶσι eras. $V^2$, om. OK   2 ὑπουργίας] λειτουργίας A (prob. Mang.)   ἱερὰς ὑπουργίας ὦσι] ἱερουργίας ὑπουργῶσιν ἄσωσι BEM, ἱερουργίας ὑπουργῶσιν ἄνω VOK   συσφιγγομένων VOK   3 ὑποφαίνηται G
4 μάλιστ' AGHP: μάλιστα ceteri   ἢ] ἢ καὶ BE   πάντων A
5 ἀκρίβϊος (sic) A   γεγένητο FGHP: γεγένηται A, ἐγεγένητο ceteri
6 κἂν scripsi: om. M, καὶ ceteri   7 post ἀπεγυμνοῦντο add. ἂν $V^2$OK
9 αἰσθήσεσιν $FH^1P$   10 κατείργασται P   πρῶτον A   pr. τόν om. A   13 τἄλλ' HP, τἆλλ' A   θυσίαν BEMA   14 λίπει] λίπα BEHP, μᾶλλον αὐτοῦ $V^2$OK   15 ταῦτ' ἐπιτελέσας εὐαγῶς FGHP: om. ceteri   εὐαγῶς] ἐναγῶς Turn. Mang.   ἀχθῆναι FGHP: καὶ ἀχθῆναι ceteri   μόσχον ἕνα BEM   17 γεννητῷ VOKG   σπουδαῖος $V^2KP^2$   γέννησιν VK
18 ἁμαρτάνον FHP (Turn.)   οὗ $GHPV^2OK$: τοῦ ceteri   τὸ θεῖον A: τὸν θεὸν ceteri (v)   19 ὡς ἀναγκαῖον VOK   ἀναγκαῖον om. BEM   μὴ διακινηθὲν ἐπιθεῖτο om. BEMVOK   διακινηθὲν AFG: διακινηθεὶς HP (v)   ἐπιθεῖτο AG: ἐπίθοιτο FHP   20 εὐχαριστήριον om. G   21 ἧς BEM: ᾗ F, ἣ ceteri (ᾗ Turn.)   μέρος ἑκάστω transp. AVOK   22 πρὸς AFGHP: εἰς ceteri
23 ποτὸν AGHP: τὸ ποτὸν ceteri   λουτρὰ $AGH^2$: λουτρὸν $H^1P$, λουτῆρα ceteri

τὰς διὰ τῶν αἰσθήσεων ἀντιλήψεις — ἐπειδὴ πασῶν ἀὴρ ὄργανον — καὶ
ἔτι τὰς ἐτησίους ὥρας, πυρὸς τοῦ μὲν χρειώδους πρὸς τὰ ἑψόμενα καὶ
θερμαινόμενα, τοῦ δὲ οὐρανίου πρὸς αὐγὴν καὶ τὰ ὁρατὰ πάντα· τὸν δ' 149
ἕτερον εἰς τὴν τῶν ἱερωμένων διὰ καθάρσεως ἁγνευτικῆς παντέλειαν,
ὃν ἐτύμως „τελειώσεως" ἐκάλεσεν (Exod. 29, 26. Lev. 8, 22), ἐπειδὴ
τὰς ἁρμοττούσας θεραπευταῖς καὶ λειτουργοῖς θεοῦ τελετὰς ἔμελλον
ἱεροφαντεῖσθαι. τοῦ δ' αἵματος αὐτοῦ τὸ μὲν ἐν κύκλῳ τοῦ βωμοῦ 150
σπένδει λαβών, τὸ δὲ φιάλην ὑποσχὼν δέχεται καὶ ἀπὸ τούτου τρία
μέρη τοῦ σώματος χρίει τῶν τελουμένων ἱερέων, οὖς ἄκρον, ἄκραν
p. 158 M. χεῖρα, ποδὸς ἄκρον, | δεξιὰ τὰ σύμπαντα, αἰνιττόμενος ὅτι δεῖ τὸν
τέλειον καὶ λόγῳ καὶ ἔργῳ καὶ βίῳ παντὶ καθαρεύειν· λόγον μὲν γὰρ
ἀκοὴ δικάζει, χεὶρ δ' ἔργου σύμβολον, διεξόδου δὲ τῆς περὶ τὸν βίον
πούς. ἐπεὶ δ' ἕκαστον αὐτῶν ἄκρον τε καὶ δεξιόν, ὑπονοητέον δηλοῦσθαι 151
τὴν ἐν ἑκάστοις ἐπίδοσιν μετὰ δεξιότητος, ἐφιεμένην τῆς ἄκρας εὐδαι-
μονίας καὶ τοῦ τέλους, ἐφ' ὃ σπεύδειν ἀναγκαῖον καὶ τὰς πράξεις ἁπά-
σας ἀναφέρειν στοχαζομένους ὥσπερ ἐν ταῖς τοξείαις σκοποῦ τοῦ περὶ
τὸν βίον. (18.) πάλαι μὲν οὖν ἱερείου ἑνός, ὃ προσηγορεύετο „τελειώ- 152
σεως", ἀκράτῳ αἵματι τὰ λεχθέντα τρία μέρη κατέχριε τῶν ἱερέων.
αὖθις δ' ἐκ τοῦ παρὰ τῷ βωμῷ λαβών, ὅπερ ἐξ ἁπάντων ἦν τῶν τεθυ-
μένων, καὶ τοῦ λεχθέντος χρίσματος, ὃ μυρεψοὶ κατεσκεύασαν, ἀναμίξας τὸ
ἔλαιον τῷ αἵματι τοῦ κράματος τοῖς ἱερεῦσι καὶ ταῖς ἐσθήσεσιν αὐτῶν
ἐπέρραινε, βουλόμενος αὐτοὺς μὴ μόνον τῆς ἔξω καὶ ἐν ὑπαίθρῳ μετα-
λαχεῖν ἁγνείας, ἀλλὰ καὶ τῆς ἐν ἀδύτοις, ἐπειδὴ καὶ ἔνδον λειτουργεῖν

---

1 διὰ τὰς transp. M, διὰ τὰς διὰ BE διὰ τῆς αἰσθήσεως Turn. τῶν πασῶν A 2 ἔτι] ἐπὶ AVOK 3 θερμαίνοντα P δ' A καὶ — τὴν (4) om. A ὁρατὰ] ὁρώμενα BEM 4 ἱερουμένων BEVOK, ὁρωμένων A παντελείας A 5 ὃν] ὃ A ἐτύμως FV², ἑτοίμως V¹ ut vid. 6 ἁρμοζούσας A λιτουργοῖς G 7 ἱεροφαντοῦσθαι A αὐτοῦ om. VK 10 τὰ om. O 11 ἔργω καὶ λόγω F, ἔργω$^{β}$ καὶ λόγω$^{α}$ G λόγον] λόγῳ Turn. γὰρ om. A 12 δὲ VOK ἔργον A 13 ἐπεὶ] ἐπὶ BEMP τε om. A, ss. B 15. 16 ἀναφέρειν ἁπάσας transp. VOK 17 τὸν om. FGHP (v) βίον] βίου τέλος coni. Mang. ἱερεῖον F προσηγόρευτο FGH² (Turn.) 19 τῷ βωμῷ AFGHP: τὸν βωμὸν ceteri ἦν τῶν om. A 19. 20 τεθυμένων] τε θυομένων HP (v) 20 μυρεψὸς κατεσκεύασεν A τὸ] τε coni. Mang. 21 τοῖς τε VK αἰσθήσεσιν H¹P (Turn.) αὐτῶν AFGHP: om. ceteri 22 ἐπέραινε A 22. 23 μετασχεῖν A 23 τῆς] τοῖς M

153 ἔμελλον· τὰ δ' εἴσω πάντα ἐλαίῳ κατεκέχριστο. θυσίας δ' ἐπὶ ταῖς προτέραις ἄλλας ἀναγαγόντων, τοῦτο μὲν τῶν ἱερέων ὑπὲρ αὐτῶν, τοῦτο δὲ τῆς γερουσίας ὑπὲρ ἅπαντος τοῦ ἔθνους, Μωυσῆς μὲν εἰς τὴν σκηνὴν εἰσέρχεται τὸν ἀδελφὸν ἐπαγόμενος — ὀγδόη δ' ἦν τῆς τελετῆς ἡμέρα καὶ τελευταία, ταῖς γὰρ πρότερον ἑπτὰ ἱεροφαντῶν αὐτόν τε καὶ τοὺς ἀδελφιδοῦς ὠργίαζεν —, εἰσελθὼν δ' ἀνεδίδασκεν οἷα ὑφηγητὴς ἀγαθὸς εὐμαθῆ γνώριμον, ὃν χρὴ τρόπον τὸν ἀρχιερέα τὰς εἴσω ποι-
154 εῖσθαι λειτουργίας. εἶτ' ἐξελθόντες ἀμφότεροι καὶ τὰς χεῖρας ἀνατείναντες πρὸ τῆς κεφαλῆς εὐχὰς τίθενται τῷ ἔθνει τὰς προσηκούσας ἀπὸ καθαρᾶς καὶ ὁσιωτάτης γνώμης. ἔτι δ' εὐχομένων, τερατωδέστατόν τι συμβαίνει· ἐκ γὰρ τῶν ἀδύτων, εἴτε αἰθέρος ἀπόσπασμα τοῦ καθαρωτάτου, εἴτε ἀέρος κατὰ τὴν τῶν στοιχείων φύσει μεταβολὴν ἀναλυθέντος εἰς πῦρ, αἰφνίδιον ἀθρόα φλὸξ διεκπαίει καὶ συντόνῳ ῥύμῃ φέρεται μὲν ἐπὶ τὸν βωμόν, τὰ δ' ἐπ' αὐτοῦ πάντα ἐξαναλίσκει, πρὸς οἶμαι σαφεστάτην δήλωσιν, ὅτι οὐδὲν ἄνευ θείας ἐπιφροσύνης ἐπετελεῖτο.
155 δωρεὰν γὰρ ἐξαίρετον εἰκὸς ἦν τοῖς ἁγίοις προσνεμηθῆναι, μὴ μόνον ἐν οἷς ἄνθρωποι δημιουργοί, ἀλλὰ καὶ τῷ καθαρωτάτῳ τῆς οὐσίας πυρί, τὸ χρειῶδες καὶ παρ' ἡμῖν ὅπως μὴ προσάψαιτο τοῦ βωμοῦ, διὰ τὸ
156 μυρίας ἴσως ἀναμεμῖχθαι κῆρας· ἅπτεται γὰρ οὐ μόνον ζῴων ἀλόγων ὀπτωμένων ἢ ἑψομένων εἰς πλησμονὴν | ἄδικον γαστρὸς τῆς ταλαίνης, p. 159 M.
ἀλλὰ καὶ ἀνθρώπων ἐξ ἐπιβουλῆς ἀναιρουμένων, οὐ τριῶν ἢ τεττάρων,

1 κατεκέχριστο BEVOK: κατακέχριστο FGH$^2$, κατέχριστο MH$^1$P, κατεχρίετο A (Mang.) 2 ἀναγόντων A αὐτῶν EMKHP καὶ ante alt. τοῦτο add. M 3 ἅπαντος AFGHP: παντὸς ceteri 5 ἡμέρα AFGHP: ἡ ἡμέρα ceteri ταῖς V$^2$OK (coni. Mang.): αἱ ceteri πρότερον GHP$^1$: προτέραις V$^2$OK, πρότεραι ceteri ἱεροφάντει V$^2$OK αὐτόν τε AP$^2$: om. ceteri 6 ἀδελφιδοῦς GHPV$^2$OK: ἀδελφοὺς ceteri ὠργίαζεν om. in lac. BEM 7 ἀμαθῆ Richt. 8. 9 ἀνατείνοντες H 9 ὑπὲρ τὰς κεφαλὰς coni. Mang. τιθέντες BEMV$^1$ 11 εἴτε GHP: εἴτ' ceteri 12 εἴτε AGHP: εἴτ' ceteri φύσει GHP: φυσικὴν ceteri ἀναλυθέντος] μεταβληθέντος V$^2$OK 13 αἰφνίδιον om. BEM διεκκαίει HP (Turn.) συντόμῳ AFGHP (Turn.) 14 μὲν om. A τὰ δ'] καὶ τὰ A ἐπ'] ἐξ HP (Turn.) ἐξαναλίσκει AFGHP: ἀναλίσκει ceteri οἶμαι πρὸς transp. A 15 ἐπετελεῖτο GH: ἀπετελεῖτο ceteri 16 δωρεὰν γὰρ] καὶ δωρεὰν A μόνον] μέντοι V$^2$OK ἐν del. V$^2$, om. OK 17 οἷς] ἧς V$^2$OK καὶ eras. V$^2$, om. OK: κἂν conicio τὸ καθαρώτατον ... πῦρ V$^2$OK 18 τὸ AFGHP: τὸ δὲ ceteri προσάψαιτο GHP: προσψαύσαιτο A, προσάψηται ceteri 19 μυρίαις V$^2$OK ἀναμεμάχθαι GH (Turn.) κήραις V$^2$OK ἀλόγων ζώων transp. G 20 ὀπτομένων BEM, ὀπτημένων K ἢ ἑψομένων om. FHP (Turn.) 21 ἐπιβολῆς M οὐ — ὁμίλων (237,1) AFGHP: om. ceteri

1 sqq. Levit. cap. 9

ἀλλὰ καὶ πολυανθρώπων ὁμίλων· ἤδη γοῦν καὶ στόλους μεγάλους ἐπι- 157
βατικοῦ πλήρεις ὀϊστοὶ πυρφόροι κατέφλεξαν βληθέντες καὶ ὅλας πόλεις
ἐξανάλωσαν, αἳ σμυχόμεναι μέχρι θεμελίων εἰς τέφραν ἐδαπανήθησαν,
ὡς μηδ' ἴχνος ὑπολελεῖφθαι τοῦ πάλαι συνοικισμοῦ. ταύτης ἕνεκά μοι 158
δοκῶ τῆς αἰτίας ὡς μεμιασμένον ἤλασε τοῦ ἱερωτάτου καὶ καθαρωτάτου
βωμοῦ πῦρ τὸ χρειῶδες, ἀνθ' οὗ φλόγα αἰθέριον ὤμβρησεν ἀπὸ τοῦ
οὐρανοῦ πρὸς διαστολὴν ἁγίων τε καὶ βεβήλων, ἀνθρωπείων τε καὶ
θείων· ἥρμοττε γὰρ ταῖς θυσίαις ἀφθαρτοτέραν οὐσίαν ἀπονενεμῆσθαι
πυρὸς τῆς πρὸς τὰς βιωτικὰς χρείας ὑπηρετούσης.

(19.) Πολλῶν δὲ κατὰ τὸ ἀναγκαῖον ἀναγομένων θυσιῶν καθ' 159
ἑκάστην ἡμέραν καὶ διαφερόντως ἐν πανηγύρεσι καὶ ἑορταῖς ὑπέρ τε
ἰδίᾳ ἑκάστου καὶ κοινῇ ὑπὲρ ἁπάντων, διὰ μυρίας καὶ οὐχὶ τὰς αὐτὰς
αἰτίας, ἅτε πολυανθρωποτάτου ἔθνους εὐσεβοῦντος, ἐδέησε καὶ νεωκόρων
πλήθους εἰς τὰς ἱερὰς ὑπηρεσίας. ἡ δ' αἵρεσις ἐγίνετο πάλιν καινότατον 160
ἀλλ' οὐ τὸν εἰωθότα τρόπον· μίαν τῶν δώδεκα φυλῶν ἐπικρίνας ἀρι-
στίνδην ἐχειροτόνει θεοφιλοῦς ἔργου προθεὶς ἆθλα καὶ ἀριστεῖα. τὸ δ' 161
ἔργον τοιόνδε ἦν· Μωυσέως ἀναβάντος εἰς τὸ πλησίον ὄρος καὶ πλείους
ἡμέρας ἰδιάζοντος τῷ θεῷ, τὴν ἀπουσίαν αὐτοῦ καιρὸν ἐπιτήδειον εἶναι
νομίσαντες οἱ μὴ βέβαιοι τὰς φύσεις, ὥσπερ ἀναρχίας γενομένης, ἄφετοι
πρὸς ἀσέβειαν ὥρμησαν καὶ ἐκλαθόμενοι τῆς πρὸς τὸ ὂν ὁσιότητος
ζηλωταὶ τῶν Αἰγυπτιακῶν γίνονται πλασμάτων. εἶτα χρυσοῦν ταῦρον 162
κατασκευασάμενοι, μίμημα τοῦ κατὰ τὴν χώραν ἱερωτάτου ζῴου

1 στύλους P 1. 2 ἐπιβατικοῦ A: ἐπιβατικῶν V²OK, ἐπιβατικοὺς ceteri (Turn.) 2 πυρφόροι κατέφλεξαν βληθέντες GHP: πυρφόροι βληθέντες (κληθέντες F) κατέφλεξαν AVOKF, βληθέντες πυρφόροι κατέφλεξαν BE, βληθέντες κατέφλεξαν (om. πυρφόροι) M 3 ἄχρι A ἐδαπανήθησαν codd.: ἐδαπάνησαν Mang. 4 ἐπιλελεῖφθαι A, ὑπολειφθῆναι VOK, φαίνεσθαι BE 5 δοκῶ om. G καὶ καθαρωτάτου om. GHP (Turn.) 6 ἀνθ'] ἀφ' M αἴθριον GHP ὤμβρισεν F, ὤμβρησαν M 6. 7 ἀπὸ τοῦ οὐρανοῦ AGHP: ἀπ' οὐρανοῦ ceteri 7 pr. τε om. AFGHP ἀνθρώπων A ἀνθρωπείων τε καὶ θείων om. BEM 8 ἥρμοζε BEM ἀπονεμῆσθαι M 10 ἀγομένων HP (Turn.) 11 πανυγήρεσι M ἐν ἑορταῖς BEVOKF 12 post κοινῇ add. δὲ V²K 14 πλήθους corr. ex πλῆθος F ἱερὰς] οἰκείας F αἵρεσιν (sic) M ἐγένετο A (Turn.) καινοτάτη V²OK 15 φυλὴν A 16 ἔργον F προσθεὶς A ἆθλα καὶ] αὐτοῖς VOK ἀριστείαν G 17 Μωυσέως: incipit C fol. 120ᵛ μωσέως CBEM, μωυσέος ceteri 19 ἀφετοὶ A 20 τὸ ὂν] τοῦτον A 21 χρυσὸν HP 22 κατασκευάσαντες A; μετασκευασάμενοι Mang.

17 sqq. Exod. cap. 32

δοκοῦντος εἶναι, θυσίας ἀθύτους ἀνῆγον καὶ χοροὺς ἀχορεύτους ἵστασαν
ὕμνους τε ᾖδον θρήνων οὐδὲν διαφέροντας καὶ ἐμφορηθέντες ἀκράτου
διπλῇ μέθῃ κατίσχοντο, τῇ μὲν ἐξ οἴνου, τῇ δὲ καὶ ἀφροσύνης, κωμά-
ζοντές τε καὶ παννυχίζοντες ἀπροόρατοι τοῦ μέλλοντος ἡδέσι κακοῖς
συνεβίουν, ἐφεδρευούσης δίκης, ἣ μὴ βλέποντας ἔβλεπε καὶ ὧν ἄξιοι
163 τιμωριῶν εἰσιν. ἐπεὶ δὲ αἱ ἐν τῷ στρατοπέδῳ συνεχεῖς ἐκβοήσεις
κατὰ πολυανθρώπους ὁμίλους ἀθροιζομένων ἄχρι πολλοῦ διαστήματος
ἐχώρουν, ὡς καὶ μέχρι τῆς ἀκρωρείας τὴν περιήχησιν ἐλθεῖν,
πληχθεὶς τὰ ὦτα Μωυσῆς ἐν ἀμηχάνοις ἦν ἅτε θεοφιλὴς ὁμοῦ καὶ
φιλάνθρωπος, μήτ' ἐκλιπεῖν ὑπομένων τὰς πρὸς θεὸν ὁμιλίας, ἃς
ἰδιάζων μόνος μόνῳ διελέγετο, μήθ' ὑπεριδεῖν τοῦ πλήθους ἐμπιπλαμένου
164 τῶν ἐξ ἀναρχίας κακοπραγιῶν· ἔγνω γὰρ τὸν θροῦν δεινὸς | ὢν ἐκ p. 160 M.
φωνῆς ἀνάρθρου καὶ ἀσήμου στοχάσασθαι ψυχῆς ἀδήλων καὶ ἀφανῶν
τοῖς ἄλλοις παθῶν ἰδιότητας, ὅτι παροινίας ἐστὶν ἡ κατέχουσα ταραχή,
165 γεννώσης ἀκρασίας μὲν κόρον, κόρου δὲ ὕβριν. ἀνθελκόμενος δὲ καὶ
ἀντισπώμενος πρὸς ἑκατέρου μέρους ὧδε κἀκεῖσε τί χρὴ δρᾶν ἠπόρει.
σκοπουμένῳ δ' αὐτῷ θεσπίζεται τάδε· „βάδιζε ταχέως ἐνθένδε, κατά-
βηθι· πρὸς ἀνομίαν ἔσπευσεν ὁ λεώς· χειροποίητον κατασκευάσαντες ταυρό-
μορφον θεὸν οὐ θεὸν προσκυνοῦσι καὶ θύουσιν, ὧν εἶδον καὶ ὧν ἤκουσαν
166 ἁπάντων ὅσα συντείνει πρὸς εὐσέβειαν ἐκλαθόμενοι.“ καταπλαγεὶς δὲ
καὶ ἀναγκασθεὶς πιστεύειν ἀπίστοις πράξεσιν οἷα μεσίτης καὶ διαλλακτὴς
οὐκ εὐθὺς ἀπεπήδησεν, ἀλλὰ πρότερον τὰς ὑπὲρ τοῦ ἔθνους ἱκεσίας καὶ
λιτὰς ἐποιεῖτο συγγνῶναι τῶν ἡμαρτημένων δεόμενος· εἶτ' ἐξευμενι-
σάμενος ὁ κηδεμὼν καὶ παραιτητὴς τὸν ἡγεμόνα ἐπανῄει χαίρων ἅμα

1 δοκοῦντες VOK ἀνήγαγον HP (Turn.) 2 θρήνων οὐδὲν διαφέροντας GHP: οὐδὲν διαφέροντας θρήνων F, οὐδὲν θρήνων διαφέροντας ceteri ἐμφορηθέντας H$^1$P 3 κατίσχηντο F, κατέσχηντο A, κατείχοντο G; κατέσχοντο v τὴν μὲν . . . τὴν δὲ A ἀφροσύνης AGHP: ἐξ ἀφροσύνης ceteri 5 ἐπεβίουν HP (Turn.) τῆς δίκης BEMF post ἣ add. καὶ M ἣ μὴ βλέποντες (om. ἔβλεπε) Turn. 6 δ' A αἱ] καὶ G, om. AF 7 ἀθροιζόμεναι VOK, ἀθροιζομένο̣υ̣$^{ω}$ L (ἀθροιζομένῳ Turn.) 9 πλησθεὶς VOK 10 μήτε K 11 καὶ ante μήθ' add. M ἐμπιμ$^{μ}$πλαμένου C, ἐμπιπλαμένου A 12 κακοπραγειῶν F γὰρ] μὲν γὰρ M, γοῦν A 15 κόρου] νόμου Richt. 17 τάδε] ταῦτα A ἐνθένδε] ἐντεῦθεν BEMF 18 λαός AG 19 οὐ θεὸν AGHP: ὃν BEMVOK, ὃν καὶ F, ὧ C θύουσιν] σέβουσιν VOK 21 πιστεύει CA (Turn.) πράξεσιν] πράγμασιν BM οἷα BEM: οἷα δὲ CV$^1$, οἷα δὴ V$^2$OK, καὶ οἷα AFGHP διαλλακτὴς A: διαιτητὴς ceteri (Turn.) 24 παραιτητὴς] παραστάτης V$^2$OK

καὶ κατηφῶν· ἐγεγήθει μὲν γὰρ τὴν ἱκεσίαν τοῦ θεοῦ προσιεμένου,
συννοίας δὲ καὶ κατηφείας μεστὸς ἦν οἰδῶν ἐπὶ τῇ τοῦ πλήθους παρα-
νομίᾳ. (20.) γενόμενος δ' ἐν μέσῳ τοῦ στρατοπέδου καὶ τὴν ἐξαπίναιον 167
ἐκδιαίτησιν τοῦ πλήθους θαυμάσας καὶ ὅσον ψεῦδος ἀνθ' ὅσης ἀληθείας
ὑπηλλάξαντο, κατιδὼν οὐκ εἰς ἅπαντας τὴν νόσον ἀφιγμένην, ἀλλά τινας
ὑγιαίνοντας ἔτι καὶ μισοπονήρῳ πάθει χρωμένους, βουλόμενος διαγνῶναι
τούς τε ἀνιάτως ἔχοντας καὶ τοὺς ἐπὶ τοῖς πεπραγμένοις δυσχεραίνοντας
καὶ εἰ δή τινες ἁμαρτόντες μετανοοῦσι, κήρυγμα κηρύττει — τὸ δ' ἦν
ἄρα βάσανος ἀκριβὴς τῆς ἑκάστου διανοίας, ὡς ἔχοι πρός τε ὁσιότητα
καὶ τοὐναντίον —. „εἴ τις" γάρ φησι „πρὸς κύριον, ἴτω πρὸς μέ." βραχὺ 168
μὲν τὸ λεχθέν, μεγάλη δ' ἡ ἔμφασις, ἔστι γὰρ τοιόνδε τὸ δηλούμενον·
εἴ τις μηδὲν τῶν χειροποιήτων μηδ' ὅσα γενητὰ νομίζει θεούς, ἀλλ'
ἕνα τὸν ἡγεμόνα τῶν ὅλων, ἐμοὶ προσίτω. τῶν μὲν οὖν ἄλλων οἱ μὲν 169
ἕνεκα τοῦ τὸν Αἰγυπτιακὸν ἐζηλωκέναι τῦφον ἀφηνιάζοντες οὐ προσεῖχον
τοῖς λεγομένοις, οἱ δὲ φόβῳ κολάσεως ἴσως ἐγγυτέρω προσελθεῖν οὐκ
ἐθάρρουν ἢ τὴν ἐκ Μωυσέως τίσιν δεδιότες ἢ τὴν ἐκ τοῦ πλήθους
ἐπανάστασιν· ἀεὶ γὰρ οἱ πολλοὶ τοῖς μὴ συναπονοουμένοις ἐπιτίθενται.
μία δ' ἐξ ἁπάντων ἡ λεγομένη Λευϊτικὴ φυλὴ τοῦ κηρύγματος ἐπα- 170
κούσασα καθάπερ ἀφ' ἑνὸς συνθήματος ἔθει μετὰ σπουδῆς, τῇ ποδω-
κείᾳ τὴν προθυμίαν ἐπιδεικνυμένη καὶ τὴν ὀξύτητα τῆς εἰς εὐσέβειαν
p. 161 M. ψυχικῆς | ὁρμῆς. οὓς ἰδὼν Μωυσῆς ὥσπερ ἀπὸ βαλβῖδος ἁμιλλωμένους 171
„εἰ μὴ μόνον τοῖς σώμασιν" εἶπεν „ἐπισπεύδετε τὴν πρὸς ἡμᾶς ἄφιξιν
ἀλλὰ καὶ ταῖς διανοίαις, αὐτίκα μαρτυρηθήσεται· ξίφος ἀναλαβὼν ἕκαστος

---

1 κατηφιῶν CAV²OK, κατηφιών F 3 ἐξαπιναίαν BEM (Mang.), ἐξαπιναίως A (Turn.) 5 ὑπηλλάξαντο AF²: ὑπηλλάξατο F¹GHP, ἠλλάξατο C, ἠλλάξαντο ceteri οὐ ante κατιδὼν add. M., post κατιδὼν add. δ' F πάντας A (v) ἀλλά] ἀλλὰ καί A (v) 6 ὑγιαίνοντας om. M 8 καὶ om. VOK δή FGHP: ἤδη ceteri (v) ἁμαρτάνοντες M δὲ VOK 9 ἔχει VOK 10 εἴ τις] τίς (om. εἰ) A (Mang.) κυρίου BEMV¹ (prob. Mang.) 11 ἡ AFGHP: om. ceteri τὸ δηλούμενον om. P δηλού λεγόμενον A, λεγόμενον BEMF 12 μηδὲν] μηδὲ H γενητὰ] γε νοητὰ O νομίζῃ A, νομίζοι G ἀλλὰ (om. ἕνα) A 14 τοῦ τὸν] τοῦτον F 16 pr. ἢ om. A μωυσέως CV¹BE: μωσέως A, μωυσέος ceteri 17 αἰεὶ GHP 18 δὲ CVO ἐξ om. Turn. λεγομένη om. M 19 μετὰ πολλῆς σπουδῆς A (v) 20 ἐπιδεικνυμένη AFGHP: ἐπιδεικνύμενοι ceteri τῇ ὀξύτητι VOK τῆς] τὴν VOK, post τὴν aliquid eras. V εἰς om. C εὐσεβείαι (sic) C 21 ψυχικὴν ὁρμήν V²OK ὁρμῆς] ὀργῆς A 22 εἶπεν om. F 23 μαρτυρηθήσεται AF: μαρτυρηθήσεσθε ceteri (μαρτυρήσεσθε v)

τοὺς μυρίων ἄξια θανάτων εἰργασμένους, οἳ τὸν ἀληθῆ θεὸν καταλιπόντες τοὺς ψευδωνύμους ἐδημιούργησαν φθαρταῖς καὶ γενηταῖς οὐσίαις τὴν τοῦ ἀφθάρτου καὶ ἀγενήτου πρόσρησιν ἐπιφημίσαντες, συγγενεῖς καὶ φίλους ἀποκτεινάτω φιλίαν καὶ συγγένειαν ὑπολαβὼν εἶναι
172 μόνην ἀνδρῶν ἀγαθῶν ὁσιότητα.“ οἱ δὲ τὴν παραίνεσιν ἑτοιμότητι φθάσαντες, ἐπεὶ καὶ τὰς γνώμας ἔτυχον ἠλλοτριωμένοι σχεδὸν ἀφ' οὗ τὸ παρανόμημα γενόμενον εἶδον, ἀναιροῦσιν ἡβηδὸν εἰς τρισχιλίους τῶν πρὸ μικροῦ φιλτάτων. κειμένων δ' ἐν ἀγορᾷ μέσῃ τῶν σωμάτων, ἡ πληθὺς θεασαμένη τοὺς μὲν ᾤκτίσατο, τὸ δὲ τῶν κτεινόντων ἔνθερμον ἔτι καὶ μεστὸν ὀργῆς παράστημα καταδείσασα φόβῳ νουθετεῖται.
173 Μωυσῆς δὲ τὴν ἀριστείαν ἀποδεξάμενος γέρας ἐπενόησε καὶ ἐβεβαίωσε τῇ πράξει τὸ οἰκεῖον· ἔδει γὰρ τοὺς ὑπὲρ θεοῦ τιμῆς ἑκούσιον πόλεμον ἀραμένους καὶ βραχεῖ καιρῷ κατωρθωκότας ἀξιωθῆναι τῆς θεραπείας αὐτοῦ λαχόντας ἱερωσύνην.
174 (21.) Ἐπεὶ δ' οὐ μία τάξις τῶν ἱερωμένων, ἀλλ' οἷς μὲν ἐπιτέτραπται τὰ περὶ τὰς εὐχὰς καὶ θυσίας καὶ τὰς ἄλλας ἱερουργίας ἄχρι τῶν ἀδύτων ἰοῦσιν, οἷς δὲ τούτων μὲν οὐδέν, ἐπιμέλειαι δὲ καὶ φυλακαὶ μεθ' ἡμέραν καὶ νύκτωρ τοῦ τε ἱεροῦ καὶ τῶν ἐν αὐτῷ, οὓς νεωκόρους ἔνιοι καλοῦσιν, ἡ πολλοῖς πολλαχοῦ μυρίων αἰτία κακῶν γενομένη περὶ πρωτείων στάσις ἐπεπόλασε κἀνταῦθα, τῶν νεωκόρων ἐπιθεμένων τοῖς ἱερεῦσι καὶ τὴν ἐκείνων τιμὴν παρασπάσασθαι διανοηθέντων· καὶ τοῦτ' εὐμαρῶς ἤλπισαν ἔσεσθαι πολλαπλασίους τὸν ἀριθμὸν

---

1 μυρία VOK  ἄξια θανάτων AGHP: θανάτων ἄξια CBEMF, θανάτου ἄξια VOK  2 γεννηταῖς VOK  3 ἀγενήτου (ἀγεννήτου VOK) καὶ ἀφθάρτου transp. CAVOK (v)  4 ἀποκρινέτω C[1], ἀποκειράτω VOK  5 μόνην om. H  μόνον P  ἑτοιμότατα AHP (v)  7 γινόμενον CAVOK, γενόμενον om. P  8 φιλτάτων κειμένων coniung. et post κειμένων interpung. BEM  δ'] ἃ BEM (V[1] ut vid.), δὲ V[2]  9 τοὺς] οὓς VOK  ᾤκτίσατο codd.: οἰκτίσατο v  10 ὀργῆς] ὁρῶσα P  11 ἐπενόησε] ἐπάνω γε (sic) A  12 τοὺς corr. ex τῆς C  13 κατορθωκότας FO  ⟨αἰωνίου⟩ θεραπείας coni. Mang.  14 αὐτοῦ] τοὺς V[1], eras. V[2], om. OK  ἱερωσύνην: desinit C fol. 122r  15 δὲ VOK  ἀλλ' eras. V[2], om. OK  16 τὰ] τὰς O, om. A  ἄλλας om. VOK  ἱερουργίας AFGHP: λειτουργίας ceteri  17 μὲν AFGHP: om. ceteri  ἐπιμέλεια AG (v)  18 φυλακὴ G, φρουρὰ καὶ A (v)  19 post ἡ add. μέντοι V[2]OK  κακῶν αἰτία transp. A (v)  20 γινομένη VOK  περὶ om. G  ἐπεπόλαυσε M  21 παρασπάσασθαι AF: παραστήσασθαι ceteri  21. 22 διανοηθέντων] βουληθέντων A (v)  22 εὐμαρὲς coni. Mang.  ἤλπισαν AGHP: ἤλπιζον ceteri  πολλαπλασίους AGHP: πολλαπλάσιοι ceteri  τὸν om. AP, ss. H

---

20 Num. 16,1 sqq.

ὄντες. ὑπὲρ δὲ τοῦ μὴ δοκεῖν ἰδίᾳ γνώμῃ νεωτερίζειν καὶ τὴν πρεσβυ- 175
τάτην τῶν δώδεκα φυλῶν συμφρονεῖν ἀναπείθουσιν, ᾗ πολλοὶ τῶν εἰκαι-
οτέρων ἐπηκολούθησαν ὡς ἔχειν δυναμένῃ πρεσβεῖον ἡγεμονίας. μέγαν 176
τοῦτον ἐπιτειχισμὸν ἔγνω Μωυσῆς φυόμενον καθ' αὑτοῦ· τὸν γὰρ ἀδελφὸν
ἀρχιερέα κατὰ τὰ χρησθέντα λόγια ᾕρητο, διαβολαὶ δ' ἦσαν ὡς τοὺς μὲν
χρησμοὺς ἐπιψευσαμένου, ποιησαμένου δὲ τὴν αἵρεσιν διὰ τὴν οἰκειότητα
καὶ τὴν πρὸς τὸν ἀδελφὸν εὔνοιαν. ἐφ' οἷς εἰκότως ἀνιαθείς, εἰ μὴ μόνον 177
ἀπιστεῖται διὰ τοσούτων ἐλέγχων τὴν ἑαυτοῦ πίστιν ἐπιδειξάμενος, ἀλλὰ
p. 162 M. καὶ ἐπ' | ἔργοις ἅπερ ἀναφέρεται πρὸς θεοῦ τιμήν, δι' ἃ μόνα καὶ τὸν
ἐν τοῖς ἄλλοις τὸ ἦθος κατεψευσμένον ἀναγκαῖον ἦν ἀληθεύειν —
ἀλήθεια γὰρ ὀπαδὸς θεοῦ —, λόγοις μὲν ἀναδιδάσκειν περὶ τῆς ἑαυτοῦ
προαιρέσεως οὐκ ἐδοκίμαζε, τὸ μεταπείθειν ἐπιχειρεῖν τοὺς προκατα-
ληφθέντας ἐναντίαις δόξαις ἀργαλέον εἰδώς, ἱκετεύει δὲ τὸν θεὸν
ἐμφανεῖς ἀποδείξεις αὐτοῖς παρασχεῖν περὶ τοῦ μηδὲν ἐψεῦσθαι κατὰ
τὴν τῆς ἱερωσύνης αἵρεσιν. ὁ δὲ κελεύει δώδεκα ῥάβδους λαβεῖν ταῖς 178
φυλαῖς ἰσαρίθμους καὶ τὰ μὲν τῶν ἄλλων ὀνόματα φυλάρχων ἐπιγράψαι
ταῖς ἕνδεκα, τῇ δὲ λοιπῇ τὸ τοῦ ἀδελφοῦ καὶ ἀρχιερέως, εἶτ' εἰς τὸν
νεὼν ἄχρι τῶν ἀδύτων εἰσενεγκεῖν· ὁ δὲ τὰ προσταχθέντα ποιήσας
ἐκαραδόκει τὸ ἀποβησόμενον. τῇ δ' ὑστεραίᾳ λογίῳ πληχθείς, ἅπαντος 179
τοῦ ἔθνους παρεστῶτος, εἰσέρχεται καὶ τὰς ῥάβδους ἐκκομίζει, τὰς μὲν
ἄλλας οὐδὲν διάφορον ἐχούσας, μίαν δ' ἐφ' ᾗ τοὔνομα ἐπεγέγραπτο

1 δὲ om. H¹P, ss. H² 1. 2 post πρεσβυτάτην add. φυλὴν A 2 δυοκαίδεκα A (Turn.), ιβ' VO φυλῶν] φυλὴν VK, om. A ἀναπείθουσι συμφρονεῖν transp. BEMF, συμφρονεῖν om. O ᾗ V²OK¹: οἱ AF, οἷς ceteri 2. 3 οἰκειοτέρων M (Turn.) 3 ἐπηκολούθησεν M ἔχει EH¹P δυναμένην M, δυνάμενοι AK² πρεσβείαν BEMF, πρεσβείας VO, πρεσβείαις K (ειον superscr.) ἡγεμονίας FGHP: ἡγεμονίαν ceteri 4 μωυσῆς ἔγνω transp. A (v) καθ' αὑτοῦ AV²OK: κατ' αὐτοῦ ceteri 5 εἵρητο M, ἥρατο F ὡς μὲν τοὺς transp. A 7 τὴν om. H¹P, ss. H² 8 διὰ τοσούτων ἐλέγχων] καὶ ταῦτα τοσούτοις ἐλέγχοις V²OK ἑαυτῶν F 9 πρὸς AFGHP: εἰς ceteri τιμὴν θεοῦ transp. F 11 ἀναδιδάσκει M 12. 13 προκαταλειφθέντας M 13 ἐναντίαις] ἐν ταῖς A 15 δώδεκα AF: δεκαδύο ceteri 16 φυλάρχων ὀνόματα transp. P 17 λοιπῇ] Λευιτικῇ mirabiliter coni. Mang. τὸ om. F εἶτα VOK 17. 18 εἰς νεὼ (om. τὸν) A 19 λογείω (ει ex ϊ corr.) M 20 παρεστῶτος Mang. (et ipse conieceram: cf. 250,13): προεστῶτος codd. 21 διάφορον AFGHP Barb.: διαφέρον ceteri δὲ VOK ᾗ FGHP: ἧς ceteri (v) ἐπεγέγραπτο om. Barb.

12 — 13 N fol. 157ᵛ: τὸ μεταπείθειν — ἀργαλέον εἰδώς. 15 sqq. Num. cap. 17
20 — 245,9 Catena Barber. IV 56 fol. 141ᵛ Φίλωνος ἑβραίου ἐκ τοῦ περὶ τοῦ μωσέως βίου λόγου δευτέρου: τὰς ῥάβδους ἐκκομίζει μωσῆς — γευσάμενον εὐσεβείας ὤργισε.

τοῦ ἀδελφοῦ τεθαυματουργημένην· οἷα γὰρ φυτὸν εὐγενὲς ἅπασα νέους
180 βλαστοὺς ἐξέφυσε καὶ ὑπ' εὐφορίας καρπῶν ἔβριθεν. (22.) οἱ δὲ
καρποὶ κάρυα ἦσαν, ἃ φύσιν ἐναντίαν ἔχει τοῖς ἄλλοις· ἐπὶ γὰρ τῶν
πλείστων, σταφυλῆς, ἐλαίας, μήλων, διαφέρει τὸ σπέρμα καὶ τὸ ἐδώ-
διμον, ἃ διαφέροντα τόποις χωρίζεται· τὸ μὲν γὰρ ἐδώδιμον ἔξω, τὸ
δὲ σπέρμα εἴσω κατακέκλεισται· τοῦ δὲ καρύου ταὐτόν ἐστι τό τε
σπέρμα καὶ τὸ ἐδώδιμον, ἀμφοτέρων εἰς μίαν ἰδέαν ἀποκριθέντων, καὶ
τόπος εἷς ὁ ἐντὸς ὠχυρωμένος καὶ περιπεφρουρημένος ἕρκει διπλῷ, τῷ
μὲν ἐκ φλοιοῦ πάνυ βαθέος, τῷ δ' οὐδὲν ἀποδέοντι ξυλίνου κατα-
181 σκευάσματος· ἀφ' οὗ τελείαν ἀρετὴν αἰνίττεται. ὥσπερ γὰρ ἐν καρύῳ
ταὐτόν ἐστιν ἀρχὴ καὶ τέλος, ἀρχὴ μὲν ᾗ σπέρμα, τέλος δὲ ᾗ καρπός,
οὕτως ἔχει καὶ ἐπὶ τῶν ἀρετῶν· ἑκάστῃ γὰρ συμβέβηκεν εἶναι καὶ ἀρχὴν
καὶ τέλος, ἀρχὴν μέν, ὅτι οὐκ ἐξ ἑτέρας δυνάμεως ἀλλ' ἐξ ἑαυτῆς
182 φύεται, τέλος δέ, ὅτι πρὸς αὐτὴν ὁ κατὰ φύσιν βίος σπεύδει. μία μὲν
αἰτία ἥδε, λέγεται δὲ καὶ ἑτέρα τῆς προτέρας ἐμφαντικωτέρα· καρύου
τὸ μὲν φλοιῶδές ἐστι πικρόν, τὸ δ' εἴσω περικείμενον ὡσανεὶ ξύλινον ἕρκος
στιφρὸν εὖ μάλα καὶ κραταιόν, οἷς ἀμφοτέροις ὁ καρπὸς ἐγκατακεκλεισμένος
183 οὐκ ἔστιν εὔληπτος. τοῦτο ποιεῖται σύμβολον ἀσκητικῆς ψυχῆς, ἀφ' οὗ προ-
τρέπειν αὐτὴν οἴεται δεῖν ἐπ' ἀρετὴν ἀναδιδάσκων, ὅτι πόνῳ προεντυχεῖν ἀναγ-
καῖον· πικρὸν δὲ καὶ ἀντιτυπὲς καὶ σκληρὸν ὁ πόνος, ἐξ οὗ φύεται τἀγαθόν,

---

1 τοῦ ἀδελφοῦ GHP Barb.: τἀδελφοῦ ceteri νέους] εὐθὺς A (Turn.) 5 ἃ — ἐδώδιμον om. AVOK ἃ διαφέροντα] διαφέρον δὲ BEM χαρίζεται H[1]P post ἔξω add. γὰρ τὸ ἐδώδιμον αὐτῶν ἐστι V[2]OK 6 κατακεκλεῖσθαι FGHP τε AGHP Barb.: om. ceteri 8 ὀχυρωμένος A περιφρουρημένος BEMV[1], πεφρουρημένος V[2]OKF τῷ] τὸ E 9 φλιοῦ M βαθέος πάνυ transp. BM ἀποδέοντος V[2]OKHP 10 γάρ ἐστιν HP (bis igitur ἐστιν positum) 11 ᾗ] ἡ (bis) BEM δ' K 12 alt. καὶ om. K ἀρχὴν Turn. (v): ἀρχὴ AFGHP Barb., ἀρχῇ ceteri 13 τέλος AFGHP Barb.: τέλει ceteri ἀρχὴν Turn. (v): ἀρχῇ BEMVO, ἀρχὴ ceteri 14 τέλος AFGH Barb.: τέλει ceteri μὲν οὖν Barb. 16 φλυῶδες B, φλιῶδες M 17 στιφρὸν BEMV[1]G[1]H[1]P[1]: στριφνὸν FG[2]P[2], στρυφνὸν AH[2]V[2]O Barb. (v), στηρφνὸν (τυ supra) (sic) K ἐγκατακεκλεισμένος om. BEM 18 εὔληπτος] εὔλογος Barb. ἀσκητὴς (sic) F 19 δεῖν om. BEM οἴεται δεῖν] σπεύδειν coni. Mang. προσεντυχεῖν BEMV[1], sed σ eras. EV[2], προεντυγχάνειν Barb. 20 σκηρὸν M, μακρὸν N

---

19 — 243,5 N fol. 158[r]: ὅτι πόνῳ — ἐνδιαιτᾶσθαι. 19 — 243,3 D[R] fol. 274[r] Φίλωνος ἐκ τοῦ περὶ Μωυσέος βίου: τὸ πόνῳ κτηθὲν τυγχάνει ἀναγκαῖον. πικρὸς δὲ καὶ σκληρὸς καὶ ἀντιτυπὴς πόνος — μακαριότητα.

p. 163 M. οὗ χάριν οὐ μαλακιστέον. ὁ | μὲν γὰρ τὸν πόνον φεύγων φεύγει καὶ 184
τὰ ἀγαθά, ὁ δὲ τλητικῶς καὶ ἀνδρείως ὑπομένων τὰ δυσκαρτέρητα
σπεύδει πρὸς μακαριότητα· οὐ γὰρ ἁβροδιαίτοις καὶ τὴν ψυχὴν ἐκτεθηλυμμένοις καὶ τὸ σῶμα διαρρέουσιν ὑπὸ τῆς καθ' ἑκάστην ἡμέραν ἀδιαστάτου
θρύψεως ἀρετὴ πέφυκεν ἐνδιαιτᾶσθαι, κακουμένη δὲ μετανίσταται πρότερον
ἀπόλειψιν χρηματίσασα πρὸς τὸν ἄρχοντα τὸν ὀρθὸν λόγον. ἀλλ' εἰ δεῖ 185
τἀληθὲς εἰπεῖν, ὁ φρονήσεως καὶ σωφροσύνης ἀνδρείας τε καὶ δικαιοσύνης
ἱερώτατος θίασος ἀσκητὰς μετατρέχει καὶ ὅσοι τὸν αὐστηρὸν καὶ σκληροδίαιτον βίον, ἐγκράτειαν καὶ καρτερίαν, ζηλοῦσι σὺν εὐτελείᾳ καὶ ὀλιγοδεΐᾳ,
δι' ὧν τὸ κυριώτατον τῶν ἐν ἡμῖν, ὁ λογισμός, εἰς ὑγείαν ἄνοσον καὶ εὐεξίαν
ἐπιδίδωσι καθελὼν τὸν βαρὺν τοῦ σώματος ἐπιτειχισμόν, ὃν οἰνοφλυγίαι
καὶ ὀψοφαγίαι καὶ λαγνεῖαι καὶ αἱ ἄλλαι ἀπλήρωτοι ἐπιθυμίαι συνεκρότησαν γεννήσασαι τὴν ἀντίπαλον ἀγχινοίας πολυσαρκίαν. λέγεται 186
μέντοι καὶ τῶν ἐν ἔαρι βλαστάνειν εἰωθότων δένδρων ἡ ἀμυγδαλῆ καὶ
πρῶτον ἀνθεῖν εὐαγγελιζομένη φορὰν ἀκροδρύων καὶ ὕστατον φυλλορροεῖν
τὴν ἐπέτειον πρὸς μήκιστον ἀποτείνουσα τῆς χλόης εὐγηρίαν· ὧν ἑκάτερον
ποιεῖται σύμβολον τῆς ἱερατικῆς φυλῆς, αἰνιττόμενος ὅτι καὶ πρώτη
καὶ ὑστάτη τοῦ σύμπαντος ἀνθρώπων γένους ἀνθήσει, καθ' ὃν
ἂν χρόνον δόξῃ τῷ θεῷ ταῖς ἐαριναῖς τροπαῖς ἐξομοιῶσαι τὸν ἡμέτερον
βίον ἀνελόντι τὴν ἐπίβουλον καὶ τοῦ κακοδαιμονεῖν πηγὴν πλεονεξίαν.

---

1 καταμαλακιστέον D τὸν om. VOK καὶ om. AD Flor. Par. nonnulli Max. codd. 2 τἀγαθὰ BEMA δὲ] δ' αὖ A (v) ἀνδρίως A 3 σπεύδει] φεύγει VOK οὐ] οὐδὲ A (v) καὶ om. AF Barb., post ψυχὴν transp. N ψυχήν τ' A 3. 4 ἐκτεθηλυμμένοις scripsi: ἐκτεθηλυμένοις V²OKFP Barb., ἐκτεθηλυσμένοις ceteri (v) 5 μετανίσταται Barb. (coni. Mang.): μετανίστασθαι codd. (v) 6 ἀπολείψειν BEMVOK¹ τὸν ὀρθὸν λόγον A (with ω ω ω written above: τῶν ὀρθῶν λόγων) (τῶν ὀρθῶν λόγων Turn.) δεῖ] δὴ Barb., χρὴ A (v) 7 ἀνδρίας AE 9 post ἐγκράτειαν add. τε Mang. ὀλιγοδεεία BEM, ὀλιγοδεεῖ G 10 ὑγίειαν VKG Barb. 11 καθαιρῶν A ὃν] οἷον AG 12 καὶ λαγνεῖαι] καὶ ὀψοφαγίαι (sic) A αἱ om. A (v) 14 ἐν om. AVOK βλαστάνειν εἰωθότων AFGHP Barb.: βλαστανόντων ceteri ἀμυγδάλη AFV¹ 14. 15 καὶ πρῶτον AV²K Barb.: καὶ om. ceteri 15 φυλορροεῖν M, φυλλοροεῖν BEV¹ 16 ἐπέτειον] ὑπέτιον BEM, ὑπαίτιον F (V¹ ut vid.) πρὸς μήκιστον ἀποτείνουσα om. O εὐγηρίαν AFGH Barb.: ἀγηρίαν P, εὐετηρίαν ceteri 17 αἰνιττόμενον V²OK καὶ AFGHP Barb.: om. ceteri 20 ἐπιβουλὴν A κακοδαιμονᾶν VOK πηγὴν AFGH Barb.: πληγὴν P, τὴν γῆν BEMO, τὴν γῆν (πηγὴν written above) VK

---

1—3 Mel. Barocc. fol. 239ᵛ Flor. Par. Nr. 13 Max. Ecl. cap. 32 Anton. Mel. II 45 Col. 1124 Φίλωνος: ὁ μὲν τὸν πόνον φεύγων — μακαριότητα.

187 (23.) Ἐπειδὴ τοίνυν τῷ τελειοτάτῳ ἡγεμόνι τέτταρα δεῖν ἔφαμεν
προσεῖναι, βασιλείαν καὶ νομοθετικὴν ἕξιν καὶ ἱερωσύνην καὶ προ-
φητείαν, ἵνα διὰ μὲν τῆς νομοθετικῆς προστάττῃ ἃ δεῖ καὶ ἀπα-
γορεύῃ ἃ μὴ δεῖ πράττειν, διὰ δὲ τῆς ἱερωσύνης μὴ μόνον
τἀνθρώπεια ἀλλὰ καὶ τὰ θεῖα διέπῃ, διὰ δὲ τῆς προφητείας ὅσα μὴ
λογισμῷ καταλαμβάνεται θεσπίζῃ, διειλεγμένος περὶ τῶν πρώτων
τριῶν καὶ ἐπιδεδειχὼς Μωυσῆν ἄριστον βασιλέα καὶ νομοθέτην καὶ
ἀρχιερέα τὸ τελευταῖον ἔρχομαι δηλώσων, ὅτι καὶ προφήτης γέγονε
188 δοκιμώτατος. οὐκ ἀγνοῶ μὲν οὖν, ὡς πάντ' εἰσὶ χρησμοί, ὅσα ἐν ταῖς
ἱεραῖς βίβλοις ἀναγέγραπται, χρησθέντες δι' αὐτοῦ· λέξω δὲ τὰ ἰδιαίτερα,
πρότερον εἰπὼν ἐκεῖνο· τῶν λογίων τὰ μὲν ἐκ προσώπου τοῦ θεοῦ
λέγεται δι' ἑρμηνέως τοῦ θείου προφήτου, τὰ δ' ἐκ πεύσεως καὶ ἀπο-
κρίσεως ἐθεσπίσθη, τὰ δ' ἐκ προσώπου Μωυσέως ἐπιθειάσαντος καὶ ἐξ
189 αὐτοῦ κατασχεθέντος. τὰ μὲν οὖν πρῶτα ὅλα δι' ὅλων ἀρετῶν θείων
δείγματά ἐστι, τῆς τε | ἵλεω καὶ εὐεργέτιδος, δι' ὧν ἅπαντας μὲν p. 164 M.
ἀνθρώπους πρὸς καλοκἀγαθίαν ἀλείφει, μάλιστα δὲ τὸ θεραπευτικὸν
190 αὐτοῦ γένος, ᾧ τὴν πρὸς εὐδαιμονίαν ἄγουσαν ἀνατέμνει ὁδόν· τὰ δὲ
δεύτερα μῖξιν ἔχει καὶ κοινωνίαν, πυνθανομένου μὲν τοῦ προφήτου
περὶ ὧν ἐπεζήτει, ἀποκρινομένου δὲ τοῦ θεοῦ καὶ διδάσκοντος· τὰ δὲ
τρίτα ἀνατίθεται τῷ νομοθέτῃ, μεταδόντος αὐτῷ τοῦ θεοῦ τῆς προγνω-
191 στικῆς δυνάμεως, ᾗ θεσπιεῖ τὰ μέλλοντα. τὰ μὲν οὖν πρῶτα ὑπερ-
θετέον, μείζω γάρ ἐστιν ἢ ὡς ὑπ' ἀνθρώπου τινὸς ἐπαινεθῆναι, μόλις
ἂν ὑπ' οὐρανοῦ τε καὶ κόσμου καὶ τῆς τῶν ὅλων φύσεως ἀξίως ἐγκω-
μιασθέντα, καὶ ἄλλως λέγεται ὡσανεὶ δι' ἑρμηνέως· ἑρμηνεία δὲ καὶ

---

1 ἔφημεν VOK     3 προστάττει M     post ἃ δεῖ add. ποιεῖν HP (Turn.)
3. 4 ἀπαγορεύει E, ἀπαγορεύειν M     5 τὰ ἀνθρώπεια AFVOK Barb.     ὅσῳ FP
6 θεσπίζει F     7 μωσῆν Barb.     8 προφήτης FGHP: προφητῶν ceteri (v)
9 ἀγνοῶν A     οὖν] ἴσως A     πάντα A, πάντες F Barb.     10 δι'] παρ' A     λέξαι M     ἰδιαίτερα] εἴδη A     11 πρότερον] πρῶτον BEM
τὰ μὲν] τὰ μὲν γὰρ A, γὰρ τὰ μὲν v     ἐκ τοῦ προσώπου G     τοῦ ante θεοῦ om. M     12 θείου FGHP Barb.: om. ceteri     δὲ Barb.
13 δὲ Barb.     τοῦ μωυσέος P     μωυσέως BEMV¹: μωσέως Barb., μωυσέος ceteri
ἐπιθειάζοντος M     14 αὐτοῦ codd. (Turn.)     15 δείγματ' A Barb.
τε AFGHP Barb.: om. ceteri     16 δὲ om. BEM     17 ᾧ] ὃ G
δὲ AFGHP Barb.: om. ceteri     18 μὲν] μέντοι FHP Barb., om. G
19 ἐπεζήτει AGHP Barb.: ἐπιζητεῖ ceteri     20 ἀνατέθειται V²OK     21 ἢ AHP
22 μείζονα AVOK Barb.     ὑπ'] ἐπ' O     ἐπαναθῆναι Barb.     23 ἂν] δὲ VOK     23. 24 ἐγκωμιασθῆναι V²OK     24 post ἄλλως add. ὅτι V²OK
διερμηνέως E

προφητεία διαφέρουσι. περὶ δὲ τῶν δευτέρων αὐτίκα πειράσομαι δηλοῦν
συνυφήνας αὐτοῖς καὶ τὸ τρίτον εἶδος, ἐν ᾧ τὸ τοῦ λέγοντος ἐνθουσιῶδες
ἐμφαίνεται, καθ' ὃ μάλιστα καὶ κυρίως νενόμισται προφήτης.

(24.) Τῆς δ' ὑποσχέσεως ἀρκτέον ὧδε. τέτταρές εἰσι τόποι διὰ 192
πεύσεως καὶ ἀποκρίσεως χρησμοῖς νομοθετηθέντες, μικτὴν ἔχοντες
δύναμιν· τῇ μὲν γὰρ ὁ προφήτης ἐνθουσιᾷ πυνθανόμενος, τῇ δὲ ὁ πατὴρ
θεσπίζει λόγου καὶ ἀποκρίσεως μεταδιδούς. ἔστι δὲ πρῶτος, ὃς οὐχ
ὅτι Μωυσῆν ὁσιώτατον τῶν πώποτε γενομένων ἀλλὰ καὶ τὸν ἐπὶ βραχὺ
γευσάμενον εὐσεβείας ὤργισεν. ἐξ ἀνομοίων τις γενόμενος ἄνθρωπος νόθος, 193
Αἰγυπτίου μὲν πατρός, μητρὸς δὲ Ἰουδαίας, τῶν μὲν ταύτης πατρίων
ἐθῶν ἠλόγησε, πρὸς δὲ τὴν Αἰγυπτιακήν, ὡς λόγος, ἀπέκλινεν ἀσέβειαν
τὴν τῶν ἀνδρῶν ζηλώσας ἀθεότητα. μόνοι γὰρ σχεδὸν ἁπάντων ἐθνῶν 194
Αἰγύπτιοι γῆν ἐπετείχισαν οὐρανῷ, τὴν μὲν ἰσοθέων τιμῶν ἀξιώσαντες,
τῷ δ' οὐδὲν γέρας ἐξαίρετον ἀπονείμαντες, ὡς δέον πρὸ τῶν βασιλείων
τὰς ἐσχατιὰς περιέπειν — ἐν γὰρ κόσμῳ βασίλειον μὲν ἱερώτατον
οὐρανός, ἐσχατιὰ δὲ γῆ, καθ' ἑαυτὴν μὲν ἀξιοσπούδαστος, εἰς δὲ
σύγκρισιν ἰοῦσα αἰθέρος ἀπολειπομένη τοσοῦτον ὅσον σκότος μὲν φωτός,
νὺξ δὲ ἡμέρας, φθορὰ δ' ἀφθαρσίας καὶ θνητὸς θεοῦ —. τῆς γὰρ 195
χώρας οὐχ ὑετῷ καθάπερ αἱ ἄλλαι νιφομένης, ἀλλὰ ταῖς τοῦ ποταμοῦ
πλημμύραις εἰωθυίας ἀνὰ πᾶν ἔτος λιμνάζεσθαι, θεοπλαστοῦσι τῷ λόγῳ
τὸν Νεῖλον Αἰγύπτιοι ὡς ἀντίμιμον οὐρανοῦ γεγονότα καὶ περὶ τῆς
χώρας σεμνηγοροῦσιν. (25.) ὁ δὴ μικτὸς οὗτος ἐκεῖνος διενεχθείς τινι 196
τῶν ἀπὸ τοῦ ὁρατικοῦ καὶ ἐπιστημονικοῦ γένους, ἀκράτωρ ὑπ'

---

2 συνυφήνας AFGHP Barb.: συνυφάνας ceteri 3 καθὸ AFHP 4 τέσσαρες G Barb. γάρ εἰσι BEM τόποι AGHPV[1] Barb.: τρόποι ceteri 5 χρησμῶν V[2]K[1] 6 τῇ AGHPK[2] Barb.: πῇ ceteri τῇ AGHPK[2] Barb.: πῇ ceteri δ' AVOK Barb. 7 πρῶτος ὃς F Barb.: ὁ πρῶτος A, πρῶτον ceteri (v) 8 μωσῆν Barb. post ὁσιώτατον add. καὶ θεοφιλέστατον A (v) πώποτε] ποτε A (Turn.) ἐπὶ AFG Barb.: om. ceteri 9 ὤργησεν P[1], ὤρ σεν (sic) G (α above), ὤργισεν K, ὠργίασεν AP[2] (Turn.), παρώργισεν mg. H νόθος om. BEM 10 δ' BEMFG Ἰουδαίας] οὐ δικαίας G ὃς ante τῶν ss. H[2] (v) ταύτης AFGHPK[2]: αὐτῆς ceteri 11 ἐθ[illegible]ῶν B 12 ζηλώσασα BEM σχεδῶν P τῶν ἐθνῶν AVOK (v) 13 τιμὴν H[1] 14 δέον] δὲ F 15 μὲν AFGHP: om. ceteri 16 ἀξιοσπούδαστον BEM 18 δὲ] δ' A 19 αἱ om. A νιφομένης Turn.: νειφομένης codd. (Mang.) 20 πλημύραις G, πλημμυρίαις A τῷ λόγῳ om. HP 21 ὡς AFGHP: om. ceteri ἀντίτιμον M γεγονότα AFGHP: γεγονέναι ceteri 22 οὗτος om. GHP τινι om. A 23 ὁρατικοῦ] ἱερατικοῦ A (Turn.)

---

9 sqq. Levit. 24,10 — 16

ὀργῆς αὐτὸς αὐτοῦ γενόμενος καὶ ἅμα τῆς Αἰγυπτιακῆς ἀθεότητος
ζηλωτὴς ὤν, ἀπὸ γῆς εἰς οὐρανὸν ἔτεινε τὴν ἀσέβειαν | ἐπαράτῳ καὶ p. 165 M.
ἐναγεῖ καὶ μεμιασμένῃ ψυχῇ τε καὶ γλώττῃ καὶ πάσῃ τῇ φωνῆς ὀργανο-
ποιίᾳ καταρασάμενος δι' ὑπερβολὴν κακιῶν ὃν οὐδ' ὑπὸ πάντων ἀλλὰ
μόνων τῶν ἀρίστων εὐλογεῖσθαι θέμις, ὅσοι τὰς τελείας καθάρσεις
197 ἐδέξαντο. διὸ καὶ θαυμάσας τὴν φρενοβλάβειαν καὶ τὴν τοῦ θράσους
ὑπερβολήν, καίτοι γ' ὑπόπλεως ὢν παραστήματος εὐγενοῦς καὶ ἱέμενος
αὐτοχειρίᾳ διαρτῆσαι τὸν ἄνθρωπον, ἔδεισε μὴ κουφοτέραν ἀναπράξῃ
τιμωρίαν· ἰσόρροπον γὰρ ἐπινοῆσαι πρὸς τοσαύτην ἀσέβειαν κόλασιν
198 ἄνθρωπος οὐκ ἂν ἴσχυσεν. ἐπεὶ δὲ καὶ τῷ μὴ σέβειν θεὸν ἕπεται τὸ
μήτε γονεῖς μήτε πατρίδα μήτ' εὐεργέτας τιμᾶν, ὁ δὲ δὴ πρὸς τῷ μὴ
σέβειν καὶ κακηγορεῖν τολμῶν τίνα μοχθηρίας ὑπερβολὴν ἀπολέλοιπε;
καίτοι καὶ τὸ κακηγορεῖν ἧττον ἐν συγκρίσει κατάρας· ἀλλὰ γλωσσαλγία
καὶ ἀχάλινον στόμα ὅταν ἐκνόμοις ἀφροσύναις ὑπηρετῶσι, πάντως τι
199 καινουργεῖται τῶν ἀθέσμων. ὦ ἄνθρωπε, καταρᾶταί τις θεόν; τίνα
καλῶν ἕτερον θεὸν εἰς τὴν τῆς ἀρᾶς βεβαίωσιν; ἢ δῆλον ὅτι αὐτὸν κατ'
αὐτοῦ; ἄπαγε βεβήλων καὶ ἀνοσίων ἐνθυμημάτων. καλὸν ἐκνίψασθαι
τὴν ἀθλίαν ψυχὴν ἐπηρεασθεῖσαν μὲν ὑπὸ φωνῆς, διακόνοις δὲ τοῖς

---

1 αὐτοῦ BEMFP 1. 2 ζηλωτὴς ἀθεότητος transp. AVOK (v) 2 ζηλωτὸς M 3 καὶ ante μεμιασμένῃ om. A (v) τε καὶ γλώττῃ AFGHP: om. ceteri πάσης A τῇ] τῆς BEMA (v) 4 κακιῶν scripsi: κακῶν codd. ὃν] ὃ BEM(V[1] ut vid.) 6 pr. καὶ AFGHP: om. ceteri 6—8 καὶ θαυμάσας — ἄνθρωπον om. Barb. 7 γε VOK παραστήματος ὢν transp. HP ἱέμενος AFGHP: ἱέμενος ceteri 8 διαρτῆσαι BEMHP: διαρτίσαι VOKF, διαχρῆσαι AG; διαχρήσασθαι v ἔδεισε δὲ A ἀναπράξῃ AF Barb.: ἀναπράξηται ceteri 9 τιμωρίαν om. VK[1] γὰρ om. V[1] ἀσεβείας A 10 ἐπεὶ] ἐπὶ K δὲ καὶ eras. V[2], om. OK, καὶ om. BEM σέβειν Mang.: σέβοντι codd. τὸ AFG: καὶ τὸ ceteri 11 μήτ'] μήτε K εὐεργεσίας F δὲ om. BEM δὴ] μὴ Turn. τῷ] τὸ M 12 κατηγορεῖν AHP, κακουργεῖν O 13 καίτοι om. A καὶ AGHP: om. ceteri κακηγορεῖν BEMF: κατηγορεῖν ceteri 14 ἀχάλινον AFGHP: ἀχαλίνωτον ceteri 15 ὦ ἄνθρωπε A: ἰὼ ἄνθρωποι F, om. ceteri θεὸν τινά; G 16 καλῶν] καλὸν F δηλονότι VOK 16. 17 κατ' αὐτοῦ A: καθ' αὐτοῦ ceteri 18 μὲν om. A

---

4—10 pergit Barber. IV 56: λέγει τοίνυν περὶ τοῦ καταρασαμένου δι' ὑπερβολὴν κακῶν τὸν θεὸν ὃν οὐδ' — ἐδέξαντο. διὸ δείσας ὁ προφήτης μὴ κουφοτέραν — οὐκ ἂν ἴσχυσε et pergit 247,6. 15 — 247,6 *Procop. Gaz. Comment. in Levit. 24,10* (Migne t. 87,1 Col. 781): ὁ θεὸν καταρώμενος τίνα κελεύει (leg. καλεῖ) θεὸν ἕτερον εἰς τὴν τῆς ἀρᾶς βεβαίωσιν; ἢ δῆλον ὅτι αὐτὸν καθ' ἑαυτοῦ; ἐχρῆν μὲν οὖν παρεῖσθαι τοῦ φθεγξαμένου τὴν γλῶσσαν· προνοίᾳ δὲ τῆς δίκης οὔτε ἀγαθὸν ὑπερβάλλον οὔτε κακὸν ἐπισκιάζεται πρὸς ἔλεγχον ἀρετῆς ἢ κακίας, ἵνα τὴν μὲν ἀποδοχῆς τὴν δὲ τιμωρίας ἀξιώσῃ.

ὠσὶ χρησαμένην, αἰσθήσει τυφλῇ. καὶ οὔτε ἡ γλῶττα τοῦ τοσοῦτον 200
ἀσέβημα φθεγξαμένου παρείθη οὔτε τὰ τοῦ μέλλοντος ἀκούειν ὦτα
ἐπεφράχθη; εἰ μὴ ἄρα κατὰ πρόνοιαν τῆς δίκης, ἥτις οὔτ' ἀγαθὸν
ὑπερβάλλον οὔτε μέγιστον κακὸν οἴεται δεῖν ἐπισκιάζεσθαι, πρὸς ἔλεγχον
ἐναργέστατον ἀρετῆς ἢ κακίας, ἵνα τὴν μὲν ἀποδοχῆς τὴν δὲ τιμωρίας
ἀξιώσῃ. διὰ τοῦτο τὸν μὲν εἰς εἱρκτὴν ἀπαχθέντα κελεύει δεθῆναι, 201
ποτνιᾶται δὲ τὸν θεὸν ἱλασάμενος ταῖς ἀνάγκαις τῶν αἰσθήσεων, δι' ὧν
καὶ βλέπομεν ἃ μὴ θέμις ὁρᾶν καὶ ἀκούομεν ὧν μὴ θέμις ἀκούειν, ὅ τι
χρὴ παθεῖν τὸν εὑρετὴν ἀσεβήματος καὶ ἀνοσιουργήματος ἐκτόπου καὶ
ξένου δηλῶσαι. ὁ δὲ προστάττει καταλευσθῆναι, προσήκουσαν οἶμαι 202
δίκην ὑπολαβὼν τὴν διὰ λίθων κατ' ἀνδρὸς λιθίνην καὶ ἀπόκροτον
ψυχὴν ἔχοντος καὶ ἅμα βουλόμενος πάντας τοὺς ἀπὸ τοῦ ἔθνους συν-
εφάψασθαι τῆς κολάσεως, οὓς ᾔδει σφόδρα τραχέως ἐνεγκόντας καὶ
φονῶντας· μόνης δ' ὡς ἔοικε τῆς διὰ βλημάτων ἔμελλον αἱ τοσαῦται
μυριάδες ἐφάπτεσθαι. μετὰ δὲ τὴν τοῦ ἀνοσίου καὶ παλαμναίου τίσιν 203
ἐγράφη διάταγμα καινόν, οὐκ ἄν ποτε προηγουμένης ἀξιωθὲν γραφῆς, ἀλλ'
p. 166 M. αἱ ἀπροσδόκητοι νεωτεροποιίαι καινοὺς νόμους εἰς ἀνακοπὴν ἁμαρτημάτων
ἐπιζητοῦσιν. αὐτίκα γοῦν νομοθετεῖται τάδε· ὃς ἂν καταράσηται θεόν,
ἁμαρτίας ἔνοχος ἔστω, ὃς δ' ἂν ὀνομάσῃ τὸ ὄνομα κυρίου, θνῃσκέτω
(Lev. 24, 15. 16). εὖ γ', ὦ πάνσοφε, μόνος ἀμιγοῦς ἠκρατίσω 204
σοφίας· τοῦ καταρᾶσθαι χεῖρον τὸ ὀνομάζειν ὑπείληφας; οὐ γὰρ ἂν
τὸν μὲν βαρύτατον ἀσέβημα εἰργασμένον ἐπεκούφιζες διημαρτηκόσιν

---

1 καὶ] κἂν V$^2$OK ἡ om. A γλῶσσα BM τοῦ BEMVKH$^2$: τὸ O, om. AFGH$^1$P(v) 3 ἐπεφράχθη AGHP: ἀπεφράχθη ceteri ἥτις] ἣ A οὔτε VOK 4 ἐπισκιάζεσθαι οἴεται δεῖν transp. A (v) 6 διὰ δὲ τοῦτο FGHP (v) 7—8 ἱλασάμενος — ἀκούειν om. Barb. 7 ἱλασάμενος AFGHP: ἱλασάμενον ceteri (Mang.) δι' ὧν A: δι' ἧς ceteri (v) 8 ἀκούομεν] ἀκούειν G ὧν] ἃ G 9 εὑρετὴν] εὐεργέτην BEMA mg. K, om. F τοῦ ἀσεβήματος Barb. ἐκτόπου FGHP: ἐκτοπίου ceteri (v) 11 τὴν διὰ λίθων om. BEM κατὰ Barb. ἀπόκριτον BM 13 ταχέως O (Turn.) 14 φονᾶν O, φονᾶν κατ' αὐτοῦ V$^3$K διαβλημάτων M 18 ἂν] δὴ F καταράσεται AF τὸν θεὸν P 19 ἁμαρτίας AF: ἁμαρτία ceteri (ἁμαρτίᾳ v) ἔσται H ὀνομάσοι A κυρίου BEM: τοῦ κυρίου AVOK (v), θεοῦ κυρίου HP, κυρίου θεοῦ FG 20 εὖ γ' FGHP: εὖ γε A, εὖ ceteri ὦ AFGHPK$^2$: om. ceteri ἠκρατίσω] ἠκρατήσω P, ἦ κρατεῖς ὦ BEM, ἦ κρατεῖς A mg. P$^3$ 21 τοῦ] τὸ G τὸ] τοῦ G ὑπειληφὼς V$^2$K (coni. Mang.) 22 εἰργασμέναι (ον supra) K, εἰργασμένον om. A ἡμαρτηκόσιν V$^1$, τοῖς ἡμαρτηκόσιν V$^2$OK

---

6—12 pergit Barber. IV 56: τὸν μὲν εἰς εἱρκτὴν ἀπαχθέντα κελεύει δεθῆναι· ποτνιᾶται δὲ τὸν θεόν, ὅ τι χρὴ παθεῖν — ψυχὴν ἔχοντος.

ἐπιεικέστερον συντάττων, κατὰ δὲ τοῦ βραχύτερον ἠδικηκέναι δόξαντος
205 τὴν ἀνωτάτω τιμωρίαν, θάνατον, ὥριζες. (26.) ἀλλ' ὡς ἔοικε „θεοῦ“
τὰ νῦν οὐχὶ τοῦ πρώτου καὶ γεννητοῦ τῶν ὅλων ἀλλὰ τῶν ἐν ταῖς
πόλεσι μέμνηται· ψευδώνυμοι δ' εἰσὶ γραφέων καὶ πλαστῶν τέχναις
δημιουργούμενοι· ξοάνων γὰρ καὶ ἀγαλμάτων καὶ τοιουτοτρόπων ἀφι-
δρυμάτων ἡ οἰκουμένη μεστὴ γέγονεν, ὧν τῆς βλασφημίας ἀνέχειν
ἀναγκαῖον, ἵνα μηδεὶς ἐθίζηται τῶν Μωυσέως γνωρίμων συνόλως θεοῦ
206 προσρήσεως ἀλογεῖν· ἀξιονικοτάτη γὰρ καὶ ἀξιέραστος ἡ κλῆσις. εἰ
δέ τις οὐ λέγω βλασφημήσειεν εἰς τὸν ἀνθρώπων καὶ θεῶν κύριον,
ἀλλὰ καὶ τολμήσειεν ἀκαίρως αὐτοῦ φθέγξασθαι τοὔνομα, θάνατον ὑπο-
207 μεινάτω τὴν δίκην. οὐδὲ γὰρ τῶν φυτευσάντων καίτοι θνητῶν ὑπαρ-
χόντων οἷς μέλει γονέων τιμῆς τὰ ὀνόματα προφέρουσιν, ἀλλὰ τὰ κύρια
διὰ τὸν ἐπ' αὐτοῖς σεβασμὸν ἡσυχάζοντες τοῖς τῆς φύσεως ἀνακαλοῦσι
πατέρα καὶ μητέρα προσαγορεύοντες, δι' ὧν εὐθὺς αἰνίττονται τὰς ἐξ
ἐκείνων ἀνυπερβλήτους εὐεργεσίας καὶ τὴν αὐτῶν εὐχάριστον διά-
208 θεσιν. ἔτι νῦν συγγνώμης ἀξιούσθωσαν οἱ κατ' ἐπισυρμὸν γλώττης
ἀκαιρευόμενοι καὶ λόγων ἀναπλήρωμα ποιούμενοι τὸ ἁγιώτατον καὶ θεῖον
ὄνομα;

209 (27.) Μετὰ δὲ τὴν τοῦ γεννητοῦ τῶν ὅλων τιμὴν τὴν ἱερὰν ἑβδόμην
ἐσέμνυνεν ὁ προφήτης ἰδὼν αὐτῆς ὀξυωπεστέροις ὄμμασι κάλλος ἐξαίσιον

---

1 συντάττων] πράττων FGHP (v), ἄττων A  βραχύτατον VOK, βαρύτερον HP  2 ὥριζες AGHP: ὥρισας VOKF, ὥρισεν BEM  3 γεννητοῦ Mang. (in append.): γενητοῦ FGHP, γενέτου A mg. K (Mang. in textu), ἀγεννήτου $V^1$, ἀγενήτου ceteri; ἀγεννητοῦ (sic) Turn.  7 μηδὲ εἷς A  μωυσέος MHPK, μωσέως AFG  θεοῦ om. M  8 ἀξιονικωτάτη MO, ἄξιον εἰκότα τῇ F, ἄξιον εἰκότως· ἣν A  καὶ] ἀεὶ A; ἀεὶ καὶ v  ἀξιέραστον A, ἀπαξιέραστος FGHP; ἐπαξιέραστον v  9 λέγω] λόγω $APV^2OK$  εἰς] ὡς G  ἀνθρώπων $AVOKH^3P^2$: ἄνθρωπον ceteri  θεῶν $AV^2OKH^3$: θεὸν ceteri  καὶ κύριον F  10 καὶ om. A  ἀκαίρως AFGHP: δικαίως ceteri  11 οὐδὲ A: οὔτε ceteri (v)  φυ[illegible]σάντων V, φυσάντων AOK (prob. Mang.)  12 μέλλει $BMAV^1$  τὰ κύρια AFHP: τὰ δάκρυα G, τὸν κύριον $V^1$ ut vid., τὸ κύριον ceteri  13 ἐπ' AFGHP: ἐν ceteri  τοῖς] τὸν $V^1$ ut vid., τὸ $V^2OK$  14 δι' ὧν AFGHP: δι' om. ceteri  αἰνίττεται $BEMV^1$, αἰνίττεσθαι $V^2OK$  15 ἀνυπερβλήτως M  καὶ om. VOK  αὐτῶν codd.  16 ἔτι νῦν] ἔτι μὴν $V^2OK$; οὐ τοίνυν coni. Mang, ἔτι τοίνυν vel τί οὖν conicio  μὴ ante ἀξιούσθωσαν add. $V^2OK$  τῆς γλώττης G  19 γενητοῦ BEMFP, γενέτου A  τιμὴν ante τοῦ transp. F

---

2 sqq. cf. *Ioseph. Ant. Iud. IV § 207* βλασφημείτω δὲ μηδεὶς θεοὺς οὓς πόλεις ἄλλαι νομίζουσι. *Contra Apionem II § 237* . . καὶ περί γε τοῦ μήτε χλευάζειν μήτε βλασφημεῖν τοὺς νομιζομένους θεοὺς παρ' ἑτέροις ἄντικρυς ἡμῖν ὁ νομοθέτης ἀπείρηκεν αὐτῆς ἕνεκα προσηγορίας τοῦ θεοῦ.

ἐνεσφραγισμένον οὐρανῷ τε καὶ τῷ σύμπαντι κόσμῳ καὶ ὑπὸ τῆς φύσεως
αὐτῆς ἀγαλματοφορούμενον. εὕρισκε γὰρ αὐτὴν τὸ μὲν πρῶτον ἀμήτορα, 210
γενεᾶς τῆς θήλεος ἀμέτοχον, ἐκ μόνου πατρὸς σπαρεῖσαν ἄνευ σπορᾶς καὶ
γεννηθεῖσαν ἄνευ κυήσεως· ἔπειτα δ' οὐ ταῦτα μόνον κατεῖδεν, ὅτι παγκάλη
καὶ ἀμήτωρ, ἀλλ' ὅτι καὶ ἀειπάρθενος, οὔτ' ἐκ μητρὸς οὔτε μήτηρ οὔτ' ἐκ
p. 167 M. | φθορᾶς οὔτε φθαρησομένη· εἶτ' ἐκ τρίτου κατενόησεν αὐτὴν ἐξετάζων
καὶ κόσμου γενέθλιον, ἣν ἑορτάζει μὲν οὐρανός, ἑορτάζει δὲ γῆ καὶ τὰ ἐν
γῇ γανύμενα καὶ ἐνευφραινόμενα τῇ παναρμονίῳ ἑβδομάδι. ταύτης 211
ἕνεκα τῆς αἰτίας ὁ πάντα μέγας Μωυσῆς ἐδικαίωσε τοὺς ἐγγραφέντας
αὐτοῦ τῇ ἱερᾷ πολιτείᾳ θεσμοῖς φύσεως ἑπομένους πανηγυρίζειν, ἐν
ἱλαραῖς διάγοντας εὐθυμίαις, ἀνέχοντας μὲν ἔργων καὶ τεχνῶν τῶν εἰς
πορισμὸν καὶ πραγματειῶν ὅσαι κατὰ βίου ζήτησιν, ἄγοντας δ' ἐκεχειρίαν
καὶ διαφειμένους πάσης ἐπιπόνου καὶ καματηρᾶς φροντίδος,
σχολάζοντας οὐχ ὡς ἔνιοι γέλωσιν ἢ παιδιαῖς ἢ μίμων ἢ ὀρχηστῶν
ἐπιδείξεσι, περὶ ἃς κηραίνουσι καὶ δυσθανατοῦσιν οἱ θεατρομανοῦντες
καὶ διὰ τῶν ἡγεμονικωτάτων αἰσθήσεων, ὁράσεως καὶ ἀκοῆς, δούλην
ἀπεργαζόμενοι τὴν φύσει βασιλίδα ψυχήν, ἀλλὰ μόνῳ τῷ φιλοσοφεῖν·
οὐχ ὅπερ μεθοδεύουσιν οἱ λογοθῆραι καὶ σοφισταὶ πιπράσκοντες ὡς 212
ἄλλο τι τῶν ὠνίων ἐπ' ἀγορᾶς δόγματα καὶ λόγους, οἳ φιλοσοφίᾳ κατὰ
φιλοσοφίας (ὦ γῆ καὶ ἥλιε!) χρώμενοι δι' αἰῶνος οὐκ ἐρυθριῶσιν,
ἀλλὰ τῷ τῷ ὄντι φιλοσοφεῖν, ὅπερ ἐκ τριῶν συνύφανται, βουλευμάτων καὶ
λόγων καὶ πράξεων, εἰς ἓν εἶδος ἡρμοσμένων πρὸς κτῆσιν καὶ ἀπόλαυσιν εὐδαιμονίας. τούτου δή τις ἀλογήσας τοῦ διατάγματος, ἔτι τοὺς 213
χρησμοὺς ἐναύλους ἔχων τοὺς περὶ τῆς ἱερᾶς ἑβδόμης, οὓς ἐθέσπισεν

1 ἀνεσφραγισμένον Turn. 2 αὐτῆς] αὐτοῦ H 3 θήλεως FH 4 δὲ VO μόνον ταῦτα transp. BMAF, μόνα ταῦτα VOK κατεῖδον M παγκαλῆς A 6 οὔτ' ἐκφθαρησομένη A εἶτα N, εἴτ' E 7. 8 καὶ τὰ ἐν γῇ (τῇ γῇ F) AFGHPN: om. ceteri 8 γανύμενα BE: γαννύμενα ceteri (v) παναρμονία H 9 ἐγγραφθέντας K 10 πολιτείᾳ] βίβλῳ νόμους V²OK 11 ἱλαραῖς BEMVOK: ἱλαρίαις AFGHPN; ἱλαρίναις (sic) v ἐν εὐθυμίαις AFN μὲν om. A 11. 12 εἰς πορισμὸν] ἐκ πορισμῶν A 12 πραγματείαν BEMV¹, πραγματείας V²OK ἄγοντες A δὲ A 12. 13 ἐκκεχειρίαν VKH 13 διαφειμένης A 14 σχολάζοντες A; ἐνσχολάζοντας coni. Mang. γελῶσιν AP γέλωσι καὶ παιδιαῖς BEM ἢ ante μίμων om. FN 15 περὶ ἃς κηραίνουσι] περισκαίρουσι A δυσθανατῶσιν AFPN οἱ δὲ A 16 pr. καὶ eras. V², om. OK δούλην] δοῦλον FGHP (v) 18 λοθῆραι (sic) A 19 οἱ A φιλοσοφίᾳ] φιλοσοφίας FH¹PN 21 τῶ τῶ ὄντι BEMGHP: τὸ τῶ ὄντι A (Turn.), pr. τῷ om. VOKFN (Mang.) συνυφαίνεται V²OK 22 ἓν om. BEM

6—23 N fol. 158r: εἶτα ἐκ τρίτου — ἀπόλαυσιν εὐδαιμονίας. 23 sqq. Num. 15, 32—36

ἄνευ προφήτου ὁ θεὸς διὰ φωνῆς — τὸ παραδοξότατον — ὁρατῆς, ἣ
τῶν παρατυγχανόντων ὀφθαλμοὺς ὤτων ἐπήγειρε μᾶλλον, ἐπὶ φρυγανισμὸν
ἐξῄει διὰ μέσου τοῦ στρατοπέδου πάντας εἰδὼς ἐν ταῖς σκηναῖς
ἠρεμοῦντας, καὶ δρῶν ἔτι τἀδίκημα καταφανὴς ὑπὲρ τοῦ μὴ
214 λαθεῖν γίνεται. πυλῶν γὰρ ἔξω προελθόντες τινὲς εἰς ἐρημίαν,
ἵν' ἐν τῷ καθαρωτάτῳ καὶ ἡσυχάζοντι εὔξωνται, θέαν ἔκνομον
ἰδόντες, ξύλων ὕλην συγκομίζοντα, καὶ δυσανασχετήσαντες ἐμέλ-
λησαν μὲν αὐτὸν ἀνελεῖν, λογισμῷ δὲ τὸ παρακεκινημένον τῆς
ὀργῆς ἐπισχόντες, ἵνα μήτε ἰδιῶται πρὸ ἀρχόντων κολάζειν τινὰ δοκῶσι
καὶ ταῦτ' ἄκριτον, κἂν ἄλλως τὸ παρανόμημα ᾖ ἐμφανές, μήτε τοῦ
περὶ τὴν ἡμέραν εὐαγοῦς μίασμα φόνου, κἂν δικαιότατος ᾖ, προσάψηται,
συλλαβόντες ἄγουσιν αὐτὸν ἐπὶ τὸν ἄρχοντα, ᾧ συνήδρευον μὲν οἱ
215 ἱερεῖς, παρειστήκει δὲ σύμπασα ἡ πληθὺς πρὸς ἀκρόασιν. ἔθος γὰρ
ἦν, ἀεὶ μὲν κατὰ τὸ παρεῖκον, προηγουμένως δὲ ταῖς ἑβδόμαις, ὡς
ἐδήλωσα καὶ πρόσθεν, φιλοσοφεῖν, τοῦ μὲν ἡγεμόνος ὑφηγουμένου καὶ
διδάσκοντος ἅ τε | χρὴ πράττειν καὶ λέγειν, τῶν δ' εἰς καλοκἀγαθίαν p. 168 M.
216 ἐπιδιδόντων καὶ βελτιουμένων τά τε ἤθη καὶ τὸν βίον. ἀφ' οὗ καὶ
εἰσέτι νῦν φιλοσοφοῦσι ταῖς ἑβδόμαις Ἰουδαῖοι τὴν πάτριον φιλοσοφίαν τὸν
χρόνον ἐκεῖνον ἀναθέντες ἐπιστήμῃ καὶ θεωρίᾳ τῶν περὶ φύσιν· τὰ γὰρ
κατὰ πόλεις προσευκτήρια τί ἕτερόν ἐστιν ἢ διδασκαλεῖα φρονήσεως
καὶ ἀνδρείας καὶ σωφροσύνης καὶ δικαιοσύνης εὐσεβείας τε καὶ ὁσιότητος καὶ
συμπάσης ἀρετῆς, ᾗ κατανοεῖται καὶ κατορθοῦται τά τε ἀνθρώπεια καὶ
217 θεῖα; (28.) τότε μὲν οὖν εἰς εἱρκτὴν ὁ τηλικοῦτον ἀσέβημα δράσας
ἀπάγεται. Μωυσῆς δὲ ἀπορῶν ὅ τι χρὴ παθεῖν τὸν ἄνθρωπον —

1 διὰ φωνῆς codd.: καὶ διὰ φωνῆς v  παραδοξώτατον BE  ἣ BEVOK: ἡ M, παρὰ A, ἣ om. FGHP (v)  2 ἐπήγειρε] ἐπήγαγε P  3 παντὸς A  εἰδὼς] ἰδὼν G  4 ἔτι] ἐπὶ A, ὅτι M  τἀδίκημα AFGHP: τὰ δόκιμα ceteri  5 ἐρημίαν A (Mang.): ἠρεμίαν ceteri (Turn.)  6 ἡσυχάζοντι om. in textu E, add. mg. E  7 ἰδότες (sic) M  7. 8 ἐμέλησαν V¹AFHP  8 μὲν AFGHP: om. ceteri  9 ἐπισχόντες AGHP: ἐπισχόντας F, ἐπέσχον ceteri (Mang.)  10 ἄκριτα A  ᾖ scripsi: ἦν codd. (v)  11 περὶ] παρὰ H¹P  ἐναγοῦς VOK  ᾖ] ἦν V²K  12 συλλαβόντες AG: συλλαβόντες δ' ceteri (v)  συνήδευον A  οἱ om. AHP (v)  13 παρειστήκεισαν A  πᾶσα VOK  πρὸς] ἐπ' A  14 παρῆκον VOKG  ἑβδομάδαις BEM  15 ἐδήλωσε H¹P  16 καὶ λέγειν om. F  καλοκἀγαθίας AGHP  18 ἑβδομάδαις BM  πατρίαν A  τὸν AFGHP: om. ceteri  19 περὶ] παρὰ F¹  20 ἐστιν AGHP: om. ceteri  διδασκαλία AP, διδασκαλεῖον O  21 ἀνδρίας EAG  23 οὖν om. A  τηλικοῦτο BEM  ἀσέβημα δράσας AGHP: δράσας ἀσέβημα ceteri  24 ἄγεται A  μωσῆς AVOK  δ' BEM  τὸν ἄνθρωπον παθεῖν transp. A

ᾔδει γὰρ ἄξια θανάτου διαπεπραγμένον, ἀλλὰ τίς ἂν γένοιτο τρόπος
ἁρμόζων τῆς τιμωρίας; — ἀφικνεῖται πρὸς τὸ ἀόρατον ἀοράτῳ ψυχῇ δικα-
στήριον καὶ ἐπυνθάνετο τοῦ καὶ πρὶν ἀκοῦσαι πάντ' ἐπισταμένου δικαστοῦ,
τί κέκρικεν. ὁ δ' ἀποφαίνεται τὴν γνῶσιν, ὅτι καὶ θνῄσκειν ὀφείλει καὶ 218
οὐχ ἑτέρως ἢ καταλευσθείς, ἐπειδὴ καὶ τούτῳ καθάπερ καὶ τῷ προ-
τέρῳ μετέβαλεν ὁ νοῦς εἰς κωφὴν λίθον εἰργασμένῳ τελεώτατον παρα-
νόμημα, ᾧ σχεδὸν πάντα τἆλλα ἐμφέρεται, ὅσα περὶ τοῦ σεβασμοῦ τῆς
ἑβδόμης νενομοθέτηται. διὰ τί; ὅτι οὐχ αἱ βάναυσοι μόνον ἀλλὰ καὶ αἱ 219
ἄλλαι τέχναι καὶ πραγματεῖαι καὶ μάλιστα αἱ περὶ πορισμὸν καὶ βίου ζήτησιν
ἢ διὰ πυρός εἰσιν ἢ οὐκ ἄνευ τῶν διὰ πυρός· ὅθεν ἀπαγορεύει πολλάκις
ἐν ταῖς ἑβδόμαις πῦρ ἐναύειν ὡς ἀρχηγικώτατον αἴτιον καὶ πρεσβύτατον
ἔργον, οὗ ἡσυχάσαντος ἐνενοήθη καὶ τὰ κατὰ μέρος ὡς εἰκὸς συνη-
συχάσειν. ὕλη δὲ ξύλα πυρός, ὡς τὸν ξυλιζόμενον ἀδελφὸν καὶ συγγενὲς 220
ἁμάρτημα τῷ καίοντι δρᾶν, τὸ παρανόμημα διπλασιάζοντα, τῇ μὲν ὅτι
προσταχθὲν ἠρεμεῖν συνεκόμιζε, τῇ δ' ὅτι καὶ τοιαῦτα συνεκόμιζεν, ἃ
πυρός ἐστιν ὕλη, τῆς τῶν τεχνῶν ἀρχῆς.

(29.) Ἄμφω μὲν οὖν τὰ εἰρημένα τιμωρίας ἀσεβῶν περιέχει διὰ 221
πεύσεως καὶ ἀποκρίσεως βεβαιουμένας. ἕτερα δὲ δύο ἐστὶν οὐχὶ τῆς
αὐτῆς ἀλλὰ διαφερούσης ἰδέας, ὧν τὸ μὲν περὶ κλήρου διαδοχῆς, τὸ δ'
p. 169 M. ὅσα τῷ δοκεῖν παρὰ καιρὸν | ἐπιτελουμένης ἱερουργίας, περὶ ἧς

---

2 ἁρμόζων τῆς τιμωρίας GHP: τῆς τιμωρίας ἁρμόζων F, ἁρμόζων om. ceteri ἀοράτῳ om. A ψυχῆς A 3 ἐπυνθάνετο τοῦ AF mg. P mg. K: om. ceteri καὶ πρὶν A: καὶ om. ceteri (v) τοῦ ante πάντ' add. V²OK πάντα AK 5 alt. καὶ om. F (fort. recte) 6 μετέλαβεν F 7 τἆλλα MG, τὰ ἄλλα AVOK 8 διὰ τί; ὅτι AFGH²P: ὅτι om. H¹, διότι ceteri βάναυσοι] βάσανοι BE¹ post μόνον add. τέχναι A alt. αἱ om. A 11 ἀρχικώτατον M αἴτιον AFGHP: καὶ αἴτιον ceteri 12 ἔργον] ὄργανον coni. Mang. καὶ τὰ] καὶ τὸ M, καὶ τὰ om. A, τὰ om. F ὡς om. F 12. 13 συνησυχάσειν AF: συνησυχάζειν GHP (v), ἡσυχάσειν BEMV¹, ἡσυχάζειν V²OK 13 ὡς] ὥστε HP (v) 14 τὸ eras. V², om. OK παρανόνημα M 15 τὸ ante προσταχθὲν add. BEM (Mang.) προσταχθεὶς V²OK τὰ τοιαῦτα M 16 τῶν om. BEM 17 post τιμωρίας add. περιέχει V²OK 17. 18 περιέχει διὰ πεύσεως AF: περιέχει eras. V², om. h. l. OK, δ. π. περιέχει transp. ceteri διαπνεύσεως P 18 βεβαιουμένας AG: βεβαιούμενα ceteri 19 παρακλήρου K τὸ δ' AFGHP: τὰ δ' BEM, τὰ δὲ VOK 20 καὶ ante παρὰ add. BEM παρὰ καιρόν] περὶ καιροῦ coni. Mang.; ⟨περὶ τῆς⟩ παρὰ καιρὸν conicio

---

4—7 Catena in Num. 15,35 (Caten. Lips. I p. 1267) Φίλωνος ἑβραίου: ἀποφαίνεται ὁ θεὸς ὅτι θνῄσκειν ὀφείλει ὁ ἐν τῷ σαββάτῳ συλλέξας ξύλα καὶ οὐχ ἑτέρως ἢ καταλευσθείς, ἐπειδήπερ ὁ νοῦς αὐτῷ εἰς κωφὴν λίθον μετέβαλεν εἰργασμένῳ τελεώτατον παρανόμημα.

222 λεκτέον πρότερον. τὴν ἀρχὴν τῆς ἐαρινῆς ἰσημερίας πρῶτον ἀναγράφει μῆνα Μωυσῆς ἐν ταῖς τῶν ἐνιαυτῶν περιόδοις ἀναθεὶς οὐχ ὥσπερ ἔνιοι χρόνῳ τὰ πρεσβεῖα μᾶλλον ἢ ταῖς τῆς φύσεως χάρισιν, ἃς ἀνέτειλεν ἀνθρώποις· κατὰ γὰρ ταύτην τὰ μὲν σπαρτά, ἡ ἀναγκαία τροφή, τελειογονεῖται, ὁ δὲ τῶν δένδρων καρπὸς ἡβώντων ἄρτι γεννᾶται δευτέραν ἔχων τάξιν, ὅθεν καὶ ὀψίγονός ἐστιν· ἀεὶ γὰρ ἐν τῇ φύσει τὰ μὴ λίαν ἀναγκαῖα
223 τῶν σφόδρα ἀναγκαίων δεύτερα. σφόδρα μὲν οὖν ἀναγκαῖα πυροί τε καὶ κριθαὶ καὶ ὅσα ἄλλα εἴδη τροφῆς, ὧν ἄνευ ζῆν οὐκ ἔστιν· ἔλαιον δὲ καὶ οἶνος καὶ ἀκρόδρυα οὐχὶ τῶν ἀναγκαίων, ἐπεὶ καὶ δίχα τούτων ἄχρι μακροτάτου γήρως παρατείνοντες εἰς πολυετίαν βιοῦσιν ἄνθρωποι.
224 τῷ δὴ μηνὶ τούτῳ περὶ τεσσαρεσκαιδεκάτην ἡμέραν, μέλλοντος τοῦ σεληνιακοῦ κύκλου γίνεσθαι πλησιφαοῦς, ἄγεται τὰ διαβατήρια, δημοφανὴς ἑορτή, τὸ Χαλδαϊστὶ λεγόμενον Πάσχα, ἐν ᾗ οὐχ οἱ μὲν ἰδιῶται προσάγουσι τῷ βωμῷ τὰ ἱερεῖα, θύουσι δ' οἱ ἱερεῖς, ἀλλὰ νόμου προστάξει σύμπαν τὸ ἔθνος ἱερᾶται, τῶν κατὰ μέρος ἑκάστου τὰς ὑπὲρ αὐτοῦ
225 θυσίας ἀνάγοντός τε καὶ χειρουργοῦντος. ὁ μὲν οὖν ἄλλος ἅπας λεὼς ἐγεγήθει καὶ φαιδρὸς ἦν, ἑκάστου νομίζοντος ἱερωσύνῃ τετιμῆσθαι· δεδακρυμένοι δ' ἕτεροι καὶ στένοντες διῆγον, οἰκείων αὐτοῖς ἔναγχος τετελευτηκότων, οὓς πενθοῦντες διπλῇ κατείχοντο λύπῃ, προσειληφότες

---

1 πρότερον A (Mang.): προτέρας ceteri (Turn.)   γράφει F   1. 2 μῆνα ἀναγράφει transp. A   2 μωσῆς BEF   post ἀναθεὶς add. αὐτῶ V²OK   3 χρόνω om. VOK   τὰς . . . χάριτας V²OK   4 σπαρτά] σπαρέντα VOK, . . . ματα Chron. Pasch. (σπέρματα Mai)   τῇ ἀναγκαία τροφῇ G   τελεσιουργεῖται Chron. Pasch.   7 πυρός A   9 καὶ ante δίχα om. AGHP Chron. Pasch. (Turn.)   10 γήρους Chron. Pasch.   παρεκτείνοντες M   11 τῷ: incipit C fol. 122r   δὴ] δὲ Chron. Pasch., πρώτω C   τούτῳ om. C   τεσσαρασκαιδεκάτην F   12 γένεσθαι (sic) B¹EM   δημοφανὴς (δημοφαὴς Chron. Pasch.) corruptum; δημοτελὴς conicio   13 χαλδαϊστὴ A   Πάσχα] φάσκα BEMGHP; Πάσκα Turn.   14 ἱερὰ A   οἱ om. CMO   15 μέρους K   αὐτοῦ CBEMAH¹   16 τε] τότε FGHP (v)   χειρουργοῦντος] ἱερουργοῦντος coni. Mang.   ἄλλος om. VOK   πᾶς CBEM   λαὸς A   18 αὐτοῖς] αὐτῆς M

---

1 sqq. Exod. 12,2 sqq. Num. 9,1—5   1 — 13 *Chronicon Paschale vol. I p. 3 (Dindorf)*: Φίλωνος τοῦ παρ' Ἑβραίοις σοφοῦ. Τὴν ἀρχὴν — τὸ Χαλδαϊστὶ λεγόμενον Πάσχα. ταῦτα μὲν ὁ Φίλων.   11 *[Ioa. Chrysost.] Orat. in Pascha VII* (Migne t. 59 Col. 748): ἔχομεν μάρτυρας σοφοὺς Ἑβραίους οἷον Φίλωνα καὶ Ἰώσηπον καὶ ἄλλους τινάς, οἵτινες ἐν τοῖς οἰκείοις συγγράμμασι διαβεβαιοῦνται, ὅτι οὐ δύναται ἀκριβῶς ἄλλως τὸ Πάσχα γενέσθαι ἢ μετ' ἐαρινὴν ἰσημερίαν ἐνστᾶσαν· καὶ ὁρίζονται οὗτοι ἀνέκαθεν τὸν τοιοῦτον εἱρμὸν τετηρῆσθαι μετὰ τῆς κατὰ σελήνην τεσσαρεσκαιδεκάτης.
18 sqq. Num. 9,6 — 14

τῇ διὰ τοὺς ἀποθανόντας συγγενεῖς καὶ τὴν ἐκ τοῦ στερηθῆναι τῆς
περὶ τὴν ἱερουργίαν ἡδονῆς τε καὶ τιμῆς, οἷς οὐδὲ καθάρασθαι καὶ
περιρράνασθαι κατ' ἐκείνην τὴν ἡμέραν ἐξεγένετο, μήπω τοῦ πένθους
ὑπερημέρου καὶ ἐκπροθέσμου γεγονότος. οὗτοι μετὰ τὴν πανήγυριν 226
προσελθόντες τῷ ἄρχοντι συννοίας μεστοὶ καὶ κατηφείας τὰ συμβεβηκότα
διηγήσαντο, τὴν ὑπόγυον τῶν συγγενῶν τελευτήν, τὸ πένθος ᾧ κατ'
ἀναγκαῖον ἐχρήσαντο, τὸ μὴ δυνηθῆναι διὰ τοῦτο μετασχεῖν τῆς τῶν
διαβατηρίων θυσίας. εἶτ' ἐδέοντο μὴ ἔλαττον τῶν ἄλλων ἐνέγκασθαι 227
μηδὲ τὸ ἐπὶ τοῖς ἀποθανοῦσιν οἰκείοις ἀτύχημα ἐν ἀδικήματος μέρει
p. 170 M. καταριθμηθῆναι τιμωρίαν ἐργασάμενον πρὸ | ἐλέου· νομίσαι γὰρ ἂν
χείρονα παθεῖν τῶν ἀποθανόντων, εἴ γε τοῖς μὲν οὐδενός ἐστιν ἀντί-
ληψις ἔτι τῶν ἀβουλήτων, οἱ δὲ ζῶντες δόξουσι τεθνάναι τὸν μετ'
αἰσθήσεως θάνατον. (30.) ταῦτ' ἀκούσας ἑώρα μὲν καὶ τὴν δικαιολογίαν 228
οὐκ ἀπῳδὸν καὶ τὴν τοῦ μὴ ἱερουργῆσαι πάλιν πρόφασιν ἀναγκαίαν καὶ
τὸ συμπαθὲς ἀνακεκραμένον τούτοις, ἐπαμφοτερίζων δὲ τὴν γνώμην
καὶ ὥσπερ ἐπὶ πλάστιγγος ἀντιρρέπων — τῇ μὲν γὰρ ἐταλάντευεν ὁ
ἔλεος καὶ τὰ δίκαια, τῇ δ' ἀντέβριθεν ὁ νόμος τῆς τῶν διαβατηρίων
θυσίας, ἐν ᾧ καὶ πρῶτος μὴν καὶ ἡμέρα τεσσαρεσκαιδεκάτη δεδή-
λωται τῆς ἱερουργίας —, ἀρνήσεως καὶ συγκαταθέσεως μεταξὺ φορού-
μενος ἱκετεύει τὸν θεὸν δικαστὴν γενέσθαι καὶ χρησμῷ τὴν κρίσιν ἀνα-
φῆναι. ὁ δ' ἐπακούσας θεσπίζει λόγιον οὐ περὶ ὧν ἐνετεύχθη 229
μόνον ἀλλὰ καὶ περὶ τῶν αὖθίς ποτε γενησομένων, εἰ ταῖς αὐταῖς
χρήσαιντο συντυχίαις· ἐπιδαψιλευόμενος δὲ καὶ περὶ τῶν κατ'

---

1 τῇ] τὴν G στερηθῆναι MAFGHP: ὑστερηθῆναι ceteri 2 τε καὶ τιμῆς om. O οὐδὲν O καθάρασθαι AFGHP: περικαθάρασθαι ceteri 3 μήπου BEM 5 προελθόντες K 6 ὑπόγυιον V²OK, ὑπόγειον P τελευτὴν add. mg. H²P² τὸ—ἐχρήσαντο (7) om. O ᾧ] ὃ E¹ 6. 7 κατ' ἀναγκαῖον GHP: κατὰ τἀναγκαῖον A, κατ' ἀνάγκην ceteri 7 τῆς om. A 8 διαβατηρίων· θυσίας τέ (pro εἶτ') A ἔλαττον AGHP: ἐλάττω ceteri 9 οἰκεῖον A ἀδικήματος] ἀτυχήματος CV¹O (Turn.) 10 εἰργασμένον A ἐλέους VOK ἂν om. M 12 ἔτι] ἐπὶ A, om. v μετὰ VOK 13 αἰσθήτου (sic) K ταῦτα C μὲν om. A δικαιολογίαν AFGHP: διαλογίαν ceteri 14 ἀπῳδὸν] ἀποδῶν P μὴ om. A πάλιν BEMFV²K: πάλαι ceteri (v) 15 ἀνακεκραμμένον M ἐναμφοτερίζων A 16 καὶ om. A 16. 17 ὁ ἔλεος F: τὸ ἔλεος A (v), ἔλεος (om. ὁ) ceteri 17 δὲ AVOK 18 ᾧ scripsi: ἡ codd. (v) ἡμέρα τεσσαρεσκαιδεκάτη codd.: τεσσ. ἡμέρα v 18. 19 δεδήλωται AGHP: ἣ δεδήλωται BEMFV¹K², ἡ δεδήλωται CV²OK¹ 20 θεὸν] αὐτὸν GHP (Turn.) 20. 21 ἀναφανῆναι FGHP, ἐναφεῖναι V²OK 21 ἐτεύχθη P 22 περὶ] πάντων VOK 23 συντυχίαις AFGHP: δυστυχίαις ceteri

ἄλλας αἰτίας οὐ δυνηθέντων ἱερουργῆσαι μετὰ παντὸς τοῦ ἔθνους προσ-
230 επιθεσπίζει. τίνα οὖν ἐστι τὰ περὶ τούτων χρησθέντα λόγια, μηνυτέον.
„συγγενικὸν“ φησί „πένθος ἀναγκαία μὲν τοῖς ἀφ' αἵματος ἀνία,
231 γράφεται δ' οὐκ ἐν πλημμελείαις. ἕως μὲν οὖν ἐμπρόθεσμόν ἐστιν,
ἔξω περιβόλων ἱερῶν ἐλαυνέσθω, οὓς ἀπὸ παντὸς ἁγνεύειν οὐχ ἑκουσίου
μόνον ἀλλὰ καὶ τοῦ μὴ κατὰ γνώμην μιάσματος δεῖ· γενομένου δ'
ἐκπροθέσμου, μὴ στερέσθωσαν ἰσομοιρίας τῆς ἐν ταῖς ἱερουργίαις, ἵνα
μὴ προσθήκη τετελευτηκότων οἱ ζῶντες ὦσιν· ἴτωσαν δὲ ἅτε δεύτεροι
δευτέρῳ μηνί, πάλιν τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ, καὶ θυέτωσαν κατὰ τὰ
αὐτὰ τοῖς προτέροις καὶ τῷ θύματι χρήσθωσαν ὡς ἐκεῖνοι νόμῳ καὶ
232 τρόπῳ τῷ παραπλησίῳ. τὰ δ' αὐτὰ ἐπιτετράφθω καὶ τοῖς μὴ διὰ
πένθος ἀλλὰ μακρᾶς χάριν ἀποδημίας κωλυομένοις ἅμα τῷ παντὶ
ἔθνει συνιερουργεῖν· οὐ γὰρ οἱ ξενιτεύοντες ἢ ἑτέρωθι οἰκοῦντες ἀδικοῦσιν,
ὡς στέρεσθαι τῆς ἴσης τιμῆς, καὶ ταῦτα μὴ χωρούσης διὰ πολυανθρωπίαν
τὸ ἔθνος μιᾶς χώρας, ἀλλ' ἀποικίας πανταχόσε διαπεμψαμένης.“
233 (31.) Τοσαῦτα διειλεγμένος περὶ τῶν ὑστερησάντων μὲν ἅμα τῷ
πλήθει θῦσαι τὰ διαβατήρια κατὰ συντυχίας ἀβουλήτους, ἐκπλῆσαι δ'
εἰ καὶ ὀψὲ ἀλλ' οὖν ἀναγκαίως τὸ ἐλλειφθὲν σπουδασάντων, ἐπὶ τελευ-
ταῖον μέτειμι διάταγμα τὸ περὶ τῆς τῶν κλήρων διαδοχῆς, ὅπερ ὁμοίως
234 μικτὸν ἦν ἐκ πεύσεως καὶ ἀποκρίσεως λαβὸν τὴν σύστασιν. ἦν τις

---

1. 2 προθεσπίζει VOK 2 τὰ περὶ] ἐπὶ Richt. λόγια χρησθέντα transp. A (v) 3 φησί] φύσει K, ἐστι M . ἀναγκαῖον A μὲν AFGHP: om. ceteri ἀνία om. A 4 γράφεται] ἀναγράφεται A (v) ἐμπλημμελείαις M, ἐν πλημελίαις G ἐμπρόθεσμον codd.: ἐκπρόθεσμον Turn. 5 περιβόλων] περιόδων CVOK ἁγνεύει (sic) ἀπὸ παντὸς transp. F 6 τοῦ μὴ om. Turn., μὴ om. O 7 στερέσθωσαν scripsi (cf. l. 14): στερείσθωσαν codd. (v) τῆς om. VOK 8 τελευτηκότων (sic) M 9. 10 τὰ αὐτὰ] ταῦτα A; ταὐτὰ (v) 10 τῷ om. F 10. 11 τρόπω καὶ νόμω transp. BEMGHP 12 ἀλλὰ] ἀλλὰ καὶ AF (v) 13 ἢ] οἱ Turn. ἑτέρωθεν F 14 στέρεσθαι] στερεῖσθαι A (v) διὰ om. Turn. 15 πανταχόσε] πολλαχόσε AHP (v) διαπεμψαμένης: desinit C fol. 123r 16 ὑστερισάντων G μὲν AFGHP: om. ceteri 17 ἐκπλῆσαι] ἐκπληρῶσαι AG (v), πληρῶσαι HP 17. 18 δ' εἰ AFH²: δεῖ GH¹P, δὲ (om. εἰ) ceteri 18 ἀλλ' οὖν ἀναγκαίως AFGHP: om. ceteri τὸ τελευταῖον V²OK 19 διάταγμα om. GHP τὸ] τῶι E 20 μικτὸν] μικρὸν F λαβὼν BEM Barb. τις om. VOK

---

18 — 255,19 Catena Barber. IV 56 fol. 150v Φίλωνος ἑβραίου ἐκ τοῦ περὶ μωσέως δευτέρου λόγου: ἐπὶ τελευταῖον μετεῖναι (sic) διάταγμα — τὰς παρὰ μικρὸν διαφορὰς παραστέλλοντα. 20 sqq. Num. 27,1 — 11

ὄνομα Σαλπαάδ, ἀνὴρ δόκιμος καὶ φυλῆς οὐκ ἀσήμου· τούτῳ πέντε μὲν
p. 171 M. γίνονται θυγατέρες, υἱὸς | δὲ οὐδείς· αἳ μετὰ τὴν τελευτὴν τοῦ πατρὸς
στέρησιν τῆς πατρῴας λήξεως ὑποτοπήσασαι διὰ τὸ τὰς κληρουχίας
ἄρρεσι δίδοσθαι προσίασι τῷ ἡγεμόνι μετὰ τῆς ἁρμοττούσης κόραις
αἰδοῦς, οὐ θηρώμεναι πλοῦτον, ἀλλὰ τοὔνομα καὶ ἀξίωμα γλιχόμεναι
διασῶσαι τοῦ πατρὸς καί φασιν· „ὁ μὲν πατὴρ ἡμῶν ἐτελεύτησεν, 235
ἐτελεύτησε δ' ἐν οὐδεμιᾷ στάσει γενόμενος, ἐφ' ὧν συνέβη διαφθαρῆναι
μυρίους, ἀλλ' ἐζήλωσε βίον ἀπράγμονα καὶ ἰδιώτην, εἰ μὴ ἄρα ἐν
ἁμαρτίᾳ θετέον τὸ γενεᾶς ἄρρενος ἀμοιρῆσαι. πάρεσμεν δ' ἡμεῖς ὅσα
μὲν τῷ δοκεῖν ὀρφαναί, τὸ δ' ἀληθὲς σοὶ χρησόμεναι πατρί· τοῦ γὰρ
γεννήσαντος ὁ νόμιμος ἄρχων οἰκειότερος ὑπηκόοις.“ ὁ δὲ θαυμάσας 236
τὴν φρόνησιν τῶν παρθένων καὶ τὴν πρὸς τὸν γειναμένον εὔνοιαν
ἐπέσχεν ὑφ' ἑτέρας ἑλκόμενος φαντασίας, καθ' ἣν τὰς κληρουχίας
ἄνδρες ὤφειλον διανέμεσθαι γέρας ληψόμενοι στρατείας καὶ πολέμων
οὓς διήθλησαν, γυναιξὶ δ' ἡ φύσις ἀσυλίαν τῶν τοιούτων ἀγωνισμάτων
παρέχουσα δηλονότι καὶ τῶν ἐπ' αὐτοῖς τιθεμένων ἄθλων οὐ μεταδίδωσιν.
ὅθεν εἰκότως τῆς διανοίας ἀμφικλινῶς ἐχούσης καὶ ἀντισπω- 237
μένης, ἀναφέρει τῷ θεῷ τὴν διαπόρησιν, ὃν ᾔδει μόνον ἀψευδέσι καὶ
ἀπλανεστάτοις κριτηρίοις τὰς κατὰ μικρὸν διαφορὰς διαστέλλοντα πρὸς

---

1 ὄνομα AF Barb.: ὀνόματι ceteri Σαλπαάδ scripsi: σαλπαάθ AFGHP Barb. (v), σαλίτα ὁ δ' ceteri γρ. ἦν τις ὀνόματι σαλπαάθ mg. K ἀσίμου Barb. μὲν om. Barb. 2 γείνονται $V^1$, γείνοντο $V^2$K δ' AH Barb. οὐδὲ εἷς VOK Barb. 3 λέξεως $H^1P^1$ 4 ἄρσεσι VO δίδοσθαι AGHP Barb.: δεδόσθαι ceteri (Mang). χοραῖς (sic) v 6 τοῦ πατρὸς διασῶσαι transp. M ὁ μὲν πατὴρ] ὅτι ὁ πατὴρ Cat. ἐτελεύτησεν] ἐτελεύτα K ἐτελεύτησεν ἡμῶν transp. A Barb. 7 ἐτελεύτησε δ' om. Cat. δὲ A οὐδὲ μιᾷ Barb. στάσεων coni. Mang. ἐφ' GHP: ὑφ' ceteri (v) 8 ἰδιώτην καὶ ἀπράγμονα transp. VOK καὶ ἰδιώτην om. Cat. ἄρα eras. H 8. 9 ἐν ἁμαρτίᾳ] ἁμαρτίαν A ἐν ἁμαρτίᾳ θετέον] ἐστὶ Cat. 9. 10 ὅσα μὲν τῷ] τῶ (vel τὸ) μὲν Cat. 10 δὲ Cat. τοῦ — ὑπηκόοις (11) om. Cat. 11 οἰκειότερον (ς supra) K ὑπήκοος P 12 τὸν γειναμένον] τὸ γινόμενον Cat., τὸ γενόμενον $V^1$O 13 ὑπέσχεν Cat. ὑφ'] ἐφ' Cat. ἑτέρας] ἑκατέρας GHP Barb. Cat. (Turn.) 15 ἀσυλίαν] ἀτέλειαν coni. Mang. 16 δῆλον ὅτι E ὑπ' αὐτοῖς Cat. 17 ὅθεν: incipit C fol. 123r 18 τῷ om. Cat. καὶ ante ἀψευδέσι add. AFGHP (Turn.) 19 κατὰ] παρὰ Barb. διαστελλόμενον P, παραστέλλοντα Barb.

---

4 — 18 Catena in Num. 27,3 (Caten. Lips. I p. 1359) Φίλωνος ἑβραίου: ὡς οὐ θηρώμεναι πλοῦτον προσῆλθον τῷ ἡγεμόνι μετὰ τῆς ἁρμοττούσης κόραις αἰδοῦς, ἀλλὰ τοὔνομα — ἀναφέρει θεῷ.

238 ἐπίδειξιν ἀληθείας καὶ δικαιοσύνης. ὁ δὲ ποιητὴς τῶν ὅλων, ὁ τοῦ
κόσμου πατήρ, γῆν καὶ οὐρανὸν ὕδωρ τε καὶ ἀέρα καὶ ὅσα ἐκ τούτων
ἑκάστου συνέχων καὶ διακρατῶν, ὁ θεῶν καὶ ἀνθρώπων ἡγεμών, οὐκ
ἀπηξίωσε χρηματίσαι κόραις ὀρφαναῖς· χρηματίσας δὲ καὶ πλέον τι
παρέσχεν ἢ κατὰ δικαστὴν ὁ εὐμενὴς καὶ ἵλεως, ὁ πάντα διὰ πάντων
πεπληρωκὼς τῆς εὐεργέτιδος ἑαυτοῦ δυνάμεως· ἔπαινον γὰρ διεξῆλθε
239 τῶν παρθένων. ὦ δέσποτα, πῶς ἄν σέ τις ὑμνήσειε, ποίῳ στόματι,
τίνι γλώττῃ, ποίᾳ φωνῆς ὀργανοποιίᾳ, ποίῳ ψυχῆς ἡγεμονικῷ; οἱ γὰρ
ἀστέρες εἷς γενόμενοι χορὸς ᾄσονταί τι μέλος ἐπάξιον; ὁ δ' οὐρανὸς
ὅλος εἰς φωνὴν ἀναλυθεὶς δυνήσεταί τι τῶν σῶν ἀρετῶν διηγήσασθαι
240 μέρος; „ὀρθῶς“ φησίν „ἐλάλησαν αἱ θυγατέρες Σαλπαάδ.“ τοῦθ'
ἡλίκον ἐστὶν ἐγκώμιον θεοῦ μαρτυροῦντος, τίς οὐκ οἶδε; πάριτε νῦν, οἱ
ἀλαζόνες, οἱ μέγα πνέοντες ἐπὶ ταῖς εὐπραγίαις, οἱ τοὺς αὐχένας πλέον
τῆς φύσεως ἐπαίροντες καὶ τὰς ὀφρῦς ἀνεσπακότες, παρ' οἷς χηρεία
μὲν γυναικῶν γέλως, [καὶ] οἰκτρὸν κακόν, ἐρημία δὲ παίδων ὀρφανῶν,
241 | οἰκτρότερον τοῦ προτέρου, χλευάζεται· καὶ κατιδόντες ὅτι οὕτω ταπεινοὶ p. 172 M.
καὶ ἀτυχεῖς εἶναι δοκοῦντες οὐκ ἐν ἐξουθενημένοις καὶ ἀφανέσι τάττονται
παρὰ τῷ θεῷ, οὗ τῆς ἀρχῆς τὸ ἀτιμότατον μέρος εἰσὶν αἱ πανταχοῦ

---

2 pr. καὶ om. Barb. ἐκ τούτων om. O 3 ἑκάστου] καὶ ἐν ἑκάστῳ AFN Barb., om. C 3. 4 οὐ κατηξίωσε A 4 χρηματίσαι om. BEM κόραις — δικαστὴν (5) om. C καὶ BEMVOK: φημὶ ceteri (v) 5 post δικαστὴν add. νόμου AFGHPN Barb.; ὁ μόνος εὐμενὴς coni. Mang. 6 αὐτοῦ AVOK Barb. 6. 7 ἔπαινον — παρθένων om. C 7 ἂν] δὴ A ὑμνήσει A 8 τίνι AGHP Barb.: ποίᾳ ceteri οἱ γὰρ] οὐ γὰρ $V^2OKG^2$, οὐ γὰρ οἱ $C^2$, εἰ γὰρ Barb. 9 εἷς om. Turn. ᾄσουσι C ⟨σου⟩ ἐπάξιον coni. Mang. ὁ] οὐ $C^2V^2OK$ δὲ BEMO 11 — 18 ὀρθῶς — θεῷ om. C 11 γάρ φησιν Barb. Σαλπαάδ scripsi: ἀλπάδα BEMVOK, σαλπαάθ ceteri (v) 12 νῦν] τοίνυν BEMVOK οἱ om. A 13 εὐπραγείαις Barb. τὸν αὐχένα H (v) 13. 14 τῆς φύσεως πλέον transp. Barb. 14 ἐπαίροντες AGHP Barb.: αἴροντες BEMFN mg. K, om. VOK 15 γυναικῶν AFN Barb.: γυναικὸς ceteri καὶ seclusi; καίτοι coni. Mang. 16 καὶ χλευάζετε VOK post ὅτι add. οἱ $AFV^2OKN$ Barb. (v) 17 ἐξουθενημένοις A: ἠμελημένοις ceteri (v) 18 τῷ om. N ἀτιμότερον BEM

---

1 — 257,9 Catena in Num. 27,7 (Caten. Lips. I p. 1361) Φίλωνος ἑβραίου: ὁ δὲ ποιητὴς τῶν ὅλων, ὁ τοῦ κόσμου σωτὴρ καὶ τὰ πάντα συνέχων οὐκ ἀπηξίωσε χρηματίσαι κόραις ὀρφαναῖς· ἔπαινον γὰρ διεξῆλθε τῶν παρθένων, οὐκ ἀγεράστους ταύτας καταλιπεῖν, ἀλλὰ τοῖς μὲν ἀνδράσιν ὡς ἆθλα οἰκεῖα ἀπένειμε τὰς κληρουχίας, τὰς δὲ χάριτος καὶ φιλανθρωπίας ἠξίωσεν, ὃ καὶ ἐναργῶς παρίστησι „δόμα“ λέγων „δώσεις“, ἀλλ' οὐκ „ἀπόδομα“ οὐδὲ „ἀποδώσεις“· ταῦτα μὲν γὰρ ἴδια τῶν λαμβανόντων, ἐκεῖνα δὲ τῶν χαριζομένων.
1 — 258,4 Catena Barber. IV 56 fol. $150^v$ Φίλωνος ἑβραίου: ὁ ποιητὴς τῶν ὅλων—δίδωσι τοὺς κλήρους. 1—257,2 N fol. $158^r$: ὁ δὲ ποιητὴς—δέξασθαι νουθεσίαν ἀναγκαίαν.

τῆς οἰκουμένης βασιλεῖαι, διότι καὶ ὁ τῆς γῆς ἅπας ἐν κύκλῳ περίβολος
ἐσχατιὰ τῶν ἔργων ἐστὶν αὐτοῦ, δέξασθε νουθεσίαν ἀναγκαίαν. ἐπαινέσας 242
δ' ὅμως τὴν ἔντευξιν τῶν παρθένων οὔτε ταύτας ἀγεράστους κατέλιπεν
οὔτ' εἰς τὴν ἴσην τιμὴν τοῖς ἀγωνισταῖς ἀνδράσι περιήγαγεν, ἀλλὰ τοῖς
μὲν ὡς ἆθλα οἰκεῖα ἀπένειμε τὰς κληρουχίας ἀνθ' ὧν ἠνδραγαθίσαντο,
τὰς δὲ χάριτος καὶ φιλανθρωπίας, οὐ γέρως, ἠξίωσεν· ὃ ἐναργέστατα
παρίστησι διὰ τῶν ὀνομάτων „δόμα" λέγων καὶ „δώσεις" (Num. 27, 7),
ἀλλ' οὐκ „ἀπόδομα" οὐδ' „ἀποδώσεις"· ταῦτα μὲν γὰρ ἴδια τῶν
λαμβανόντων, ἐκεῖνα δὲ τῶν χαριζομένων. (32.) θεσπίσας δὲ περὶ ὧν 243
ἐνετύγχανον αἱ ὀρφαναὶ παρθένοι καὶ καθολικώτερον τίθησι νόμον περὶ
κλήρων διαδοχῆς, πρώτους μὲν υἱοὺς ἐπὶ μετουσίαν καλῶν τῶν
πατρῴων, εἰ δὲ μὴ εἶεν υἱοί, δευτέρας θυγατέρας, αἷς φησι δεῖν περι-
τιθέναι τὸν κλῆρον ὡσανεὶ κόσμον ἔξωθεν, ἀλλ' οὐχ ὡς ἴδιον καὶ
συγγενὲς κτῆμα· τὸ γὰρ περιτιθέμενον οὐδεμίαν οἰκείωσιν ἔχει πρὸς τὸ
διακοσμούμενον, ἁρμονίας καὶ ἑνώσεως ἀλλοτριούμενον. μετὰ δὲ θυγα- 244
τέρας τρίτους ἀδελφοὺς καλεῖ, τετάρτην δὲ θείοις πρὸς πατρὸς ἀπονέμει
τάξιν, αἰνιττόμενος ὅτι καὶ πατέρες γένοιντ' ἂν υἱῶν κληρονόμοι· πάνυ
γὰρ εὔηθες ὑπολαβεῖν, ὅτι πατρὸς ἀδελφῷ νέμων κλῆρον ἀδελφιδοῦ διὰ
τὴν πρὸς πατέρα συγγένειαν αὐτὸν ἀφείλετο τὸν πατέρα τῆς διαδοχῆς.
ἀλλ' ἐπειδὴ νόμος φύσεώς ἐστι κληρονομεῖσθαι γονεῖς ὑπὸ παίδων ἀλλὰ 245
μὴ τούτους κληρονομεῖν, τὸ μὲν ἀπευκτὸν καὶ παλίμφημον ἡσύχασεν,
ἵνα μὴ πατὴρ καὶ μήτηρ προσοδεύεσθαι δοκῶσι τὰ ἐπ' ὠκυμόροις τέκνοις

---

1 διότι] διὸ BEMV, δι' ὃ OK, om. C ἅπας] ἅπαξ (ς supra) L, ἅπαξ Turn. 2 ἐστὶν αὐτοῦ A: αὐτοῦ om. C, αὐτοῦ ἐστι ceteri (v) ἐστίν: desinit C fol. 123v
3 δ' ὅμως] δ' ὁ μωσῆς A; δὲ Μωσῆς v 5 τὰς] τῆς F ἠνδραγαθήσαντο FHP Barb. 6 ὃ] ὡς Barb. 7 παρίστησι codd.: παρέστησε v διὰ τῶν ὀνομάτων om. Barb. διὰ] τὸ BEMVOK δόμα] δόματα Barb., δόγμα M δώσεις E Cat.: δόσις A, δόσεις ceteri (v) 8 ἀπόδωμα BM Barb. οὐδ'] οὐκ FHP (v) οὐδ' ἀποδώσεις om. A ἀποδώσεις B[1]E Cat.: ἀποδόσεις ceteri (v) μὲν om. BEMVOK 10 ἐνετύγχανον AH[2]: ἐτύγχανον GH[1]P Barb., ἐνέτυχον ceteri ὀρφανοὶ (sic) VK 10. 11 περὶ κλήρων —τὸν κλῆρον (13) om. VOK, add. mg. K[2] 11 πρῶτον FGHP Barb. (Turn.) υἱοὺς om. M 12. 13 περιθεῖναι A 14 παρατιθέμενον HP (Turn.) οὐδὲ μίαν Barb. 15. 16 τὰς θυγατέρας BEM (Mang.) 16 καὶ ante τετάρτην add. FGHP Barb. (Turn.) post θείοις add. τοῖς BEM 17 καὶ om. Barb. πατέρες] πατρὸς Turn. γένοιτ' MO Barb. 18 νέμων κλῆρον om. A ἀδελφιδοῦ] διδοὺς A 19 τὸν πατέρα BEMHP (v) πατέρας A
20 νόμος φύσεώς ἐστι] ὁ νόμος ἐφίησι A (Mang.) γονεῖς AF Barb.: τοὺς γονεῖς ceteri (v) 21 ἀπευκταῖον A (v) ἡσυχάσας K[1] 22 μὴ om. F ἐπ' ὠκυμόροις] ἐπὶ χαμμόροις A

ἀπαρηγόρητα πένθη, πλαγίως δ' αὐτοὺς ἐκάλεσε τοῖς θείοις ἐφιείς, ἵν'
ἀμφοτέρων στοχάσηται καὶ τοῦ πρέποντος καὶ τοῦ μὴ τὴν οὐσίαν ἀλλο-
τριωθῆναι. μετὰ δὲ θείους πέμπτη τάξις ἐστὶν οἱ ἔγγιστα γένους, ὧν
ἀεὶ τοῖς πρώτοις δίδωσι τοὺς κλήρους.
246 (33.) Ταῦτ' ἀναγκαίως διεξεληλυθὼς περὶ τῶν μικτὴν ἐχόντων
κληρουχίαν χρησμῶν, ἑξῆς δηλώσω | τὰ κατ' ἐνθουσιασμὸν τοῦ προ- p. 173 M.
φήτου θεσπισθέντα λόγια· τοῦτο γὰρ ὑπεσχόμην δείξειν. ἀρχὴ τοίνυν
ἐστὶν αὐτῷ τῆς θεοφορήτου κατοκωχῆς, ἥτις καὶ τῷ ἔθνει γέγονεν
εὐπραγίας ἀρχὴ στειλαμένῳ τὴν ἀπ' Αἰγύπτου πρὸς τὰς κατὰ Συρίαν
247 πόλεις ἀποικίαν μυριάσι πολλαῖς. ἄνδρες γὰρ ὁμοῦ καὶ γυναῖκες ἀτριβῆ
καὶ μακρὰν ἐρήμην ἅπασαν ἀνύσαντες ἐπὶ θάλατταν ἀφικνοῦνται τὴν
Ἐρυθρὰν προσαγορευομένην· εἶθ' ὡς εἰκὸς ἐν ἀμηχάνοις ἦσαν οὔτε
περαιοῦσθαι δυνάμενοι διὰ σκαφῶν ἀπορίαν οὔτ' ἐπιστρέφειν τὴν
248 αὐτὴν ὁδὸν ἀσφαλὲς ἡγούμενοι. διακειμένοις δ' οὕτως μεῖζον ἐπιρράττει
κακόν· ὁ γὰρ τῶν Αἰγυπτίων βασιλεὺς δύναμιν παραλαβὼν οὐκ εὐκατα-
φρόνητον, ἱππότην καὶ πεζὸν στρατόν, ἐπεξῄει διώκων καὶ σπεύδων
καταλαβεῖν, ἵνα τίσηται τῆς ἐξόδου, ἣν θεσφάτοις ἀριδήλοις ἐπέτρεψε
ποιήσασθαι. ἀλλ' ὡς ἔοικεν ἀβέβαιος ἡ μοχθηρῶν ἀνθρώπων διάθεσις
ὡς ἐπὶ πλάστιγγος μικρᾶς ἕνεκα προφάσεως ῥέπουσα πρὸς τἀναντία.
249 μέσοι δὴ ληφθέντες ἐχθρῶν καὶ θαλάττης ἀπέγνωσαν τὴν ἰδίαν σωτηρίαν,
οἱ μὲν εὐκτὸν ἀγαθὸν ἡγούμενοι τὸν οἴκτιστον ὄλεθρον, οἱ δ' ἄμεινον
εἶναι νομίζοντες ὑπὸ τῶν τῆς φύσεως ἀπολέσθαι μερῶν ἢ γέλως ἐχθροῖς

---

1 πλαγίους M δ' om. FGHP Barb. αὐτοὺς ἐκάλεσε AGHP Barb.: ἐκάλεσεν αὐτοὺς BEMV¹O¹F, ἐκάλεσεν αὐτοῖς V²O²K τοὺς θείους V²OK ἐφείς BEMFG Barb. ἵν'] ἵνα καὶ A (v) 3 ἐστὶν οἱ om. P, οἱ om. GH τοῦ γένους BEM 4 αἰεὶ A 6 κληρουχίαν corruptum; μῖξιν (ἐχόντων) καὶ κοινωνίαν coni. Mang. coll. 244,18, δύναμιν coni. Markland coll. 245,6 χρησμῶν om. Turn. ἐξ ἧς F, ἑξῆς om. O 7 λόγια om. VOK τοίνυν—γέγονεν (8) post ἀρχὴ (9) repet. HP, rursus del. H 8 αὐτῷ AFGHP: αὕτη ceteri θεοφρουρήτου V¹F κατοκωχῆς scripsi: καταχωχῆς BEMA (v), κατοχῆς ceteri 9 στειλαμένων A (Turn.) 10 γὰρ om. A 14 διακειμένοις AFGHP: διακειμένων ceteri οὕτω BEMGHP ἐπιρράπτει MF, ἐπαράττει V²OK, ἐπιταράττει AG² 16 pr. καὶ] τε καὶ BEM σπεύδων καὶ διώκων transp. VOK 17 θεσφάτων H 19 ἕνεκεν BEO, ἕνεκε M προφήτης (ἄσεως) K 20 θαλάσσης F ἀπεγνώκεσαν FHP (Turn.), ἀπεγνώκεισαν A τῆς ἰδίας σωτηρίας V²OK 21 εὐκτὸν] ἐκ τῶν G ἀγαθῶν G, ἀγαθοῖς BEM 22 νομίσαντες AGHP (Turn.) ἐχθρῶν A

---

10 sqq. Exod. cap. 14

γενέσθαι ῥίπτειν ἑαυτοὺς εἰς θάλασσαν διενοοῦντο καί τινα τῶν βάρος ἐχόντων ἐπαχθισάμενοι παρὰ ταῖς ἠϊόσιν ἐφήδρευον, ἵν', ὁπόταν θεάσωνται τοὺς πολεμίους ἐγγὺς ὄντας, καθαλλόμενοι ῥᾷον εἰς βυθὸν ἐνεχθῶσιν. ἀλλὰ γὰρ οἱ μὲν πρὸς τὸ ἄπορον τῆς ἀνάγκης διεπτόηντο 250
δυσθανατοῦντες· (34.) ὁ δὲ προφήτης, ὑπ' ἐκπλήξεως ὁρῶν σεσαγηνευμένον ὥσπερ βόλον ἰχθύων τὸ σύμπαν ἔθνος, οὐκέτ' ὢν ἐν ἑαυτῷ θεοφορεῖται καὶ θεσπίζει τάδε· „τὸ μὲν δέος ἀναγκαῖον, φόβος ἐγγὺς 251
καὶ μέγας ὁ κίνδυνος· ἐξ ἐναντίας ἀχανές ἐστι πέλαγος, ὑπόδρομος εἰς καταφυγὴν οὐδείς, ἀπορία πλοίων, κατόπιν ἔφεδροι φάλαγγες ἐχθρῶν, αἳ στείχουσιν ἀπνευστὶ διώκουσαι. ποῖ τις τράπηται, ποῖ τις ἐκνεύσῃ; πάντα πανταχόθεν ἐξαπιναίως ἐπέθετο, γῆ, θάλαττα, ἄνθρωποι, στοιχεῖα φύσεως. ἀλλὰ θαρρεῖτε, μὴ ἀποκάμητε, στῆτε ταῖς διανοίαις μὴ 252
κραδαινόμενοι, προσδοκᾶτε τὴν ἀήττητον ἐκ θεοῦ βοήθειαν· αὐτεπάγγελτος ἤδη παρέσται, μὴ ὁρωμένη προαγωνιεῖται· πεπείρασθε αὐτῆς ἤδη πολλάκις ἀμυνομένης ἀφανῶς· βλέπω μέλλουσαν κονίεσθαι, βρόχους τοῖς αὐχέσι περιβάλλουσαν τῶν ἀντιπάλων· ἕλκει κατὰ τῆς θαλάττης· μολύβδου τρόπον εἰς βυθὸν χωροῦσιν. ὑμεῖς μὲν ἔτι ζώντων αἰσθάνεσθε, τεθνεώτων δ' ἐγὼ φαντασίαν λαμβάνω· τήμερον δὲ καὶ ὑμεῖς
p. 174 M. νεκροὺς αὐτοὺς θεάσεσθε.“ | καὶ ὁ μὲν ταῦτ' ἀπεφθέγγετο μείζονα ὄντα 253
πάσης ἐλπίδος, οἱ δ' ἐπειρῶντο ἔργοις τῆς περὶ τὸ λόγιον ἀληθείας. ἀπέ-

---

1 ῥιπτεῖν BEHP θάλατταν A 2 ἠόσιν FG ὁπότε AGH (Turn.)
3 θεάσαιντο AVOK (v) καθαλλώμενοι M 4 οἱ μὲν AF: οἶμαι ceteri
ἄπορον AFGHP: παρὸν ceteri ἐπτόηντο AVOK (v) 5 δυσθανατῶντες
ω
AGH$^{1}$P ὁρῶν ὑπ' ἐκπλήξεως transp. A (v) 6 βόλον A, βόλου V$^{2}$OK
οὐκέτι AGH ὢν] ὃν VOK$^{1}$ αὐτῶ V, αὐτῶ OK 7 φόβος AF: καὶ φόβος
ceteri; fort. scribendum καὶ ⟨γὰρ⟩ φόβος 8 ἐξ ἀντίας M ἀχανές] ἐμφανὴς A
πελάγους A ἱππόδρομος AGP 8. 9 εἰς τὴν καταφυγὴν M 9 πλοίων]
πλείων G 10 στίχουσιν BEM διώκουσι K pr. ποῖ] πῆ FP τράποιτο G
alt. ποῖ] πῆ BEMFHP ἐκνεύσῃ BEMO: ἐκνεύσει ceteri 11 ἐπέθεντο VOK,
η
ἐξέθετο A 12 ἀποκάμοιτε O, ἀποκάμνετε A (v) 13 ἀήττητον om. A
τοῦ θεοῦ BEM αὐτεπαγγέλτως A (v) 14 παρέσται AFGHP: πάρεστι
ceteri προσαγωνιεῖται A (v) post πεπείρασθε add. δ' F 15 βλέπω
μέλλ. κον. FGHP: μέλλ. κον. βλέπω transp. A (v), βλέπω om. ceteri μέλλουσα
BEMK$^{2}$ κονίεσθαι] κονιεῖσθαι AFHP (v), κινεῖσθαι G 16 περιβάλλουσαν
V$^{1}$AH$^{2}$: περιβάλλουσα ceteri τῶν ἀντιπάλων VOKAF: κατὰ τῶν ἀντιπάλων ceteri (v)
θαλάσσης AVOK post θαλάττης repet. ἀμυνομένης ἀφανῶς (e lin. 15) HP
17 μολύβδου BE: μολύγδου M, μολίβδου ceteri (v) χοροῦσιν FP 18 ἡμεῖς G
19 νεκροὺς αὐτοὺς codd.: αὐτοὺς νεκροὺς v θεάσασθε F ἀπεφθέγξατο BEM
20 δὲ VOK

βαινε γὰρ τὰ χρησθέντα θείαις δυνάμεσι μύθων ἀπιστότερα· ῥῆξις
θαλάττης, ἀναχώρησις ἑκατέρου τμήματος, πῆξις τῶν κατὰ τὸ ῥαγὲν
μέρος διὰ παντὸς τοῦ βάθους κυμάτων, ἵν' ἀντὶ τειχῶν ᾖ κραται-
οτάτων, εὐθυτενὴς ἀνατομὴ τῆς μεγαλουργηθείσης ὁδοῦ, ἣ τῶν κρυ-
254 σταλλωθέντων μεθόριος ἦν, ὁδοιπορία τοῦ ἔθνους ἀκινδύνως πεζεύ-
οντος διὰ θαλάττης ὡς ἐπὶ ξηρᾶς ἀτραποῦ καὶ λιθώδους ἐδάφους
— ἐκραυρώθη γὰρ ἡ ψάμμος καὶ ἡ σποράς αὐτῆς οὐσία συμφῦσα
ἡνώθη —, ἐχθρῶν ἀπνευστὶ διωκόντων ἐφόρμησις σπευδόντων ἐπ'
οἰκεῖον ὄλεθρον, νεφέλης ὀπισθοφυλακούσης ἡνιόχησις, ἐν ᾗ θεία τις
ὄψις πυρὸς αὐγὴν ἀπαστράπτουσα ἦν, πελαγῶν ἃ τέως ἀνακοπέντα
διειστήκει παλίρροια, τοῦ διακοπέντος καὶ ἀναξηρανθέντος μέρους
255 αἰφνίδιος θαλάττωσις, πολεμίων φθορά, οὓς τά τε κρυσταλλωθέντα τείχη
καὶ ἀνατραπέντα κατεύνασε καὶ αἱ πλήμμυραι τοῦ πελάγους ὥσπερ εἰς
φάραγγα τὴν ὁδὸν ἐπενεχθεῖσαι κατέκλυσαν, ἐπίδειξις τῆς φθορᾶς διὰ
τῶν ἐπαναπλευσάντων σωμάτων, ἃ τὴν ἐπιφάνειαν τοῦ πελάγους κατε-
στόρεσε, καὶ σφοδρὰ κυμάτωσις, ὑφ' ἧς ἅπαντες οἱ νεκροὶ σωρηδὸν
ἀπεβράσθησαν εἰς τοὺς ἀντιπέραν αἰγιαλούς, ἀναγκαία θέα γενησόμενοι
τοῖς διασωθεῖσιν, οἷς ἐξεγένετο μὴ μόνον τοὺς κινδύνους διαφυγεῖν ἀλλὰ

ττ                                                                              ή
2 θαλάσσης O, θαλάσσης G    3 βάθους AFGHP: βυθοῦ ceteri    4 εὐθυτενοῦς A (εὐθυτενὴς v): εὐθυτενοῦς FGH, εὐθυγενοῦς P, αὐθιγενὴς ceteri    ἡ A    4. 5 κρυσταλωθέντων $V^1$MAHP; κρυσταλλωθέντων ⟨κυμάτων⟩ vel ⟨ὑδάτων⟩ coni. Mang.    5 ἦν om. A    6 θαλάσσης P    ὡς om. BEM    7 ἐκαρώθη $V^1$O
μ
ὁ ψάμμος P, ἡψάμενος (sic) K    σποράς] ἄμικτος F$V^2$OK, σπορᾶς ceteri    συμφῦσα GHP: συμφὺς δ' BEM, συμφῦσα δ' F, συμφυεῖσα AVOK (v)    8 ἐφόρμησις AFGHP: ἐφορμῆσαι ceteri    9 οἰκείων F    ὀπισθοφύλακος FHP (v), ὀπισθοφυλάκως A    ἡνιοχούσης A, ἡνιόχησις in ἡνιοχούσης corr. P    ἐν ᾗ om. A    τις om. VOK    10 ἦν om. A    ἃ τέως] αὐτῶν BEM$V^1$K, αὐτοῖς $V^2$O    ἀνακοπέντα AFGH: ἀνακοπέντων ceteri    11 διειστήκει] διάστασις $V^2$O, διάστασιν K    12 αἰφνίδιον VK    θαλάττωσις] δ' ἐλάττωσις BEM ($V^1$ ut vid.), δ' ἀνέλπιστος $V^2$OK    φθοραί A (v)    κρυσταλωθέντα VKMHP    13 pr. καὶ eras. $V^2$, om. OK    κατεύνασε Turn.: κατένευσαν A, κατένευσε FGHP, κατέκλυσε ceteri    αἱ πλήμμυραι] ἐπλήμμυρε VOK    14 ἐπενεχθεῖσαι κατέκλυσαν] ἐπενεχθέντος καὶ καλύψαντος $V^2$OK    15 ἐπαναπλευσάντων FGHP: ὑπαναπνευσάντων M, ὑπαναπλευσάντων ceteri (v)    τοῦ] αὐτοῦ F    15. 16 κατεστόρεσαν H    16 καὶ σφοδρὰ AFGHP: σφόδρα (om. καὶ) ceteri    κυμάτωσις AGHP: κυματώσης F, κυματοῦσαν VOK, κυματουμένης τῆς θαλάσσης BEM
π
πάντες AG (v)    17 ἀπεβράσθησαν GHP: ἐξεβράσθησαν A, ἐβράσθησαν F, ἀνεβράσθησαν ceteri    ἀντιπέρας FHP, ἀντίπαραν M

13 κατεύνασε: cf. Soph. Ant. 833. Trach. 95.

καὶ ἐπιδεῖν τοὺς ἐχθροὺς οὐκ ἀνθρωπίναις ἀλλὰ θείαις δυνάμεσι παντὸς
λόγου μεῖζον κολασθέντας. διόπερ εἰκότως εὐχαρίστοις ὕμνοις γεραίρει 256
τὸν εὐεργέτην· εἰς γὰρ δύο χοροὺς διανείμας τὸ ἔθνος, τὸν μὲν ἀνδρῶν,
τὸν δὲ γυναικῶν, ἐξάρχει μὲν αὐτὸς τοῖς ἀνδράσιν, ἔξαρχον δὲ καὶ
τῶν γυναικῶν καθίστησι τὴν ἀδελφήν, ἵν' ᾄδωσιν ὕμνους εἰς τὸν
πατέρα καὶ ποιητὴν ἀντιφθόγγοις ἁρμονίαις συνηχοῦντες, διά τε κράσεως
ἠθῶν καὶ μέλους, τῶν μὲν ἐπὶ τὴν αὐτὴν σπευδόντων ἀμοιβήν, τοῦ
δὲ συνισταμένου κατὰ τὴν βαρύτητος πρὸς ὀξύτητα συμφωνίαν· φθόγγοι
γὰρ οἱ μὲν ἀνδρῶν βαρεῖς, ὀξεῖς δ' οἱ γυναικῶν, ἐξ ὧν, ὅταν ἡ κρᾶσις
γένηται σύμμετρος, ἥδιστον καὶ παναρμόνιον ἀποτελεῖται μέλος. τὰς δὲ 257
τοσαύτας μυριάδας ἔπεισεν ὁμογνωμονῆσαι καὶ τὸν αὐτὸν ὕμνον ἐν
ταὐτῷ συνᾴδειν τὰ τεράστια ἐκεῖνα μεγαλουργήματα, περὶ ὧν
ὀλίγῳ πρότερον διεξῆλθον· ἐφ' οἷς ὁ προφήτης γεγηθώς, ὁρῶν καὶ
τὴν τοῦ ἔθνους περιχάρειαν, οὐδ' αὐτὸς ἔτι χωρῶν τὴν ἡδονήν, κατῆρχε
τῆς ᾠδῆς· οἱ δ' ἀκούοντες εἰς δύο χοροὺς ἀλισθέντες τὰ λεχθέντα
συνῇδον.

p. 175 M. (35.) | Τοῦτ' ἐστὶ τῆς κατ' ἐνθουσιασμὸν προφητείας Μωυσέως 258
ἀρχὴ καὶ προοίμιον. ἑξῆς δὲ θεσπίζει περὶ τοῦ πρώτου καὶ ἀναγκαιο-
τάτου, τροφῆς, ἣν γῆ μὲν οὐκ ἤνεγκε — καὶ γὰρ ἦν στεῖρα καὶ
ἄγονος —, ὤμβρησε δ' οὐρανὸς οὐχ ἅπαξ ἀλλ' ἐπὶ τεσσαρακονταετίαν
ἑκάστης ἡμέρας πρὸ τῆς ἕω καρπὸν αἰθέριον ἐν δρόσῳ κέγχρῳ παρα-
πλήσιον. ὃν ἰδὼν Μωυσῆς συγκομίζειν κελεύει καὶ ἐπιθειάσας φησί· 259
„πιστεύειν δεῖ τῷ θεῷ πεπειραμένους αὐτοῦ τῶν εὐεργεσιῶν ἐν μείζοσιν
ἐλπίδος πράγμασιν· ἀθησαύριστα, ἀταμίευτα τὰ τῆς τροφῆς ἔστω·

---

2 λόγου] ἔργου P λόγου μείζονα BEM, μείζονα λόγου VOK εὐχαριστικοῖς conicio 4 ἐξάρχοι M 5 καὶ ante τὴν ἀδελφήν add. BEM 6 τὸν ποιητὴν HP, εἰς τὸν ποιητὴν G τε eras. V², om. OK κράσεως AFGHP: κράσεων ceteri 8 τὴν ὀξύτητα VK 9 μὲν] τῶν A δὲ A οἱ om. A 10 ἀποτελεῖ G 11 ὁμογνωμονεῖν VK καὶ VOK (coni. Mang.): om. ceteri 11. 12 ἐν ταὐτῷ AFGHP: om. ceteri 12 συνᾴδειν AFGHP: συνᾴδειν καὶ λέγειν ceteri (prob. Mang.) ἐκεῖνα A: ἐκεῖνα καὶ ceteri (v) μεγαλουργηθέντα AGHP (v) 13 διῆλθον BEMF 14 προκατῆρχε VOK 15 εἰς δύο χοροὺς om. VOK ἀλισθέντες] διαιρεθέντες A (v) τὰ λεχθέντα A: τοῖς λεχθεῖσι VOK, τοὺς λεχθέντας ceteri 17 τοῦτ' ἔστι BEMG, τουτέστι V¹AFHP, τοῦτό ἐστι V²OK μωϋσέως BEM: μωϋσέος ceteri 18 ἀρχὴν A τοῦ om. VOK 20 ὄμβρησε E δὲ A ἀλλὰ AVK ἐπὶ om. A τεσσαρακονταετίαν] τεσσαράκοντα χρόνους HP 23 τῷ om. A αὐτῷ P 24 τὰ om. VOK

---

18 sqq. Exod. 16,4 sqq.

260 μηδεὶς ἄχρι πρωίας ὑπολειπέσθω μηδὲν αὐτῆς μέρος.“ τοῦτ᾽ ἀκού-
σαντες ἔνιοι τῶν πρὸς εὐσέβειαν ἀνερματίστων, ὑπολαβόντες ἴσως οὐ
χρησμοὺς ἀλλὰ παραίνεσιν ἄρχοντος εἶναι τὰ λεγόμενα, λείπουσιν εἰς
τὴν ὑστεραίαν· τὸ δὲ σηπόμενον τὸν κύκλον τοῦ στρατοπέδου δυσοδμίας
πληροῖ τὸ πρῶτον, εἶτ᾽ εἰς σκώληκας, ὧν ἡ γένεσις ἐκ φθορᾶς ἐστι,
261 μετέβαλεν. ἅπερ ἰδὼν Μωυσῆς εἰκότως ἐπὶ τοῖς ἀπειθέσι πικραίνεται·
πῶς γὰρ οὐκ ἔμελλεν, εἰ τοσαῦτα καὶ τηλικαῦτα θεασάμενοι, πρὸς μὲν
τὰς πιθανὰς καὶ εὐλόγους φαντασίας ἀδύνατα πραχθῆναι, τελειωθέντα
δὲ εὐμαρῶς ἐπιφροσύναις θείαις, οὐκ ἐνδοιάζουσι μόνον, ἀλλὰ καὶ ἀπι-
262 στοῦσιν οἱ δυσμαθέστατοι πάντων; ἀλλ᾽ ὅ γε πατὴρ δυσὶν ἐναργεστάταις
ἀποδείξεσι τὸ λόγιον τοῦ προφήτου διασυνέστησεν, ὧν τὴν μὲν ἑτέραν
εὐθὺς ἀπεδείξατο φθορᾷ τοῦ ὑπολειφθέντος καὶ δυσωδίᾳ καὶ τῇ πρὸς
σκώληκας, τὸ φαυλότατον ζῷον, μεταβολῇ, τὴν δ᾽ ἑτέραν ὕστερον· ἀεὶ
γὰρ τὸ πλεονάζον τοῦ συγκομισθέντος ὑπὸ τῆς πληθύος ταῖς ἡλιακαῖς
263 ἀκτῖσι διελύετο καὶ τηκόμενον ἐξανηλοῦτο. (36.) δεύτερον οὐκ εἰς
μακρὰν ἐπιθειάσας ἀποφθέγγεται λόγιον τὸ περὶ τῆς ἱερᾶς ἑβδόμης.
ἔχουσαν γὰρ αὐτὴν ἐν τῇ φύσει προνομίαν, οὐκ ἀφ᾽ οὗ μόνον ἐδη-
μιουργήθη ὁ κόσμος, ἀλλὰ καὶ πρὸ τῆς οὐρανοῦ καὶ παντὸς αἰσθητοῦ
γενέσεως, ἠγνόησαν ἄνθρωποι, τάχα που διὰ τὰς ἐν ὕδασι καὶ πυρὶ
γενομένας συνεχεῖς καὶ ἐπαλλήλους φθορὰς οὐ δυνηθέντων παρὰ τῶν
πρότερον διαδέξασθαι μνήμην τῶν ἔπειτα τῆς κατὰ τὸν ἐν χρόνοις
εἱρμὸν ἀκολουθίας καὶ τάξεως· ὅπερ ἀδηλούμενον ἐπιθειάσας ἀνέφηνε
264 λογίῳ μαρτυρηθέντι διὰ σημείου τινὸς ἐναργοῦς. τὸ δὲ σημεῖον τοιοῦτον
ἦν· ἐλάττων μὲν ἀπ᾽ ἀέρος ἐγίνετο ἡ φορὰ ταῖς προτέραις ἡμέραις

---

1 ἀπολειπέσθω VOK τοῦτ᾽ AGHP: ταῦτ᾽ ceteri 2 ἀτερματίστων A 4 τὸν κύκλω AV[1], τὰ κύκλω V[2]OK δυσοδμίας AF: δυσοσμίας ceteri 5 εἶτα AVOK 6 μετέβαλλεν F ἅπερ — ἔμελλεν (7) om. F μωσῆς P ἀπειθέσι] ἀληθέσι BEMA(V[1] ut vid.) 7 ἃ ante πρὸς add. BEMVOK 9 δ᾽ A 9. 10 ἀπιστοῦσιν] ἀπειθοῦσιν P 11 ἐπιδείξεσι HP, ὄψεσι δείξεσι G διεσυνέστησεν H[1]P 12 εὐθὺς AFGHP: om. ceteri
ά
ἀπεδείξατο FGHP: ἐπεδείξατο A, ἐπεδείξατο ceteri 13 σκώληκα A ζῶον
ἀνηλοῦτο
ex ζώων corr. V αἰεὶ A; ἐπεὶ coni. Mang. 15 ἐξημβλοῦτο A post δεύτερον add. δὲ VOK 16 ἀποθειάσας BEMGH (v) φθέγγεται A 19 ἐν om. HP ὕδατι H (coni. Mang.) 20 γινομένας VOK φθορὰς AFGHP: φορὰς ceteri 21 πρότερον FGHP: προτέρων ceteri μνήμην AFGHP: μνήμη ceteri 23 μαρτυρηθέντας F 24 ἐλάττω F ἐγίνετο AVOK: ἐγένετο ceteri (v)

τῆς τροφῆς, τότε δ' αὖ διπλασίων· καὶ ταῖς μὲν προτέραις εἴ τι κατελείφθη, λειβόμενον ἐτήκετο μέχρι τοῦ παντελῶς εἰς νοτίδα μεταβαλὸν ἀναλωθῆναι, τότε δ' οὐδεμίαν ἐνδεχόμενον τροπὴν ἐν ὁμοίῳ διέμενεν· ἐφ' οἷς ἀγγελλομένοις ἅμα καὶ ὁρωμένοις καταπλαγεὶς Μωυσῆς οὐκ
p. 176 M. ἐστοχάσατο μᾶλλον ἢ θεοφορηθεὶς ἐθέσπισε τὴν ἑβδόμην. | ἐῶ λέγειν, 265
ὅτι καὶ αἱ τοιαῦται εἰκασίαι συγγενεῖς προφητείας εἰσίν· ὁ γὰρ νοῦς οὐκ ἂν οὕτως εὐσκόπως εὐθυβόλησεν, εἰ μὴ καὶ θεῖον ἦν πνεῦμα τὸ ποδηγετοῦν πρὸς αὐτὴν τὴν ἀλήθειαν. τὸ δὲ τεράστιον οὐ μόνον ἐκ 266
τοῦ διπλασιασθῆναι τὴν τροφὴν ἐδηλοῦτο οὐδ' ἐκ τοῦ διαμεῖναι σῷον παρὰ τὸ καθεστὼς ἔθος, ἀλλὰ κἀκ τοῦ ἀμφότερα ταῦτα συμβῆναι κατὰ τὴν ἕκτην ἡμέραν, ἀφ' ἧς ἤρξατο ἀπ' ἀέρος ἡ τροφὴ χορηγεῖσθαι, μεθ' ἣν ὁ ἱερώτατος τῆς ἑβδόμης ἀριθμὸς ἔμελλεν ἀνατέλλειν, ὥστε λογιζόμενος ἄν τις εὕροι κατὰ τὴν ἀκολουθίαν τῆς τοῦ κόσμου γενέσεως τὴν οὐράνιον δοθεῖσαν τροφήν· ἤρξατο γὰρ καὶ τὸν κόσμον ἑξάδος τῇ πρώτῃ δημιουργεῖν καὶ τὴν λεχθεῖσαν ὕειν τροφήν. ἡ δ' εἰκὼν ὁμοιο- 267
τάτη· καθάπερ γὰρ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὸ τελειότατον ἔργον, τὸν κόσμον, ἀνέφηνε, τὸν αὐτὸν τρόπον καὶ εὐθηνίαν ἐν ἐρήμῳ μεταβαλὼν τὰ στοιχεῖα πρὸς τὸ κατεπεῖγον τῆς χρείας, ἵν' ἀντὶ γῆς ὁ ἀὴρ σιτία τροφὴν ἄπονον φέρῃ καὶ ἀταλαίπωρον οἷς ἀναχώρησις οὐκ ἦν εὐτρεπίζεσθαι κατὰ σχολὴν τἀπιτήδεια. μετὰ ταῦτα τρίτον ἀναφθέγγεται 268
χρησμὸν τερατωδέστατον, δηλῶν ὅτι τῇ ἑβδόμῃ τὴν εἰωθυῖαν ὁ ἀὴρ οὐ παρέξει τροφὴν καὶ οὐδὲν ἐπὶ γῆν ἀλλ' οὐδὲ τὸ βραχύτατον ὡς ἔθος ἐνεχθήσεται. τοῦτ' ἀπέβαινεν ἔργοις· τῇ μὲν γὰρ προτεραίᾳ ταῦτα 269

---

1 δ' αὖ AGHP: δὲ ceteri   διπλασία A   2 μεταβάλλον A   3 τότε] τοῦτο A   δὲ A   οὐδὲ μίαν F   ἐνδεχόμενον scripsi: ἐκδεχόμενον VOK, δεχόμενον ceteri (v) (cf. 266,15)   4 ἀγγελλομένοις AFN: ἀγαλλομένοις V[1]GHP, ἀγαλλόμενος ceteri   καὶ ἅμα transp. G (v), ἅμα om. A   6 αἱ τοιαῦται] αἱ αὗται V[1], αὗται αἱ V[2]OK   ἱκεσίαι (ει α superscr.) A (ἱκεσίαι Turn.)   7 εὐσκόπως] εὐστόχως O   τὸ om. P   8 αὐτὴν om. AVOK (Turn.)   τεράστειον F   9 διπλασθῆναι F   10 συμβαίνειν V[2]OK   11 ἀπὸ AF   ἡ τροφὴ FGHP: ἡ om. ceteri   12 ἣν AFGHP: ὃ BEM, ὧν VOK   ἀριθμὸς τῆς ἑβδόμης transp. A (v)   14 ἑξάδι F, ἕως ante ἑξάδος add. V[2]OK   16 ἔργων G[1]P   17 εὐθηνίαν] εὐθυμίαν K (corr. m. rec.)   18 τὸ om. Turn.   ἵνα AG   19 ἀναχώρησιν K, ἀναχωροῦσιν A (Turn.)   20 τὰ ἐπιτήδεια VOK   21 δηλῶν ὅτι scripsi: δηλοῦντα ὅτι A (coni. Mang.), δῆλον ὅτι E, δηλονότι ceteri (v)   23 τοῦτ'] ταῦτ' M, τοῦτο δὲ A (v)

---

4—8 N fol. 158[v]: ἐφ' οἷς — τὴν ἀλήθειαν.

θεσπίζει, τινὲς δὲ τῶν ἀβεβαίων τὸ ἦθος ὥρμησαν ἐπὶ τὴν συγκομιδὴν καὶ σφαλέντες τῆς ἐλπίδος ἐπανῄεσαν ἄπρακτοι, κακίζοντες μὲν ἑαυτοὺς τῆς ἀπιστίας, ἀληθόμαντιν δὲ καὶ θεοφράδμονα καὶ μόνον προορατικὸν τῶν ἀδήλων ἀνακαλοῦντες τὸν προφήτην.

270 (37.) Τοιαῦτα μέν ἐστιν, ἃ περὶ τῆς οὐρανίου τροφῆς κατεχόμενος ἐθέσπισεν. ἕτερα δ' ἑξῆς ἀναγκαῖα, καίτοι δόξαντα ἂν παραινέσεσιν ἐοικέναι μᾶλλον ἢ χρησμοῖς, ὧν ἐστι καὶ τὸ χρησθὲν κατὰ τὴν μεγίστην τῶν πατρίων ἐκδιαίτησιν, περὶ ἧς καὶ πρόσθεν εἶπον, ἡνίκα τεκτηνάμενοι ταῦρον χρυσοῦν, Αἰγυπτιακοῦ μίμημα τύφου, χοροὺς ἵστασαν καὶ βωμοὺς κατεσκεύαζον καὶ θυσίας ἀνῆγον ἐκλαθόμενοι τοῦ πρὸς ἀλήθειαν θεοῦ καὶ τὴν προγονικὴν εὐγένειαν, ἣ δι' εὐσεβείας καὶ
271 ὁσιότητος ηὐξήθη, καθαιροῦντες. ἐφ' οἷς Μωυσῆς περιπαθήσας, εἰ πρῶτον μὲν ὁ λαὸς πᾶς ἐξαίφνης γεγένηται τυφλὸς ὁ ἄχρι πρὸ μικροῦ πάντων ἐθνῶν ὀξυωπέστατος, ἔπειτα δὲ εἰ πλάσμα | μύθου κατεψευσ- p. 177 M.
μένον ἴσχυσε τοσαύτην αὐγὴν σβέσαι τῆς ἀληθείας, ἣν οὐθ' ἥλιος ἐκλιπὼν οὐθ' ὁ σύμπας χορὸς τῶν ἀστέρων ἐπισκιάσει — περιλάμπεται γὰρ ἰδίῳ φέγγει νοητῷ καὶ ἀσωμάτῳ, πρὸς ὃ παραβαλλόμενον τὸ
272 αἰσθητὸν νὺξ ἂν πρὸς ἡμέραν εἶναι νομισθείη —, δι' ἣν αἰτίαν οὐκέτι μένων ὁ αὐτὸς ἐξαλλάττεται τό τε εἶδος καὶ τὴν διάνοιαν καὶ ἐπιθειάσας φησί· „τίς ἐστιν ὁ μὴ τῷ πλάνῳ συνενεχθεὶς μηδὲ τὸ κῦρος ἐπιφημίσας
273 τοῖς ἀκύροις; πᾶς ὁ τοιοῦτος ἐμοὶ προσίτω". μιᾶς δὲ φυλῆς προσελθούσης οὐχ ἧττον ταῖς διανοίαις ἢ τοῖς σώμασιν, οἳ πάλαι μὲν ἐφόνων κατὰ τῶν ἀθέων καὶ ἀνοσιουργῶν, ἡγεμόνα δ' ἐζήτουν καὶ στρατάρχην

---

1 ὥρμητο K (corr. m. rec.) 2 τῆς ἐλπίδος] τῆς om. F, τῶν ἐλπίδων A (v) 3 ἑαυτοὺς A: αὑτοὺς MFGH¹, αὐτοὺς ceteri θεοφράσμονα A 4 ἀδήλων] ἀδελφῶν K 6 ἐθέσπιζεν AVOK δὲ VOK δόξαντ' A παραίνεσιν P 8 καὶ πρόσθεν] ἔμπροσθεν A (v) 12 μωυσῆς AVOK: μωσῆς ceteri post περιπαθήσας add. ἦν A (v) 13 πρῶτον] πρότερον BEM πᾶς ὁ λαὸς transp. A (v) 14 ὀξυωπέστατος AGHP: ὀξυωπέστερος ceteri 16 ἐκλιπὼν AFGHP: ἐκλείπων ceteri; ἐκλάμπων male coni. Mang. περιλάμπεται BEMVOK: περιλαμβάνεται AFGHP 17 νοητῶν καὶ ἀσωμάτων K παραβαλλόμενον] παραλαμβανόμενον BEMV¹ 18 ἂν AFGHP: om. ceteri πρὸς] παρ' A 19 ἐξαλλάττεται F (coni. Mang.): ἐξάλλεται ceteri (v) 20 φησὶν VOK συνεχθεὶς F μηδὲ AFGHP: μήτε BEM, μὴ VOK 22 οἳ AFGHP: om. ceteri ἐφόνων AFGHP: ἐφρόνουν ceteri 23 ἀθέων AFGHP: ἀθέσμων ceteri στρατιάρχην F

---

3 ἀληθόμαντιν ex. Aesch. Agam. 1240. 7 sqq. Exod. cap. 32 8 v. sup. § 167 sqq.

ἀνευρεῖν, ὃς ἐνδίκως ὑφηγήσεται καιρὸν καὶ τρόπον τῆς ἀμύνης, —
οὓς ὀργῶντας εὑρὼν καὶ γέμοντας εὐτολμίας καὶ παραστήματος, ἔτι
μᾶλλον ἢ πρότερον θεοφορηθείς, „ξίφος ἕκαστος ὑμῶν ἀναλαβὼν“
φησίν „ἀττέτω διὰ παντὸς τοῦ στρατοπέδου καὶ κτεινέτω μὴ μόνον ἀλλο-
τρίους ἀλλὰ καὶ φίλων καὶ συγγενῶν τοὺς οἰκειοτάτους ἐπιστροφάδην,
εὐαγέστατον κρίνων τὸ ἔργον ὑπὲρ ἀληθείας καὶ θεοῦ τιμῆς, ὧν ὑπερ-
μαχεῖν καὶ προαγωνίζεσθαι κουφότατος πόνος.“ οἱ δ' αὐτοβοεὶ 274
τρισχιλίους κτείναντες τοὺς ἀρχηγέτας μάλιστα τῆς ἀσεβείας γενομένους
οὐκ ἀπελογήσαντο μόνον περὶ τοῦ μὴ συνεφάψασθαι τοῦ τολμήματος,
ἀλλὰ καὶ ἐν ἀριστέων τοῖς γενναιοτάτοις ἐνεγράφησαν καὶ γέρως ἠξιώθησαν
οἰκειοτάτου ταῖς πράξεσιν, ἱερωσύνης· ἔδει γὰρ θεραπευτὰς ὁσιότητος
γενέσθαι τοὺς ὑπὲρ αὐτῆς ἀνδραγαθισαμένους καὶ προπολεμήσαντας.

(38.) Ἔχω δέ τι μηνῦσαι σημειωδέστερον λόγιον, περὶ οὗ καὶ 275
πάλαι διεξῆλθον, ὅτε τὰ τῆς ἀρχιερωσύνης ἐπῄειν τοῦ προφήτου, ὅπερ
αὐτὸς πάλιν κατασχεθεὶς ἀνεφθέγξατο, τελειωθὲν οὐ μακροῖς χρόνοις
ὕστερον, ἀλλ' εὐθὺς ὅτ' ἐχρησμῳδεῖτο. τῶν περὶ τὸν νεὼν λειτουργῶν 276
δύο τάξεις εἰσίν, ἡ μὲν κρείσσων ἱερέων, ἡ δ' ἐλάττων νεωκόρων·
ἦσαν δὲ κατ' ἐκεῖνον τὸν χρόνον τρεῖς μὲν ἱερεῖς, νεωκόρων δὲ πολλαὶ
χιλιάδες. οὗτοι φυσηθέντες ἐπὶ τῇ τοῦ οἰκείου πλήθους περιουσίᾳ τῆς 277
τῶν ἱερέων κατεφρόνουν ὀλιγότητος καὶ δύο ἐν ταὐτῷ παρανομήματα
συνύφαινον, ὧν τὸ μὲν ἦν καθαίρεσις τῶν ὑπερεχόντων, τὸ δ' αὔξησις
τῶν ἐλαττόνων, οἷα ἡγεμόσιν ὑπηκόων ἐπιτιθεμένων ἐπὶ συγχύσει τοῦ
κρατίστου καὶ δημωφελεστάτου, τῆς τάξεως. εἶτ' ἐπισυνιστάμενοι καὶ 278

---

1 καιρὸν AFGHP: om. ceteri τὸν τρόπον BEVOK, τὸν τρόμον (sic) M
2 ὀργοῦντας M εὑρὼν A: om. ceteri 3 ἡμῶν P λαβὼν BEMF
3. 4 φησὶν ἀναλαβὼν transp. A (v) 4 ἀττέτω F: ἀγέτω BEMGHP, ἀγαγέτω VOK, ἐφορμάτω τε A (v) διὰ] δὴ H¹P μὴ] οὐ G 6 θεοῦ τιμῆς AVOK: τιμῆς θεοῦ ceteri ὧν AFGHP: om. ceteri 7 αὐτοβοεὶ] αὐτομόλως A
9 post συνεφάψασθαι repet. μόνον E 10 ἐν ἀριστέων AFGHP: ἐναργεστέρως ceteri τοῖς — γέρως om. VOK (suppl. mg. K m. rec.) γεναιοτάτοις M ἐνεγράφησαν F: ἀπεγράφησαν (ἀπ- corr. ex ἐν-) A, ἀνεγράφησαν ceteri (v) ἠξιώθην K (corr. m rec.) 11 οἰκειοτάτης O 11. 12 ὁσιότητος γενέσθαι v: ὁσιότητος γεγενῆσθαι A, γενέσθαι ὁσιότητος ceteri 12 τοὺς] τῆς H¹P ἀνδραγαθησαμένους V¹AFGH 14 post ὅτε add. καὶ A (v) ἱερωσύνης M ὅπερ AFGHP: ὅ, τι ceteri 15 τὸ τελειωθὲν V²O 16 ὅτε AVOK λειτουργῶν scripsi: λειτουργιῶν codd. 17 κρείττων G 20 ὀλιγότητα K τῷ αὐτῷ A 21 alt. τὸ] τῶν F δὲ VOK 22 τῶν om. A
22. 23 τοῦ κρατίστου καὶ δημωφελεστάτου τῆς τάξεως A: τῆς τοῦ κρ. καὶ δημ. τάξεως ceteri 23 εἶτα AVOK συνιστάμενοι A (v)

---

14 v. sup. § 174. 175. 19 sqq. Num. cap. 16

ἀθροιζόμενοι κατεβόων τοῦ προφήτου, ὡς δι' οἰκειότητα τῷ τε ἀδελφῷ καὶ τοῖς | ἀδελφιδοῖς χαρισαμένου τὴν ἱερωσύνην καὶ ἐπιψευσαμένου τὰ p. 178 M. περὶ τὴν αἵρεσιν αὐτῶν, ὡς ἐπιφροσύνῃ θείᾳ, καθάπερ διεξήειμεν, μὴ

279 γενόμενα. ἐφ' οἷς ἀνιαθεὶς καὶ περιαλγήσας, καίτοι πρᾳότατος ὢν καὶ ἡμερώτατος, οὕτως πρὸς δικαίαν ὀργὴν ὑπὸ μισοπονήρου πάθους ἠκονήθη, ὡς ἱκετεῦσαι τὸν θεὸν ἀποστραφῆναι τὴν θυσίαν αὐτῶν, οὐχ ἐπειδήπερ ἔμελλεν ὁ δικαιότατος κριτὴς ἱερουργίας ἀσεβῶν παραδέχεσθαι, ἀλλ' ὅτι καὶ ἡ ψυχὴ τοῦ θεοφιλοῦς τὸ κατ' αὐτὴν μέρος οὐχ ὑποσιωπᾷ, σπεύδουσα μὴ εὐοδεῖν ἀνοσίους, ἀλλ' ἀεὶ τῆς προθέσεως δια-

280 μαρτάνειν. ἔτι δὲ ζέων καὶ πεπυρωμένος ὑπὸ τῆς νομίμου διαγανακτήσεως ἐνθουσιᾷ μεταβαλὼν εἰς προφήτην καὶ θεσπίζει τάδε· „χαλεπὸν ἀπιστία πρᾶγμα τοῖς ἀπίστοις μόνοις· τούτους οὐ λόγος ἀλλ' ἔργα παιδεύει· παθόντες εἴσονται τὸ ἐμὸν ἀψευδές, ἐπεὶ μαθόντες οὐκ

281 ἔγνωσαν. ἐπικριθήσεται δὲ τοῦτο τῇ τοῦ βίου τελευτῇ· εἰ μὲν γὰρ θάνατον ἐνδέξονται τὸν κατὰ φύσιν, πέπλασμαι τὰ λόγια, εἰ δὲ καινόν τινα καὶ παρηλλαγμένον, τὸ φιλάληθές μοι μαρτυρηθήσεται. χάσματα γῆς ὁρῶ διηνοιγμένης ἐπὶ μήκιστον εὐρυνόμενα, πολυανθρώπους ἀπολλυμένας συγγενείας, αὐτάνδρους ὑποσυρομένας καὶ καταπινομένας

282 οἰκίας, ζῶντας ἀνθρώπους εἰς ᾅδου κατερχομένους.“ ἐπεὶ δ' ἡσύχασε, ῥήγνυται μὲν ἡ γῆ σεισμῷ τιναχθεῖσα, ῥήγνυται δὲ καθ' ὃ μάλιστα μέρος αἱ σκηναὶ τῶν ἀσεβῶν ἦσαν, ὡς ὑπενεχθείσας ἀθρόας

---

1 συναθροιζόμενοι BEMF δι' AGHP: om. ceteri οἰκειότατα M, οἰκειοτάτοις VOK 2 ἀδελφοῖς EA χαρισαμένω VO, χαρισάμενον A τὴν ἱερωσύνην καὶ ἐπιψευσαμένου AFGHP: om. ceteri 3 οὐχ ante ὡς add. V²OK διεξήειμεν AFGHP: ἐξήειμεν ceteri μὴ AGHP: om. ceteri 5 οὔτως AG: οὕτω ceteri 8 κατὰ ταύτην VOK 9 αἰεὶ A 11 ἐνεθουσία VOK καὶ post ἐνθουσιᾷ transp. A (v) 12 ἀπιστία] ἀποστασία BEM (Mang.) post πρᾶγμα interpung. BEM (Mang.) τοῖς ἀπίστοις μόνοις· τούτους AVOK: τοῖς ἀπίστοις· μόνους τούτους FGHP, τοὺς ἀπίστους τούτους BEM (Mang.) 12. 13 οὐ λόγος ἀλλ' (ἀλλὰ A) ἔργα] οὐ μόνον λόγοι ἀλλ' ἔργα BEM; οὐ λόγος ἀλλὰ καὶ ἔργα Turn., οὐ μόνον λόγοι ἀλλὰ καὶ ἔργα Mang. 13 παιδεύει παθόντας BEMF παιδεύσει coni. Mang. μαθόντες M (coni. Mang.): μανθάνοντες ceteri 14 δὲ om. BEM 15 θάνατον ἐνδέξονται τὸν κατὰ φύσιν BEMFK²: θάνατον ἐκδέξονται τ. κ. φ. VOK¹, δέξονται τ. κ. φ. θάνατον AGHP (v) πέπλασμαι AFGHP: πεπλασμένα ceteri τὰ om. V¹, add. V² 16 παρηλασμένον F μου M μαρτυρήσεται BE 17 διηνοιγμένα A, διηγνυμένης (sic) F ἐπιμήκιστον P 18 ἀπολλυμένους BEA (Turn.) συγκαταπινομένας A (v) 19 ζώντων VOK ἀνθρώπους om. VOK κατερχομένας EVOK (—ους corr. K m. rec.) δὲ VOK 20. 21 μέρος μάλιστα transp. A (v) 21 ἐπενεχθείσας BEM(V¹ ut vid.), κατενεχθείσας V²OK ἀθρόως GHP

ἐπικρυφθῆναι· τὰ γὰρ διαστάντα μέρη πάλιν συνῆλθε, τῆς χρείας ἀπο-
τελεσθείσης, ἧς ἕνεκα διεζεύχθη. μικρὸν δ' ὕστερον τοὺς τῆς στάσεως 283
ἡγεμόνας πεντήκοντα πρὸς τοῖς διακοσίοις ἄνδρας κεραυνοὶ κατασκήψαντες
αἰφνίδιον ἀθρόους ἐξανάλωσαν μηδὲν μέρος ὑπολειπόμενοι τῶν σωμάτων,
ὃ ταφῆς ἐπιμοιράσεται. τὸ δὲ τῶν τιμωριῶν ἐπάλληλον καὶ τὸ ἑκατέρας 284
μέγεθος διάσημον καὶ περιβόητον ἀπέφηνε τὴν εὐσέβειαν τοῦ προφήτου
χρησαμένου θεῷ μάρτυρι τῆς περὶ τοὺς χρησμοὺς ἀληθείας. ἄξιον 285
δὲ κἀκεῖνο μὴ παριδεῖν, ὅτι τὰς κατὰ τῶν ἀσεβῶν κολάσεις διεκληρώσαντο
γῆ καὶ οὐρανός, αἱ τοῦ παντὸς ἀρχαί· τὴν γὰρ μοχθηρίαν ἐρρίζωσαν
μὲν ἐπὶ γῆς, ἐξέτειναν δ' εἰς αἰθέρα, τοσοῦτον ὕψος, αὐτὴν διάραντες.
ὅθεν καὶ τῶν στοιχείων ἑκάτερον ἐχορήγησε τὰς τιμωρίας, ἡ μὲν ἵν' 286
ὑποσύρῃ καὶ καταπίῃ τοὺς τότε βαρύνοντας αὐτὴν ῥαγεῖσα καὶ δια-
στᾶσα, ὁ δ' ἵνα καταφλέξῃ καὶ διαφθείρῃ πυρὸς πολλοῦ φοράν, και-
νότατον ὑετόν, ὀμβρήσας. τὸ δὲ τέλος καὶ τοῖς καταποθεῖσι καὶ τοῖς 287
p. 179 M. ὑπὸ τῶν κεραυνῶν | διεφθαρμένοις ταὐτὸν ἀπέβαινεν· οὐδέτεροι γὰρ
ἐφάνησαν, οἱ μὲν ἐπικρυφθέντες γῇ τῇ τοῦ χάσματος συνόδῳ πρὸς
τὸ ἰσόπεδον ἑνωθείσῃ, οἱ δ' ὅλοι δι' ὅλων ἀναλωθέντες ὑπὸ τοῦ
κεραυνίου πυρός.

(39.) Χρόνοις δ' ὕστερον, ἐπειδὴ τὴν ἐνθένδε ἀποικίαν ἔμελλεν 288
εἰς οὐρανὸν στέλλεσθαι καὶ τὸν θνητὸν ἀπολιπὼν βίον ἀπαθανατίζεσθαι
μετακληθεὶς ὑπὸ τοῦ πατρός, ὃς αὐτὸν δυάδα ὄντα, σῶμα καὶ ψυχήν,
εἰς μονάδος ἀνεστοιχείου φύσιν ὅλον δι' ὅλων μεθαρμοζόμενος εἰς
νοῦν ἡλιοειδέστατον, τότε δὴ κατασχεθεὶς οὐκέτι συλλήβδην ἀθρόῳ
παντὶ τῷ ἔθνει θεσπίζειν ἔοικεν ἀλλὰ καὶ κατὰ μέρος ἑκάστῃ φυλῇ τὰ

---

1 ἐπικρυβῆναι G  συνῆλθον H  2 εἵνεκα VOK  δὲ VOK  τοὺς] ὡς BEM(V[1] ut vid.)  4 αἰφνίδιοι F  ἐξανάλωσαν codd: ἐξηνάλωσαν Mang.  μηδὲ ἓν A  ὑπολιπόμενοι BEMG, ἐπιλειπόμενοι AO  5 ἐπιμοιράσηται H, ἐπιμοιρήσεται AV[2]OK  5. 6 ἑκατέρου μεγέθους VOK  7 τοῦ χρησμοῦ A  8 δὲ] δὴ A  διεκλήρωσαν A  9 γῆ καὶ οὐρανός om. A  τοῦ om. A  10 ἀνέτειναν coni. Mang.  δὲ VOK  αἰθέρα AFGHP: ἀέρα ceteri  ἄραντες A  11 ἵνα AVOK  12 βαρύναντας A  13 δὲ VOK  φορᾷ V[2]OK, φθορὰν MP  15 διαφθαρμένοις P  οὐδ' ἕτεροι F  16 τῇ γῇ PV[2]OK  τῇ post γῇ eras. V[2], om. OKFP  συνόδῳ om. VOKF  17 ἑνωθέντες V[1] ut vid., ἑνωθέντος AFV[2]OK  δὲ VOK  18 κεραυνείου F  20 ἀθανατίζεσθαι AVOK  21 ὃς] ὡς A  22 ἀνεστοιχειοῦτο A (v)  23 καστασταθεὶς A  ὡς ante συλλήβδην add. F  24 καὶ om. G (fort. recte)

---

23 sqq. Deuter. cap. 33

μέλλοντα γενέσθαι καὶ αὖθις ἀποβησόμενα· ὧν τὰ μὲν ἤδη συμβέβηκε,
τὰ δὲ προσδοκᾶται, διότι πίστις τῶν μελλόντων ἡ τῶν προγεγονότων
289 τελείωσις. ἥρμοττε γὰρ διαφέροντας καὶ ταῖς σποραῖς, καὶ μάλιστα ἐν
τοῖς μητρῴοις γένεσι, καὶ βουλευμάτων πολυτρόποις ἰδέαις καὶ τῶν περὶ
τὸν βίον ἐπιτηδευμάτων ἀμυθήτοις διαφοραῖς ὥσπερ τινὰ κλήρου δια-
290 νομὴν λογίων καὶ χρησμῶν ἁρμόζουσαν εὑρέσθαι. θαυμάσια μὲν οὖν
ταῦτα· θαυμασιώτατον δὲ καὶ τὸ τέλος τῶν ἱερῶν γραμμάτων, ὃ
291 καθάπερ ἐν τῷ ζῴῳ κεφαλὴ τῆς ὅλης νομοθεσίας ἐστίν. ἤδη γὰρ
ἀναλαμβανόμενος καὶ ἐπ' αὐτῆς βαλβῖδος ἑστώς, ἵνα τὸν εἰς οὐρανὸν
δρόμον διιπτάμενος εὐθύνῃ, καταπνευσθεὶς καὶ ἐπιθειάσας ζῶν ἔτι τὰ
ὡς ἐπὶ θανόντι ἑαυτῷ προφητεύει δεξιῶς, ὡς ἐτελεύτησε μήπω τελευ-
τήσας, ὡς ἐτάφη μηδενὸς παρόντος, δηλονότι χερσὶν οὐ θνηταῖς ἀλλ'
ἀθανάτοις δυνάμεσιν, ὡς οὐδ' ἐν τάφῳ τῶν προπατόρων ἐκηδεύθη
τυχὼν ἐξαιρέτου μνήματος, ὃ μηδεὶς εἶδεν ἀνθρώπων, ὡς σύμπαν τὸ
ἔθνος αὐτὸν ὅλον μῆνα δακρυρροοῦν ἐπένθησεν ἴδιον καὶ κοινὸν πένθος
ἐπιδειξάμενον ἕνεκα τῆς ἀλέκτου καὶ πρὸς ἕνα ἕκαστον καὶ πρὸς ἅπαντας
292 εὐνοίας καὶ κηδεμονίας. τοιοῦτος μὲν ὁ βίος, τοιαύτη δὲ καὶ ἡ τελευτὴ
τοῦ βασιλέως καὶ νομοθέτου καὶ ἀρχιερέως καὶ προφήτου Μωυσέως διὰ
τῶν ἱερῶν γραμμάτων μνημονεύεται.

1 γενέσθαι καὶ AF: καὶ γενεαῖς ceteri (v) 2 προσεδοκᾶτο V²OK 3 διαφέροντας AF: διαφέροντα ceteri ἐν eras. V², om. OK 4 ταῖς μητρώαις γέννais V²OK βουλευμάτων A: βουλημάτων ceteri 5 τὸν] τῶν K, om. A κλήρου codd.: κλῆρον v 5. 6 διανομὴν A (mg. P²): διαμονὴν ceteri (Turn.) 6 λογίων F: λόγιον A, λόγων ceteri (Turn.) χρησμὸν A ἁρμόζουσαν AFVOK: om. ceteri 7 ταῦτα] ταῦτα πάντα AVOK τὸ om. M 8 AFG: ἃ HP, om. ceteri 8 τῷ AGHP: om. ceteri ὅλης] ἄλλης VOK

δϊϊ

10 διιπτάμενος εὐθύνῃ VK: διιπτάμενος ἰθύνῃ O, ἀναπτάμενος εὐθύνῃ A, διασπώμενος εὐθύνῃ F, διευθύνῃ διιπτάμενος ceteri; διανύῃ διιπτάμενος v ἔτι τὰ] ἔπειτα A 11 ἐπ' ἀποθανόντι A δεξιῶς] διεξιὼν coni. Mang. alt. ὡς AFGHP: om. ceteri 12 ἐτάφην V²O δῆλον ὅτι E οὐ] αὖ K 13 οὐδ' ἐν τάφῳ τῶν] οὐδεὶς τῶν φώτων A; οὐδείς πω τῶν coni. Mang. ἐκηδεύθην V²O 14 ὡς] ὥστε V²OK 15 αὐτὸν ὅλον μῆνα] καὶ τηνικαῦτα μὲν V²OK μῆνα] μη (sic) BM, μὴ B, om. A δακρυρροοῦντα F ἐπένθησεν AFG: ἐπένθη P, ἐπένθησαν H, ἐπενόησεν ceteri καὶ ante ἴδιον add. V²OK

η

καὶ post ἴδιον om. A 16 ἐπιδείξασθαι V²OK ἀλέκτου A, ἀλήκτου VK pr. καὶ om. AVOK 17 δὲ om. A καὶ om. O 18 καὶ νομοθέτου om. A

μνημονεύεται

μωϋσέος AGP, μωσέος H 19 γραμμάτων om. A μηνύεται A, μηνύεται F ἐπλήρωσεν ὁ περὶ ἱερωσύνης λόγος subscr. H

7 sqq. Deuter. cap. 34

# ΦΙΛΩΝΟΣ

## ΠΕΡΙ ΤΩΝ ΔΕΚΑ ΛΟΓΩΝ

## ΟΙ ΚΕΦΑΛΑΙΑ ΝΟΜΩΝ ΕΙΣΙΝ

---

II p. 180 M. (1.) Τοὺς βίους τῶν κατὰ Μωυσέα σοφῶν ἀνδρῶν, οὓς ἀρχη- 1
γέτας τοῦ ἡμετέρου ἔθνους καὶ νόμους ἀγράφους αἱ ἱεραὶ βίβλοι
δηλοῦσιν, ἐν ταῖς προτέραις συντάξεσι μεμηνυκὼς κατὰ τὰ ἀκόλουθα
ἑξῆς τῶν ἀναγραφέντων νόμων τὰς ἰδέας ἀκριβώσω μηδ', εἴ τις ὑπο-
φαίνοιτο τρόπος ἀλληγορίας, τοῦτον παρεὶς ἕνεκα τῆς πρὸς διάνοιαν
φιλομαθοῦς ἐπιστήμης, ᾗ πρὸ τῶν ἐμφανῶν ἔθος τὰ ἀφανῆ ζητεῖν.
πρὸς δὲ τοὺς ἀποροῦντας, τί δή ποτε οὐκ ἐν πόλεσιν ἀλλ' ἐν ἐρήμῳ 2
βαθείᾳ τοὺς νόμους ἐτίθει, λεκτέον πρῶτον μέν, ὅτι αἱ πολλαὶ τῶν
p. 181 M. πόλεων ἀμυθήτων κακῶν εἰσι | μεσταί, καὶ τῶν πρὸς τὸ θεῖον ἀνοσιουρ-
γημάτων καὶ τῶν πρὸς ἀλλήλους ἀδικημάτων. οὐδὲν γάρ ἐστιν ὃ μὴ 3
κεκιβδήλευται, τὰ γνήσια τῶν νόθων παρευημερούντων καὶ τἀληθῆ τῶν
εἰκότων, ἃ φύσει μὲν κατέψευσται, πιθανὰς δ' ὑποβάλλει φαντασίας
πρὸς ἀπάτην. ἐν πόλεσιν οὖν καὶ ὁ πάντων ἐπιβουλότατος φύεται 4
τῦφος, ὃν τινες τεθήπασι καὶ προσκυνοῦσι τὰς κενὰς δόξας σεμνο-

---

1—3 Φίλωνος περὶ τῶν δέκα λογίων (λόγων scripsi), οἳ κεφάλαια νόμων εἰσί G, φίλωνος ἰουδαίου περὶ τῶν δέκα λογίων, ἃ κεφάλαια νόμων εἰσίν F, περὶ τῶν δέκα λογίων, ἃ κεφάλαια νόμων εἰσίν H, φίλωνος ἰουδαίου εἰς τὴν (sic) δεκάλογον μωσέως AP, φίλωνος περὶ νόμων ἰδέας M, tit. om. Arm 4 μωϋσέα GH: μωυσῆν M, μωσέα ceteri 6 ἐν τῇ προτέρᾳ συντάξει Arm προτέραις] ἡμετέραις M κατὰ τὸ ἀκόλουθον Arm ut vid. 8 πρὸς διάνοιαν] δι' ὑπονοιῶν coni. Mang. 9 ⁼φιλομαθοῦς (ἀ eras.) F ἐπιστάσεως coni. Wendl. ᾗ] ἢ Arm 10 τί δή ποτε] διὰ τί H (v) 12 εἰσι κακῶν transp. F 14 παρημερευόντων M τὰ ἀληθῆ M 15 εἰκότων] εἰκαιοτέρων M κατεψεύσατο H (Turn.) 16 post ἀπάτην interpungit M: post πόλεσιν ceteri οὖν M: οὗ ceteri, ἀφ' οὗ Arm φύεται] ὕιωται (sic) M 17 τὰς κενὰς δόξας] τοὺς κενοδόξους coni. Mang.

---

11 — 270,5 Vindob. hist. gr. 67 fol. 56r Φίλωνος ἰουδαίου: αἱ πολλαὶ τῶν πόλεων — ἐκπιεζόμενοι.

ποιοῦντες διὰ χρυσῶν στεφάνων καὶ ἁλουργίδων καὶ πλήθους θερα-
πόντων καὶ ὀχημάτων, ἐφ' ὧν οἱ λεγόμενοι μακάριοι καὶ εὐδαίμονες
μετέωροι φέρονται, τοτὲ μὲν ὀρεῖς ἢ ἵππους καταζευγνύντες τοτὲ δὲ καὶ
ἀνθρώπους, οἳ τὰ φορεῖα κατὰ τῶν αὐχένων ἀχθοφοροῦσι τὴν ψυχὴν
5 πρὸ τοῦ σώματος δι' ὑπερβολὴν ὕβρεως πιεζόμενοι. (2.) τῦφος καὶ
πολλῶν ἄλλων κακῶν δημιουργός ἐστιν, ἀλαζονείας, ὑπεροψίας, ἀνισό-
τητος· αἱ δ' εἰσὶν ἀρχαὶ ξενικῶν καὶ ἐμφυλίων πολέμων οὐδὲν μέρος,
οὐ κοινόν, οὐκ ἴδιον, οὐ κατὰ γῆν, οὐ κατὰ θάλατταν, ἡσυχάζειν
6 ἐῶσαι. τί δὲ δεῖ τῶν πρὸς ἀλλήλους ἁμαρτημάτων μεμνῆσθαι; τύφῳ
γὰρ καὶ τὰ θεῖα ἐξωλιγώρηται, καίτοι νομιζόμενα τῆς ἀνωτάτω τυγχάνειν
τιμῆς· τιμὴ δὲ τίς ἂν γένοιτο, μὴ προσούσης ἀληθείας, ἣ καὶ ὄνομα
7 καὶ ἔργον ἔχει τίμιον, ἐπεὶ καὶ τὸ ψεῦδος ἔμπαλιν ἄτιμον φύσει; ἡ δ'
ὀλιγωρία τῶν θείων ἐμφανὴς τοῖς ὀξυδερκέστερον ὁρῶσι· μυρίας γὰρ
ὅσας διὰ γραφικῆς καὶ πλαστικῆς μορφώσαντες ἰδέας ἱερὰ καὶ νεὼς
αὐταῖς προσπεριεβάλοντο καὶ βωμοὺς κατασκευάσαντες ἀγάλμασι καὶ
ξοάνοις καὶ τοιουτοτρόποις ἀφιδρύμασι τιμὰς ἰσολυμπίους καὶ ἰσοθέους ἀπέ-
8 νειμαν, ἅπασιν ἀψύχοις. οὓς εὐθυβόλως αἱ ἱεραὶ γραφαὶ τοῖς ἐκ πόρνης
γεγονόσιν ἀπεικάζουσιν· ὡς γὰρ οὗτοι πάντας, ὅσους ἐραστὰς ἔσχεν ἡ μήτηρ,
ἐπιγράφονται πατέρας ἑνὸς ἀγνοίᾳ τοῦ φύσει, οὕτω καὶ οἱ κατὰ πόλεις
οὐκ εἰδότες τὸν ὄντα ὄντως ἀληθῆ θεὸν μυρία πλήθη ψευδωνύμων
9 ἐκτεθειώκασιν. εἶτ' ἄλλων παρ' ἄλλοις τιμωμένων, ἡ περὶ τοῦ ἀρίστου
κρατήσασα διχόνοια καὶ τὰς πρὸς τὰ ἄλλα πάντα διαφορὰς ἐγέννησεν.
10 εἰς ἃ πρῶτον ἀπιδὼν ἔξω πόλεων ἐβουλήθη νομοθετεῖν. ἐνενόει δὲ
κἀκεῖνο δεύτερον, ὅτι τοῦ μέλλοντος ἱεροὺς νόμους παραδέχεσθαι τὴν

---

3 μὲν] μὲν οὖν M   ὀρεῖς] οὐρῆας M   ἢ] καὶ H, om. M   ἵπποις
ϊ
ὑποζευγνύντες M   4 φορεῖα AP, φορία Vind., φορτία M   τὸν αὐχένα F
5 ἐκπιεζόμενοι Vind.   τῦφος ⟨δὲ⟩ conicio   6. 7 ἀνισότητος Mang.: ἀνοσιότητος
codd.   7 αἱ δ'] αἶδ' MP, αἳ Arm   8 post ἴδιον add. πρῶτον Arm
9 ἀλλήλους] ἄλλους M   10 ἐξωλιγωρεῖται M   καίτοι] καὶ τὰ coni. Christo-
phorson   τυγχάνει F[1]   15 αὐτοῖς M   προσπεριεβάλλοντο MH
ας
16 ἰσολυμπίους A, ἰσολυμπίας P   καὶ ἰσοθέους M: om. ceteri; ἰσοθέους (om. ἰσο-
λυμπίους καὶ) Mang.   17 ἅπασιν] πᾶσιν M; πλάσμασιν vel πράγμασιν coni. Mang.
ἱεραὶ om. AP[1]   19 οὕτως F   20 ὄντως ὄντα transp. MH (v)
⟨καὶ⟩ ἀληθῆ coni Mang.   21 εἶτα FGH   22 διαφορὰς] φορὰς GH (Turn.)
23 πόλεων Mang.: πόλεως codd.   ἐννόει AP[1]   24 τοὺς μέλλοντας Arm

---

11. 12 D[P] fol. 332[r] Φίλωνος: τιμὴ τίς ἂν γένοιτο — ἔχει τίμιον;

p. 182 M. ψυχὴν ἀναγκαῖόν ἐστιν ἀπορρύψασθαι καὶ ἐκκαθήρασθαι τὰς | δυσεκ-
πλύτους κηλῖδας, ἃς μιγάδων καὶ συγκλύδων ὄχλος ἀνθρώπων κατὰ
πόλεις προσετρίψατο. τοῦτο δὲ ἀμήχανον ἑτέρως ἢ διοικισθέντι συμ- 11
βῆναι, καὶ οὐκ εὐθὺς ἀλλὰ μακρῷ χρόνῳ ὕστερον, ἕως ἂν οἱ τῶν
ἀρχαίων παρανομημάτων ἐνσφραγισθέντες τύποι κατὰ μικρὸν ἀμαυρού-
μενοι καὶ ἀπορρέοντες ἀφανισθῶσι. τοῦτον τὸν τρόπον καὶ οἱ τὴν 12
ἰατρικὴν ἀγαθοὶ σῴζουσι τοὺς κάμνοντας· οὐ γὰρ πρότερον σιτία καὶ ποτὰ
παρέχειν ἀξιοῦσι, πρὶν ἢ τὰ τῶν νόσων αἴτια ὑπεξελέσθαι· μενόντων
γὰρ ἀνωφελεῖς αἱ τροφαί, ἀλλὰ καὶ ἐπιζήμιοι, ὕλαι γινόμεναι τοῦ πάθους.
(3.) εἰκότως οὖν ἐκ τῶν κατὰ πόλεις βλαβερωτάτων συνηθειῶν εἰς 13
ἐρήμην ἀπαγαγών, ἵνα κενώσῃ τὰς ψυχὰς ἀδικημάτων, ἤρξατο προσ-
φέρειν ταῖς διανοίαις τροφάς· αὗται δὲ τίνες ἂν εἶεν ὅτι μὴ νόμοι καὶ
λόγοι θεῖοι; τρίτη δέ ἐστιν αἰτία ἥδε· καθάπερ οἱ στελλόμενοι μακρὸν 14
πλοῦν, οὐχ ὅταν ἐπιβάντες τῆς νεὼς ἀπὸ λιμένος ἐξαναχθῶσιν, ἄρχονται
κατασκευάζειν ἱστία καὶ πηδάλια καὶ οἴακας, ἀλλ' ἔτι μένοντες ἐπὶ γῆς
ἕκαστα τῶν συντεινόντων πρὸς πλοῦν εὐτρεπίζονται, τὸν αὐτὸν τρόπον
ἠξίωσεν οὐ λαβόντας κληρουχίας καὶ τὰς πόλεις οἰκήσαντας τότε ζητεῖν
νόμους, οἷς πολιτεύσονται, ἀλλ' ἑτοιμασαμένους τοὺς τῆς πολιτείας
κανόνας καὶ ἐνασκηθέντας οἷς ἔμελλον οἱ δῆμοι κυβερνᾶσθαι σωτηρίως
τηνικαῦτα εἰσοικίζεσθαι, χρησομένους εὐθὺς ταῖς τῶν δικαίων παρα-
σκευαῖς ἐν ὁμονοίᾳ καὶ κοινωνίᾳ καὶ διανομῇ τῶν ἐπιβαλλόντων ἑκάστοις.
(4.) φασὶ δέ τινες καὶ τετάρτην αἰτίαν οὐκ ἀπῳδὸν ἀλλ' ἐγγυτάτω τῆς 15
ἀληθείας· ἐπειδὴ γὰρ ἔδει πίστιν ἐγγενέσθαι ταῖς διανοίαις περὶ τοῦ μὴ
εὑρήματα ἀνθρώπου τοὺς νόμους ἀλλὰ θεοῦ χρησμοὺς σαφεστάτους
εἶναι, πορρωτάτω τῶν πόλεων ἀπήγαγε τὸ ἔθνος εἰς ἐρήμην βαθεῖαν

1 ἀπορρίψασθαι M καθάρασθαι M 1. 2 δυσεκπλήτους G, δυσεκπλύκτους P 3 πόλιν M 5 ἀνομημάτων M 6. 7 οἱ περὶ τὴν ἰατρικὴν AP 7 γὰρ om. M Arm καὶ ποτὰ om. H (v) 8 παρασχεῖν Vind. ἀξιοῦντες M πρὶν om. M 9 ἀλλὰ καὶ M: om. ceteri (v) γενόμεναι M 10 πόλεις Mang. (sic Arm): πόλιν codd. 11 ἐρήμην codd.: ἔρημον Mang. 12. 13 λόγοι καὶ νόμοι M 13 δ' ἐστὶν M 14 λιμένος FH: λιμένων MAPG 15 μένοντες] μὲν ὄντες Arm 16 εὐτρεπίζοντες H 18 πολιτεύωνται Turn. ἠτοιμασμένους M τοὺς om. Turn. 19 εὖ ἀσκηθέντας Arm ἤμελλον H 20 χρησομένοις M 21 ἐν A: ἐφ' ceteri (Turn.) ὁμονοίᾳ] ὁμοίᾳ H διαμονῇ A ἐπιβαλόντων F 22 ἀπῳδὸν] ἀπᾴδουσαν M 23 διανοίαις αὐτῶν Arm 25 ἔρημον F (Mang.)

6 — 9 Vindob. hist. gr. 67 fol. 56v: τοῦτον τὸν τρόπον — τοῦ πάθους.

16 καὶ ἄγονον οὐ μόνον ἡμέρων καρπῶν ἀλλὰ καὶ ποτίμου ὕδατος, ἵν', ἐὰν
ἐν σπάνει γενόμενοι τῶν ἀναγκαίων καὶ δίψει καὶ λιμῷ διαφθαρῆναι
προσδοκήσαντες ἐξαπιναίως ἀφθονίαν τῶν ἐπιτηδείων ἀπαυτοματισθέντων
ἀνευρίσκωσιν, οὐρανοῦ μὲν ὕοντος τροφὰς τὸ καλούμενον μάννα, προσ-
όψημα δὲ τροφῶν ἀπ' ἀέρος ὀρτυγομήτρας φοράν, ὕδατος δὲ πικροῦ
γλυκαινομένου πρὸς τὸ πότιμον, πέτρας δὲ ἀκροτόμου πηγὰς ἀνομβρούσης,
μηκέτι θαυμάζωσιν, εἰ λόγια θεοῦ συμβέβηκεν | εἶναι τοὺς νόμους, p. 183 M.
ἐναργεστάτην βάσανον εἰληφότες ἐκ τῶν χορηγιῶν, ἃς ἐξ ἀπόρων
17 ἔσχον οὐκ ἐλπίσαντες. ὁ γὰρ πρὸς τὸ ζῆν ἀφθονίαν δοὺς καὶ τὰς πρὸς
τὸ εὖ ζῆν ἀφορμὰς ἐδωρεῖτο· πρὸς μὲν οὖν τὸ ζῆν σιτίων ἔδει καὶ
ποτῶν, ἅπερ ἀνεύρισκον οὐχ ἑτοιμασάμενοι, πρὸς δὲ τὸ εὖ ζῆν νόμων
καὶ διαταγμάτων, οἷς βελτιοῦσθαι τὰς ψυχὰς ἔμελλον.
18 (5.) Αἵδ' εἰσὶν ἐν στοχασμοῖς εἰκόσιν αἰτίαι λεγόμεναι περὶ τοῦ
διαπορηθέντος· τὰς γὰρ ἀληθεῖς οἶδεν ὁ θεὸς μόνος. εἰπὼν δ' ἅπερ
ἥρμοττε περὶ τούτων ἑξῆς αὐτοὺς ἀκριβώσω τοὺς νόμους, ἐκεῖνο κατὰ
τὸ ἀναγκαῖον προμηνύσας, ὅτι τῶν νόμων οὓς μὲν αὐτὸς ὁ θεὸς οὐ
προσχρησάμενος ἄλλῳ δι' ἑαυτοῦ μόνου θεσπίζειν ἠξίωσεν, οὓς δὲ διὰ
προφήτου Μωυσέως, ὃν ἀριστίνδην ἐκ πάντων ὡς ἐπιτηδειότατον ἱεροφάντην
19 ἐπελέξατο. τοὺς μὲν οὖν αὐτοπροσώπως θεσπισθέντας δι' αὐτοῦ μόνου
συμβέβηκε καὶ νόμους εἶναι καὶ νόμων τῶν ἐν μέρει κεφάλαια, τοὺς δὲ
20 διὰ τοῦ προφήτου πάντας ἐπ' ἐκείνους ἀναφέρεσθαι. (6.) λέξω δ', ὡς
ἂν οἷός τε ὦ, περὶ ἑκατέρων καὶ πρότερόν γε τῶν κεφαλαιωδεστέρων·

---

1 ἡμέρων om. Arm ἵν' M: ἵνα ceteri ἐὰν om. M 2 ἐν om. G δίψῃ H (v) 3. 4 ἀνευρίσκωσιν ἀπαυτοματισθέντων transp. H (Turn.) 4 μάνα H 4. 5 προσόψιμα H 5 pr. δὲ] τε Richt. ἀπ' secludendum putavit Mang. ὀρτυγομήτρας codd. (cf. Exod. 16,13): ὀρτυγομητρῶν Mang. alt. δὲ] μὲν H 6 τὸ om. M δὲ om. M 7 θαυμάζωσιν εἰ λόγια θεοῦ συμβέβηκεν εἶναι τοὺς νόμους M Arm: θαυμάζωσι Νεῖλον μηδ' εἰ συμβέβηκεν εἶναι θεοῦ τοὺς νόμους ceteri (v) τοὺς νόμους corr. ex τοῖς νόμοις H post νόμους add. ἀμφιγνοῶσιν mg. H² (v) 9 ἀφθονίαν — εὖ ζῆν (10) om. M 10 ἀφορμάς] ἀφθονίας A 11 post ζῆν add. καὶ ὡς εἰκὸς H et mg. P² (v) 13 αἴτιαι corr. in αἰτίαι F περὶ om. M 14 οἶδεν ὁ θεὸς M: θεὸς οἶδε ceteri (v) δ' ἅπερ M: δὲ ἃ ceteri (Turn.) 16 τῶν νόμων] τοὺς νόμους M οὓς] τοὺς M 17 ἑαυτοῦ M: αὐτοῦ G, αὐτοῦ corr. in αὑτοῦ H, αὑτοῦ APF μόνον (ου supra) G οὓς] τοὺς M 18 τοῦ προφήτου APF μωσέως MAPFH, om. G ὃν] ὃς H ἐκ πάντων M: ἐξ ἁπάντων ceteri (v) ἱεροφάντην M: ἱεροφαντεῖν ceteri (v) 19 ἐπελέξατο M: εἵλετο ceteri (v) αὐτοπροσώπους (ως supra) A 20 pr. καὶ om. Arm 22 περὶ MF: καὶ περὶ ceteri (v) post γε add. περὶ Arm

ὧν εὐθέως ἄξιον θαυμάσαι τὸν ἀριθμὸν δεκάδι τῇ παντελείᾳ περατουμένων, ἣ πάσας μὲν ἀριθμῶν διαφορὰς ἀρτίων καὶ περιττῶν καὶ ἀρτιοπερίττων, ἀρτίων μὲν δυοῖν, περιττῶν δὲ τριῶν, ἀρτιοπερίττων δὲ πέντε, πάσας δὲ λόγων τῶν ἐν ἀριθμοῖς πολυπλασίων καὶ ἐπιμερῶν καὶ ὑπο-
επιμερῶν περιέχει, πάσας δ' ἀναλογίας, τήν τε ἀριθμητικήν, ἣ τῷ 21
ἰσαρίθμῳ ὑπερέχει καὶ ὑπερέχεται, οἷον ἐπὶ τοῦ ἓν καὶ δύο καὶ τρία, καὶ τὴν γεωμετρικήν, καθ' ἣν οἷος ὁ λόγος πρὸς τὸν πρῶτον τοῦ δευτέρου, τοιοῦτος καὶ ὁ πρὸς τὸν δεύτερον τοῦ τρίτου, ὡς ἔχει ἐπὶ τοῦ ἓν καὶ δύο καὶ τέσσαρα, ἔν τε διπλασίοις καὶ τριπλασίοις καὶ συνόλως πολυπλασίοις καὶ πάλιν ἐν ἡμιολίοις καὶ ἐπιτρίτοις καὶ τοῖς παραπλησίοις, ἔτι μέντοι καὶ τὴν ἁρμονικήν, καθ' ἣν ὁ μέσος τῶν ἄκρων τῷ ἴσῳ μορίῳ ὑπερέχει τε καὶ ὑπερέχεται, ὡς ἔχει ἐπὶ τοῦ τρίτου καὶ τετάρτου
καὶ ἕκτου. περιέχει δὲ ἡ δεκὰς καὶ τὰς τῶν τριγώνων καὶ τετραγώνων 22
καὶ τῶν ἄλλων πολυγώνων ἐμφαινομένας ἰδιότητας καὶ τὰς τῶν συμ-
p. 184 M. φωνιῶν, τήν τε διὰ τεσσάρων ἐν ἐπιτρίτῳ λόγῳ, τῷ τέσσαρα | πρὸς τρία, καὶ τὴν διὰ πέντε ἐν ἡμιολίῳ, τῷ τρία πρὸς δύο, καὶ τὴν διὰ πασῶν ἐν διπλασίῳ, τῷ δύο πρὸς ἕν, καὶ τὴν δὶς διὰ πασῶν ἐν τετρα-
πλασίῳ, τῷ ὀκτὼ πρὸς δύο. παρό μοι δοκοῦσι καὶ οἱ πρῶτοι τὰ ὀνό- 23
ματα τοῖς πράγμασι θέμενοι — σοφοὶ γὰρ ἦσαν — εἰκότως αὐτὴν προσαγορεῦσαι δεκάδα, ὡσανεὶ δεχάδα οὖσαν, παρὰ τὸ δέχεσθαι καὶ κεχωρηκέναι τὰ γένη πάντα τῶν ἀριθμῶν καὶ λόγων τῶν κατ' ἀριθμὸν

---

1 εὐθὺς M  1. 2 περατουμένων codd.: περαιουμένων Turn., περανουμένων Mang.  2 ἣ] εἰ M  ἀριθμῶν] ἀριθμουμένων AP  διαφορὰς ἀρτίων ἀριθμῶν transp. G  2. 3 καὶ ἀρτιοπερίττων om. L (Turn.)  3 δυοῖν ex δυεῖν corr. H, δυεῖν FG  4. 5 ὑποεπιμερῶν M: ἐπιμορίων ceteri (v)  5 δὲ M, om. Arm  ἣ τῷ] τῷ γὰρ Arm  5. 6 τῶν ἰσαρίθμων AP, τῷ ἴσῳ ἀριθμῷ M  6 ἐπὶ τὸ α' καὶ β' καὶ γ' M  7. 8 πρὸς τὸν πρῶτον τοῦ δευτέρου] τοῦ α' πρὸς τὸν τοῦ β' M  8 τοιοῦτος om. AP[1]  ὁ MH: om. ceteri  πρὸς τὸν δεύτερον τοῦ τρίτου] τοῦ β' πρὸς τὸν γ' M  9 τοῦ] τὸ F, om. M  ἓν καὶ ἓν ὁ εἷς καὶ δύο καὶ τρεῖς καὶ τριάκοντα τέσσαρες M  τέτταρα AP  9. 10 καὶ συνόλως πολυπλασίοις MF Arm: om. ceteri  12 post μορίῳ add. καὶ H (v)  ὑπερέχει τε καὶ ὑπερέχεται MF: ὑπερέχεται καὶ ὑπερέχει ceteri (v)  τρίτου] α' MG; δευτέρου coni. Christophorson (Mang.), sed cf. *de opif. mundi § 110*  τετάρτου] δ' M, τέσσαρα G  13 ἕκτου] ς' M, ἓξ G  ἕκτου καὶ τετάρτου καὶ τρίτου transp. Arm  τῶν H: om. ceteri  15 τεττάρων FH  ἐν om. APF  τῷ] τοῦ G  δ' M  15. 16 πρὸς τὸν τρία G  16 γ' M  γ' M  β' M  17 β' M  α' M  δὶς καὶ διὰ H  18 τῷ] τὰ H  η' M  β' M  20 ὡσανεὶ] οἱονεὶ AP  21 συγκεχωρηκέναι Turn.  τὰ γένη τῶν ἀριθμῶν πάντα καὶ κεχωρηκέναι transp. M  πάντα τὰ γένη transp. AP  λόγους M  ἀριθμῶν corr. in ἀριθμὸν AFH

24 καὶ ἀναλογιῶν ἁρμονιῶν τε αὖ καὶ συμφωνιῶν. (7.) τὴν μέντοι δεκάδα
πρὸς τοῖς εἰρημένοις καὶ διὰ ταῦτα εἰκότως ἄν τις θαυμάσειε περιέ-
χουσαν τήν τε ἀδιάστατον φύσιν καὶ τὴν διαστηματικήν· ἡ μὲν οὖν
ἀδιάστατος τάττεται κατὰ σημεῖον μόνον, ἡ δὲ διαστηματικὴ κατὰ τρεῖς
25 ἰδέας γραμμῆς καὶ ἐπιφανείας καὶ στερεοῦ· τὸ μὲν γὰρ δυσὶ σημείοις
περατούμενόν ἐστι γραμμή, τὸ δ' ἐπὶ δύο διαστατὸν ἐπιφάνεια, ῥυείσης
ἐπὶ πλάτος γραμμῆς, τὸ δ' ἐπὶ τρία στερεόν, μήκους καὶ πλάτους βάθος
προσλαβόντων, ἐφ' ὧν ἵσταται ἡ φύσις· πλείους γὰρ τριῶν διαστάσεις
26 οὐκ ἐγέννησεν. ἀρχέτυποι δὲ τούτων ἀριθμοὶ τοῦ μὲν ἀδιαστάτου
σημείου τὸ ἕν, τῆς δὲ γραμμῆς τὰ δύο, καὶ ἐπιφανείας μὲν τρία,
στερεοῦ δὲ τέσσαρα, ὧν ἡ σύνθεσις ἑνὸς καὶ δυοῖν καὶ τριῶν καὶ
τεσσάρων ἀποτελεῖ δεκάδα παραφαίνουσαν τοῖς ὁρατικοῖς καὶ ἕτερα
27 κάλλη· σχεδὸν γὰρ ἡ ἀπειρία τῶν ἀριθμῶν ταύτῃ μετρεῖται, διότι οἱ
συστήσαντες αὐτὴν ὅροι τέσσαρές εἰσιν, ἓν καὶ δύο καὶ τρία καὶ τέτταρα,
οἱ δ' ἴσοι ὅροι ἑκατοντάδα γεννῶσιν ἐκ δεκάδων — δέκα γὰρ καὶ
εἴκοσι καὶ τριάκοντα καὶ τεσσαράκοντα γίνονται ἑκατόν —, ὁμοίως δὲ
καὶ χιλιάδα ἐξ ἑκατοντάδων καὶ μυριάδα ἐκ χιλιάδων, μονὰς δὲ καὶ
28 δεκὰς καὶ ἑκατοντὰς καὶ χιλιὰς τέσσαρες ὅροι οἱ δεκάδα γεννῶντες· ἥτις
δίχα τῶν πρόσθεν εἰρημένων καὶ ἑτέρας ἀριθμῶν ἐμφαίνει διαφοράς,
τόν τε πρῶτον κόσμον, ὃς μονάδι μόνῃ μετρεῖται, οὗ παράδειγμα ὁ
τρεῖς, ὁ πέντε, ὁ ἑπτά, καὶ τὸν τετράγωνον, τὸν τέσσαρα, τὸν ἰσάκις
ἴσον, καὶ μὲν δὴ τὸν κύβον, τὸν ὀκτώ, ὅς ἐστιν ἰσάκις ἴσος ἰσάκις,
καὶ τὸν τέλειον, τὸν ἕξ, ἰσούμενον τοῖς ἑαυτοῦ μέρεσι, τρισὶ καὶ δυσὶ

---

2 εἰκότως ἄν τις M: ἄν τις εἰκότως ceteri (v) θαυμάσειε MAP: θαυμάσαι FGH 5 γραμμὴν καὶ ἐπιφάνειαν καὶ στερεόν coni. Mang. γὰρ om. F 6 δ' AP: δὲ ceteri 7 δὲ M τρεῖς M βάθους MH, καὶ βάθος AP
β' α'
βάθους πλάτους H 8 ἡ om. GH (v) 10 γ' M 11 δ' M α' M δυεῖν GH, β' M γ' M 12 τεττάρων APF, δ' M ἀποτελεῖ δεκάδα — τέτταρα (14) om. M ὁρατικοῖς APFG: ὁρατοῖς H (Turn.) 13 μετρεῖται] περατοῦται vel περαίνεται coni. Mang. 14 ἓν καὶ δύο καὶ τρία καὶ τέτταρα G: ἑνὸς καὶ δυοῖν (δυεῖν H) καὶ τριῶν καὶ τεττάρων APFH (v) 15 δ' M: δὲ ceteri 15. 16 ι' γὰρ καὶ κ' G, δεκάδα γὰρ καὶ εἰκοσάδα M 16 λ' MG μ' MG γίνονται F: γίνεται MG, γεννῶσιν H (v), om. AP ρ' MAP 18 δ' M δεκάδα] ι' M 20 κόσμον M: om. ceteri (v) ὃς] ὡς F μόνῃ MAPFG: μόνον H (v) μετρεῖται μόνῃ transp. G 21 τρεῖς FH, γ' M: τρία APG (Mang.) ε' M ζ' M τέσσαρα APG, δ' M: τέταρτον FH (v) 22 τὸν κύβον M: τὸν om. ceteri (v) ὀκτώ FG, η' M: ὄγδοον G mg. P (v), αυτώ (sic) A, αὐτόν P pr. ἰσάκις om. M 23 τὸν ἐξισούμενον M αὑτοῦ MF γ' καὶ β' καὶ α' M

p. 185 M. καὶ ἑνί. (8.) | τί δὲ δεῖ καταλέγεσθαι τὰς δεκάδος ἀρετὰς ἀπείρους τὸ 29
πλῆθος, πάρεργον ποιουμένους ἔργον μέγιστον, ὃ καθ᾽ αὑτὸ συμβέβηκεν
αὐταρκεστάτην εἶναι ὑπόθεσιν τοῖς περὶ τὰ μαθήματα διατρίβουσι; τὰς
μὲν οὖν ἄλλας ὑπερθετέον, μιᾶς δ᾽ οὐκ ἄτοπον ἴσως ἐπιμνησθῆναι
δείγματος ἕνεκα. τὰς γὰρ ἐν τῇ φύσει λεγομένας κατηγορίας δέκα 30
μόνας εἶναί φασιν οἱ ἐνδιατρίβοντες τοῖς τῆς φιλοσοφίας δόγμασιν·
οὐσίαν, ποιόν, ποσόν, πρός τι, ποιεῖν, πάσχειν, ἔχειν, κεῖσθαι, τὰ ὧν
οὐκ ἄνευ ⟨πάντα⟩, χρόνον καὶ τόπον. οὐδὲν γάρ ἐστι τούτων ἀμέτοχον· 31
οἷον ἐγὼ μετέχω μὲν οὐσίας δανεισάμενος ἀφ᾽ ἑκάστου τῶν στοιχείων,
ἐξ ὧν ἀπετελέσθη ὅδε ὁ κόσμος, γῆς καὶ ὕδατος καὶ ἀέρος καὶ πυρός,
τὰ πρὸς τὴν ἐμὴν σύστασιν αὐταρκέστατα· μετέχω δὲ καὶ ποιότητος,
καθ᾽ ἣν ἄνθρωπός εἰμι, καὶ ποσότητος, ᾗ πηλίκος· γίνομαι δὲ καὶ
πρός τι, ὅταν μου πρὸς δεξιοῖς τις ᾖ πρὸς εὐωνύμοις ᾖ· ἀλλὰ καὶ
ποιῶ, τρίβων τι ἢ κείρων, καὶ πάσχω, κειρόμενος ἢ τριβόμενος ὑφ᾽
ἑτέρων· κἂν τῷ ἔχειν ἐξετάζομαι, ἢ περιβεβλημένος ἢ ὡπλισμένος, κἂν
τῷ κεῖσθαι, σχεδόν τι καθεζόμενος ἢ κατακεκλιμένος· εἰμὶ δὲ πάντως
κἂν τόπῳ καὶ χρόνῳ, τῶν προειρημένων οὐδενὸς δυναμένου χωρὶς
ἀμφοῖν ὑφίστασθαι.

(9.) Ταυτὶ μὲν οὖν ἀποχρώντως λελέχθω, συνυφαίνειν δ᾽ ἀναγκαῖον 32
τὰ ἀκόλουθα. τοὺς δέκα λόγους ἢ χρησμούς, νόμους ἢ θεσμοὺς πρὸς
ἀλήθειαν ὄντας, ἀθροισθέντος τοῦ ἔθνους ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν
εἰς ἐκκλησίαν, ὁ πατὴρ τῶν ὅλων ἐθέσπισεν. ἆρά γε φωνῆς τρόπον

---

1 δεκάδας H  2 μέγιστον ἔργον transp. Arm  3 τοῖς — διατρίβουσι om. M
4 ἐπιμνησθῆναι MF: ὑπομνησθῆναι ceteri (v)  5 ἕνεκεν GH (v)  δέκα] δεκάδας Turn.  6 φασὶν εἶναι transp. M  ἐνδιατρίψαντες M  τοῖς τῆς M: om. ceteri (v)  7 οὐσία FH  post πρός τι add. ποῦ πότε M
8 πάντα addidi (cf. vol. II 24,14); τὰ ὧν ἄνευ οὐκ ἔστι τι coni. Mang.  ἄνευ χρόνου καὶ τόπου A Arm  καὶ] ἢ καὶ M  post τόπον add. εἶναι M
9 μὲν μετέχω transp. GH (v)  10 ὅδε] ὅλος H (v)  11 καὶ om. A
12 καθ᾽ ἣν] καθὸ A  πηλίκοσδε F, πηλικότητος Arm  πηλίκος γίνομαι (om. δὲ) M
13 τις] στῆς M  ᾖ· ἀλλὰ] ἢ ἀλλαχῆ M  14 ποιῶ M: ποιῶ (ποιῶν A) τι ceteri (v)  τι (post τρίβων) om. A  κείρων Mang.: καίων codd. Arm  πάσχων[ω] A  15 ἑτέρου G  κἂν F: καὶ ἂν ceteri, ἐν Arm  ἐξετάζομαι A  κἂν AF: καὶ ἂν ceteri  16 σχεδόν τι M: σχέδην ceteri (v)  17 καὶ ἂν (κἂν scripsi) τόπῳ καὶ χρόνῳ M Arm: καὶ ἂν χρόνῳ καὶ ἂν τόπῳ F, καὶ χρόνῳ καὶ τόπῳ ceteri  δυναμένων H (Turn.)  18 συνίστασθαι[ὑφ] H  19 ταύτῃ M, ταῦτα AP
20 νόμους M Arm: ἢ νόμους ceteri (v)  21 οὓς ante ἀθροισθέντος add. FGH (v)  καὶ γυναικῶν ὁμοῦ transp. M  22 εἰς ἐκκλησίαν M: ἐν ἐκκλησίᾳ APFG, om. H (Turn.)  φωνῆς τρόπον] φωνὴν γήινον M  τρόπου corr. in τρόπον A

προέμενος αὐτός; ἄπαγε, μηδ' εἰς νοῦν ποτ' ἔλθοι τὸν ἡμέτερον· οὐ γὰρ ὡς ἄνθρωπος ὁ θεός, στόματος καὶ γλώττης καὶ ἀρτηριῶν δεό-
33 μενος. ἀλλά γέ μοι δοκεῖ κατ' ἐκεῖνον τὸν χρόνον ἱεροπρεπέστατόν τι θαυματουργῆσαι κελεύσας ἦχον ἀόρατον ἐν ἀέρι δημιουργηθῆναι, πάντων ὀργάνων θαυμασιώτερον, ἁρμονίαις τελείαις ἡρμοσμένον, οὐκ ἄψυχον ἀλλ' οὐδ' ἐκ σώματος καὶ ψυχῆς τρόπον ζῴου συνεστηκότα, ἀλλὰ ψυχὴν λογικὴν ἀνάπλεω σαφηνείας καὶ τρανότητος, ἣ τὸν ἀέρα σχηματίσασα καὶ ἐπιτείνασα καὶ πρὸς πῦρ φλογοειδὲς μεταβαλοῦσα καθάπερ πνεῦμα διὰ σάλπιγγος φωνὴν τοσαύτην ἔναρθρον ἐξήχησεν, ὡς τοῖς ἔγγιστα τοὺς
34 πορρωτάτω κατ' | ἴσον ἀκροᾶσθαι δοκεῖν. ἀνθρώπων μὲν γὰρ αἱ φωναὶ p. 186 M.
πρὸς μήκιστον ἀποτεινόμεναι πεφύκασιν ἐξασθενεῖν, ὡς ἀριδήλους τοῖς μακρὰν ἀφεστηκόσι μὴ γίνεσθαι τὰς ἀντιλήψεις ταῖς ἐπεκτάσεσιν ἐκ
35 τοῦ κατ' ὀλίγον ἀμαυρουμένας, ἐπειδὴ καὶ τὰ ὄργανα φθαρτά· τὴν δὲ κεκαινουργημένην φωνὴν ἐπιπνέουσα θεοῦ δύναμις ἤγειρε καὶ ἐζωπύρει καὶ ἀναχέουσα πάντῃ τὸ τέλος τῆς ἀρχῆς ἀπέφαινε τηλαυγέστερον, ἀκοὴν ἑτέραν πολὺ βελτίω τῆς δι' ὤτων ταῖς ἑκάστων ψυχαῖς ἐντιθεῖσα· ἡ μὲν γὰρ βραδυτέρα πως οὖσα αἴσθησις ἀτρεμίζει, μέχρις ἂν ὑπ' ἀέρος πληχθεῖσα διακινηθῇ, φθάνει δ' ἡ τῆς ἐνθέου διανοίας ὀξυτάτῳ τάχει προϋπαντῶσα τοῖς λεγομένοις.
36 (10.) Φωνῆς μὲν δὴ τῆς θείας πέρι τοσαῦτα. δεόντως δ' ἄν τις ἀπορήσαι, τοῦ χάριν, πλείστων ὅσων μυριάδων εἰς ἓν ἠθροισμένων χωρίον, ἕκαστον θεσπίζειν τῶν δέκα λογίων ἠξίωσεν ὡς οὐχὶ πρὸς πλείους ἀλλ' ὡς πρὸς ἕνα, „οὐ μοιχεύσεις" λέγων, „οὐ φονεύσεις," „οὐ

---

1 προϊέμενος M αὐτούς F$^2$(H$^1$?) ἔλθῃ APH (Turn.) ὑμέτερον A
3 ἀλλά γέ μοι M (ἀλλά γ' ἐμοὶ Wendl.): ἀλλ' ἐμοὶ ceteri (v) κατ' M Arm: τὰ κατ' ceteri (Turn.) 4 ἦχον M: ἠχὴν ceteri (v) 5 ἡρμοσμένον MAPFG: ἡρμοσμένον corr. in ἡρμοσμένων H (ἡρμοσμένων v) ἄψυχον corr. ex ἄψυχος H
6 οὐδὲ FG συνεστηκότα scripsi: συνεστηκότος APFH, συνεστηκὸς G, συνεστηκὼς M; συνεστηκυῖαν coni. Mang. ψυχὴν] ἠχὴν coni. Mang. (cf. vol. II 277,19)
πιθα
7 ἀνάπλεω M: ἀνάπλεων ceteri τρανότητος F post τρανότητος add. περιέχουσαν Christophorson 9 τοὺς] καὶ τοῖς M 10 γὰρ om. A
14 καινουργουμένην M ἐπιπνέουσαν PGH 15 πάντῃ] πᾶν M ἀρχῆς M Arm (Mang.): ἠχῆς ceteri (Turn.) ἀπέφηνε corr. ex ἀπέφαινε H, ἀπέφηνε M (v) 16 ἑκάστου H (Turn.) 16. 17 ἐντεθεῖσα H 17 πῶς A post οὖσα add. τῶν ὤτων Christophorson (Mang.) 18 δ' ἡ] δὴ M
19 προϋπαντῶσα scripsi (sic Arm): προσυπαντῶσα codd.; προαπαντῶσα voluit Mang.
20 δὴ τῆς om. M δεόντως] ἐξόντως M 21 ἀπορήσαι GH$^2$: ἀπορῆσαι MFH$^1$, ἀπορήσοι AP (sic Mang.) 22 ἑκάστῳ Arm 23 ἀλλὰ GH ὡς om. H (Turn.) οὐ φονεύσεις om. Arm

κλέψεις“ (Exod. 20, 13ss.) καὶ τὰ ἄλλα ταύτῃ. λεκτέον οὖν ἓν μέν, 37
ὅτι βούλεται κάλλιστον ἀναδιδάξαι μάθημα τοὺς ἐντυγχάνοντας ταῖς
ἱεραῖς γραφαῖς, ὡς ἄρα καθ' αὑτὸν εἷς ἕκαστος, ὅταν ᾖ νόμιμος καὶ
θεῷ καταπειθής, ἰσότιμός ἐστιν ὅλῳ ἔθνει πολυανθρωποτάτῳ, μᾶλλον
δὲ καὶ πᾶσιν ἔθνεσιν, εἰ δὲ δεῖ περαιτέρω προελθόντα εἰπεῖν, καὶ
παντὶ τῷ κόσμῳ. διόπερ ἐν ἑτέροις ἐπαινῶν τινα δίκαιον ἄνδρα φησίν· 38
„ἐγώ εἰμι ὁ θεὸς σός“ (Gen. 17, 1)· ὁ δ' αὐτὸς ἦν καὶ κόσμου θεός,
ὡς τοὺς ὑπηκόους τὴν αὐτὴν τεταγμένους τάξιν καὶ ὁμοίως εὐαρε-
στοῦντας τῷ ταξιάρχῳ τῆς ἴσης ἀποδοχῆς καὶ τιμῆς μεταλαμβάνειν.
δεύτερον δέ, ὅτι κοινῇ μὲν ὡς πλήθει τις ἐκκλησιάζων οὐκ ἐξ ἀνάγκης 39
διαλέγεται ἑνί, ὅτε δὲ προστάττων ἢ ἀπαγορεύων, ἰδίᾳ ὡς ἑνὶ ἑκάστῳ
τῶν ἐμφερομένων εὐθὺς ἂν δόξαι τὰ πρακτέα καὶ κοινῇ πᾶσιν ἀθρόοις
ὑφηγεῖσθαι· εὐπειθέστερος δὲ ὁ τὰς παραινέσεις αὐτοπροσώπως δεχόμενος,
ὁ δὲ συλλήβδην μεθ' ἑτέρων κεκώφωται τὸν ὄχλον ἀφηνιασμοῦ παρα-
κάλυμμα ποιούμενος. τρίτον, ἵνα μηδείς ποτε βασιλεὺς ἢ τύραννος 40
ἀφανοῦς ἰδιώτου καταφρονήσῃ γεμισθεὶς ἀλαζονείας καὶ ὑπεροψίας, ἀλλ'
p. 187 M. εἰς τὰ τῶν ἱερῶν νόμων διδασκαλεῖα φοιτήσας | χαλάσῃ τὰς ὀφρῦς,
ἀπομαθὼν οἴησιν εἰκότι μᾶλλον δ' ἀληθεῖ λογισμῷ. εἰ γὰρ ὁ ἀγένητος 41
καὶ ἄφθαρτος καὶ ἀίδιος καὶ οὐδενὸς ἐπιδεὴς καὶ ποιητὴς τῶν ὅλων

1 τὰ ἄλλα M: τἄλλα APG, τἄλλα FH οὖν ἓν μέν M Arm: μὲν οὖν (om. ἓν) ceteri (v) 2 ὅτι] ὡς AP κάλλιστα M 4 πολυανθρωποτεύ[illegible]τω (κ eras.) F[1], ευ in α corr. F[2] 5 προσελθόντα M 6 διόπερ codd.: διότι Turn. ἄνδρα δίκαιον transp. AP 7 pr. ὁ om. M σός MAPF: ὁ σός G, σου H (v) ὁ δ'] ὁ γὰρ Arm post ἦν add. γὰρ FH 9 λαμβάνειν AP[1] 10 δ' MH ὅτι om. AP[1] πλήθη M 11 ἑνί, ὅτε F (coni. Mang.): ἐνίοτε MAPH, ἑνὶ ἑκάστω G δὲ om. G προστάττει ἢ ἀπαγορεύει conicio ἰδία M: ἰδία δ' FGH, ἰδία δὲ AP 12 ἂν δόξαι] ἂν δέξεται H; ἐνδέξεται Turn. 13 δὲ MG: om. ceteri; γὰρ coni. Mang.; ὅτι εὐπειθέστερος Arm 15 ποιούμενον Turn. 16 καταφρονήσει F 17 χαλάσει A 18 ἀληθῆ F ἀγέννητος APF

18—278,18 D[H] fol. 227[v] Φίλωνος: ἄνθρωπος ὢν εὐπρόσιτος καὶ εὐέντευκτος (278,8) ἔσο τοῖς πᾶσι καὶ ἔθιζε τὴν ⟨σ⟩εαυτοῦ διάνοιαν ἀνθρωποπαθεῖν οὐ μόνον διὰ τὰς ἀδήλους πρὸς ταπάντη (sic) βουλὰς καὶ τῶν εὖ πραττόντων καὶ τῶν ἐν κακοπραγίαις, ἀλλὰ κἂν βεβαίως παραμένῃ (278,15—18), μὴ τραχηλιᾶν ἐπὶ τὴν τραγῳδουμένην εὐτυχίαν (cf. 278,13). εἰ γὰρ ὁ ἀγέννητος καὶ ἀθάνατος καὶ ἀίδιος καὶ οὐδενὸς ἐπιδεόμενος καὶ ποιητὴς τῶν ὅλων καὶ εὐεργέτης καὶ βασιλεὺς βασιλέων καὶ θεὸς θεῶν οὐδὲ τὸν ταπεινότατον ὑπεριδεῖν ὑπέμεινε θείων λογίων, ἀλλὰ καὶ τοῦτον ἠξίωσεν εὐωχίσαι θεσμῶν ἱερῶν ἱεροφαντούμενον ἑστιᾶν, τί ἐμοὶ τῷ θνητῷ προσῆκεν ὑψαυχενεῖν ἢ πεφυσῆσθαι [περι]φρυαττομένῳ πρὸς τοὺς ὁμοίους, καὶ μίαν μητέρα τὴν κοινὴν ἁπάντων ἀνθρώπων φύσιν κεκτημένον (18—278,8);

καὶ εὐεργέτης καὶ βασιλεὺς βασιλέων καὶ θεὸς θεῶν οὐδὲ τὸν ταπει-
νότατον ὑπεριδεῖν ὑπέμεινεν, ἀλλὰ καὶ τοῦτον εὐωχῆσαι λογίων καὶ
θεσμῶν ἱερῶν ἠξίωσεν, ὡς μόνον ἑστιᾶν μέλλων καὶ μόνῳ τὸ συμ-
πόσιον εὐτρεπίζεσθαι πρὸς ψυχῆς ἀνάχυσιν ἱεροφαντουμένης, ᾗ θέμις τὰς
μεγάλας τελεῖσθαι τελετάς, ἐμοὶ τῷ θνητῷ τί προσῆκον ὑψαυχενεῖν καὶ
πεφυσῆσθαι φρυαττομένῳ πρὸς τοὺς ὁμοίους, οἳ τύχαις μὲν ἀνίσοις
ἴσῃ δὲ καὶ ὁμοίᾳ συγγενείᾳ κέχρηνται μίαν ἐπιγραψάμενοι μητέρα τὴν
42 κοινὴν ἁπάντων ἀνθρώπων φύσιν; εὐπρόσιτον οὖν καὶ εὐέντευκτον
ἐμαυτὸν παρέξω, κἂν τὸ τῆς γῆς καὶ τῆς θαλάττης κράτος ἀνάψωμαι,
τοῖς ἀπορωτάτοις καὶ ἀδοξοτάτοις καὶ οἰκειοτάτης συμμαχίας ἐρήμοις,
ἑκατέρου τῶν γονέων ὀρφανοῖς καὶ γυναιξὶ χηρείαν ὑπομενούσαις καὶ
πρεσβύταις ἢ μὴ παιδοποιησαμένοις τὸ παράπαν ἢ ἀποβαλοῦσιν ὠκυ-
43 μόρους οὓς ἐγέννησαν. ἄνθρωπος γὰρ ὢν ὄγκον καὶ σεμνότητα τετραγῳ-
δημένην οὐ δικαιώσω προσίεσθαι, μενῶ δ' ἐντὸς τῆς φύσεως τοὺς
ὅρους αὐτῆς μὴ ὑπερβαίνων, ἀλλ' ἐθίζων τὴν ἐμαυτοῦ διάνοιαν ἀνθρω-
ποπαθεῖν, οὐ μόνον διὰ τὰς ἀδήλους πρὸς τἀναντία μεταβολὰς καὶ τῶν
εὖ πραττόντων καὶ τῶν ἐν κακοπραγίαις, ἀλλὰ καὶ διὰ τὸ ἁρμόττειν,
κἂν ἀτρέπτως καὶ βεβαίως παραμένῃ τὸ εὐτυχεῖν, μὴ ἐπιλανθάνεσθαί
τινα ἑαυτοῦ. διὰ ταῦτά μοι δοκεῖ τοὺς χρησμοὺς ἑνικῶς ἀποτεινάμενος
ὡς πρὸς ἕνα θεσπίζειν ἐθελῆσαι.
44 (11.) Πάντα δ' ὡς εἰκὸς τὰ περὶ τὸν τόπον ἐθαυματουργεῖτο,
κτύποις βροντῶν μειζόνων ἢ ὥστε χωρεῖν ἀκοάς, ἀστραπῶν λάμψεσιν
αὐγοειδεστάταις, ἀοράτου σάλπιγγος ἠχῇ πρὸς μήκιστον ἀποτεινούσῃ,
καθόδῳ νεφέλης, ἣ κίονος τρόπον τὴν μὲν βάσιν ἐπὶ γῆς ἠρήρειστο,
τὸ δ' ἄλλο σῶμα πρὸς αἰθέριον ὕψος ἀνέτεινε, πυρὸς οὐρανίου φορᾷ
καπνῷ βαθεῖ τὰ ἐν κύκλῳ συσκιάζοντος· ἔδει γὰρ θεοῦ δυνάμεως

1 βασιλέων M: τῶν βασιλέων ceteri (v) τῶν θεῶν G 1. 2 τὸν ταπεινότατον M DH: τοῦ ταπεινοτάτου ceteri (v) 2 περιιδεῖν M ὑπέμενεν A
οις
4 ψυχὴν F¹ 5 τί τὸ προσῆκον H 6 ἀνίσαις H 7 μητέρα M Arm: μορφὴν FGH mg. P² (Turn.), γραφὴν AP 8 ἀνθρώπων om. M 9 pr. τῆς om. M post καὶ add. τὸ F (v) alt. τῆς om. M 10 οἰκειοτάτοις L (Turn.) 11 χηρίαν F¹ 12 πρεσβυτάταις M μὴ MFG: μηδὲ APH (Turn.) παιδοποιησαμέναις M 14 μένω FH δὲ APG 16 διὰ] πρὸς M post ἀδήλους add. τῶν ἐναντίων H (v) πρὸς] εἰς M πρὸς τἀναντία om. H τὰ ἐναντία A 17 alt. καὶ om. AP 18 παραμένῃ APFGDH: μένῃ MH (v) 19 ἑαυτοῦ codd.: αὑτοῦ v ἀποτεινάμενος M: ἀποτεινόμενος ceteri (v) 23 ἀποτεινούσης F 24 ἠρήρειστο APGH: ἐρήρειστο F, ἐρείριστο M (sic Mang.) 25 δὲ FGH 26 σκιάζοντος M

ἀφικνουμένης μηδὲν τῶν τοῦ κόσμου μερῶν ἡσυχάζειν, ἀλλὰ πάντα
p. 188 M. πρὸς ὑπηρεσίαν | συγκεκινῆσθαι. παρειστήκει δὲ ὁ λεὼς ἁγνεύσας 45
ὁμιλιῶν τῶν πρὸς γυναῖκας καὶ πασῶν ἡδονῶν ἔξω τῶν πρὸς τροφὰς
ἀναγκαίων ἀποσχόμενος, λουτροῖς τε καὶ περιρραντηρίοις καθηράμενος
ἐκ τριῶν ἡμερῶν, ἔτι καὶ τὰς ἐσθῆτας ἀποπλυνάμενος, ἐν τοῖς μάλιστα
λευχείμων, ἀκροβατῶν καὶ ἀνωρθιακῶς τὰ ὦτα, Μωυσέως προδηλώ-
σαντος εὐτρεπίζεσθαι πρὸς ἐκκλησίαν· ἔγνω γὰρ αὐτὴν ἐσομένην, ἡνίκα
μόνος ἀνακληθεὶς ἐχρησμῳδεῖτο. φωνὴ δ' ἐκ μέσου τοῦ ῥυέντος ἀπ' 46
οὐρανοῦ πυρὸς ἐξήχει καταπληκτικωτάτη, τῆς φλογὸς εἰς διάλεκτον
ἀρθρουμένης τὴν συνήθη τοῖς ἀκροωμένοις, ᾗ τὰ λεγόμενα οὕτως
ἐναργῶς ἐτρανοῦτο, ὡς ὁρᾶν αὐτὰ μᾶλλον ἢ ἀκούειν δοκεῖν. ἐγγυᾶται 47
δέ μου τὸν λόγον ὁ νόμος, ἐν ᾧ γέγραπται· „πᾶς ὁ λαὸς ἑώρα τὴν
φωνήν" (Exod. 20,18)· ἐμφαντικώτατα· τὴν μὲν γὰρ ἀνθρώπων ἀκου-
στὴν εἶναι συμβέβηκεν, ὁρατὴν δὲ ὡς ἀληθῶς τὴν θεοῦ. διὰ τί; ὅτι
ὅσα ἂν λέγῃ ὁ θεός, οὐ ῥήματά ἐστιν ἀλλ' ἔργα, ἅπερ ὀφθαλμοὶ πρὸ
ὤτων δικάζουσι. παγκάλως μέντοι καὶ θεοπρεπῶς εἴρηται ἐκ τοῦ 48
πυρὸς ἡ φωνὴ προέρχεσθαι· ἠκρίβωται γὰρ καὶ βεβασάνισται τὰ τοῦ
θεοῦ λόγια καθάπερ χρυσὸς πυρί. μηνύει δὲ καὶ διὰ συμβόλου τι τοιοῦτον·
ἐπειδὴ τοῦ πυρὸς τὸ μὲν φωτίζειν τὸ δὲ καίειν πέφυκεν, οἱ μὲν τοῖς 49
χρησμοῖς ἀξιοῦντες εἶναι καταπειθεῖς ὡς ἐν ἀσκίῳ φωτὶ τὸν ἀεὶ χρόνον
βιώσονται τοὺς νόμους αὐτοὺς ἀστέρας ἔχοντες ἐν ψυχῇ φωσφοροῦντας,
ὅσοι δ' ἀφηνιασταί, καιόμενοι καὶ κατακαιόμενοι διατελοῦσιν ὑπὸ τῶν
ἔνδον ἐπιθυμιῶν, αἳ φλογὸς τρόπον πορθήσουσι τὸν σύμπαντα τῶν
ἐχόντων βίον.

---

1 ἡσυχάζειν μερῶν transp. M  3 τὰς τροφὰς H (v)  4 ἀπεχόμενος H (Turn.)  5 ἔτι] ἐπεὶ M  τὴν ἐσθῆτα M  6 ἀνωρθωκῶς MF[1], ἀνωρθιωκῶς F[2]  μωυσέως M: μωσέως ceteri  8 μόνως Richt. Tauchn. ἀνακλιθεὶς MFH[1]  ῥυέντος M Arm: φυέντος ceteri  9 διάλεκτον] διαλεκτικὴν M  10 ἀθρουμένης F  ᾗ AF: ἣ ceteri (v), ἡ Arm
11 ἐτρανοῦτο αὐτοῖς Arm  αὐτὰ MGP[2] Arm: αὐτὸ P[1]FH (v), αὐτὸ ἣν A
14 ὁρατὴν δὲ ὡς om. Arm  δ' M  τὴν θεοῦ MG: τὴν τοῦ θεοῦ APF, τοῦ θεοῦ H (v)  15 ἂν] ἐὰν FGH  ῥήματ' FG  ἀλλ' ἔργα] ἄνεργα F
16 τῶν ὤτων M (Mang.)  δικάζουσι M Arm: διορίζουσι ceteri  μέντοι] μὲν H (Turn.)  16. 17 εἴρηται ἐκ τοῦ πυρὸς ἡ φωνὴ M: ἐκ τοῦ πυρὸς ἡ φωνὴ λέγεται ceteri
17 βεβασάνισται] δεδαπάνηται H  17. 18 τοῦ θεοῦ M: τοῦ om. ceteri
18 καὶ om. Arm.  τι] ἤ τι F  τοιοῦτο FH (v)  19. 20 τοῖς χρησμοῖς om. G  20 αἰεὶ FG  23 τῶν] τὸν A

50 (12.) Ἃ μὲν οὖν ἀναγκαῖον ἦν προδηλῶσαι, ταῦτ' ἐστίν. ἐπ'
αὐτὰ δὲ ἤδη τρεπτέον τὰ λόγια καὶ πάντα τὰ ἐν τούτοις ἐρευνητέον διά-
φορα. δέκα τοίνυν ὄντα διένειμεν εἰς δύο πεντάδας, ἃς δυσὶ στήλαις
ἐνεχάραξε, καὶ ἡ μὲν προτέρα πεντὰς τὰ πρωτεῖα ἔλαχεν, ἡ δ' ἑτέρα
δευτερείων ἠξιοῦτο· καλαὶ δ' ἀμφότεραι καὶ βιωφελεῖς, εὐρείας ὁδοὺς
καὶ λεωφόρους ἑνὶ τέλει περατουμένας ἀναστέλλουσαι πρὸς ἄπταιστον
51 ψυχῆς ἐφιεμένης ἀεὶ τοῦ βελτίστου πορείαν. ἡ μὲν οὖν ἀμείνων πεντὰς
τοιάδε ἦν· περὶ μοναρχίας, ᾗ μοναρχεῖται ὁ κόσμος· περὶ ξοάνων καὶ
ἀγαλμάτων καὶ συνόλως ἀφιδρυμάτων χειροκμήτων· περὶ τοῦ μὴ λαμ-
βάνειν ἐπὶ ματαίῳ θεοῦ πρόσρησιν· περὶ τοῦ τὴν ἱερὰν | ἑβδόμην p. 189 M.
ἄγειν ἱεροπρεπῶς· περὶ γονέων τιμῆς καὶ ἰδίᾳ ἑκατέρου καὶ ἀμφοτέρων
κοινῇ· ὡς εἶναι τῆς μιᾶς γραφῆς τὴν μὲν ἀρχὴν θεὸν καὶ πατέρα καὶ
ποιητὴν τοῦ παντός, τὸ δὲ τέλος γονεῖς, οἳ μιμούμενοι τὴν ἐκείνου
φύσιν γεννῶσι τοὺς ἐπὶ μέρους. ἡ δ' ἑτέρα πεντὰς τὰς πάσας ἀπα-
γορεύσεις περιέχει· μοιχείας, φόνου, κλοπῆς, ψευδομαρτυριῶν, ἐπι-
θυμιῶν.
52 Ἐπισκεπτέον δὲ μετὰ πάσης ἀκριβείας τῶν λογίων ἕκαστον μηδὲν
πάρεργον αὐτῶν ποιουμένους. ἀρχὴ δ' ἀρίστη πάντων μὲν τῶν ὄντων
θεός, ἀρετῶν δ' εὐσέβεια· περὶ ὧν ἀναγκαιότατον πρῶτον διεξελθεῖν.
πλάνος τις οὐ μικρὸς τὸ πλεῖστον τῶν ἀνθρώπων γένος κατέσχηκε
περὶ πράγματος, ὅπερ ἢ μόνον ἢ μάλιστα ἦν εἰκὸς ἀπλανέστατον ταῖς
53 ἑκάστων διανοίαις ἐνιδρῦσθαι. ἐκτεθειώκασι γὰρ οἱ μὲν τὰς τέσσαρας

---

1 ἦν ἀναγκαῖον transp. H (v), ἦν om. M ταῦτά ἐστιν M 2 δὲ M: δ' ceteri 4 ἐχάραξε H (Turn.) προτέρα] ἑτέρα M, om. Arm ἡ δ' ἑτέρα] ἡ δὲ δευτέρα H (v) 5 δευτερείων] τῶν ἡσσόνων H (v) καλαὶ] καλεῖς M δὲ AP 6 ἑνὶ] ἐν M ἀνατέλλουσαι H (Turn.), ἀναγγέλλουσαι M Arm 7 ἐφιεμένου M αἰεὶ GH 9 χειροτμήτων M, χειροδμήτων F 10 ἐπὶ] ἐν AP θεοῦ πρόσρησιν M Arm: πρόσρησιν θεοῦ ceteri (v) 11 pr. καὶ om. M ἰδίας M 12 κοινῇ (ῆς) M τῆς] τῆς μὲν H (Turn.) γραφῆς] πεντάδος coni. Mang. μὲν om. H (Turn.) 14 πεντὰς τὰς om. M 15 post περιέχει add. τούτων M (Mang.) μοιχείας M: μοιχειῶν ceteri (Turn.) 18 ποιουμένους corr. ex ποιούμενος H δ' om. Arm μὲν om. Turn. 19 δὲ APD$^{R}$ ὧν] ἧς Arm 20 πλεῖστον] πρῶτον D 21 περὶ — ἐνιδρῦσθαι (22) om. D ἢ μόνον ἢ] ἡ μόνη M 22 ἐνιδρύεσθαι AP, ἐνιδρύσασθαι M ἐκτεθείκασι M, ἐκτεθεάκασι D$^{R}$, ἐντεθεάκασι D$^{P}$ τὰς om. D

---

18. 19 D$^{R}$ fol. 234$^{r}$ τοῦ αὐτοῦ: ἀρχὴ ἀρίστη πάντων μὲν θεός, ἀρετῶν δὲ εὐσέβεια.
20 — 281,6 D$^{P}$ fol. 266$^{v}$ D$^{R}$ fol. 230$^{r}$ Φίλωνος ἐκ τοῦ εἰς τὸν δεκάλογον: πλάνος τις — παρεκαλύψαντο.

ἀρχάς, γῆν καὶ ὕδωρ καὶ ἀέρα καὶ πῦρ, οἱ δ' ἥλιον καὶ σελήνην καὶ
τοὺς ἄλλους πλανήτας καὶ ἀπλανεῖς ἀστέρας, οἱ δὲ μόνον τὸν οὐρανόν,
οἱ δὲ τὸν σύμπαντα κόσμον· τὸν δ' ἀνωτάτω καὶ πρεσβύτατον, τὸν
γεννητήν, τὸν ἄρχοντα τῆς μεγαλοπόλεως, τὸν στρατάρχην τῆς ἀηττήτου
στρατιᾶς, τὸν κυβερνήτην, ὃς οἰκονομεῖ σωτηρίως ἀεὶ τὰ σύμπαντα,
παρεκαλύψαντο ψευδωνύμους προσρήσεις ἐκείνοις ἐπιφημίσαντες ἑτέρας
ἕτεροι. καλοῦσι γὰρ οἱ μὲν τὴν γῆν Κόρην, Δήμητραν, Πλούτωνα, τὴν 54
δὲ θάλατταν Ποσειδῶνα, δαίμονας ἐναλίους ὑπάρχους αὐτῷ προσανα-
πλάττοντες καὶ θεραπείας ὁμίλους μεγάλους ἀρρένων τε καὶ θηλειῶν,
Ἥραν δὲ τὸν ἀέρα καὶ τὸ πῦρ Ἥφαιστον καὶ ἥλιον Ἀπόλλωνα καὶ σελήνην
Ἄρτεμιν καὶ ἑωσφόρον Ἀφροδίτην καὶ στίλβοντα Ἑρμῆν· καὶ τῶν ἄλλων 55
ἀστέρων ἑκάστου τὰς ἐπωνυμίας μυθογράφοι παρέδοσαν, οἳ πρὸς ἀπάτην
ἀκοῆς εὖ τετεχνασμένα πλάσματα συνυφήναντες ἔδοξαν περὶ τὴν τῶν
ὀνομάτων θέσιν κεκομψεῦσθαι· τόν τε οὐρανὸν εἰς ἡμισφαίρια τῷ λόγῳ 56
διχῇ διανείμαντες, τὸ μὲν ὑπὲρ γῆς, τὸ δ' ὑπὸ γῆς, Διοσκόρους ἐκά-
λεσαν τὸ περὶ τῆς ἑτερημέρου ζωῆς αὐτῶν προστερατευσάμενοι διήγημα.
τοῦ γὰρ οὐρανοῦ συνεχῶς καὶ ἀπαύστως ἀεὶ κύκλῳ περιπολοῦντος, 57
ἀνάγκη τῶν ἡμισφαιρίων ἑκάτερον ἀντιμεθίστασθαι παρ' ἡμέραν ἄνω
τε καὶ κάτω γινόμενον ὅσα τῷ δοκεῖν· ἄνω γὰρ καὶ κάτω πρὸς ἀλή-
p. 190 M. θειαν οὐδὲν ἐν σφαίρᾳ, πρὸς δὲ τὴν ἡμετέραν | σχέσιν αὐτὸ μόνον
εἴωθε λέγεσθαι τὸ μὲν ὑπὲρ κεφαλῆς ἄνω, κάτω δὲ τοὐναντίον. τῷ 58
δὴ φιλοσοφεῖν ἀνόθως ἐγνωκότι καὶ ἀδόλου καὶ καθαρᾶς εὐσεβείας

---

1 γῆν om. D[R] δὲ D 2 ἄλλους om. D οἱ δὲ μόνον τὸν οὐρανόν om. Richt. 3 primum τὸν om. M σύμπαντα τὸν κόσμον D[P] τὸ δ' M δὲ D ἀνώτατον M 3. 4 τὸν γεννητήν] τὸν γενέτην F, τὸν ἀγένητον M (Mang.), καὶ γεννητήν D[P], καὶ ἀγέννητον D[R] 4 μεγαλοπόλεως MD Arm: μεγάλης πόλεως ceteri (Turn.) στρατάρχην M: στρατιάρχην ceteri (Turn.) ἀηττήτου] ἀνωτάτω D 5 οἰακονομεῖ coni. Mang. σωτηριωδῶς D αἰεὶ FGH 7 οἱ μὲν post τὴν γῆν transp. H, om. L (Turn.) δήμητραν codd.: Δήμητρα v 8 θάλασσαν APH 9 post θεραπείας add. αὐτοῦ Arm μεγάλων F 12 τὰς ἐπωνυμίας ἑκάστου transp. M μυθογράφοι Christophorson (Mang.): μυθογράφους M, μυθογράφοις ceteri, τοῖς μυθογράφοις Arm 13 τετεχνιτευμένα M (Mang.) συνυφάναντες FG, συνυφαίνοντες H (Turn.) 14 τόν τε] τὸν ὄντα τὶ A ἡμισφαίρια MG Arm: ἡμισφαίριον ceteri (v) τῷ λόγῳ om. M Arm (fort. recte) 15 διχῇ] δύο Arm δὲ M ὑπὸ γῆν AP διοσκούρους A 15. 16 ἐκάλεσαν τὸ codd.: ἐκαλέσαντο Turn. 16 ἑτερημερίας (om. ζωῆς) AP, ζωῆς ss. P[2] 19 γινόμενον — κάτω om. M γινόμενον APF: γινομένων GH (v); κινούμενον coni. Mang. alt. καὶ] ἢ Arm 20 σφαίρα M Arm: σφαίραις ceteri (v) 21 τῷ] τὸ M 22 ἀνοθεύτως M

μεταποιουμένῳ κάλλιστον καὶ ὁσιώτατον ὑφηγεῖται παράγγελμα, μηδὲν τῶν
τοῦ κόσμου μερῶν αὐτοκρατῆ θεὸν ὑπολαμβάνειν εἶναι· καὶ γὰρ γέγονε,
γένεσις δὲ φθορᾶς ἀρχή, κἂν προνοίᾳ τοῦ πεποιηκότος ἀθανατίζηται,
καὶ ἦν ποτε χρόνος, ὅτε οὐκ ἦν· θεὸν δὲ πρότερον οὐκ ὄντα καὶ ἀπό
59 τινος χρόνου γενόμενον καὶ μὴ διαιωνίζοντα λέγειν οὐ θεμιτόν. (13.) ἀλλὰ
γὰρ ἔνιοι περὶ τὰς κρίσεις ἀπονοίᾳ τοσαύτῃ κέχρηνται, ὡς οὐ μόνον τὰ
εἰρημένα θεοὺς νομίζειν, ἀλλὰ καὶ ἕκαστον αὐτῶν μέγιστον καὶ πρῶτον
θεόν, τὸν ὄντα ὄντως ἢ οὐκ εἰδότες ἀδιδάκτῳ τῇ φύσει ἢ οὐ σπουδάζοντες μαθεῖν, ἕνεκα τοῦ μηδὲν ἔξω τῶν αἰσθητῶν ἀόρατον καὶ νοητὸν
αἴτιον ὑπολαμβάνειν εἶναι, καίτοι σαφεστάτης ἐγγὺς παρακειμένης
60 πίστεως. ψυχῇ γὰρ ζῶντες καὶ βουλευόμενοι καὶ πάνθ' ὅσα κατὰ τὸν
ἀνθρώπινον βίον δρῶντες οὐδέποτε ψυχὴν ὀφθαλμοῖς σώματος ἴσχυσαν
θεάσασθαι, καίτοι φιλοτιμηθέντες ἂν πάσας φιλοτιμίας, εἴ πως ἰδεῖν
οἷόν τε ἦν τὸ ἄγαλμα τὸ πάντων ἱεροπρεπέστατον, ἀφ' οὗ κατὰ μετάβασιν εἰκὸς ἦν ἔννοιαν τοῦ ἀγενήτου καὶ ἀιδίου λαβεῖν, ὃς ἅπαντα τὸν
61 κόσμον ἡνιοχῶν σωτηρίως ἀόρατος ὢν κατευθύνει. καθάπερ οὖν τοῦ
μεγάλου βασιλέως τὰς τιμὰς εἴ τις τοῖς ὑπάρχοις σατράπαις ἀπένειμεν,
ἔδοξεν ἂν οὐκ ἀγνωμονέστατος μόνον ἀλλὰ καὶ ῥιψοκινδυνότατος εἶναι
χαριζόμενος τὰ δεσπότου δούλοις, τὸν αὐτὸν τρόπον [ἂν] τοῖς αὐτοῖς εἴ
τις γεραίρει τὸν πεποιηκότα τοῖς γεγονόσιν, ἴστω πάντων ἀβουλότατος
ὢν καὶ ἀδικώτατος, ἴσα διδοὺς ἀνίσοις οὐκ ἐπὶ τιμῇ τῶν ταπεινοτέρων
62 ἀλλ' ἐπὶ 'καθαιρέσει τοῦ χρείττονος. εἰσὶ δ' οἳ καὶ προσυπερβάλλουσιν
ἀσεβείᾳ μηδὲ τὸ ἴσον ἀποδιδόντες, ἀλλὰ τοῖς μὲν τὰ πάντα τῶν ἐπὶ

---

1 ἀντιποιουμένω F 2 αὐτοκρατῆ θεὸν M Arm: αὐτοκρατὲς ceteri (Turn.) 3 κἂν APFH: καὶ MG ἀθανατίζονται G; ἀπαθανατίζηται Mang. 4 post πρότερον add. μὲν HP² (v) 5 γινόμενον M 6 ἀπονοίᾳ] ἀνοίᾳ coni. Mang. ὡς] ὥστε M (Mang.) μόνα M 7 προειρημένα M νομίζουσιν M 8 θεόν et τὸν om. M ὄντα ὄντως (β α) H, ὄντως om. M ἢ om. Arm ἀδιδάκτω τῇ φύσει M Arm: ἀδιδακτωτάτη φύσει F, ἀδιδακτοτάτη φύσει GH (Turn.), ἀδιδακτοτάτω φύσει AP 10 αἴτιον] ἕτερον M 11 post ζῶντες add. ἄνθρωποι Arm βουλόμενοι coni. Mang. 13 πάσαις φιλοτιμίαις Richt. 14 τὸ ἄγαλμα τὸ πάντων (om. Arm) ἱεροπρεπέστατον M Arm: ἀγαλμάτων ἱεροπρεπέστατον ceteri (Turn.) 14. 15 μετανάβασιν coni. Mang. 15 ἀγεννήτου MFH ὃς] ὡς M 17 ὑπάρχοις σατράπαις MF: ὑπάρχοις καὶ σατράπαις ceteri (v) 18 εἶναι ante μόνον add. H (Turn.), post μόνον M ῥιψοκινδυνώτατος AP εἶναι h. l. om. H (Turn.) 19 ἂν seclusi 19. 20 εἴ τις M: om. ceteri (v) 20 γεραίρει MAP: γεραίρῃ ex γεραίρει corr. H, γεραίρῃ FG (v) ἀβουλώτατος H 20. 21 ἀδικώτατος ὢν καὶ ἀβουλότατος transp. F 22 καὶ om. Arm 23 μηδὲ MA Arm: μηδὲν ceteri (Turn.) τὸ ἴσον ἀποδιδόντες M: τῶν ἴσων μεταδιδόντες ceteri (Turn.); τὸ ἴσον διδόντες Mang. πάντα τῶν] πάντων G

τιμῇ χαριζόμενοι, τῷ δ' οὐδὲν νέμοντες ἀλλ' οὐδὲ μνήμην, τὸ κοινό-
p. 191 M. τατον· ἐπιλήθονται γὰρ οὐ μόνον μεμνῆσθαι προσῆκον ἦν, | ἐπι-
τηδεύοντες οἱ βαρυδαίμονες ἑκούσιον λήθην. ἔνιοι δὲ καὶ στομάργῳ 63
κατεχόμενοι λύττῃ τὰ δείγματα τῆς ἐνιδρυμένης ἀσεβείας εἰς μέσον
προφέροντες βλασφημεῖν ἐπιχειροῦσι τὸ θεῖον, ἀκονησάμενοι κακήγορον
γλῶτταν, ἅμα καὶ λυπεῖν ἐθέλοντες τοὺς εὐσεβοῦντας, οἷς ἄλεκτον καὶ
ἀπαρηγόρητον εὐθὺς εἰσδύεται πένθος τὴν ὅλην πυρπολοῦν ψυχὴν δι'
ὤτων· ἡ γὰρ τῶν ἀνοσίων ἑλέπολις τοῦτ' ἐστίν, ᾧ μόνῳ τοὺς φιλο-
θέους ἐπιστομίζουσι νομίζοντας ὑπὲρ τοῦ μὴ παροξύνειν ἐν τῷ παρόντι
κάλλιστον ἡσυχίαν. (14.) πᾶσαν οὖν τὴν τοιαύτην τερθρείαν ἀπω- 64
σάμενοι τοὺς ἀδελφοὺς φύσει μὴ προσκυνῶμεν, εἰ καὶ καθαρωτέρας καὶ
ἀθανατωτέρας οὐσίας ἔλαχον — ἀδελφὰ δ' ἀλλήλων τὰ γενόμενα καθὸ
γέγονεν, ἐπεὶ καὶ πατὴρ ἁπάντων εἷς ὁ ποιητὴς τῶν ὅλων ἐστίν —,
ἀλλὰ καὶ διανοίᾳ καὶ λόγῳ καὶ πάσῃ δυνάμει τῇ τοῦ ἀγενήτου καὶ
ἀιδίου καὶ τῶν ὅλων αἰτίου θεραπείᾳ σφόδρα εὐτόνως καὶ ἐρρωμένως
ἐπαποδυώμεθα, μὴ ὑποκατακλινόμενοι μηδ' ὑπείκοντες ταῖς τῶν πολλῶν
ἀρεσκείαις, ὑφ' ὧν καὶ οἱ δυνάμενοι σῴζεσθαι διαφθείρονται.

Πρῶτον μὲν οὖν παράγγελμα καὶ παραγγελμάτων ἱερώτατον στηλι- 65
τεύσωμεν ἐν ἑαυτοῖς, ἕνα τὸν ἀνωτάτω νομίζειν τε καὶ τιμᾶν θεόν·
δόξα δ' ἡ πολύθεος μηδ' ὤτων ψαυέτω καθαρῶς καὶ ἀδόλως ἀνδρὸς
εἰωθότος ζητεῖν ἀλήθειαν. ἀλλ' ὅσοι μὲν ἡλίου καὶ σελήνης καὶ τοῦ 66

---

1 δὲ AP νέμοντες] μεταδιδόντες M μνήμην G Arm: μνήμης ceteri (v) 1. 2 καινότατον coni. Mang. post κοινότατον add. ἀξιοῦνται Turn., μεταδιδόντες Mang. 2 ἐπιλάθονται F[1], in ἐπελάθοντο corr. F[2] οὐ μόνον MAPH[2]: οὐ μόνον οὐ FGH[1] μεμνῆσθαι προσῆκον ἦν MF Arm: προσῆκον ἦν μεμνῆσθαι ceteri (v) 3 ἔνιοι] ἕτεροι M (Mang.) δὲ om. M στομάργῳ] στόματι ἀργῷ M, om. Arm 4 ἀσεβείας M Arm: ἀδικίας ceteri (Turn.) 5 κακήγορον Mang. (sic Arm): κατήγορον codd. 6 ἅμα] ἀλλὰ F ἄληκτον M 8 ἡ γὰρ M: ἥτις ceteri ἐλέπολις FH τουτέστιν MGH, τουτέστι AP, om. F ᾧ μόνῳ M Arm: μόνον ᾧ APG, οἱ μόνον ᾧ H, οἳ μόνῳ νῷ F 9 ἐπιστομίζουσι M: ἐπιστοματίζουσι APFG (ἐ ϊ supra), ἀποστοματίζουσι H 10 ἡσυχίαν M: τὴν ἡσυχίαν ceteri (v) 12 δ' om. M καθὸ] πρὸς ὃ M 13 πάντων M εἷς M Arm: om. ceteri 14 ἀγεννήτου F 15 pr. καὶ] καὶ τοῦ M (Mang.) θεραπείᾳ om. Arm σφόδρ' GH 16 ἐπαποδυώμεθα G, ω ex ο corr. H: ἐπαποδυόμεθα APF, ἐπαποδυσόμεθα M ὑποκλινόμενοι AP μηδ'] μὴ AP 17 ὑφ'] ἀφ' H (Turn) 18 μὲν MG: om. ceteri; μὲν οὖν om. Turn. καὶ παραγγελμάτων] καὶ παραδειγμάτων AP, om. M ἱερώτατον] τῶν ἱερωτάτων M 19 ἐν om. M ἑαυτοῖς MG: αὑτοῖς H, αὐτοῖς APF τὸν] τῶν AP ἀνώτατον F 20 καθαρῶς καὶ ἀδόλως ἀνδρὸς codd.: ἀνδρὸς καθαρῶς καὶ ἀδόλως Mang. 21 ὅσοι] οἱ M

σύμπαντος οὐρανοῦ τε καὶ κόσμου καὶ τῶν ἐν αὐτοῖς ὁλοσχερεστάτων
μερῶν ὡς θεῶν πρόπολοί τε καὶ θεραπευταί, διαμαρτάνουσι μὲν —
πῶς γὰρ οὔ; — τοὺς ὑπηκόους πρὸ τοῦ ἄρχοντος ἀποσεμνύνοντες,
ἧττον δὲ τῶν ἄλλων ἀδικοῦσι τῶν ξύλα καὶ λίθους ἄργυρόν τε καὶ
χρυσὸν καὶ τὰς παραπλησίους ὕλας μορφωσάντων ὡς φίλον ἑκάστοις,
εἶτ' ἀγαλμάτων καὶ ξοάνων καὶ τῶν ἄλλων χειροκμήτων, ὧν πλαστικὴ
καὶ ζωγραφία δημιουργοὶ μεγάλα ἔβλαψαν τὸν βίον τὸν ἀνθρώπινον,
67 καταπλησάντων τὴν οἰκουμένην. τὸ γὰρ κάλλιστον ἔρεισμα τῆς | ψυχῆς p. 192 M.
ἐξέκοψαν, τὴν περὶ τοῦ ζῶντος ἀεὶ θεοῦ προσήκουσαν ὑπόληψιν, ὥσπερ
τε ἀνερμάτιστα σκάφη σαλεύουσιν ὧδε κἀκεῖσε διαφερόμενοι τὸν αἰῶνα,
μηδέποτ' εἰς λιμένα καταῖραι μηδ' ἐνορμίσασθαι βεβαίως ἀληθείᾳ δυνάμενοι,
τυφλώττοντες περὶ τὸ θέας ἄξιον, πρὸς ὃ μόνον ὀξυδορκεῖν
68 ἀναγκαῖον ἦν. καί μοι δοκοῦσι τῶν τὰς τοῦ σώματος ὄψεις πεπηρωμένων
ἀθλιώτερον ζῆν· ἐκεῖνοι μὲν γὰρ ἀκουσίως ἐβλάβησαν ἢ νόσον
ὀφθαλμῶν χαλεπὴν ὑποστάντες ἢ πρὸς ἐχθρῶν ἐπιβουλευθέντες, οἱ δ'
ἑκουσίῳ γνώμῃ τὸ τῆς ψυχῆς ὄμμα οὐχ ἠμαύρωσαν μόνον ἀλλὰ καὶ
69 παντελῶς ἀποβαλεῖν ἠξίωσαν. ὅθεν τοῖς μὲν ἔλεος ὡς ἠτυχηκόσι, τοῖς
δὲ κόλασις ὡς μοχθηροῖς ἕπεται δικαίως, οἳ μετὰ τῶν ἄλλων οὐδὲ τὸ
προχειρότατον ἐνενόησαν, ὃ καὶ παῖς „ἔγνω νήπιος“, ὅτι τοῦ τεχνιτευθέντος
ὁ τεχνίτης ἀμείνων, καὶ χρόνῳ — πρεσβύτερος γὰρ καὶ τρόπον
τινὰ τοῦ δημιουργηθέντος πατήρ — καὶ δυνάμει· τὸ γὰρ δρῶν τοῦ
70 πάσχοντος ἐπικυδέστερον. καὶ δέον, εἴπερ ἄρα ἐξημάρτανον, τοὺς
ζωγράφους αὐτοὺς καὶ ἀνδριαντοποιοὺς ὑπερβολαῖς τιμῶν ἐκτεθειωκέναι,
τοὺς μὲν εἴασαν ἀφανεῖς οὐδὲν πλέον παρασχόντες, τὰ δ' ὑπ' ἐκείνων
71 δημιουργηθέντα πλάσματα καὶ ζωγραφήματα θεοὺς ἐνόμισαν. καὶ οἱ

1 τε καὶ κόσμου om. Richt. 2 πρόσπολοι F$^{2}$H 3 πρὸ om. Turn. ἄρχοντος] ἄρχεται F$^{1}$ σεμνύνοντες H (Turn.) 5 φίλων F 6 εἶτ'] ἦτ' F χειροτμήτων M 6. 7 πλαστικῆς καὶ ζωγραφίας M 7 ζωγραφικὴ Arm δημιουργοὶ M: δημιουργία Arm, καὶ δημιουργία ceteri; κακαὶ δημιουργοὶ coni. Mang. ἔβλαψαν M: ἔβλαψε ceteri τὸν βίον τὸν ἀνθρώπινον APFG: τὸν ἀνθρώπινον βίον H (Turn.), τὸν βίον τῶν ἀνθρώπων M 8 καταπλήσαντες M 10 τε FGH: δ' M, τὰ AP, om. Arm σαλεύουσιν ὧδε κἀκεῖσε M: ὧδε κἀκεῖσε σαλεύουσι ceteri (v) 11 τὸν λιμένα AP μηδὲ καθορμίσασθαι M 12 ὀξυδερκεῖν APF, ε in ο corr. H 13 τῶν om. M τοῦ om. APF 13. 14 πεπηρωμένον A 15 δὲ M 18 οἳ] οἱ δὲ M 19 καὶ MGH: κἂν APF Arm (Mang.) 22 ἄρα MA, ἄρ' PFGH: om. v 23 ζωγράφους] γραφεῖς M ἐκτεθειακέναι M 25 alt. καὶ] καὶ γὰρ Arm

19 Hom. Il. P 32. Hesiodi Op. 218.

μὲν τεχνῖται πολλάκις ἄποροι καὶ ἄδοξοι κατεγήρασαν ἀτυχίαις ἐπαλλήλοις
ἐναποθανόντες, τὰ δὲ τεχνιτευθέντα πορφύρᾳ καὶ χρυσῷ καὶ ταῖς ἄλλαις
πολυτελείαις, ἃς πλοῦτος χορηγεῖ, σεμνοποιεῖται καὶ θεραπεύεται, οὐ πρὸς
ἐλευθέρων μόνον ἀλλὰ καὶ εὐπατριδῶν καὶ τὸ σῶμα καλλίστων· ἱερέων
γὰρ καὶ τὸ γένος ἐξετάζεται μετὰ πάσης ἀκριβείας, εἰ ἀνεπίληπτον, καὶ
ἡ κοινωνία τῶν τοῦ σώματος μερῶν, εἰ σύμπασα ὁλόκληρος. καὶ οὔπω 72
τοῦτο δεινόν, καίτοι δεινὸν ὄν, ἀλλ' ἐκεῖνο παγχάλεπον· ἤδη γάρ τινας
οἶδα τῶν πεποιηκότων τοῖς πρὸς ἑαυτῶν γεγονόσιν εὐχομένους τε καὶ
θύοντας, οἷς πολὺ βέλτιον ἦν ἑκατέραν τῶν χειρῶν προσκυνεῖν, εἰ δὲ μὴ
βούλοιντο δόξαν φιλαυτίας ἐκτρεπόμενοι, σφύρας γοῦν καὶ ἄκμονας καὶ
γραφίδας καὶ καρκίνους καὶ τὰ ἄλλα ἐργαλεῖα, δι' ὧν ἐμορφώθησαν αἱ
p. 193 M. ὗλαι. (15.) | καίτοι πρὸς τοὺς οὕτως ἀπονοηθέντας ἄξιον παρρησιασα- 73
μένους εἰπεῖν· εὐχῶν ἀρίστην εἶναι συμβέβηκεν, ὦ γενναῖοι, καὶ τέλος
εὐδαιμονίας τὴν πρὸς θεὸν ἐξομοίωσιν. εὔχεσθε οὖν καὶ ὑμεῖς ἐξομοιω- 74
θῆναι τοῖς ἀφιδρύμασιν, ἵνα τὴν ἀνωτάτω καρπώσησθε εὐδαιμονίαν,
ὀφθαλμοῖς μὴ βλέποντες, ὠσὶ μὴ ἀκούοντες, μυκτῆρσι μήτε ἀναπνέοντες
μήτε ὀσφραινόμενοι, στόματι μὴ φωνοῦντες μηδὲ γευόμενοι, χερσὶ μήτε
λαμβάνοντες μήτε διδόντες μήτε δρῶντες, ποσὶ μὴ βαδίζοντες, μηδ'
ἄλλῳ τινὶ τῶν μερῶν ἐνεργοῦντες, ἀλλ' ὥσπερ ἐν εἱρκτῇ τῷ ἱερῷ
φρουρούμενοι καὶ φυλαττόμενοι, μεθ' ἡμέραν τε καὶ νύκτωρ τὸν ἀπὸ
τῶν θυομένων ἀεὶ καπνὸν σπῶντες· ἓν γὰρ μόνον τοῦτ' ἀγαθὸν
προσαναπλάττετε τοῖς ἀφιδρύμασιν. ἀλλ' ἔγωγε νομίζω ταῦτα ἀκούοντας 75
οὐχ ὡς ἐπ' εὐχαῖς ἀλλ' ὡς ἐπὶ κατάραις ἀγανακτήσειν καὶ τρέψεσθαι

---

1 ἄδοξοι καὶ ἄποροι transp. M  κατεγήρασαν F², κατερράγησαν F¹  3 καὶ θεραπεύεται M: θεραπεύεταί τε ceteri (v)  4 ἱερέων codd.: ἱερέως Turn.  5 καὶ M Arm: om. ceteri (Turn.)  ἀκριβείας] εὐσεβείας M  εἰ] εἰς G  6 σώματος] σύμπαντος A  7 χαλεπόν M  8 ἑαυτῶν M: αὐτῶν AFGH (v), αὐτὸν P  9 ἑκατέρας AP  10 βούλοιντο] ἐβούλοντο M (Mang.)  οὖν M  ἄκμωνας M  11 τἆλλα FG, τάλλα H  12 τοὺς MAP: τούτους FGH (Turn.)  13 εὐχῶν] ἀρχῶν G, γρ. καὶ εὐχῶν mg. G  14 οὖν om. M Arm  καὶ om. H (Turn.)  16 μήτε ἀναπνέοντες M: μὴ ἀναπνέοντες ceteri (Turn.)  17 στόματι — γευόμενοι om. M  17. 18 μὴ λαμβάνοντες M  18 μήτε δρῶντες om Arm  μηδ'] μήτ' M  19 μερῶν] μελῶν coni. Mang.  τῷ om. G  20 τὸν] τῶν APG  21 ἀεὶ MH: αἰεὶ APFG
β′ α′
καπνῶν AP; τοῦ ... καπνοῦ coni. Mang.  σπῶντες καπνῶν A  μόνον τοῦτ' ἀγαθὸν M: τοῦτο ἀγαθὸν μόνον ceteri  22 προσαναπλάττετε APG: προσαναπλάττεται MFH Arm (v)  ταῦτ' AP  23 ἀγανακτήσει M  τρέψεσθαι Turn. (v): τρέψασθαι codd.

πρὸς λοιδορίας ἄμυναν ἀντικατηγοροῦντας· ὃ μέγιστον ἂν εἴη τεκμήριον
τῆς ἐπιπολαζούσης ἀσεβείας ἀνθρώπων θεοὺς νομιζόντων, οἷς ὅμοιοί
76 ποτε τὰς φύσεις ἀπεύξαιντ' ἂν γενέσθαι. (16.) μηδεὶς οὖν τῶν ἐχόντων
ψυχὴν ἀψύχῳ τινὶ προσκυνείτω· πάνυ γὰρ τῶν ἀτόπων ἐστὶ τὰ φύσεως
ἔργα πρὸς θεραπείαν τετράφθαι τῶν χειροκμήτων. Αἰγυπτίοις δ' οὐ
μόνον τὸ κοινὸν ἔγκλημα χώρας ἁπάσης, ἀλλὰ καὶ ἕτερον ἐξαίρετον
ἐπάγεται δεόντως· πρὸς γὰρ ξοάνοις καὶ ἀγάλμασιν ἔτι καὶ ζῷα ἄλογα
παραγηόχασιν εἰς θεῶν τιμάς, ταύρους καὶ κριοὺς καὶ τράγους, ἐφ'
77 ἑκάστῳ μυθικόν τι πλάσμα τετερατευμένοι. καὶ ταῦτα μὲν ἴσως ἔχει
τινὰ λόγον, ἡμερώτατα γὰρ καὶ ὠφελιμώτατα τῷ βίῳ· ἀροτὴρ ὁ βοῦς
αὔλακας ἀνατέμνει καιρῷ σπορᾶς, ἀλοῆσαι πάλιν, ὅταν δέῃ τὸν καρπὸν
καθαίρεσθαι, δυνατώτατος· ὁ κριὸς τὸ κάλλιστον τῶν σκεπασμάτων,
ἐσθῆτα, παρέχει· γυμνὰ γὰρ ἂν τὰ σώματα διεφθείρετο ῥᾳδίως, ἢ διὰ
θάλπος ἢ διὰ κρύος ἄμετρον, τοτὲ μὲν τῷ ἀφ' ἡλίου φλογμῷ, τοτὲ δὲ
78 τῇ ἀπ' ἀέρος περιψύξει. νυνὶ δὲ προσυπερβάλλοντες καὶ τῶν ἀνημέρων
τὰ ἀγριώτατα καὶ ἀτιθασώτατα, λέοντας καὶ κροκοδείλους καὶ ἑρπετῶν τὴν
ἰοβόλον ἀσπίδα, γεραίρουσιν ἱεροῖς καὶ τεμένεσι θυσίαις τε καὶ πανηγύρεσι
καὶ πομπαῖς καὶ τοῖς παραπλησίοις· ἀφ' ἑκατέρου γὰρ τῶν εἰς χρῆσιν
δοθέντων | ἀνθρώποις ὑπὸ θεοῦ, γῆς καὶ ὕδατος, διερευνησάμενοι τὰ p. 194 M.
ἀγριώτατα οὔτε ⟨τῶν⟩ χερσαίων λέοντος θηριωδέστερον ἀνεῦρον οὔτε
79 κροκοδείλου τῶν ἐνύδρων ἀγριώτερον, ἃ σέβουσι καὶ τιμῶσι. πολλὰ
μέντοι καὶ ἄλλα ζῷα, κύνας, αἰλούρους, λύκους, καὶ πτηνὰ ἴβιδας καὶ
ἱέρακας, καὶ πάλιν ἰχθύων ἢ ὅλα τὰ σώματα ἢ μέρη τούτων ἐκτεθειώκασιν·

---

1 ἀντικατηγοροῦντες FH[1], ἀντὶ κατηγορίας M; ἀντικακηγοροῦντας coni. Mang. 2 ἀνθρώπους M 2. 3 ὅμοιοί ποτε M: ποτε post ἂν (3) transp. FGH mg. P[2], om. AP 3 ἀπεύξαιντο M, ἀπεύξαιτ' H 4 τινὶ] ποτὲ M φύσεως] τῆς φύσεως H (v) 5 χειροτμήτων M Αἰγυπτίοις scripsi: αἰγυπτίων M Arm, αἰγύπτῳ ceteri (v) δ' om. Arm 9 τι M Arm: om. ceteri τερατευσάμενοι M 10 τῷ βίῳ M: βίῳ ceteri (v) post ἀροτὴρ add. γὰρ Arm 11 ἀνατέμνειν APF καιρῷ σπορᾶς M Arm: καὶ τὰς σπορὰς ceteri; εἰς τὰς σποράς v ἀλοῆσαι GH 12 δυνατώτερος M τῶν σκεπασμάτων τὸ κάλλιστον transp. H (v) 13 διεφθείροντο M 14 δὲ M: δ' ceteri 15 τῇ ἀπ' ἀέρος περιψύξει M Arm: ἀ. ἀ. περιψυχθέντα AP, ἀ. ἀ. περιψυχθέντος G (Turn.), ἀ. ἀ. περιψυχθέν H, ἀ. ἀ. περιχυθέν F καὶ προσυπερβάλλοντες transp. H (v) ἀνημέρων] ἀλόγων M (Mang.)

ο
16 ἀγριώτερα M ἀτιθασώτατα GH: ἀτιθασώτερα M, ἀτιθασσότατα APF κροκοδήλους M 17 ἰοβόλων F[1] ἱερεῖς P θυσίαις τε] καὶ θυσίαις M 18 ἑκατέρων M 20 ἀγριώτερα MH (Turn.) τῶν addidi χερσαίων F[1], χερσαῖον H (Turn.) 22 καὶ πτηνὰ M Arm: καὶ om. ceteri (v) 23 μέρος AP ἐκτεθειάκασιν M

ὧν τί ἂν γένοιτο καταγελαστότερον; καὶ δὴ τῶν ξένων οἱ πρῶτον 80
εἰς Αἴγυπτον ἀφικόμενοι, πρὶν τὸν ἐγχώριον τῦφον εἰσοικίσασθαι ταῖς
διανοίαις, ἐκθνήσκουσι χλευάζοντες· ὅσοι δὲ παιδείας ὀρθῆς ἐγεύσαντο,
τὴν ἐπ' ἀσέμνοις πράγμασι σεμνοποιίαν καταπλαγέντες οἰκτίζονται τοὺς
χρωμένους, ἀθλιωτέρους, ὅπερ εἰκός, ὑπολαμβάνοντες εἶναι τῶν τιμωμένων, μεταβεβληκότας εἰς ἐκεῖνα τὰς ψυχάς, ὡς ἀνθρωποειδῆ θηρία
περινοστεῖν δοκεῖν. ἀνελὼν οὖν ἐκ τῆς ἱερᾶς νομοθεσίας πᾶσαν τὴν 81
τοιαύτην ἐκθέωσιν ἐπὶ τὴν τοῦ πρὸς ἀλήθειαν ὄντος θεοῦ τιμὴν ἐκάλεσεν, ἑαυτοῦ τιμῆς οὐ προσδεόμενος — οὐ γὰρ ἑτέρου χρεῖος ἦν ὁ αὐταρκέστατος ἑαυτῷ —, βουλόμενος δὲ τὸ γένος τῶν ἀνθρώπων ἀνοδίαις πλαζόμενον εἰς ἀπλανεστάτην ἄγειν ὁδόν, ἵν' ἑπόμενον τῇ φύσει τὸ ἄριστον εὕρηται τέλος, ἐπιστήμην τοῦ ὄντως ὄντος, ὅς ἐστι τὸ πρῶτον ἀγαθὸν καὶ τελεώτατον, ἀφ' οὗ τρόπον πηγῆς ἄρδεται τῷ κόσμῳ καὶ τοῖς ἐν αὐτῷ τὰ ἐπὶ μέρους ἀγαθά.

(17.) Διειλεγμένοι καὶ περὶ τῆς δευτέρας παραινέσεως ὅσα οἷόν 82
τε ἦν, τὴν ἑπομένην κατὰ τὸ ἑξῆς ἀκριβώσωμεν· ἔστι δὲ μὴ λαμβάνειν ὄνομα θεοῦ ἐπὶ ματαίῳ (Exod. 20, 7). τὰ μὲν οὖν τῆς τάξεως γνώριμα τοῖς τὴν διάνοιαν ὀξυδορκοῦσιν· ὄνομα γὰρ ἀεὶ δεύτερον ὑποκειμένου
πράγματος, σκιᾷ παραπλήσιον, ἣ παρέπεται σώματι. προειπὼν οὖν 83
περὶ τῆς ὑπάρξεως καὶ τιμῆς τοῦ ἀεὶ ὑπάρχοντος, ἑπομένως τῷ τῆς ἀκολουθίας εἱρμῷ τὰ πρέποντα καὶ περὶ τῆς κλήσεως εὐθὺς παρήγγειλε· πολύτροποι γὰρ καὶ πολυειδεῖς αἱ περὶ τοῦτο τὸ μέρος τῶν ἀνθρώπων

---

1 καταγελαστότερον] θηριωδέστερον M    δὴ om. Arm    2 τῦφον] τύπον M, Τυφῶνα Arm    2. 3 εἰσοικίσασθαι ταῖς διανοίαις M Arm: ταῖς διανοίαις εἰσοικίσασθαι ceteri (v)    3 ἐκθνήσκουσι M Arm: ἐξησθενήκασι ceteri (Turn.)    δὲ] γὰρ coni. Christophorson    5 ὑπολαμβάνοντες εἶναι MF: εἶναι ὑπολαμβάνοντες ceteri (v)    6 ἐκεῖνα in ἐκείνας corr. M    7 δοκεῖν περινοστεῖν transp. M    9 ἑαυτοῦ] αὐτοὺς M; αὐτὸς coni. Mang.    τιμὴν M    χρεῖος ἦν] χρήζει M    10. 11 πλαζόμενον MFG: πλανώμενον APH (v)    11 ἵνα M    12 εὕροι AP    ὄντος ὄντως H    14 τὰ om. M    15 οὖν ante καὶ add. F²    16 κατὰ om. M    ἀκριβώσομεν APF (ο ex ω corr. A)    17 ματαίω corr. ex ματαίοις H, ματαίοις Arm    18 τὴν om. FHD$^C$ (Turn.)    διανοία D$^C$    ὀξυδερκοῦσιν FGH (v)    ἀεὶ MD$^C$: αἰεὶ ceteri    19 προσειπὼν Richt. Tauchn.    20 ἀεὶ MAP: αἰεὶ FGH, om. D$^C$    ἑπομένως MD$^C$: ἑπόμενος ceteri (v)    22 post μέρος add. τοῦ ὅρκου D

---

16—21 D$^C$ fol. 223$^v$ τοῦ αὐτοῦ (Φίλωνος): οὐ λήψῃ, φησίν, τὸ ὄνομα κυρίου τοῦ θεοῦ σου ἐπὶ ματαίῳ. τὰ μὲν οὖν τῆς τάξεως γνώριμα — εὐθὺς παρήγγειλεν.
22—288,3 D$^R$ fol. 218$^v$ Φίλωνος ἐκ τοῦ εἰς τὴν δεκάλογον: ἐπειδὴ πολύτροποι — νομί-

84 ἁμαρτίαι. κάλλιστον δὴ καὶ βιωφελέστατον καὶ ἁρμόττον λογικῇ φύσει
τὸ ἀνώμοτον, οὕτως | ἀληθεύειν ἐφ' ἑκάστου δεδιδαγμένῃ, ὡς τοὺς p. 195 M
λόγους ὅρκους εἶναι νομίζεσθαι. δεύτερος δέ, φασί, πλοῦς τὸ εὐορκεῖν·
85 ἤδη γὰρ ὅ γε ὀμνὺς εἰς ἀπιστίαν ὑπονοεῖται. μελλητὴς οὖν ἔστω καὶ
βραδύς, εἴ πως ἐνδέχοιτο ταῖς ὑπερθέσεσιν ἀπώσασθαι τὸν ὅρκον· εἰ δέ
τις ἀνάγκη βιάζοιτο, περισκεπτέον οὐ παρέργως ἕκαστα τῶν ἐμφερομένων·
86 τὸ γὰρ πρᾶγμα οὐ μικρόν, εἰ καὶ τῷ ἔθει καταφρονεῖται. μαρτυρία γάρ
ἐστι θεοῦ περὶ πραγμάτων ἀμφισβητουμένων ὅρκος· μάρτυρα δὲ καλεῖν
ἐπὶ ψεύδει θεὸν ἀνοσιώτατον. ἴθι γάρ, εἰ βούλει, τῷ λόγῳ διάκυψον
εἰς τὴν τοῦ μέλλοντος ὀμνύναι διάνοιαν ἐπὶ ψεύδει· θεάσῃ γὰρ αὐτὴν
οὐχ ἠρεμοῦσαν, ἀλλὰ θορύβου καὶ ταραχῆς μεστήν, κατηγορουμένην
87 καὶ πάσας ὕβρεις καὶ βλασφημίας ὑπομένουσαν. ὁ γὰρ ἑκάστῃ ψυχῇ
συμπεφυκὼς καὶ συνοικῶν ἔλεγχος, οὐδὲν εἰωθὼς παραδέχεσθαι τῶν
ὑπαιτίων, μισοπονήρῳ καὶ φιλαρέτῳ χρώμενος ἀεὶ τῇ φύσει, κατήγορος
ὁμοῦ καὶ δικαστὴς ὁ αὐτὸς ὤν, διακινηθεὶς ὡς μὲν κατήγορος αἰτιᾶται,
κατηγορεῖ, δυσωπεῖ, πάλιν δ' ὡς δικαστὴς διδάσκει, νουθετεῖ, παραινεῖ

---

1 διαμαρτίαι F, αἱ ἁμαρτίαι D δὴ] δὲ M, om. D 2 τὸ ἀνομολόγητον καὶ ἀκατονόμαστον τοῦ θεοῦ καὶ οὕτως ἀληθεύειν ἐφ' ἑκάστῳ ὡς D δεδιγμένη AP[1]F[1]; δεδιδαγμένον voluit Mang. 4 ἀπιστίαν] ἀδικίαν M μελητὴς FH οὖν om. Arm ἔσται L (Turn.) post ἔστω add. πᾶς D 5 εἰ δέχοιτο G ὑπερθέσεσιν ex ὑποσχέσεσιν corr. H 6 ἀναγκάζοιτο D περισκέπτεσθαι M 7 τὸ M: ἔστι ceteri (Turn.) εἰ καὶ τῷ] ὄντως D 8 ὁ ὅρκος APD Anton. Mel. 9 τὸν θεὸν Anton. Mel. ἴθι] ἴσθι APH[1] γάρ] οὖν Arm διάκυψον GH: καὶ διάκυψον ceteri 11 οὐχ ἠρεμοῦσαν M 13 συμπεφυκὼς καὶ συνοικῶν M Arm: συνοικῶν καὶ συμπεφυκὼς ceteri συμπεφυκὼς] συμβεβηκὼς D[P] καὶ συνοικῶν om. D[P] ⟨συνειδήσεως⟩ ἔλεγχος coni. Christophorson 14 ἀεὶ MGD: αἰεὶ ceteri καὶ κατήγορος D[P] 15 ὁμοῦ] ἐμοῦ A ὁ αὐτὸς om. AP (ss. P[2]) 16 καὶ κατηγορεῖ ἡμῶν καὶ δυσωπεῖ D[P] δὲ D παραινεῖ om. D[P]

---

ζεσθαι εἶναι. tum pergit: Φίλωνος: ἐνέχυρον οὐ μικρὸν ἀψευδίας αἰδὼς ἡ πρὸς θεόν. ἔστω οὖν ὁ λόγος ἰσότιμος ὅρκῳ (cf. *Philonea* ed. Tisch. p. 2,2). οἷς δὲ ὀμνύναι τις ἀνάγκη, μαθέτωσαν ὡς ἔστιν ὁ ὅρκος μαρτυρία θεοῦ περὶ πράγματος ἀμφισβητουμένου (6—8). 3.4 D[R] fol. 219[r] (post locum ad p. 290,15 adnotatum) τοῦ αὐτοῦ Anton. Mel. II 64 Col. 1157 Φίλωνος: φασί τινες τὸ εὐορκεῖν οὐκ ἀπόβλητον· ἀλλ' ἤδη ὅ γε ὀμνὺς εἰς ἀπιστίαν ὑπονοεῖται. 4—9 pergit D[R]: μελλητὴς—ἀνοσιώτατον. 7—9 Anton. ibid. μαρτυρία θεοῦ ἐστι περὶ πραγμάτων ἀμφισβητουμένων ὁ ὅρκος· μάρτυρα δὲ καλεῖν ἐπὶ ψεύδει τὸν θεὸν ἀνοσιώτατον. 12—289,4 D[P] fol. 313[r] Φίλωνος: ὁ ἑκάστῃ ψυχῇ συμβεβηκὼς ἔλεγχος—ζωὴν ἀπορρήξῃ.

μεταβάλλεσθαι· κἂν μὲν ἰσχύσῃ πεῖσαι, γεγηθὼς καταλλάττεται, μὴ
δυνηθεὶς δὲ ἀσπονδεὶ πολεμεῖ μήτε μεθ' ἡμέραν μήτε νύκτωρ ἀφιστά-
μενος, ἀλλὰ κεντῶν καὶ τιτρώσκων ἀνίατα, μέχρις ἂν τὴν ἀθλίαν καὶ
ἐπάρατον ζωὴν ἀπορρήξῃ. (18.) τί λέγεις, εἴποιμ' ἂν πρὸς τὸν ἐπί- 88
ορκον, τολμήσεις τινὶ τῶν σεαυτοῦ γνωρίμων φάναι προσελθών· ὦ
οὗτος, ἃ μήτ' εἶδες μήτ' ἤκουσας, ὡς ἰδών, ὡς ἀκούσας, ὡς παρη-
κολουθηκὼς ἅπασιν, ἀφικόμενός μοι μαρτύρησον; ἐγὼ μέν γε οὐκ οἶμαι·
μανίας γὰρ ἀθεραπεύτου τὸ ἔργον. ἐπεὶ τίσιν ὀφθαλμοῖς νήφων καὶ ἐν 89
σεαυτῷ δοκῶν εἶναι προσιδὼν τὸν φίλον ἐρεῖς· διὰ τὴν ἑταιρίαν ἀδι-
κοπράγει, παρανόμει, συνασέβει μοι; δῆλον γὰρ ὡς, εἰ ταῦτ' ἀκούσαι,
πολλὰ χαίρειν φράσας ἑταιρίᾳ τῇ νομιζομένῃ καὶ κακίσας αὐτόν, ὅτι τὴν
ἀρχὴν ἀνδρὶ τοιούτῳ φιλίας ἐκοινώνησεν, ἀποπηδήσεται καθάπερ ἀπὸ
θηρὸς ἀγριαίνοντος καὶ λελυττηκότος. εἶτα, πρὸς ἃ μηδὲ φίλον ἄγειν 90
τολμήσεις, ἐπὶ ταῦτα θεὸν μάρτυρα καλῶν οὐκ ἐρυθριᾷς, τὸν πατέρα
καὶ ἡγεμόνα τοῦ κόσμου; πότερον ἐπιστάμενος, ὅτι πάνθ' ὁρᾷ καὶ
p. 196 M. πάντων ἀκούει, ἢ τοῦτ' ἀγνοῶν; | εἰ μὲν οὖν ἀγνοῶν, ἄθεός τις 91
εἶ, πηγὴ δὲ πάντων ἀδικημάτων ἀθεότης· πρὸς δὲ τῷ ἀθέῳ
καὶ καταστρατηγεῖς τὸν ὅρκον, ὀμνὺς κατὰ τοῦ μὴ προσέχοντος ὡς ἐπι-
μελουμένου τῶν ἀνθρωπείων πραγμάτων· εἰ δ' ὅτι προνοεῖ σαφῶς
οἶδας, ὑπερβολὴν ἀσεβείας οὐκ ἀπολέλοιπας λέγων, εἰ καὶ μὴ στόματι
καὶ γλώττῃ, τῷ γοῦν συνειδότι πρὸς θεόν· τὰ ψευδῆ μοι μαρτύρει,

---

1 μεταβαλέσθαι M   κἂν μὲν] ἂν μὲν γὰρ Arm   καταλάττεται G, κατα-
λλ   μ
μάττεται F, καταμάττεται H, καταλλάττεται M   3 ἀνίατα] ἀνιᾶται D^P
μέχρι (om. ἂν) D^P   3. 4 καὶ ἐπάρατον om. D^P   4 λέγοις GH
6 μήτε . . . μήτε M   ἰδών] εἰδὼν P, εἰδὼς M   7 μέν γε scripsi: μὲν
γὰρ M (Arm?), μὲν ceteri (v)   8 ἐπεὶ Arm: ἐπὶ M, om. ceteri (v)
9 ⟨οὕτως⟩ ἐρεῖς Christophorson   ἑταιρείαν GH (Turn.)   10 συνασέβει]
οι
ἀσέβει H (v)   εἰ om. M   ταῦτα FGH   ἀκούσαι FG: ἀκούσαι H,
ἀκούσοι AP (v), ἀκούσας M   11 ἑταιρείᾳ F²GH   καὶ κακίσας M Arm:
καὶ om. ceteri   12 ἀποπηδήσεται MF: ἀποπηδῆσαί τε H, ἀποπηδήσειε APG
13 θηρὸς] πυρὸς AP (θη ss. m. rec. in A)   14 θεὸν μάρτυρα καλῶν M Arm:
μάρτυρα θεὸν καλῶν F, μάρτυρα καλῶν θεὸν APH (v), μάρτυρα καλῶν τὸν θεὸν G
16 τοῦτο APGH   οὖν om. H (Turn.)   ἀγνοῶν M: ἀγνοεῖς ceteri (Turn.)
ῶν   ων
18 καὶ om. M   τὸν ὅρκον AP   μὴ om. AP   προέχοντος A;
προσέχοντος ⟨κατὰ γνώμην σου⟩ Christophorson   ὡς] μηδ' Christophorson
post ὡς add. μὴ APF   18. 19 ἐπιμελομένου GH (Turn.)   19 κατὰ ante τῶν
add. AP   ἀνθρωπίνων M   20 οὐκ ἀπολέλοιπας M: οὐ καταλέλοιπας ceteri (v)
21 θεόν M: τὸν θεόν ceteri (v)

συγκακούργει, συρρᾳδιούργει· μία μοι τοῦ παρ' ἀνθρώποις εὐδοκιμεῖν
ἐλπὶς τὸ παρακαλύψασθαί σε τὴν ἀλήθειαν· ὑπὲρ ἑτέρου πονηρὸς
γενοῦ, ὑπὲρ τοῦ χείρονος ὁ κρείττων, ὑπὲρ ἀνθρώπου καὶ ταῦτα
92 μοχθηροῦ θεὸς ὁ πάντων ἄριστος. (19.) εἰσὶ δ' οἳ μηδὲ κερδαίνειν
τι μέλλοντες ἔθει πονηρῷ κατακόρως καὶ ἀνεξετάστως ὀμνύουσιν ἐπὶ τοῖς
τυχοῦσιν, οὐδενὸς ἀμφισβητουμένου τὸ παράπαν, τὰ μὲν αὐτῶν ἐν τῷ
λόγῳ προσαναπληροῦντες ὅρκοις, ὡς οὐκ ἄμεινον ὂν ἀποκοπὴν ῥημάτων
μᾶλλον δὲ καὶ ἀφωνίαν ὑποστῆναι παντελῆ· φύεται γὰρ ἐκ πολυορκίας
93 ψευδορκία καὶ ἀσέβεια. διὸ χρὴ τὸν μέλλοντα ὀμνύναι πάντ' ἐπιμελῶς
ἐξητακέναι καὶ σφόδρα περιττῶς, τὸ πρᾶγμα, εἰ εὐμέγεθες καὶ εἰ
γέγονεν ὄντως καὶ εἰ πραχθὲν κατείληφε παγίως, ἑαυτόν, εἰ καθαρεύει
ψυχὴν καὶ σῶμα καὶ γλῶτταν, τὴν μὲν παρανομίας, τὸ δὲ μιασμάτων,
τὴν δὲ βλασφημιῶν· οὐ γὰρ ὅσιον, δι' οὗ στόματος τὸ ἱερώτατον ὄνομα
94 προφέρεταί τις, διὰ τούτου φθέγγεσθαί τι τῶν αἰσχρῶν. ἐρευνάτω δὲ
καὶ τόπον καὶ καιρὸν ἐπιτήδειον· οἶδα γὰρ οἶδά τινας ἐν βεβήλοις καὶ
ἀκαθάρτοις χωρίοις, ἐν οἷς οὔτε πατρὸς οὔτε μητρὸς ἀλλ' οὐδὲ τῶν
ὀθνείων πρεσβύτου τινὸς εὖ βεβιωκότος ἄξιον μεμνῆσθαι, διομνυμένους
καὶ ὅλας ῥήσεις ὅρκων συνείροντας, τῷ τοῦ θεοῦ πολυωνύμῳ κατα-
95 χρησαμένους ὀνόματι ἔνθα μὴ δεῖ πρὸς ἀσέβειαν. ὁ δὲ τῶν
λεχθέντων ὀλιγώρως ἔχων ἴστω τὸ μὲν πρῶτον μιαρὸς καὶ ἀκάθαρτος

1 συνραδιούργει F, συρραδιούργει, μία corr. ex συρραδιούργημα H παρὰ M εὐδοκεῖν M 2 τὸ] τοῦ FG περικαλύψασθαι AP σε M Arm: om. ceteri (v) ἑταίρου M 5 τι F: om. ceteri (v) καὶ κατακόρως Arm 6 τὰ μὲν αὐτῶν corrupta; τὰ μείονα τῶν conicio, τὰ ὑστερήματα τῶν λόγων coni. Mang. 11 παγίως] παγίωσιν F ἑαυτόν MGH: αὐτὸ AP, αὐτοῦ F; αὐτόν Christophorson 12 γλῶτταν καὶ σῶμα transp. AP 12. 13 τὴν δὲ βλασφημιῶν, τὸ δὲ μιασμάτων transp. AP 14 προσφέρεται H τις om. D δι' αὐτοῦ $D^R$ αἰσχρῶν] οὐχ ὁσίων καὶ βλασφήμων $D^R$ 15 pr. καὶ om. Arm τόπον M: τὸν τόπον ceteri (v) οἶδα γὰρ AP: ἤδη γὰρ ceteri 16 οὔτε πατρὸς οὔτε μητρὸς MD: οὔτε πατρὸς ἢ μητρὸς APGH (Turn.), οὔτε μητρὸς ἢ πατρὸς F, οὔτε μητρὸς om. Arm 17 ὀθνείων] οἰκείων Christophorson 18 συνείροντες H πολυωνύμῳ] πολυσέμνῳ vel πανσέμνῳ coni. Mang. 18. 19 καταχρησαμένους $D^R$ Arm: καταχρωμένους $D^P$ $D^M$, χρησαμένους codd. (v) 19 ἔνθα—ἀσέβειαν om. $D^R$ εὐσέβειαν G 20 τὸ μὲν πρῶτον om. Arm

8 $D^R$ fol. $219^r$ Φίλωνος εἰς τὸν δεκάλογον Anton. Mel. II 64 Col. 1157 Io. Georgides p. 34,19 B Φίλωνος: ἐκ πολυορκίας (πολυλογίας Georg.) ψευδορκία φύεται.
13 — 14 $D^R$ fol. $117^v$ Φίλωνος ἐκ τοῦ εἰς δεκάλογον $D^L$ fol. $163^v$ εἰς τὴν δεκάλογον: οὐχ ὅσιον—αἰσχρῶν. 15—19 $D^P$ fol. $358^r$ $D^M$ fol. $269^r$ Φίλωνος εἰς τὴν δεκάλογον: οἶδά τινας ἀδυναμίᾳ ἡσυχίας ἐν βεβήλοις — πρὸς ἀσέβειαν. pergit $D^M$: τίς ἔχει σφόδρα ἐνπρεπὲς ἀπαρατηρήτως τῶ καὶ ἀδιακρίτως οὕτω διακεῖσθα γλωσσαλγίας.
15 — 291,1 $D^R$ fol. $219^r$ τοῦ αὐτοῦ: οἶδα τινὰς—ἐφεδρεύουσιν αὐτῷ.

ῶν, εἶθ' ὡς αἰεὶ αἱ μέγισται τῶν τιμωριῶν ἐφεδρεύουσιν αὐτῷ, τῆς
ἐφόρου τῶν ἀνθρωπείων δίκης ἀτρέπτως καὶ ἀπαρηγορήτως ἐπὶ τοῖς
οὕτω μεγάλοις ἀδικήμασιν ἐχούσης, ἥτις, ὅταν μὴ παραχρῆμα κολάζειν
p. 197 M. ἀξιοῖ, ἐπὶ πολλῷ δανείζειν ἔοικε τὰς τιμωρίας, | ἅς, ὅταν ᾖ καιρός,
ἀναπράττει μετὰ τοῦ κοινῇ συμφέροντος.

(20.) Τέταρτόν ἐστι παράγγελμα τὸ περὶ τῆς ἱερᾶς ἑβδόμης, ἵν' 96
εὐαγῶς καὶ ὁσίως ἄγηται. ταύτην ἔνιαι μὲν τῶν πόλεων ἑορτάζουσιν
ἅπαξ τοῦ μηνὸς ἀπὸ τῆς κατὰ θεὸν νουμηνίας διαριθμούμεναι, τὸ δὲ
Ἰουδαίων ἔθνος συνεχῶς ⟨ἡμέρας⟩ ἓξ διαλείποντες αἰεί. λόγος δ' ἐστὶν 97
ἀναγραφεὶς ἐν τοῖς κατὰ τὴν κοσμοποιίαν, περιέχων αἰτίαν ἀναγκαίαν·
ἐν γὰρ ἓξ ἡμέραις φησὶ κτισθῆναι τὸν κόσμον, τῇ δ' ἑβδόμῃ
παυσάμενον τῶν ἔργων τὸν θεὸν ἄρξασθαι τὰ γεγονότα καλῶς
θεωρεῖν. ἐκέλευσεν οὖν καὶ τοὺς μέλλοντας ἐν ταύτῃ ζῆν τῇ 98
πολιτείᾳ καθάπερ ἐν τοῖς ἄλλοις καὶ κατὰ τοῦθ' ἕπεσθαι θεῷ, πρὸς
μὲν ἔργα τρεπομένους ἐφ' ἡμέρας ἕξ, ἀνέχοντας δὲ τῇ ἑβδόμῃ καὶ
φιλοσοφοῦντας καὶ θεωρίαις μὲν τῶν τῆς φύσεως σχολάζοντας, ἐπισκοποῦντας δὲ καὶ εἴ τι μὴ καθαρῶς ἐν ταῖς προτέραις ἐπράχθη, λόγον
καὶ εὐθύνας ὧν εἶπον ἢ ἔδρασαν παρ' ἑαυτῶν λαμβάνοντας ἐν τῷ τῆς
ψυχῆς βουλευτηρίῳ, συνεδρευόντων καὶ συνεξεταζόντων τῶν νόμων εἴς
τε τὴν τῶν παροραθέντων κατόρθωσιν καὶ πρὸς τὴν τοῦ μηδὲν αὖθις
ἐξαμαρτάνειν προφυλακήν. ἀλλ' ὁ μὲν θεὸς ἅπαξ κατεχρήσατο ταῖς ἓξ 99
ἡμέραις πρὸς τὴν τοῦ κόσμου τελείωσιν μήκους χρόνων οὐ προσδεόμενος· ἀνθρώπων δ' ἕκαστος ἅτε θνητῆς φύσεως μετέχων καὶ μυρίων
ἐνδεὴς ὢν πρὸς τὰς ἀναγκαίας τοῦ βίου χρείας ὀφείλει μὴ κατοκνεῖν
ἐκπορίζειν τὰ ἐπιτήδεια μέχρι τελευτῆς τοῦ βίου διαναπαυόμενος τὰς

---

1 εἶτα ADR αἰεὶ om. DR αἱ om. Turn. 3 οὕτως F ἀδικήμασιν] ἀσεβήμασιν coni. Mang. κολάζειν] ἐκριζοῦν Arm 5 ἀναπράττῃ M 8 κατὰ θεὸν corruptum; κατὰ σελήνην vel κατὰ σεληνιακὸν κύκλον (cf. 252,12) conicio, κατὰ ζ' coni. Christophorson (τῆς νουμηνίας κατὰ ζ' Mang.) διαριθμούμεναι Mang.: διαριθμούμενοι codd. 9 ἡμέρας add. Mang. διαλιπόντες MF ἀεὶ F 10 ἐν τῇ Μωυσέως κοσμοποιίᾳ Arm τὴν κοσμοποιίαν F: τὴν om. ceteri (v) 11 τὴν δ' ἑβδόμην M 12 παυόμενον M 15 ἡμέραις A, om. Arm 15. 16 καὶ φιλοσοφοῦντας τῇ ἑβδόμῃ transp. H (v) 16 τῶν] ταῖς F ἐνσχολάζοντας coni. Mang. 18 ἢ] ἢν A 19 βουλευτηρίῳ] δικαστηρίῳ coni. Mang. τῶν νόμων M: νόμων ceteri (Turn.) 21 προ[σ]φυλακήν (σ eras.) F, φυλακήν AP 22 ἡμέραις AP: om. ceteri (Arm) 24 κατοκνεῖν ⟨ἓξ ἡμέραις⟩ Christophorson 25 ἐμπορίζειν AP[1] τελευτῆς om. APF, add. mg. P[2] εἰς τὰς Arm

100 ἱερᾶς ἑβδομάδας. ἆρ᾿ οὐ παγκάλη παραίνεσις καὶ πρὸς πᾶσαν ἀρετὴν
ἱκανωτάτη προτρέψασθαι καὶ διαφερόντως εἰς εὐσέβειαν; „ἕπου“ φησίν
„αἰεὶ θεῷ· παράδειγμα προθεσμίας ἔστω σοι πράξεων ἓν ἑξαήμερον
αὐταρκέστατον, ἐν ᾧ τὸν κόσμον ἐδημιούργει· παράδειγμα καὶ τοῦ δεῖν
φιλοσοφεῖν ἡ ἑβδόμη, καθ᾿ ἣν ἐπιδεῖν λέγεται ἃ εἰργάσατο, ὅπως καὶ
αὐτὸς ἐπιθεωρῇς τὰ φύσεως καὶ τὰ ἴδια ὅσα συντείνει πρὸς εὐδαι-
101 μονίαν“. τοιοῦτον οὖν ἀρχέτυπον τῶν ἀρίστων βίων, πρακτικοῦ τε καὶ
θεωρητικοῦ, μὴ παρέλθωμεν, ἀλλ᾿ αἰεὶ πρὸς αὐτὸ βλέποντες ἐναργεῖς
εἰκόνας καὶ τύπους ταῖς ἑαυτῶν διανοίαις ἐγχαράττωμεν ἐξομοιοῦντες
θνητὴν φύσιν ὡς ἔνεστιν ἀθανάτῳ κατὰ τὸ λέγειν καὶ πράττειν ἃ χρή.
πῶς δὲ | λέγεται ἐν ἓξ ἡμέραις γεγενῆσθαι τὸν κόσμον ὑπὸ θεοῦ τοῦ p. 198 M.
μηδὲ χρόνων εἰς τὸ ποιεῖν δεομένου, μεμήνυται διὰ τῶν ἀλληγορηθέντων
102 ἐν ἑτέροις. (21.) τὴν μέντοι προνομίαν, ἧς ἐν τοῖς οὖσιν ἑβδομὰς
ἠξίωται, δηλοῦσιν οἱ περὶ τὰ μαθήματα διατρίψαντες, ἐπιμελῶς πάνυ
καὶ πεφροντισμένως αὐτὴν ἐξιχνεύσαντες. ἥδε γάρ ἐστιν ἡ ἐν ἀριθμοῖς
παρθένος, ἡ ἀμήτωρ φύσις, ἡ μονάδος οἰκειοτάτη καὶ ἀρχῆς, ἡ ἰδέα
τῶν πλανήτων, ἐπεὶ καὶ τῆς ἀπλανοῦς σφαίρας μονάς· ἐκ γὰρ μονάδος
καὶ ἑβδομάδος οὐρανὸς ὁ ἀσώματος, τὸ παράδειγμα τοῦ ὁρατοῦ.
103 πέπηγε δ᾿ ὁ οὐρανὸς ἔκ τε τῆς ἀμερίστου φύσεως καὶ τῆς μεριστῆς·
ἡ μὲν οὖν ἀμέριστος τὴν πρώτην καὶ ἀνωτάτω καὶ ἀπλανῆ περιφορὰν
εἴληχεν, ἣν μονὰς ἐπισκοπεῖ, ἡ δὲ μεριστὴ τὴν καὶ δυνάμει καὶ τάξει
δευτέραν, ἧς ἐπιτροπεύει ἑβδομάς, ἥτις ἐξαχῇ διανεμηθεῖσα τοὺς ἐπι-
104 καλουμένους ἑπτὰ πλάνητας εἰργάσατο· οὐχ ἐπειδὴ πεπλάνηταί τι τῶν
κατὰ τὸν οὐρανὸν θείας καὶ μακαρίας καὶ εὐδαίμονος φύσεως μετεσχη-
κότων, οἷς πᾶσι τὸ ἀπλανὲς οἰκειότατον — τὴν γοῦν ἐν ὁμοίῳ ταυτό-
τητα σῴζοντα δολιχεύει τὸν αἰῶνα μηδεμίαν ἐνδεχόμενα τροπὴν καὶ
μεταβολήν —, ἀλλ᾿ ὅτι περιπολοῦνται ὑπεναντίως τῇ ἀμερίστῳ καὶ

---

1 ἑβδομάδας] ἑβδόμας voluit Mang. 2 ἱκανωτάτην M 3 προθεσμία F ἓν om. Arm ἑξαήμερον Christophorson (Mang.): ἑξάμετρον codd., ἑξὰς μέτρον Arm 5 ἡ om. M 8 αὐτὸ AP, αὐτὸ ex αὐτὸν corr. H: αὐτὸν MFG 10 πράττειν MH: τὸ πράττειν ceteri 12 μηδὲ] μὴ conicio χρόνων MFGH: χρόνου AP (v); χρόνων ⟨μήκους⟩ conicio 14 πάνυ] πάντη AP, πάνυ post πεφροντισμένως (15) transp. H (Turn.) 15 ἀνιχνεύσαντες AP 16 ἡ ἰδέα] καὶ ἰδέα L (Turn.) 17 ἐπεὶ καὶ] ἐπὶ δὲ Arm ἡ μονάς AP 18 ὁ οὐρανὸς A, ὁ eras. P 19 δὲ MAP ὁ om. AP τῆς ἀμερίστου F: τῆς om. ceteri (v) 20 περιφορὰν] σφαῖραν coni. Mang. 21 ἡ μονὰς Arm τάξιν A 23 πλανήτας FH 24 κατ᾿ οὐρανὸν H (v) 25 ὁμοίῳ] ὁμοιότητι Arm 27 ὅτι M: ὅτι καὶ ceteri (v) περιπολοῦνται G: περιπολοῦντα APFH, περιπολοῦντες M ὑπεναντίως] ἐναντίως H (v)

ἐξωτάτω σφαίρᾳ, πλάνητες ὠνομάσθησαν οὐ κυρίως ὑπ' ἀνθρώπων
εἰκαιοτέρων, οἳ τὴν ἰδίαν πλάνην τοῖς οὐρανίοις ἐπεφήμισαν, ἃ τὴν τοῦ
θείου στρατοπέδου τάξιν οὐδέποτε λείπει. διὰ μὲν δὴ ταῦτα καὶ ἔτι 105
πλείω τετίμηται ἡ ἑβδομάς· ἐπ' οὐδενὶ δ' οὕτω προνομίας ἔτυχεν ἢ
τῷ μάλιστα τὸν ποιητὴν καὶ πατέρα τῶν ὅλων ἐμφαίνεσθαι δι' αὐτῆς·
ὡς γὰρ διὰ κατόπτρου φαντασιοῦται ὁ νοῦς θεὸν δρῶντα καὶ κοσμο-
ποιοῦντα καὶ τῶν ὅλων ἐπιτροπεύοντα.

(22.) Μετὰ δὲ τὰ περὶ τῆς ἑβδόμης παραγγέλλει πέμπτον παράγ- 106
γελμα τὸ περὶ γονέων τιμῆς τάξιν αὐτῷ δοὺς τὴν μεθόριον τῶν δυοῖν
πεντάδων· τελευταῖον γὰρ ὂν τῆς προτέρας, ἐν ᾗ τὰ ἱερώτατα προστάττεται,
συνάπτει καὶ τῇ δευτέρᾳ περιεχούσῃ τὰ πρὸς ἀνθρώπους δίκαια. αἴτιον 107
δ' ὡς οἶμαι τόδε· τῶν γονέων ἡ φύσις ἀθανάτου καὶ θνητῆς οὐσίας
p. 199 M. ἔοικεν εἶναι μεθόριος, θνητῆς μὲν διὰ τὴν πρὸς | ἀνθρώπους καὶ τὰ
ἄλλα ζῷα συγγένειαν κατὰ τὸ τοῦ σώματος ἐπίκηρον, ἀθανάτου δὲ διὰ
τὴν τοῦ γεννᾶν πρὸς θεὸν τὸν γεννητὴν τῶν ὅλων ἐξομοίωσιν. ἤδη 108
μὲν οὖν τινες τῇ ἑτέρᾳ μερίδι προσκληρώσαντες ἑαυτοὺς ἔδοξαν τῆς
ἑτέρας ὀλιγωρεῖν· ἄκρατον γὰρ ἐμφορησάμενοι τὸν εὐσεβείας πόθον,
πολλὰ χαίρειν φράσαντες ταῖς ἄλλαις πραγματείαις ὅλον ἀνέθεσαν τὸν
οἰκεῖον βίον θεραπείᾳ θεοῦ. οἱ δ' οὐδὲν ἔξω τῶν πρὸς ἀνθρώπους 109
δικαιωμάτων ἀγαθὸν ὑποτοπήσαντες εἶναι μόνην τὴν πρὸς ἀνθρώπους
ὁμιλίαν ἠσπάσαντο, τῶν τε ἀγαθῶν τὴν χρῆσιν ἐξ ἴσου πᾶσι παρ-
έχοντες διὰ κοινωνίας ἵμερον καὶ τὰ δεινὰ κατὰ δύναμιν ἐπικουφίζειν

1 ἐξωτάτη H (Turn.) post οὐ κυρίως add. ἀλλ' Arm 2 ἐπουρανίοις MG 3 καὶ ἔτι om. Arm 4 ἡ om. F οὕτως F ἢ] ὡς Christophorson (Mang.) 5 δι' αὐτῆς M: διὰ ταύτης ceteri (v) 7 τῶν ὅλων] τὰ τῶν ἄλλων M 8 τῆσδε τῆς M 9 τὸ ante πέμπτον (8) transp. M Arm (τὸ bis scripsit Mang.) δοὺς] διὰ N δυεῖν FGH 10 γὰρ om. AP ἐν ᾗ] ἐνοῖ G mg. H (Turn.) προστάττεται scripsi (sic Arm ut vid.): πρὸς τὰ πέντε MAFHN (Turn.), πρὸς τὰ ἕτερα πέντε G, πρὸς (τὰ πέντε—περιεχούσῃ om.) P; πρὸς τὸ θεῖον Christophorson Mang.; προστάττεται τὰ πέντε coni. Wendl. 11 συνάπτει καὶ τῇ δευτέρᾳ MAFHN: καὶ συνάπτει τῇ δευτέρᾳ G, καὶ τῇ δευτέρᾳ συνάπτει mg. H (v) δίκαια] δικαιώματα Arm 13 μεθόριον GH (Turn.) 13. 14 τὰ ἄλλα M: ἄλλα AP[1], τἄλλα H, τἆλλα FGP[2]N 14 κατὰ M (διὰ Arm): καὶ ceteri (v) ἐπίκαιρον M 15 γεννᾶν] γεννῶντος coni. Wendl. γενέτην FN 16 ἑαυτοὺς M: αὑτοὺς APG, αὑτοὺς corr. ex αὐτοὺς H, αὐτοὺς FN 17 τὸν τῆς εὐσεβείας A 20 δικαιωμάτων] δικαίων M (Mang.) 21 τ' AP πᾶσι om. G

8—296,19 N fol. 152[v] τοῦ αὐτοῦ (Φίλωνος) περὶ γονέων τιμῆς: παραγγέλλει — θειοτέρᾳ πεντάδι.

110 ἀξιοῦντες. τούτους μὲν οὖν φιλανθρώπους, τοὺς δὲ προτέρους φιλοθέους
ἐνδίκως ἂν εἴποι τις, ἡμιτελεῖς τὴν ἀρετήν· ὁλόκληροι γὰρ οἱ παρ'
ἀμφοτέροις εὐδοκιμοῦντες. ὅσοι δὲ μήτ' ἐν τοῖς πρὸς ἀνθρώπους
ἐξετάζονται, συνηδόμενοι μὲν ἐπὶ τοῖς κοινοῖς ἀγαθοῖς, συναλγοῦντες δ'
ἐπὶ τοῖς ἐναντίοις, μήτ' εὐσεβείας καὶ ὁσιότητος περιέχονται, μετα-
βεβληκέναι δόξαιεν ἂν εἰς θηρίων φύσιν· ὧν τῆς ἀγριότητος οἴσονται τὰ
πρωτεῖα οἱ γονέων ἀλογοῦντες, ἑκατέρας μερίδος ὄντες ἐχθροὶ καὶ τῆς
111 πρὸς θεὸν καὶ τῆς πρὸς ἀνθρώπους. (23.) ἐν δυσὶν οὖν δικαστηρίοις,
ἃ δὴ μόνα ἐστὶν ἐν τῇ φύσει, μὴ ἀγνοείτωσαν ἑαλωκότες, ἀσεβείας μὲν
ἐν τῷ θείῳ, διότι τοὺς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγόντας καὶ
κατὰ τοῦτο μιμησαμένους θεὸν οὐ περιέπουσι, μισανθρωπίας δ' ἐν τῷ
112 κατ' ἀνθρώπους. τίνα γὰρ ἕτερον εὖ ποιήσουσιν οἱ τῶν συγγενεστάτων
καὶ τὰς μεγίστας παρασχομένων δωρεὰς ὀλιγωροῦντες, ὧν ἔνιαι δι'
ὑπερβολὴν οὐδ' ἀμοιβὰς ἐνδέχονται; πῶς γὰρ ἂν ὁ γεννηθεὶς ἀντι-
γεννῆσαι δύναιτο τοὺς σπείραντας, κλῆρον ἐξαίρετον τῆς φύσεως χαρι-
σαμένης πρὸς παῖδας γονεῦσιν εἰς ἀντίδοσιν ἐλθεῖν οὐ δυνάμενον; ὅθεν
καὶ σφόδρα προσῆκεν ἀγανακτεῖν, εἰ μὴ πάντα ἔχοντες ἀντιχαρίζεσθαι
113 μηδὲ τὰ κουφότατα ἐθελήσουσιν. οἷς δεόντως ἂν εἴποιμι· τὰ θηρία
πρὸς ἀνθρώπους ἡμεροῦσθαι δεῖ· καὶ πολλάκις ἔγνων ἡμερωθέντας
λέοντας, ἄρκτους, | παρδάλεις, οὐ μόνον πρὸς τοὺς τρέφοντας διὰ τὴν p. 200 M.

1 ἀξιοῦντες] ἐξισοῦντες H 2 ⟨ἑκάτεροι δὲ⟩ ἡμιτελεῖς conicio 3 μήτε N 4 ἐπὶ] ἐν M δὲ MN 5 μήτε M 5. 6 μεταβεβηκέναι APH Arm (prob. Mang.) 6 ἂν om. AP, ss. P² θηρίων APFN: τῶν θηρίων MG, τὴν τῶν θηρίων H (Turn.); τὴν θηρίων Mang. 7 πρωτεῖα] πρεσβεῖα Arm καὶ τῆς] τῆς τε Nicet. 8 δυσὶν M (δυσὶ Nicet.): δυσὶν corr. ex δυοῖν H, δυοῖν APGN, δυεῖν F οὖν om. Nicet. δικαστηρίοιν FGN 9 ἐστὶν ἐν M Nicet.: ἐστὶ (om. ἐν) FGHN, εἰσὶ (om. ἐν) AP ἀγνοείτωσαν M Arm Nicet.: ἀγνοούμενα ἴστωσαν ceteri (Turn.) 10 θείῳ] θεῷ Arm διότι] ὅτι Nicet. τοῦ om. Nicet. προαγαγόντας MGN mg. P² Nicet. 11 θεῷ H δὲ AP Nicet. 12 κατὰ M Nicet. ἀνθρώπους] αὐτούς AP 13 παρασχομένων M Barocc.: παρεσχημένων ceteri ὀλιγωροῦντα F 14 ἂν om. MFN Barocc. 14. 15 γεννῆσαι F 15 σπείροντας Barocc. 15. 16 χαρισαμένης] χάρισαι μίαν N 17 μὴ G: μηδὲ ceteri (v), γε Nicet. τὰ πάντα H¹mg.P² ἔχοντες Arm: μέλλοντες codd. (v) 18 θελήσουσιν N 19 ἀνθρώπους Christophorson (Mang.): ἀνθρώπων codd. Arm δεῖ] δοκεῖ FN; δεῖ seclusit Christophorson, οἶδα coni. Mang. 20 ἄρκους M παρδάλεις, ἄρκτους transp. Arm

7—18 Nicetae Serrani Catena in Lucam (cod. Vat. 1611 fol. 246ᵛ): οἱ οὖν γονέων ἀλογοῦντες—ἐθελήσουσιν. 7. 8 Anton. Mel. II 12 Col. 1049 Φίλωνος: οἱ γονέων ἀλογοῦντες ἑκατέρας μερίδος εἰσὶν ἐχθροί, καὶ τῆς πρὸς θεὸν καὶ τῆς πρὸς ἀνθρώπους. 12—16 Mel. Barocc. fol. 235ᵛ (Φίλωνος): τίνα ἕτερον—οὐ δυνάμενον.

ἐπὶ τοῖς ἀναγκαίοις χάριν, ἀλλὰ καὶ πρὸς τοὺς ἄλλους, ἕνεκά μοι
δοκῶ τῆς πρὸς ἐκείνους ὁμοιότητος· καλὸν γὰρ ἀεὶ τῷ κρείττονι τὸ χεῖρον
ἀκολουθεῖν διὰ βελτιώσεως ἐλπίδα. νυνὶ δ' ἀναγκασθήσομαι τἀναντία 114
λέγειν· μιμηταὶ θηρίων ἐνίων, ἄνθρωποι, γίνεσθε. τοὺς ὠφεληκότας
ἀντωφελεῖν ἐκεῖνα οἶδε καὶ πεπαίδευται· κύνες οἰκουροὶ προασπί-
ζουσι καὶ προαποθνήσκουσι τῶν δεσποτῶν, ὅταν κίνδυνός τις ἐξαπιναίως
καταλάβῃ· τοὺς δ' ἐν ταῖς ποίμναις φασὶ προαγωνιζομένους τῶν
θρεμμάτων ἄχρι νίκης ἢ θανάτου παραμένειν ὑπὲρ τοῦ διατηρῆσαι τοὺς
ἀγελάρχας ἀζημίους. εἶτ' οὐκ αἰσχρῶν ἐστιν αἴσχιστον, ἐν χαρίτων 115
ἀμοιβαῖς ἄνθρωπον ἡττηθῆναι κυνός, τοῦ θηρίων θρασυτάτου τὸ
ἡμερώτατον ζῷον; ἀλλ' εἰ μὴ τοῖς χερσαίοις ἀναδιδασκόμεθα, πρὸς
τὴν πτηνὴν καὶ ἀεροπόρον μετίωμεν φύσιν ἃ χρὴ παρ' αὐτῆς μαθησό-
μενοι. τῶν πελαργῶν οἱ μὲν γηραιοὶ καταμένουσιν ἐν ταῖς νεοττιαῖς 116
ἀδυνατοῦντες ἵπτασθαι, οἱ δὲ τούτων παῖδες ὀλίγου δέω φάναι γῆν καὶ
θάλατταν ἐπιποτώμενοι πανταχόθεν ἐκπορίζουσι τοῖς γονεῦσι τὰ ἐπι-
τήδεια· καὶ οἱ μὲν ἀξίως τῆς ἡλικίας ἠρεμοῦντες ἐν ἀφθονίᾳ διατελοῦσι 117
τῇ πάσῃ τρυφῶντες, οἱ δὲ τὰς εἰς τὸν πορισμὸν κακοπαθείας ἐπε-
λαφριζόμενοι τῷ εὐσεβεῖν καὶ τῷ προσδοκᾶν ἐν γήρᾳ τὰ αὐτὰ πείσεσθαι

1 χάριν] χρείαν M 2 δοκεῖ A ἀεὶ M: αἰεὶ ceteri 3 ἐλπίδα om. Arm δὲ M 4 ἐνίων] ἔνιοι τῶν M γένεσθε MGH, γίνεσθαι Arm 5 πεπαίδευται AFN: πεπαίδευνται PGH, παιδεύεται M οἰκουροὶ M Arm: οἴκου ceteri Vind. (Turn.) 6 καὶ προαποθνήσκουσι om. FN ἐξαπιναίως om. AP (add. mg. P²), ἐξαπηναῖος Vind. 7 καταλάβῃ FN Vind.: καταλάβοι ceteri (Mang.) φασὶ M: φασὶ καὶ ceteri Vind. 8 νίκης ἢ M: om. ceteri Vind. 9 ἀγελάρχους FN, ἀρχαγγέλους Vind. αἰσχρῶν] αἰσχρόν Vind. 10 θρασυτάτου] ἀγριωτάτου M 11 ζῷον om. M 12 αὐτοῖς Vind. 12. 13 μαθησόμεθα N Arm 13 νεοττίαις MAPF Vind. 14 ὀλίγω AP Vind. 15 ἐπιποτώμενοι MAPG: ἐπιπετόμενοι corr. ex ἐπιποτώμενοι H, ἐπιπετόμενοι Vind. Nicet., ἐφιπτάμενοι FN 15. 16 τἀπιτήδεια FGN 16 ἠρεμοῦντες H, ἡμεροῦντες Arm 16. 17 ἐν ἀφθονίᾳ πάσῃ διατελοῦσιν Nicet. 17 τὰς] τὰ F εἰς] πρὸς M τὸν om. G κακοπαθείας] κακίας Nicet. 17. 18 ἐπελαφρίζοντες conicio (sic Arm)

2. 3 D^R fol. 260ᵛ Anton. Mel. II 35 Col. 1093 Φίλωνος Io. Georgides p. 49,3 sine lemmate: καλὸν ἀεὶ τῷ κρείττονι τὸ χεῖρον ἀκολουθεῖν διὰ βελτιώσεως ἐλπίδα.
5—296,15 Vindob. hist. gr. 67 fol. 56ᵛ: κύνες οἴκου—γηροτροφοῦσι (296,4) τοὺς ἑαυτῶν γονεῖς ἐπεσχάτων. ἆρ' οὐκ ἄξιον ἐπὶ τούτοις ἐγκαλύπτεσθαι ἡμᾶς καὶ κακίζειν ἑαυτούς, ὅσοι τοὺς ἑαυτῶν τοκοῖς (sic) ὑπερορῶσι λιμῷ καὶ αὐχμῷ καὶ τοῖς ἄλλοις τοῦ βίου κακοῖς περιεστϊχισμένους (sic) [οι]; καὶ γὰρ θεοῦ ὑπηρέται εἰσὶ πρὸς τέκνων σπορὰν (296,12)—ἐν τῷ ζῳοπλαστεῖν. 13—296,18 pergit Nicetas l. l.: ἀλλὰ καὶ τῆς ἀλόγου φύσεως ἐν χαρίτων ἀμοιβαῖς ἀγνωμονέστεροι φαίνονται. τῶν γὰρ πελαργῶν—τοσαῦτα καὶ περὶ γονέων τιμῆς ἐφιλοσόφησεν. 13 sqq. cf. Aristoph. Av. 1353 — 1357. Arist. Hist. anim. IX 13 p. 615ᵇ 23. Zenob. Paris. I 94 ibique Leutschii adnot.

ὑπὸ τῶν ἐκγόνων ἀναγκαῖον ὄφλημα ἀντεκτίνουσιν, ἐν καιρῷ καὶ
λαβόντες αὐτὸ καὶ ἀνταποδιδόντες, ὅτ' οὐδέτεροι τρέφειν αὑτοὺς δύνανται,
παῖδες μὲν ἐν ἀρχῇ τῆς γενέσεως, γονεῖς δ' ἐπὶ τελευτῇ τοῦ βίου·
ὅθεν αὐτοδιδάκτῳ τῇ φύσει νεοττοτροφηθέντες γηροτροφοῦσι χαίροντες.
118 ἆρ' οὐκ ἄξιον ἐπὶ τούτοις ἀνθρώπους, ὅσοι γονέων ἀμελοῦσιν, ἐγκα-
λύπτεσθαι καὶ κακίζειν ἑαυτούς, ὠλιγωρηκότας ὧν ἢ μόνων ἢ πρὸ τῶν
ἄλλων ἀναγκαῖον ἦν πεφροντικέναι, καὶ ταῦτ' οὐ διδόντας μᾶλλον ἢ
ἀποδιδόντας; παίδων γὰρ ἴδιον οὐδέν, ὃ μὴ γονέων ἐστίν, ἢ οἴκοθεν
119 ἐπιδεδωκότων ἢ τὰς αἰτίας τῆς κτήσεως παρασχομένων. εὐσέβειαν δὲ
καὶ ὁσιότητα, τὰς ἀρετῶν ἡγεμονίδας, ἀρά γ' ἐντὸς ὅρων ἔχουσι τῶν
ψυχῶν; ὑπερορίους μὲν οὖν ἀπεληλάκασι καὶ πεφυγαδεύκασι· θεοῦ γὰρ
ὑπηρέται πρὸς | τέκνων σπορὰν οἱ γονεῖς· ὁ δ' ὑπηρέτην ἀτιμάζων p. 201 M.
120 συνατιμάζει καὶ τὸν ἄρχοντα. τῶν δ' εὐτολμοτέρων ἀποσεμνύνοντες τὸ
γονέων ὄνομά φασί τινες, ὡς ἄρα πατὴρ καὶ μήτηρ ἐμφανεῖς εἰσι θεοί,
μιμούμενοι τὸν ἀγένητον ἐν τῷ ζῳοπλαστεῖν· ἀλλὰ τὸν μὲν εἶναι τοῦ
κόσμου θεόν, τοὺς δὲ μόνων ὧν ἐγέννησαν. ἀμήχανον δ' εὐσεβεῖσθαι
τὸν ἀόρατον ὑπὸ τῶν εἰς τοὺς ἐμφανεῖς καὶ ἐγγὺς ὄντας ἀσεβούντων.
121 (24.) Τοσαῦτα καὶ περὶ γονέων τιμῆς φιλοσοφήσας τέλος ἐπι-
τίθησι τῇ ἑτέρᾳ καὶ θειοτέρᾳ πεντάδι. τὴν δ' ἑτέραν ἀναγραψάμενος
περιέχουσαν ἀπαγορεύσεις τῶν πρὸς ἀνθρώπους ἀπὸ μοιχείας ἄρχεται,

---

1 ἐκγόνων APFN Vind. Nicet.: ἐγγόνων MGH (v) ἀντεκτίννουσιν M, ἀντεκτιννύουσιν FN Vind., ἐκτίνουσιν Nicet. καὶ—ἀνταποδιδόντες (2) om. Arm 2 λαμβάνοντες P καὶ αὐτὸ Nicet. ἀνταποδιδόντες M: ἀποδιδόντες ceteri (v) ὅτ'—βίου (3) om. Vind. ὅτ' M (Arm), ὅτε Nicet.: om. ceteri (v) οὐδ' ἕτεροι FGH[1] (Mang.) αὐτοὺς codd. 3 δὲ MN Nicet. 4 νεοττοτραφηθέντες N χαίροντες] γέροντας G, τοὺς ἑαυτῶν γονεῖς ἐπεσχάτων Vind. 5 ἀνθρώπους ἐπὶ τούτοις transp. M ἀνθρώπους—ἀμελοῦσιν om. Vind. ἀμελοῦσιν] ἀμελεῖς M 5. 6 ἐγκαλύπτεσθαι ἡμᾶς Vind. 6 ἑαυτούς om. M μόνον FHN (v) 7 οὐ—γὰρ (8) om. FN 8 ἴδιον οὐδέν M: οὐδὲν ἴδιον ceteri (v) 9 παρασχομένων MAPG Nicet.: παρεσχημένων FN, ἐπιπαρασχομένων H (Turn.) εὐσέβειαν—πεφυγαδεύκασι (11) om. Nicet. 10 ὁσιότητα] ἰσότητα coni. Mang. τὰς τῶν ἀρετῶν H (v) γε MN ὅρον N, ὅρων om. AP (add. mg. P[2]) 11 ἀπεληλάκασι M: ἐληλάκασι ceteri γὰρ om. Nicet. 13 τὸν πρῶτον ἄρχοντα Arm post εὐτολμοτέρων add. τῶν παίδων Vind., τινὲς Nicet. 14 ὄνομα] ἀξίωμα FN Vind. Nicet. Arm 15 ἀγένητον GH Nicet.: ἀγέννητον ceteri ἐν τῷ ζῳοπλαστεῖν] ὄντως ζωοπλάστην Nicet. 19 ἑτέρᾳ] προτέρᾳ coni. Mang. δ' ἑτέραν] δευτέραν coni. Mang. ἀναγραψάμενος codd.: ἀναγραψόμενος v

---

8 cf. Plat. Legg. IV p. 717 b. 13 sqq. cf. Praechter, Hierokles der Stoiker, p. 45 sqq.

μέγιστον ἀδικημάτων τοῦτ' εἶναι ὑπολαβών. πρῶτον μὲν γὰρ πηγὴν 122
ἔχει φιληδονίαν, ἣ καὶ τὰ σώματα θρύπτει τῶν ἐχόντων καὶ τοὺς τῆς
ψυχῆς ἐκλύει τόνους καὶ τὰς οὐσίας διαφθείρει πάντα δίκην ἀσβέστου
πυρὸς ὧν ἂν προσάψηται καταφλέγουσα καὶ μηδὲν σῷον ἀπολείπουσα
τῶν κατὰ τὸν ἀνθρώπινον βίον. ἔπειτ' ἀναπείθει τὸν μοιχὸν οὐκ 123
ἀδικεῖν μόνον ἀλλὰ καὶ διδάσκειν συναδικεῖν ἐν ἀκοινωνήτοις πράγμασι
κοινωνίαν τιθέμενον· οἴστρου γὰρ [τοῦ] κατασχόντος, ἀμήχανον λαβεῖν
τέλος δι' ἑνὸς μόνου τὰς ὀρέξεις, ἀλλὰ δεῖ πάντως δύο κοινοπραγῆσαι,
τὸν μὲν ὑφηγητοῦ τὸν δὲ γνωρίμου τάξιν λαβόντα, πρὸς ἀκρασίας καὶ
λαγνείας βεβαίωσιν, αἰσχίστων κακῶν. οὐδὲ γὰρ τοῦτ' ἔνεστιν εἰπεῖν, ὡς τὸ 124
σῶμα μόνον διαφθείρεται τῆς μοιχευομένης γυναικός, ἀλλ', εἰ δεῖ τἀληθὲς
εἰπεῖν, ἡ ψυχὴ πρὸ τοῦ σώματος εἰς ἀλλοτρίωσιν ἐθίζεται διδασκομένη
πάντα τρόπον ἀποστρέφεσθαι καὶ μισεῖν τὸν ἄνδρα. καὶ ἧττον ἂν ἦν 125
δεινόν, εἰ τὸ μῖσος ἐπεδείκνυτο ἐμφανές — τὰ γὰρ ἐν περιόπτῳ ῥᾷον
φυλάξασθαι —· νυνὶ δὲ δυσυπονόητον καὶ δυσθήρατόν ἐστι, πανούργοις
τέχναις συσκιαζόμενον καὶ τὴν ἐναντίαν ἔστιν ὅτε τοῦ φιλεῖν δόξαν ἐμποιοῦν
γοητείαις τισὶ καὶ ἀπάταις. ἀναστάτους γε μὴν τρεῖς ἀποδεικνύουσιν 126
οἴκους, τόν τε τοῦ παρασπονδουμένου ἀνδρός, ὃς τὰς ἐπὶ γάμοις εὐχὰς
καὶ τὰς ἐπὶ γνησίοις παισὶν ἐλπίδας περικόπτεται, καὶ δύο δ' ἑτέρους
τόν τε τοῦ μοιχοῦ καὶ τὸν τῆς γυναικός· καὶ γὰρ τούτων ἑκάτερος
ὕβρεως καὶ ἀτιμίας καὶ τῶν μεγίστων ὀνειδῶν ἀναπίμπλαται. κἂν 127
πολυάνθρωποι μὲν τύχωσιν αἱ συγγένειαι διὰ τὰς ἐπιγαμίας καὶ τὰς
ἄλλων πρὸς ἄλλους ἐπιμιξίας, ἅψεται καὶ τῆς πόλεως ἁπάσης ἐν κύκλῳ
p. 202 M. βαδίζον τἀδίκημα. παγχάλεπόν γε μὴν | καὶ ὁ τῶν τέκνων ἐπαμ- 128

1 μεγίστων Arm τοῦτο AP 2 φιληδονίαν Arm Nicet.: φιληδονίας codd. ἣ] οἳ AP 3 τόνους ἐκλύει transp. AP τὰς μεγίστας οὐσίας Arm 4 μηδὲ ἓν Nicet. 5 τῶν om. H (Turn.) ἔπειτα P 6 διδάσκειν G (coni. Mang.): διδάσκει ceteri συναδικεῖν διδάσκει transp. Arm 7 τοῦ (sic codd. Arm Nicet.) seclusi; τούτου Mang. λαβεῖν] εὑρεῖν AP (Turn.) 10 τοῦτο Nicet. ἔνεστιν] ἔστιν G 11 μοιχωμένης AP 13 τρόπον om. F ἦν om. M 14 ἐμφανὲς ἐπεδείκνυτο transp. Nicet. 15 ante δυσυπονόητον add. καὶ AP, δυσύποιστον καὶ add. Nicet. 16 δόξαν τοῦ φιλεῖν transp. M 17 ἀποδείκνυ[illegible]σιν G, ἀποδείκνυσιν AP 18 παρασπενδομένου H (Turn.) ὃς Markland (Mang.): οὗ G Nicet., om. ceteri 19 παρακόπτεται M, περικόπτουσι Nicet. δὲ AP 20 τόν τε τοῦ] τοῦ τε AP alt. τὸν Arm (coni. Mang.): om. codd. 21 ὕβρεων Nicet. ἀναπίμπλανται H (Turn.) κἂν γὰρ Arm 22 μὲν om. Nicet. (fort. recte)

1—298,14 Nicetae Serrani Catena in Lucam (Vat. 1611 fol. 245v) Φίλωνος: μέγιστον ἀδικημάτων ἐστὶν ἡ μοιχεία. πρῶτον μὲν γὰρ—πρῶτον ἀδικημάτων ἀνεγράφη.

φοτερισμός· μὴ γὰρ ἁγνευούσης γυναικός, ἀμφίδοξον καὶ ἄδηλον, τὰ
ἀποχυόμενα τίνος ἐστὶ τῇ ἀληθείᾳ πατρός· εἶτα λανθάνοντος τοῦ πράγ-
ματος, οἱ μοιχίδιοι τὴν τῶν γνησίων παρασπασάμενοι τάξιν ἀλλοτρίαν
γενεὰν νοθεύουσι καὶ κλῆρον ὅσον τῷ δοκεῖν πατρῷον οὐδὲν προσήκοντα
129 διαδέξονται. καὶ ὁ μὲν μοιχὸς ἐφυβρίσας καὶ ἐναπερυγὼν τὸ πάθος,
ἐπίληπτον σπορὰν σπείρας, ὅταν ἀποπλησθῇ τῆς ἐπιθυμίας, οἰχήσεται
καταλιπών, γέλωτα θέμενος τὴν τοῦ παρανομηθέντος ἄγνοιαν· ὁ δ' οἷα
τυφλὸς μηδὲν τῶν ὑποικουρημένων ἐπιστάμενος ὡς οἰκειότατα ἔκγονα
130 τὰ ἐκ τῶν πολεμιωτάτων θεραπεύειν ἀναγκασθήσεται. φανερὸν δ' εἰ
γένοιτο τἀδίκημα, κακοδαιμονέστατοι γένοιντ' ἂν οἱ μηδὲν ἠδικηκότες
ἄθλιοι παῖδες, μηδετέρῳ γένει προσνεμηθῆναι δυνάμενοι, μήτε τῷ τοῦ
131 γήμαντος μήτε τῷ τοῦ μοιχοῦ. τοιαύτας συμφορὰς ἀπεργαζομένης τῆς
ἐκνόμου μίξεως, εἰκότως στυγητὸν καὶ θεομίσητον πρᾶγμα, μοιχεία,
πρῶτον ἀδικημάτων ἀνεγράφη.
132 (25.) Δεύτερον δὲ πρόσταγμα μὴ ἀνδροφονεῖν. ἀγελαστικὸν γὰρ
καὶ σύννομον ζῷον τὸ ἡμερώτατον ἄνθρωπον ἡ φύσις γεννήσασα πρὸς
ὁμόνοιαν καὶ κοινωνίαν ἐκάλεσε, λόγον δοῦσα συναγωγὸν εἰς ἁρμονίαν
καὶ κρᾶσιν ἠθῶν. ὁ δὴ κτείνων τινὰ μὴ ἀγνοείτω νόμους φύσεως καὶ
133 θεσμοὺς ἀνατρέπων καλῶς καὶ συμφερόντως ἅπασι γραφέντας. ἴστω
μέντοι καὶ ἱεροσυλίας ἔνοχος ὢν τὸ ἱερώτατον τῶν τοῦ θεοῦ κτημάτων
σεσυληκώς· τί γὰρ σεμνότερον ἢ ἁγιώτερον ἀνάθημα ἀνθρώπου; χρυσὸς
μὲν καὶ ἄργυρος καὶ λίθοι πολυτελεῖς καὶ ὅσαι ἄλλαι τιμαλφέσταται

---

1 ἀμφίδοξα καὶ ἄδηλα G 1. 2 τὸ ἀποχυόμενον AP Arm Nicet. 2 τῇ ἀληθείᾳ M: ἀληθείᾳ ceteri 4 τῷ corr. ex τὸ H 5 διαδέχονται Christophorson ἀφυβρίσας Nicet. ἐπαπερυγὼν coni. Mang. 7 ἐν γέλωτι AP τὴν om. L (Turn.) παρασπονδηθέντος coni. Mang. 8 ὑποικουρημένων F Arm (coni. Mang.): ἐποικουρημένων MAPH (v), ἐποικουρημένος G, ἀποικουρουμένων Nicet.; ὑπῳκουρημένων Wendl. ἔκγονα F: ἔγγονα ceteri (v) 9 θεραπεύειν] τροφεύειν voluit Mang. 10 τἀδίκημα AP: τὸ ἀδίκημα ceteri γένοιτ' FH[1] 11 μηδ' ἑτέρῳ FH[1] (Turn.) 13 ἐκνόμου] ἐκ τοῦ νόμου Nicet. μισητὸν Nicet. ἡ μοιχεία A (Mang.) 16 ζῴων Arm; ⟨καὶ⟩ ζῴων coni. Mang. ἄνθρωπον F
ω
Nicet.: om. ceteri (v) 17 λόγον δοῦσα] λόγον οὖσαν A 18 δὴ] δὲ Richt. 19 τοὺς ante καλῶς add. Arm 20 ἱεροσυλίας H: ἱεροσυλίᾳ ceteri (v)
η
τοῦ om. Nicet. κτισμάτων H (cf. *de spec. leg.* III 15 p. 313 M.): κτισμάτων ceteri Arm Nicet. 21 ἁγιώτερον Arm (coni. Mang.): ἀνώτερον codd. 22 τιμαλφέστατοι MFG

---

15 — 21 Nicetae Serrani Catena in Lucam (Vat. 1611 fol. 246r): δεύτερον δὲ πρόσταγμα — σεσυληκώς.

ὗλαι κόσμος οἰκοδομημάτων ἐστίν, ἄψυχος ἀψύχων· ἄνθρωπος δέ, 134
ζῷον ἄριστον κατὰ τὸ κρεῖττον τῶν ἐν αὐτῷ, τὴν ψυχήν, συγγενέστατος
τῷ καθαρωτάτῳ τῆς οὐσίας οὐρανῷ, ὡς δ' ὁ τῶν πλείστων λόγος, καὶ
τῷ τοῦ κόσμου πατρί, τῶν ἐπὶ γῆς ἁπάντων οἰκειότατον ἀπεικόνισμα
καὶ μίμημα τῆς ἀιδίου καὶ εὐδαίμονος ἰδέας τὸν νοῦν λαβών.

(26.) Τρίτον δ' ἐστὶ τῆς δευτέρας πεντάδος παράγγελμα μὴ 135
κλέπτειν. ὁ γὰρ τοῖς ἀλλοτρίοις ἐπικεχηνὼς κοινὸς πόλεως ἐχθρός,
βουλήσει μὲν τὰ πάντων δυνάμει δὲ τά τινων ὑφαιρούμενος, τῷ τὴν
μὲν πλεονεξίαν ἐπὶ μήκιστον ἐκτείνεσθαι, τὸ δ' ἀσθενὲς ὑστερίζον εἰς
p. 203 M. βραχὺ στέλλεσθαι καὶ μόνον | φθάνειν ἐπ' ὀλίγους. ὅσοι τοίνυν τῶν 136
κλεπτῶν ἰσχὺν προσέλαβον, ὅλας συλῶσι πόλεις ἀλογοῦντες τιμωριῶν
διὰ τὸ ἐπικυδέστεροι τῶν νόμων εἶναι δοκεῖν· οὗτοι δ' εἰσὶν οἱ ὀλιγαρχικοὶ
τὰς φύσεις, οἱ τυραννίδων καὶ δυναστειῶν ἐπιθυμοῦντες, οἱ τὰς μεγάλας
ἐργαζόμενοι κλοπάς, σεμνοῖς ὀνόμασι τοῖς ἀρχῆς καὶ ἡγεμονίας ἐπι-
κρύπτοντες λῃστείαν τἀληθὲς ἔργον. ἐκ πρώτης οὖν ἡλικίας ἀναδιδασκέσθω 137
τις μηδὲν λάθρα τῶν ἀλλοτρίων ὑφαιρεῖσθαι, κἂν βραχύτατον ᾖ, διότι
ἐγχρονίζον ἔθος φύσεως κραταιότερόν ἐστι καὶ τὰ μικρὰ μὴ κωλυόμενα
φύεται καὶ ἐπιδίδωσι πρὸς μέγεθος συναυξανόμενα.

(27.) Κλέπτειν δ' ἀπειπὼν ἑξῆς ψευδομαρτυρεῖν ἀπαγορεύει, πολλοῖς 138
καὶ μεγάλοις καὶ πᾶσι χαλεποῖς τοὺς ψευδομάρτυρας ἐνόχους εἰδώς.

---

2 αὐτῷ in αὐτῷ corr. H    3 τὴν οὐσίαν AP    6 δ' om. F    παράγγελμα] παράδειγμα AP    7 κλέπτειν] βλέπειν N    8 ἀφαιρούμενος FH (Turn.)    11 ὅλας] ὅσας M    13 τυραννίδος H (Turn.)    14 τοῖς MAPH: τῆς FGN Nicet. (v)    15 τἀληθὲς ἔργον Arm: τἀληθέστερον codd. (v)    ἀναδιδασκέτω AP    16 μηδὲ Turn.    17 ἐστι om. Nicet.    μὴ om. H    μὴ κωλυόμενα] κωλυόμενα οὐδαμῶς M    post κωλυόμενα add. ἁμαρτήματα D^P Max.    18 φύεται D: αὔξεται codd. Nicet. (v)    ἐπιδίδοται D    συναυξάνοντα D^P Max., συναύξοντα D^R Barocc., ἐπαυξανόμενα H (v)    19 ἑξῆς] εὐθὺς H (Turn.)    20 πᾶσι χαλεποῖς] παγχαλέποις Christophorson, παντάπασι χαλεποῖς coni. Mang.

---

6—18 pergit Nicetas paulo post: τρίτον δέ ἐστι παράγγελμα· μὴ κλέπτῃς. ὡς ἀλλοτρίοις ἐπικεχηνὼς — πρὸς μέγεθος συναυξανόμενα.    6 — 301,2 N fol. 153ᵛ: τρίτον δ' ἐστὶ— ψευδομαρτυρίαν ἀπειπεῖν.    17—18 D^P fol. 310ᵛ Φίλωνος ἐκ τοῦ εἰς τὸν δεκάλογον D^R fol. 255ʳ Mel. Barocc. fol. 137ʳ Max. Ecl. cap. 62 Φίλωνος: ἐγχρονίζον ἔθος — συναυξάνοντα.    19 — 301,1 D^R fol. 281ʳ Φίλωνος: οἱ τὰ ψευδῆ μανθάνοντες δυσκόλως μανθάνουσι τἀληθῆ. (tum post spatium:) ψευδομαρτυρεῖν ἀπαγορεύει ὁ θεῖος λόγος πολλοῖς — κολάσεως.    19—301,2 pergit Nicetas: κλέπτειν τοίνυν ἀπειπὼν—ψευδῆ μαρτυρίαν ἀπειπεῖν.

τὸ μὲν γὰρ πρῶτον φθείρουσι τὴν σεμνὴν ἀλήθειαν, ἧς οὐκ ἔστιν ἐν
βίῳ κτῆμα ἱερώτερον, ἡλίου τρόπον φῶς τοῖς πράγμασι περιτιθείσης, ἵνα
139 μηδὲν αὐτῶν ἐπισκιάζηται. δεύτερον δὲ πρὸς τῷ ψεύδεσθαι καὶ τὰ
πράγματα οἷα νυκτὶ καὶ σκότῳ βαθεῖ περιαμπίσχουσι καὶ συμπράττουσι
μὲν τοῖς ἁμαρτάνουσιν, ἐπιτίθενται δὲ τοῖς ἀδικουμένοις, ἃ μήτ᾽ εἶδον
μήτ᾽ ἤκουσαν μήτ᾽ ἴσασι παγίως εἰδέναι καὶ σφόδρα κατειληφέναι δια-
140 βεβαιούμενοι. προσεξεργάζονται δὲ καὶ τρίτον παρανόμημα τῶν προτέρων
ἀργαλεώτερον· ὅταν γὰρ σπάνις ἀποδείξεων ᾖ διὰ λόγων ἢ διὰ γραμμάτων,
ἐπὶ μάρτυρας καταφεύγουσιν οἱ τὰς ἀμφισβητήσεις ἔχοντες, ὧν τὰ
ῥήματα κανόνες εἰσὶ τοῖς δικασταῖς περὶ ὧν μέλλουσιν ἀποφαίνεσθαι·
μόνοις γὰρ τούτοις ἐπανέχειν ἀνάγκη, μηδενὸς ὄντος ἑτέρου τῶν εἰς
ἔλεγχον· ἐξ οὗ συμβαίνει, τοὺς μὲν καταμαρτυρουμένους ἀδικεῖσθαι
νικᾶν δυναμένους, τοὺς δὲ προσέχοντας δικαστὰς ἀδίκους καὶ παρα-
141 νόμους ψήφους ἀντὶ νομίμων καὶ δικαίων γράφειν. τὸ μέντοι πανούργημα
φθάνει καὶ πρὸς ἀσέβειαν· οὐ γὰρ ἀνωμότοις δικάζειν ἔθος, ἀλλὰ μετὰ
φρικωδεστάτων ὅρκων, οὓς παραβαίνουσι πρὸ τῶν ἀπατωμένων οἱ φενακί-
ζοντες, ἐπειδὴ τῶν μὲν τὸ σφάλμα οὐ κατὰ γνώμην, οἱ δ᾽ ἐπιστήμῃ
καταστρατηγοῦσι καὶ ἐκ προνοίας ἁμαρτάνοντες καὶ τοὺς κυρίους τῆς
ψήφου συνεξαμαρτάνειν ἀναπείθοντες οὐκ εἰδότας ὃ δρῶσιν ἐπὶ τιμωρίᾳ

---

1 — 3 τὸ μὲν—δεύτερον δὲ om. D[R] fol. 281[r] 1 γὰρ om. AP (ss. P?) 2 βίῳ] κόσμῳ Arm κτῆμα] χρῆμα coni. Mang. ἱερώτερον v (Arm?): ἱερώτατον codd. D; ⟨κάλλιον⟩ κτῆμα, ἱερώτατον conicio περιτιθεῖσαν coni. Mang. 3 μηδεὶς N τῷ] τὸ F, γὰρ τῷ D 4 σκότει AP περιαμφίσκουσι (πίσχ) F, περιαμφίσκουσι N 5 post ἁμαρτάνουσιν add. δικασταῖς D (prob. Mang.) ἐπιτίθενται—ἔχοντες (9) om. D μήτ᾽] μήτε AP; μήτε ter Nicet. 7 προσεξεργάζονται MG: προσεπεξεργάζονται ceteri (v), προσεπεξάργονται (sic) N 8 ἢ post ᾖ add. Arm alt. διὰ FN Nicet.: om. ceteri (v) γραμμάτων] πραγμάτων AP 9 μάρτυρα N 10 τοῖς om. H (Turn.) τοῖς δικασταῖς om. D 11 μόνοις — ἔλεγχον (12) om. D τούτοις Arm: om. codd. Nicet. 12 ἀδικεῖσθαι] ἐλέγχεσθαι Arm Nicet. 13 δὲ] δὲ οὐ D 13. 14 ἀδίκους καὶ παρανόμους D Arm, — ους ex — ως corr. H: ἀδίκως καὶ παρανόμως ceteri Nicet. 14 ψήφους D (γνώμας Arm): om. codd. Nicet. νόμων καὶ δικαίων AP, δικαίων καὶ νομίμων transp. H, νομίμων καὶ om. D γράφειν H Arm: ἀναγράφειν ceteri D Nicet. (γράφεσθαι v) 14. 15 τότε μέντοι καὶ τὸ παν. φθάνει πρὸς D 15 ἀνωμότως H (v), ἀνομότως D δικάζουσιν (om. ἔθος) D 16 πρὸ] μετὰ Arm 17 δὲ D Nicet. 17. 18 ἐπιστήμης στρατηγοῦσιν ἐκ προνοίας D 18 καταστρατηγοῦσι FGHN Arm Nicet.: κατηγοροῦσι MAP (Mang.) προνοίας] πορνείας P κυρίους D Arm: κατηγόρους codd. (Turn.) 18. 19 τῇ ψήφῳ AP 19 ante οὐκ add. ἄγουσιν D εἰδότες N ὃ δρῶσιν om. D ἐπὶ τιμωρίας τοὺς οὐδεμιᾶς ἀξίους D

---

1—3 D[R] fol. 72[v] (Φίλωνος) ἐκ τοῦ εἰς τὴν θείαν δεκάλογον: σεμνὸν ἡ ἀλήθεια—ἐπισκιάζηται.

p. 204 M. τῶν οὐδεμιᾶς ἀξίων κολάσεως. | διὰ μὲν δὴ ταῦτά μοι δοκεῖ ψευδο-
μαρτυρίαν ἀπειπεῖν.
(28.) Τελευταῖον δ' ἐπιθυμεῖν ἀπαγορεύει νεωτεροποιὸν καὶ ἐπί- 142
βουλον τὴν ἐπιθυμίαν εἰδώς. πάντα μὲν γὰρ τὰ ψυχῆς πάθη χαλεπά,
κινοῦντα καὶ σείοντα αὐτὴν παρὰ φύσιν καὶ ὑγιαίνειν οὐκ ἐῶντα, χαλε-
πώτατον δ' ἐπιθυμία· διὸ τῶν μὲν ἄλλων ἕκαστον θύραθεν ἐπεισιὸν
καὶ προσπῖπτον ἔξωθεν ἀκούσιον εἶναι δοκεῖ, μόνη δ' ἐπιθυμία τὴν
ἀρχὴν ἐξ ἡμῶν αὐτῶν λαμβάνει καὶ ἔστιν ἑκούσιος. τί δ' ἐστὶν ὃ 143
λέγω; τοῦ παρόντος καὶ νομισθέντος ἀγαθοῦ φαντασία διεγείρει καὶ
διανίστησι τὴν ψυχὴν ἠρεμοῦσαν καὶ σφόδρα μετέωρον ἐξαίρει καθάπερ
ὀφθαλμοὺς φῶς ἀναστράψαν· καλεῖται δὲ τουτὶ τὸ πάθος αὐτῆς ἡδονή.
τὸ δ' ἐναντίον ἀγαθῷ κακόν, ὅταν ἐκβιασάμενον πληγὴν ἐπενέγκῃ 144
καίριον, συννοίας καὶ κατηφείας εὐθὺς αὐτὴν ἀναπίμπλησιν ἄκουσαν·
ὄνομα δὲ [καὶ] τούτῳ τῷ πάθει λύπη. ὅταν δὲ τὸ κακὸν μήπω μὲν 145
εἰσῳκισμένον θλίβῃ, μέλλῃ δ' ἀφικνεῖσθαι καὶ παρευτρεπίζηται, πτοίαν
καὶ ἀγωνίαν, ἀποφράδας ἀγγέλους, προεκπέμπει δειματοῦντας· φόβος
δὲ προσαγορεύεται τὸ πάθος. ἐπειδὰν δὲ λαβών τις ἔννοιαν ἀγαθοῦ μὴ 146
παρόντος ὀρέγηται τυχεῖν αὐτοῦ, πρὸς μήκιστον τὴν ψυχὴν ἐλαύνων
καὶ ἐπὶ πλεῖστον ἐκτείνων, ψαῦσαι τοῦ ποθουμένου γλιχόμενος, ὥσπερ
ἐπὶ τροχοῦ κατατείνεται, σπεύδων μὲν συλλαβεῖν, ἐφικνεῖσθαι δ' ἀδυνατῶν
καὶ ταὐτὸν πεπονθὼς τοῖς τοὺς ἐξαναχωροῦντας διώκουσιν ἐλάττονι μὲν
τάχει προθυμίᾳ δ' ἀνανταγωνίστῳ. ὅμοιον δέ τι καὶ περὶ τὰς αἰσθήσεις 147
ἔοικε συμβαίνειν· ὀφθαλμοί τε γὰρ πολλάκις ὁρατοῦ τινος πάνυ μακρὰν

1 διὰ—ἀπειπεῖν (2) om. Richt. μὲν om. Nicet. 1. 2 ψευδῆ μαρτυρίαν Nicet. 3 δὲ MN ἐπιθυμεῖν Arm: ἐπιθυμίαν codd. (v) ἀγορεύει H 4 τὴν ἐπιθυμίαν] ταύτην AP (Mang.) μὲν om. P ψυχῆς] τῆς ψυχῆς A 5 κινοῦντα] κλονοῦντα coni. Mang. 6 δὲ MN 7 μόνη om. Arm ἐπιθυμία N Arm: ἡ ἐπιθυμία AP, αὐτὴ ἐπιθυμία ceteri (v); αὕτη vel αὖ ἡ (pro αὐτή) coni. Mang. 8 αὐτῶν om. H (v) λαμβάνειν F ἀκούσιος F 11 τουτὶ] τοῦτο M 12 ἀγαθοῦ AP ἐμβιασάμενον G ἐπενέγκοι (η supra) AP 13 καιρίαν AP καὶ om. N εὐθύς om. M 14 καὶ seclusi (om. Arm) 15 μέλλῃ A, μέλλει (οι supra) PH δὲ MN παρευτρεπίζηται codd. (παρατραπίζηται A): παρευτρεπίζεσθαι v 18 τυχεῖν αὐτοῦ MFGN: αὐτοῦ τυχεῖν AP, λαβεῖν αὐτοῦ H (Turn.) ἐλαύνων scripsi: ἐλαύνει codd. (v) 19 γλιχομένην (scil. τὴν ψυχὴν) coni. Mang. 20 τροχῷ N ἐφικέσθαι FN 22 δὲ MAP ἀνταγωνίστῳ AP[1] 23 τε γὰρ om. Turn., τε om. Richt. μακρὰν πάνυ transp. A

3—303,8 pergit N fol. 154r: τελευταῖον δὲ ἐπιθυμίαν — ἅλις μὲν δὴ τούτων.

ἀφεστῶτος εἰς κατάληψιν ἐλθεῖν ἐπειγόμενοι, τείνοντες αὐτούς, εὖ μάλα
καὶ πλέον τῆς δυνάμεως ἐνεχθέντες, ὤλισθον κατὰ κενοῦ περὶ τὴν
ἀκριβῆ τοῦ ὑποκειμένου γνῶσιν σφαλέντες καὶ προσέτι τὴν ὄψιν τῷ
βιαίῳ καὶ συντόνῳ τῆς ἀτενοῦς προσβολῆς ἀσθενήσαντες ἀμαυροῦνται.
148 καὶ θροῦ πάλιν ἀσαφοῦς ἐκ μακροῦ διαστήματος φερομένου, τὰ ὦτα
ἀνεγερθέντα καὶ ἐπουρίσαντα ἵεται καὶ σπεύδει προσελθεῖν εἰ οἷόν τε
149 ἐγγυτέρω, πόθῳ τοῦ τρανωθῆναι ταῖς ἀκοαῖς τὸν ἦχον· ὁ δ' — ἔτι
γὰρ ἀμαυρὸς ὡς ἔοικε προσπίπτει — οὐδὲν τῶν εἰς γνῶσιν τηλαυ-
γέστερον ἐπιδίδωσιν, ὡς ἔτι μᾶλλον τὸν ἀνήνυτον καὶ ἀδιεξίτητον ἐπι-
τείνεσθαι τοῦ καταλαβεῖν ἵμερον, Ταντάλειον τιμωρίαν ἐπιφερούσης τῆς
ἐπιθυμίας· ἐκεῖνός τε γὰρ ὧν ὀρεχθείη πάντων ὁπότε μέλλοι ψαύσειν,
ἀπετύγχανεν, ὅ τε κρατηθεὶς ἐπιθυμίᾳ, | διψῶν ἀεὶ τῶν ἀπόντων, p. 205 M.
150 οὐδέποτε πληροῦται περὶ κενὴν ἰλυσπώμενος τὴν ὄρεξιν. ὥσπερ τε
τὰ ἑρπηνώδη τῶν νοσημάτων, εἰ μὴ προανακρουσθείη τομαῖς ἢ καύσεσιν,
ἐπιθέοντα σύμπασαν ἐν κύκλῳ καταλαμβάνει τὴν τοῦ σώματος κοινωνίαν
οὐδὲν ἀπαθὲς μέρος ἐῶντα, οὕτως, εἰ μὴ λόγος ὁ κατὰ φιλοσοφίαν
ἰατροῦ δίκην ἀγαθοῦ ῥέουσαν τὴν ἐπιθυμίαν ἐπίσχοι, πάντ' ἐξ ἀνάγκης
τὰ τοῦ βίου πράγματα κινηθήσεται παρὰ φύσιν· οὐδὲν γάρ ἐστιν
ὑπεξῃρημένον ὃ διαφεύγει τὸ πάθος, ἀλλ' ὅταν ἄδειαν λάβῃ καὶ ἐκεχειρίαν,
151 ἐπινέμεται καὶ σίνεται πάντα διὰ πάντων. εὔηθες ἴσως μακρηγορεῖν
ἐστι περὶ τῶν οὕτως ἐμφανῶν, ἃ τίς ἀνὴρ ἢ πόλις ἀγνοεῖ καθ' ἑκάστην
οὐχ ἡμέραν μόνον ἀλλὰ καὶ ὥραν ὡς ἔπος εἰπεῖν ἔλεγχον ἐναργῆ παρι-
στάντα; χρημάτων ἔρως ἢ γυναικὸς ἢ δόξης ἤ τινος ἄλλου τῶν ἡδονὴν
ἀπεργαζομένων ἆρά γε μικρῶν καὶ τῶν τυχόντων αἴτιος γίνεται κακῶν;
152 οὐ διὰ τοῦτον συγγένειαι μὲν ἀλλοτριοῦνται τὴν φυσικὴν εὔνοιαν μεθαρμο-

1 αὐτοὺς MFN, αὐτοὺς in αὐτοὺς corr. H 2 καινοῦ G 3 τὴν ὄψιν om. H
λ
(Turn.) 4 βιαίῳ] βεβαίω AP, βίω M ἀτενοῦς AP (Arm?): ἀτενοῦς G, ἀτελοῦς MFN, om. H (v) 5 φερομένου εἰς τὰ ὦτα Arm 6 ἐγερθέντα AP ἐπουρίσαντα] ἐπορθιάσαντα vel ἐπορθιασθέντα coni. Mang. ἵεται MHFN 7. 8 ἔτι γὰρ] ἔπειτα AP 8 ἀμαυρῶς AP 9 ἐπιδίδωσιν G: ἐπιδιδοὺς ceteri (v) ἀδιεξήτητον FH[1], καὶ ἀδιεξίτητον om. M 11 μέλλοι MAPFN Arm: μέλλει GH (v)
ἀπ ε ϊ
12 αἰεὶ AP παρόντων H 13 οὐδέπω G παρὰ M τε] δὲ G, om. AP 14 „προανεκριζωθείη Arm" 15 ἐπιθέοντα] ἐπινεμόμενα Arm 17 ῥέουσαν] ἕρπουσαν coni. Mang. 18 κατακινηθήσεται AP γὰρ om. M
μαίν
19 ἐκκεχειρίαν APFH 20 ἐπινέμεται] ἐπιμαίνεται FN, ἐπινέμεται L (ἐπιμαίνεται Turn.) σίνεται Mang.: γίνεται codd., γίγνεται N, κινεῖται Arm πάντα] πάντη A, om. N ἴσως] οὕτως N 21 οὕτως] ὄντως M 22. 23 παριστῶντα FN 23 tert. ἢ om. N 25 τοῦτον scripsi: τοῦτο codd. εὔνοιαν] ἔννοιαν FH

ζόμεναι πρὸς ἀνήκεστον ἔχθραν, χῶραι δὲ μεγάλαι καὶ πολυάνθρωποι
στάσεσιν ἐμφυλίοις ἐρημοῦνται, γῆ δὲ καὶ θάλαττα πληροῦται τῶν
καινουργουμένων αἰεὶ συμφορῶν ναυμαχίαις καὶ πεζαῖς στρατιαῖς; οἱ 153
γὰρ Ἑλλήνων καὶ βαρβάρων πρός τε ἑαυτοὺς καὶ πρὸς ἀλλήλους
τραγῳδηθέντες πόλεμοι πάντες ἀπὸ μιᾶς πηγῆς ἐρρύησαν, ἐπιθυμίας
ἢ χρημάτων ἢ δόξης ἢ ἡδονῆς· περὶ γὰρ ταῦτα κηραίνει τὸ τῶν
ἀνθρώπων γένος.

(29.) Ἅλις μὲν δὴ τούτων. χρὴ δὲ μηδ' ἐκεῖνο ἀγνοεῖν, ὅτι οἱ 154
δέκα λόγοι κεφάλαια νόμων εἰσὶ τῶν ἐν εἴδει παρ' ὅλην τὴν νομοθεσίαν
ἐν ταῖς ἱεραῖς βίβλοις ἀναγραφέντων. ὁ μὲν πρῶτος τῶν περὶ μοναρχίας· 155
οὗτοι δὲ δηλοῦσιν, ὅτι ἓν αἴτιον τοῦ κόσμου καὶ ἡγεμὼν καὶ βασιλεὺς
εἷς ὁ ἡνιοχῶν καὶ κυβερνῶν τὰ ὅλα σωτηρίως, ὀλιγαρχίαν ἢ ὀχλοκρατίαν,
ἐπιβούλους πολιτείας φυομένας παρ' ἀνθρώποις τοῖς κακίστοις ἐξ ἀτα-
ξίας καὶ πλεονεξίας, ἐξεληλακὼς ἐκ τοῦ καθαρωτάτου τῆς οὐσίας,
οὐρανοῦ. ὁ δὲ δεύτερος κεφάλαιόν ἐστι πάντων, ὅσα περὶ χειροκμήτων 156
ἐνομοθετεῖτο, ἀγάλματα καὶ ξόανα καὶ συνόλως ἀφιδρύματα, ὧν γραφικὴ
καὶ πλαστικὴ βλαβεραὶ δημιουργοί, κατασκευάζειν οὐκ ἐῶν οὐδ' ὅσα
μύθων πλάσματα προσίεσθαι, θεογαμίαν καὶ θεογονίαν καὶ τὰς ἀμφοτέραις
p. 206 M. ἑπομένας | ἀμυθήτους καὶ ἀργαλεωτάτας κῆρας. τῷ δὲ τρίτῳ ὑπο- 157
στέλλει τά τε ἀνώμοτα πάντα καὶ ἐφ' οἷς ὀμνύναι δεῖ καὶ ὁπότε καὶ
ὅπου χρὴ καὶ τίνα καὶ πῶς ἔχοντα κατά τε ψυχὴν καὶ σῶμα καὶ
ὅσα ἐπ' εὐόρκοις καὶ τοὐναντίον ἐχρήσθη. (30.) τὸ δὲ τέταρτον, τὸ 158
περὶ τῆς ἑβδομάδος, οὐδὲν ἀλλ' ἢ κεφάλαιον νομιστέον ἑορτῶν καὶ τῶν
διατεταγμένων εἰς ἑκάστην ἁγνευτικῶν, περιρραντηρίων τε αἰσίων καὶ

---

2 πληροῦνται AP 3 κεκαινουργουμένων (sic) H (Turn.), κεκαινουργημένων FN ἀεὶ HFN 4 τε] θ' AP (Mang.) 6 ἢ δόξης ἢ χρημάτων transp. AP 8 τούτων corr. ex τοῦτον H, τοῦτο M ἐκεῖν' AP 9 παρ' om. F 10 τῶν om. Arm 11 ὁ ἡγεμὼν AP 12 εἷς ὁ] ὡς Arm ὀλιγαρχίαν δὲ Arm ἢ om. M ὀχλοκρασίαν MF[1]H 13 ἀνεπιβούλους M παρὰ H 14 ἐληλακὼς F[2], λελακηκὼς F[1] τὴν οὐσίαν AP 15 ὅσα] ὅθεν A 16 ἐνομοθετεῖτο AP: ἐνομοθετεῖτο ἂν ceteri (v) 18 θεογαμίαν]
αι
θεομαχίαν AP καὶ θεογονίαν om. Arm ἀμφοτέραις P: ἀμφοτέροις A, ἀμφοτέροις ceteri (Turn.) 19 ἀργαλεωτάτας F: ἀργαλεωτάτους MAP, ἀργαλεωτέρας GH (Turn.) 19. 20 ὑποστέλλει suspectum; ὑποτάττει conicio 20 πάντα om. FH (v) 21 ἔχοντα MP: ἔχοντας ceteri (v) σῶμα καὶ ψυχὴν transp. F 22 alt. τὸ] τὸν G 23 ἑβδομάδος] ἑβδόμης voluit Mang. ἀλλ'] ἄλλ' M 24 δια (om. τεταγμένων) AP, τεταγμένων add. mg. P[2] τε G (Arm?): δὲ ceteri (v)

159 ἐπηκόων εὐχῶν καὶ θυσιῶν τελείων, αἷς ἡ λατρεία ἐγίνετο. ἑβδόμην
δὲ λέγω καὶ τὴν σὺν ἑξάδι τῇ γονιμωτάτῃ καὶ τὴν ἄνευ ἑξάδος, ἐπι-
προσθοῦσαν αὐτῇ, μονάδι ὁμοιουμένην, ὧν ἑκατέρᾳ τὰς ἑορτὰς παρα-
ριθμεῖ· μονάδι μὲν τήν τε ἱερομηνίαν, ἣν σάλπιγξιν ὑποσημαίνουσι, καὶ
νηστείαν, ἐν ᾗ σιτίων καὶ ποτῶν ἀποχὴ διείρηται, καὶ ἣν Ἑβραῖοι
πατρίῳ γλώττῃ Πάσχα προσαγορεύουσιν, ἐν ᾗ θύουσι πανδημεὶ αὐτῶν
ἕκαστος τοὺς ἱερεῖς αὐτῶν οὐκ ἀναμένοντες, ἱερωσύνην τοῦ νόμου χαρι-
σαμένου τῷ ἔθνει παντὶ κατὰ μίαν ἡμέραν ἐξαίρετον ἀνὰ πᾶν ἔτος εἰς
160 αὐτουργίαν θυσιῶν· καὶ ἔτι τὴν ἐν ᾗ προσφέρεται δράγμα χαριστήριον
εὐγονίας καὶ φορᾶς τῆς πεδιάδος δι' ἀσταχύων πληρώσεως· καὶ τὴν
ἀπὸ ταύτης καταριθμουμένην ἑπτὰ ἑβδομάσι πεντηκοστὴν ἡμέραν, ἐν ᾗ
προσάγειν ἄρτους ἔθος, οἳ καλοῦνται πρωτογεννημάτων ἐτύμως, ἐπει-
δήπερ εἰσὶν ἀπαρχὴ γεννημάτων καὶ καρπῶν ἡμέρου τροφῆς, ἣν
161 ἀνθρώπῳ τῷ ἡμερωτάτῳ ζῴων ἀπένειμεν ὁ θεός. ἑβδομάδι δὲ τὰς
μεγίστας καὶ πολυημέρους ἑορτὰς προσένειμε κατὰ τὰς τοῦ ἔτους ἰση-
μηρίας, ἐαρινὴν καὶ μετοπωρινήν, δύο δυσὶν ἀναθείς, ἑκατέραν ἐφ'
ἡμέρας ἑπτά, τὴν μὲν κατὰ τὸ ἔαρ ἐπὶ τελειώσει τῶν σπειρομένων,
τὴν δὲ μετοπωρινὴν ἐπὶ συγκομιδῇ καρπῶν ἁπάντων, οὓς καὶ τὰ δένδρα
ἤνεγκεν· ἑπτὰ δ' ἡμέραι ἀπενεμήθησαν εἰκότως ἑπτὰ μησὶ τῆς
ἰσημερίας ἑκατέρας, ἵνα μὴν ἕκαστος λαμβάνῃ γέρας ἐξαίρετον μίαν
ἱερὰν ἡμέραν ἑορτώδη πρὸς εὐθυμίαν καὶ ἀπόλαυσιν ἐκεχειρίας.
162 ἐμφέρονται δὲ καὶ ἄλλοι νόμοι πάνυ καλῶς τεθέντες, εἰς ἡμερότητα
καὶ κοινωνίαν ἀτυφίαν τε καὶ ἰσότητα προχαλούμενοι· τούτων οἱ μέν

---

1 αἷς G Arm: om. ceteri (v) ἐγίγνετο M, ἐγγίνεται G ἑβδομάδα Arm
2 alt. τὴν] τῇ F, τῇ in τὴν corr. H 2. 3 ἐπιπροσθεῖσαν AP; ⟨οὐδ'⟩ ἐπιπροσθεῖσαν vel ἐπιπροστεθεῖσαν coni. Mang. 3 ὁμοιουμένην MAPFG: ὡμοιωμένην corr. ex ὁμοιουμένην H (ὡμοιωμένην v) 3. 4 παριθμεῖ (sic) AP[1], ἀπαριθμεῖ MP[2]
χ
5 διήρηται F[1]H[1] 6 πάσχα G αὐτῶν] αὐτὸς conicio 7 αὐτῶν
ου
om. Arm (fort. recte) 7. 8 χαρισαμένην H 8 κατὰ scripsi: καὶ G(H[1] ut vid.), om. ceteri (v) 10 τῆς] γῆς H (Turn.) πεδιάδος ⟨καὶ τῆς ὀρεινῆς⟩ coni. Mang. coll. 305,4 12 ἔθος ἄρτους transp. F οἳ—ὁ θεός (14) add. mg. H πρωτογενημάτων FG 13 γενημάτων FG καρποῦ A
14 ἀνθρώπω F: ἀνθρώποις ceteri (v) ζώων AGH Arm: ζώω MPF (Mang.)
15 post προσένειμε add. καὶ τὰς Arm 16 μεθοπωρινήν F (item lin. 18) δυσὶν om. Arm 19 alt. ἑπτὰ] ἑβδόμοις Mang. τοῖς ante τῆς add. Arm
20 λαμβάνει APG 21 ἱερὰν om. Arm εὐθυμίαν] ἐπιθυμίαν F ἐκκεχειρίας APF 22 τιθέντες Richt. Tauchn. 23 τε om. H
προκαλούμενοι Arm (coni. Mang.): προσκαλούμενοι MFGH mg. P[2], om. AP

εἰσὶ περὶ τοῦ λεγομένου ἑβδοματικοῦ, καθ' ὃ διείρηται πᾶσαν ἀργὴν
p. 207 M. | τὴν χώραν ἐᾶν μήτε σπείροντας μήτε ἀροῦντας μήτε δένδρα διακαθαίροντας ἢ τέμνοντας ἢ ὅσ' ἄλλα τῶν κατὰ γεωργίαν ἐπιτελοῦντας·
ἓξ γὰρ ἐνιαυτοῖς τήν τε πεδιάδα καὶ τὴν ὀρεινὴν εἰς καρπῶν γένεσιν 163
καὶ δασμῶν ἐτήσιον φορὰν πονηθείσας ἀνέσεως ἠξίωσε τοῦ διαπνεῦσαι
χάριν καὶ ἀπελευθεριάσαι χρησαμένας ἀνεπικελεύστῳ τῇ φύσει. ἕτεροι 164
δ' εἰσὶ περὶ τοῦ πεντηκοστοῦ ἔτους, ἐν ᾧ τά τε λεχθέντα ἀρτίως ἐπιτελεῖται καὶ — τὸ ἀναγκαιότατον — τῶν κληρουχιῶν ἀποκατάστασις εἰς τοὺς ἐξ ἀρχῆς λαχόντας οἴκους, πρᾶγμα φιλανθρωπίας καὶ δικαιοσύνης μεστόν. (31.) τὸ δὲ πέμπτον, τὸ περὶ γονέων τιμῆς, πολλοὺς 165
καὶ ἀναγκαίους νόμους ὑπαινίττεται, τοὺς ἐπὶ πρεσβύταις καὶ νέοις ἀναγραφέντας, τοὺς ἐπ' ἄρχουσι καὶ ὑπηκόοις, τοὺς ἐπ' εὐεργέταις καὶ εὖ
πεπονθόσι, τοὺς ἐπὶ δούλοις καὶ δεσπόταις. γονεῖς μὲν γὰρ ἐν τῇ 166
κρείττονι τῶν εἰρημένων εἰσὶ τάξει, ἐν ᾗ πρεσβύτεροι, ἡγεμόνες, εὐεργέται, δεσπόται, παῖδες δὲ ἐν τῇ καταδεεστέρᾳ, ἐν ᾗ νεώτεροι,
ὑπήκοοι, εὖ πεπονθότες, δοῦλοι. πολλὰ δὲ καὶ ἄλλα προστέτακται, 167
νέοις μὲν εἰς ἀποδοχὴν γήρως, πρεσβύταις δ' εἰς ἐπιμέλειαν νεότητος, καὶ ὑπηκόοις μὲν εἰς πειθαρχίαν ἡγεμόνων, ἡγεμόσι δ' εἰς ὠφέλειαν τῶν ἀρχομένων, καὶ εὖ μὲν πεπονθόσιν εἰς χαρίτων ἀμοιβάς, ἄρξασι δὲ δωρεῶν εἰς τὸ μὴ ζητεῖν καθάπερ ἐν δανείοις ἀπόδοσιν, καὶ θεράπουσι μὲν εἰς ὑπηρεσίαν φιλοδέσποτον, δεσπόταις δ' εἰς ἠπιότητα καὶ πρᾳότητα, δι' ὧν ἐξισοῦται τὸ ἄνισον.

(32.) Καὶ ἡ μὲν προτέρα πεντὰς ἐν τούτοις περατοῦται κεφαλαιώδη 168
τύπον περιέχουσα, τῶν δ' ἐν εἴδει νόμων οὐκ ὀλίγος ἀριθμός. τῆς δ' ἑτέρας

---

1 ἑβδοματικοῦ ⟨ἔτους⟩ coni. Mang. καθ' ὃ Turn. (v): καθ' ὃν G, καθὰ ceteri διήρηται F[1]H[1], δὴ εἴρηται AP ἀργὴν corr. ex ἀργεῖν H 2 σπείραντας A μήτ' AP 2. 3 καθαίροντας AP 3 ἢ τέμνοντας om. Richt. Tauchn. ὅσα AP τελοῦντας AP, ἐπι ss. P[2] 4 παιδιάδα G γέννησιν AP 5 δασμὸν AP 6 χρησαμένας Mang. (χρησομένας Wendl.): χρησάμενος codd., om. Arm 8 ἡ ante τῶν add. Richt. Tauchn. ἀποκατάστασιν H 9 πρᾶγμα] πρόσταγμα coni. Mang. 10 ὁ δὲ πέμπτος, ὁ G 12 ἐπ' ἄρχουσι G: ὑπάρχοις MFH, ἐπὶ ὑπάρχοις AP 13. 14 ἐν — τάξει] τῆς τῶν κρειττόνων εἰσὶ μερίδος καὶ τάξεως H (Turn.) 14 πρεσβύτεροι] πρεσβύται H (v) 15 δεσπόται, εὐεργέται transp. M παῖ δὲ (sic) A 16 εὖ προπεπονθότες Arm δὲ om. M 17 εἰς om. Arm δὲ M εἰς om. Arm εἰς ἐπιμέλειαν—ἡγεμόσι δ' (18) om. G 18 ἡγεμόνων om. Mang. δὲ M 19 εὖ] τοῖς M 20 θεραπεύουσι F, θεράπ[illegible]ουσι P 21 δὲ M ἠπιότητας καὶ πραότητας H (Turn.) 23 περατοῦται Mang.: περαιοῦται codd. 24 τῆς δὲ δευτέρας coni. Mang.

πρῶτόν ἐστι κεφάλαιον τὸ κατὰ μοιχῶν, ᾧ ὑποτέτακται πλεῖστα
διατάγματα, τὸ κατὰ φθορέων, τὸ κατὰ παιδεραστῶν, τὸ κατὰ τῶν
λαγνίστερον βιούντων ὁμιλίαις τε καὶ μίξεσιν ἐκνόμοις καὶ ἀκολάστοις
169 χρωμένων. τὰς δὲ ἰδέας ἀναγέγραφεν οὐχ ὑπὲρ τοῦ μηνῦσαι τὸ
| πολύχουν καὶ πολύτροπον τῆς ἀκρασίας, ἀλλ' ὑπὲρ τοῦ τοὺς ἀσχημόνως p. 208 M.
ζῶντας ἐμφανέστατα δυσωπεῖν ἐπαντλοῦντα τοῖς ὠσὶν αὐτῶν ἀθρόα
170 ὀνείδη, δι' ὧν ἐρυθριάσουσι. δεύτερον δὲ κεφάλαιον ἡ τοῦ μὴ ἀνδρο-
φονεῖν ἀπαγόρευσις, ὑφ' ἣν εἰσι πάντες οἱ περὶ βιαίων, ὕβρεως, αἰκίας,
τραυμάτων, πηρώσεως ἀναγκαῖοι νόμοι καὶ σφόδρα κοινωφελεῖς.
171 τρίτον δὲ τὸ περὶ τοῦ μὴ κλέπτειν, ᾧ ὑποτέτακται τὰ ἐπὶ χρεωκοπίαις
ὁρισθέντα καὶ ἐξάρνοις παρακαταθηκῶν καὶ ἀκοινωνήτῳ κοινωνίᾳ καὶ
ἀναισχύντοις ἁρπαγαῖς καὶ συνόλως πλεονεξίαις, ὑφ' ὧν πείθονταί τινες
172 φανερῶς ἢ λάθρα τἀλλότρια νοσφίζεσθαι. τέταρτον δὲ τὸ περὶ τοῦ μὴ
ψευδομαρτυρεῖν, ᾧ πολλὰ ἐμφέρεται, τὸ μὴ ἀπατᾶν, τὸ μὴ συκοφαντεῖν, τὸ
μὴ τοῖς ἐξαμαρτάνουσι συμπράττειν, τὸ μὴ ποιεῖσθαι προκάλυμμα πίστιν
173 ἀπιστίας, ἐφ' οἷς ἅπασι νόμοι προσήκοντες ἐτέθησαν. πέμπτον δὲ τὸ
ἀνεῖργον τὴν τῶν ἀδικημάτων πηγήν, ἐπιθυμίαν, ἀφ' ἧς ῥέουσιν αἱ
παρανομώταται πράξεις, ἴδιαι καὶ κοιναί, μικραὶ καὶ μεγάλαι, ἱεραὶ καὶ
βέβηλοι, περί τε σώματα καὶ ψυχὰς καὶ τὰ λεγόμενα ἐκτός· διαφεύγει
γὰρ οὐδέν, ὡς καὶ πρότερον ἐλέχθη, τὴν ἐπιθυμίαν, ἀλλ' οἷα φλὸξ ἐν
174 ὕλῃ νέμεται δαπανῶσα πάντα καὶ φθείρουσα. πολλὰ δὲ καὶ τῶν ὑπο-
πιπτόντων αὐτῇ διατέτακται πρός τε νουθεσίας ἐπανόρθωσιν ἐνδεχομένων
καὶ πρὸς κόλασιν ἀφηνιαστῶν ὅλον τὸν βίον ἐνδεδωκότων τῷ πάθει.
175 (33.) Τοσαῦτα καὶ περὶ τῆς δευτέρας πεντάδος ἀποχρώντως
λέλεκται πρὸς ἐκπλήρωσιν τῶν δέκα λογίων, ἅπερ ἱεροπρεπῶς ἔχρησεν
αὐτὸς ὁ θεός. ἦν γὰρ ἁρμόττον αὐτοῦ τῇ φύσει, κεφάλαια μὲν τῶν

1 ὑποτάττεται F 3 λαγνεστερον G, λαγνιέστερον F 4 δ' AP
5 πολύχουν F[2], πούχουν F[1] τοῦ] τὸ H 6 ἐπαντλοῦντα scripsi: ἐπαντλοῦντας
codd., ἐπαντλῶν Mang. αὐτῶν in αὑτῶν corr. H (αὑτῶν Turn.) 10 τὸ
μὴ περὶ τοῦ κλέπτειν A, μὴ om. P ὑποτάττεται FH (v) χρεοκοπίαις F
11 παρακαταθηκῶν Arm (cf. *quis rer. div. her.* § 105): παρακαταθήκαις codd.; παρα-
καταθήκης coni. Mang. 13 τὰ ἀλλότρια M 13. 14 τὸ μὴ περὶ τοῦ ψευ-
δομαρτυρεῖν A, μὴ om. PG 15 προκάλυμα H 16 νόμοι om. Arm
προσηκόντως Arm 17 ἀνείργειν Arm ἧς] οἷς M 18 παρανομώ-
τατοι MH ἱεραὶ] ἀνίεροι coni. Mang. 20 καὶ om. APG, ss. P[2]
ἐν om. F 21 alt. καὶ om. FH (v) 22 αὐτῇ] αὐτῷ conicio
ἐνδεχομένων Arm (coni. Mang.): ἐνδεχομένην codd. 23 ἐκδεδωκότων APG
25 λέγεται M λογίων M: λόγων ceteri οὗσπερ G 26 τῶν] τὰ AP

ἐν εἴδει νόμων αὐτοπροσώπως θεσπίσαι, νόμους δὲ τοὺς ἐν τῷ μέρει
διὰ τοῦ τελειοτάτου τῶν προφητῶν, ὃν ἐπικρίνας ἀριστίνδην καὶ ἀνα-
πλήσας ἐνθέου πνεύματος ἑρμηνέα τῶν χρησμῳδουμένων εἵλετο. μετὰ 176
δὲ ταῦτα λέγωμεν τὴν αἰτίαν, δι' ἣν τοὺς δέκα λόγους ἢ νόμους ἀπε-
φήνατο ψιλαῖς προστάξεσι καὶ ἀπαγορεύσεσι κατὰ τῶν παραβησομένων,
ὡς ἔθος νομοθέταις, μηδὲν ὁρίσας ἐπιτίμιον· θεὸς ἦν, εὐθὺς δὲ κύριος
ἀγαθός, μόνων ἀγαθῶν αἴτιος, κακοῦ δ' οὐδενός. οἰκειότατον οὖν ὑπο- 177
λαβὼν αὐτοῦ τῇ φύσει τὰ σωτήρια κελεύειν ἀμιγῆ καὶ ἀμέτοχα τιμωρίας,
p. 209 M. ἵνα μή πως | φόβῳ τις ἄφρονι συμβούλῳ χρησάμενος ἄκων ἀλλ' ἔμφρονι
λογισμῷ καθ' ἑκούσιον γνώμην αἱρῆται τὰ βέλτιστα, μετὰ κολάσεως
οὐκ ἠξίωσε θεσπίζειν, οὐκ ἀσυλίαν τοῖς ἀδικοπραγοῦσι διδούς, ἀλλ'
εἰδὼς τὴν πάρεδρον αὐτῷ δίκην καὶ τῶν ἀνθρωπίνων ἔφορον πραγμάτων
οὐκ ἠρεμήσουσαν ἅτε φύσει μισοπόνηρον καὶ ὥσπερ τι συγγενὲς ἔργον
ἐκδεξομένην τὴν κατὰ τῶν ἁμαρτανόντων ἄμυναν. ἐμπρεπὲς γὰρ 178
ὑπηρέταις μὲν καὶ ὑπάρχοις θεοῦ καθάπερ τοῖς πολέμου στρατηγ
ἐπὶ λιποτάκταις οἳ λείπουσι τὴν τοῦ δικαίου τάξιν ἀμυντηρίοις χρῆσθ
τῷ δὲ μεγάλῳ βασιλεῖ τὴν κοινὴν ἀσφάλειαν ἐπιγεγράφθαι τοῦ παντός,
εἰρηνοφυλακοῦντι καὶ τὰ τῆς εἰρήνης ἀγαθὰ πάντα τοῖς πανταχοῦ πᾶσιν
ἀεὶ πλουσίως καὶ ἀφθόνως χορηγοῦντι· τῷ γὰρ ὄντι ὁ μὲν θεὸς πρύτανις
εἰρήνης, οἱ δ' ὑποδιάκονοι πολέμων ἡγεμόνες εἰσίν.

---

2. 3 ἀναπλάσας Arm 4 λέγωμεν MG: λέγομεν FH Arm, λέξομεν AP νόμους ἢ λόγους transp. M 4. 5 ἀπεφήνατο] ἀποφήνας H (v) 6 μηδὲν ὁρίσας] οὐδὲν ὥρισεν H (v) ⟨μὲν⟩ ἦν Christophorson εὐθὴς (sic) δ' ὁ κύριος AP 7 ἀγαθός om. M 8 αὐτοῦ codd. 9 φόβῳ Arm (cf. *de Abrah.* § 14): om. codd. 10 κατ' F αἱρεῖται corr. in αἱρῆται H 11 ἀσυλίαν] ἀσχολίαν M 12 αὐτῶ codd. καὶ secludendum putavit Mang. ἀνθρωπίνων MG: ἀνθρωπείων APFH 14 ἐκδεξομένων M εὐπρεπὲς M 14. 15 γὰρ (τι add. H) ὑπηρέταις μὲν MFGH: μὲν γὰρ ὑπηρέταις AP (Mang.) 16 λειποτάκταις codd. οἳ] ἢ A 17 δὲ om. M ἀσφάλειαν] ὠφέλειαν AP (prob. Mang.) 18 εἰρηνοφυλακτοῦντι AP 19 μὲν] μόνος Arm περὶ τῶν δέκα λόγων οἳ κεφάλαια νόμων εἰσί subscr. G

3 2044 029 849 254

DATE DUE

| | |
|---|---|
| | |
| [illegible] 0 3 [illegible] | |
| | |
| | |
| SEP 1[illegible] | |
| | |
| | |
| | |
| | |
| | |
| | |
| | |
| | |
| | |
| | |
| | |

DEMCO, INC. 38-2931

Pl

St